A initium Dominum nostrum Jesum Christum Dei Filium, neque ante exstitisse quam humano generi in carne apparuerit. Igitur sine mora provincialis synodus contra ipsum Antiochiæ coacta fuit, præsidente ei magno Patre nostro Thaumaturgo Neocæsariensis urbis episcopo; cui aderant Leo Tarsensis, Maximus Bostrensis, Magnes quidam Hierosolymorum sacerdos, et ex Cappadocia nostra admirabilis Firmilianus; atque horum in numero Theotecnus quoque Palæstinæ antistes erat. Porro et Photinus atque Marcellus prædictorum impietatem æmulantes, merum ipsi quoque hominem fuisse Dominum affirmabant, qui de Maria sumpserit initium.

η'. Καὶ τούτων τοίνυν ἐλευθεωθεῖσα ἡμῶν ἡ Ἐκκλησία, καὶ τὴν κεφαλὴν πρὸς ὕψος ἄρασα, καὶ τῆς πλάνης ἁπάσης κατεξαναστᾶσα, καὶ τὰ ἴδια τέκνα τὰ γνήσια ἐναγκαλιζομένη, καὶ εἰς ὕψος ἄφατον ἐκτείνασα ἑαυτὴν, Σαβέλλιος ὁ Λίβυς κατεξανίσταται αὐτῆς, ἀνάχυσίν τινα καὶ κατάποσιν ἐπιτηδεύσας νομοθετῆσαι, τὸν Πατέρα καὶ Θεὸν λέγων σχηματίζεσθαι καὶ ἐκτείνεσθαι ποτὲ μὲν εἰς Υἱὸν, ποτὲ δὲ εἰς Πνεῦμα· καὶ οὕτως ἐξαπλούμενον, πάλιν συστέλλεσθαι, καὶ ἕνα μόνον εἶναι οὕτως Θεὸν λέγεσθαι, μηδαμῶς ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενον τοῦ τε Λόγου αὐτοῦ καὶ Υἱοῦ, ἔτι δὲ καὶ τοῦ ἁγίου Πνεύματος. Κατὰ τούτου πολλοὶ μὲν καὶ ἄλλοι τῶν γνησίων ἡμῶν θηρευτῶν, τὰ ἑαυτῶν ἐξέτειναν λίνα, ἔτι δὲ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας (7), καὶ τὸν θῆρα τοῦτον ἀγρεύσαντες, τῇ ἰδίᾳ μαχαίρᾳ τοῦ λόγου κατέθυσαν, οὐ πρὸς βρῶσιν ἐπιτήδειον, ἀλλὰ πρὸς ἀπορρίφὴν καὶ νέκρωσιν ἑτοιμότατον, πᾶσι τοῦ θηρὸς τὰ μέλη ἐμφανῆ καταστήσαντες, καὶ τὴν φαρέτραν αὐτοῦ τῆς ἀλαζονείας ἐκτινάξαντες, καὶ πατεῖσθαι ὑπὸ πάντων ποιήσαντες. Πολλὴν δὲ τὴν κατ' αὐτοῦ ἀπληστίαν ἐνδειξάμενος ὁ λεχθεὶς Διονύσιος, σπέρματα μᾶλλον τῇ ἀφυεῖ διαστάσει τῶν ὑποστάσεων παρασχὼν Ἀρείῳ τῷ δυσσεβεῖ, ὥς φησι Βασίλειος (8) ὁ ἀκρότατος καὶ μέγας Πατὴρ ἡμῶν· κἂν ὅτι μάλιστα ὑπεραπολογεῖται αὐτοῦ Ἀθανάσιος ὁ ἀοίδιμος (9), τοὺς ἀγῶνας αὐτοῦ ἐξηγούμενος, καὶ μὴ γνώμης κακότητι, ἁπλῆς δὲ διανοίας τρόπῳ, τοῦτο ὑπομεμενηκέναι αὐτόν· φαίνεται δὲ ὁ Μάρκελλος καὶ εἰς τὸ τούτου πως ἐμπεσὼν δόγμα.

8. Horum demum importunitate depulsa, cum Ecclesia nostra caput erexisset, atque omni errore convicto, genuinos filios suos ulnis complecteretur, seque in immensum fastigium extenderet; ecce Lybs Sabellius contra stetit, confusionem quamdam et quasi catapotium conficere studens, dum videlicet Deum Patrem formas quasdam induere diceret, ac semet extendere modo in Filium, modo in Spiritum sanctum: cumque ita se dilatasset, rursus solere contrahi, atque ita unum tantummodo dici Deum; neque in propria quemque persona spectari, Verbum scilicet seu Filium, neque item Spiritum sanctum. Adversus hunc, cum alii multi nostrarum partium germani venatores retia sua tetenderunt, tum nominatim Dionysius Alexandrinus episcopus. Hi captam feram proprio sermonis gladio confecerunt, haud equidem esui aptam, sed cæde projectuque dignissimam, ejusque discerpta membra spectaculo cunctis proposuerunt; pharetram denique superbiæ ejus omnium pedibus conculcandam dederunt. Jam cum Sabellium infinita vi argumentorum Dionysius urgeret, semina quædam jecit, unde falsam personarum differentiam impius Arius suscitaret, ut ait summus Pater noster Basilius: quanquam Dionysii patrocinium apprime gerit inclytus Athanasius, dum ejus certamina enarrat, eumque haud prava sententia imbutum, sed simplici suæ mentis ratione sic elocutum contendit. Constat autem Marcellum quoque in Sabellii dogma consensisse.

θ'. Εὐθέως οὖν μετὰ τούτου, ἢ καὶ πρὸ τούτου, Ὠριγένης ὁ ματαιόπονος καὶ λῆρος ἀνέφυ, τὰ τῶν ἀμφοτέρων κυρῶν καὶ Ἀρειανίζων· καὶ προϋπαρξιν τῶν ψυχῶν καὶ μεταποίησιν, καὶ αἰώνων τινῶν ἐναλλαγὴν, καὶ ἀναστάσεως τοῦ πεσόντος ζώου ἄρνησιν· σφαιροειδῆ δέ τινα σώματος ἔγερσιν, καὶ μὴ αὐτὴν τὴν πλάσιν τοῦ ἀνθρώπου ἐν τῷ ἰδίῳ σχήματι

9. Protinus post hunc, vel etiam antea, Origenes vano se labore fatigans et nugans exortus est utriusque doctrinam approbans, et Arianismum redolens. Hic animarum præexsistentiam et instaurationem, atque æonum quorumdam alternationem docuit: defuncti vero animantis resurrectionem negavit, sed sphæricam nescio quam corporis suscitatio-

NOTÆ.

(4) Catalogus synodorum apud Justellum t. II, p. 1172, et epistola synodica Ἑλενός.

(5) Epistola synodica verius Ὑμέναιος, qui erat episcopus.

(6) Ergo Germanus Cappadox gente erat, imo et domo Cæsariensis, ut cap. 15.

(7) Scripserat quatuor adversus Sabellium libros Dionysius Alex. qui jamdiu vixerunt. Dionysium decertantem cum Sabellio memorat Vita sancti Petri Alex. a nobis edita in hoc Spicilegio t. III, p. 682.

(8) In Epistola ad Maximum ed. Garner., t. I, p. 90.

(9) Exstat hæc pro Dionysio scripta ab Athanasio Apologia.

Digitized by Google

nem, non autem ipsam hanc hominis machinam in sua naturali forma resurrecturam commentus est; quam rem cognoscere licet ex eo libro, quem adversus Origenem magnus Methodius elaboravit. Is sexcenta alia impietate scatentia dogmata congerens in medium protulit, atque illis propinavit, eosque enutriit qui viam minime ab ipso remotam malitiose terebant. Hunc naviter refutavit magnus Petrus Alexandriæ episcopus et martyr, nec non Heraclas, et Demetrius, aliique nonnulli. Sed enim doctissimus (nam quo alio titulo appellem nescio) Eusebius Pamphili patronus consurrexit, nugas ejus confirmans, aliosque errores, quos inter Arianismum, et paganicarum fabularum futilitatem, sub apologiæ specie defendens; id quod intelligere possumus ex commentario Antipatri Bostrensis hæc perspicue narrantis.

10. Ecce autem Arius quoque presbyter Alexandrinus adversus Ecclesiam nostram furere cœpit; qui, ducto ab urbe Alexandria initio, hæresim suam usque ad orbis, ut ita dicam, terminos propagavit, quam firmarunt foveruntque reges, magistratus, sapientes clarique homines, quorum in numero supradictus quoque Eusebius fuit, ut ejus scripta demonstrant. Anathemate autem perculsus fuit Arius a prædicto admirabili Petro, qui eum negavit recipere vel in ipso martyrii procinctu, multis licet ad ejus genua advolutis, et pro illius reconciliatione rogantibus. Tunc quippe narravit martyr, Dominum sibi coram conspectum laciniosa tunica indutum; quem cum interrogasset: Quis te, Domine, ita lacerum fecit? Arius, inquit Dominus, me laceravit: sed tu cave ne eum recipias; est enim tam præsente quam futuro in sæculo condemnatus. Itaque Petrus mandavit omnibus ut communionem cum Ario vitarent. Nempe Arius aiebat creaturam esse Filium Dei, tempusque fuisse quo Filius non erat, atque illo antiquiora esse tum tempus tum Patris voluntatem, ipsumque a Patre esse factum; et quia ipse facere nos nequibat, idcirco aiebat Dei Patris creaturam assumpsisse sibi divinitatem. Deinde vero et ipsum Dei Filium creasse post Patrem aliquid tum humanarum tum reliquarum naturarum, ut sic posset condita ab eo creatura ad ipsum accedere, quin dissiparetur a sublimi veluti comburente eam Dei potestate, si forte ab ipso Patre producta fuisset.

11. Tunc vero, vel paulo ante, magno quoque nostro Patri et thaumaturgo Gregorio de his meditanti, mira illa dogmatis revelata fuit expositio,

A ἀνίστασθαι μυθευόμενος, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ πονηθέντος κατ' αὐτοῦ λόγου Μεθοδίῳ τῷ μεγάλῳ (10). Καὶ ἕτερα δὲ μυρία ἀσεβείας πλήρη δόγματα καταφορτώσας εἰς μέσον κατέῤῥιψε, καὶ τοῖς δι' αὐτοῦ τὴν παρόδιον τρίβον ποιουμένοις δολερῶς, ἐπότισε καὶ ἀνέτρεψεν. Ὅμως καὶ μᾶλλον τιτρώσκεται ὑπὸ Πέτρου τοῦ μεγάλου ἐπισκόπου καὶ μάρτυρος Ἀλεξανδρείας (11), ἔτι δὲ καὶ Ἡρακλᾶ καὶ Δημητρίου (12) καὶ ἑτέρων τινῶν. Κἂν ὅτι μάλιστα ὁ πολυμαθής, ἢ οὐκ οἶδ' ὅπως εἰπεῖν, Εὐσέβιος ὁ Παμφίλου συνίσταται τούτῳ ὑπεραπολογούμενος αὐτοῦ (13), καὶ κυρῶν μᾶλλον τὴν τε ληρῳδίαν αὐτοῦ καὶ τῆς ἄλλης τῆς τε Ἀρειανικῆς καὶ τῆς Ἑλληνικῆς εἰκαιομυθίας τὸ ἔκλυτον, ὡς ἐν πλάσματι ἀπολογίας ταῦτα συνιστῶν, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ πονηθέντος B λόγου Ἀντιπάτρῳ τῷ Βοστρηνῷ σαφῶς ταῦτα διαγορεύοντι (14).

ι'. Ἄρειος οὖν πάλιν ὁ Ἀλεξανδρείας πρεσβύτερος, ἐπεμάνη τῆς Ἐκκλησίας ἡμῶν, καὶ ἤρξατο μὲν ἀπὸ Ἀλεξανδρείας, ἐξέτεινε δὲ τὴν αὐτοῦ ἀσέβειαν, ὡς εἰπεῖν, εἰς τὰ πέρατα τῆς γῆς, ὑπὸ πολλῶν κρατυνομένην καὶ περιεπομένην βασιλέων τε καὶ ἀρχόντων καὶ σοφῶν καὶ ἐλλογίμων, ἐξ ὧν ὑπῆρχε τότε καὶ ὁ ἐπιμνησθεὶς Εὐσέβιος, ὡς τὰ τούτων δηλοῦσι συγγράμματα. Ἀναθεματίζεται δὲ ὁ εἰρημένος Ἄρειος ὑπό τε τοῦ προλεχθέντος Πέτρου τοῦ θαυμασίου, μὴ προσηκαμένου τοῦτον μήτε ἐν αὐτῷ τῷ καιρῷ τοῦ μαρτυρίου (15), πολλῶν γονυπετούντων αὐτὸν καὶ περὶ τοῦ δεχθῆναι αὐτὸν καθικετευόντων, C ὅτε καὶ τὸν Κύριον ὁ μάρτυς ἔλεγεν ὀφθῆναι αὐτῷ, ἐῤῥηγμένους χιτῶνας ἀμπεχόμενον, καὶ πρὸς αὐτοῦ προσερωτηθέντα, Τίς σε περιέσχισεν, Κύριε; εἰπεῖν, Ἄρειός με περιέσχισεν· ἀλλὰ μὴ προσδέξῃ αὐτόν· εἶναι γὰρ τοῦτον κατακεχριμένον ἔλεγε καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Καὶ πάντας παρήγγειλεν ἀποστρέφεσθαι τῆς πρὸς αὐτὸν κοινωνίας. Αὐτὸς γὰρ ὁ Ἄρειος ἔφασκε κτίσμα εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ· καὶ εἶναι καιρὸν ὅτε οὐκ ἦν ὁ Υἱός· καὶ προτερεύειν τούτου τὸν χρόνον καὶ τὴν θέλησιν· γενέσθαι δὲ αὐτὸν ὑπὸ τοῦ Πατρός· καὶ διὰ τὸ κτίσαι ἡμᾶς μὴ δύνασθαι, ἔλεγε τοῦ Θεοῦ καὶ Πατρὸς τὴν κτίσιν ὑπενεγκεῖν τὴν θεότητα· καὶ λοιπὸν ἐπιτηδευθῆναι μετ' αὐτόν τι κτίσμα, τῆς τε ἀνθρωπίνης καὶ τῶν λοιπῶν κτισμάτων φύσεως, καὶ τὸν Υἱὸν τοῦ D Θεοῦ· ὥστε δύνασθαι κτιζομένην πελάζειν αὐτῷ τὴν κτίσιν, καὶ μὴ ἐξαπλοῦσθαι τῇ ἀκροτάτῃ τοῦ Θεοῦ καταφλεγομένην δυναστείᾳ, εἴπερ ἄρα ὑπ' αὐτοῦ τοῦ Πατρὸς εἰς τὸ εἶναι παρήγετο.

ια'. Τότε, ἢ καὶ μικρὸν πρὸ τούτου, καὶ τῷ μεγάλῳ ἡμῶν Πατρὶ καὶ θαυματουργῷ Γρηγορίῳ ἐπιζητοῦντι περὶ τούτων, ἡ τοῦ δόγματος ἐξεκαλύφθη

NOTÆ.

(10) Libri hujus sancti Methodii de resurrectione adversus Origenem, nunc nonnisi fragmenta, ampla tamen, apud Epiphanium et Photium supersunt, præter alia apud alios minora.

(11) Non supersunt Petri Alex. adversus Origenem scripta.

(12) Vide Eusebium, *Hist. eccl.* VI, 8. et Hieronymum *Script. eccl.* cap. 54. In Vita sancti Petri Alex. retro citata uterque tam Heraclas quam Demetrius (qui fuerunt Alex. episcopi) ponuntur inter adversarios Origenis.

(13) Non exstat hæc Eusebii pro Origene Apologia nisi partim Latine.

(14) Scilicet in deperdita refutatione apologiæ Eusebianæ pro Origene.

(15) Exstat hæc narratio cum alibi tum in memorata Vita S. Petri Alex.

Digitized by Google

θαυμάσιος διδασκαλία, ὅτε τὴν ἁγίαν Παρθένον καὶ Θεοτόκον Μαρίαν καὶ Ἰωάννην τὸν παρθένον καὶ ἀπόστολον ἐθεάσατο· φανερῶς ὑποδεικνυόντων αὐτῷ τὴν τῶν ἐπιζητουμένων ἀκρίβειαν· αὕτη ἐστὶν ἡ διδασκαλία ἡ παρὰ πᾶσιν ᾠδομένη τοῖς πέρασι, καὶ τὴν ἀπαρχὴν ἐκ τῆς Πατρικῆς θεότητος ποιουμένη, Εἷς Θεὸς, λέγων, Πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἰδίου (16). Ὁμόδοξόν τε καὶ Πνεῦμα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ διδάσκοντος· καὶ μηδὲν εἶναι κτίσμα ἢ δοῦλον ἢ ἐπείσακτον ἐν τῇ Τριάδι διαγορεύοντος, ὡς πρότερον μὲν οὐκ ὄν, ὕστερον δὲ ἐπεισελθόν· ἄκτιστόν τε καὶ ἀθάνατον εἶναι ἀεὶ τὴν Τριάδα τρανῶς διδαχθέντος αὐτοῦ καὶ διδάξαντος (17)· τότε καὶ Βασιλεὺς ὁ Ἀμασείας ἐπίσκοπος (18), ὁ ὄντως βασιλεὺς τῷ φρονήματι τῆς πίστεως, καὶ τῷ λόγῳ τῆς διδασκαλίας, καὶ ὁμολογίᾳ τοῦ μαρτυρίου, ἐν Νικομηδείᾳ τῇ πόλει ὑπὸ Λικιννίου ἀχθεὶς καὶ μαρτυρήσας, τοῖς ἐρωτήσασιν αὐτὸν περὶ τῆς τοιαύτης ἐρωτήσεως, τὴν ἔννομον ἐποιήσατο ἀπόκρισιν, ὁμοούσιον τὴν Τριάδα διαγορεύων, καὶ δαιμονικῆς πλάνης ἀνάμεστον τὴν Ἀρειανικὴν λέγων φληναφίαν εἶναι, ὡς ἔστι καταμαθεῖν ἐκ τῆς ἐμφερομένης ἐν τῷ Μαρτυρίῳ αὐτοῦ διδασκαλίας.

cum sanctam Virginem Deiparam, Joannemque item virginem atque apostolum per visum conspexit, manifeste sibi quæstionum suarum solutionem tradentes. Hæc est illa fidei expositio, in orbe toto celebrata, quæ a Patris divinitate sumit initium : Unus Deus, inquit, Pater Verbi viventis, sapientiæ subsistentis ac virtutis et characteris proprii. Nec non pari gloria cum Patre et Filio frui Spiritum docet, nihilque in Trinitate creatum esse aut servum aut additum prædicat, quod quidem antea non fuerit, postea vero subintraverit. Scilicet increatam, immortalem, sempiternamque esse Trinitatem, et ipse Gregorius edoctus fuit et docuit. Tunc etiam Basileus (rex) Amaseæ episcopus, vere rex, mentis sententia et sermone doctrinæ ac martyrica confessione, in urbe Nicomedia a Licinio ad martyrium perductus, sciscitantibus se de hac fidei controversia, justum dedit responsum, consubstantialem Trinitatem esse pronuntians, Arianam vero insaniam diabolica fraude scatere; ut comperimus ex illa fidei confessione, quæ in ejusdem martyrii Actis refertur.

ιβ'. Καὶ Ναυάτος πρὸ Ἀρείου καὶ ἑτέρων αἱρέσεων, πρεσβύτερος Ῥώμης γενόμενος, τὴν μετάνοιαν ἐκ τῆς Ἐκκλησίας ἐκκήρυκτον ἐποιήσατο, καὶ μήτε τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας ἀνθρώπους μετανοοῦντας, μήτε ἐν ἄλλῳ ἁμαρτήματι ἢ πορνείᾳ ἢ διγαμίᾳ τῆς μεταλήψεως ἠξίου μεταδίδοσθαι, κἂν ἄξια τῆς μετανοίας ἔργα ἐπιδείξοιντο· ὅστις εὐθέως κατάκριτος γίνεται, συμφρονησάντων καὶ τῶν τῆς Ἀνατολῆς ἐπισκόπων (19). Περὶ αὐτοῦ καὶ ὁ μέγας ἡμῶν ποιμὴν ἐπεμνήσθη Γρηγόριος ἐν ἑνὶ τῶν πανηγυρικῶν αὐτοῦ λόγων (20), τελείως τὴν αἵρεσιν αὐτοῦ βδελυξάμενος.

12. Ante Arium quoque aliasque hæreses, Novatus Romanus presbyter, pœnitentiam ab Ecclesia proscripsit; et lapsos in persecutione, quanquam postea pœnitentes, item alio peccato pollutos, vel fornicatos, vel bigamos, communione sacrorum excludebat, etiamsi egregia pœnitentiæ documenta darent. Igitur et hic confestim damnatus fuit, consentientibus etiam Orientis episcopis. Ejusdem meminit magnus quoque pastor noster Gregorius in quodam suo panegyrico sermone, ubi ejus hæresim penitus exsecratur.

ιγ'. Τοῦ δὲ Ἀρειανικοῦ καπνοῦ εἰς μεγάλην πυρὰν ἀναφθέντος, καὶ πανταχόσε διαδραμόντος, καὶ τὴν οἰκουμένην δακρύων ἐμπλήσαντος, θεόθεν αἰθρίας ἡμῖν ἐκ τῶν διωγμῶν γεγενημένης, καὶ τοῦ ἐπιφανοῦς βασιλέως Κωνσταντίνου τοῦ μεγάλου τὸ βασίλειον ἀναδησαμένου κράτος, κάνταῦθα παραγεγονότος, ἀνδρὸς ἐναρέτου καὶ πλήρη τὸν τοῦ Θεοῦ φόβον ἐν τῇ καρδίᾳ κατέχοντος, τῷ κόσμῳ καὶ τῇ Ἐκκλησίᾳ ἡμῶν μάλιστα ἐπιφανέντος, τὴν τῶν ἱερῶν ὁμήγυριν συνήγαγε, καὶ σύνοδον ἐν Νικαίᾳ συγκροτεῖσθαι προσέταξεν, ἥτις ἤδη ἐπὶ αὐτοῦ καὶ γεγένητο, παρόντος αὐτοῦ καὶ τοῖς ἱερεῦσι συνεδρεύοντος. Ἀλέξανδρος ὁ μέγας πατριάρχης Ἀλεξανδρείας παρῆν ἐκεῖσε, Ἀθανάσιος ὁ τούτου διάκονος, Ἰούλιος Ῥώμης (21), Εὐστάθιος Ἀντιοχείας (22),

13. Jam cum Arianus fumus in magnam flammam arsisset, atque ubique diffusus orbem lacrymis opplevisset, divinitus accidit ut quies a persecutionibus nobis fieret, et inclytus imperator magnus Constantinus ad imperium evectus, et in Orientem veniens, vir insigni virtute præditus, et plenum Dei timore cor gestans, mundo ac præsertim nostræ Ecclesiæ affulgeret; qui sacerdotum cœtum congregans, synodum Nicææ fieri mandavit, quæ sub eo reapse celebrata fuit, præsente ipso et cum sacerdotibus considente. Aderant ibi magnus Alexandriæ patriarcha Alexander, Athanasius ejus diaconus, Julius Romæ, Eustathius Antiochiæ, Macarius Hierosolymorum, Hosius Cordubæ, Memnon Ephesi, Leontius Cæsareæ nostræ Cappadocum,

NOTÆ.

(16) In editis Gregorii Thaum. ἀϊδίου *æterni*.

(17) De hac narratione Germani videsis quæ diximus in præfatione (col. 35).

(18) Basilii plenam notitiam dat Lequinius *Or. ch.* t. I, p. 524-525.

(19) Veluti fecit synodus Antiochena Demetrii, in *Catalog. synod.* n. 23.

(20) In oratione trigesima nona, quæ est In sancta lumina.

(21) Aut labitur memoria Germanus in nomine Julii Romani, sicut ipsemet se in similibus errare veretur cap. 46, aut Julius Nicæno concilio nonnisi presbyter vel diaconus interfuit (sicuti Athanasius et Alexander Byzantinus) missus fortasse a Silvestro cum Romanis legatis. Sed certe Julius in numero CCCXVIII Patrum non apparet.

(22) In Theodori Lectoris *Catalogo Patrum Nic.* Σελευκείας.

Digitized by Google

et vere admirandus vir Paphnutius, et Spyridon thaumaturgus, aliique plurimi, qui numerum ccc et xviii Patrum explebant. Aiunt magnum quoque Alexandrum, tunc diaconum, ex hac nostra civitate illuc missum a magno Metrophane, qui in lecto ob senium decumbebat, cum cæteris consedisse. Multi vero ex episcopis ibi congregatis, fidei confessores fuerant, et inter persecutiones ab injustis impiisque imperatoribus mutilati, partim quidem nervis pedum succisis, partim oculis erutis, partim aliis corporis membris diminutis, ob fidem in Christum et confessionem, et publicam principum jussis contradictionem. Arianæ vesaniæ tunc defensores erant Eusebius Nicomediensis, Eleusius, et alter Eusebius qui Pamphili dicebatur, Theognius Nicænus, aliique plurimi rhetores ac sapientes atque eruditi, qui ei hæresi summe favebant.

A Μακάριος Ἱεροσολύμων, Ὅσιός τε ὁ Κορδούβης, Μέμνων (23) Ἐφέσου, Λεόντιος ὁ τῆς ἡμετέρας Καισαρείας τῶν Καππαδοκῶν, Παφνούτιός τε ὁ θαυμαστὸς ὄντως ἀνὴρ, καὶ Σπυρίδων ὁ θαυματουργὸς, καὶ ἕτεροι πλεῖστοι, οἳ τὸν ἀριθμὸν τῶν τιη' ἀνεπλήρουν Πατέρων· λέγεται δὲ καὶ Ἀλέξανδρος ὁ μέγας, τότε διάκονος ὢν ἐκ τῆς ἡμετέρας ταύτης πόλεως, παρὰ Μητροφάνους τοῦ μεγάλου, ὡς ἐν κλίνῃ τούτου διὰ τὸ γῆρας κατακειμένου, ἐκεῖσε ἀποσταλῆναι, καὶ συνεδρεύειν αὐτοῖς. Πολλοὶ δὲ τῶν ἐκεῖσε συνδεδραμηκότων ἐπισκόπων, ὁμολογηταὶ τῆς πίστεως ἐτύγχανον, ἐν τοῖς διωγμοῖς ἀκρωτηριασθέντες ὑπὸ τῶν ἀσεβῶν καὶ ἀνόμων βασιλέων, καὶ τῶν μὲν τὰ νεῦρα τῶν ποδῶν, τῶν δὲ οἱ ὀφθαλμοὶ, καὶ ἑτέρων ἄλλα μέλη τοῦ σώματος ἀποτετμημένα ἐτύγχανον, B ὑπὲρ τῆς εἰς Χριστὸν αὐτὸν πίστεως καὶ ὁμολογίας καὶ δημοσίας ἐνστάσεως. Ἦσαν δὲ τότε ἐν αὐτῇ τῇς Ἀρειανικῆς ὑπέρμαχοι μανίας, Εὐσέβιος ὁ Νικομηδείας, καὶ Ἐλεύσιος (24), καὶ Εὐσέβιος τὸ πρότερον ὁ τοῦ Παμφίλου λεγόμενος, καὶ Θεόγνιος ὁ Νικαίας, καὶ ἕτεροι πλεῖστοι ῥήτορές τε καὶ σοφοὶ, τὴν αἵρεσιν εἰς τὸ ἀκρότατον συγχωροῦντες.

14. Cum illic igitur multa dogmatum ventilatio explicatioque facta esset, et a prædictis Patribus atque confessoribus pie sapienterque exposita, orthodoxorum dogma vehementius est confirmatum: etenim Filium Patri consubstantialem proclamantes, et illos cum Ario anathemati subjicientes, qui Patrem tempore præcessisse Filio aiebant, ac tempus fuisse quo Filius non exstitisset, ita demum suam synodum dissolverunt. Pamphili quoque Eusebius ipsis consensit: feruntur enim ejus tum suæ civitati tum aliis scriptæ litteræ, in quibus primo resipiscens talem fidei confessionem exponit, quæ *homousion* manifeste prædicat, idque vocabulum haud novum esse affirmat; quod idcirco ait, ne quis priori ejus confessioni adhærens, *homousion* C aversetur. Exstant ejusdem aliæ post id tempus refutationes illorum qui Filium creaturam dicebant. Nihilo tamen minus, reliqua omnia scripta ejus, ubi dogmatum mentio incidit, Arianam hæresim ostendunt. Etenim hominem in hac secta fuisse, cunctæ ejus lucubrationes demonstrant; in uno vix adversus Marcellum Galatam opere hanc suspicionem vitat, quod sine dubio scriptum post synodum elaboravit; quam rem ii mihi significarunt qui id viderunt; namque in manus quidem meas universum id opus nondum devenit. Cæteroqui hic vir eloquentia pollet, stylique elegantia nobilitatur, rerumque antiquarum historiam digna enimvero narratione evolvit. Attamen in Psalmorum exposi- D tione satis imprudenter nonnullis in locis suam mentem aperit, dum intellectualia sidera et alia hujusmodi commenta narrat. Ob quas ejus sententias, ii qui nobis bibliothecam construxerunt, scripta Eusebii nequaquam cum orthodoxorum

ιδ'. Πολλῆς δὲ τῶν δογμάτων ἐκεῖσε ἐξαπλώσεως καὶ ζητήσεως γεγενημένης, καὶ ὑπὸ τῶν προλεχθέντων Πατέρων καὶ ὁμολογητῶν ἐμφρόνως καὶ εὐλαβῶς προτεινομένης, κυροῦται μᾶλλον τὸ δόγμα τῶν ὀρθοδόξων, καὶ ὁμοούσιον τοῦ Πατρὸς τὸν Υἱὸν ἐκφωνήσαντες, καὶ τοὺς λέγοντας προτερεύειν χρόνῳ τοῦ Υἱοῦ, ἢ ὅτι ἦν ποτε καιρὸς ὅτε οὐκ ἦν ὁ Υἱὸς ἐπιφημίζοντας, ἀναθεματίσαντες σὺν τῷ Ἀρείῳ, οὕτως τὴν ἑαυτῶν σύνοδον ἔλυσαν, συμφρονήσαντος αὐτοῖς καὶ Εὐσεβίου τοῦ λεγομένου Παμφίλου. Καὶ φέρεται αὐτοῦ ἐπιστολὴ πρὸς τὴν οἰκείαν γεγραμμένη πόλιν, καὶ ἑτέροις τισὶν, ἐν οἷς πρότερον ἀπαναχωρῶν, ἔγγραφον καταλέλοιπε πίστιν, τρανῶς *ὁμοούσιον* κηρύττουσαν, καὶ οὐ ξένην εἶναι τὴν λέξιν διαγορεύουσαν· καὶ τούτου ἕνεκεν, ἵνα μὴ τῇ προτέρᾳ αὐτοῦ ἐξακολουθοῦντες πίστει, ἀπωθοῦνται τὸ *ὁμοούσιον*· ἔτι δὲ καὶ ἄλλαι τινὲς πρὸς τοῦτο ὕστερον ἀντιῤῥήσεις αὐτοῦ πρός τινας τοὺς τὸν Υἱὸν κτίσμα λέγοντας γεγονυῖαι· κἂν ὅτι μάλιστα πάντα αὐτοῦ τὰ λοιπὰ συγγράμματα, ἐν οἷς δογμάτων ἐν αὐτοῖς γένηται μνήμη, τὴν Ἀρειανικὴν δηλοῦσιν αἵρεσιν. Ταυτης γὰρ ὁ ἀνὴρ τῆς δόξης εἶναι ἐν ἅπασιν αὐτοῦ τοῖς συγγράμμασι φαίνεται· ἢ μόνον ἐν τοῖς κατὰ Μαρκέλλου τοῦ Γαλάτου ποσῶς τὴν τοιαύτην ὑπέφυγεν ὑπόληψιν, πάντως τοῦτο τὸ σύνταγμα μετὰ τὴν σύνοδον πεπονηκότος αὐτοῦ, ὡς οἱ τῷ πονήματι τούτῳ ἐντυχόντες παραδεδώκασιν ἡμῖν· εἰς ἡμετέρας γὰρ χεῖρας οὐκ ἐλήλυθεν ἡ τοιαύτη αὐτοῦ πραγματεία ὅλη. Ἔστι δὲ ὁ ἀνὴρ εὐστομίᾳ καταπεποικιλμένος, καὶ κάλλει ὑπαγορείας περιεστιλβωμένος, ἀρχαίων τε πραγμάτων μνήμης ὡς ἀληθῶς ἀξίαν τὴν διαγόρευσιν ποιούμενος. Ὅμως ἐν τῇ τῶν Ψαλμῶν ἑρμηνείᾳ πολὺ παρὰ τὸ εἰκὸς εἴς τινα μέρη, τὴν ἑαυτοῦ ἐξεκάλυψε φρόνησιν (25) λογικοὺς ἀστέρας καὶ ἕτερά τινα προσειπών.

NOTÆ.

(23) Mendose fortasse apud Theodorum Μηνόφαντος.

(24) Eleusius Cyzici episcopus Arianus. Socrat. *Hist. eccl.* lib. II, 40. Sozom. lib. IV, 15.

(25) De Eusebii doctrina in *Commentario ad Psalmos*, copiose Montfauconius editor in Prolegomenis.

Digitized by Google

Διὰ ταύτας γὰρ αὐτοῦ τὰς λεχθείσας δόξας, καὶ οἱ A τὴν βιβλιοθήκην ἡμῖν κατασκευάσαντες, οὐδαμῶς τοῖς ὀρθοδόξων πονήμασι τὰ βιβλία αὐτοῦ συναπέθεντο, ἀλλὰ χωρὶς μετὰ τὸ πλήρωμα τούτων, εἰς τὴν ἀπαρχὴν τῶν αἱρετικῶν βιβλίων ἐν τῷ ἰδίῳ κιβωτίῳ ἐγκατέθετο (26).

libris collocaverunt, sed seorsum potius post universam illorum seriem, in capite hæreticorum librorum, peculiari in arcula condiderunt.

ιε'. Τοῦ δὲ ἐπιμνησθέντος Κωνσταντίνου τοῦ μεγάλου ἡμῶν βασιλέως, εὐλαβείας τρόπῳ ἀναγκάζοντος Ἀθανάσιον τὸν μέγαν, ἤδη πατριάρχην Ἀλεξανδρείας γεγενημένον, δέξασθαι Ἄρειον εἰς κοινωνίαν τῶν πρεσβυτέρων, ὡς ἅτε μετανοοῦντος αὐτοῦ, ὡς ἐνόμιζε, καὶ ἵνα μὴ καταλίπῃ σχίσμα τῇ Ἐκκλησίᾳ, τῇ δὲ ἀληθείᾳ ἐκείνου αὐτοῦ Ἀρείου μᾶλλον τὴν οἰκείαν ἀσέβειαν κρυπτῶς ἐπικυροῦντος, αὐτίκα τοῦ Ἀθανασίου τοῦτο μὴ καταδεξαμένου, διὰ τὸ κρυπτόμενον αὐτοῦ τῆς ἀθεΐας, ὡς λέλεκται, ἄθεον, ἐξορίζεται τοῦ B οἰκείου θρόνου ὁ ἅγιος, μάλιστα καὶ διὰ τὰς κατ' αὐτοῦ γενομένας συστάσεις ὑπὸ τῶν κρυπτῶς Ἀρειανιζόντων, φοβηθέντος τοῦ βασιλέως, μήπως ἐπιβουλεύσαντες ἀποκτείνωσι τὸν Ἀθανάσιον. Καὶ τότε τοὺς κατ' αὐτοῦ συγγράφει λόγους, καὶ τῶν τὴν ὁμοίαν αὐτῷ νοσούντων ἀσέβειαν. Λέγεται γὰρ αὐτὸς ὁ Ἄρειος συντάξαι ἐν μικρῷ χάρτῃ τὴν οἰκείαν ἀσέβειαν, καὶ οὕτως ὑπὸ τὸν φελώνην ἐγκατακρύψαι, καὶ τῇ χειρὶ ἐπαγόμενον τοῦτον, προσελθεῖν τῷ βασιλεῖ· καὶ τῷ δοκεῖν αὐτῷ ὀμνύειν πιστεύειν οὕτως, ἐπιφερόμενος· κρυπτῶς τὸν χάρτην, καὶ τῇ χειρὶ περιδεδραγμένον ἕτερον καὶ ἐπισείοντα (27)· οὐ μετ' οὐ πολὺ δὲ ἀποθνήσκει Κωνσταντῖνος ὁ μέγας βασιλεὺς, βαπτισθεὶς ὑπό τινος Ἀρειανοῦ πρεσβυτέρου, ἐκείνου μὴ ἐπεγνωκότος τοιοῦτον εἶναι τὸν πρεσβύτερον. Ἦν γὰρ ὁ C ἅγιος ἐπιθυμίαν ἔχων μεγίστην εἰς αὐτὸν τὸν Ἰορδάνην κατελθεῖν ποταμὸν, κἀκεῖσε τὸ σωτήριον δέξασθαι βάπτισμα, ἐν τῷ τόπῳ ἔνθα καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτε μεθ' ἡμῶν σαρκὶ ἐγένετο, τὸ τοιοῦτον ἐπλήρωσε μυστήριον· τότε δὲ τοῦ θανάτου κατεπείγοντος αὐτὸν, ἐκεῖσε ἐβαπτίσατο, καὶ μετ' αὐτῶν τῶν ἐμφωτίων, ὡς εἰπεῖν, τῷ τάφῳ τὸ σῶμα αὐτοῦ παρεπέμφθη.

15. Porro cum jam memoratus magnus imperator noster Constantinus, pietate veluti sua impulsus, Athanasium magnum, jam Alexandriæ factum patriarcham adigeret ad Arium in presbyterii communione recipiendum, utpote quem resipuisse putabat, ne schisma post se in Ecclesia relinqueret, cum contra Arius potius impietatem suam clam retineret; cum, inquam, hunc Athanasius non reciperet, propter latentem, ut diximus, in ipso atheismi impietatem, sede pellitur sanctus episcopus, ob id maxime quod, facta contra eum conspiratione ab iis qui occulte Ario favebant, timuit imperator ne insidiis structis Athanasium occiderent; qui eo tempore libros suos adversus Arium, aliosque eodem morbo contaminatos scripsit. Fertur et ipse Arius hæresim suam parva in scheda exarasse, quam penula obvolutam manu præferens, ad imperatorem accessit; dumque hic Arium putat fidem sinceram jurejurando profiteri, schedam hæreticus clam obtulit, manuque aliam fidei professionem retraxit atque amovit. Neque diu post magnus imperator Constantinus obiit, ab Ariano quodam presbytero baptizatus, quem ipse tali infectum hæresi nesciebat. Etenim sanctus vir maxima erat cupiditate incensus ad Jordanem fluvium veniendi, ibique salutare baptisma recipiendi, eodem nimirum loco quo Dominus noster Jesus Christus, carne nostra indutus, mysterium hoc consummavit. Verumtamen, urgente obitu, in qua statione tunc erat, baptizatus, et cum ipsis, ut ita dicam, albis tumulo illatus fuit.

ις'. Καὶ διαδέχεται τὴν τῆς Ἀνατολῆς βασιλείαν Κωνστάντιος ὁ υἱὸς αὐτοῦ, τῇ τοῦ εἰρημένου πρεσβυτέρου ὑπαχθεὶς ἀσεβεῖ αἱρέσει. Ἦν γὰρ αὐτὸς ὁ πρεσβύτερος τὴν τοῦ πατρὸς αὐτοῦ ἐγχειρισθεὶς διαθήκην, ἐν ᾗ ἐγέγραπτο ἑτέρας μοίρας εἶναι τὸν Κωνστάντιον βασιλέα, τῆς δὲ Ἀνατολῆς ἄλλον τῶν υἱῶν αὐτοῦ· ὁ δὲ πρεσβύτερος τοσοῦτον μετέθηκεν εἰς τὴν Ἀνατολὴν (28), τὸ ἔγγυον ὑπ' αὐτοῦ λαβὼν, τῆς αἱρετικῆς αὐτοῦ ἕνεκεν βλασφημίας. Καὶ τότε πολὺς ὁ πόλεμος τῶν ἐπισκόπων τῶν ὀρθοδόξων ἐγεγόνει, καὶ τῶν ἰδίων αὐτῶν θρόνων ἐκδιωγμός· τῶν δὲ Ἀρειανῶν ἡ ἐπικράτησις πανταχοῦ διεφαίνετο. Μελετίου τοῦ μεγάλου καὶ Εὐσταθίου καὶ ἑτέρων τινῶν, καὶ αὐτοῦ Ἀθανασίου πάλιν τῆς ἐπισκοπῆς ἐκδιωχθέντων, D

16. Huic successit in Orientis imperio Constantius filius, qui jam dicti presbyteri seductus fuerat impia hæresi. Huic autem presbytero supremæ Constantini tabulæ commendatæ fuerant, in quibus alia pars imperii Constantio ad regnandum assignabatur, alii Constantini filio Oriente attributo: verumtamen presbyter Constantium ad Orientem transtulit, fidejussorem se tantæ rei præbens, propter Arianam ab hoc adamatam blasphemiam. Tunc magnum adversus orthodoxos episcopos bellum cœpit, atque ipsorum de sedibus expulsiones, prævalentibus ubique Arianis. Itaque Meletius magnus, et Eustathius, et alii nonnulli, et ipse rursus Athanasius de suis Ecclesiis extur-

NOTÆ.

(26) Notemus antiquam consuetudinem separandi in bibliothecis libros hæreticorum vel ethnicorum ab illis orthodoxorum. Sic Virgilius Tolosanus a nobis editus AA. class. t. V, p. 41. « Hunc morem ex apostolicorum auctoritate virorum Romana tenuit ac servavit Ecclesia, ut Christianorum libri philosophorum, sepositi a gentilium scriptis habe-rentur, » etc., « ut duabus librariis compositis, una fidelium libros, altera gentilium scripta con-tineret, » etc.

(27) Conferatur Socrates lib. I, 28.

(28) Theodoretus *Hist. Eccl.* lib. II, 3, et Photius cod. 256, p. 1416.

Digitized by Google

bati fuerunt. Nam sanctus Athanasius sedem suam paulo ante recuperaverat, Constante Romæ imperante, eumque e Galliis ad Alexandrinam civitatem remittente; quandoquidem et a patre suo Constantino ita decretum fuisse aiebat; sed enim eo mortuo, se patris memorem mandata ejus esse exsecutum, synodo acerbe increpita. Contra ipsum vero Athanasium judicia sunt instituta, quo tempore multis calumniis patuit, ut scripta quæ de eo feruntur demonstrant. Aiunt etiam Eusebium Pamphili conspirasse cum iis qui Athanasium persequebantur, atque in conventiculis adversus eum celebratis primum locum tenuisse; cujus rei testes sunt, cum alii historici, tum certe ii qui Gregorii Theologi orationem de Athanasio enarraverunt. Namque ipse quidem, ut ait, nomen ipsum pronuntiare de industria omittit, viri infinitam doctrinam reverens, et ne hunc nominatim inter Arianorum fautores patronosque numeret.

17. Tunc etiam impius Macedonius coryphæum se hæreseos exhibuit, qui magni quoque Constantini corpus tumulo ejicere, atque alio transferre conatus est; quod facinus populus orthodoxus non ferens, dolorem suum opere demonstravit, vi Macedonium cohibens: cumque Ariana turba in incepto persisteret, maxima trepidatio fuit, et non ignobilium hominum sanguis effusus: ipsum vero cadaver vix ita evasit, ut parata in theca claudi potuerit multo cum luctu et continentibus lacrymis.

18. Interim Arium, qui Martis (Ἄρεως) rabiem ipso nomine innuit, adhuc in vivis agentem imperator Constantius in Ecclesiam nostram recipi vehementer jubebat, et communionis participem fieri. Sed dum magnus noster patriarcha Alexander, erectis ante altare manibus, columnæque instar perstans, Deum precibus fatigaret, ut populum suum clementer ab Ariana fraude expediret; interim Arius præeuntibus multis ad Ecclesiam adventabat, jamque in forum pervenerat, non sine magna hominum sequela, tum eorum qui ipsi adhærebant, tum aliorum plurimorum ab imperatore submissorum, qui animos infelici addebant, nosque irridebant. Ecce autem divina suscepti facinoris ultio exstitit; nam cum miser ille ad fossam, uti appellatur, divertisset, ut onus ventris egereret, ventrem ipsum et viscera scelestus egessit, et fulmineæ linguæ suæ hanc mercedem retulit, ut congruum fetori ejus finem vitæ nancisceretur; atque hoc genere mortis exstinctus, futuram mox

A ἐπειδὴ ἦν ὁ ἅγιος Ἀθανάσιος κεχρατηκὼς τοῦ ἰδίου θρόνου, Κώνστα ἐν Ῥώμῃ βασιλεύοντος, καὶ ἐκ τῶν Γαλλιῶν πρὸς τὴν ἰδίαν πόλιν αὐτὸν ἀποστείλαντος, τοῦτο καὶ ἰδίου πατρὸς βουληθέντος, ὡς αὐτός φησι, διαπράξασθαι· ἐκείνου δὲ τελευτήσαντος, εἰς μνήμην αὐτοῦ τοῦτον τὰς αὐτοῦ ἐντολὰς ἀποπληρῶσαι (29) τῆς συνόδου (30) πικρῶς ἀναθεματιζομένης· καὶ κατ' αὐτοῦ Ἀθανασίου δικαστήρια συνιστάμενα, ὅτε καὶ κατεψεύσθη ὁ ἅγιος πάμπολλα, ὡς δηλοῦσιν αἱ περὶ αὐτοῦ συγγραφαί. Λέγεται δὲ καὶ Εὐσέβιον τὸν Παμφίλου συνασπιστὴν εἶναι τῶν κατ' αὐτοῦ κινησάντων τὸν διωγμὸν, καὶ προτερεύειν ἐν τῇ καθέδρᾳ τῶν κατ' αὐτοῦ συλλόγων, ὡς οἱ παραθέμενοι ἐν τῷ λόγῳ τοῦ μεγάλου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου,
B τῷ πονηθέντι αὐτῷ εἰς αὐτὸν Ἀθανάσιον διαγορεύουσι, καὶ ἕτεροί τινες ἱστορικοί. Ἐκεῖνος γὰρ, ὡς λέγει, τὸ ὄνομα ἑκουσίως ὑπερτίθεται φανερῶσαι, αἰδούμενος τὸ τοῦ ἀνδρὸς πολυμαθὲς, καὶ μὴ ὀνομάσαι τοῦτον ὑπέρμαχον τῶν Ἀρειανῶν καὶ συνασπιστὴν ἐθέλων (31).

ιζ'. Τότε καὶ Μακεδόνιος ὁ ἀσεβὴς, προστάτης ἦν τῆς ἀσεβείας, τοῦ μεγάλου βασιλέως Κωνσταντίνου τὸ σῶμα ἐκβαλὼν καὶ μεταθήσειν ἐτέρωσε βουληθεὶς, τοῦ δὲ ὀρθοδόξου λαοῦ οὐκ ἐνεγκόντος τὸ τοιοῦτον ἐγχείρημα, εἰς ἔργον τὴν λύπην ἐξέφερον, καὶ κωλύειν τοῦτον παρεβιάζοντο· ἐπιστάντος τε αὐτοῖς τοῦ Ἀρειανικοῦ σμήνους, πλεῖστος μὲν ἐγεγόνει φόβος, καὶ αἱμάτων οὐ τῶν τυχόντων ἔκχυσις· μόλις δὲ τὸ
C σῶμα διαφυγὸν ταῖς εὐτρεπισθείσαις ἐναπετέθη θήκαις, μετὰ πολλῆς οἰμωγῆς καὶ δακρύων συνεχῶν (32).

ιη'. Ἄρειον δὲ τὸν τῆς μανίας ἐπώνυμον, τέως ἔτι τῷ βίῳ ἐνδιατρίβοντα, βασιλεύων Κωνστάντιος ἐβιάζετο τοὺς τῆς Ἐκκλησίας ἡμῶν εἰσδέχεσθαι, καὶ κοινωνικὸν αὐτὸν προσλαμβάνεσθαι. Τοῦ δὲ μεγάλου ἡμῶν Πατρὸς καὶ πατριάρχου Ἀλεξάνδρου (33) πρὸς τῷ θυσιαστηρίῳ τὰς χεῖρας εἰς ὕψος ἀνατείναντος, καὶ ἑστηλωμένου ὥσπερ ἑστῶτος, καὶ τῷ Θεῷ τὴν δέησιν προσάγοντος, ἐλεῆσαι τὸν αὐτοῦ λαὸν καὶ λυτρώσασθαι τῆς Ἀρειανικῆς δολιότητος ἱκετεύοντος, ἐκείνου μετὰ πολλῆς προπομπῆς εἰσιόντος, καὶ ἐν τῷ φόρῳ ἤδη γεγενημένου, πλήθους δὲ οὐ τοῦ τυχόντος παρεπομένου, καὶ τῶν ἰδίων αὐτοῦ συναγωνιστῶν,
D ἀπ' αὐτοῦ βασιλέως καὶ ἑτέρων πλείστων παραθαρρούντων τὸν δείλαιον καὶ ἐπιγελώντων ἡμῶν, θεόθεν γίνεται ἡ τῶν καταπονουμένων ἐκδίκησις· πρὸς γὰρ τὴν λεγομένην φῶσσαν ἀπονεύσας ὁ ἄθλιος, ὥστε αὐτὸν τὰ περιττὰ τῆς γαστρὸς ἀποτινάξασθαι, τὴν κοιλίαν αὐτοῦ καὶ τὰ ἐντὸς αὐτοῦ συγκαταφέρει ὁ ἄνομος, καὶ τῶν τῆς γλώσσης ἀμαρυγμάτων τὸν μισθὸν κομίζεται τοῦτον, ἐπαξίως τῆς αὐτῆς δυσωδίας τὴν

NOTÆ.

(29) Hæc dicit Constantinus Junior apud Athan. op. dict. n. 87. Suspicor hic confusionem aliquam diversorum Cæsarum et diversorum redituum Athanasii. Revera enim etiam a Constante remissus ex Gallia Alexandriam fuit.

(30) Synodum Tyriam increpuit ob Athanasium Constantinus senior. Athan. *Apol. contra Ar.* n. 86.

(31) In oratione Nazianzeni 21, ed. Bill. t. I, p. 381 et 386. Porro nomen Eusebii recitat Nicetas Nazianzeni interpres, cujus Latina excerpta dedit Bill. t. II, p. 790. Attamen Nicetam, posteriorem hominem, Germanus non vidit, sed antiquiores interpretes, puta Maximum et Eliam, quos Nicetas postea expilavit.

(32) Socrates lib. II, 38.

(33) Socrates lib. I, 37, et Theodoretus lib. I, 14.

Digitized by Google

ζωὴν διαλύσας πρὸς τὸν θάνατον ἀπενεχθείς· οὕτως τῆς ἐκεῖσε κολάσεως· κἀνταῦθα τὰ ἐπίχειρα τῆς αὐτοῦ ζωῆς δεξάμενος. Τινὲς δὲ ἐπ' αὐτοῦ Κωνσταντίνου τοῦτο ὑπομεῖναι τὸν Ἄρειον ἀποδεδώκασιν (34), εἴτε δὲ ἐπ' ἐκείνου, εἴτε ἐπὶ τούτου οὗτος ὁ ἀσεβὴς τὴν τοῦ Ἰούδα ῥῆξιν ὑποστάς, τοῦ παρόντος ἀπελαύνεται βίου· ἐγὼ δὲ ἐπὶ Κωνσταντίου τοῦτό φημι γενέσθαι. Τοῦτο ἡμῶν ὁ μέγας Γρηγορίου ὁ Θεολόγος ἐξηγεῖται τὸ θαῦμα (35), ὡς ἐν στήλῃ τινὶ περιβοήτῳ θριαμβεύων τὴν ἔννομον καὶ δικαίαν τοῦ ἀνδρὸς ἀπώλειαν. Κἂν ὅτι περὶ πολλοῦ ἐποιησαντο οἱ τότε Ἀρείῳ συντρέχοντες ἀποκρυβῆναι τῷ βασιλεῖ, διὰ τῶν εὐνούχων τοῦτο ἀποπείσαντες, ἰδίῳ θανάτῳ μᾶλλον καὶ κοινῷ τέλει παρελθεῖν αὐτόν. Μετ' οὐ πολὺ δὲ καὶ ὁ προλεχθεὶς Κωνστάντιος ἀποθνήσκει, καὶ Ἀθανάσιος εἰς τὸν ἴδιον ἐπανάγεται θρόνον.

A punitionem suorum actuum hic quoque prægustavit. Nonnulli tamen sub ipso Constantino hæc Ario evenisse tradiderunt; sed certe vel sub illo vel sub Constantio, impius hic Judæ instar crepens e præsente vita migravit; quanquam ego quidem sub Constantio id factum aio. Prodigium hoc narrat nobis magnus Gregorius, justum hominis meritumque exitium nobilis instar tropæi proclamans. Etsi magnopere studuerunt ii, qui in Arii comitatu erant, rem imperatori occultare, imo ei per eunuchos persuadere, quod obitu naturali communique fine Arium vita deseruisset. Paulo post prædictus quoque Constantius moritur, et Athanasius ad suam sedem reducitur.

B

ιθ'. Καὶ ὀλίγον ἡμῖν χρόνον ἐπιμανέντος τοῦ ἀσεβοῦς Ἰουλιανοῦ, ὑφ' οὗ καὶ πάλιν Ἀθανάσιος ἐξορίζεται (36), Ἰουδιανὸς εὐθέως ὁ μέγας ἐν τῇ Περσίδι βασιλεὺς ἀναγορεύεται, ἀνὴρ ὀρθόδοξος καὶ πλήρης σύνέσεως καὶ ὀρθοδόξου πίστεως. Ἀλλ', ὦ τῆς ἡμετέρας ἁμαρτίας! ὦ τῆς ἐπιγενομένης ἡμῖν ἐκ τῶν ἡμετέρων ἀνομιῶν ἀξίας τιμωρίας! Οὔπω γὰρ τῇ πόλει ταύτῃ τὸν ἄνδρα ἐπιστάντα, μετὰ τὸ ἀποκαταστῆσαι, ἐπιζητῆσαί τε καὶ ἐκμαθεῖν ὑπὸ Ἀθανασίου τοῦ μεγάλου τὴν ὀρθὴν καὶ ἀλώβητον τῶν Χριστιανῶν πίστιν (37), πρὶν ἢ τῇ πόλει ἡμῶν ταύτῃ ἐπιβῆναι τὸν ἄνδρα, ὡς λέλεκται, μεταίρει τοῦτον ὁ Θεὸς, καὶ πρὸς αὐτά που τὰ τέρματα τῆς Βιθυνίας γεγονότος αὐτοῦ. Οὐάλης δὲ εὐθέως τῶν τῇδε ἀναγορεύεται βασιλεὺς, ἀνὴρ παράνομος καὶ ἐναγὴς, Ἀρειανὸς καὶ βλάσφημος, καὶ δύο τὰ μέγιστα νοσήσας ἀπληστίαν καὶ βλασφημίαν, κατὰ τὸ περὶ αὐτοῦ εἰρημένον· ὅστις ὡς νόμον ἔννομον τὴν παρανομίαν ἐκέκτητο, ἀκρασίᾳ δὲ τὴν πλεονεξίαν, ὡς κρᾶσιν, μᾶλλον δὲ κρίσιν, πεπληγμένην ἐν ἑαυτῷ κατεπήξατο. Οἱ μεγάλοι οὖν ἡμῶν Πατέρες Βασίλειός τε καὶ Γρηγόριος ἀνδρίζονται· τότε καὶ ὁ προλεχθεὶς Εὐστάθιος, καὶ Μελέτιος, καὶ Εὐσέβιος ὁ Σαμοσατῶν, ὡς ἔστι τοῦτο καταμαθεῖν παντὶ τῷ περὶ τούτων ἐθέλοντι ἀνερευνᾶν.

19. Exin postquam brevi tempore contra nos impius desævisset Julianus, a quo denuo Athanasius solum vertere jussus fuerat; magnus illico Jovianus in Perside imperator eligitur, vir orthodoxus, sapientia rectaque fide cumulate præditus. Sed, hem nostra peccata! hem justam delictorum nostrorum pœnam! Nondum ille ad metropolim pervenerat, post restitutum Athanasium, et postquam ex eo exquisiverat didicerat que rectam et sinceram Christianorum fidem; ante, ut dixi, quam urbem hanc intraret, transtulit illum ad se Deus, cum jam Bithyniæ fines attingeret. Moxque Valens regionum nostrarum dominus acclamatur, vir impius et exsecrabilis, Arianus atque blasphemus, C duobus morbis maxime implicitus, insatiabili cupiditate atque blasphemia, prout de ipso traditum est; qui scelus pro jure legitimo habebat, et avaritiam cum intemperantia, veluti concretionem quamdam, vel potius crisim, in semetipso commistam conseruerat. Ergo magni Patres nostri Basilius atque Gregorius fortiter se gesserunt. Tunc etiam retro memoratus Eustathius, atque Meletius, et Eusebius Samosatensis inclaruerunt, quam rem cognoscere scrutanti historias licebit.

κ'. Μάλιστα δὲ τῆς πόλεως ἡμῶν ταύτης ἐπινεμηθείσης τῆς ἀσεβοῦς αἱρέσεως, ἔτι δὲ καὶ τῆς Μακεδονίου κατὰ τοῦ ἁγίου Πνεύματος μιαρᾶς ὑλακῆς κατεσθιούσης αὐτὴν, οὓς καὶ Ἡμιαρείους, τοὺς ἐξ αὐτοῦ οἱ Πατέρες ὠνόμαζον. Πρεσβυτέρων τε ἐμπρησμοὶ τότε γινόμενοι δημόσιοι, καὶ παρθένων καθυβριζομένων ἐμφανῶς, εἰ μὴ τὸ τῆς αἱρέσεως δέξονται μίασμα, ἱερεῖς τε ἀπεμπολούμενοι, καὶ τὰ ἅγια βεβηλούμενα, καὶ κατὰ θυσιαστηρίων αἱρετικῶν ἐξορχουμένων (38). Ταῦτα δὲ ἡμῶν ἤδη τὰ νοσήματα, καὶ προφανέντα καὶ προκηρυχθέντα ὑπὸ τοῦ μεγάλου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ περιβοή-

20. Tunc nostram apprime urbem Ariana hæresis depopulabatur; atque insuper Macedonii contra sanctum Spiritum impurus latransque rictus D eam devorabat; quod genus ex eo prognatum Semiariani a Patribus dicebantur. Tunc publice presbyteri combusti sunt, tunc virginibus palam illusum nisi se hæresi pollui sinerent, tunc episcopi prædæ instar distracti sunt, et sancta profanata, et hæretici homines altaribus insultaverunt. Sed hæ nostræ demum miseriæ, quas magnus Pater noster Antonius palam prædixerat, finem nactæ sunt: etenim huc missus fuit magnus Pater noster Gregorius,

NOTÆ.

(34) Sic certe aiunt Socrates, Sozomenus, et Theodoretus. Id etiam innuit anonymus historicus apud nos Spicil. t. VI, p. 606.

(35) In prædicta oratione 21.

(36) Gregorius Naz. orat. 21.

(37) Idem in eadem oratione. Exstat autem Athanasii ad Jovianum de fide epistola.

(38) Legatur de his Nazianzeni oratio 33, secundum Maurinos, ubi hæ Arianorum crudelitates narrantur.

Digitized by Google

theologus qui de funda veræ doctrinæ Philistæos lapidibus perculit, eorumque facinora abrupit, cunctasque ecclesias ab Arianis retraxit, et a Pneumatomachis, et ab Apollinaristis, qui Dominicam humanitatem mente caruisse aiebant. Antea tamen captus fuerat Paulus confessor et patriarcha noster, et ob nobilem confessionem neci deditus cum notariis suis Marciano atque Martyrio.

A του (39) τὸ τέλος ἐλάμβανον· καὶ πέμπεται ἐνταῦθα Γρηγόριος ὁ μέγας Πατὴρ ἡμῶν καὶ Θεολόγος, καὶ τῇ σφενδόνῃ τῆς ἀληθοῦς ὁμολογίας λιθοβολεῖ τοὺς ἀλλοφύλους· καὶ διαλύει τὰς πράξεις αὐτῶν, καὶ πάσας τὰς ἐκκλησίας ἀναλαμβάνει ὑπὸ τῶν Ἀρειανῶν, καὶ Πνευματομάχων, καὶ Ἀπολιναριστῶν, τῶν ἄνουν λεγόντων τὸν Κυριακὸν ἄνθρωπον· κατασχεθέντος Παύλου τοῦ ὁμολογητοῦ καὶ πατριάρχου ἡμῶν, καὶ προαποκτανθέντος ὑπὲρ τῆς καλῆς ὁμολογίας (40), καὶ τῶν αὐτοῦ νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου.

21. Item Eunomius exortus est Cyzici episcopus, qui Patri dissimilem Filium esse docebat; quamobrem ipse ejusque consectanei Anomœi appellati sunt: contra quem Pater noster magnus Basilius, B veritatis præco, vocem extulit, atque hunc canem de Ecclesia expulit. Deinde cum Eunomius rursus aliud scriptum contra sanctum Patrem nostrum Basilium clam confecisset, tanquam si nuper ei tradita fuissent quæ Basilius in ipsum Eunomium conscripserat, cumque hunc stultum librum post Basilii obitum vulgasset, Gregorius Nyssenus ejusdem et fide et moribus frater, re comperta, statim ac illud opus Eunomii ad manus suas devenit, calamum contra ipsum strinxit, eumdemque supremo anathemate confodit, ut perspicue videre est in editis ab eo contra Eunomium libris.

κα'. Ἐπεφύη δὲ καὶ Εὐνόμιος ὁ Κυζίκου ἐπίσκοπος, ὅστις ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱὸν ἐδογμάτιζε, καὶ διὰ τοῦτο μᾶλλον Ἀνόμοιος αὐτὸς καὶ οἱ τῆς αὐτοῦ αἱρέσεως ἐπεκλήθησαν· κατ' αὐτοῦ Βασίλειος ὁ μέγας ἡμῶν Πατὴρ (41) ὁ τῆς ἀληθείας κήρυξ ἐβόησε, καὶ τὸν κύνα τοῦτον τῆς Ἐκκλησίας ἀπήλασε· πάλιν δὲ κρυπτῶς συντάξαντος αὐτοῦ κατ' αὐτοῦ τοῦ ἁγίου Πατρὸς ἡμῶν Βασιλείου, ὡς ἤδη ἐγχειρισθέντων αὐτῷ τῶν ἐξ αὐτοῦ πρὸς τὰ αὐτοῦ Εὐνομίου γεγονότα συγγράμματα, καὶ μετὰ τὸν αὐτοῦ Βασιλείου θάνατον ἐμφανίσαντος τὸ τοιοῦτον ἀμαθὲς ποίημα, ὁ ἀδελφὸς αὐτοῦ καὶ τῇ πίστει καὶ τοῖς τρόποις Γρηγόριος ὁ Νύσσης τοῦτο ἐπεγνωκὼς, ὡς εἰς χεῖρας αὐτοῦ τῶν συγγραμμάτων ἐληλυθότων ἀγωνίζεται κατ' αὐτοῦ, καὶ τελείῳ ἀναθέματι τοῦτον παραδίδωσιν, ὡς ἔστιν ἰδεῖν σαφῶς τοῦτο ἐκ τῶν πονηθέντων αὐτῷ πρὸς τοῦτο λόγων.

22. His hæreticis ad silentium redactis, et Macedonii adversus sanctum Spiritum rabie consumpta, C improbo etiam Valentis regno tandem finito, cum orthodoxus noster Theodosius regalem potestatem adeptus esset, congregata est in hac urbe episcoporum synodus, quos CL fuisse accepimus, ubi Spiritus sancti divinitas manifeste definita est, facto ad symbolum primæ synodi additamento credendi etiam *in Spiritum sanctum Dominum et vivificantem, qui ex Patre procedit, qui cum Patre et Filio simul adoratur et conglorificatur*, et reliqua. Confirmata igitur prima synodo, ejus decretis egregie sancitis, ejusdemque symbolo concinnius tradito, discesserunt ab hac a Deo custodita civitate Patres, dicto prius anathemate Ario, Eunomio, Eudoxio, horumque consectaneis. In horum Patrum cœtu, præter prædictos magnum Meletium, Gregorium Nyssenum, et Gregorium Theolo- D gum, erant etiam Cœlestinus Romæ, Timotheus Alexandriæ, Cyrillus Hierosolymorum, et alii qui cum his convenerant juxta prædictum numerum. Mortuo interim sancto Meletio, et Ægyptiis episcopis prope rebellantibus, quasi magnus Pater noster Gregorius præter illorum sententiam sedem hanc Constantinopoleos obtinuisset, qui tamen hæreticos fugaverat, ex iisque Ecclesias prope dixerim omnes

κβ'. Τούτων δὲ τέως κατασιγασθέντων, τῆς τοῦ Μακεδονίου κατὰ τοῦ ἁγίου Πνεύματος λύσσης ἐπινεμομένης, τῆς πονηρᾶς βασιλείας ἐκ ποδῶν γεγενημένης, καὶ Θεοδοσίου τοῦ ὀρθοδόξου ἡμῶν βασιλέως τὸ βασίλειον ἀναδησαμένου κράτος, συγκροτεῖται τῶν ἱερῶν ἐπισκόπων ἐνταῦθα σύνοδος· ρν' τούτους ἀριθμεῖν παρειλήφαμεν· καὶ τὴν τοῦ ἁγίου Πνεύματος θεότητα τρανῶς ἐκδιδάσκουσα, προσθέντες τῇ ἐκφωνήσει τῆς πρώτης συνόδου, πιστεύειν καὶ *εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον*, καὶ τὰ λοιπά. Κυρώσαντες δὲ τὴν πρώτην σύνοδον, καὶ τὰ αὐτῆς καλῶς ὁρίσαντες, καὶ εὐσχημοτέρως παραδεδωκότες τὸ σύμβολον ταύτης, ἐξεδήμουν τῆς θεοφυλάκτου ἡμῶν πόλεως, ἀναθεματίσαντες Ἄρειον, Εὐνόμιον, Εὐδόξιαν, καὶ τοὺς τούτων σύμφρονας· ἐν αὐτοῖς ὑπῆρχον οἱ προειρημένοι, Μελέτιος ὁ μέγας, Γρηγόριος ὁ Νύσσης, Γρηγόριος ὁ Θεολόγος, Κελεστινὸς ὁ Ῥώμης (42), Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, καὶ οἱ συνελθόντες αὐτοῖς ὅσοι τὸν ἀριθμὸν συνεπέραινον τοῦτον. Ἐνταῦθα δὲ τοῦ ἁγίου Μελετίου τελευτήσαντος, καὶ τῶν Ἀλεξανδρείας ἐπισκόπων μικρὸν στασιαζόντων, ὡς τοῦ μεγάλου ἡμῶν Πατρὸς Γρη-

NOTÆ.

(39) Hoc magni Antonii vaticinium narrat sanctus Athanasius in ejus Vita, cap. 82.

(40) Athanasius De fuga sua cap. 4, præter historicos Eccl. veteres. De Marciano autem atque Martyrio agit Baronius in *Adn. ad Martyrologium.* die 25 Octobris.

(41) Exstant sancti Basilii contra Eunomium libri; itemque sancti Gregorii Nysseni, de quibus infra.

(42) Si recte narrat Germanus, dicendum hic de Cœlestino, quod superius, cap. 13, diximus de Julio.

Digitized by Google

γορίου παρὰ γνώμην αὐτῶν τῷ δοκεῖν τὸν ἐνταῦθα θρόνον κατεσχηκότος αὐτοῦ, καίτοι γε αὐτοῦ τοὺς αἱρετικοὺς ἐκδιώξαντος, κἀκεῖθεν, ὡς εἰπεῖν, ἀναλαβόντος πάσας τὰς ἐκκλησίας, ὡς εἶδε τούτους θορυβοῦντας, τὸν συντακτήριον αὐτοῖς προσφωνήσας λόγον (43), καὶ βασιλέα καθικετεύσας ἀπολυθῆναι αὐτὸν, ἐκδημεῖ τῶν ἐνταῦθα καὶ εἰς τὴν ἰδίαν παραγίνεται χώραν, τὴν ἡσυχίαν ἀσπαζόμενος.

A recuperaverat, habita ad episcopos in supremo vale oratione, atque imperatorem precatus ut se dimitteret, migravit hinc, et in suam provinciam quietis studio se recepit.

κγ'. Κἀκεῖσε Ἀπολιναρίου τοῦ Σύρου σπέρματα καὶ μαθητὰς εὑρηκὼς, ἐνίσταται κατ' αὐτῶν, καὶ γραφεῖσας δυο κατ' αὐτοῦ ἐπιστολὰς πρὸς Κληδόνιον, καὶ κατακρίνει τοῦτον καὶ ἀναθεματίζει, καὶ τελείως τῆς ὀρθοδόξων ἐξελαύνει Ἐκκλησίας. Αὐτὸς γὰρ ὁ Ἀπολινάριος ἔλεγεν, ὥσπερ ἔφημεν, καὶ ἄνουν εἶναι τὸν ἄνθρωπον ὃν ἀνείληφεν ὁ Θεὸς Λόγος, ἤγουν μὴ ἐνυπάρχειν ψυχὴν λογικήν τε καὶ νοερὰν τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ· ἀλλ' ἀντὶ ψυχῆς τὴν θεότητα λογίζεσθαι ἐνοικεῖν ἐν τῇ φύσει τῆς ἀνθρωπότητος, μᾶλλον δὲ ἀντὶ τοῦ νοός· τοῦτο γὰρ ὕστερον ἐκύρωσεν, ἀντὶ τῆς ψυχῆς. Ἔλεγε δὲ καὶ τὴν σάρκα ἄνωθεν κεκομίσθαι αὐτὸν, καὶ ὡς διὰ σωλῆνος διελθεῖν τῆς Παρθένου, καὶ ἑτερά τινα προσετίθει φλυαρῶν ἄξια τῆς αὐτοῦ παροινίας. Ὑπάρχων δὲ πολύλογος ὁ ἀνὴρ, καὶ μάλιστα μέτρων ἐπιστήμῃ καὶ ἀριθμῶν θέσει (44), μὴ κατὰ τάξιν μάλιστα ἐπιβὰς αὐτῇ (45), ἀλλ' ὑπὲρ ὃ ἦν ἑαυτὸν λογισάμενος, τινὰς Γραφικὰς βίβλους μεταποιήσας πρὸς τὸ ἔμμετρον, πολλοὺς ἐπειρᾶτο πρὸς τὴν οἰκείαν κατασύρειν παρανομίαν. Τότε δὲ αὐτοῦ ἀπορριφέντος, μικρόν πως ἡ Ἐκκλησία ἡμῶν ἀναπνεύσασα, οὐ μετ' οὐ πολὺ αἱ αὐταὶ, μᾶλλον δὲ καὶ χείρους, ἐπεχειροῦντο ταραχαὶ, ἔτι μὴ τῆς προτέρας τέως ἐπιλησθείσης αὐτῆς ἀνάγκης, καὶ τῶν προλεχθέντων πολέμων καὶ διωγμῶν.

23. Illic tamen Apollinaris Syri semina ac discipulos nactus, cœpit eos oppugnare, scriptis duabus ad Cledonium epistolis, Apollinaremque damnavit atque anathemate perculit, et ab orthodoxorum Ecclesia prorsus expulit. Apollinaris enim aiebat, ut jam diximus, mente caruisse humanitatem quam Deus Verbum suscepit, videlicet animam rationalem et intellectualem in Christi humanitate nequaquam fuisse, verum loco animæ divinitatem reputari in humana natura habitantem, imo vero loco mentis; mentem enim postea dixit pro anima. Aiebat insuper Verbum carnem secum de cœlo attulisse, et per Virginem tanquam ea fistula esset transisse: atque talia inepta quædam et insaniæ ejus digna effutiebat. Vir porro facundus, præcipueque scientia metrica pollens, et pangendis versibus aptus, quanquam haud legitima reapse regula poeticen occupaverat, sed sibi plus justo tribuebat, nonnullis ex sacris Libris ad metricam rationem translatis, dabat operam ut legentium multitudinem in suos errores pertraheret. Attamen, Apollinari quoque demum prostrato, Ecclesia nostra parumper respirabat. Sed eam nihilominus paulo post pares, imo etiam pejores, exceperunt perturbationes, cum nondum prioris angustiæ prædictorumque bellorum et persecutionum esset oblita.

κδ'. Ἐνταῦθα γὰρ ἐξ ἑτέρας τινὸς χώρας, ὡς φασί τινες τῆς Ἀντιοχείας (46), ἀγαγόντες Νεστόριόν τινα, ἄνδρα δυσσεβῆ καὶ κακότροπον, προχειρίζονται ἱερέα, τοῦ θρόνου τότε χηρεύοντος· οὐ ποιμένα λογικῶν προβάτων, λύκον δὲ μᾶλλον κατεσθίοντα τὸ ποίμνιον, καὶ εἰς ἀπωλείας πυθμένα κατάγοντα. Ἰουδαϊκὸν γὰρ φρόνημα ἀναδεξάμενος, οὐ τὸν Λόγον σάρκα ἀτρέπτως γεγενῆσθαι ἔλεγεν, ἀλλ' εἴς τινα ἄνθρωπον ἐνοικῆσαι ὡς ἕνα τῶν προφητῶν, καὶ ἰδιοποιεῖσθαι τοῦτον ἐξαιρέτῳ ἀγαπήσει· καὶ εἶναι ἄλλον μὲν Υἱὸν Λόγον, ἄλλον δὲ λέγεσθαι μὲν, μὴ εἶναι δὲ γνήσιον, θετὸν δὲ Υἱὸν τὸν λεγόμενον Ἰησοῦν Χριστόν· ὡς ἐντεῦθεν δύο υἱοὺς καὶ μὴ ἕνα λέγεσθαι εἶναι. Ἐξήγειρεν οὖν ὁ Θεὸς κατ' αὐτοῦ τὸ πνεῦμα Κυρίλλου, τοῦ γεγονότος πατριάρχου Ἀλεξανδρείας· καὶ πρῶτον μὲν γράφει πρὸς αὐτὸν Νεστόριον ἐπιδιορθούμενος αὐτὸν, καὶ πρὸς τὴν ὀρθὴν αὐτὸν ἐμβιβάζων πίστιν, καὶ Θεοτόκον τὴν Παρθένον ὀνομάσαι παρακαλῶν. Ὡς δὲ οὐκ ἐνεδίδου, ἕτερα

24. Ecce enim ex alia nescio qua regione (nonnulli dicunt ex urbe Antiochia) Nestorius quidam, vir irreligiosus et male moratus, huc adductus est, et sedi tunc vacuæ impositus episcopus, reapse autem nequaquam pastor rationalium ovium, sed lupus potius devorando gregi idoneus et in barathrum perditionis faciendo. Nam Judaicum dogma amplexus, negabat Verbum factum esse carnem sine naturæ, ut nos dicimus, conversione; sed in quodam tantum homine, veluti in propheta aliquo inhabitasse dicebat, atque hunc hominem peculiari sibi dilectione proprium fecisse: cæteroqui alterum ex his Filium, Verbum esse; alterum vero dici quidem, at non esse vere Filium, sed adoptivum, eum scilicet quem dicimus Jesum Christum; consequenterque duos filios, non unum, esse affirmabat. Suscitavit igitur contra hunc Deus Cyrilli patriarchæ Alexandrini spiritum, qui primo ad ipsum Nestorium scripsit, emendationem suadens atque

NOTÆ.

(43) Est hæc oratio 32 apud Billium, 42 apud Maurinos.

(44) Intelligo hic *numerum* sive *harmoniam poeticam*. Infra tamen cap. 33, interpretor *scientiam arithmeticam*, ubi de Philopono arithmetico, cujusmodi non constat fuisse Apollinarem. Cæteroqui videant peritiores.

(45) Apollinaris psalterium poeticum pedibus trahit Gregorius Naz. epist. 1. Ad Cledon. ic. fine.

(46) Socrates lib. VII, 29.

Digitized by Google

ad rectam fidem regressum, atque ut Virginem Deiparæ nomine dignaretur adhortans. Cum autem ille minime cederet, alia rursus ad eum scripta direxit, duodecim capitulis additis quæ anathemata continebant ita ut qui his capitulis nequaquam assentiretur, anathemati obnoxius fieret.

A πάλιν κατέπεμψε γράμματα, μετὰ καὶ δώδεκα κεφαλαίων ἐχόντων καὶ ἀνάθεμα· ὥστε τὸν μὴ οὕτω φρονοῦντα, ἀναθεματίζεσθαι.

25. His quoque contradicente Nestorio, synodus Ephesi indicta est, illucque Nestorius mittitur, deducente eum Constantinopolitano præfecto, multisque aliis custodibus eumdem synodo exhibituris. Theodosius Junior tunc imperii habenas moderabatur. Præerant autem huic, quæ dicitur tertia synodus, Cyrillus Alexandriæ, Cœlestinus Romæ, Juvenalis Hierosolymorum, et Acacius Melitinæ. Deponitur ergo Nestorius, priores autem synodi B duæ confirmantur; et unum confitentur perfectum Filium in divinitate, et perfectum item in humanitate; unum, inquam, non duos filios, uti manifeste declarat edita ab iis fidei inspirata definitio. Atque his proclamatis, dimissi sunt e synodo in suum quisque locum episcopi.

κε'. Ἀντιλέγοντος οὲ αὐτοῦ καὶ πρὸς ταῦτα, σύνοδος ἐν Ἐφέσῳ συγκροτεῖται, καὶ παραπέμπεται ἐκεῖσε Νεστόριος μετὰ τοῦ ἐπάρχου τῆς πόλεως καὶ ἑτέρων πολλῶν περιεχόντων αὐτὸν, καὶ πρὸς τὴν σύνοδον διαβιβαζόντων. Θεοδόσιος ἦν ὁ Νέος τὰς ἡνίας τῆς βασιλείας ἐγκεχειρισμένος τότε· προήδρευε δὲ ἐν αὐτῇ τῇ λεγομένῃ τρίτῃ συνόδῳ, Κύριλλος μὲν Ἀλεξανδρείας (47), Κελεστινὸς ὁ Ῥώμης, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ Ἀκάκιος ὁ Μελετίνης. Καὶ καθαιρεῖται μὲν Νεστόριος, κυροῦνται δὲ ἐν αὐτῇ καὶ αἱ προειρημέναι δύο σύνοδοι, τέλειόν τε τὸν αὐτὸν ἕνα Υἱὸν ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι ὁμολογοῦσιν, ἕνα καὶ οὐ δύο υἱούς· ὡς δηλοῦται σαφῶς ὁ παρ' αὐτῶν ἐκφωνηθεὶς τῆς εὐσεβείας θεόπνευστος ὅρος. Καὶ οὕτως ἡ σύνοδος ταῦτα ἐκφωνήσασα, ἀπέλυσεν ἕκαστον τῶν ἐπισκόπων μετασκηνῶσαι εἰς τὸν ἴδιον τόπον.

26. Sed enim Johannes Antiochenus et Theodoretus altercationem habuerunt cum beato Cyrillo, eo prætextu quod ipsis absentibus definitionem in synodo faciendam curasset, cum contra magnus Pater noster Cyrillus multis diebus illos exspectasset. Sed ii reapse simultatem adversus eum iniquam fovebant: donec et hi discordibus animis ad C suas urbes remigrarunt, multa interim commoventes ac tumultuantes, adeo ut Theodoretus episcopus contra duodecim sancti Cyrilli Capitula, totidem scripserit: adversus quæ denuo Cyrillus apologiam pro se composuit, et sua rite declaravit explicavitque Capitula. Jam cum Theodosius imperator, his cognitis, tum aliis episcopis, tum præsertim sancto Cyrillo irasceretur, missus est huc Acacius Melitinensis, vir vere religiosus et ad omnem pietatem tranquillitatemque compositus, qui synodi acta imperatori patefecit, ejusque iram compescuit. Definitiones itaque approbatæ fuerunt, et Cyrillus patriarcha ad urbem suam navigavit.

κς'. Ἰωάννου δὲ τοῦ Ἀντιοχείας καὶ Θεοδωρίτου ἀνθισταμένων τῷ μακαρίῳ Κυρίλλῳ κατὰ πρόφασιν τοῦ δοκεῖν, χωρὶς αὐτῶν ἐκφωνηθῆναι τὸν ὅρον ἐν τῇ συνόδῳ, καίτοι γε τοῦ μεγάλου Πατρὸς ἡμῶν Κυρίλλου ἐπὶ πολλὰς ἡμέρας ἐκδεξαμένου αὐτοὺς, τῇ δὲ ἀληθείᾳ ἐριστικῶς πρὸς αὐτὸν καὶ οὐκ ὀρθῶς διακειμένων αὐτῶν, μετέβαινον καὶ αὐτοὶ ἀσυμφώνως πρὸς τὰς ἰδίας πόλεις, πολλὰ μεταξὺ θορυβήσαντες καὶ κινήσαντες· ὡς καὶ Θεοδώριτον ἐπίσκοπον κατὰ τῶν δώδεκα Κεφαλαίων τοῦ ἁγίου Κυρίλλου ἕτερα δώδεκα συντάξαι Κεφάλαια, καὶ πάλιν αὐτὸν Κύριλλον πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ τὰ ἴδια δεόντως ἑρμηνεῦσαι, καὶ ἐπιλῦσαι Κεφάλαια. Θεοδοσίου δὲ τοῦ βασιλέως, ταῦτα ἐπεγνωκότος, καὶ κινηθέντος καὶ καθ' ἑτέρων μὲν, μάλιστα δὲ κατὰ Κυρίλλου τοῦ ἐν ἁγίοις, πέμπεται ἐνταῦθα Ἀκάκιος ὁ Μελιτίνης (48), ἀνὴρ θεοσεβὴς, καὶ εἰς ἄκρον ἐλληλακὼς εὐταξίας καὶ εὐλαβείας, καὶ τὰ τῆς συνόδου ἐμφανίζει τῷ βασιλεῖ, καὶ τὸν τούτου καταστέλλει θυμόν. Καὶ τὰ τῆς ἐκφωνήσεως τὸ κῦρος λαμβάνουσι, καὶ Κύριλλος πατριάρχης εἰς τὴν ἰδίαν ἀπαίρει πόλιν.

27. His ita peractis, post aliquantam quietem, ecce oritur Eutyches quidam monachus et archimandrita, haud exiguam populi partem post se trahens, Nestorianum dogma confirmans et inepta alia confingens. Eutychis hæresim Eusebius Dory-

D κζ'. Οὕτως τούτων πραχθέντων, καὶ τέως μικρᾶς ἀνέσεως γενομένης, ἐπιφύεται Εὐτυχής τις λεγόμενος μοναχὸς καὶ ἀρχιμανδρίτης, καὶ ἀποσπᾷ ὀπίσω αὐτοῦ οὐκ ὀλίγον τι μέρος λαοῦ, κυρῶν τὰ τοῦ Νεστορίου (49), καὶ ἕτερά τινα φλυαρῶν. Εὐσέβιος δὲ ὁ

NOTÆ.

(47) Respicit ordinem nominum subscriptorum Germanus, quorum primum reapse fuit Cyrilli, absente Cœlestino (Labb. *Concil.* t. III, p. 446. Sed quænam est ibi Cyrilli nuncupatio? Κυρίλλου Ἀλεξανδρείας, διέποντος καὶ τὸν τόπον τοῦ ἁγ. καὶ ὁσ. ἀρχιεπ. τῆς Ῥώμης Ἐκκλ. Κελεστίνου· *Cyrilli Alex. locum tenentis etiam pro sancto et beato archiepiscopo Romanæ Ecclesiæ Cœlestino.* Quod legati munus Cœlestini nutu Cyrillum gessisse, aiunt etiam concilii Patres in epistola ad imperatores, p. 632.

(48) Acacium hunc Melitinensem Nestorii impiam doctrinam Ephesinæ synodo patefecisse, narrat Evagrius, *Hist. eccl.* lib. I, 4.

(49) Quanquam vulgo existimatur Eutychiana hæresis contraria prorsus Nestorianæ, reapse tamen cum Nestorio congruebat dupliciter Eutyches. 1. Quod ante unitionem duas in Christo admittebat naturas; ergo aliquanto tempore separatum ab homine Deum, æque ac Nestorius, credebat. 2. Quod beatam Mariam renuebat appellare Θεοτόκον. Sic aiunt de Eutyche pontifices Romani Gelasius I et Joannes II apud Petav. *De incarn.* lib. I, cap. 14.

Digitized by Google

τοῦ Δορυλαίου ἐμφανίζει τὴν ἀσέβειαν αὐτοῦ ἐπὶ Φλαβιανοῦ τοῦ ἐν ἁγίοις τῶν ἐνταῦθα γεγονότος πατριάρχου, Κυρίλλου ἤδη ἐκποδὼν τοῦ παρόντος βίου γεγενημένου. Καὶ παραγίνεται μὲν Εὐτυχὴς ἐν δημοσίῳ Σεκρέτῳ, τοῦ ἐν ἁγίοις Φλαβιανοῦ προκαθημένου, καὶ Βασιλείου τοῦ Σελευκείας, Εὐσεβίου κατ' αὐτοῦ ἑστῶτος, καὶ προφέροντος τὰ ἀκουσθέντα αὐτῷ περὶ αὐτοῦ. Ἀρνεῖται τοίνυν ὁ Εὐτυχὴς, καὶ συνίστανται τὰ ἐνταῦθα πεπραγμένα· καὶ τέως ὑπέξεισιν αὐτὸς τοῦ δι' αὐτὸν συγκροτηθέντος εὐσεβοῦς συνεδρίου. Μετ' ὀλίγον δὲ πάλιν διὰ βασιλικῆς ἰσχύσαντος χειρὸς, ἑτέρα σύνοδος ἐν Ἐφέσῳ λῃστρική τις καὶ οὐχ ὅσια συνάγεται, ἐκεῖσε παραπεμφθέντος καὶ Φλαβιανοῦ τοῦ ἐν ἁγίοις, ὅστις μεθ' ἑαυτοῦ τὰ ἐνταῦθα πεπραγμένα καὶ τὰ Εὐτυχοῦς ἐπὶ χεῖρας κατέχων, ἐν τῇ συνόδῳ παρῆν· ἐδίδοτο δὲ ἡ πᾶσα ἐξουσία Διοσκόρῳ τῷ Ἀλεξανδρείας τότε πατριάρχῃ, καὶ αὐτῷ Εὐτυχεῖ· καὶ φονεύεται μὲν Φλαβιανὸς ὁ ἅγιος ἐν αὐτῇ· ἀνατρέπεται δὲ ἡ ἐν Ἐφέσῳ πρώτη σύνοδος, καὶ ὅρος ἔγγραφος ἐξυφαίνετο, ὑπογραψάντων βίᾳ φονικῇ τῶν ἐπισκόπων, καὶ αὐτοῦ Βασιλείου τοῦ Σελευκείας. Ἦν οὖν πάλιν κλόνος οὐχ ὁ τυχὼν καὶ θόρυβος μέγας κατὰ πάσης τῆς οἰκουμένης, τῶν τοῦ Νεστορίου δημοσιευομένων δογμάτων, καὶ ἀπεριπαλύπτως περιφερομένων· ἤδη καὶ τοῦ μεγάλου Προτερίου ἱερέως ἐν Ἀνατολῇ φονευθέντος, καὶ ἑτέρων πλείστων ἀσεβῶς τολμηθέντων. Ἐν Ῥώμῃ δὲ Λέων ὁ μέγας προεδρεύων ἱερεὺς, παντοίως ἠγωνίζετο γράφων πρὸς ἅπαντας, καὶ πρὸς αὐτὸν τὸν ἐν ἁγίοις Φλαβιανὸν ἔτι τότε περιόντα, ὅτε τὰ Εὐτυχοῦς ἐτολμᾶτο· ἠνύετο δὲ οὐδὲν, τῆς αἱρετικῆς ἐπικρατούσης ἀνάγκης.

A læi episcopus sancto Flaviano patriarchæ tunc nostro denuntiavit, Cyrillo jam mortuo. Venit igitur Eutyches in publicam Secreti aulam, ubi præsidebat sanctus Flavianus cum Basilio Seleuciensi, accusante Eusebio, et audita de eo referente. Sed negavit Eutyches, et tunc quidem negotium intermissum est, atque ita religiosi synedrii judicium reus effugit. Paulo post tamen auctoritate regia nova synodus, haud hercle sancta sed latrocinalis, Ephesi congregata est, misso illuc etiam sancto Flaviano, qui acta Constantinopolitana contra Eutychem secum ferens synodo interfuit. Verum omnis synodi regendæ potestas ad Dioscorum Alexandriæ tunc patriarcham et ad Eutychem recidit. Ibi sanctus Flavianus interimitur, et prior B Ephesi synodus evertitur, novaque conditur definitio, subscribentibus metu necis episcopis et ipso Basilio Seleuciæ. Erat ergo ingens denuo motus atque tumultus in orbe universo, divulgatis Nestorii dogmatibus, et palam circumlatis, magno quoque Proterio episcopo in Oriente interfecto, non sine aliis infandis ausibus. Romæ utique magnus Leo pontifex sedens, totis viribus adversabatur, directis quaquaversus litteris, nec non ad ipsum Flavianum tunc adhuc superstitem, quo tempore Eutychis temeritas sese efferebat; sed hæc hilum non proficiebant, hæretica prævalente potentia.

κη'. Μετ' οὐ πολὺ δὲ θεόθεν Μαρκιανὸς ὁ βασιλεὺς C ἀνίσταται, ἀνὴρ ἔνθεος, καὶ εἰδὼς μελετῆσαι τὸ εὔτακτον, καὶ πρὸς τοῦτο ἐξ ἀταξίας συνελάσαι τὰ πράγματα· συνάγει τοίνυν ἐν Χαλκηδόνι τῇ πλησίον ἡμῶν πόλει τοὺς ἱερεῖς, χλ' Πατέρων συναθροίσας ὁμήγυριν, καὶ παρῆσαν ἀπὸ Ῥώμης τινὲς ἐκ προσώπου τοῦ ἐν ἁγίοις Λέοντος, μετὰ γραμμάτων τὸν τόπον αὐτοῦ ἐκπληροῦντες· Ἀνατόλιος ἦν ὁ Κωνσταντινουπόλεως προεδρεύων (50), Ἰουβενάλιος Ἱεροσολύμων, Εὐσέβιος ὁ Δορυλαίου, Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ Θεσσαλονίκης Ἀναστάσιος. Ἐπὶ πολὺ δὲ ἀναζητουμένων ἐν αὐτῇ διαφόρων κεφαλαίων, κατακρίνεται μὲν Διόσκορος, ἐκεῖσε παρὼν καὶ πρὸς ἐξορίαν ἐκπέμπεται· ἀναθεματίζεται δὲ καὶ Εὐτυχὴς καὶ Νεστόριος πάλιν. Πολλὰ δὲ κατὰ Θεοδωρίτου τινὲς τῶν τῆς ἐναντίας μοίρας κινήσαντες, μεταγνόντα τοῦτον ἡ σύνοδος προσεδέχετο. Ἔλεγον γὰρ Νεστορίῳ μᾶλλον συναίρειν αὐτὸν, διὰ τὸ κατὰ ἀλήθειαν γεγραφηκέναι αὐτὸν τότε πρὸς αὐτὸν Νεστόριον· εἰ καὶ τὰ μάλιστα πάλιν φαίνεται ὁ αὐτὸς τὸν Τόμον τοῦ ἁγίου Κυρίλλου προσδεξάμενος, καὶ τὰ δόγματα αὐτου κυρῶν, καὶ Νεστόριον καταμεμφόμενος. Ὅμως καὶ αὐτὸν Θεοδώριτον καὶ Βασίλειον τὸν Σελευκείας συναρίθμιον αὐτῆς ἡ σύνοδος ἐποιήσατο, ἐν αὐτῇ καὶ αὐτῶν ὑπογραψάντων, καὶ D

28. Cæterum haud multo post Marcianus divino favore imperator exstitit, vir numine afflatus, ordini tenendo idoneus, turbatisque rebus in tranquillitatem restituendis. Convocavit enim Chalcedone episcopos, in urbe nobis proxima, Patrum scilicet DCXXX cœtum. Aderant quoque ex urbe Roma nonnulli a sancto Leone missi cum litteris, locum ejus tenentes, præsidebantque Anatolius Constantinopolitanus, Juvenalis Hierosolymorum, Eusebius Dorylæi, Maximus Antiochiæ, Anastasius Thessalonicæ. Qua in synodo post diuturnas de variis capitulis disceptationes, damnatur Dioscorus ibi præsens, et in exsilium pellitur, atque anathema rursus Eutychi ac Nestorio dicitur. Cumque multa Theodoreto nonnulli adversarii objicerent, pœnitentem synodus recepit. Quippe illi aiebant favere eum Nestorio, ad quem reapse antea scripserat; sed tamen admisisse postea sancti Cyrilli Tomum constat, in ejusque sententiam pedibus ivisse, Nestorio improbato. Simul igitur et ipsum Theodoretum et Basilium Seleuciensem in suum catalogum recepit synodus, cui et ipsi subscripserunt, atque in numero DCXXX Patrum fuerunt. Hinc latrocinali synodo prorsus deleta, et publico anathemati supposita, editur Chalcedone

NOTÆ.

(50) *Προεδρεύων*. Respicit hic quoque Germanus ad ordinem subscriptionum (uti leguntur apud Labbe *Concil.* t. IV, p. 798) ubi primum est Anatolii nomen. Et quidem Romani legati adeo noluerunt subscribere, propter canonem 28, ut horum unus Lucentius palam reclamaverit, p. 810.

Digitized by Google

fidei definitio tribus prioribus synodis prorsus consona, videlicet unum esse Dominum nostrum Jesum Christum, verum Deum nostrum, perfectum in divinitate, perfectum pariter in humanitate, Deum verum et hominem verum, in duabus naturis agnitum, inconfuse, indivise, inseparabiliter; unum eumdemque confitendum Filium ante incarnationem et item post incarnationem, sublata tamen nullatenus differentia naturarum propter unitionem, imo potius incolumi, atque utraque in unam personam unamque hypostasim concurrente natura; nequaquam vero in duas personas neque in duos filios Christum esse partitum vel divisum. His Patres definitis ac proclamatis, multa bona Marciano imperatori imprecati, in suam quisque civitatem reversi sunt. Cæterum illic multam cædem a navali Alexandrinorum turma factam narrant, dum episcopus illorum Dioscorus in exsilium pelleretur.

A τοῦ ἀριθμοῦ τῶν χλ' ὑπαρχόντων Πατέρων· τῆς ληστρικῆς συνόδου παντελῶς ἀνατραπείσης, καὶ δημοσίως ἀναθεματισθείσης· ἐκφωνεῖται δὲ ὅρος ἐν αὐτῇ, καὶ κατὰ τὴν ἀκολουθίαν τῶν προλεχθέντων τριῶν συνόδων, ἕνα καὶ αὐτοὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἀληθινὸν ἡμῶν ὁρίζουσιν, ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τέλειον, Θεὸν ἀληθινὸν καὶ ἄνθρωπον ἀληθινὸν, ἐν δύο φύσεσι γνωριζόμενον, ἀσυγχύτως, ἀδιαιρέτως, ἀχωρίστως· ἕνα τὸν αὐτὸν ὁμολογεῖν πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν ἐνανθρώπησιν διδάσκουσιν Υἱὸν, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης, διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα καὶ δύο υἱοὺς μεριζόμενον ἢ διαιρούμενον. Τοῦτά τε ἐκ-
B φωνήσαντες καὶ τυπώσαντες, καὶ τοῦ βασιλέως Μαρκιανοῦ πλεῖστα ἐπευξάμενοι καὶ ἀνευφημήσαντες, ἀπέτρεχεν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. Πλὴν ὅτι κἀκεῖσε πολὺς ἐγεγόνει φόνος, ὡς λέγουσιν ἐκ τοῦ ναυτικοῦ Ἀλεξανδρείας (51), τοῦ ἱερέως αὐτῶν Διοσκόρου ἐκποδὼν γινομένου καὶ πρὸς τὴν ἐξορίαν ἀπαγομένου.

29. Adhuc vero episcopis in Chalcedonensi concilio sedentibus, Palæstini nonnulli monachi, ducem incepti sui Theodosium habentes, Ecclesiæ corpus dilaniare cœperunt, ejusque integram adhuc vestem discindere; synodi nimirum episcopis anathema dicere, atque alios pro eis ordinandos curare, synodum clamitantes Nestorii dogma sanxisse, ansam inde capientes quod naturarum dualitatem edixisset, deque ea re tragœdias magnas agebant. Universam itaque Palæstinam concursabant, ipsam-
C que Ægyptum ac deserti monasteria. Verum illic Pater noster illustris Euthymius, omnium ore celebratus fulgebat, qui unus monachos suos ab illa prava sententia deterruit: etenim recepta quam synodus fecerat definitione, in eadem suos propria auctoritate continuit; quibus persuadere satagebat, justum revera a synodo legitimumque decretum fuisse conditum. Itaque multorum mentem convertit, atque ut ita crederent impetravit.

30. Sed quia nihilominus ea perversitas grassabatur, roborante eam Eudociæ imperatricis manu, quæ per id tempus sanctis in locis versabatur, ipse quoque Euthymius vale dicens, suis monachis ante præmonitis ne Theodosii hæresi communicarent, secessit in eremum. Paulo vero post, cum præ-
D dictæ Eudociæ manifestatam sibi a Deo futuram ejus conversionem indicasset, cumque ipsa angeretur ob calamitatem quæ Romæ acciderat, ubi cognati ejus captivitatem incurrerant, idque factum Euthymius diceret Deo sic permittente ob ejus consensum in hæresim, illa demum ab errore resipuit, et ad communionem Ecclesiæ rediens, Theodosii dogmata detestata est, qui unam Verbi

κθ'. Ἔτι δὲ τῶν ἱερέων ἐν τῇ συνόδῳ διατριβόντων, τινὲς τῶν ἀπὸ Παλαιστίνης μοναχῶν, ἔχοντες ἐξάρχοντα αὐτῶν τῆς ἀρχῆς Θεοδόσιον, ἤρξαντο διασπᾷν τὸ σῶμα τῆς Ἐκκλησίας, καὶ μερίζειν τὸν ἄλυτον αὐτῆς χιτῶνα, καὶ τοὺς ἐν τῇ συνόδῳ ἐπισκόπους ἀναθεματίζειν, καὶ ἑτέρους ἀντ' αὐτῶν ἐπισκόπους χειροτονεῖν, φημίζοντες ὡς ἡ σύνοδος τὸ Νεστορίου δόγμα ἐκύρου, προφάσει τοῦ δοκεῖν τῆς δυϊκῆς φωνῆς τῶν φύσεων τοῦτο τερατευομένων αὐτῶν. Κατέδραμον οὖν πᾶσαν τὴν Παλαιστίνην, ἔτι δὲ καὶ τὴν Αἴγυπτον, καὶ τὰ ἐν τῇ ἐρήμῳ μοναστήρια. Διέλαμπε δὲ ἐκεῖσε ὁ ἐπιφανὴς ἡμῶν Πατὴρ Εὐθύμιος ὁ παμβόητος (52), ὃς μόνος μετὰ τῶν ἰδίων μοναχῶν ἀπέστη τῆς κακοδοξίας αὐτῶν· δεξάμενος δὲ καὶ τὸν ἐκφωνηθέντα ὅρον ἐν τῇ συνόδῳ, συνεῖχεν αὐτοὺς ἐξ αὐτοῦ, καὶ πείθειν ἐπεχείρει ὡς ἄρα ἡ σύνοδος δικαίαν καὶ ἔννομον ἐποιήσατο τὴν ἀπόφασιν, καὶ πολλοὺς μᾶλλον μετήγαγεν, ἀνέπεισέ τε οὕτω φρονεῖν.

λ'. Ὡς δὲ τὸ κακὸν ἐπενέμετο, κρατυνόμενον καὶ τῇ τῆς βασιλίδος Εὐδοκίας χειρὶ, ἐκεῖσε περὶ τοὺς ἁγίους τόπους διατριβούσης αὐτῆς (53), συνταξάμενος καὶ αὐτὸς, καὶ παραγγείλας τοὺς ἑαυτοῦ μοναχοὺς μὴ κοινωνῆσαι τῇ κακοδοξίᾳ Θεοδοσίου, ἀπεδήμησεν ἐν τῇ ἐρήμῳ. Μετ' οὐ πολὺ δὲ γνωρίσαντος αὐτοῦ τῇ προλεχθείσῃ Εὐδοκίᾳ τὴν φανερωθεῖσαν αὐτῷ ἐκ Θεοῦ μετάστασιν αὐτῆς, ἐκείνης τε ἀνιωμένης διὰ τὰ συμβάντα αὐτῇ ἐν Ῥώμῃ δεινὰ, τῶν αὐτῆς συγγενῶν ἐκεῖσε αἰχμαλωτισθέντων, ταῦτα λέγοντος αὐτοῦ διὰ τὴν τῆς αἱρέσεως κοινωνίαν, κατὰ Θεοῦ συγχώρησιν, ἐπενεχθῆναι αὐτῇ, μετέβη ἐκείνη τῆς τοιαύτης αἱρέσεως, καὶ μᾶλλον τῇ Ἐκκλησίᾳ ἐκοινώνησε, καὶ τὰ Θεοδοσίου ἀνεθεμάτισε δόγματα,

NOTÆ.

(51) Evagrius lib. II, 5.

(52) Exstat Euthymii Vita a Cyrillo Scythopolitano scripta, et a Cotelerio *Monum. Gr.* t. II, edita, ubi cap. 83 seqq. narrantur ea quæ mox dicet Germanus de Eudocia Augusta ejusque familia.

(53) Evagrius lib. I, 20-22.

Digitized by Google

μίαν φύσιν τοῦ Λόγου καὶ τῆς σαρκὸς δογματίζοντος αὐτοῦ, μᾶλλον δὲ τὴν ἐν Χαλκηδόνι σύνοδον πᾶσαν ἐξοστρακίσαντος. Πολλοὶ δὲ τῶν ἀποσχιστῶν συνεκοινώνησαν αὐτῇ, καὶ τὰ τῆς ὀρθοδοξίας ἠσπάσαντο δόγματα.

λα'. Ταράχου δὲ πάλιν καὶ ἀγῶνος οὐ τοῦ τυχόντος κατέχοντος τοῖς ὀρθοῖς ἡμῶν δόγμασι, Λέοντος τότε βασιλέως μετὰ Μαρκιανὸν ἀνακηρυχθέντος, εὐθέως ἐβούλετο σύνοδον συγκροτῆσαι περὶ τούτου. Γνοὺς δὲ οὐ μετ' οὐ πολὺ τὴν σύνοδον, μὴ θέλων τοὺς ἐπισκόπους διὰ τῆς ὁδοῦ κατατρίβεσθαι καὶ ἀνιᾶσθαι, ἀπέστειλε μᾶλλον κατ' ἐπαρχίας κελεύσεις, δηλώσας δι' αὐτῶν, ὥστε πάντας τοὺς ἐπαρχιώτας ἐπισκόπους, ὁποῖον ἔχουσι φρόνημα περὶ τῆς συνόδου σημᾶναι αὐτῷ. Τούτου δὲ οὕτως γεγονότος, πλείους ἢ χίλιοι ἐπίσκοποι καθυπέγραφον, καὶ τὴν σύνοδον ἐπεκύρουν, καὶ πάλιν καὶ αὐτὴ ἡ λεγομένη τετάρτη ἐν Χαλκηδόνι σύνοδος τὸ ἴδιον κράτος ἐλάμβανεν.

λβ'. Αὐτοῦ δὲ τοῦ λεχθέντος Λέοντος τοῦ βίου ὑπεξελθόντος, καὶ Ζήνωνος, ἔτι μὴν καὶ Ἀναστασίου, μετ' ὀλίγον ὕστερον βασιλευσάντων, παῤῥησίαν τοῦ λέγειν οἱ δι' ἐναντίας κατὰ τῆς συνόδου ἐλάμβανον, καὶ τὸ τῶν Ἰακωβιτῶν καὶ Θεοδοσιανῶν ἐπεκώμασε πλῆθος, μίαν φύσιν τοῦ Λόγου καὶ τῆς σαρκὸς πρεσβευόντων, καὶ τὴν τετάρτην ἀναθεματιζόντων σύνοδον. Ἐπειρῶντο δὲ ἀνατρέπειν καὶ τὸν Τόμον Λέοντος τοῦ μακαρίου γεγονότος πάπα Ῥώμης. Ἀλλ' Εὐλόγιος ὁ ἐν ἁγίοις τὸν τότε Τόμον ἐπεξηγήσατο, καὶ καλῶς ἔχειν πάντα ἀπέδειξε, μηδὲν σκολιὸν ἐν τοῖς γράμμασι τοῦ προλεχθέντος Λέοντος ἐντετυπῶσθαι διδάξας, μᾶλλον δὲ πλήρη εἶναι θεοσεβείας καὶ δογμάτων ὀρθῶν τὰ τούτου συγγράμματα ἀποδείξας (54). Ὅμως ἥ τε σύνοδος ἐπὶ πολὺ ἀμνημόνευτος ἔμεινε, καὶ πᾶς ἑαυτῷ τὴν νομιζομένην καὶ δοκοῦσαν ἀρχὴν ἐπεσπᾶτο, καὶ, ὡς εἰπεῖν, ἕκαστον πρὸς τὴν οἰκείαν πίστιν καὶ γνώμην ἀποτρέχειν, καὶ πλῆθος πολὺ ὅτι ἀποσχιστῶν κἀντεῦθεν ἐβλάστησεν.

λγ'. Ἀναστάσιος δὲ ὁ Ἀντιοχείας μεγάλως ὑπὲρ τῆς συνόδου συνίσταται, καὶ δογματικοὺς κανόνας ἐγγράφως ἐξέθετο (55), αὐτήν τε τὴν σύνοδον καλῶς ὁρίσαι πάντα ἀποδείξας, καὶ πλήρη θεοσεβείας ὑπάρχειν τὰ ταύτης δόγματα. Ὁ δὲ Φιλόπονος τότε, μᾶλλον δὲ Ματαιόπονος, ἀνὴρ Ἀλεξανδρείας γραμματικός, εὐγλωττίᾳ καταγοητευόμενος, καὶ τῇ λεγομένῃ Ἑλληνικῇ σοφίᾳ αὐχῶν, ἀστρονομίᾳ τε καὶ τῇ τῶν ἀριθμῶν θέσει (56) ἐπικομπάζων, κατὰ τῆς συνόδου ἠγωνίζετο (57)· μικροῦ καὶ τῷ Ὠριγένει συμπνέων εἰς τοὺς περὶ ἀναστάσεως λόγους, ἔχων καὶ λόγον

A carnisque naturam esse docebat, vel potius totam Chalcedonensem synodum ostracismo damnabat. Multi pariter, qui schisma fecerant, nunc ejus exemplum secuti, cum Ecclesia in gratiam redierunt, et orthodoxiæ dogmata amplexi sunt.

31. Grandi autem coorto rursus tumultu et controversia de nostræ orthodoxiæ dogmatibus, quo tempore Leo post Marcianum purpuram sumpsit, is confestim synodum ejus rei gratia cogere cogitavit. Sed mox considerans, recente adhuc superiore synodo, non esse novis itineribus fatigandos episcopos, mandata potius per provincias mittenda curavit, quibus denuntiabat, ut provinciales cuncti episcopi, quid de synodo Chalcedonensi sentirent, sibi per litteras significarent. Quo facto plus mille B episcopi suffragium suum synodo adjecerunt eamque confirmarunt : atque ita hæc Chalcedonensis quæ dicitur quarta synodus robur suum obtinuit.

32. Sed ubi prædictus Leo vita migravit, et Zeno et mox Anastasius imperium obtinuerunt, loquendi audaciam hostes synodi resumpserunt, et Jacobitarum ac Theodosianorum exsultare multitudo cœpit, unam Verbi naturam dicentium, et quartam synodum detestantium. Iidem Tomum quoque beati Leonis papæ Romani pessumdare conati sunt. Verum sanctus Eulogius Tomum illum commentando exposuit, cunctaque recte se habere demonstravit, nihil pravum ea Leonis epistola contineri docens; imo vero quidquid ab eo scriptum esset, id recta fide C et orthodoxis dogmatibus redundare. Attamen diu hæc synodus memorari non potuit, et unusquisque pro sua opinione ac placito ducem aliquem sibi proponebat, atque ut ita dicam ad suam quisque fidem propriamque sententiam ferebatur. Atque hinc schismaticorum multitudo ingens pullulavit.

33. Tunc Anastasius Antiochiæ episcopus magnifice pro synodo consurrexit, et dogmaticas regulas scripto proposuit, cuncta ostendens a synodo recte fuisse decreta, atque hujus dogmata cum omni pietate consentire. At vero Philoponus, vel potius Matæponus, Alexandrinus grammaticus, D facundiæ præstigiis præditus, et Græcam sapientiam jactans, astronomiæ et arithmeticæ peritia gloriosus, contra synodum prælium iniit, parum differens ab Origenis de resurrectione effatis, id quod certe, Deo permittente, non sine laude elo-

NOTÆ.

(54) Ex opere Eulogii pro epistola sancti Leonis contra Jacobitas ampla excerpta recitat Photius cod. 225, p. 259 seqq. Fragmentum Eulogii, ubi de Chalcedonensi etiam synodo, habes a nobis divulgatum ex codice Vat. *Scriptt. vet.* t. VII, p. 178.

(55) Intelligo quinque præsertim Anastasii dogmaticas orationes, nominatimque tertiam *De incarnatione*; quæ orationes Latine hactenus exstant, a me vero Græce quoque paulo post imprimendæ sunt.

(56) Recole dicta supra (col. 35). Hic autem intelligo Philoponi commentarium in Nicomachi arithmeticam adhuc ineditum, cujus prologum et initium habes apud nos in *Spicilegio*, t. II, p. 392 seqq.

(37) Opere celebri inedito cui titulus *Diathetes*. Item epistola dogmatica ad Justinianum imp. æque inedita, cujus nos compendium exhibuimus in *Spicil.* tomo III, p. 739.

Digitized by Google

quentiæ præstitit. Sed Leontius eremi monachus jucundissimum lectu librum composuit, synodi patrocinio suscepto, multaque in eo recitavit testimonia pro vocabulo dualitatis, cui libro titulus *Leontia* adhæsit. Multa vero confusio variæque seditiones in Ecclesia nostra acciderunt, dum vellent nominari diserte synodum, minimeque indictam præteriri: quare et a sacerdotibus populi diligenter observari debuerunt, atque ante cancellos constitui armati homines ad eos percutiendos qui synodi mentionem non facerent: unde et aliquot patriarchæ strenue pro synodo decertaverunt; quam cum in diptycha retulissent, imperatorum indignationem tantam incurrerunt, ut ipsimet ne mortui quidem in diptychis poni potuerint.

34. Justiniano Magno ad imperium evecto, rursus hæ belluæ in suas latebras caveasque se concluserunt; atque in hac urbe synodus sanctorum Patrum CLXV congregabatur, cui intererat Eutychius nostræ urbis pontifex, Apollinaris Alexandrinus, qui et Vigilii papæ Romani locum tenebat, et Elias Thessalonicensis, aliique plurimi: ibique confirmatur quarta synodus Chalcedone habita, cum eorumdem dogmatum definitione, decreto addito ut cum tribus prioribus quarta hæc nominatim recenseretur, eodem pariter promulgato fidei symbolo: itemque definitum est Dominum nostrum Jesum Christum cum utriusque naturæ voluntate et operatione salutem nostram peregisse. Dictum est quoque anathema duodecim Theodoreti Capitulis, et cujusdam Ibæ epistolæ quæ ad Marim Persam scripta dicitur, nec non Origenis scriptis gentilitatem redolentibus, denique etiam Theodoro Mopsuesteno. Atque ita in suam quisque patriam remeavit.

35. Brevi tempore post, denuo Severus nos conturbavit Acephalus, imo vero polycephalus draco, unam et ipse Verbi et carnis naturam affirmans. Neque hactenus substitit, sed libros etiam composuisse videtur, et sacrorum Bibliorum interpretationes. Verum et ipse regia in urbe a Mena patriarcha nostro damnatur, ejusque dogmata supremo decreto delentur; prædicto præsuli nostro suffragantibus Agapeto Romæ pontifice, Petro Hierosolymorum patriarcha, et Ephræmio Antiochiæ, viro magno, qui et dogmaticos commentarios theologia refertos nobis reliquit, denique et Soterichо Cæsareæ Cappadociæ, et Hypatio Ephesi. Interim ergo gravi perturbatione instantique tumultu ereptum, tranquille se habebat corpus Ecclesiæ, orthodoxis confidenter se gerentibus, heterodoxis vero vel

A ἐπιῤῥέοντα αὐτῷ κατὰ θεῖκὴν παραχώρησιν. Λεόντιος δὲ ὁ τῆς ἐρήμου μοναχὸς βιβλίον συνέθηκεν εὐαπόδεκτον, ὑπὲρ τῆς τοιαύτης συνόδου ἐνιστάμενος· πολλὰς δὲ μαρτυρίας ἐν αὐτῷ καταγράψας περὶ τῆς δυϊκῆς φωνῆς, ὅθεν καὶ *Λεόντια* τὸ βιβλίον ἐκ τούτου ἐκλήθη (58). Πολλὴ δὲ σύγχυσις καὶ στάσις διαφόρως ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν ἐγένετο ἕνεκεν τοῦ τὴν σύνοδον μνημονεύεσθαι, καὶ μὴ ἀνωνύμως ταύτην παρέρχεσθαι· ὡς καὶ τοὺς ἱερεῖς ἐπιτηρεῖν τοὺς λαοὺς, καὶ πρὸς τὴν κιγκλίδα τοῦ θυσιαστηρίου ἑστᾶναι αὐτοὺς καθωπλισμένους, καὶ παίειν μέλλοντάς τινας, εἰ μὴ ποιήσοιντο τὴν τῆς συνόδου ἐκφώνησιν· ὡς καί τινας τῶν πατριαρχῶν ἀνδρισαμένους ὑπὲρ τῆς συνόδου, καὶ ταύτην ἐν διπτύχοις κατατάξαντας, ὑπὸ βασιλικὴν ἀγανάκτησιν γενέσθαι, καὶ μήτε μετὰ
B θάνατον ἐν διπτύχοις κατατάττεσθαι.

λδ'. Ἰουστινιανοῦ τοῦ μεγάλου βασιλέως εἰς τὴν βασιλέως προαχθέντος ἀρχὴν, πάλιν εἰς τὰς ἑαυτῶν καταδύσεις καὶ τοὺς φωλεοὺς οἱ θηριώδεις οὗτοι συνήλαυνον· καὶ σύνοδος ἐνταῦθα συνεκροτεῖτο τῶν ρξε' ἁγίων Πατέρων, ὄντος ἐν αὐτῇ Εὐτυχίου τοῦ τῆς πόλεως ἡμῶν προέδρου, Ἀπολιναρίου τοῦ Ἀλεξανδρείας, καὶ τὸν τοῦ Βιγιλλίου τοῦ πάπα Ῥώμης τόπον ἀποπληροῦντος, Ἠλία τε τοῦ Θεσσαλονίκης, καὶ ἑτέρων πλείστων· ἐν ᾗ κυροῦται ἡ ἐν Χαλκηδόνι τετάρτη σύνοδος, τῶν αὐτῶν δογμάτων ἐκφωνηθέντων ἐν αὐτῇ, καὶ πρὸς ταῖς τρισὶ καὶ αὐτὴν τετάρτην μνημονεύεσθαι θεσπισάντων, καὶ τὸ σύμβολον ὁμοίως τῆς πίστεως ὑπαγορευσάντων· καθ' ἑτέραν τε φύσιν,
C θελητικόν τε καὶ ἐνεργητικὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς ἡμῶν ἕνεκεν σωτηρίας ὑπάρχειν ὁρίσαντες. Ἀναθεματίζουσι δὲ τὰ δώδεκα Κεφάλαια Θεοδωρίτου, καὶ τὴν λεγομένην Ἴβᾶ τινος ἐπιστολὴν πρὸς Μάρην γεγράφθαι τὸν Πέρσην, καὶ τὰ τοῦ Ὠριγένους Ἑλληνικὰ συγγράμματα, ἔτι δὲ καὶ Θεόδωρον τὸν Μοψουεστίας· καὶ οὕτως εἰς τὴν ἑαυτοῦ ἕκαστος πατρίδα μετέβαινεν.

λε'. Οὐ μετ' οὐ πολὺ πάλιν Σευῆρος ἡμᾶς διετάραξεν ὁ Ἀκέφαλος, μᾶλλον δὲ πολυκέφαλος δράκων, μίαν καὶ αὐτὸς φύσιν τοῦ Λόγου καὶ τῆς σαρκὸς παρεξηγούμενος. Καὶ οὐδὲ ἐν τούτῳ ἱστάμενος, ἀλλὰ καὶ βίβλους τῷ δοκεῖν κατασκευάζων, καὶ ἑρμηνείας
D Γραφικὰς συντιθείς (59)· ἐνταῦθα καὶ αὐτὸς ὑπὸ Μηνᾶ τοῦ γενομένου ἡμῶν πατριάρχου κατακρίνεται, καὶ τὰ τούτου δόγματα τελείῳ παραδίδονται ἀφανισμῷ· συνεπαμυνομένων τῷ προλεχθέντι ἡμῶν προέδρῳ Μηνᾷ, καὶ Ἀγαπητοῦ Ῥώμης προέδρου, καὶ Πέτρου τοῦ Ἱεροσολύμων πατριάρχου, καὶ Ἐφραιμίου τοῦ μεγάλου Ἀντιοχείας ἀνδρὸς, ὅστις καὶ ἀγωνιστικὰ καταλέλοιπεν ἡμῖν πλήρη θεολογίας δόγματα (60), καὶ Σωτηρίχου Καισαρείας Καππαδοκίας, καὶ Ὑπατίου Ἐφέσου. Τέως δὲ μικρὸν ἐκ τῆς πολλῆς ταραχῆς, καὶ τοῦ περιέχοντος θορύβου ἐλευθερωθὲν,

NOTÆ.

(58) Leontii opus non mediocre contra Monophysitas dedimus nos in Script. vet t. VII. Item contra Nestorianos t. IX. Pro synodo autem Chalc. jamdiu exstabat.

(59) De Severi variis scriptis diximus in præfatione *Script. vet.* t. IX.

(60) Horum Ephræmii scriptorum copiosa Excerpta dat Photius cod. 228, p. 773-831. Nosque ipsi novum fragmentum addidimus AA. class. t. X, p. 558, 559.

Digitized by Google

ἐν ἡσυχίᾳ το σῶμα τῆς Ἐκκλησίας διετέλει, τῶν ὀρθοδόξων παῤῥησιαζομένων, καὶ τῶν ἑτεροδόξων ἐπιγινωσκομένων, καὶ μὴ ὑπαρχόντων, ἀλλὰ καὶ ὑπό

A occultis vel non exsistentibus, imo cum quadam demissione sub potestatis auctoritate degentibus.

λς'. Ἄρτι δὲ Ἡρακλείου βασιλεύσαντος, καὶ Σεργίου ἐκείνου τῆς βασιλευομένης ἡμῶν πόλεως προεδρεύσαντος, τὸ τῶν δύο θελημάτων καὶ ἐνεργειῶν ἐκινεῖτο ζήτημα, ἤδη καὶ τῶν τῆς Ἀνατολῆς μερῶν τοῦτο κεκινημένων, Σωφρόνιός τε ὁ σοφώτατος ἐξ Ἱεροσολύμων πρὸς Σέργιον εἰσεληλυθὼς, τὸν περὶ τούτων ἐποιεῖτο λόγον, ἐπανορθούμενος τὸν ἄνδρα, καὶ μὴ πάλιν εἰς ἀγῶνας τὴν Ἐκκλησίαν ἐμπίπτειν ὑποτιθέμενος. Αὐτοῦ δὲ Σωφρονίου ἐκδημήσαντος, καὶ πατριάρχου Ἱεροσολύμων προσδεχθέντος, Ἡρακλείῳ τοῦ εἰρημένου Σεργίου συμφρονήσαντος, μίαν μὲν ἐνέργειαν καὶ ἓν θέλημα τοῦ Θεοῦ Λόγου καὶ τῆς σαρκὸς ἐδογμάτισαν, δύο δὲ φύσεις καλῶς λέγεσθαι ὡρίζοντο· καὶ πάλιν μήτε μίαν, μήτε δύο λέγεσθαι ἐνεργείας ἢ θελήματα δογματίζουσι, καὶ γράμματα δημοσίως περὶ τούτου τιθέασι, καὶ διασπῶσι τὰ τέκνα τῆς Ἐκκλησίας, καὶ εἰς ἀνοδίας κατακρημνίζουσι. Συνεπελάβετο δὲ αὐτοῖς καὶ Ὀνώριος ὁ Ῥώμης (61), καὶ Κῦρος Ἀλεξανδρείας, μετὰ δὲ τοῦτο καὶ Πέτρος, καὶ Παῦλος, καὶ Πύῤῥος, οἱ τῶν ἐνταῦθα προεδρεύσαντες, καὶ ἕτεροι πλεῖστοι, Πολυχρόνιός τε, καὶ Μακάριος ὁ Ἀντιοχείας, καὶ Στέφανος ὁ αὐτοῦ μαθητὴς, οἳ καὶ πρὸς τὴν σύνοδον εἰς ὕστερον ἀνετάξαντο (62).

36. Vix autem Heraclio regnum adepto, et Sergio illo civitatis nostræ episcopatum tenente, quæstio commota est de duabus voluntatibus et operationibus, ad quam jam pridem Orientales regiones erectæ erant. Tum sapientissimus Sophronius Hierosolymis huc ad Sergium veniens, habuit cum eo de hac re sermonem, hominem commonefaciens, et ne rursus Ecclesia in bellum conjiceretur cavens. Sed enim post Sophronii discessum, et post ejus ad patriarchalem Hierosolymorum cathedram evectionem, præcicto Sergio cum Heraclio conspirante, unius in Deo Verbo et carne operationis ac voluntatis dogma procuderunt, duas tamen recte naturas retinuerunt; sed mox neque unam neque duas operationes seu voluntates dicendas esse decreverunt, ejusque rei publica edicta proposuerunt : atque ita Ecclesiæ filios in partes sciderunt, et per invia præcipites dederunt. Quo turbine abrepti fuerunt Honorius quoque Romæ, et Cyrus Alexandriæ, et deinde Petrus ac Paulus et Pyrrhus qui per ea tempora præsules fuerunt, aliique plurimi, quos inter Polychronius, et Macarius Antiochiæ, ac Stephanus ejus discipulus, qui contra synodum deinceps steterunt.

B

λζ'. Ἤδη λοιπὸν ἐπὶ Κωνσταντίνου τοῦ υἱοῦ τοῦ ἐν Σικελίᾳ Κωνσταντίνου (63), συστάσης ἐνταῦθα τῆς ἕκτης συνόδου τῶν ρ', ἐν ᾗ Γεώργιός τις τῶν τῇδε προῆδρευε (64), παραγεγόνασι δὲ καί τινες ἀπὸ Ῥώμης ἐπίσκοποι, ἐκ προσώπου τοῦ Ἀγάθωνος τοῦ αὐτῶν πατριάρχου, συνεπιφερόμενοι καὶ πεπραγμένα τῆς συνόδου αὐτῶν, καὶ ὑπογραφὰς ρκε', ἢ καὶ πρὸς, ἐπισκόπων ἀμφοτέρων τῆς Δύσεως ὑπαρχόντων κυρούντων τὰ θεῖα δόγματα Σωφρονίου πατριάρχου, καὶ Μαξίμου τοῦ ὁμολογητοῦ (65), καὶ τῶν ἀμφ' αὐτόν· τουτέστι τοῦ λέγεσθαι ἐπὶ τοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο φύσεις καὶ δύο φυσικὰ θελήματα καὶ τὰς ἐνεργείας αὐτῶν. Ἐν τῇ συνόδῳ ταύτῃ παρῆν καὶ Στέφανος Ἡρακλείας τοῦ Πόντου ἐπίσκοπος, ἀνὴρ ἐλλόγιμος, εἰ καὶ τὰ μάλιστα, πᾶσαν, ὡς εἰπεῖν, Γραφὴν ἐκμελετήσας καὶ ἐπιστάμενος καὶ ἐπὶ στόματος φέρων (66). Ἕτερός τις ἐπίσκοπος Ἰωάννης Ἀνθινῶν (67), ὀρθόδοξος εἰς τὸ ἄκρον, καὶ φιλοσοφίᾳ ἀμφοτέρωθεν κεκοσμημένος. Ἐκφωνεῖται τοίνυν ὁ ὅρος ἐν αὐτῇ, ἐν ᾗ κυροῦνται αἱ προμνημονευθεῖσαι πέντε σύνοδοι, καὶ τὸ αὐτὸ σύμβολον ὑπαγορεύεται τῆς πίστεως· δύο τε φύσεις ἐπὶ τοῦ ἑνὸς Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καλῶς δογματίζουσι, καὶ δύο

C

37. Jamque hic congregata erat, regnante Constantino Constantis filio, ejus qui in Sicilia fuit, sexta synodus Patrum CLXX, in qua Georgius quidam nostris præerat. Adfuerunt etiam nonnulli ex urbe Roma episcopi, a patriarcha suo Agathone missi, qui et acta synodi apud se celebratæ afferebant, cum subscriptionibus Occidentalium CXXV, aut etiam plurium episcoporum, qui definiverant divina dogmata juxta sententiam Sophronii, Maximique confessoris, eorumque asseclarum; nempe dicendas esse duas Domini nostri Jesu Christi voluntates et operationes ex his provenientes. Intererat huic synodo etiam Stephanus Heracleæ Ponti episcopus, vir apprime eruditus, qui universa pene Biblia edidicerat atque ore recitabat. Alius quoque aderat episcopus Anthinorum Joannes, summe orthodoxus, et utraque philosophia ornatus. Fit igitur definitio, qua sanciuntur prædictæ quinque synodi, idemque fidei symbolum proponitur, et duæ naturæ in uno Domino nostro Jesu Christo recte affirmantur, duæque physicæ volendi facultates seu voluntates, cum singularum propriis operationibus, Sergiusque et Honorius ejusque consectanei ana-

D

NOTÆ.

(61) Pro Honorio Papa I diligentissimam *Apologiam* post tot alios eruditos edidit Bononiæ an. 1784 P. A. M. Ughus, quam qui leget, nihil hac super indictum putabit.

(62) Damnantur hi nominatim a synodo sexta apud Labb. t. VI, p. 1054.

(63) Hic modo Constantinus dicitur, modo Constans in monumentis.

(64) Legesis subscriptiones episcoporum apud Labb. tom. cit. p. 1055, videbisque prima nomina subscripta legatorum Agathonis papæ; deinde nomen Georgii patriarchæ Constantinopolitani.

(65) Uterque mortuus erat ante synodum sextam, sed eorum orthodoxa doctrina scriptis tradita manebat.

(66) Nescit has Stephani Heracleensis laudes Lequinius *Or. Ch.* t. I, p. 573.

(67) Ita codex, quod vocabulum non occurrit in editis subscriptionibus. Ibi tamen sunt Ἰω. Ἀθρηνῶν, Ἰω. Ἀνέων, Ἰω. Ἀδάνων.

Digitized by Google

themate percelluntur. Sic denuo post assiduus hos labores et seditionum motus nostra immobilis et invicta Ecclesia requiem nanciscitur; contra cujus fidem portæ inferi, id est incredulitatis, nunquam poterunt prævalere, sicuti Dominus noster Jesus Christus pronuntiavit.

φυσικὰς θελήσεις ἤτοι θελήματα καὶ τὰς ἐνεργείας αὐτῶν· Σέργιός τε καὶ Ὀνώριος, καὶ οἱ μετ' αὐτὸν ἀναθεματίζονται. Καὶ λαμβάνει πάλιν ἀνάπαυσιν τὰ τῶν συνεχῶν πόνων, καὶ ἀστάτων κινήσεων, ἡ ἄσειστος ἡμῶν καὶ ἀκαταμάχητος Ἐκκλησία, ἧς πύλαι ᾅδου, εἴτουν ἀπιστίας, τὴν πίστιν οὐ κατισχῦσαι ποτὲ δυνηθῶσιν, ὡς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπεφήνατο.

38. Quanquam et postea nonnulli enixe connisi sunt sextam ipsam subvertere synodum, et libellos scripserunt, et coactas adversus eam subscriptiones fecerunt, regia manu cunctos contra synodum impellente, Philippico scilicet seu Bardane (nam duplex nomen huic infausti nominis regnatori fuit) qui adversus eam insurrexit. Item Joannes quidam Coloneus presbyter, et Nicolaus sophista, aliique quorum nomina sponte prætermittam, hæreseos vires auxerunt, et sanum Ecclesiæ nostræ dogma vitiarunt. Verumtamen pro Ecclesia cum alii multi, tum præ cæteris omnibus Zeno ille beatus et vere episcopus fortiter stetit ac decertavit, Sinopes præsul factus, cujus causa et exsilium perpessus est, dum multi abrepti manus victas dedissent immani persecutioni varioque minarum generi, et quod novo Caiaphæ huic assidere viderent in congressibus singulis paratum synedrium.

λη'. Εἰ καὶ τὰ μάλιστα ἐδοκίμασαν καὶ μετὰ τοῦτό τινες τὴν αὐτὴν ἕκτην ἀνατρέψαι σύνοδον, καὶ τόμους ἐξέθεντο (68), καὶ ὑπογραφὰς βιαίως ἐν αὐτῇ πεποιήκασι, βασιλικῇ χειρὶ πάντων συνωθουμένων, καὶ πρὸς ἀναίρεσιν αὐτῆς παραπεμπομένων· ὃς ἦν Φιλιππικὸς, μᾶλλον δὲ Βαρδάνης (διώνυμος γὰρ ὁ κακώνυμος ἐλέγετο), ὁ κατ' αὐτῆς ἀναστὰς βασιλεύς· καί τινος Ἰωάννου Κολωνείας (69) γεγονότος πρεσβυτέρου, καὶ Νικολάου σοφιστοῦ (70), καὶ ἑτέρων, ὧν τὰ ὀνόματα ἐκὼν ὑπερβήσομαι (71) συντρεχόντων τῷ κράτει τῆς ἀσεβείας, καὶ λυμαινομένων τὸ ὑγιὲς τῆς Ἐκκλησίας ἡμῶν δόγμα. Ὑπὲρ ταύτης πολλοὶ μὲν καὶ ἄλλοι, πλεῖω δὲ πάντων Ζήνων ἐκεῖνος ὁ μακάριος καὶ ἀληθῶς ἐπίσκοπος, ἔστη γενναίως καὶ ἠγωνίσατο, Σινώπης πρόεδρος κεχειροτονημένος (72), ὑπὲρ ἧς καὶ ἐν ἐξορίᾳ ἐπέμπετο, πολλῶν παραῤῥυέντων καὶ νικηθέντων τῇ ἀνενδότῳ ἐνστάσει, καὶ ταῖς πολυτρόποις ἀπειλαῖς, καὶ τῇ ἐπιγενομένῃ ἐνστάσει, τῷ Καϊάφᾳ πάντοτε συνέδριον συγκροτούμενον ὁρᾶσθαι καθ' ἑκάστην αὐτῶν συνέλευσιν.

39. Sed et id perversum regnum evanuit, et sublato edicto, sectæ impiæ insania ubique fugata, iniquo jure antiquato, suum nostra Ecclesia recepit ornatum, hæresi expulsa. Clamabant enim custodes Ecclesiæ, qui ubique in spiritalibus propugnaculis perstabant experrecti, et hostes repellebant, et Ecclesiam incolumem conservabant. Constituit enim in illa, sicuti scriptum est, Dominus episcopos et judices, qui vigiles providasque custodias agant, et sua peritia spiritalique vigore cunctam hostium aciem prosternant. Neque enim sine pastoribus et observatoribus reliquit unquam Ecclesiam suam verus pastor noster Christus, qui propriam animam pro suis ovibus posuit. Sæpe tamen dum nostræ fidei nostræque patientiæ ac firmæ spei experimentum caperet, in tentationem, dolores, atque molestias nos incidere sivit, ideo fortasse quia nos haud bene tranquillitate usi fuerimus. Voluit ergo, ut his casibus perferendis nostrum erga ipsum demonstraremus amorem. Attamen denuo pacem concessit, tentationum nimbis discussis.

λθ'. Καὶ πάλιν ἡ κακὴ βασιλεία ἐκποδὼν ἐγίνετο, καὶ τὸ χειρόγραφον ἠφανίζετο· πανταχόθεν τῆς αἱρετικῆς ἐκδιωχθείσης μανίας, ἡ ἀδικία ἐξηλαύνετο, καὶ ἡ Ἐκκλησία ἡμῶν τὸν ἴδιον ἀπελάμβανε κόσμον, πανταχόθεν τῆς αἱρετικῆς δυσσεβείας ἐκβεβλημένης· ἐβόησαν γὰρ οἱ φύλακες τῆς Ἐκκλησίας, οἱ διὰ παντὸς ὑπεράνω τῶν νοητῶν αὐτῆς ἐπαγρυπνοῦντες ἐπάλξεων, καὶ τοὺς πολεμίους ἀπώσαντο, καὶ ταύτην ἀσπάρακτον διετήρησαν. Κατέστησε γὰρ ἐν αὐτῇ, κατὰ τὸ γεγραμμένον, ὁ Κύριος τοὺς ἐπισκόπους αὐτῆς καὶ κριτὰς, πόῤῥωθεν τὰς προφυλακτικὰς προϊουμένους ἐπαγρυπνήσεις, καὶ διὰ τῆς ἰδίας ἐπιστήμης καὶ πνευματικῆς ἐνστάσεως πᾶσαν τὴν παράταξιν τῶν ἐναντίων καταστρεφομένους. Οὐδὲ γὰρ ἀποίμαντον ἢ ἀνεπίσκοπόν ποτε καταλέλοιπεν ὁ ἀληθινὸς ἡμῶν Ποιμὴν Χριστὸς, ὁ τεθεικὼς τὴν ψυχὴν ἑαυτοῦ ὑπὲρ τῶν προβάτων αὐτοῦ· καὶ γὰρ πολλάκις ἡμῶν δοκιμαζόντων τὴν πίστιν, καὶ τῆς ὑπομονῆς καὶ ἐλπίδος στερῤῥότητα, εἰς πειρασμὸν καὶ ὀδύνας καὶ θλίψεις ἡμᾶς ἐμπεσεῖν παρεχώρησεν, ἴσως ἡμῶν τὴν ἄνεσιν οὐ καλῶς διοικησαμένων· ὥστε καὶ διὰ τούτων τὴν εἰς αὐτὸν στοργὴν ἡμῶν διαφαίνεσθαι. Καὶ πάλιν τὴν εἰρήνην ἐπαφῆκε τῆς ἀντιλήψεως, καὶ τὸ νέφος τῶν πειρασμῶν διεσκέδασεν.

NOTÆ.

(68) Memoratur tomus falsæ fidei Philippici ab Agathone protonotario apud Labb. *Concil.* t. VI, p. 1405.

(69) Joanni huic obtruso patriarchæ successit, post Philippicum regno depulsum, sanctus Germanus, opusculi præsentis auctor. Insignis autem est Theophanis error ed. Paris. p. 320, qui Germanum nostrum, tunc Cyzici episcopum, inter eos qui subscripserunt tomo Philippici numerat, quod omne contra fuit.

(70) Memorat hunc Nicolaum Theophanes loc. cit.

(71) Caute alia nomina reticet, ob viventes adhuc sectæ homines.

(72) Ignorat hunc præclarum episcopum Sinopes Lequinius in *Or. Ch.* t. I, p. 540, quo loco inserendus nunc est inter Sergium et Gregorium.

Digitized by Google

μ'. Ἐπισημαντέον δὲ ὅτι (cod. καὶ) τῷ παρόντι γραμματεῖῳ ἀνατάξασθαι δεῖν ᾠήθημεν καὶ τὴν νυνὶ περιέχουσαν ἀκοσμίαν καὶ ἀταξίαν, καὶ ὅπως ἡ τοῦ Σατανᾶ ἀντίπαλος δύναμις πολυμόρφῳ καὶ πολυπλόκῳ σκαιότητι θωπευσαμένη, τῷ καθαρωτάτῳ συστήματι τῆς Ἐκκλησίας ἐπέσκηψεν. Ἀνέφυ γάρ τις ἐπίσκοπος Νακωλείας οὕτω καλουμένης (73), πολίχνης τῆς Φρυγῶν ἐπαρχίας, ἀνὴρ οὐκ ἐλλόγιμος, ἀλογίᾳ δὲ μᾶλλον τὴν ἑαυτοῦ ἐκκαλύπτειν φρόνησιν φανταζόμενος, ὃς ψιλῇ τῇ τοῦ γράμματος θεωρίᾳ ἐν τῇ τῶν θεοπνεύστων Γραφῶν ἀναγνώσει προσκεχηνὼς, καινουργεῖν παρὰ τὰ ἱεροπρεπῶς ἐκπεφασμένα παρεδογμάτιζε, καὶ ταῖς πατρικαῖς κατεξανίστασθαι παραδόσεσιν ἀνθωπλίζετο. Ἀεὶ γὰρ φίλον τῷ μισανθρώπῳ δαίμονι πολυτρόποις ἀπάταις παρασφάλλειν τὸν ἄνθρωπον, καὶ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας ἀνασοβεῖν τὴν κατάστασιν· ὃ δὴ καὶ τὰ νῦν ἐπεδείξατο, καὶ τὸν κατ' ἀλλήλων ὁρᾶσθαι πόλεμον τὰς Ἐκκλησίας ὑπέθετο, δι' ὧν ὀργάνων εἰς τοῦτο συνασπιζόντων ἐφεύρατο, τῷ μὲν ἱερατικῷ σχήματι τὴν δολερὰν συσκιαζόντων διάνοιαν, τοῖς δὲ φιλοχρίστοις λαοῖς οἰκείαν ἐρευγομένων κατήχησιν. Καὶ τούτων ἔξαρχός τε καὶ ἡγήτωρ ὁ τῆς λεχθείσης καθέστηκε πόλεως πρόεδρος, ὁπαδοί τε καὶ συναιρέται καὶ σύνδρομοι καὶ ἕτεροι τοῦ ἱερατικοῦ καταλόγου γεγόνασιν, οὓς καὶ κατ' ὄψιν ἡ ὑμετέρα τιμιότης ἐγνώρισε. Καὶ γὰρ ὑποπλάττονται τὰ ὀρθὰ βούλεσθαι φρονεῖν, καὶ δόκησιν ἑαυτοῖς τῆς εἰς τοῦτο ῥοπῆς, καθάπερ τι προσωπεῖον ἐναρμόσαντες, κακουργότατα πειρῶνται τοὺς τῶν ἁγίων χαρακτῆρας μεταφέρειν ἐπὶ τὰ εἴδωλα, εὐσέβειαν ἐπιζήμιον ἀνοσίως ἐπιτηδεύοντες, ὡς δῆθεν καὶ τὰς πρὸ ἡμῶν γενεὰς ἐν πλάνῃ βιῶναι ἀποκλαιόμενοι, καὶ ἐλεεῖσθαι μᾶλλον ἢ μακαρίζεσθαι μυθευόμενοι (74).

μα'. Ἐφ' οἷς τάληθῆ πρὸς ἡμῶν τούτοις εἰρήσεται. Εἰ, ὥς φατε ὑμεῖς, εἰδώλων δίκην τὰ σεπτὰ τῶν ἁγίων ἀπείργετε εἰκονίσματα, μικροῦ καὶ αὐτὰ τὰ καίρια τῆς πίστεως ἀνατρέπετε. Εἴποιεν γὰρ οὐκ ἐθνικοὶ διαμπάς, ἐπεὶ καὶ Χριστιανῶν παῖδες, ὡς οὐδὲν ἀπὸ τοῦ νῦν βέβαιόν τι ἡ τῆς Ἐκκλησίας ἡμῶν παράδοσις ἕξειν δυνήσεται, τὰ πρὶν ἀθετήσασα. Ἀληθῶς γὰρ πᾶσι πιστοῖς καὶ ὀρθοδόξοις εὔδηλον πέφυκεν, ὡς ἡ προσκύνησις καὶ ἡ λατρεία ἡμῶν, εἰς μόνην τὴν ἄκτιστον καὶ ἀπειροδύναμον ὑπεράρχιόν τε καὶ ὑπεράγαθον ζωαρχικὴν καὶ ὑπερούσιον ἁγίαν Τριάδα, τὴν μίαν θεότητά τε καὶ δύναμιν, ἀδιστάκτῳ καρδίᾳ καὶ στόματι ὁμολογεῖται. Αἱ δὲ ἐν εἰκόσι τῶν ἁγίων μορφοποιαὶ, διὰ πόθον μόνον καὶ οὐ δι' ἕτερον τρόπον προῆσαν, καθὼς πάλαι ἐν τῇ σκηνῇ τὰ τῶν Χερουβὶμ ἀπεικάσματα, τύπον τῶν οὐρανίων δυνάμεων ἔχοντα. Ὅθεν τῇ χρονίᾳ παρεκτάσει τὰ πλήθη χειραγωγούμενα, ἄνωθεν παῖς παρὰ πατρὸς διαδεξάμενοι, εἰς μόνην ὑπόμνησιν καὶ ἀνδρείας ἐπίδειξιν, τὰς τοιαύτας σκιαγραφίας ἀνέκαθεν παρ-

A 40. Hic vero monendum censeo me præsentis quoque perturbationis convulsionisque mentionem huic commentariolo inserendam judicasse, quomodo scilicet adversaria vis Satanæ, multiformi versutaque malitia blandiens, puram Ecclesiæ compagem invaserit. Exstitit enim episcopus quidem Nacoliæ, quæ est Phrygiæ provinciæ urbecula, vir nequaquam sapiens, sed sua potius inscitia, mentis sententiam occulere studens. Hic nudæ litteræ studio in sacrarum Litterarum lectione intentus, cœpit novas opiniones contra sancte jam definita procudere, et Patrum traditionibus adversari. Semper enim solet humani generis hostis diabolus versutis fraudibus hominem supplantare, et ecclesiastici ordinis perturbare statum; id quod nunc B etiam factitatum est, quo tempore intestinum bellum in Ecclesia conflavit, adhibitis instrumentorum instar hominibus, qui sub habitu sacerdotali fraudulentam mentem gerebant, et sic fidelibus Christi suam doctrinam eructabant. Horum, inquam, malorum auctor princepsque fuit prædictæ civitatis præsul; asseclæ autem et adjutores exstiterunt alii de sacerdotali numero, quos tu, vir reverende, præ oculis habes. Hi enim rectæ sententiæ amore se teneri simulantes, atque hujus studii adumbratam speciem tanquam comicam personam sibi imponentes, dant operam malitiosissime ut sanctorum imaginibus idolorum infamiam aspergant, perniciosum pietatis zelum impie affectantes; C sic ut præteritas quoque generationes in errore vixisse defleant, quas miserandas potius quam beatas putandas falso aiunt.

41. Hac igitur super re, nostra dicetur vera sententia. Si, ut vos dicitis, idolorum instar venerandas sanctorum icones aversamini, ipsa propemodum fundamenta fidei subvertitis. Dicent enim homines, haud enimvero ethnici, quandoquidem Christianorum sunt filii, nullam posthinc firmitatem habituras Ecclesiæ traditiones, si superiores consuetudines aboleantur. Profecto fidelibus cunctis orthodoxisque exploratum est, quod adorationem nostram atque latriam, haud dubitanti corde atque D ore, uni profitemur increatæ, potentissimæ, omnium dominæ, optimæ, vivificæ, quamlibet aliam essentiam excedenti, sanctæ Trinitati, quæ una deitas ac virtus est. Sanctorum autem figuratæ imagines, amoris potius seu desiderii significandi gratia, quam aliam ob causam, adinventæ sunt; sicut olim in tabernaculo Cherubim icones, virtutum cœlestium typum gerebant. Hinc longo temporis lapsu populus consuetudine imbutus, traditione de patre in filium manante, ad memoriam tantum et virilis

(73) Erat hic nomine Constantinus, ad quem scriptam a Germano nostro epistolam recitat Nicæna secunda synodus Labb. t. VII, p. 296, quæ epistola valde congruit cum his quæ hic dicit Germanus, qui de eodem loquitur etiam in aliis epistolis ibidem citatis. Impuræ vitæ hunc Constantinum et ineruditum dicit etiam Theophanes ed. cit. p. 337.

(74) Ita dictitabat Leo Isauricus, teste Theophano ad annum ejus nonum.

Digitized by Google

virtutis demonstrationem, delineationes illas ad se derivatas admittebat. Domini autem nostri Jesu Christi imaginem ad humanum typum conformatam, nempe ad eam formam in qua visibiliter Deus apparuit, admittimus, ob retinendam perpetuo memoriam ejus in carne conversationis, passionis, mortisque salutaris, atque illius quam hinc mundus nactus est salutis : namque ex hac ipsa imagine sublimitatem humilitatis divini Verbi cognoscimus.

A εδέξαντο. Τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα ἀναστηλουμένου, ἤγουν κατὰ τὴν ὁρατὴν αὐτοῦ θεοφάνειαν, παρειλήφαμεν εἰς διηνεκῆ μνήμην τῆς ἐνσάρκου πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ Λόγου κατανοοῦντες.

42. Adversarii autem vecordi superbia elati populum scindere in partes non desinunt; sua enim factione abrepti, sponte omnino a veritatis notione recedunt, et sacris donariis audacter manus injiciunt. Quare et ipsa potestas regia, et cuncti magistratus mire furunt adversus eos qui religiose semet B gerere decreverunt. Cujus rei causa magnum atque exitiale periculum universo pene orbi imminet, dum plurimi sacerdotes ac laici, præsertim vero pientissimi monachi, patria pelluntur, exsilio et bonorum spoliatione multantur, membris mutilantur, in dispersionem solitudinesque amandantur. Namque his evangelii, ut videri volunt, prædicatoribus haud satis fuit statuas tantummodo sanctorum auferre, sed picturarum quoque paria ornamenta de sanctissimis templis funditus eraserunt. Quin adeo ex augusto verendoque divinorum altarium apparatu symbolicas vestes, auro et purpura variegatas, confuse passimque detractas, in suis ædibus posuerunt, propterea quod his contextæ sanctorum historiæ compertæ sunt. Insuper et facinus omni impietate refertum non exhorruerunt; beatorum enim et gloriosorum martyrum reliquias ab ecclesiæ magistris convectas, et in pretiosis ciboriis simul congestas, hi omni ornatu denudatas flammis tradiderunt, et pro sua quidem copia ac voluntate athletas fidei conculcandos decorandosque curarunt. Sed enim non sinet Dominus virgam peccatorum demorari super justorum hæreditate : etenim post tempestatem præsentemque perturbationem, sine dubio bonitatis ejus serenitas lucidius splendescet, atque ex ingruente turbine populum suum periclitantem eripiet beatus ille solusque dynasta; neque unquam adeo convalescet improbitas, ut justorum virtuti prævaleat.

μβ'. Οἱ δὲ ἐξ ἀλαζονείας ἀπονενοημένοι, διχοστασίας τοῖς λαοῖς ἐπεγείρειν οὐ παύονται· ὑπὸ γὰρ τῆς σφῶν συμμορίας συνελισσόμενοι, ἑκόντες πρὸς τὴν σύνεσιν τῆς ἀληθείας διαμαρτάνουσι, καὶ τῶν ἱερῶν ἀναθημάτων ἀδεῶς κατατολμῶσιν ἐφάπτεσθαι. Διὸ καὶ ἀπ' αὐτῆς τῆς βασιλείας (75), καὶ πάντων τῶν ἐν ὑπεροχῇ κρατούντων τὰ πράγματα, ἐκμανὴς ἀγανάκτησις τοῖς εὐλαβῶς διάγειν προαιρουμένοις ἐπινενόηται. Τοῦ γε χάριν, καὶ κίνδυνος οὐχ ὁ τυχὼν, ἀλλὰ καὶ λίαν ὀλέθριος, πᾶσαν σχεδὸν τὴν οἰκουμένην ἐμπεριείληχε, πλείστων ἱερέων τε καὶ λαϊκῶν, περισσοτέρως δὲ τῶν τῷ μοναχικῷ ἀσκουμένων τάγματι θεοσεβεστάτων ἀνδρῶν, μεταναστῶν τῶν οἰκείων γεγενημένων, καὶ ἐν ἐξορίᾳ καὶ γυμνητεύσει, μετὰ καὶ τῶν τοῦ σώματος μελῶν ἀφαιρέσεως, εἰς διασπορὰν καὶ ἐρήμωσιν παραπεμφθέντων (76). Οὐ γὰρ ἠρκέσθησαν οἱ τὰ νῦν τοῦ κηρύγματος τὸν λόγον ἐπιδεικτικῶς ὑποφαίνοντες, τῇ διὰ σανίδων μόνον ἐκποιήσει τὰ τῶν ἁγίων περιαίρεσθαι εἰκονίσματα, ἀλλὰ καὶ τὴν ἐν γραφίδι ἐφάμιλλον τούτοις κόσμησιν τῶν σεπτοτάτων νεῶν ὁλικῶς ἐξορύττεσθαι. Καὶ ἔμπαλιν τὰ τοῖς θείοις θυσιαστηρίοις τῶν σεβασμίων καὶ ἱερῶν τραπεζώσεων συμβολικὰ ἐπενδύματα, ἐν χρυσῷ καὶ πορφύρᾳ συμποικιλθέντα, χύδην ἀπομορξάμενοι, ἐν τοῖς ἑαυτῶν οἴκοις ἀνέθεσαν, ὅτι καὶ χαρακτῆρες ἁγίων εὑρηνται ἱστορούμενοι. Πρὸς δὲ τούτοις καὶ τὸ πάσης ἀνοσιουργίας ἀνάμεστον δρᾷν οὐκ ἐνάρκησαν· τὰ γὰρ τῶν μακαρίων καὶ ἀοιδίμων μαρτύρων λείψανα, ὑπὸ τῶν τῆς Ἐκκλησίας διδασκάλων συγκομισθέντα, καὶ ἐν τιμίοις κιβωτίοις σωρηδὸν ἐντεθέντα ἀπογυμνώσαντες, πυρὶ κατανάλωσαν· τὸ ὅσον ἐπ' αὐτοῖς τοὺς διὰ πίστιν ἠθληκότας, καταπατῆσαι καὶ ἀτιμάσαι σπουδάσαντες (77). Ἀλλ' οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων· μετὰ γὰρ τὸν σάλον καὶ τὴν κρατοῦσαν νῦν ἀταξίαν, εὖ οἶδα ἡ αἰθρία τῆς αὐτοῦ ἀγαθότητος ἐπέλαμψε φαεινέστερον· καὶ τοῦ περικειμένου χειμῶνος τὸν λαὸν αὐτοῦ κλυδωνιζόμενον ἐξελεῖται ὁ μακάριος καὶ μόνος δυνάστης· οὐ γὰρ ἐπὶ τοσοῦτον ῥιζωθήσεται ἡ κακία, ὡς τῆς ἀγαθῆς ὑπερισχύσαι δυνάμεως.

43. Hæc a me breviter in præsenti dicta sint, D nisi tu forte putas sermonem adhuc latius esse protrahendum. Alioqui neque aliquis liber ad hanc rem idoneus adest, qui omnes revera alienis manibus detinentur, neque eos facile nancisci mihi licet, ut tibi probe compertum est, qui res præsentes

μγ'. Ταῦτα ἡμῖν ἐπιτόμως πρὸς τὸ παρὸν εἰρήσθω· εἰ μὴ εἰς μῆκος τὸν λόγον ἐκτείνεσθαι λογιζομένων ὑμῶν εἶναι δίκαιον· ἄλλως τε μήτε βιβλίου τινὸς ἡμῖν νῦν πρὸς τοῦτο ὑπόντος, ὡς ἐπὶ τῆς ἀληθείας αὐτῆς, ἀλλ' ὑφ' ἑτέρων χεῖρας κατεχομένων, καὶ μηδὲ πρὸς τὸ εὐπορίστως ἐντυχεῖν ταύταις ἡμῶν

(75) Scribit videlicet Germanus sub Leone Isaurico iconoclasta, quem Cæsarem Guillielmus Cavæus, ab Iconoclastarum hæresi minime alienus, tot laudibus impudenter extollit, quot conviciis deprimit sanctum Germanum.

(76) Nota sunt hæc ex tristi Iconoclastarum historia, puta A. Maimburgi.

(77) Mirum est quod novi in Occidente Iconoclastæ eadem prorsus fecerint et docuerint, quæ illi veteres. Legatur Card. Gottus ver. eccl. demonstr. adversus Jacobum Piceninum t. II, part. II, artic. 15 et 16.

Digitized by Google

τυγχανόντων (78), ὡς ἴστε καὶ ὑμεῖς ταῦτα πλεῖον ἡμῶν ἐπιστάμενοι· ταῦτα δὲ ὡς ἐκ τῆς προτέρας ἀναγνώσεως, καθὼς ἠδυνήθημεν ἐπιμνησθῆναι, ἐν ἀληθείᾳ τῇ ὑμετέρᾳ ἐσημήναμεν τιμιότητι· ὑπομνηστέον δὲ δίκαιον ὑμᾶς καὶ τοῦτο, ὡς πολλοὶ καὶ ἕτεροι γεγόνασιν αἱρετικοί, καὶ κατ' ὄνομα πάντων πρέπων αὐτοῖς πρόεισιν ἀναθεματισμός· ἡμῖν δὲ νῦν ἐπονοήθη πρὸς τὰς ὑμετέρας ἐρωτήσεις, ἐν ἐπιδρομῇ τὰς συνόδους καὶ τὰ δόγματα αὐτῶν, καὶ τὴν τῆς κινήσεως αὐτῶν καὶ συνελεύσεως αἰτίαν ἐξειπεῖν· εἰ καὶ μικρὸν ἄνωθεν τὸν λόγον ἠγάγομεν, καὶ ποίας ἕκαστος τῶν αὐτῶν ἐπισήμων Πατέρων ἐξῆρχε συνόδου, καὶ τίνος τὸ τηνικαῦτα βασιλεύσαντος, καὶ τίς πρὸς ποίαν παρετάξατο αἱρετικὴν φάλαγγα.

μδ'. Αὗται δὲ μᾶλλον αἱ μνημονευθεῖσαι τῶν ἄλλων αἱρέσεών εἰσι κεφαλαὶ καὶ προέχουσαι τῶν λοιπῶν, ὥσπερ παραφυάδων ὑποβλαστησάντων αὐταῖς. Τινὲς δὲ αὐτῶν τὴν ἕκτην μὴ καταδεξάμενοι σύνοδον, ἀνατρέπουσι καὶ τὴν πέμπτην· ἕτεροι δὲ τὰς δύο ἀποβαλλόμενοι, τὴν τετάρτην προσδέχονται, καὶ εἰσὶ μαχόμενοι μετὰ τῶν Ἰακωβιτῶν· κἀκεῖνοι τούτους ὡς ἀνοήτους κατακρίνουσιν, ὅτι γε τὴν τετάρτην δεχόμενοι σύνοδον, τὰς ἄλλας δύο μὴ προσδέχεσθαι φιλονεικοῦσιν. Εἰσὶ δὲ οὗτοι οἱ λεγόμενοι Μαρωνεῖται (79), μοναστήριον δὲ τούτων πρὸς αὐτὰ τὰ ὅρια τῆς Συρίας κατῳκισμένον ὑπάρχει· οἱ πλεῖστοι δὲ μᾶλλον αὐτῶν παντελῶς καὶ τὴν ἕκτην, ἔτι δὲ καὶ τὴν πέμπην, καὶ τὴν τετάρτην ἀποβάλλονται. Ὁ γὰρ τὴν τετάρτην δεχόμενος, καὶ τὴν ἕκτην ἐδέξατο, εἴπερ λογισμοῦ καὶ νοὸς κεκριμένου ἐντὸς καθέστηκεν. Ἡ γὰρ τῆς ἕκτης συνόδου ῥίζα καὶ, ὡς εἰπεῖν, θεμέλιος καὶ βάσις ἐστηριγμένη, ἡ τετάρτη πέφυκε σύνοδος· ἐκείνης γὰρ τέλειον ἐν ἀνθρωπότητι τὸν ἕνα Κύριον ὁριζούσης, καλῶς αὐτὴ τὸ τέλειον τοῦ ἀνθρώπου ἀκούσασα, ἐν αὐτῷ εἶναι καὶ θέλημα καὶ ἐνέργειαν, καὶ κατὰ τὸ ἀνθρώπινον αὐτοῦ ἔχειν αὐτὸν φυσικῶς ὡρίσατο. Ὁμοίως καὶ Θεὸς τέλειος εἶναι κηρυττόμενος, οὐκ ἀθέλητος οὐδὲ ἀνενέργητος ὑπάρχει Θεός.

με'. Δι' ὧν δείκνυται κατὰ ἀλήθειαν εἷς καὶ αὐτὸς ἐν θεότητι τέλειος, καὶ ἐν ἀνθρωπότητι τέλειος, Υἱὸς μονογενὴς καὶ γνήσιος, καὶ μὴ ἄλλος, εἰ καὶ ἄλλως καὶ ἄλλως τὰ ἐξ ὧν ὁ Χριστὸς καταφαίνεται. Ἐκ θεότητος γὰρ καὶ ἀνθρωπότητος, εἷς πέφυκεν Υἱός· οὐ συγχυθεὶς εἰς ἓν ἐκ τῶν δύο, ἀλλ' ἑκατέρας φύσεως κυρίως τὴν ἰδιότητα, καὶ φυσικῶς ἀλωβήτως ἐν ἑαυτῷ διαφυλάξας, ἀδιάστατον πάλιν καὶ ἀμέριστον κεκτημένος τὴν ἕνωσιν, ἐπειδὴ ἑνὸς καὶ τὰ αὐτοῦ πάθη καὶ τὰ θαύματα γινώσκομεν. Ἐνεργεῖ γάρ, φησὶν, ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας τοῦτο ὅπερ ἴδιον ἔσχε, τοῦ μὲν Λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ Λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος, ὡς Λέοντι τῷ

A magis quam ego ipse, cognoscis. Hæc igitur, tanquam veteris lectionis fructum, quantum meminisse potui, reverentiæ tuæ sincere retuli. Porro et hoc in memoriam revocandum tibi est, nempe alios quoque exstitisse hæreticos, quorum cuique nominatim dictum fuit anathema : ego tamen in præsenti tuæ tantummodo occurri interrogationi, ut brevi excursu synodos, earumque decreta, et conveniendi consultandique causas enarrarem ; etsi paulo altius sermonem derivavi, dixique cui quisque synodo illustrium Patrum præfuerit, et quis pro tempore imperator fuerit, quisve quam hæreticam aciem oppugnaverit.

Θεοῦ, τὸ εἰς γῆν ἀναλύειν αὐτὸν ἐξ ἧς ἐλήφθη, ἕνα ὅρον δοθῆναι κατὰ παντὸς ὑπαγορεύει τοῦ γένους, καὶ οὐ πολλοὺς ἐκ τοῦ περὶ ἕκαστον θεωρουμένους. Ἡ δὲ τοῦ διδασκάλου φωνὴ οὐ μόνον περὶ ἕκαστον ζωῆς ὅρους ἔφη πεπῆχθαι, ἀλλὰ καὶ τὸ περὶ ἕκαστον συμφέρον ἐκ τούτου προσκοπεῖσθαι ἐδίδαξε. Δῆλον δὲ ὡς ἡ μὲν ἐκ τῆς πρώτης καταδίκης ἐπαγωγὴ μία καὶ ἡ αὐτὴ ἐπὶ πάντων ἀνθρώπων ἐστίν. Ὁμοίως γὰρ πάντες εἰς γῆν ἀποστρεφόμεθα, εἰ καὶ οἱ τρόποι τοῦ θανάτου διάφοροι. Τὸ δὲ ἄλλον ἄλλου θᾶττον ἢ βραδύτερον ἀποδιῶναι, τὴν πρὸς τὸ συμφέρον ἡμῖν τοῦτο οἰκονομοῦσαν τοῦ Θεοῦ πρόνοιαν δείκνυσι· τῷ μὲν πρὸς τὸ μετανοίᾳ τὰ φθάσαντα διορθώσασθαι σφάλματα, πλείονα ἐπιμετροῦντος ζωήν· τὸν δὲ πρὸς τὸ μὴ ἐμπαγῆναι εἰς ὕλην τοῦ τῆς ἁμαρτίας βυθοῦ, τάχιον προαρπάζοντος. Μᾶλλον δὲ κατὰ τὴν ἄῤῥητον τῆς σοφίας αὐτοῦ καὶ τῆς ἀγαθότητος ἄβυσσον, ἥτινι μηδὲ ἀγγελικὸν ὅλως προσβλέψαι νοῦν δυνατὸν, τὰ τοιαῦτα οἰκονομοῦντος, καὶ τῇ οἰκείᾳ προγνωστικῇ δυνάμει προθεωροῦντος τὰς ἐκβάσεις τῶν ἐσομένων, καὶ καταλλήλως τούτοις τῇ δικαίᾳ ἑαυτοῦ κρίσει τὰ τέλη τούτων προορίζοντος. Καὶ ἵνα μή τις ἡμᾶς παραστοχάζεσθαι τῆς πατρικῆς ἐννοίας νομίσειεν, αὐτὸν Βασίλειον τὸν σοφώτατον δεξώμεθα τῶν οἰκείων λόγων ἐξηγητὴν ἐν τῷ περὶ εὐχαριστίας δευτέρῳ λόγῳ (10) λέγοντα οὑτωσί· « Ἔννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς, ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλείω παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτικῶν ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγὴν, οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου· σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκητο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου (11). »

A hic scilicet in eum, de quo sumptus est, pulverem resolvatur, unum generi hominum universo constitutum esse terminum monet, non plures qui ex singulorum exitu cognoscantur. At vero doctoris vox non solum singulorum vitæ præstitutos limites ait, verum etiam quid cuique homini utile sit, hac ipsa re prospectum antea docet. Constat autem primæ damnationis sententiam, unam eamdemque contra omnes homines esse. Æque enim cuncti in pulverem revertimur, etsi genera mortis differunt. Quod vero alius alio citius moritur, id sollicitam utilitatum nostrarum providentiam Dei demonstrat : qui alii ob emendanda prioris temporis errata diuturniorem dimetitur vitam ; alium, ne in cœnosum peccatorum barathrum demergatur, citius abripit. Et quidem sic agit pro sua ineffabili sapientiæ bonitatisque altitudine [12] (in quam ne angelicæ quidem menti introspicere licet), suaque futuri præscia vi, qua rerum exitum prospicit, atque his congruenter, justo suo judicio, fines præstituit. Ac nequis forte nos a patris sensu aberrare putet, sapientissimum ipsum Basilium sententiæ suæ narratorem audiamus in secunda de gratiis agendis oratione : « Fac animo tuo reputes, a factore nostro atque animatore Deo, proprium cuique animæ attributum esse vitæ curriculum, atque aliis alios excedendi vita limites posuisse : et hunc diutius superesse in carne decrevit ; illum celerius solvi vinculis corporis statuit ; secundum arcanas sapientiæ suæ justitiæque rationes. Sicuti ergo qui in carcerem conjiciuntur, partim tempore prolixiore custodum sævitia includuntur, partim ociorem inveniunt pœnæ depulsionem ; sic et animæ partim diutius in hac vita retinentur partim brevius, pro cujusque merito : nostro scilicet Creatore sapienter atque longissime, et præ omni humanæ mentis acumine, res nostras singulorum prævidente. »

Ζ'. Β. Οὐκοῦν καὶ τῶν ἀλόγων κατὰ σὲ ὅρους ἐροῦμεν τῆς ζωῆς.

Α. Πῶς τοῦτο φῄς ;

Β. Ὅτι τοι γέγραπται, ὡς ὁ θάνατος τούτου, οὕτως καὶ ὁ θάνατος τούτου, καὶ πνεῦμα ἐν τοῖς πᾶσι. Καὶ τί περιέσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος ; οὐδέν· ὅτι τὰ πάντα πορεύεται εἰς τόπον ἕνα. Τὰ πάντα ἐγένετο ἐκ τοῦ χοὸς, καὶ τὰ πάντα ἐπιστρέφει εἰς τὸν χοῦν.

7. B. Ergo etiam brutis, te judice, vitæ terminos definitos dicemus?

A. Quid ita ?

B. Quia scriptum est : Sicut mors hujus, ita et mors illius ; unusque omnibus spiritus. Et quid homo præstat belluæ ? nihil. Etenim omnia eumdem in locum abeunt. Omnia de pulvere orta sunt, atque omnia in pulverem revertuntur [13].

Α. Οὕτω μὲν γέγραπται ταῦτα· οὐχ οὕτω δὲ ἔχει κατὰ τὴν ἔννοιαν ὥσπερ ὑπείληφας σύ. Ἡ γὰρ τῶν ἀῤῥήτων ἐπαγωγὴ, ἣν αὐτὸς παρεκράτησας, τὴν ἀληθῆ τῶν γεγραμμένων ἐμφαίνει διάνοιαν. Τῇδε γὰρ ἔχει·

A. Hæc quidem ita sunt scripta : neque tamen eorum est, quem tu putas, sensus. Nam quæ ibi sequuntur, quæque tu reticuisti, veram Scripturæ sententiam produnt. Sunt autem hæc : Et quis

[12] Rom. xi, 33. [13] Eccle. iii, 20.

NOTÆ.

(10) Nempe in sermone qui vulgo inscribitur *De martyre Julitta*, cap. 5.

(11) Locus idoneus confirmandæ sententiæ de prædestinatione post prævisa merita.

Digitized by Google

novit utrum spiritus hominis sursus ascendat? et belluæ spiritus feratur in terram? Scilicet hominis spiritus, secundum ipsius Ecclesiastæ effatum [14], ad Deum qui dedit ipsum revertitur; cum sit incorporea substantia intellectualis; ideoque dicitur sursum ascendere. Bruti autem spiritus materialis est, substantiam suam de terra haud secus quam corpus nactus, vimque habens movendi hujus; ideoque ut in pulverem cum corpore resolvatur natura comparatum est. Ergo Ecclesiastes non suam sententiam proferens verba illa elocutus est, sed potius hominum, vitam corporeæ voluptati deditam instituentium, nihilque supra sensum cogitantium. Idque apertius præcedente dictione testatus est: « Dixi in corde meo de sermunculis filiorum hominis, fore ut dijudicet illos Deus: atque ut ostendat eos instar esse brutorum [15]; » addit quinam sint sermunculi secundum quos judicabuntur, et quorum causa in belluarum numero reputandi erunt: « Quia eventus est, inquit, filiorum hominis, et eventus jumenti in ipsis. Sicuti mors ejus, ita et mors illius [16]. » Et hæc multorum opinio est ac persuasio. Qui autem propriam sententiam scribit, is ait paucorum esse sanum judicium mente informare; ita ut noscant jumenti spiritum pulveri, unde constat, esse reddendum; spiritum hominis ad Deum reversurum qui dederat, quique vitam ex semetipso inspiraverat sumpto de terra corpori: quam animam intellectualem Deique imaginem ratio agnoscit, teste Gregorio Theologo. Nam et vocabulum τίς de re infrequenti dici solet in Scriptura. Veluti: « Quis ascendet in montem Domini? » et: « Quis est homo qui vult vitam [17]? » et: « Quis fidelis prudensque villicus [18]? » et similia.

8. B. At enim qui fieri potest ut singulorum hominum vitæ certos terminos esse credamus, siquidem terminus res per se definita est, quæ neque additamentum patitur neque defectum? quod ex dicto Dei ad Jobum de mari colligere licet. Ait enim: « Constitui mari fines, claustris appositis januisque; eique dixi: Huc usque pertinges neque ultra progredieris [19]. » Nos autem in Scripturis invenimus tum incrementa vitæ a Deo bonis hominibus fieri, tum temporis detractionem his qui prave vitam instituunt. Impossibile est igitur, si a principio Deus singulorum vitæ terminos posuit, hos ullo modo commoveri, sive bonorum majore longævitate, sive improborum breviore vita; alioqui termini jam non essent.

καὶ τίς οἶδεν εἰ τὸ πνεῦμα τοῦ ἀνθρώπου ἀναβαίνει αὐτὸ εἰς ἄνω; καὶ τὸ πνεῦμα τοῦ κτήνους καταβαίνει κάτω εἰς γῆν; Τὸ μὲν γὰρ πνεῦμα τοῦ ἀνθρώπου κατὰ τὴν αὐτοῦ τοῦ Ἐκκλησιαστοῦ φωνὴν ἐπιστρέφει πρὸς τὸν Θεὸν ὃς ἔδωκεν αὐτό, οὐσία ὑπάρχον ἄϋλος ζῶσα νοερά· καὶ δι' αὐτὸ εἴρηται ἀναβαίνειν αὐτὸ εἰς ἄνω. Τὸ δὲ τοῦ κτήνους πνεῦμα ὑλικόν ὑπάρχει, ἐκ γῆς τὴν σύστασιν ὁμοίως τῷ σώματι εἰληφὸς, κινητικὴν τοῦτο δύναμιν ἔχον· καὶ διὰ τοῦτο εἰς γῆν ἀναλύεσθαι σὺν τῷ σώματι πέφυκεν. Ὁ οὖν Ἐκκλησιαστὴς οὐχὶ τὴν ἑαυτοῦ κεχριμένην γνώμην εἰσάγων ἐκεῖνα ἔφη τὰ ῥήματα, ἀλλὰ τὴν τῶν πολλῶν τῶν σωματικώτερον ζῆν αἱρουμένων, καὶ μηδὲν τῶν κατ' αἴσθησιν ὑψηλότερον ἐννοουμένων. Καὶ τοῦτο δείκνυται ἐκ τῆς φράσεως τοῦ προκειμένου σαφέστερον· προειπὼν γὰρ ἔχει· « Εἶπα ἐν καρδίᾳ μου περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεός· καὶ τοῦ δεῖξαι ὅτι αὐτοὶ κτήνη εἰσὶν, » ἐπάγει, τίς ἡ λαλιὰ καθ' ἣν κριθήσονται, καὶ δι' ἣν ἐν τῇ τῶν κτηνῶν μοίρᾳ ταχθήσονται· « Ὅτι συνάντημα, φησὶν, υἱῶν τοῦ ἀνθρώπου, καὶ συνάντημα κτήνους ἐν αὐτοῖς. Ὡς ὁ θάνατος τούτου, οὕτως καὶ ὁ θάνατος τούτου. » Καὶ αὕτη μὲν ἡ τῶν πολλῶν δόξα τε καὶ πληροφορία. Ὁ δὲ τὴν οἰκείαν γνώμην τιθεὶς διδάσκει, ὅτι ὀλίγων ἐστὶ τὴν τούτων ὑγιῶς διάκρισιν ποιεῖσθαι· ὥστε τὸ μὲν τοῦ κτήνους πνεῦμα εἰδέναι εἰς γῆν διαλύεσθαι, ἐξ ἧς καὶ συνέστηκε· τὸ δὲ τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν ἐπιστρέφειν, ὃς ἔδωκεν αὐτὸ [a], παρ' ἑαυτοῦ ζωὴν ἐνθεὶς τῷ ἐκ τῆς ὕλης ληφθέντι σώματι· ἥντινα ψυχὴν νοερὰν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος κατὰ τὸν Θεολόγον Γρηγόριον (12). Καὶ γὰρ τὸ τίς παρὰ τῇ Γραφῇ ὡς τὰ πολλὰ ἐπὶ τοῦ σπανίου εἴωθε τάττεσθαι· ὡς τό· « Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; » καί· « Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν; » καί· « Τίς ἄρα ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος; » καὶ τὰ παραπλήσια.

η'. Β. Πῶς ἡμᾶς ἐστι δυνατὸν ὅρους τῆς ἑκάστου ζωῆς ἐννοεῖν; ὁπότε πᾶς μὲν ὅρος τὸ ἐξ αὐτοῦ ὁριζόμενον ἔχει, μήτε ὑπερβάλλων τὴν αὐτοῦ περιγραφὴν, μήτε ἐλλείπων πρὸς ταύτην; ὡς ἐκ τῶν πρὸς τὸν Ἰὼβ ἐκ τοῦ Θεοῦ περὶ τῆς θαλάσσης εἰρημένων ἔξεστιν ἐννοεῖν. Λέγει γὰρ, « Ἐθέμην δὲ αὐτῇ ὅρια περιθεὶς κλεῖθρα καὶ πύλας· εἶπα δὲ αὐτῇ, Μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ. » Ἡμεῖς δὲ εὑρίσκομεν ταῖς Γραφαῖς καὶ προσθήκην ζωῆς τοῖς εὐδοκίμοις γίνεσθαι ἐκ Θεοῦ, καὶ κολόβωσιν χρόνων ἐπακολουθεῖν τοῖς βίον ἡμαρτημένον κατεγνωσμένοις. Ἀδύνατον οὖν εἴπερ ἐξ ἀρχῆς ὅρους τῆς ἑκάστου ζωῆς ἔπηξε Θεὸς, τούτους κατά τι γοῦν παρασαλευθῆναι, ἢ ὑπερβιώσει τῶν ἐναρέτων, ἢ ἐλαττώσει τῶν κατεγνωσμένων, ἐπεὶ οὐκ ἂν ἦσαν ὅροι.

[14] Eccle. III, 19. [15] ibid. 18. [16] ibid. 19. [17] Psal. XXIII, 3; XXXIII, 13. [18] Matth. XXIV, 45. [19] Job XXXVIII, 8-10.

VARIÆ LECTIONES.

[a] Cod. αὐτῷ.

NOTÆ.

(12) Confer Billii editionem, tom. I, orat. 12, p. 981.

Digitized by Google

A. Καὶ ποῦ σοι τῶν Γραφῶν τὰ τοιαῦτα παρατε- A τήρηται;

B. Πρόδηλον ὡς Ἐζεκίας μὲν δι' εὐσέβειαν, ἐτῶν πεντεκαίδεκα προσθήκην ζωῆς ἐκομίσατο. « Ἄνδρες δὲ αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν, » βοᾷ Δαβίδ. Καὶ ὁ Σολομῶν· « Ἄκουε, υἱὲ, ἐμοὺς λόγους, φησὶ, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς. » Καὶ πάλιν· « Ἀποτρέπων τὰς πρὸς τὴν κακίαν ὁδοὺς, μὴ γίνου σκληρὸς, φησὶ, καὶ μὴ ἀσεβήσῃς πολὺ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. » Καὶ πάλιν· « Ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων. » Καὶ τούτων πλείονα ἐν ταῖς Γραφαῖς εὑρισκόμενα. Εἰ οὖν ὕφεσιν καὶ ἐπίτασιν πρὸς τὸ τῆς πολιτείας διάφορον λαμβάνει τὰ τῆς ζωῆς, οὐδαμῶς ὅροι ταύτης τοῖς ἀνθρώποις πεπήγασι. Τὸ γὰρ πάγιον ἀμεταχίνητον διαμένειν ἀνάγκη· ἐπεὶ B πῶς ἂν εἴη πάγιον;

θ'. A. Τὰ πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἢ προτροπὴν ἀρετῆς ἐν ταῖς θείαις εἰρημένα Γραφαῖς ἀναγκαίως ἡμῖν προσάγονται ὑπὸ Θεοῦ· « ἵνα πᾶν στόμα φραγῇ, » ὡς ὁ μακάριος Παῦλος βοᾷ, « καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ· » καὶ οὐχ ὡς ἀγνοοῦντος αὐτοῦ τὸ ἐσόμενον, κατὰ τὸν μέγαν Γρηγόριον, ἀλλὰ νομοθετοῦντος τὸ αὐτεξούσιον (13), τὰ τοιαῦτα δίδοται νουθετήματα. Αὐτὸς γὰρ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, ἐξ ἀπείρου καὶ οὐ προσφάτως, οὐδὲ ἐκ τεκμηρίων στοχαζόμενος τὸ ἐσόμενον, ἀλλὰ δυνάμει θεοπρεπεῖ καὶ ἀῤῥήτῳ τῇ τῶν γενησομένων ἐπιβάλλων ἐκβάσει· καὶ ὑπ' ὄψιν ὡς εἰπεῖν τὰ μέλλοντα προορώμενος, προσφόρως τοῖς C προεωραμένοις αὐτῷ καὶ τὰ τῆς ἑαυτοῦ κρίσεως ἐπ' αὐτοῖς προορίζει (14). Ἄνθρωποι μὲν γὰρ μετὰ τὰς τῶν πραγμάτων ἐκβάσεις, τὰς καταλλήλους κρίσεις ἐπάγουσι. Θεῷ δὲ τὸ μέλλον ὡς ἤδη ἐστὸς θεωρεῖται· καὶ κατὰ τοῦτο τὰ τῆς πρεπούσης ἀξίας, μᾶλλον δὲ τῆς συμφερούσης ἑκάστῳ λήξεως προθεσπίζει ἀπαραβάτως, εἴτε ἐν παρατάσει ζωῆς, εἴτε ἐν ὀλιγότητι καὶ συστολῇ τῆς βιώσεως· ἐπειδὴ καὶ τὰ τῆς προγνώσεως οὐκ ἐσφαλμένα· κατά τι γοῦν ὅλως καὶ τὸ βραχύτατον ἐν αὐτῷ θεωροῦνται· ἀλλ' ἐν ἀκριβεστάτῃ λίαν καταλήψει τῷ ὑπερουσίῳ τῆς αὐτοῦ δυνάμεως ἐνυπάρχουσιν. Ἀπειλεῖ τοίνυν τὰ φοβερὰ, καὶ πάλιν ἐπαγγέλλεται τὰ χρηστά· ἵνα διὰ μὲν τῶν ἀπαγάγῃ τῆς ἁμαρτίας, διὰ δὲ τῶν τῇ ἀρετῇ προσ- D αγάγηται τὸν ὑπακούοντα· αὐτεξούσιον ἔχοντος τοῦ ἀνθρώπου τὴν ἐφ' ἑκάτερα ῥοπὴν καὶ ἀδίαστον· πανταχοῦ δεικνύντος τοῦ Θεοῦ δι' ὑπερβάλλουσαν ἀγαθότητα μηδὲν ἑαυτὸν ἐλλελοιπέναι τῶν εἰς ἡμετέραν σωτηρίαν ἡκόντων· ἵνα τοῖς καταφρονήσασι τῶν ἐνταλμάτων καὶ τῇ δικαίᾳ αὐτοῦ ἀγανακτήσει ὑπαχθησομένοις, τὸ ἀναπολόγητον προσῇ. Καὶ ἵνα γνῶμεν ὅτι καίτοι ἐπιστάμενος τό τινων ἀπειθὲς, ὅμως πάντα τὰ πρὸς ἐπιμέλειαν αὐτῶν ἐργάζεται,

A. Fare age in quibusnam Scripturæ locis hæc deprehendisti?

B. Constat Ezechiæ pietatis ergo, quindecim annis vitam fuisse prorogatam[20]. « Viri autem sanguinum et fallaciæ non attingent ætatis suæ dimidium, » inquit David [21]. Tum Salomon: « Audi, fili, sermones meos, inquit, ut tibi augeantur vitæ anni [22]. » Et rursus: « Ne deflectas ad vias pravas, neque contumax fias, neque magnopere pecces, ne tempore non tuo moriaris [23]. » Præterea: « Abripiuntur intempestivæ animæ impiorum [24]. » Plura ejusmodi in sacris Litteris sunt. Si ergo imminutionem et incrementum pro diverso morum genere vita humana recipit, nequaquam huic fines præfixi fuerunt. Nam quod fixum est, id immobile maneat necesse est: alioqui quomodo esset fixum?

9. A. Quæ vel ad peccatum inhibendum vel ad excitandam virtutem in divinis Scripturis dicta fuerunt, ea necessario nobis Deus infert, « ut omne os obstruatur, totusque mundus subditus Deo fiat [25]: » non quod ipse futura ignoret, ut ait magnus Gregorius; sed quia liberum arbitrium esse vult, idcirco fiunt hæ admonitiones. Ipse enim ante hominum nativitatem omnia sciens, ab æterno, non nuperrime neque e signis, futura divinans, sed virtute Deo digna et ineffabili, posterorum temporum eventus assequitur. Cumque oculis ut ita dicam futura prospectet, convenientia his visis sua quoque judicia faciunt; Deus autem futurum præsentis instar spectat; atque ita quod cujusque merito congruit, vel potius debitam cuique sortem, citra omnem transgressionem decernit, sive de vita extendenda agatur, sive de brevitate ejusdem et contractione; quandoquidem ejus præsensio errori non est obnoxia. Res enim ipse perfecte ocissimeque in semet spectat: quin hæ potius accuratissime cognitæ in ejus virtute ineffabili continentur. Minatur itaque formidolosa, itemque jucunda pollicetur, ut illa a peccatis deterreant, hæc docilibus virtutem suadeant: quandoquidem homo liber utrinque ab omni coactione est. Atque ita Deus usquequaque ostendit nihil ab ejus bonitate reliquum fieri, quod saluti nostræ prosit: ut mandatorum deinde contemptoribus, ideoque justæ ejus iræ obnoxiis, excusatio nulla supersit. Atque ut nobis innotescat Deum, etsi quorumdam contumaciæ præscium, nullum tamen prætermittere officium, quo suam erga nos clementiam significet, audi quid ipse beato Ezechieli prophetæ: « Perge, fili hominis, ad Israelis quæ me exasperat domum; meosque apud eam sermones eloquitor. Quia non ad populum profundi labii neque duri sermonis mitteris,

[20] IV Reg. xx, 6. [21] Psal. LIV, 24. [22] Prov. IV, 10. [23] Prov. XI, 31. [24] Eccle. VII, 18. [25] Rom. III, 19.

NOTÆ.

(13) Sunt ipsa Nazianzeni verba orat. 42, pag. 696.

(14) Locus iterum insignis pro sententia theologica de prædestinatione post prævisa merita.

Digitized by Google

sed ad Israelis domum ; neque ad alienæ linguæ diversique eloquii gravisque loquelæ gentes, quarum non possis audire sermones. Quanquam si ad has te mitterem, exaudireris utique ab eis. Verumtamen audire te nolet Israelis domus, quia mihi ipsi morem gerere renuit [26]. » Clarius adhuc id demonstratur ex iis etiam quæ in Deuteronomio dicuntur. Etenim post tot mandata quæ Deus ipse populo per legislatorem vulganda curaverat, abstinendi scilicet omni idolorum superstitione, unique sibi cultum adhibendi, videsis quemadmodum magno illi Mosi locutus sit : « En tu cum majoribus tuis jam requiesces, populus autem hic fornicabitur post deos alienos terræ ejus quam ingredietur [27]. » Deinde etiam persecuturam contumaces indignationem subdit : « Irascar eis vehementer in illa die : deseram illos, meamque ab eis faciem avertam ; fient esca aliena, multisque malis atque cladibus atterentur [28]. » Sic nimirum aperte Deus docet ; quamvis ipse leges condat, normamque virtutis tradat ac vitii declinationem, nihilominus ejus præscientiam non interverti, neque porro eum impediri quominus congruenter prævisis, commoda sapientiæ suæ justitiæque decreta scribat : ita ut nobis quoque cum Apostolo dicendum sit : « Quos præscivit et prædestinavit [29]. »

10. B. Deus lux est, nec tenebræ in eo sunt ullæ, ut divus Joannes ait [30]. Est autem lucis officium, quæ vere exsistunt perspicua facere, atque ab omni obscuritate, id est errore, vindicare. Si ergo amator veritatis Dominus, imo veritas ipsa est, quomodo præter veritatem loqui videtur ?

A. Ubinam vero id relatum demonstrare potes ?

B. Ezechiæ deprehendimus a Deo prophetæ ore dictum : « Dispone domui tuæ, quia morieris tu, nec amplius vives [31]. » Alterutrum ergo colligitur, nempe vel terminos temporalis hujus vitæ cuique homini non esse præfixos, vel Deum falsa eloquium. Nam certe quindecim demum post annos Ezechiæ mors adfuit, non eo tempore quo dictum ei fuerat : « Morieris tu, nec amplius vives. »

A. Age vero quænam Deo causa fuit decretum suum abolendi ?

B. Ita scilicet quam ipse Deus Ezechiæ significavit : « Quia lacrymas tuas vidi, tuamque vocem exaudivi, en tibi annorum quindecim incrementum do [32]. »

A τὴν οἰκείαν ἐπιδεικνὺς φιλανθρωπίαν, ἄκουε τί φησι τῷ μακαρίῳ Ἰεζεκιὴλ τῷ προφήτῃ · « Υἱὲ ἀνθρώπου, βάδιζε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ τὸν παραπικραίνοντά με, καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτούς· διότι οὐ πρὸς λαὸν βαθύχειλον καὶ βραχύγλωσσον [6] σὺ ἐξαποστέλλῃ, πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ· οὐ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους ἢ ἀλλογλώσσους, οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους. Καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν εἰσήκουσάν σου· ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσωσιν ὑπακοῦσαί σου, διότι οὐ βούλονται εἰσακούειν μου. » Σαφέστερον δὲ ταυτὸ τοῦτο καὶ διὰ τῶν ἐν τῷ Δευτερονομίῳ γεγραμμένων ἀποδείκνυται. Μετὰ γὰρ τὰς τοσαύτας παραγγελίας ἃς αὐτὸς ὁ Θεὸς πρὸς τὸν λαὸν διὰ τοῦ νομοθέτου B πεποίηται τοῦ ἀπέχεσθαι μὲν πάσης εἰδωλοποιίας πλάνης, μόνῃ δὲ τῇ αὐτοῦ προσανέχειν λατρείᾳ, ὅρα οἷα πρὸς αὐτὸν ἐκεῖνον τὸν μέγαν ἔφη Μωσέα· « Ἰδοὺ σὺ κοιμᾶσαι μετὰ τῶν πατέρων σου· καὶ ὁ λαὸς οὗτος ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς γῆς εἰς ἣν αὐτὸς εἰσπορεύεται ἐκεῖ εἰς αὐτήν. » Εἶτα καὶ τὰ τῇ ἑπομένῃ τοῖς ἀπειθοῦσιν ἀγανακτήσεως ὁριστικῶς ἐπιλέγει · « Καὶ ὀργισθήσομαι αὐτοῖς θυμῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ καταλείψω αὐτούς, καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ ἔσονται κατάβρωμα, καὶ εὑρήσουσιν αὐτοὺς πολλὰ κακὰ καὶ θλίψεις· » ἐκ τούτων σαφῶς διδασκόμενος, ὅτι εἰ καὶ νομοθετεῖ καὶ ὑποτίθεται τὰ πρὸς ἀρετὴν ἐπάγοντα καὶ τὰ τὴν κακίαν ἀνείργοντα, ἀλλὰ τὰ τῆς προγνώσεως αὐτῷ οὐκ ἐγκόπτεται· οὐδὲ τὸ καταλλήλως τοῖς προεγνωσμένοις τὰς τῆς οἰκείας αὐτοῦ σοφίας καὶ δικαιοσύνης κρίσει ὁρίζειν κωλύεται· ὥστε καὶ ἡμᾶς κατὰ τὸν Ἀπόστολον λέγειν, ὅτι « Οὓς προέγνω καὶ προώρισεν. »

ι'. Β. Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ C ἐστιν οὐδεμία, ὁ θεῖος Ἰωάννης φησί. Φωτὸς δὲ ἴδιον τὸ ἀληθῶς ὂν φανεροῦν καὶ ἀπαλλάττειν τοῦ σκότους, ὅπερ ἡ πλάνη ἐστίν. Ἐπεὶ οὖν ἀληθείας ἀγαπᾷ Κύριος, μᾶλλον δὲ αὐτός ἐστιν ἡ αὐτοαλήθεια, πῶς παρὰ τὸ ὂν φαίνεται λαλῶν ;

A. Ποῦ τοῦτο δεικνύειν φερόμενον ἔχεις ;

Β. Τῷ Ἐζεκίᾳ διὰ τοῦ προφήτου εὑρισκομεν τὸν Θεὸν εἰρηκέναι· « Τάξαι περὶ τοῦ οἴκου σου· ἀποθανῇ γὰρ σύ, καὶ οὐ ζήσῃ. » Συναχθήσεται οὖν τῶν δύο τὸ ἕτερον, ἢ μὴ πεπῆχθαι ὅρον τῆς χρονικῆς ταύτης ἑκάστῳ ζωῆς, ἢ τὸ ὂν μὴ ἐξειπεῖν τὸν Θεόν· τουτέστι μετὰ ἔτη πεντεκαίδεκα τὰ τῆς τελευτῆς αὐτῷ ἐπιστῆναι, καὶ οὐ τηνικαῦτα ὁπότε ἐλέχθη αὐτῷ, D « Ἀποθανῇ σύ, καὶ οὐ ζήσῃ. »

Α. Καὶ τί ἄρα φήσομεν αἴτιον γεγονέναι τοῦ λῦσαι τὸν Θεὸν τὴν ἰδίαν ἀπόφασιν ;

Β. Τί ἄλλο γε ἢ ὅπερ αὐτὸς εἶπε τῷ Ἐζεκίᾳ ὁ Θεός· « Ὅτι εἶδον τὰ δάκρυά σου καὶ ἤκουσα τῆς φωνῆς σου, καὶ ἰδοὺ προστίθημί σοι ἔτη ιε' ; »

[26] Ezech. III, 4, 5. [27] Deut. XXXI, 16. [28] Ibid. 17. [29] Rom. VIII, 29. [30] I Joan. I, 5. [31] IV Reg. XX, 1 ; Isa. XXXVIII, 1. [32] Isa. XXXVIII, 5.

VARIÆ LECTIONES.

[6] Corrige βαρύγλωσσον.

Digitized by Google

A. Ἆρα δὲ αὐτὸ τοῦτο οὐ προεγνῶσθαι φῂς τῇ θείᾳ φύσει, τὸ ἐκεῖνον δακρύσαι φημὶ, καὶ τὰ σὺν αὐτῷ πάντα ποιῆσαι, ὡς εἰς οἶκτον κινῆσαι τὸν Θεὸν τοῦ προαγαγεῖν μὲν τὴν ἔφοδον τοῦ θανάτου, τῆς δὲ ζωῆς τὴν προσθήκην ποιῆσαι (15);

A. An tu hoc ipsum divinæ naturæ non prævisum ais, Ezechiæ, inquam, lacrymas atque omnimodum conatum, quo nisus est clementiam Dei permovere, ut mortis incursus cohiberetur, sibique vita prorogaretur?

B. Καὶ τί δὴ ἀπαντήσαι ἡμῖν τῶν ἀτόπων εἰ φαίημεν μὴ τῇ προγνώσει τοῦ Θεοῦ τοῦτο ὑποπεσεῖν;

B. Quid porro absurdum hinc sequitur, si forte id Dei præscientiam latuisse dicamus?

A. Τί δή; αὐτὸ μὲν οὖν τὸ μέγιστον εἰς ἀσέβειαν.

A. Quid, inquam, nisi maximum impietatis crimen?

B. Πῶς καὶ τίνα τρόπον;

B. Quid ita?

A. Ὅτι παρευρησόμεθα ἀποστεροῦντες τὸν Θεὸν ὅσον ἐπὶ τῇ ματαιότητι τῶν ἡμετέρων διαλογισμῶν, αὐτὸ τὸ ἐξαίρετον ἰδίωμα τῆς θεότητος· ὅπερ αὐτὸς χαρακτηριστικὸν ἀπλανέστατον τῆς ἰδίας ὑπερουσίου δυνάμεως διὰ τοῦ προφήτου σαφῶς ἐπηγόρευσε, τὴν τῶν μελλόντων ἁπάντων γνῶσίν φημι καὶ τῶν ἐσομένων τὴν προαγόρευσιν.

A. Quia sic accidet ut Deo detrahamus, nostrorum scævitate ratrociniorum, eam quæ præcipuæ est divinitatis prærogativam, et quod ipse verissimum supremæ potentiæ indicium per prophetam affirmavit, omnium nempe quæ eventura sunt cognitionem ac vaticinium.

ια'. Β. Ἀλλὰ οὐ κατ' ἔλλειψιν τῆς προγνωστικῆς δυνάμεως ἢ ἀσθένειαν φύσεως, λέγομεν μὴ τῇ προγνώσει τοῦ Θεοῦ τὰ κατὰ τὸν Ἐζεκίαν ὑπολῃφθῆναι· ἀλλ' ὡς ἰδικῶς περὶ τὸ ἐκείνου μόνου συμβαίνοντα πρόσωπον, καὶ οὐ πρὸς κοινὴν τῶν ἀνθρωπίνων οἰκονομίαν ὁρῶντα.

11. B. Ego vero non quod præsaga vis deesset, nec infirmitate naturæ, aio Dei mentem latuisse res Ezechiæ, sed quia res hæ personam unam tantummodo respiciebant, non generalem hominum gubernationem.

A. Καὶ τίς ἂν τῶν τὰ θεῖα πεπαιδευμένων ἀνέξεταί σου τοιαῦτα λέγειν τολμῶντος, καὶ τὴν ὑπεράπειρον τῆς θείας προνοίας περιγράφειν ἀγαθότητα; ἥτις οὐδὲ τῆς ἀλόγου φύσεως ἀμελέτητον ποιεῖται τὴν τημελοῦχον ἐπιστασίαν· ὡς ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ ἐδίδαξε, μήτε στρουθίον ἓν εὐτελέστατον, ὡς ἔξω τῆς ἐποπτικῆς τῶν ὅλων ὑπάρχον προνοίας, ἄνευ τοῦ ἐν οὐρανοῖς εἰπὼν πεπεῖσθαι ἐπὶ τῆς γῆς, ἤγουν τῇ παγίδι ἐμπίπτειν. Τί δὲ βούλεται διδάσκων ἡμᾶς διὰ τοῦ ἠριθμῆσθαι λέγειν τὰς τρίχας τῆς κεφαλῆς; τί δὲ τὸ σταγόνας ὑετοῦ μηδὲ αὐτὰς ἔξω τῆς αὐτοῦ ἀριθμήσεως εἶναι, κατὰ τὸν Ἰώβ; οὐχὶ τὸ παντέφορον καὶ ἀκάματον καὶ ἀδιάδραστον τῆς συνεκτικῆς τῶν ὅλων θείας δυνάμεως; Καὶ γὰρ δίκαιον ὢν τὴν δημιουργίαν οὐκ ἀπηξίωσε, τούτων μηδὲ τὴν ἐποπτικὴν τὸν Θεὸν ἀρνήσασθαι πρόνοιαν. Οὐ τῇ εὐτελείᾳ τῶν προνοουμένων τῆς ἀφράστου μεγαλειότητος, ὕφεσιν δόξης κομιζομένης· ἀλλ' ἐν τῷ συνέχειν τὰ ὄντα ἕκαστον ἐν τῷ ἰδίῳ λόγῳ ὡς γέγονε, τῆς παντουργοῦ αὐτοῦ ἐξουσίας τε καὶ προνοίας μειζόνως θαυμαζομένης. Τοῦτο δὲ οὐκ ἄλλως ἢ διὰ τοῦ ἐπιβλέπειν αὐτὸν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ πιστευθήσεται. Οὐκοῦν λεγέτω πρὸς Ἐζεκίαν, μᾶλλον δὲ καὶ πρὸς πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν· « Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε. » Τὸ πρὸς ἕνα λεχθὲν τὸν Ἱερεμίαν φημὶ, καὶ ἀδύνατον εἶναι μὴ νομισθὲν, καὶ ἐπὶ τῶν ὁμοειδῶν πάντων ὁμοίως λαμβάνεσθαι συναναγκαζούσης τῆς ἀληθείας. Τοίνυν προεγνώσθη τῷ Δημιουργῷ ἡ τοῦ βασιλέως ἐν πόνῳ καρδίας καὶ δάκρυσι πρὸς αὐτὸν ἀναβόησις. Ἐξ

A. Et quis demum patietur, si modo sacris doctrinis sit imbutus, hæc te audentem dicere atque immensam divinæ providentiæ præstantiam limitibus circumscribentem? quæ ne irrationabilis quidem animantis idoneam curam negligit, ut in Evangelio Dominus docuit, cum vilissimum nullum passerculum, quasi procul generalis providentiæ respectu sit, sine Patris cœlestis nutu humi decidere vel laqueo irretiri dixit [33]. Quid porro nobis suadet, cum capitis capillos numeratos ait [34]? quid cum pluviæ guttæ sub Dei percensionem venire apud Jobum dicuntur [35]? nonne vis omnituens et indefatigabilis et inevitabilis divinæ omnia conservantis potentiæ denotatur? Et sane æquum est quæ creare non est dedignatus, his ne vigilem quidem providentiam a Deo denegari. Nam summa Dei magnitudo haudquaquam vilitate curatarum rerum gloriam sibi deteri sentit, sed dum potius universa conservat, prout singula naturam primitus sortita sunt, potentia ejus rerum omnium parens vel maxime fit mirabilis. Id vero haud aliunde asseritur quam quod cuncta opera sua contuetur. Igitur dicatur de Ezechia, imo vero de universa hominum natura: Antequam te crearem in utero, novi te. Quod uni quondam Jeremiæ dictum fuit [36], neque impossibile existimatum, jam cunctis ejusdem naturæ consortibus æque dictum credatur. Itaque prævisus Creatori fuit regis cum angore cordis et lacrymis ad eum clamor. Ergo ab æterno, non nuperrime, annorum illud additamentum definitum fuit. Etenim cum

[33] Matth. x, 29. [34] ibid. 30. [35] Job. xxviii, 25. [36] Jerem. i, 5.

NOTÆ.

(15) Notabunt hæc theologi scientiæ, ut aiunt, mediæ propugnatores.

Digitized by Google

rerum causis, res ipsas esse exploratas necesse est. Si ergo lacrymæ causa fuerunt prorogandi vitæ temporis, hæque Deo prævisæ erant, necesse est coætaneam in Deo fuisse rei præscientiam ejusque effectum.

ἀπείρου· τοιγαροῦν καὶ οὐ προσφάτως ὁ ὄρος, αὐτῷ τῆς προσθήκης τῶν τούτων ἐτῶν ἐχαρίσθη· τοῖς γὰρ αἰτίοις καὶ τὰ ἐξ αὐτῶν συνθεωρεῖσθαι ἐπάναγκες. Εἰ οὖν αἴτιον τοῦ προστεθῆναι χρόνον ζωῆς τὸ δάκρυον γέγονε, τοῦτο δὲ τῷ Θεῷ προτεθεώρηται, ἀνάγκη συνεζεῦχθαι αὐτῷ κατὰ τὴν πρόγνωσιν καὶ τὸ ἐξ αὐτοῦ προελθόν.

12. B. Ergo in alterum e supra dictis absurdis incurremus, nempe quod Deus rem ut se habet non eloquatur, sed aliam pro ea dicat. Nam quod Deus mentiatur, id mihi dicere religio est.

ιβ'. Β. Οὐκοῦν τὸ ἕτερον τῶν ἐν τῷ λόγῳ συναχθέντων ἀτόπων ἡμῖν ἀπαντήσεται. τὸ μὴ λέξαι τὸν Θεὸν ὡς εἶχε φύσεως τὸ ὄν, ἀλλ ἕτερον ἀνθ' ἑτέρου εἰπεῖν· δέος γὰρ φάναι τὸ ψεύσασθαι αὐτόν.

A. Quæ secundum prudentiam quamdam vel dicuntur vel fiunt, ea neque mendacio neque simulationi vertenda sunt: invicem quippe adversantur horum effectus. Namque mendacium ex diabolo est, ut ait Scriptura [37]: qui autem prudenti consilio orationem suam conformat, id non sine Dei placito facit: quæ res diabolicis studiis contraria est. Sic enim neque Rahab mendacii accusatur, quamquam rem veram non dixit, sed veluti per fidem justificata laudatur, quia sermone prudenti constantem suam in Deum fidem testata est. Quin ipse Deus imperat Pharaoni ut Israeliticum populum dimittat [38], non quasi demigraturum Ægypto, sed in deserto rem sibi sacram facturum, et tridui itinere secessurum. Cur jam Samuelem proferam, qui se venturum dixerat ad sacrum Deo peragendum, venit autem post gestam a rege rem [39]? Cur magnum Apostolum, qui Judaico ritu semet sanctificavit, et sacrificia legitima obtulit [40]; qui cum circumcisionem atque alias ejusmodi Scripturæ legalis observantias tanquam cassas post gratiam eliminasset [41], nihilominus Timotheum circumcidit [42]? Quin adeo Christus, id est ipsa veritas, prudentiæ hoc genus neque verbis recusavit neque factis sequi; sed toto humanæ vitæ tempore ita se gessisse facile cognoscitur. Quare et Psalmographus de eo diserte vaticinatur: « Sermones suos prudenter instruet [43]. » Igitur ne id quidem, quod Ezechiæ dictum fuit, in mendacii culpam vocabitur, sed doctrinæ potius religioni conducentis laudem feret: quæ doctrina auditores admonet ut Deum noscant vitæ arbitrum, atque ut huic uni venerabundis animis subesse velint. Præterea verba, « Morieris tu, et non vives, » alioquin etiam vera sunt, si morbi ingruentis gravitatem respicamus: is enim idoneus videbatur ad mortem ægroto sine dubio inferendam. Idque fortasse Deus innuens, mortem regi impendere dixit; non autem

Α. Τὰ κατ' οἰκονομίαν τινὰ λεγόμενα ἢ πραττόμενα, οὐ χρὴ ψεῦδος λέγεσθαι ἢ ὑπόκρισιν· ἀπεναντίας γὰρ ἀλλήλων τὰ τούτων ἀποτελέσματα. Τὸ μὲν γὰρ ψεῦδος ἐκ τοῦ διαβόλου ἐστίν, ὡς γέγραπται· ὁ δὲ οἰκονομῶν ἐν κρίσει τοὺς λόγους αὐτοῦ, πρὸς τὸ εὐαρεστῆσαι τῷ Θεῷ τοῦτο ποιεῖ, ὅπερ ἐστὶ τῶν τοῦ διαβόλου ἔργων κατάλυσις. Οὕτω γοῦν καὶ Ῥαὰβ ἡ πόρνη οὐχ ὡς ψευσαμένη κατακρίνεται, καίτοι παρὰ τὸ ὂν εἰρηκυῖα, ἀλλ' ὡς διὰ πίστεως δικαιωθεῖσα ἐπαινεῖται, τῇ τοῦ λόγου οἰκονομίᾳ τὸ περὶ τὴν εἰς Θεὸν πίστιν βέβαιον ἐπιδειξαμένη. Καὶ ὁ Θεὸς δὲ αὐτὸς προστάσσει τῷ Φαραὼ τὸν Ἰσραηλίτην ἀποστεῖλαι λαὸν, οὐχ ὡς τῆς Αἰγύπτου μετοικήσοντα, ἀλλ' ὡς λατρείαν ἐν τῇ ἐρήμῳ ἐπιτελέσοντα, καὶ πρὸς διάστημα ὁδοῦ ἡμερῶν τριῶν ἐκχωρήσοντα. Καὶ τί μοι τὸν Σαμουὴλ παραφέρειν ἥκειν μὲν λέγοντα Κυρίῳ θῦσαι, βασιλέως δὲ προχείρισιν μετερχόμενον; Ἢ τὸν μέγαν Ἀπόστολον Ἰουδαϊκῶς ἁγνιζόμενον καὶ νομικῶς θυσίας προσάγοντα, καὶ τὴν μὲν περιτομὴν καὶ τὰ σὺν αὐτῇ τοῦ νομικοῦ γράμματος παρατηρήματα, ὡς ἕωλα μετὰ τὴν χάριν ἐκβαλόντα, περιτέμνοντά γε μὴν τὸν Τιμόθεον; Ὁπότε ὁ Χριστὸς αὐτὸς ἡ ὄντως ἀλήθεια, τῆς οἰκονομικῆς οὐδαμῶς μεθόδου ἀπέσχετο ἔν τε λόγοις καὶ πράγμασιν, ἀλλὰ ταῦτα μάλιστα καθ' ὅλον τὸν τῆς οἰκονομικῆς αὐτοῦ ἀναστροφῆς χρόνον χρησάμενος δείκνυται. Περὶ οὗ καὶ τῷ Ψαλμῳδῷ τὸ, « Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, » σαφῶς προφητεύεται. Οὐκοῦν καὶ τὸ εἰρημένον πρὸς Ἐζεκίαν οὐ ψεύδους ἀποίσεται γραφήν, ἀλλὰ τῆς πρὸς θεοσέβειαν διδασκαλίας δέξεται ἔπαινον, τοὺς ὁρῶντας προτρεπομένης Θεὸν εἰδέναι ζωῆς ταμίαν, καὶ τὴν ὑπ' αὐτῷ μόνῳ αἱρεῖσθαι (16) ὑπόκλισιν, δι' οὗς καὶ τὰ τῆς τοιαύτης ἐδραματουργήθη οἰκονομίας. Ἄλλως δὲ καὶ τὸ, « Ἀποθανῇ σὺ, καὶ οὐ ζήσῃ, » ἀληθεύεται, εἰ πρὸς τὸ τοῦ ἐνσκήψαντος πάθους ἴσως ἀπεχθὲς ἀποβλέψαιμεν· τοῦτο γὰρ εἰκὸς ἦν ὅσον πρὸς τὸ ὁρώμενον ἐπάγειν πάντως τῷ κειμένῳ τὸν

[37] Hebr. xi, 31 [38] Exod. v, 1. [39] I Reg. xiii, 8. [40] Act. xxi, 26. [41] Galat. v, 6; vi, 15. [42] Act. xvi, 3. [43] Psal. cxi, 5.

VARIÆ LECTIONES.

• Cod. ἐκείνου, quod corrigendum fuit ut supra (col. 105 B 11).

NOTÆ.

(16) In codice sic: Θεόν εἰ δέ με ζωῆς ταμίαν, καὶ τὴν ὑπ' αὐτῷ μόνῳ αἱρεῖσθε. Sed in margine quidam sic: Οἶμαι οὕτως ὀφείλει γράφεσθαι· Θεὸν εἰδέναι, etc.

Digitized by Google

θάνατον. Καὶ ἴσως τοῦτο αἰνιττόμενος ὁ Θεὸς ἔφη τὰ τῆς τελευτῆς αὐτῷ ἐπιστῆναι· οὐκ ἀόριστον ἔχων τὸ κατὰ τὴν αὐτοῦ πρόγνωσιν ὀφειλόμενον ἐκείνῳ τοῦ βίου τέλος.

A quod ei nutaret in sua præscientia destinatus Ezechiæ vitæ terminus.

ιγ'. Β. Τί οὖν; τῷ κατὰ πρόγνωσιν λόγῳ τοὺς ὅρους τῆς ζωῆς δογματίζεις περὶ ἕκαστον πήγνυσθαι;

13. B. Quid ergo? num secundum præscientiæ rationem terminos vitæ singulis hominibus præstitui judicas?

Α. Καὶ μάλα.

A. Omnino.

Β. Ἀλλ' οὐ ταυτὸν ὅρος καὶ πρόγνωσις.

B. Atqui res eadem non est terminus et præscientia.

Α. Οὐ ταυτὸν μὲν κατ' ἔννοιαν ἑκατέρα τούτων ἔξις καθέστηκεν, ἐκ δὲ τῆς προγνώσεως οἱ παριστάμενοι τῇ δικαίᾳ τοῦ Θεοῦ κρίσει ὅροι τῆς ζωῆς ἡμῶν τίθενται.

A. Profecto utriusque rei haud eamdem naturam cogitare licet: sed tamen post præscientiam, ii qui justo Dei probantur judicio, vitæ nostri termini constituuntur.

Β. Εἶτα οὐκ ἐντεῦθεν πρὸς ἑτέραν ἀπαγόμεθα, Γραφικῶς εἰπεῖν, ἀδολεσχίαν, τοῦ λέγειν τὰς τῶν μελλόντων προγνώσεις αἰτίας, καὶ οἷον εἰπεῖν ἀναγκαστικὰς τῆς τούτων ἐκβάσεως γίνεσθαι; B

B. Nonne hinc ergo ad aliam devolvimur, ut vere dicam, scurrilitatem; nempe ut dicamus futurorum præscientiam causam fieri ac propemodum necessitatem ipsius exitus?

Α. Οὐδαμῶς.

A. Nego enimvero.

Β. Πῶς καὶ διὰ τί;

B. At quo jure?

Α. Ὅτι δὴ καὶ ἡμεῖς οὐ παρὰ τὸ ὁρᾷν τὰ ἐν ὄψει ἡμῶν γινόμενα, ἤδη καὶ τῆς τούτων πράξεως καθιστάμεθα αἴτιοι. Ἐπεὶ κατὰ σὲ ὁ Φινεὲς τὴν Μαδιανῖτιν τῷ Ζαμβρὶ συνασχημονοῦσαν θεασάμενος, τῆς ἀσχήμονος αὐτῶν πράξεως αἴτιον λογισθήσεται, ὁ διὰ ταύτην μιᾷ πληγῇ ἀνελὼν ἀμφότερον. Καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ; δέον περὶ τοῦ προκειμένου προβλήματος τοῖς εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τε ὁμοῦ καὶ σοφώτερον τῶν νῦν ἀπορουμένων τὴν ἐπίλυσιν. Ὃ γάρ ἐστιν ἐν τοῖς ἀνθρώποις ἐπὶ τῶν ἐν ὄψει κειμένων ἡ ὅρασις, τοῦτο Θεῷ τῶν μελλόντων ἡ πρόγνωσις· καὶ οὐ τινῶν, ἀλλὰ πάντων· « Ὁ εἰδὼς γάρ, φησί, τὰ πάντα πρὶν γενέσεως αὐτῶν. » Μᾶλλον δὲ καὶ αὐτοῦ τούτου τοῦ νῦν εἰς ζήτησιν ἡμῖν προκειμένου δόγματος, τουτέστι τοῦ χρῆναι ὅρους τῆς ἑκάστου τῶν ἀνθρώπων ἐκδέχεσθαι ζωῆς, ἀκριβέστατον ἐπιγνώμονα αὐτὸν τὸν ἔνθεον καὶ ἀληθῶς ἀποστολικὸν χάριτος μέτοχον ποιησώμεθα Ἀθανάσιον, ἀναπτύσσοντες αὐτοῦ τὸ περὶ τῆς ἑαυτοῦ φυγῆς συγγραμμάτιον ἀποστολικόν, ἐν ᾧ εὑρήσομεν αὐτὸν λέγοντα οὕτως (17)· C

A. Quia nos quoque non quia videmus quæ coram sunt, idcirco horum efficiendorum causa sumus. Alioqui in sententia tua Phinees [44], qui Madianitidem cum Zambri impudice versantem vidit, stupri eorum causa judicandus esset; nempe is qui ob id ipsum uno ictu utrumque interfecit. Sed enim quid opus est nostri ingenii infirmitate argumentum hoc diutius versare, cum liceat observantibus nobis quid hoc super problemate dixerit magnus Athanasius in sermone de cruce, passione ac resurrectione, illinc haurire pleniorem ac sapientiorem controversiæ solutionem? Nam quanta apud homines rerum præsentium visio est, tanta apud Deum futurarum præscientia: neque rerum aliquot, sed cunctarum: « Qui omnia, inquit Scriptura [45], ante ipsorum creationem novit. » Sed age hujus, de quo nunc controversamur, dogmatis, nempe quod termini singulorum hominum vitæ præfigi credendi sint, justissimum judicem eumdem faciamus divinum vereque apostolicum gratia affluentem Athanasium, evoluto ejus de fuga propria apostolico volumine, ubi sic loquentem offendimus.

ιδ'. « Ἔστι δὲ ἡ πρόφασις[d] ἣν ὁ Ἰωάννης ἔγραψεν οὕτως· *Ἐζήτουν πιάσαι αὐτὸν*[e], *καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας*[f], *ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.* » Εἶτα βραχέα ἐπειπὼν ἐπιφέρει· « Ὡς μὲν οὖν Υἱὸς καὶ Λόγος ὢν τοῦ Πατρὸς, καιρὸν οὐκ εἶχεν· αὐτὸς γὰρ τῶν καιρῶν[g] δημιουργός· ἄνθρωπος δὲ γενόμενος καὶ τοῦτο λέγων, δείκνυσιν ἑκάστῳ τῶν ἀνθρώπων χρόνον εἶναι μεμετρημένον· καὶ D

14. « Est autem causa quam Joannes descripsit hæc: *Quærebant eum comprehendere, nemo tamen ei manus injecit, quia nondum venerat hora ejus* [46]. » Deinde paucis interpositis pergit dicere: « Ut Filius quidem et Verbum Patris tempore carebat: ipse enim est temporum conditor: verumtamen cum homo factus hæc dicat, satis demonstrat certum tempus singulis hominibus esse definitum. Idque

[44] Num. xxv, 7. [45] Eccli. xxiii, 29. [46] Joan. vii, 30.

VARIÆ LECTIONES.

[d] Ita etiam codex Angl. apud Montf. [e] M. αὐτὸν πιάσαι. [f] M. τὴν χεῖρα. [g] M. interponit ἐστι.

NOTÆ.

(17) Exstat in editione Montfauconii t. I, p. 327, cum varietatibus; quarum ex copia cognoscere licet quantopere editiones etiam optimæ a mss. exemplaribus recesserint.

Digitized by Google

adeo scriptum est atque omnibus exploratum. Etsi enim obscurum est, cunctosque homines latet, quomodo et quantum cuique decretum fuerit, tamen quilibet novit, sicuti veris et æstatis et autumni et hiemis esse tempora, ita prout in Scripturis fertur, tempus esse moriendi et tempus vivendi. » Et post modicum rursus ait: « Hæc cum scripta sunt, tum etiam ratio demonstrat sanctos homines scire tempus singulis esse determinatum, sed tamen neminem scire temporis finem. Ejus rei argumentum est quod David aiebat: *Paucitatem dierum meorum demonstra mihi* [47]. Quod enim ignorabat, hoc scire volebat. » Rursusque paulo infra: « Dominus quidem, utpote Deus verumque Patris Verbum, sciens definitum ab illo tempus, necnon probe conscius quali tempore se quoque pati decrevisset, postquam nostri causa homo factus est, diebus quidem tempus id præcedentibus, atque ut nos facimus, conquisitus latebat, persecutores fugiebat, insidiasque declinans, sic præteribat, ac per medium illorum ibat [48]. Cum autem tempus illud præstitutum adfuit, quo ipse pati corporaliter pro omnibus volebat, de hoc alloquitur his verbis Patrem: *Pater, venit hora, glorifica Filium tuum* [49]. Nec jam quærentibus se subducebat, sed ab iis capi volens perstabat. » Tum aliquot interpositis, addit: « Is igitur ita se obtulit pro omnibus, sicuti dixerat. Sancti autem homines hoc quoque exemplum a Servatore mutuati sunt. Ex ipso enim et antea et semper et ubique didicerunt; nempe ut certantes legitime adversus persecutores, fugerent; atque ab his conquisiti, latitarent. Nam quia tempori sibi a Providentia decreti, pro conditione humana, terminum nesciebant, noluerunt temere in insidiatorum potestatem venire. »

15. B. Copiose hactenus a te dictorum fundamenta haud mediocriter nutare sentiet, assensumque his sustinebit, si quis non perfunctorie sed sedulo expendat, præter eas, quas sacræ Scripturæ referunt, innumeras alias strages exitiosissimas; veluti in præliis cædes, hostium in urbibus expugnandis occidiones sine ullo ætatum generisve discrimine perpetratas, cunctis prout hostili manui occurrunt trucidatis: præterea in pestilentibus morbis acervata funera; subitas hominum et conglobatas in terræ motibus atque hiatibus infossiones; quas Basilius communes veluti populorum et urbium clades esse definit, quæ vitiorum exube-

χρόνον οὐ τὸν κατὰ τύχην, ὡς τινες τῶν Ἑλλήνων νομίζοντες μυθολογοῦσιν, ἀλλ' ὃν αὐτὸς ὁ[h] Δημιουργὸς[i] ὡς ἠθέλησεν ὁ Πατὴρ ὥρισεν ἑκάστῳ. Καὶ τοῦτο γέγραπται καὶ πᾶσι γέγονε φανερόν· εἰ γὰρ καὶ[j] κέκρυπται καὶ λανθάνει πάντας ἀνθρώπους τὸ πῶς καὶ[k] πόσον ἑκάστῳ μεμέτρηται, ἀλλ' ὅμως πᾶς ὁστισοῦν οἶδεν ὅτι ὡς ἔαρος καὶ θέρους καὶ φθινοπώρου καὶ χειμῶνός ἐστι καιρὸς, οὕτω[l] κατὰ τὸ γεγραμμένον καιρὸς τοῦ ζῆν ἐστι. » Καὶ μετ' ὀλίγα πάλιν φησίν· « Ὥσπερ δὲ ταῦτα γέγραπται, καὶ[m] δείκνυσιν ὁ λόγος, τοὺς ἁγίους εἰδέναι χρόνον ἑκάστῳ τῶν ἀνθρώπων ὄντα[n] μεμετρημένον οὕτως[o] μηδένα γινώσκειν τὸ τέλος τοῦ χρόνου, γνώρισμα τὸ λέγειν τὸν Δαβίδ· *Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.* Ὃ γὰρ οὐκ ἠπίστατο, τοῦτο μαθεῖν ἠξίου. » Καὶ αὖθις μικρὸν ὑποβάς· « Ὁ μὲν οὖν Κύριος, καίτοι Θεὸς ὢν καὶ ὄντως[p] Λόγος τοῦ Πατρὸς, καὶ εἰδὼς τὸν μετρηθέντα[q] δι' αὐτοῦ καιρὸν, καὶ γινώσκων ὃν αὐτὸς ὥρισε καὶ τῷ ἰδίῳ σώματι χρόνον εἰς τὸ παθεῖν, ἐπειδὴ καὶ δι' ἡμᾶς ἄνθρωπος γέγονε, τὰς μὲν πρὸ τοῦ τὸν χρόνον ἐλθεῖν ἡμέρας, καὶ αὐτὸς ὡς ἡμεῖς ἐκρύπτετο ζητούμενος, διωκόμενος δὲ[r] ἔφευγε, καὶ τὰς ἐπιβουλὰς ἐκκλίνων, οὕτως διήρχετο, καὶ διὰ μέσου αὐτῶν ἐπορεύετο. Ὅτε δὲ καὶ τὸν ὁρισθέντα παρ' αὐτοῦ καιρὸν ἦγαγε, καὶ αὐτὸς[s] ἐν ᾧ καὶ[t] παθεῖν σωματικῶς ὑπὲρ πάντων ἤθελεν, τοῦτο[u] μὲν προσφωνεῖ τῷ Πατρὶ λέγων, *Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν.* Οὐκέτι δὲ λοιπὸν τοὺς ζητοῦντας ἐκρύπτετο, ἀλλ' εἱστήκει θέλων κρατηθῆναι ὑπ' αὐτῶν. » Καί τινα μεταξὺ εἰρηκὼς, προσεπάγει· « Ὁ μὲν οὖν[v] οὕτως ἑαυτὸν προσήνεγκεν[x] ὑπὲρ πάντων, ὥσπερ εἴρηκεν[y]. Οἱ δὲ ἅγιοι καὶ τοῦτον τὸν τύπον παρὰ τοῦ Σωτῆρος μαθόντες (παρ' αὐτοῦ γὰρ καὶ πρὸ τούτου καὶ ἀεὶ καὶ πάντοτε ἐδιδάσκοντο), πρὸς μὲν τοὺς διώκοντας ἀγωνιζόμενοι νομίμως ἔφευγον, καὶ ζητούμενοι παρ' αὐτῶν ἐκρύπτοντο. Ἀγνοοῦντες δὲ ὡς ἄνθρωποι τοῦ ὁρισθέντος αὐτοῖς παρὰ τῆς Προνοίας χρόνου τὸ τέλος, οὐκ ἐβούλοντο παρέχειν[z] ἑαυτοὺς ἐκδότους ἁπλῶς τοῖς ἐπιβουλεύουσιν. »

ιε'. Β. Οὐκ ὀλίγως τῶν παρὰ σοῦ λεχθέντων καὶ συναχθέντων διασαλεύει τὴν βεβαίωσιν καὶ τὴν πρὸς αὐτὰ συγκατάθεσιν ἀποβάλλεται, ἐάν τις οὐ παρέργως, ἀλλ' ἐπιμελῶς, οὐ μόνον τὰ ἐν ταῖς θείαις Γραφαῖς ἀνακρίνειεν, ἀλλὰ καὶ κατὰ τὰς πολυανθρώπους φθορὰς τε καὶ πανωλεθρίας ἀναθεωρεῖν οὐκ ἀρνήσοιτο· οἷον τὰς ἐν πολέμοις σφαγὰς, τοὺς κατὰ τὰς ἁλώσεις τῶν πολεμίων φόνους, οὐ διακριδὸν ἡλικίαις ἢ γένεσιν ἐπαγομένους, ἀλλὰ κατὰ πάντων ὁμοίως τῶν τῇ πολεμίᾳ χειρὶ ὑπαντώντων χωροῦντας, τοὺς ἐν τοῖς λοιμικοῖς καταστήμασι πολυάνδρους θανάτους, τοὺς ἐκ τῶν σεισμῶν ἢ χασμάτων γῆς αἰφνιδίους συγχωσμοὺς, ἢ τοὺς ἐν ναυαγίοις καταποντισμούς· ἅστινας

[47] Psal. ci, 24. [48] Luc. 4, 30. [49] Joan. xvii, 1.

VARIÆ LECTIONES.

[h] Deest articulus apud M. [i] M. addit ὢν. [j] Καὶ rectius fortasse abest a M. [k] M. καὶ τό. [l] M. οὕτως. [m] Καὶ deest apud M. [n] Tria hæc verba desunt apud M. [o] Apud M. pro οὕτως male τοῦ δέ. [p] Ὄντως deest apud M. [q] Apud M. additur τοῖς πᾶσι. [r] M. τε. [s] M. ἦγαγεν αὐτός. [t] Καὶ habet etiam ms. Angl. apud M. [u] M. τοῦτον. [v] M. addit κύριος. [x] Male apud M. προσῆγεν. [y] M. ὡς προείρηται. [z] M. hic ponit ἁπλῶς.

Digitized by Google

ὁ Βασίλειος κοινάς τινας ἐθνῶν ἢ πόλεως πληγὰς διορίζεται, τοῦ κακοῦ κολαζούσας τὴν ἀμετρίαν, καὶ εἰς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν γινομένας. Πῶς δ' ἂν συναρμοσθείη τοῖς ὑπὸ σοῦ δογματισθεῖσι τὰ κατὰ τῆς Δαβὶδ ἱστορίας; ὁπηνίκα τῇ τοῦ λαοῦ ἀριθμήσει ἡ τοῦ Θεοῦ ἐπηκολούθησεν ἀγανάκτησις· καὶ τριῶν ἀνιαρῶν ἀπειλουμένης ἀποφάσεως, ἐν ἐκλογῇ τῆς ἥττονος εἶναι δοκούσης τὸν ἐπιτιμώμενον συνεχωρήθη γενέσθαι· καὶ προεκρίθη λιμοῦ τριετοῦς, καὶ τριμηναίου πολεμίων διωγμοῦ, τριήμερος θάνατος ἐξ ἀοράτου χειρὸς ἐπαγόμενος. Εἰ γὰρ προεπεπήγει τούτοις τοῦ θανάτου ὁ ὅρος κατ' ἐκείνην τὴν ἡμέραν λαβεῖν, καθ' ἣν ἑβδομήκοντα χιλιάδες ἀνδρῶν ἐν τριῶν ὡρῶν διαστήματι τὸν διὰ χειρὸς ἀγγέλου ἐδέξαντο θάνατον, πῶς τῇ γνώμῃ τοῦ βασιλέως ἐδίδοτο τὸ ἐν αἱρέσει ἰδιοποιήσασθαι τοῦτο ἁπλῶς, τὸ τοῦ θανάτου φημί, ἀλλὰ καὶ τῶν σὺν αὐτῷ ἀπειλουμένων τὸ ἕτερον; Εἰ γὰρ πρὸς ἓν ἐκείνων ἀπεῖδε, πάντως τὰ τοῦ παγέντος ὄρου ἔμελλε μένειν ἀτέλεστα. Πρὸς τούτοις θεωρητέον καὶ τὰ περὶ τοῦ χαλκοῦ ὄφεως τῷ Μωσεῖ διατεταγμένα, εἴ γε δυνατὸν μὴ ταῦτα πάντως τὸν σὸν ἀνατρέπειν λόγον. Τοὺς γὰρ ὑπὸ τῶν ἑρπετῶν πληττομένους εἰ πρὸς ἐκεῖνο, φησί, ἀποβλέψαιεν τὸ ἐκ χαλκοῦ τεχνουργηθὲν ὁμοίωμα ὄφεως, διαδιδράσκειν τὸν ἐκ τοῦ ἰοβόλου δήγματος θάνατον. Εἰ οὖν, ὡς φῂς σὺ, ὅροι ζωῆς τοῖς ἀνθρώποις πεπήγασιν, οὓς παρεκβῆναι ἀδύνατον, εἴτε συστολῇ, εἴτε ὑπερβάσει· ἀμφοτέρως γὰρ ἡ τοῦ ὅρου λυθήσεται ἔννοια· οὐκ ἦν εἰκὸς διαφυγεῖν τινας τὸ προωρισμένον, εἰ καὶ πρὸς τὸν χαλκοῦν ὄφιν ἀπεῖδον, ἀλλὰ καὶ δίχα τῆς ἐρπυστικῆς πληγῆς, τῷ θανάτῳ τούτους ἀνάγκη προσομιλῆσαι. Καὶ τίς ἡ ἀπὸ τοῦ καινοῦ ἐκείνου θεάματος εὐεργεσία τοῖς πάντως τεθνηξομένοις; Εἰ δὲ καὶ μήπω ὁ τῆς ζωῆς αὐτοὺς κατειλήφει ὅρος, οὐδὲν ἧττον περιττὸν τὸ διαταχθὲν εὑρίσκεται. Οὐ γὰρ ἂν φαίημεν τῆς θείας βουλῆς καὶ διατάξεως κατευμεγεθεῖν δύνασθαι ὄφεων δήγματα. Εἰ οὖν πρὸ τοῦ τεταγμένου ὅρου ἀδύνατον ἦν τούτους τελευτῆσαι τὸν βίον, εἰ καὶ ὑπὸ ὄφεων ἐπλήττοντο, ὥσπερ εἴρηται, περιττὸν, καὶ οὐκ ἀναγκαῖον τὸ ἐπίταγμα τῆς τοῦ χαλκοῦ ὄφεως κατασκευῆς ἀποδείκνυται. Περιττὰ δὲ καὶ οὐκ ἀναγκαῖα λέγειν ἡμᾶς τὰ ὑπὸ Θεοῦ διατεταγμένα, ἀληθῶς περιττὸν, μᾶλλον δὲ καὶ ἀνόητον παντελῶς καὶ ὀλέθριον· ἀλλὰ τούτοις μὲν ἡμᾶς περιπταίειν τοῖς προσκόμμασι, τῶν ἐπάναγκες ὑπάρχει, ὅρους ζωῆς τοῖς ἀνθρώποις πεπηγέναι νομίζοντας. Ἀοριστουμένην δὲ τὴν ἑκάστου λαμβάνοντες τελευτὴν, λείαν καὶ οὐκ ἀνώμαλον ἕξομεν τὴν ὁδὸν τῆς τῶν θείων Γραφῶν ἐξηγήσεώς τε καὶ παραδοχῆς. Ἡδέως δ' ἄν σου πυθοίμην τίς ἡ πρέπουσα ἐκδοχὴ τοῦ περί τινων λέγεσθαι τῶν ἁγίων πλήρεις ἡμερῶν αὐτοὺς καταλύειν τὸν βίον; καὶ πάλιν ἑτέρους μὴ ἡμισεύειν τὰς ἡμέρας αὐτῶν οἷς πρὸς τὸ φονικόν τε καὶ ὀλίτιον τὰ τῆς γνώμης ἀπονένευκε; Πῶς δὲ καὶ ὁ Δαβὶδ αἰτεῖ παρὰ Θεοῦ καί φησι· « Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου; » Πάντα γὰρ οἶμαι ταῦτα ἀνατρεπτικὰ τυγχάνειν τοῦ ὅρους ζωῆς τοῖς ἀνθρώποις πεπῆχθαι νομίζειν.

rantiam resecant, atque ob mortalium superstitum emendationem accidunt. Qui sane fieri potest ut sententiæ tuæ congruat historia Davidis [80], quo tempore populi censum subsecuta est divina indignatio? Cum trium calamitatum denuntiatum esset decretum, permissa est puniendo regi electio ejus quæ levior esse videretur: prælatumque fuit triennali fami, et trimestri calamitoso bello, triduanum exitium invisibili manu infligendum. Etenim si præstitutus singulis fuerat terminus mortem illa die oppetendi, qua septuaginta hominum millia trium horarum intervallo manu angeli interfecta fuerunt, cur regis arbitrio concedebatur ut rem pro libito sibi deligeret, mortis, inquam, tale genus, vel aliud ex his similiter denuntiatum? Nam si ad unum ex his reliquis respexisset David, jam ille præfixus terminus frustra omnino fuisset. Consideremus insuper quæ Mosi de colubro æneo mandata fuerunt; si forte hactenus dicta ad refutandam orationem tuam nondum sufficiunt. Nam qui percussi a colubris fuerant, si ad illud, inquit Scriptura [81], respexissent colubri æneum opificium, necem venenato morsu afflatam declinabant. Si ergo, ut tu ais, vitæ termini hominibus præfixi sunt, quos ultra citraque non licet consistere (utraque enim ratione destruitur termini notio), fieri non poterat ut aliqui vitarent fatum sibi præfinitum, etiamsi ad æneum serpentem suspexissent: imo etiam absque serpentino morsu mortem hos adire necesse erat. Porro quænam erat utilitas novi illius spectaculi apud homines prorsus morituros? Quod si nondum iis aderat vitæ terminus, nihilo secius deprehenditur fuisse inutile consilium illud. Neque enim quisquam dicere audeat, colubrorum morsu superari posse divinam voluntatem atque decretum. Si ergo ante statutum terminum impossibile erat hos vitam desinere, quantumlibet a colubris, ut diximus, percussi fuissent; non necessarium coarguitur ænei serpentis simulacrum. Jamvero vana a nobis dici et non necessaria Dei decreta, revera vanum, imo insanum potius et capitale est. Atqui ut in hæc offendicula incidamus apprime necesse est, si vitæ terminos hominibus præstitutos autumemus. Sin autem indefinitum singulorum obitum arbitrabimur, facilem et minime obliquam insistemus viam ad divinas Scripturas explicandas intelligendasque. Libenter denique a te audirem quænam sit commoda locutionis ejus intelligentia, cum nonnulli sanctorum dicuntur pleni dierum vita excessisse [82]? rursus cum illi dicuntur ad ætatis suæ dimidium non pervenisse [83], quorum mens cæde impiata fuit? Quomodo item David a Deo postulat: « Ne me abripias in dimidio dierum meorum [84]? » Hæc, inquam, omnia profligare mihi videntur illorum opinionem, qui vitæ humanæ terminos præstitutos esse aiunt.

[80] II Reg. xxiv, 13. [81] Num. xxi, 8. [82] Gen. xxv, 8; xxxv, 29. [83] Psal. liv, 24. [84] Psal. ci, 25.

Digitized by Google

16. A. Solet superficiaria sacrorum Librorum notitia mentem ita suspendere ut levi studio delibet scriptarum rerum intelligentiam. Nos vero Solomoni sapienti auscultantes, qui ait: « Aures sapientium postulant intellectum [55], » id est haud temere vocabuli sonitu permoventur, sed profundum dictorum sensum scrutantur; nos, inquam, in primis de biblicarum locutionum interpretatione laboremus, quæ utilitatem potissimam studiosis sui suppeditat: deinde objectorum dubiorum aggrediamur disquisitionem. Plenos itaque dierum non illos dicimus, qui prolixam vitam spatiosumque ævum peregerunt, sed qui religione perfecta congruenter ætati suæ splenduerunt; quique debitæ virtutis fructus præ se tulerunt, neque hos futiles aut tempestate corruptos, sed copiosos floridosque, nempe dignam satione divini Verbi segetem. Nam si aliter verba intelligamus, ne illos quidem homines quibus hæc dicta fuerunt, reapse tali re potitos comperiemus. Num quippe Abrahamum dierum plenum dicemus, cui dictum fuit: Tu vero abibis ad patres tuos pulchra senectute nutritus [56]? » vel hujus filium Isaacum? vel quemvis hujusmodi? Nam quid de Jacobo dicam, cum dies ipse suos paucos appellaverit atque malos [57]? Sane horum vita, si cum longissimo superiorum hominum ævo comparetur, nequaquam plena videbitur, sed infra potius dimidium consistere. Itaque locutio *dierum plenus*, etsi vulgari more de iis qui senes moriuntur dici putatur, tamen cum de sanctorum vita sermo est, significat absolutam sine defectu virtutem, perfectionemque debitæ illorum temporibus justitiæ. Est enim exploratum, homines ante et post legem haud eamdem cunctos habuisse victoriæ metam, neque paribus insudavisse certaminibus: ideoque Noachum Scriptura haud simpliciter justum appellavit, sed addidit, in generatione sua [58].

ις'. Α. Οἶδεν ἡ ἐξ ἐπιπολῆς ἔντευξις τῶν Γραφῶν μετεωρίζειν τὴν διάνοιαν πρὸς ἐκδρομὴν ἀφιλοπόνου κατανοήσεως τῶν γεγραμμένων. Ἡμεῖς δὲ ἀκούσαντες τοῦ σοφοῦ Σολομῶντος εἰπόντος· « Ὦτα σοφῶν αἰτεῖ ἔννοιαν, » τουτέστιν οὐχ ἁπλῶς τῷ ἤχῳ τῆς λέξεως ὑποσύρεται, ἀλλὰ τὸν ἐν βάθει τῶν λεγομένων νοῦν ἀνιχνεύει, πρὸ πάντων τῶν Γραφικῶν ῥητῶν ἑρμηνείαν ἐποψόμεθα, ὡς μᾶλλον τοῖς περὶ τὴν μελέτην αὐτῶν στρεφομένοις τὸ ἐπωφελὲς χαριζομένην, εἶθ' οὕτως τῶν προβληθεισῶν ἐπαπορήσεων μεταχειρισθήσεται ἡμῖν ἡ ζήτησις. Πλήρεις οὖν ἡμερῶν ἐκείνους φαμὲν, οὐ τοὺς πολυήμερον ζωὴν, οὐ βίον μακροχρόνιον διανύσαντας, ἀλλὰ τοὺς ἐν τελειότητι θεοσεβείας καταλλήλως τῇ αὐτῶν γενεᾷ διαλάμψαντας· καὶ τῶν τῆς ἐπιβαλλούσης ἀρετῆς καρπῶν τὴν ἐπίδειξιν μὴ ἀτελῆ τε καὶ ἀνεμόφθορον ποιησαμένους, ἀλλὰ πλήρη τε καὶ εὐανθῆ τὴν ἐκ τῆς σπορᾶς τοῦ θείου λόγου σταχυοφορίαν προβαλλομένους. Καθ' ἑτέραν γὰρ ἔννοιαν οὐκ ἂν δυνηθείημεν τοὺς αὐτὸ τοῦτο μαρτυρηθέντας ἐντὸς τούτου γεγονότας ἰδεῖν. Ἆρα γὰρ τὸν Ἀβραὰμ πλήρη φήσομεν ἡμερῶν, πρὸς ὃν εἴρηται· « Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου τραφεὶς ἐν γήρει καλῷ; » ἢ τὸν τούτου παῖδα τὸν Ἰσαὰκ » ἢ ἕτερόν τινα τοιοῦτον; Περὶ γὰρ τοῦ Ἰακὼβ τί δεῖ καὶ λέγειν, ὁπότ' ἂν αὐτὸς τὰς ἑαυτοῦ ἡμέρας μικρὰς καὶ πονηρὰς ἀπεκάλεσεν; Ἀλλ' ἡ τούτων βιοτὴ, εἰ πρὸς τὴν τῶν προτέρων μακροβίων ἀνθρώπων παρατεθείη ζωὴν, οὐδαμῶς τὸ πλῆρες ἔχειν λογισθήσεται, ἀλλὰ καὶ τοῦ ἡμίσεος παμπληθὲς ἀπολελεῖφθαι. Οὐκοῦν τὸ *πλήρη* λέγεσθαι *ἡμερῶν*, εἰ καὶ κατὰ τὸ πρόχειρον ἐπὶ τοῦ ἐν γήρᾳ παριέναι τὸν βίον εἰρῆσθαι νομίζεται, ἀλλ' ἐπὶ τῆς τῶν ἁγίων ζωῆς, τὸ ἀνελλιπὲς τῆς κατ' ἀρετὴν τελειότητος, καὶ τὸ ἀπηρτισμένον τῆς ἐπιβαλλούσης κατὰ τὴν ἑαυτῶν γενεὰν δικαιοσύνης παρίστησι τὸ λεγόμενον. Πρόδηλον γὰρ ὡς τοῖς πρὸ τοῦ νόμου, καὶ αὖθις μετὰ τὸν νόμον, οὐ ταυτὸν ἦν πέρας τῆς νίκης· οὐδὲ τοῖς ἴσοις ἀγωνίσμασιν ἐνιδροῦν αὐτούς· καὶ διὰ τοῦτο ἡ Γραφὴ οὐχ ἁπλῶς τὸν Νῶε τέλειον δίκαιον ἀπεκάλεσεν, ἀλλ', ἐν τῇ γενεᾷ αὐτοῦ, προσέθηκεν.

ab eis, qui in terra cum essent [sint], viam cognoverunt veritatis : quemadmodum et in ecclesiis Christi quæ ubique positæ sunt, sancta laudatur et glorificatur Trinitas in singulari dominatione ac deitate : secundum quod et unus a nobis Deus prædicatur et non est præter eum qui dominetur in potentatu suo sæculo, et ex non exstantibus omnia, ut essent, produxit, quotquot visibilia et invisibilia sunt ; id est, Pater et Filius et Spiritus sanctus, sancta scilicet consubstantialis et vivifica Trinitas. In quam etiam credentes, et quam confitentes, baptizati sumus in nomine Patris et Filii et Spiritus sancti, quemadmodum tradidit ipse Deus Verbum[18], qui incarnatus est, Dominus videlicet noster Jesus Christus, qui unus est ejusdem sanctæ et incomprehensibilis divinæ Trinitatis : et non creaturas adoramus (absit!) neque culturam, quæ deificæ dominationi debetur, ad conservos inflectimus. Neque enim reges vel principes in terra adorantes, æqualem adorationem ei quam Deo exhibemus, facere noscimur. Etenim Nathan prophetam constat[19] super terram adorasse David hominem exsistentem et regem ; sed non ideo accusabitur, quasi qui hominem veneratus sit præter Deum. Neque imaginum facturam, quæ per ceram et colores formantur, in subversionem perfectionis, quæ circa divinum efficitur cultum, admittimus. Neque enim invisibilis deitatis imaginem et similitudinem, vel schema vel figuram aliquam formamus, quam ne ipsorum sanctorum angelorum sublimes ordines considerare et investigare penitus valent. Sed quoniam unigenitus Filius, qui est in sinu Patris, revocans proprium figmentum a mortis damnatione, beneplacito Patris sanctique Spiritus homo dignatus est fieri, similiter nobis participatus carnis et sanguinis, uti magnus ait Apostolus[20], per omnia similis nobis factus absque peccato[21] : humanum ejus characterem, et humanæ speciei, quam per carnem suscepit, imaginem, et non incomprehensibilis ejus, et invisibilis deitatis, formantes, hinc quæ sunt fidei repræsentare urgemur [satagimus], ostendentes quod non per phantasiam et umbratice naturam nostram sibi univerit, quemadmodum quidam antiquorum hæreticorum errantes dogmatizaverunt : sed quod ipsa re ac veritate homo sit perfectus per omnia, excepto solo peccato, quod seminatum est nobis ex inimico.

Et hoc sensu tutæ fidei quam in illum habemus, sanctæ ipsius carnis characterem in imaginibus formantes, et salutamus, et omnium cultu ac honore decenti dignum decernimus, in recordationem hinc venientes divinæ illius et vivificæ ac ineffabilis incarnationis. Similiter autem et intemeratæ secundum carnem Matris ejus sanctæ Dei Genitricis juxta eumdem modum depingimus similitudinem, ostendentes, quia cum mulier esset natura,

[18] Matth. xxviii, 19, 20. [19] II Reg. i, 2. [20] Hebr. ii, 14. [21] Hebr. iv, 15.

Digitized by Google

et extranea massæ nostræ minime facta, Deum invisibilem et cuncta moderantem super omnem sensum et hominum et angelorum in suo concepit utero, et ex se incarnatum peperit. Etenim ut proprie ac veraciter matrem Dei veri colimus eam, et magnificamus, et omni visibili ac invisibili creatura superiorem arbitramur. Et sanctos quoque martyres Christi, apostolos et prophetas, conservos quidem nostros et veros famulos Dei factos, actibusque bonis et prædicatione veritatis, et patientia in passionibus, quas pro ipso Deo pertulerunt, probatos et amicos Dei ostensos, et multam fiduciam apud eum consecutos admiramur et beatificamus, et ad recordationem virilitatis eorum, ac germanæ circa Deum servitutis, similitudines corum depingimus : non eos ut divinæ naturæ communicatores pronuntiantes, debitum deificæ gloriæ atque potestati honorem et adorationem illis impendimus ; sed amorem nostrum, quem circa eos habemus, per hoc demonstrantes, quæ per auditum vera esse credimus, hæc et per picturæ imitationem ad firmiorem certitudinem nostram statuimus. Etenim carne ac sanguine connexi, et per visionem ea quæ animæ satisfacere possunt, certissime noscere compellimur [*Gr.* etiam per visionem plenam animæ nostræ certitudinem confirmare studemus]. Nam et ipsi sancti Dei in unum et solum Deum servitutem atque glorificationem et adorationem conservantes, et ad hoc omnes advocantes atque docentes, suum effuderunt sanguinem, et veræ confessionis corona redimiti sunt. Hic est modus faciendarum imaginum : non quo decentem incomprehensibili et inaccessibili deitati in spiritu et veritate adorationem transferamus in manufactas imagines, vel artis opera hominum, vel omnino in eas quæ a Deo factæ sunt creaturæ sive in visibilibus, sive in invisibilibus : sed quo dilectionem, quam juste possidemus circa veros servos Dei nostri, per talem modum monstrantes, per illorum honorem in Deum qui ab his glorificatus est et illos glorificavit in confessione dominationis ejus, glorificationem et cultum referamus : ut et nos imitatores virilitatis eorum et charitatis quæ in Deum est, per bona opera et refragationem contra vitia demonstremur. Juxta ergo hunc modum imaginum facturam in ecclesia Christi fieri, et non aliunde nos quæ sunt salutis exspectare, unusquisque certissime noverit, tam in visibili mundo, quam in futuro sæculo, nisi a solo unigenito Filio Dei [22] una cum Patre et Spiritu sancto, qui divina dona largitur. Neque enim aliud nomen est datum hominibus, in quo nos salvos fieri oporteat. Porro etsi Domini et Salvatoris nostri, et intemeratæ Matris ejus, quæ vere Dei genitrix est, et sanctorum ejus imagines salutamus, sed non secundum eumdem affectum etiam fidem circa illos ipsos habemus.

A ἀρχουσα, καὶ οὐκ ἀλλοτρία τοῦ ἡμετέρου φυράματος γενομένη, τὸν Θεὸν τὸν ἀόρατον, καὶ τὰ πάντα τῇ χειρὶ περιέποντα, ἐπὶ πᾶσαν ἔννοιαν καὶ ἀγγέλων καὶ ἀνθρώπων ἐν τῇ ἑαυτῆς συνέλαβε γαστρὶ, καὶ ἐξ αὐτῆς σαρκωθέντι ἀπεκύησε. Καὶ γὰρ ὡς κυρίως καὶ ἀληθῶς Μητέρα Θεοῦ τοῦ ἀληθινοῦ σέβομεν αὐτὴν, καὶ μεγαλύνομεν, καὶ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως ὑπερτέραν λογιζόμεθα. Καὶ τοὺς ἁγίους δε μάρτυρας τοῦ Χριστοῦ, ἀποστόλους τε, καὶ προφήτας, ὁσίους, καὶ λοιποὺς τῶν ἁγίων, συνδούλους δὲ ἡμῶν καὶ ἀληθεῖς θεράποντας Θεοῦ γενομένους, πράξεσί τε ἀγαθαῖς, καὶ τῷ κηρύγματι τῆς ἀληθείας, καὶ ὑπομονῇ τῶν ὑπὲρ αὐτοῦ τοῦ Θεοῦ παθημάτων εὐδοκίμους καὶ φίλους Θεοῦ ἀποδειχθέντας, καὶ πολλὴν παῤῥησίαν πρὸς αὐτὸν εἰληφότας ἀποθαυμάζομεν καὶ μακαρίζομεν, καὶ πρὸς ἀνάμνησιν τῆς ἀνδρείας αὐτῶν καὶ γνησίας περὶ τὸν Θεὸν δουλείας, τὰ ὁμοιώματα αὐτῶν ἀναγράφομεν· οὐχ ὡς τῆς θείας φύσεως κοινωνοὺς αὐτοὺς ἀποφαίνοντες, τὴν ὀφειλομένην τῇ θεϊκῇ δόξῃ τε καὶ ἐξουσίᾳ τιμὴν καὶ προσκύνησιν αὐτοῖς ἀπονέμομεν, ἀλλὰ τὸν πόθον ἡμῶν τὸν περὶ αὐτοὺς διὰ τοῦτο ἐνδεικνύμενοι, ἅπερ διὰ τῆς ἀκοῆς ἀληθῆ πεπιστεύκαμεν, ταῦτα καὶ διὰ γραφικῆς μιμήσεως πρὸς βεβαιοτέραν ἡμῶν πληροφορίαν συνιστάνομεν. Καὶ γὰρ σαρκὶ καὶ αἵματι συμπεπλεγμένοι, καὶ δι' ὁράσεως τὰ τῆς κατὰ ψυχὴν ἡμῶν πληροφορίας βεβαιοῦν ἐπειγόμεθα. Ἐπεὶ καὶ αὐτοὶ οἱ ἅγιοι τοῦ Θεοῦ εἰς τὸν ἕνα καὶ μόνον τὴν λατρείαν τε καὶ δοξολογίαν καὶ προσκύνησιν παραφυλάττοντες, καὶ πρὸς τοῦτο ἅπαντας προσκαλούμενοί τε καὶ διδάσκοντες, τὰ ἑαυτῶν ἐξέχεαν αἵματα, καὶ τῆς ἀληθοῦς ὁμολογίας τὸν στέφανον ἀνεδήσαντο. Οὗτός ἐστιν ὁ τρόπος τῆς τῶν εἰκόνων ποιήσεως, οὐχ ὡς τὴν πρέπουσαν τῇ ἀκαταλήπτῳ καὶ ἀπροσίτῳ θεότητι ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν μετατιθέντων ἡμῶν εἰς χειροποίητους εἰκόνας, ἢ τέχνης ἔργα χειρῶν ἀνθρώπων, ἢ ὅλως εἰς τὰ ὑπὸ τοῦ Θεοῦ γενόμενα κτίσματα εἴτε ἐν ὁρατοῖς, εἴτε ἐν ἀοράτοις· ἀλλ' ὡς τὴν ἀγάπην ἡμῶν, ἣν δικαίως κεκτήμεθα πρὸς τοὺς ἀληθεῖς δούλους τοῦ Θεοῦ ἡμῶν, διὰ τῶν τοιούτων τρόπων δεικνύοντες. Καὶ διὰ τῆς ἐκείνων τιμῆς εἰς τὸν ὑπ' αὐτῶν δοξασθέντα Θεὸν καὶ δοξάσαντα αὐτοὺς ἐν τῇ ὁμολογίᾳ τῆς δεσποτείας αὐτοῦ, τὴν δοξολογίαν καὶ τὸ σέβας ἀναφέρομεν· ὥστε καὶ ἡμᾶς μιμητὰς τῆς ἀνδρείας αὐτῶν καὶ τῆς πρὸς Θεὸν ἀγάπης, διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς κατὰ τῶν παθῶν ἀντικαταστάσεως ἀποδειχθῆναι. Κατὰ τοῦτον οὖν τὸν τρόπον τὴν τῶν εἰκόνων ποίησιν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ πολιτεύεσθαι ἕκαστος πληροφορείσθω, καὶ μὴ ἑτέρωθεν ἡμᾶς τὰ τῆς σωτηρίας ἐκδέχεσθαι κατά τε τὸν ὁρώμενον κόσμον καὶ τὸν μέλλοντα αἰῶνα, εἰ μὴ παρὰ μόνου τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι τὰς θείας δωρεὰς χορηγοῦντος. Οὐδὲ γὰρ ὄνομα ἕτερόν ἐστι τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. Εἰ δὲ καὶ Κυρίου καὶ Σωτῆρος ἡμῶν, καὶ τῆς ἀχράντου αὐτοῦ Μητρὸς τῆς ἀληθῶς Θεοτόκου, καὶ τῶν

[22] Act. IV, 12.

Digitized by Google

ἁγίων αὐτοῦ τὰς εἰκόνας ἀσπαζόμεθα, ἀλλ' οὐ κατὰ τὴν αὐτὴν διάθεσιν καὶ τὴν περὶ αὐτῶν πίστιν ἔχομεν.

Ἀλλὰ τὸν μὲν ἐπιστάμεθα Θεὸν ἄναρχον καὶ ἀτελεύτητον, ἐν τῇ χειρὶ τὰ πάντα περιέχοντα, ποιητήν τε ἡμῶν καὶ πάσης κτίσεως, καὶ ἀληθῶς Σωτῆρα Θεόν, ἔχοντα ἐξουσίαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ὑπὲρ γένους ἀνθρώπων ἀληθῶς ἐνανθρωπήσαντα· τὴν δὲ δούλην καὶ Μητέρα αὐτοῦ κυρίως ὑπάρχουσαν, καὶ πρεσβείαν δυνατωτάτην τοῦ γένους ἡμῶν. Τὸν μὲν ὡς δεσπότην τὰ τῆς σωτηρίας ἡμῶν νέμοντα, τὴν δὲ μητρικῶς τὰ ὑπὲρ ἡμῶν αἰτουμένην· καὶ τοὺς ἁγίους δὲ πάντας, ὡς συνδούλους μὲν ἡμῶν, καὶ τῆς αὐτῆς ἡμῖν φύσεως ὑπάρχοντας, εὐαρέστους δὲ τῷ Θεῷ γενομένους, καθὼς προείρηται· καὶ τῆς ἀνωτάτω παῤῥησίας καὶ μακαριότητος παρ' αὐτῷ τετυχηκότας, καὶ χάριν εἰληφότας παρὰ Θεοῦ διακονεῖν ἡμῖν τὰς παρ' αὐτοῦ εὐεργεσίας, ἰάσεις τε παθημάτων, καὶ κινδύνων ἀπολυτρώσεις ἐν τῇ διὰ τῆς μνήμης αὐτῶν ἐπικλήσει τοῦ Θεοῦ ἡμῶν, τῆς κατὰ τὸ δυνατὸν ἡμῖν ἀξιοῦμεν τιμῆς, καὶ τῶν ἐν ὑμνῳδίαις μακαρισμῶν· « Μνήμη γὰρ δικαίων, ὥς φησιν ἡ Γραφή, μετ' ἐγκωμίων. » Ταῦτα πάντα παρεθέμεθα τῷ λεχθέντι θεοφιλεῖ Νακωλείας ἐπισκόπῳ· ἅπερ καὶ ἐδέξατο, καὶ καθωμολόγησεν ὡς ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων οὕτως κρατεῖν, καὶ μηδέν τι λέγειν ἢ πράττειν πρὸς τὸ σκανδαλίσαι τοὺς λαούς, ἢ ταραχῆς αὐτοῖς αἰτίαν παρασχεῖν. Τοῦτο οὖν ἡ ὑμετέρα θεοφιλία, μήτε τὴν θεοφιλῆ αὐτῆς σύνοδον σκυλῆναι ποιήσῃ, μήτε αὐτὴ ἐν σκανδάλῳ τινὶ ἐν τούτῳ γινέσθω· ἀλλὰ δὴ μεταστελλομένη αὐτὸν, καὶ τὰ παρόντα ἡμῶν γράμματα ὑπαναγινώσκουσα, τῆς ἐν τούτοις συγκαταθέσεως αὐτοῦ πληροφορίαν λαμβάνουσα, ὑπερευχέσθω τῆς τε τῶν κρατίστων ἡμῶν δεσποτῶν καὶ βασιλέων πολυχρονίου εὐζωΐας καὶ νίκης, αἰτείσθω δὲ καὶ τῷ τῶν Χριστιανῶν λαῷ τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην τοῦ Θεοῦ.

Verumtamen Deum quidem novimus [*Gr.* Deum quidem illum nov.] sine initio et infinitum, et in manu omnia continentem, factoremque nostrum et omnis creaturæ, et veraciter Salvatorem Deum, habentem potestatem in cœlo et in terra, pro genere hominum incarnatum fuisse. Porro hanc ancillam, et proprie matrem ejus, ac intercessionem potentissimam generis nostri suscipimus. Illum quidem ut dominatorem, et quæ salutis nostræ sunt tribuentem; hanc vero ut materne pro nobis petentem : et sanctos omnes, tanquam conservos quidem nostros, et nostræ naturæ consistentes, sed placentes Deo, quemadmodum prædictum est, et supernam confidentiam et beatitudinem apud eum adeptos, et gratiam consecutos a Deo ad ministrandum nobis beneficia ipsius, sanitatesque passionum, et periculorum ereptiones in invocatione Dei nostri, cum per memoriam eorum in hymnis et canticis, beatitudinem et honorem ipsorum recolimus : « Memoria enim justorum, ut Scriptura inquit, cum laudibus [23]. » Hæc omnia jam exposuimus jam fato Deo amabili episcopo Nacoliæ : quæ et suscepit, et professus est tanquam coram Deo universorum sic se tenere, et nihil aliud dicere vel agere ad scandalizandos populos, vel turbationis eis causam præstandum. Hoc ergo sciens Deo amabilitas vestra, neque Deo amabilem synodum suam vexari faciat, neque in hoc scandalum ei aliquod fiat. Sed de cætero accersito eo, et præsentibus litteris nostris lectis satisfactioneque consensus ejus per eas percepta, exoret quidem pro optimorum dominorum nostrorum et imperatorum longævitate atque victoria : postulet autem et Christianorum plebi pacem Dei, « quæ exsuperat omnem sensum [24]. »

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· Ὁ πατὴρ ἡμῶν ὁ ἅγιος Γερμανὸς συμφωνεῖ τοῖς πρὸ αὐτοῦ ἁγιωτάτοις Πατράσιν.

Tarasius sanctissimus patriarcha dixit : Pater noster sanctus Germanus concordat cum prædecessoribus sanctissimis Patribus.

Ἡ ἁγία σύνοδος εἶπεν· Ἀληθῶς, δέσποτα, ἐν πᾶσι συμφωνεῖ.

Sancta synodus dixit : Vere, domine, in omnibus concordat.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· Ταῦτα τὰ γράμματα λαβὼν ὁ Νακωλείας ἀπέκρυψε, καὶ οὐκ ἔδωκεν αὐτὰ τῷ μητροπολίτῃ αὐτοῦ. Πρὸς ταῦτα λοιπὸν πάλιν γράφει τῷ Νακωλείας ὁ μακάριος Γερμανός. Ἡ γὰρ ἀρχὴ τῆς αἱρέσεως ἐξ αὐτοῦ ἐγένετο.

Tarasius sanctissimus patriarcha dixit : Has litteras suscipiens Nacoliensis abscondit, et non dedit eas metropolitano suo. Ad hoc iterum scribit ad Nacoliensem beatus Germanus. Initium enim hæreseos ex illo fuit.

Θεοδόσιος [5] ὁ θεοφιλέστατος μοναχὸς, διάκονος καὶ νοτάριος καὶ σκευοφύλαξ τῶν εὐαγῶν πατριαρχικῶν εὐκτηρίων, ἀνέγνω.

Theodorus [Theodos.] Deo amabilis diaconus, notarius et scevophylax venerabilium patriarchicorum oratoriorum, legit.

Γ'.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ πρὸς Κωνσταντῖνον ἐπίσκοπον Νακωλείας.

Ἰωάννης ὁ θεοφιλέστατος τῆς Συναδέων μητροπολί-

III.

Ejusdem Patris nostri sanctæ memoriæ Germani ad Constantinum episcopum Nacoliæ.

Joannes Deo amabilis Synadensium metropolita-

[23] Prov. x, 7. [24] Philipp. iv, 7.

VARIÆ LECTIONES.

[5] Θεόδωρος.

(1) In Græco qui una cum Patre et Spiritu sancto divina largitur. Hard.

Digitized by Google

nus scripsit nobis, quod non tradidit sibi Deo amabilitas tua litteras nostras : in quibus non mediocriter super te contristati sumus, eo quod postposueris, ut liquet, et Dei amorem [*Gr.* timorem], et debitum membris Christi ab alterutris amorem pariter et honorem. Hujus rei gratia per præsentes litteras nostras præcipimus Deo amabilitati tuæ, ut statim per semetipsam det prædictam epistolam nostram prædicto Deo amabili metropolitano suo, et omnem ei honorem impendat, et subjaceat ei secundum ordinem qui condecet sacerdotes ; et quemadmodum sermones nostros Deo amabilitas tua suscepit, et hos sectari professa est, permaneat, non in sensu suo abundans. Non enim ignorat, nec obliviscitur, ut existimamus, quia et pro abrenuntiando episcopatu proprio nos rogavit, prætendens incursionem meditari contra se, in quibus, ut dicebat ipsa, non erat conscia : affirmans nihil ad injuriam Domini vel sanctorum ejus propter horum imaginem se dicere vel agere, sed tantummodo Scripturæ sectari magisterium, eo quod nihil in creaturis divinum mereatur honorem. Quod et nos ita se habere didicimus, et firmiter retinemus et profitemur. Quæ autem scripta sunt a nobis ad jam memoratum Deo amabilem metropolitam ejus, legimus ei ; et in his permanere professa est : et exemplaria hujuscemodi epistolæ præbuimus ei. Ne ergo velis scandalum fieri plebi experti malorum, memorans terminum judicii Domini, quod etiam his qui unum pusillorum scandalizant, inferre minatus est [25]. Hoc autem sciat, quod donec epistolam nostram tribuerit Deo amabilissimo metropolitano suo, ex auctoritate sanctæ ac consubstantialis Trinitatis non habeat potestatem qualemcunque contingere sacerdotale officium. Oportet autem magis nos austerius eam aggredi, quam non correctam divinitus referendæ damnationi eam [ream] deserere.

Tarasius sanctissimus patriarcha dixit : Sicuti et prædixi, fratres, introductio Hilatæ novitatis hujus ex prædicto viro, id est, episcopo Nacoliæ, facta est.

Constantinus Deo amabilis diaconus et notarius legit.

IV.

Epistola Germani episcopi Constantinopoleos ad Thomam episcopum Claudiopoleos.

Dixit in quodam eloquiorum suorum loco sapientissimus Salomon : « Frater qui adjuvatur a fratre, quasi civitas firma et alta : valet autem sicut seris munitum regnum [26]. » Ego autem non ex his qui adjuvare possunt, memet existimans, sed potius ex illis qui adjutorio egent, præsentem

[25] Matth. xviii, 10. [26] Prov. xviii, 19.

της γεγράφηκεν ἡμῖν, ὡς οὐκ ἀπέδωκεν αὐτῷ ἡ θεοφιλία σου τὰ ἡμέτερα γράμματα· ἐφ' οἷς οὐ μετρίως ἐπὶ σοὶ ἐλυπήθημεν, ἐν δευτέρῳ θεμένῳ, ὡς ἔοικε, καὶ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὴν ὀφειλομένην τοῖς μέλεσι τοῦ Χριστοῦ παρ' ἀλλήλων ἀγάπην τε καὶ τιμήν. Τούτου χάριν διὰ τῶν παρόντων ἡμῶν γραμμάτων παραγγέλλομεν τῇ θεοφιλίᾳ σου, παρευθὺ δι' ἑαυτῆς ἀποδοῦναι τὴν προλεχθεῖσαν ἡμῶν ἐπιστολὴν τῷ εἰρημένῳ θεοφιλεῖ αὐτῆς μητροπολίτῃ, καὶ πᾶσαν αὐτῷ τιμὴν ἀπονέμειν, καὶ ὑπείκειν αὐτῷ κατὰ τὴν πρέπουσαν ἱερεῦσι τάξιν. Καὶ καθὼς τοὺς ἡμετέρους λόγους ἐδέξατο ἡ θεοφιλία σου, καὶ τούτοις ἐξακολουθεῖν ὡμολόγησεν, ἐμμεινάτω, μὴ τῷ ἰδίῳ νοῒ πληροφορουμένη. Οὐκ ἀγνοεῖ γὰρ, οὔτε μὴν ἐπελάθετο, ὥς γε λογιζόμεθα, ὅτι καὶ ἀποτάξασθαι τῆς οἰκείας ἐπισκοπῆς παρεκάλεσεν ἡμᾶς, προτείνουσα ἐπανάστασιν μελετᾶσθαι κατ' αὐτῆς, ἐφ' οἷς, ὡς ἔλεγεν αὐτὴ, οὐ συνηπίστατο· διαβεβαιουμένη μηδὲν πρὸς ὕβριν τοῦ Κυρίου, ἢ τῶν ἁγίων αὐτοῦ, ἕνεκεν τῆς τούτων εἰκόνος εἰπεῖν ἢ διαπράξασθαι, ἀλλ' ἢ μόνον τὴν Γραφικὴν προτείνειν διδασκαλίαν περὶ τοῦ μηδὲν τῶν ἐν κτίσμασι τῆς θείας ἀξιοῦν τιμῆς. Ἥντινα καὶ ἡμεῖς ἐδιδάχθημεν οὕτως ἔχειν, καὶ βεβαίως κρατοῦμεν, καὶ ὁμολογοῦμεν. Καὶ τὰ γραφέντα δὲ παρ' ἡμῶν πρὸς τὸν μνημονευθέντα θεοφιλῆ μητροπολίτην αὐτῆς ὑπανέγνωμεν αὐτῇ, καὶ τούτοις ἐμμένειν καθωμολόγησε, καὶ τὰ ἴσα τῆς τοιαύτης ἐπιστολῆς παρέσχομεν αὐτῇ. Μὴ οὖν θελήσῃς σκάνδαλον γενέσθαι λαῷ ἀπειροκάκῳ, μεμνημένος τοῦ φοβεροῦ βήματος [h] τοῦ Κυρίου, ὅπερ καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίζουσιν ἐπάγειν ἠπείλησε. Τοῦτο δὲ γινωσκέτω, ὡς μέχρις ἂν τὴν ἡμετέραν ἐπιστολὴν ἀποδῷ τῷ θεοφιλεστάτῳ αὐτῆς μητροπολίτῃ, ἐξ ἐπιτιμίων τῆς ἁγίας καὶ ὁμουσίου Τριάδος οὐκ ἔχει ἐξουσίαν οἱασδήποτε ἐφάψασθαι λειτουργίας ἱερατικῆς. Δεῖ γὰρ ἡμᾶς μᾶλλον αὐστηρότερον αὐτῇ προσαχθῆναι, ἤπερ ἀνουθέτητον αὐτὴν καταλιπεῖν, τῇ παρὰ τοῦ Θεοῦ κατακρίσει ἐσομένην ὑπεύθυνον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Ὡς καὶ προέφην, τίμιοι ἀδελφοὶ, ἡ εἰσαγωγὴ τῆς ἐπεισάκτου καινοτομίας ταύτης γέγονεν ἐκ τοῦ προειρημένου ἀνδρὸς ἐπισκόπου Νακωλείας.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Δ'.

Ἐπιστολὴ Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Θωμᾶν ἐπίσκοπον Κλαυδιουπόλεως.

Εἴρηκέ που τῶν ἑαυτοῦ λόγων ὁ σοφὸς Σολομών· « Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ὥσπερ μεμοχλευμένον βασίλειον. » Ἐγὼ δὲ οὐ τῶν βοηθεῖν δυναμένων ἑαυτὸν λογιζόμενος, ἀλλὰ μᾶλλον τῶν βοηθεῖσθαι δεομένων, τὸ παρὸν ἐγχαράξαι γράμμα πρὸς τὴν ὑμετέραν ὡρ-

VARIÆ LECTIONES.

[h] L. κρίματος.

Digitized by Google

μήθην θεοφιλίαν, τῶν λογισμῶν μὴ φέρων τὴν ὄχλη- A
σιν. Τινὰ γάρ μοι ἠκούσθη πεπραχέναι αὐτὴν, ἅπερ
εἰ μὲν ψευδῆ, κατὰ τὸν θεολόγον Γρηγόριον εἰπεῖν,
αὖραι φερέτωσαν· εἰ δὲ ἀληθῆ, πανταχόθεν μου τὴν
διάνοιαν ἀπορία περιέλαβεν. Ἆρα γὰρ καὶ αὐτῇ κατὰ
τὴν τῶν πλειόνων ῥᾳθυμίαν τὸ τῆς ἀγάπης τερπνὸν
χείλεσι μόνον περιεκέχρωσται, καὶ οὐκ εἰς τὸ βάθος
κατέδυ τῆς διανοίας, δηλονότι λογιζομένης αὐτῆς,
οὐκ ἐν εἰλικρινεῖ ἀγάπῃ διακεῖσθαι ἡμᾶς πρὸς αὐ-
τήν; ἢ τοῦτο μὲν οὐδαμῶς, τὸ δὲ ἀμαθὲς ἡμῶν, καὶ
περὶ τὰ τῷ Θεῷ ἀρέσκοντα ὀκνηρότερόν τε καὶ ἠμε-
λημένον διέπτυσεν, ὡς οὐ πολλῆς φροντίδος ἀξιου-
μένης τῆς ἐρεύνης τοῦ θείου θελήματος κατὰ τὴν
παραδοθεῖσαν ἡμῖν διὰ τῶν ἱερῶν Γραφῶν ἁγίαν ἐν-
τολήν; Ἢ καὶ τούτων μὲν οὐκ εὔστοχος ἡ ὑπόνοια,
ἐκεῖνο δὲ ἴσως ὑπολαμβάνειν ἔστιν, ὡς κρείττονος B
αὐτῇ ἀποκαλύψεως γενομένης (ὀκνῶ γὰρ εἰπεῖν οἰή-
σεώς τινος καὶ φρονήματος· Ἡ γὰρ ἀγάπη τὸ κα-
κὸν οὐ λογίζεται, λέγει ὁ θεῖος Ἀπόστολος), εἰς τοιαύ-
την ἦλασε πληροφορίαν, ἣν φανερῶσαι ἡμῖν ἐξ
ἀναγκαίου ὀφείλει. Γέγονε δὲ ἡμῖν τῶν τοιούτων
ὑπονοιῶν οὐκ ἀνεύλογος ἀφορμή· ὅτι χρόνῳ πολλῷ
γενομένη παρ' ἡμῖν ἡ ὑμετέρα θεοφιλία, συναυλιζο-
μένη τε καὶ Γραφικῶν ἔσθ' ὅτε λόγων τε καὶ ζητη-
μάτων ἐρωτήσεις προβαλλομένη, οὐδένα λόγον κε-
κίνηκεν ἡμῖν ποτε περὶ εἰκόνων, εἴτε ἁγίων ἀνδρῶν,
ἢ καὶ αὐτοῦ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ, καὶ τῆς κατὰ σάρκα αὐτοῦ ἁγίας καὶ ἀλη-
θῶς Θεοτόκου Μητρός· οὔτε ὡς συζητοῦσα καὶ τὸ
ἀκριβὲς εὑρεῖν βουλομένη, ἤγουν ἐρωτῶσα, ὁποῖον C
ἡμῖν περὶ τούτου τὸ φρόνημα· καὶ εἰ κατὰ λόγον
ἐστὶ τὸ ἐν τούτοις γινόμενον, οὐδεμίαν φέρον κατά-
κρισιν παρὰ Θεῷ τοῖς ποιοῦσιν· ἀλλ' οὔτε ὡς βε-
βαίᾳ πληροφορίᾳ ἀποβολῆς καὶ ἀναιρέσεως ἄξιον
τὸ τοιοῦτον τιθεμένη, πρὸς τὸ συμβουλεύειν ἡμῖν
ἐπιδίδωκεν ἑαυτήν, ὥστε καὶ ἡμᾶς τῆς ὁμοίας ἔχε-
σθαι γνώμης· ἀλλὰ πάντη τὰ περὶ τούτου ἐν τελείᾳ
σιωπῇ παρ' ἡμῖν ποιησαμένη, ἐν τῇ κατ' αὐτὴν πό-
λει γεγενημένῃ, ὡς ἀπὸ δόγματος κοινοῦ καὶ ἀναν-
τιρρήτου τινὸς διασκέψεως τὴν τῶν εἰκόνων καθαί-
ρεσιν, ὡς μεμαθήκαμεν, ἐποιήσατο, εἰ τὸ ἀληθὲς
οὕτως ἔχει, πάλιν ἐροῦμεν. Καὶ γὰρ οὐκ εὔδρομος
ἡμῖν ἡ ψυχὴ πρὸς τὸ πιστεύειν ἀπεριμερίμνως τοῖς
πρὸς τὸ διασύρειν τοὺς πλησίον λεγομένοις πολλάκις.
Ἀλλ' ἡμεῖς ἀναγκαῖον τιθέμενοι, ὡς ἐν διασκέψει D
καὶ ἀδελφικῇ δοκιμασίᾳ τὰ τοῦ φρονήματος ἡμῶν
φανερῶσαι, λεπτομερῶς τὰ περὶ τούτου συνείδομεν
διεξελθεῖν. Ἐκεῖνο πρότερον ὑπομιμνήσκοντες, ὡς
ἐξ ἅπαντος φυλάττεσθαι ἡμᾶς χρὴ τὰς τῶν πραγ-
μάτων καινοτομίας· καὶ μάλιστα ὅπου τοῖς ἐν τῇ
πίστει τοῦ Χριστοῦ λαοῖς θόρυβός τις καὶ σκανδάλων
ὑπόθεσις παρακολουθεῖ, ἔπειτα καὶ χρόνου μακροῦ
ἔθος ἐν ταῖς Ἐκκλησίαις ἐκράτησεν. Εἰ γὰρ μετὰ
βουλῆς οἰνοποτεῖν ἡ Γραφὴ διατάσσεται, πολλῷ μᾶλ-
λον ἡμᾶς χρὴ πλείονι συζητήσει τοῖς καιριωτέροις
ἐγχειρεῖν, ἵνα μὴ ὑπόδικοι τῷ φοβερῷ γενώμεθα
κρίματι, τῷ καὶ ἕνα τῶν μικρῶν σκανδαλίζοντι

exarare litteram ad vestram studui Deo amabilitatem, cogitationum non ferens molestiam. Quænam enim eam egisse audivi, quæ si quidem, ut secundum deiloquum Gregorium dicamus, mendacia, auræ ferant : at si veracia, undique mentem meam confusio comprehendit. Putas enim quod et ipsa, secundum multorum desidiam, dilectionis jucunditate labiis tantum fuerit usa [*Gr.* fit illicita], et non in profundum descenderit mentis, existimantis videlicet quod non sincera dilectione circa illam flagremus? vel hoc quidem nequaquam, sed imperitiam nostram et pigritiam, et negligentiam circa ea quæ Deo sunt placita, respuit; utpote quæ nullam curam gesserit in perscrutanda voluntate divina, secundum traditum nobis per sacras Scripturas sanctum mandatum? Aut horum non quidem est apta suspicio, illud vero fortasse opinandum est, ut meliore sibi facta revelatione (piget autem me dicere elatione quadam et prudentia [sensu tumido]; charitas enim malum non cogitat, ut ait divinus Apostolus [27]) in talem devenerit satisfactionem, quam manifestare nobis ex necessitate debeat [*Gr.* debet]. Porro facta est nobis ex hujusmodi suspicionibus [*Gr.* hujusmodi suspicionum] non irrationabilis occasio : quia tempore multo degens apud nos vestra Deo amabilitas et commorans, quæ etiam litteralium nonnunquam verborum et quæstionum [Scripturæ non. sententiarum et qu.] interrogationes proponens, nullum sermonem movit nobis aliquando de imaginibus sive sanctorum virorum, sive ipsius Domini et Salvatoris nostri Jesu Christi, et secundum carnem ejus sanctæ, et veraciter Dei Genitricis Mariæ : neque tanquam inquirens, et certitudinem invenire volens, id est, interrogans, qualis nobis de hoc sensus exsisteret : et si secundum rationem esset quod in his fieret, nullam inferendo damnationem ista facientibus : sed neque ad firmam satisfactionem abjectione et interemptione dignum hujusmodi ducens, ad consilium nobis accipiendum tradidit semetipsam utrum [*Gr.* ut] et nos similis sensus essemus : sed de his omnino in silentio perfecto se sciens, in civitate sua quasi ex communi dogmate et indubitabili quadam disceptatione imaginum depositionem, sicut didicimus, fecit : si veritas ita se habet, iterum dicemus. Etenim non est nobis facilis animus ad credendum inconsulte his qui crebro dicuntur detrahere proximis. Necessarium ponentes [*addit. ex Gr.* Sed nos nec. pon.], in tractatione et fraterna probatione, ea quæ sensus nostri sunt, manifestare, subtiliter illa quæ de hoc sunt, consideramus aggredi; illud primitus commonentes, quia omnino cavere nos oportet rerum novitatem; et maxime ubi plebes quæ in fide Christi sunt, turbatio quædam et scandalorum causa subsequitur, deinde et prolixi temporis consuetudo in ecclesiis tenuit. Si enim cum consilio vinum potare

[27] I Cor. xiii, 5.

Digitized by Google

Scriptura præcipit [28], multo magis nos oportet multa inquisitione necessarioribus operam dare, ut non obnoxii terribilis efficiamur judicii, quod et illi qui unum ex minimis scandalizat, præparatur a Deo [29] : et aliter subversionem verborum vel rerum, quæ ad injuriam Christi ecclesiæ ab infidelibus collectæ sunt, facere debentes, etiam hujus venerabilem atque divinam ostendere immobilitatem.

A ἐπηρτημένῳ παρὰ Θεοῦ· καὶ ἄλλως τῶν πρὸς ὕβριν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας παρὰ τῶν ἀπίστων συναγομένων ῥημάτων ἢ πραγμάτων τὴν ἀνατροπὴν ποιεῖσθαι ὀφείλοντες. καὶ τὸ ταύτης σεμνόν τε καὶ ἔνθεον δεικνύειν ἀσάλευτον.

Hoc igitur in primis scire oportet, quia non tantum nunc, sed frequenter etiam Judæi talia nobis intulerunt in opprobrium, et hi qui vere idololatriæ cultores exsistunt, vituperare solum intemeratam et divinam fidem nostram conantes, et non ut manufactis intenderent [*Gr.* non intendatur, non intenderent], perurgentes. Ubi illis omnè studium et cultus super hoc perficitur, nihil his quæ videntur et sentiuntur, excelsius ponere; sed divinam naturam varie humiliare, aut loco quodam circumcludentes universorum inspectricem ejus providentiam, aut corporalibus specificantes formis quos non ignobiliter quidam prædecessores nostri ut canes mutos, ut cum Scriptura dixerimus, vane latrantes ab ovili Christi repulerunt : quorum non nobis sunt præ manibus studia.

Τοῦτο τοίνυν ἐν πρώτοις γινώσκειν χρεών, ὡς οὐ νῦν μόνον, ἀλλὰ καὶ πολλάκις καὶ Ἰουδαῖοι, τὰ τοιαῦτα ἡμῖν προσήγαγον εἰς ὀνειδισμόν, καὶ οἱ τῆς ὄντως εἰδωλολατρείας θεραπευταί, αἰσχραίνειν μόνον ἐπιχειροῦντες τὸ τῆς πίστεως ἡμῶν ἄχραντόν τε καὶ ἔνθεον, καὶ οὐχὶ τὸ χειροποιήτοις προσέχειν ἀναιρεῖν ἐπειγόμενοι. Ὅπου γε αὐτοῖς ἡ πᾶσα σπουδὴ καὶ τὸ B σέβας περὶ τοῦτο καταγίνεται, μηδὲν τῶν ὁρωμένων καὶ αἰσθητῶν ὑψηλότερον τίθεσθαι, ἀλλὰ τὴν θείαν φύσιν παντοίως ταπεινοῦν, ἢ τόπῳ τινὶ περικλείοντας τὴν τοῦ παντὸς ἐποπτικὴν αὐτῆς πρόνοιαν, ἢ σωματικαῖς εἰδοποιοῦντας μορφώσεσιν, οὓς οὐκ ἀγενῶς μὲν τῶν ἡμετέρων προγενέστεροί τινες ὡς κύνας ἐνεοὺς, Γραφικῶς εἰπεῖν, μάτην καθυλακτοῦντας τῆς ποίμνης τοῦ Χριστοῦ ἀπεώσαντο, ὧν οὐκ ἐν χερσὶν ἡμῖν τὰ πονήματα.

Sed et de propriis impiis adinventionibus veritatis sermo hos compescere facit : quorum quidem alius publicat paganorum immolationem et fabularum turpitudinem et exsecrationem. Judæos autem alius erubescere facit, quod non solum patres eorum ad idola prolapsi sunt, exprobrans, sed et C quod contra legem, quam illi tenere se gloriantur, agant : sed loco quodam [*Gr.* cum illa loco q.] definito ea quæ typicarum sunt hostiarum, offerre decreverit, isti in omni loco orbis terrarum hoc agere non detrectent, consuetam in sanctum Spiritum perfidiam paterna consequentia adinvenientes, et hoc modo immolantes dæmoniis et non Deo. Vera enim ad verum Deum servitus atque adoratio in observatione sanctæ confessionis quæ est circa eum, atque in custodia legum et mysteriorum, quæ et ab ipso sive generaliter, sive capitulatim data sunt, certissime dirigitur. Sarracenis autem, quoniam et ipsi tale quid obtendere dignoscuntur, sufficit ad confusionem et verecundiam, afferre acclamationem, quæ usque in præsens in eremo ab D eis inanimato lapidi celebratur, cognomenque illius dicitur [*Gr.* invocationemque illius quod dicitur] Chobar, et cætera vanæ ipsorum traditionis et conversationis ludicra mysteria, quæ in insigni solemnitate gerebant [gerunt]. Christianorum autem omnium per totum orbem sub uno jugo, Evangelii videlicet, ut propheta dicit, servientium Deo forma peculiarissima est fides et confessio, credens in unum Deum Patrem et Filium et Spiritum sanctum, Trinitatem increatam, sempiternam, incom-

Οὐ μὴν δὲ ἀλλὰ καὶ ἐκ τῶν οἰκείων ἀσεβῶν ἐπιτηδευμάτων ὁ τῆς ἀληθείας λόγος τούτους ἐπιστομίζει· τῶν μὲν στηλιτεύων τῶν Ἑλληνικῶν τελετῶν καὶ μύθων τὸ αἰσχρὸν καὶ ἀπόπτυστον· Ἰουδαίους δὲ ἐντρέπων, οὐ μόνον τὴν τῶν πατέρων πρὸς τὰ εἴδωλα προσχώρησιν αὐτοῖς ὀνειδίζων, ἀλλὰ καὶ τὴν πρὸς τὸν θεῖον νόμον, ὃν ἐκεῖνοι αὐχοῦσι κρατεῖν, ἐναντίωσιν· εἴγε ἐκείνου ἐν τόπῳ τινὶ διωρισμένῳ τὰ τῶν τυπικῶν θυσιῶν προσάγειν θεσπίζοντος, οὗτοι ἐν παντὶ τόπῳ τῆς οἰκουμένης τοῦτο πράττειν οὐ παραιτοῦνται, συνήθως τὸ πρὸς τὸ ἅγιον Πνεῦμα ἀπειθὲς πατρικῇ ἀκολουθίᾳ ἐπιτηδεύοντες, καὶ ταύτῃ θύοντες δαιμονίοις, καὶ οὐ Θεῷ. Ἡ γὰρ ἀληθὴς πρὸς τὸν ἀληθινὸν Θεὸν λατρεία τε καὶ προσκύνησις ἐν τῇ τηρήσει τῆς ἁγίας περὶ αὐτὸν ὁμολογίας, καὶ τῶν παρ' αὐτοῦ δεδομένων συνεκτικῶν τε καὶ κεφαλαιωδεστέρων μυστηρίων καὶ νόμων φυλακῇ ἀκριβῶς κατορθοῦται. Σαρρακηνοῖς [i] δὲ, ἐπεὶ καὶ αὐτοὶ τὸ τοιοῦτον ἐπισκήπτειν δοκοῦσιν, ἀρκετὸν εἰς αἰσχύνην καὶ ἐντροπὴν, προσαγαγεῖν τὴν μέχρι τοῦ νῦν ἐν τῇ ἐρήμῳ τελουμένην παρ' αὐτῶν λίθῳ ἀψύχῳ προσφώνησιν, τήν τε τοῦ λεγομένου Χοβὰρ ἐπίκλησιν, καὶ τὰ λοιπὰ τῆς ματαίας αὐτῶν πατροπαραδότου ἐκεῖσε ἀναστροφῆς ὡς ἐν ἐπισήμῳ ἑορτῇ παιγνιώδη μυστήρια. Χριστιανῶν δὲ πάντων καθ' ὅλης τῆς οἰκουμένης ὑπὸ ζυγὸν ἕνα, τὸν τοῦ Εὐαγγελίου δηλαδὴ, ὡς ὁ προφήτης φησὶ, δουλευόντων Θεῷ χαρακτὴρ ἰδικώτατος, ἡ εἰς ἕνα Θεὸν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, Τριάδα ἄκτιστον, ἀΐδιον, ἀκατάληπτον, ἀόρατον, ὁμοούσιόν τε καὶ ὁμόθρονον, πίστις τε καὶ ὁμολογία· συνομολογουμένης καὶ τῆς τοῦ

[28] Prov. xxxi, 4. [29] Matth. xviii, 10.

VARIÆ LECTIONES.

[i] *Al.* Ἀγαρηνοῖς.

Digitized by Google

Υἱοῦ τοῦ Θεοῦ τελείας ἐνανθρωπήσεως, καὶ τῶν ἄλλων κατὰ τὴν δύναμιν τοῦ ἱεροῦ συμβόλου, ὅπερ ὁ λαὸς τοῦ Χριστοῦ ὁμοφρόνως πρὸ τῆς μυστικῆς καὶ ἁγίας ἀναφορᾶς προσάγει Θεῷ· ἥ τε εἰς τὸ ὄνομα τούτων δὴ τῶν τριῶν θεαρχικῶν ὑποστάσεων τελουμένη διὰ τοῦ θείου βαπτίσματος πνευματικὴ ἀναγέννησις, καὶ τῶν ζωοποιῶν τῆς ἀναιμάκτου θυσίας συμβόλων ἡ θεουργικὴ μετάληψις καὶ κοινωνία· δι' ὧν ὁ τῆς ἀληθείας ἀναλάμπει φωτισμός, καὶ τὸ τῆς ἀσεβείας ἀπελαύνεται σκότος, ἔχον καὶ αὐτὸ τῆς οἰκείας πλάνης ἐμφανέστατον γνώρισμα τὴν τῆς πολυθεΐας ἀθεότητα. Ταῦτα δὲ οὕτως ἀλλήλοις ἀντίκειται, ἀποστολικῶς εἰπεῖν, ὃν τρόπον τὸ καταρχὰς διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτὸς καὶ ἀναμέσον τοῦ σκότους. Λεγέτω τοίνυν μεθ' ἡμῶν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης· « Αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. » Προστεθήτω δὲ καὶ παρ' ἡμῶν, καὶ λεγέσθω· Αὕτη ἐστὶν ἡ πέτρα ἐφ' ᾗ Χριστὸς τὴν ἑαυτοῦ ᾠκοδόμησεν Ἐκκλησίαν, πύλαις ᾅδου, ἤγουν προσβολαῖς τῶν ἐναντίων δυνάμεων, ἀκατάσειστόν τε καὶ ἀπερίτρεπτον. Ἐντεῦθεν τὸ καινὸν ἐκληρωσάμεθα ὄνομα, ὅπερ, Ἡσαΐας φησὶν, εὐλογηθήσεται. Λέγει γὰρ οὕτως· « Εὐλογήσουσι τὸν Θεὸν τὸν ἀληθινὸν, » τὸ ὑπεράγνωστόν τε καὶ ἀνεξιχνίαστον τῆς ἀῤῥήτου αὐτοῦ φύσεως διαγγέλλοντες· ἀόρατόν τε αὐτὴν καὶ ἀπερίγραπτον, καὶ πάντῃ ἀναλλοίωτον ἐν ἀδιστάκτῳ πληροφορίᾳ κηρύττοντες, καὶ τὴν ἀΐδιον αὐτῆς δύναμιν καὶ θειότητα ἀπὸ κτίσεως κόσμου, κατὰ τὸν ἱερώτατον Παῦλον, τοῖς ποιήμασι νοουμένην καθορῶντες. Οὕτω δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ ἠξιώμεθα, καὶ τῇ ἐλευθερίᾳ, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, τετιμήμεθά τε καὶ δεδοξάσμεθα, πάσης ἀπαλλαγέντες εἰδωλικῆς πλάνης τε καὶ ἀσεβείας· ἧς τὸ ἐξαίρετον γνώρισμα, λέγειν τῷ λίθῳ, Σύ με ἐγέννησας· καὶ τῷ ξύλῳ Σύ με ἐποίησας, κατὰ τὴν τοῦ προφήτου φωνήν· καὶ μὴ ἀναβλέπειν εἰς τὸν οὐρανὸν, ὡς Ἡσαΐας βοᾷ, καὶ λογίζεσθαι, τίς ὁ καταδείξας ταῦτα πάντα, ὁ ἐξάγων κατὰ ἀριθμὸν τὸν κόσμον αὐτοῦ, πάντα ἐπ' ὀνόματι καλεῖ ἀπὸ πολλῆς δόξης, καὶ ἐν πλήθει ἰσχύος· οὗ αἱ χεῖρες ἔπλασαν πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, ὡς ἕτερός τις εἶπε τῶν προφητῶν· ἢ τὴν λοιπὴν τῆς κτίσεως πάσης ἐναρμόνιον εὐταξίαν ὁρῶντας, δι' αὐτῆς τῷ νοερῷ τῆς ψυχῆς ἀναλόγως τὸν γενεσιουργὸν αὐτῆς λόγον ἐννοεῖν, καὶ δι' αὐτοῦ τὸν πατέρα καὶ ὄντως ὄντα Θεὸν προσκυνεῖν, καθὼς καὶ ὁ μακάριος Ἀθανάσιος τὸν κατὰ εἰδώλων συντάττων λόγον ἐκδιδάσκει σαφέστατα. Ὡς οὖν οὐδεμία κοινωνία φωτὶ πρὸς σκότος, ἢ συμφώνησις Χριστῷ πρὸς Βελίαρ· οὕτως οὐδὲν κοινὸν Χριστιανοῖς ἕνα Θεὸν ἐν ἀπροσίτῳ δόξῃ τε καὶ δυνάμει προσκυνούμενον σέβουσι, πρὸς τοὺς πλάττοντας Θεὸν, καὶ ταύτῃ παρὰ τοῦ προφήτου ταλανιζομένους δικαίως. Ἐκείνοις μὲν γὰρ σποδὸς ἡ καρδία, ὡς γέγραπται· ὧν οἱ μὲν τῇ ποιήσει τοῦ

prehensibilem, invisibilem, unius substantiæ ac sessionis : confitens pariter et Filii Dei incarnationem [*Gr.* perfectam incarnationem], et alia secundum virtutem sacratissimi symboli, quod plebs Christi concorditer ante mysticam et sanctam oblationem offert Deo : atque illa spiritualis regeneratio, quæ in nomine earumdem trium Dei principalium [divinarum] personarum per sanctum baptisma celebratur : atque divina cooperatione facta perceptio [*Gr.* atque deificans perceptio], et communicatio vivificorum fœderum [*Gr.* symbolorum] incruenti sacrificii : per quæ veritatis illucescit illuminatio, et impietatis tenebræ effugantur, habentes et ipsæ proprii erroris manifestissimam cognitionem, multorum videlicet deorum superstitionem. Hæc autem ita invicem adversantur, ut apostolice dicam, quemadmodum in principio divisit Deus inter lucem et inter tenebras. Dicat igitur nobiscum beatissimus evangelista Joannes : « Hæc est victoria quæ vicit mundum, fides nostra [30]; » addatur autem et a nobis, et dicatur : Hæc est petra, supra quam Christus ædificavit suam Ecclesiam [31], portis inferi, id est, aggressionibus contrariarum virtutum inconcussam et invertibilem. Hinc novum nomen sortiti sumus, quod, ut Isaias dicit, benedicetur. Dixit enim ita : « Benedicent Deum verum [32] : » et superignotam atque investigabilem ineffabilis ejus naturæ annuntiantes incomprehensibilitatem; invisibilem etiam illam, et incircumscriptam, et omnino incommutabilem indubitabili certitudine prædicantes; atque sempiternam ejus virtutem et divinitatem a creatura mundi, secundum sacratissimum Paulum [33], per ea quæ facta sunt, intellectam conspicientes. Sicque servire Deo vivo et vero meruimus, et libertate qua Christus nos liberavit, honorificati sumus et glorificati, ab omni erepti idolico errore et impietate : cujus præcipua cognitio, dicere lapidi, Tu me genuisti : et ligno, Tu me fecisti, secundum prophetæ vocem [34]; et non aspicere in cœlum, ut Isaias clamat [35], ut existimetur quis est, qui ostendit hæc omnia : qui educit per numerum mundum suum, per nomen vocabit præ multa gloria, et in multitudine virtutis; cujus manus plasmaverunt universam militiam cœli, quemadmodum alius quidam ait prophetarum : cæterum creaturæ universæ in apto ordinem intuentes, per eam intellectu animæ similiter generationis rationem considerare [*Gr.* proportione productivum ejus verbum cons.], et per eam veraciter existentem Deum adorare, quemadmodum beatus Athanasius, sermonem contra idola componens, liquidius edocet. Sicut ergo nulla communicatio luci ad tenebras, vel conventio Christi ad Belial [36], ita nihil est commune Chri-

[30] I Joan. v, 4. [31] Matth. xvi, 16. [32] Isa. lxv, 16. [33] Rom. i, 20. [34] Jerem. ii, 27. [35] Isa. xxix, 15, 16. [36] I Cor. vi, 15.

VARIÆ LECTIONES.

1 *Alii.* καλέσει.

Digitized by Google

stianis, qui unum Deum inaccessibili claritate et virtute adorandum colunt, ad eos qui fingunt Deum, et hujusmodi a propheta juste miseri vocantur. Illis enim cinis quidem cor est, sicut scriptum est[37] : quorum alii quidem opera idoli a se facti creari sibi Deum recentem ex non exsistentibus opinantur : et corruente hoc ex qualibet causa et exterminato, firmiter tenent non esse sibi omnino Deum, nisi quiddam aliud pari modo condiderint. Et hoc liquido nos divina docet Scriptura in eo quod factum est in eremo, opere vituli ab Israelitis, quando seditionem commoventes dicebant ad Aaron : « Fac nobis deos, qui nos præcedant[38] : » ostendentes per hoc, se arbitrari non esse omnino Deum, neque verum, neque falsi nominis, nisi forte idolum sibi artificio fieret vel exquisitum [Gr. quod exquirebant], cui post hoc exitum eorum ex Ægypto commodarent [Gr. attribuerent], impietatis eorum et amentiæ ostendentes nimietatem. Alii autem post hæc gentilis religionis aggressi confusionem, et hanc circumtegere festinantes sub nomine deorum qui apud eos colebantur, simulacrorum curas [Gr. structuras] studio peragebant, tam scilicet Jovis, quem et patrem et consulem, id est, sublimissimum (2) deorum ac hominum nuncupabant, quam cæterorum, quorum non est incerta nominatio pluribus. Quorum purgationes [venerationes] et honores, qui per sacrificia quæ ab eis celebrantur, fiebant, fornicationes quoque atque luxuriæ, ac totius immunditiæ demonstrationes, ut parum sit dici, turpia verba pariter et blasphemiæ, cum apud eos homicidia in honorem Dei studio agerentur, et pompa turpibus operibus eorum honorabatur, in honorem eorum qui adorabantur assumpta, utpote hæc illis agentibus, et his factis congratulantibus.

Porro quæ apud Christianos sunt imagines sanctorum virorum, qui usque ad sanguinem restiterunt peccato, secundum Apostoli vocem, quique verbo veritatis ministraverunt, prophetarum scilicet et apostolorum, sive etiam eorum qui pia vita et directione operum bonorum veraciter Dei servi ostensi sunt, nihil aliud sunt quam fortitudinis exemplum, conversationisque venerandæ ac virtutum norma, atque ad glorificandum Deum, cui in præsenti vita bene placuerunt, incitamentum et excitatio. Sermo enim bonorum virorum actus edocens, juvat audientes, et ad zelum imitationis frequenter invitat. Id ipsum autem fit secundum competentem rationem, si finis attendatur imaginum. Quæ enim sermo historiæ per auditum commendat, hæc pictura tacens per imitationem ostendit, magnus clamat Basilius, ex utroque isto ad fortitudinem, hos qui attendunt, erigi dicens. Brevis enim, ut quis dixerit, et capitularis narratio gestorum a pictore in imagine [Gr. ab eo qui depictus est in im.] fit nobis, qui aspicimus, imitabilis visionis ipsius formatio, ut ergo et cum [Gr. quemadmodum et cum] idolis falsorum deorum scelestæ

παρ αὐτῶν γινομένου εἰδώλου, κτίζεσθαι αὐτοῖς Θεὸν πρόσφατον ἐκ τοῦ μὴ ὄντος νομίζουσι· καὶ διαπίπτοντος τούτου ἐξ ὁποιασοῦν αἰτίας, καὶ ἀφανιζομένου, βεβαίως κρατοῦσι μὴ εἶναι αὐτοῖς ὅλως Θεὸν, εἰ μή τοιγε ἕτερον ὁμοίως δημιουργήσωσι. Καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ θεία διδάσκει Γραφὴ ἐπὶ τῆς κατὰ τὴν ἔρημον μοσχοποιίας τῶν Ἰσραηλιτῶν, ὅτε καταστασιάσαντες τοῦ Ἀαρὼν ἔλεγον· « Ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν· » ἐμφαίνοντες διὰ τούτου λογίζεσθαι αὐτοὺς, καθόλου μὴ εἶναι Θεὸν, μήτε ἀληθινὸν μήτε ψευδώνυμον, εἰ μή τι ἄρα εἴδωλον αὐτοῖς τεχνουργηθείη τὸ ἐπιζητούμενον· ᾧ τινι μετὰ τοῦτο τὴν ἐξ Αἰγύπτου αὐτῶν ἔξοδον ἀνετίθεσαν, τῆς ἀσεβείας αὐτῶν καὶ ἀνοίας δεικνύοντες τὴν ὑπερβολήν. Οἱ δὲ μετέπειτα τὴν τῆς Ἑλληνικῆς δεισιδαιμονίας μετιόντες αἰσχύνην, καὶ ταύτην περιέπειν σπουδάζοντες ἐπ' ὀνόματι τῶν παρ' αὐτοῖς θρησκευομένων θεῶν, τὰς τῶν ξοάνων κατασκευὰς ἐφιλοπόνουν, τοῦ τε Διὸς, ὃν καὶ πατέρα καὶ ὕπατον, ἦγουν ἐξοχώτατον θεῶν καὶ ἀνθρώπων ὠνόμαζον, καὶ τῶν λοιπῶν, ὧν οὐκ ἄδηλος ἡ ὀνομασία τοῖς πλείοσιν. Ὧν τὰ σεμνολογήματα καὶ αἱ κατὰ τὰς τελουμένας αὐτοῖς θυσίας τιμαὶ, πορνεῖαί τε καὶ ἀσέλγειαι, καὶ πάσης ἀκαθαρσίας ἐπίδειξις· μικρὸν γὰρ εἰπεῖν, αἰσχρορρημοσύναι τε καὶ βλασφημίαι· ὅπου γε παρ' αὐτοῖς ἀνδροκτονίαι τὸ πρὸς τιμὴν Θεοῦ σπουδαζόμενον ἦν, καὶ τὸ ἐμπομπεύειν ταῖς αἰσχρουργίαις αὐτῶν ἐτετίμητο, εἰς τιμὴν τῶν προσκυνουμένων λαμβανόμενον, ὡς ταῦτα πεπραχότων ἐκείνων, καὶ τούτοις γινομένοις ἐφηδομένων.

Αἱ δὲ παρὰ Χριστιανοῖς ἁγίων ἀνδρῶν εἰκόνες, τῶν τε μέχρις αἵματος ἀντιστάντων τῇ ἁμαρτίᾳ κατὰ τὴν τοῦ Ἀποστόλου φωνὴν, καὶ τῶν τῷ λόγῳ τῆς ἀληθείας διακονησαμένων, προφητῶν τε λέγω καὶ ἀποστόλων, εἴτε καὶ ἐν εὐσεβεῖ βίῳ καὶ κατορθώσει ἔργων ἀγαθῶν ἀληθῶς Θεοῦ δούλων ἀναδειχθέντων, οὐδὲν ἕτερόν εἰσιν, ἢ ἀνδρείας ὑπογραμμὸς, πολιτείας τε εὐαγοῦς καὶ ἀρετῶν ὑποτύπωσις, καὶ τοῦ δοξάζειν Θεὸν, ᾧ κατὰ τὴν παροῦσαν ζωὴν εὐηρέστησαν, ὑπονυγμὸς καὶ διέγερσις. Λόγος μὲν γὰρ τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις διεξιὼν ὠφελεῖ τοὺς ἀκούοντας, καὶ πρὸς ζῆλον μιμήσεως προσκαλεῖται πολλάκις. Τοῦτο δ' ἂν καὶ διὰ τοῦ προσέχειν τῇ εἰκόνι κατὰ τὸν τοῦ εἰκότος λόγον γενήσεται. Ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι, Βασίλειος ὁ μέγας βοᾷ, ἐξ ἑκατέρου τούτων πρὸς ἀνδρείαν διεγείρεσθαι τοὺς προσέχοντας λέγων. Σύντομος γὰρ, ὡς ἄν τις εἴποι, καὶ κεφαλαιώδης ὑφήγησις τῶν πεπραγμένων τῷ γραφέντι ἐν τῇ εἰκόνι, γίνεται τοῖς ὁρῶσιν ἡμῖν μιμητὴ τῆς ἰδέας αὐτοῦ ἡ μόρφωσις, ὥσπερ οὖν καὶ τοῖς εἰδώλοις τῶν ψευδωνύμων θεῶν αἱ μιαραὶ αὐτῶν συναναφαίνονται

[37] Isa. XLIV, 20. [38] Exod. XXXII, 1.

(2) Satis imperite pro *supremum*, vel *summum*, HARD.

Digitized by Google

πράξεις· καὶ τὸν μὲν ἐξ ἀκοῆς τὰ κατὰ τοὺς ἁγίους ἄνδρας παρειληφότα εἰς ἀνάμνησιν τῶν ἀκουσθέντων ἡ τοιαύτη θεωρία συνωθεῖ, τὸν δὲ ἀγνοοῦντα φιλοπευστεῖν παρασκευάζει, καὶ τὰ κατ' ἐκεῖνον διδασκόμενον, εἰς πόθον τε αὐτοῦ καὶ αἶνον Θεοῦ θερμῶς ἐγείρει· ὥστε δι' ἑκατέρου τούτων τοὺς ὁρῶντας τῶν ἁγίων τὰ καλὰ ἔργα δοξάζειν τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν. Εἰ δὴ [k] κατὰ Μωσέα νομοθεσία παραγγέλλει τῷ λαῷ κλῶσμα ὑακίνθινον εἰς τὰ κράσπεδα τὰ ἐν τοῖς ἄκροις τῶν ἱματίων τιθέναι πρὸς ἀνάμνησιν τῶν διατεταγμένων καὶ φυλακήν, πολλῷ μᾶλλον ἡμᾶς ἔστι διὰ τῆς ὁμοιωματικῆς ἀναζωγραφήσεως τῶν ἁγίων ἀνδρῶν ἀναθεωρεῖν τὴν ἔκβασιν τῆς ἀναστροφῆς αὐτῶν, καὶ τούτων μιμεῖσθαι τὴν πίστιν κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν. Τὸ δὲ τοῦ Κυρίου τῆς κατὰ σάρκα ἰδέας ἐν εἰκόσι τυποῦσθαι τὸν χαρακτῆρα, εἰς ἔλεγχον μέν ἐστι τῶν φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ ἄνθρωπον αὐτὸν γενέσθαι ληρῳδούντων αἱρετικῶν, χειραγωγίαν δέ τινα τῶν μὴ πάντη εἰς τὸ ὑψηλὸν ἀνάγεσθαι τῆς πνευματικῆς θεωρίας ἐξισχυόντων, ἀλλὰ δεομένων καί τινος σωματικῆς κατανοήσεως πρὸς τὴν τῶν ἀκουσθέντων βεβαίωσιν, ὅσον ἐπωφελέστερόν τε καὶ περισπουδαστότερον.

A ipsorum coexsistunt [*Gr.* simul apparent] actiones : et alium quidem ex auditu percipientem ea quæ per sanctos viros gesta sunt, in recordationem auditorum hujusmodi contemplatio impellit, alium vero ignorantem ad diligenter percunctandum instruit, et quæ per illum docentur [*Gr.* illius acta edoctum], in amorem et laudem Dei fervide suscitant, ita ut per utrumque istorum aspicientes sanctorum opera bona, glorificent Patrem nostrum qui in cœlis est, secundum Evangelii vocem [39]. At si per Moysem legislatio præcipit [40] populo filum hyacinthinum in fimbriis, quæ sunt in summitatibus vestium, imponi ad recordationem præceptorum atque custodiam, quanto magis nos convenit per similitudinem picturæ sanctorum virorum aspi-
B cere proventum conversationis eorum, et horum imitari fidem secundum apostolicum magisterium? Domini autem secundum carnem visionis imaginibus formari characterem, in redargutionem quidem est hæreticorum, qui phantasia et non veritate hominem eum factum maledice perhibent, et in manuductionem quamdam eorum, qui non omnino ad celsitudinem ascendere spiritualis contemplationis valent, sed indigent etiam quadam corporali consideratione ad auditorum firmamentum, quanto videlicet utilius et sollicitius fuerit [*Gr.* rerum auditarum fir. quæcunque utiliores sunt et majori prosequendæ affectu].

Τὸ γὰρ μυστήριον τὸ καὶ τοὺς οὐρανοὺς καλύψαν τῇ ἀρετῇ, ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι, μὴ μόνον ἐξ ἀκοῆς τὴν πίστιν ἔχειν (ἡ γὰρ πίστις ἐξ ἀκοῆς, φησὶν ὁ Ἀπόστολος), ἀλλ' ἤδη καὶ δι' ὁράσεως ἐντυποῦσθαι τῶν ὁρώντων ταῖς διανοίαις, καὶ δυνάμει ἐκεῖνο βοᾷν, ὅτι ὁ Θεὸς ἐφανερώθη ἐν σαρκὶ, καὶ ἐπιστεύθη ἐν κόσμῳ, πάντων μάλιστα ἁγιαστικώτερόν τε καὶ σωτηριωδέστερον εὑρεθήσεται, ὥστε τὰ διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων περὶ τῆς κατὰ σάρκα αὐτοῦ ἐπὶ γῆς μετὰ ἀνθρώπων πολιτείας ἀναγεγραμμένα, ταῖς τῶν λαῶν πρὸς τὸ ἀνεξάλειπτον ἐγγράφεσθαι μνήμαις, καὶ τὸ σέβας τῆς δόξης αὐτοῦ καὶ περὶ ἡμᾶς ἀγαθότητος ἐναργέστερον κηρύττεσθαι καὶ προσκυνεῖσθαι.

C Mysterium enim quod et cœlos operuit majestate, absconditum a sæculis et generationibus in Deo, qui omnia creavit, et quod non solum ex auditu fidem habet (fides enim ex auditu, ait Apostolus [41]), sed etiam per visionem firmatur in eorum mentibus qui vident, et virtute illud vociferatur : quia se Deus manifestavit in carne, et creditum est in mundo, omnibus sanctius atque salubrius invenietur, ita ut ea quæ scripta sunt per evangelicas prædicationes de conversatione ejus, qua secundum carnem in terra cum hominibus conversatus est, in populorum, ne delerentur, descripta sint monumentis, ut et cultus claritatis ejus, et circa nos bonitatis, manifestius prædicaretur et adoraretur.

Οὐ γὰρ τῶν ξύλων καὶ τῶν χρωμάτων προσκυνεῖται ἡ μίξις, ἀλλ' ὁ ἀόρατος Θεὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος τὴν προσκύνησιν δέχεται ἐν πνεύματι καὶ ἀληθείᾳ· δι' ἑαυτοῦ τὴν πρὸς τὸν Πατέρα ἡμῖν προσαγωγὴν χαριζόμενος, καὶ σὺν αὐτῷ προσκυνούμενος. Ἐπεὶ καὶ ὁ Ἰακὼβ προσκυνῆσαι λέγεται ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσὴφ, οὐ τῷ ξύλῳ τὸ σέβας προσαγαγὼν, ἀλλὰ τὴν πρὸς τὸν κατέχοντα αὐτὸ τιμὴν ἐνδεικνύμενος. Οὕτω τοίνυν καὶ τῆς ἁγίας τοῦ Κυρίου, καὶ ὑπερενδόξου αὐτοῦ Μητρὸς τὸ ἀπεικόνισμα ἐπινενόηται τῷ τοῦ Χριστοῦ λαῷ, καὶ τετίμηται· οὕτω τοῖς ἀνέκαθεν τῶν ἁγιω-

D Non enim lignorum et colorum adoratur mistura, sed invisibilis Deus, qui in sinu Patris ipse adorationem assumit in spiritu et veritate, per se nobis oblationem quæ ad Patrem est, donans, ipse quoque cum ipso pariter adorandus. Nam et Jacob adorasse dicitur [42] super summitatem virgæ Joseph, non ligno cultum impendens, sed honorem ei, qui hanc possidebat, ostendens. Sic itaque et sanctæ Domini et semper gloriosæ matris effigies intelligitur a Christi populo, et honoratur : sic a priscis sanctissimarum Ecclesiarum prælatis talia recepta sunt, et hi nullam prohibitionem adepti sunt

[39] Matth. v, 16. [40] Num. xv, 38. [41] Rom. x, 17. [42] Hebr. xi, 21.

VARIÆ LECTIONES.

[k] *Isc.* εἰ δ' ἡ.

Digitized by Google

[*Gr.* et hæc nulla prohibitione vetita sunt]. Quanquam post persecutionem transitus in adventum fidei, hæc ubique retenta concilia universalia etiam usque ad generationem nostram transmiserunt, quæ plurimorum capitulorum super imaginibus regulas exposuere (3). Quas non esset congruum indiscusse super hoc et perfunctorie derelinquere, si secundum quorumdam opinionem cum idolorum formis et exsecramentis, quæ continentur in divinis Scripturis, etiam consuetudo quæ antiquitus apud nos tenebatur, discedat, vel ad Dei alienationem ducatur | *Gr.* a priscis temporibus apud nos viget, in idem tendit, atque ad Dei alien. ducit]. Is enim qui se cum apostolis esse usque ad consummationem sæculi dixit, hoc videlicet etiam his qui post eos inspectores Ecclesiæ sunt, repromittit. Non enim cum illis corporaliter perseveraturus erat usque ad instantis sæculi transitum; quin et cum his qui in nomine ejus duo vel tres congregandi erant, adesse perhibuit : et non utique tot multitudines zelo congregatas suæ pietatis, divinæ intelligentiæ ac ducatus exsortes desereret, quo minus videret pervenisse usque ad perseverantiam perfectionis Ecclesiæ ipsius, quam exhibuisse sibi credidimus non habentem maculam aut rugam, aut aliquid hujusmodi, licet non in paucis vel ignobilibus civitatibus, sed, ut ita dixerim, pene in omnibus regionibus, et in illustribus ac principalibus Ecclesiis hujusmodi more retento. Quod vero antiquum sit historicas narrationes Scripturarum frequenter in imaginibus formari, probat sanctæ memoriæ Gregorii Nyssæ sermo, de Abraham habens superscriptionem, in quo de sacrificio Isaac historiam in picturis assumptam docet.

Quod si secundum illos taliter se res habet, multo [*Gr.* Quod si gesta illorum ita, multo, etc.] magis Dominicæ dispensationis miracula et passiones hujusmodi debent consequi approbationem [*Gr.* expressionem], quemadmodum et sanctorum martyrum triumphi certaminum, qui ad zelum bonum adducunt aspicientes. Quod manifeste factum ostenditur etiam in fortissimi et mirabilis testis veritatis Anastasii certamine. Sed illud fortasse dixerit aliquis, tueri [*Gr.* vereri] necessarium nobis sanctæ Scripturæ præcepta. Ut puta : « Non facies tibimet idolum, neque omnem similitudinem, quæcunque in cœlo sursum, et super terram deorsum, et quæcunque in aquis subtus terram ; non adorabis ea, neque servies illis [43]. » Et rursus : « Non accipies nomen Dei tui in vanum [44]. » Et in Deuteronomio : « Neque inique agatis, et faciatis vobis ipsis sculptilem similitudi-

A τάτων Ἐκκλησιῶν προεστῶσι τὰ τοιαῦτα παρεδέχθησαν, καὶ οὐδεμιᾶς κωλύσεως ἔτυχον. Καίτοι μετὰ τὰς τῶν διωγμῶν παρελεύσεις, καὶ τὴν ἐν παῤῥησίᾳ τῆς πίστεως πανταχοῦ ἐπικράτειαν, καὶ συνόδων οἰκουμενικῶν μέχρι καὶ τῆς ἡμετέρας γενομένων, καὶ περὶ πλειόνων κεφαλαίων πολὺ τοῦ περὶ τῶν εἰκόνων λόγου καταδεεστέρων κανόνας ἐκθεμένων. Οὓς οὐκ ἦν εἰκὸς ἀνεξέταστον περὶ τούτου καὶ συγκεχωρημένον καταλιπεῖν, εἴπερ κατὰ τήν τινων ὑπόνοιαν ταῖς περὶ τῶν εἰδώλων μορφαῖς, καὶ ἀπαγορεύσεσι ταῖς φερομέναις ἐν ταῖς θείαις Γραφαῖς ἡ παρ' ἡμῖν ἐκ παλαιοῦ κρατήσασα αὕτη συνήθεια συνυπάγεται, καὶ πρὸς τὴν τοῦ Θεοῦ ἀλλοτρίωσιν φέρει. Ὁ γὰρ τοῖς ἀποστόλοις συνέσεσθαι εἰπὼν μέχρι τῆς συντελείας τοῦ αἰῶνος, δηλονότι τοῦτο καὶ B τοῖς μετ' αὐτοὺς τὴν Ἐκκλησίαν αὐτοῦ ἐπισκοποῦσιν ἐπαγγέλλεται. Οὐ γὰρ δὴ ἐκείνοις σωματικῶς παραμένειν ἤμελλεν ἕως τῆς τοῦ ἐνεστῶτος αἰῶνος παρελεύσεως· ἔτι μὴν καὶ τοῖς ἐπὶ τῷ ὀνόματι αὐτοῦ δύο ἢ τρισὶ συνηγμένοις συνεῖναι εἰπών, οὐκ ἂν τοσαῦτα πλήθη ζήλῳ συνηγμένα τῆς εἰς αὐτὸν εὐσεβείας, ἀμέτοχα τῆς θείας αὐτοῦ ἐπιπνοίας τε καὶ ὁδηγίας κατέλιπε, τοῦ μὴ πρὸς καταρτισμὸν τελειότητος τῆς αὐτοῦ Ἐκκλησίας ἰδεῖν, ἣν παραστῆσαι ἑαυτῷ πεπιστεύκαμεν μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. Καί τοι οὐκ ἐν ὀλίγαις ἢ ἀσήμοις τῶν πόλεων τοῦ τοιούτου ἔθους κρατήσαντος, ἀλλὰ σχεδὸν μὲν εἰπεῖν ἐν πάσαις ταῖς χώραις, καὶ ἐν ταῖς περιφανεστέραις καὶ πρωτευούσαις τῶν ἐκκλη- C σιῶν. Ὅτι δὲ ἀρχαῖόν ἐστι τὰς ἱστορικὰς διηγήσεις τῶν Γραφῶν πολλάκις ἐν εἰκόσι τυποῦσθαι, παρίστησι τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ Νύσσης λόγος, εἰς τὸν Ἀβραὰμ ἔχων τὴν ἐπιγραφήν, ἐν ᾧ τὴν περὶ τῆς θυσίας τοῦ Ἰσαὰκ ἱστορίαν ἀνειλῆφθαι ἐν ζωγραφίαις διδάσκει.

Εἰ δὲ τὰ κατ' ἐκείνους οὕτως, πολλῷ μᾶλλον τὰ τῆς Δεσποτικῆς οἰκονομίας θαύματά τε καὶ παθήματα τοιαύτης ἔτυχον ἀναδείξεως, ὥσπερ καὶ τῶν ἁγίων μαρτύρων αἱ ἀθλητικαὶ ἀνδραγαθίαι πρὸς ζῆλον ἀγαθὸν φέρουσαι τοὺς ὁρῶντας· ὅπερ ἐναργῶς γεγονέναι ἀποδείκνυται καὶ ἐπὶ τῆς τοῦ γενναίου καὶ θαυμαστοῦ μάρτυρος τῆς ἀληθείας Ἀναστασίου ἀθλήσεως. Ἀλλ' ἐκεῖνο ἴσως ἂν εἴποι τις, ὅτι εὐλαβεῖσθαι ἡμᾶς ἀναγκαῖον τῆς ἁγίας Γραφῆς τὰ παραγ- D γέλματα, οἷον· « Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς, οὐ ποιήσεις οὐδὲ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. » Καὶ πάλιν· « Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ. » Καὶ ἐν τῷ Δευτερονομίῳ· « Μὴ ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν ὁμοίωμα, καὶ τὰ σὺν αὐτοῖς. » Ἀλλὰ ταῦτα πάντα φανερὸν ἔχει τὸν νοῦν, τὸ τὴν θείαν

[43] Exod. xx, 4, 5. [44] ibid. 7.

(3) *Gr.* cum tamen persecutionibus transactis, et fide cum libertate ubique prævalente, generalia quoque concilia usque ad nostra tempora facta sint, et ea canones ediderint de pluribus capitulis longe minoris momenti, quam sit de imaginibus disputatio.

Digitized by Google

φύσιν ἀνείδεόν τε εἶναι καὶ ἀκατάληπτον, καὶ μηδενὶ ὁμοίαν ἡγεῖσθαι τῶν ὁρωμένων, στοχασμοῖς καὶ ὑπονοίαις ἀγομένους πρὸς σωματικὰς ὑπολήψεις. Προειπὼν γάρ, ὅτι Ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός· ταῦτα προειπὼν, ἐπήγαγεν εὐθύς· « Μὴ ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν, καὶ τὰ σὺν αὐτοῖς, » τοῦτο μὲν ἀναμιμνήσκων τῆς γενομένης τοῦ μόσχου κατασκευῆς, τοῦτο δὲ καὶ ἀσφαλιζόμενος, ὥστε μὴ καὶ αὐτοὺς κατὰ τὴν τῶν Αἰγυπτίων συνήθειαν, ἣν ἐγίνωσκον, πρὸς τὴν τοιαύτην κατολισθῆσαι ἀσέβειαν, καὶ τὸ θεῖον ἡγεῖσθαι τούτοις ὅμοιον. Τοῦτο γὰρ καὶ ὁ μέγας Ἀπόστολος ἐν τῇ πρὸς Ἀθηναίους δημηγορίᾳ φησί· « Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ Θεῖον εἶναι ὅμοιον· » τῆς δὲ αὐτῆς ἐννοίας ἔχεται καὶ τό· « Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἐπὶ ματαίῳ· » τουτέστιν, Οὐ καλέσεις καὶ ἡγήσῃ Θεὸν, ὅπερ οὐκ ἀληθῶς τοῦτο ὑπάρχει, ἀλλὰ μάτην ὑπονοίας καὶ ἐπωνυμίας τοιαύτης ἠξίωται. Ἀλλ' ἡμῖν, ὡς ὁ μέγας διδάσκει Ἀπόστολος, « Εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, » οὐ φυσικῆς ἑτερότητος διὰ τῆς τῶν προθέσεων ἐναλλαγῆς εἰσαγομένης· μὴ γένοιτο· τὰ γὰρ τρία εἷς Θεὸς μετ' ἀλλήλων νοούμενα, ὡς διδάσκει Γρηγόριος ὁ σοφός. Οὐδενὶ οὖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἢ τὸ σέβας, ἢ τὴν λατρείαν ὁ λαὸς τοῦ Χριστοῦ μέχρι καὶ σήμερον, πλὴν τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, προσήγαγε· μὴ γένοιτο! Πάντως γὰρ ἅμα τὸ λατρεύειν τοῖς τοιούτοις προστιθεῖσα ἡ θεία Γραφὴ, τὸ ἀλλότριον ἡμῶν καὶ πάντη ἀμέτοχον πρὸς τὴν τοιαύτην κλάνην παρίστησιν. Πρόδηλος γὰρ τῆς τῶν εἰδώλων λατρείας ὁ τρόπος. Παρ' ἡμῖν δὲ ὥσπερ εἷς Θεὸς τὸ προσκυνούμενον, μία τε καὶ ἡ εἰς αὐτὸν πίστις, καὶ ἓν τὸ σωτήριον βάπτισμα· οὕτω μία καὶ ἡ προσαγομένη αὐτῷ λατρεία παρ' ἡμῶν, καθὼς παραδέδοται ἐκ τῶν ἱερῶν ἀποστόλων, καὶ πεφύλακται· ἥ τε τῆς αἰνέσεως θυσία, ἣν διὰ Χριστοῦ ἀναφέρεσθαι τῷ Θεῷ καὶ Πατρὶ ὁ θεῖος ἔφη Ἀπόστολος, τουτέστιν ὁ τῶν χειλέων καρπὸς ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ· καὶ ἡ ἐν τοῖς ζωοποιοῖς μυστηρίοις θειοτάτη παράδοσις, ἣν προεμήνυσε Μαλαχίας ὁ προφήτης ὡς ἐκ προσώπου φήσας τοῦ Θεοῦ· « Ὅτι ἀπὸ ἀνατολῶν ἡλίου, καὶ μέχρι δυσμῶν δεδόξασται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. » Οὐδεμία τοίνυν συγκατάθεσις ναῷ Θεοῦ, ἥγουν τῇ αὐτοῦ Ἐκκλησίᾳ μετὰ εἰδώλων· μὴ γένοιτο. Αὕτη μὲν γὰρ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας ἀποστολικῶς κατωνόμασται· τῶν δὲ εἰδώλων τὰ ὀνόματα ἐξολοθρευθήσεσθαι ἀπὸ τῆς γῆς ὁ προφήτης Ζαχαρίας βοᾷ· ὅτε πᾶς τόπος τῷ οἴκῳ Δαβὶδ, τουτέστι τῇ Ἐκκλησίᾳ Χριστοῦ, οὗ ὁ οἶκός ἐσμεν ἡμεῖς, τῇ παραδοχῇ

A nem, et quæ cum illis [48]. » Sed hæc omnia manifestum habent sensum, quod divina natura sempiterna sit atque incomprehensibilis [*Gr.* forma carens sit], et nulli similis æstimanda eorum quæ cernuntur : sed neque tractatibus et ingeniis ferenda ad corporales opiniones [*Gr.* ut ne quis conjecturis et suspicionibus agatur ad corporeas conceptiones]. Prædicens enim Moyses, Custodite valde animabus vestris, quia similitudinem non vidistis in die qua locutus est Dominus ad vos in Choreb de medio ignis ; hæc prædicens, intulit statim : « Neque inique agatis, neque faciatis vobis ipsis sculptile, et quæ cum ipsis : » recordatus vituli confectionis quæ facta fuerat, atque præcavere hortatus, ne et ipsi secundum Ægyptiorum consuetudinem, quam sciebant, ad talem laberentur impietatem, et divinitatem æstimarent similem istis. Hoc enim et magnus Apostolus in concione facta apud Athenienses perhibuit : « Genus ergo cum simus Dei, non debemus æstimare auro aut argento, aut lapidi, sculpturæ artis et cogitationis hominis, Divinum esse simile [49] : » eidemque sensui continuat : « Et ne accipias nomen Domini Dei in vanum; » id est, ne voces et æstimes Deum quod non veraciter hoc est, sed frustra opinionem et cognomen tale promeruit. Sed nobis, ait magnus Apostolus, « Unus Deus Pater ex quo omnia, et unus Dominus Jesus Christus per quem omnia, et unus Spiritus sanctus in quo omnia [50]; » non naturali alternitate pro præpositionum commutatione inducta, absit ! tria enim unus Deus cum alterutris intelligitur, ut docet Gregorius sapiens. Nulli ergo nomen quod est super omne nomen [*Gr. ad.* aut cultum, aut latriam], populus Christi usque hodie excepta sancta et vitæ principali Trinitate, applicuit : absit ! Nam ubique nos servire talibus divina Scriptura prohibet, et alienos seu exsortes a tali vult errore modis omnibus exhiberi. [Certe enim latriæ cultum non exhibendum hujusmodi rebus, addendo, Scriptura alienos nos et omnino exsortes ostendit a tali errore.] Denique manifestus est idolorum servitutis modus. Apud nos autem unus est Deus adorandus, et una et eadem in ipsum est fides, et unum ac salutare baptismum : sic et una quæ offertur ei servitus a nobis, sicut traditum est a sacris apostolis, et conservatum ; sacrificiumque laudis, quod per Christum referendum est Deo et Patri, ut divinus ait Apostolus [51], id est labiorum fructus confitentium nomini ejus; et divinissima traditio quæ est in vivificis mysteriis, quam prænuntiavit Malachias propheta quasi ex persona Dei locutus : « Quia ab ortu solis usque ad occasum glorificatum est nomen meum in gentibus, et in omni loco incensum offertur nomini meo, et sacrificium mundum [52]. » Nullus igitur est consensus templo Dei, id est ipsius Ecclesiæ cum idolis. Absit ! Hæc est enim columna

[48] Deut. v, 8. [49] Act. xvii, 29. [50] I Cor. viii, 6. [51] Hebr. xiii, 15. [52] Malach. i, 11.

Digitized by Google

et firmamentum veritatis, ut apostolice nuncupata est [80] : idolorum autem nomina exterminabuntur a terra, propheta Zacharias clamat [81], quando omnis locus domui David, id est Ecclesiæ Christi, cujus domus nos sumus, per receptionem [*Gr.* receptioni] fidei ejus adaperietur. His utique addentur tam ea quæ sunt in Sapientia quæ dicitur Salomonis, quam et illa quæ apud magniloquum rejacent Isaiam. Ibi enim dicitur : « Initium fornicationis excogitatio idolorum. Adinventio autem eorum corruptio vitæ. Neque enim erant ab initio, neque in sæculum erunt. Inani enim gloria hominum introivit [*Gr.* introierunt] in mundum, et ideo brevis eorum finis excogitatus est [82], » et cætera : apud prophetam autem : « Confundentur qui fingunt Deum [83], » et sculpunt : et omnes unde facti sunt, exsiccati sunt, et surdi ab hominibus facti sunt, et ea quæ cum ipsis efferuntur, fabri lignariæ artis excogitatio : et lignorum quæ in ministerium hominibus sunt, efficientia in viri formam, et publicatio [*Gr.* transmutatio] amentiæ eorum qui adorant ea : quibus infertur : Videte, non dicetis, quia mendacium in dextera mea est : quod ad præscriptæ impietatis destructionem intulit. Nos ergo scientes et credentes in Filium Dei, qui est veritas et dextera Patris, alieni a prædicta prophetæ damnatione ostendimur, et secundum hoc opportune propheticum verbum dicam : « Quid paleæ ad frumentum [84]? » Quæ familiaritas non subsistentis levitatis, quæ ventilatur a spiritibus nequitiæ, eorum qui serviunt creaturæ potius quam Creatori, ad veræ Dei cognitionis alumnum in omni [*Gr.* nutritium sermonem, qui in omni] plebe Christi invenitur? Illi enim de quibus Isaias dixit, « Super vertices montium immolabant, et super colles sacrificabant, subtus quercum et populum et arborem obumbrantem [85] : » quia bene tegit [*Gr.* bonum tegumentum], quemadmodum alius prophetarum Isaiæ coævus clamat [86]. Populus autem Christi regem sæculorum incorruptibilem, invisibilem, solum et sapientem Deum adorat in aula sancta ejus, adorationem in spiritu et veritate faciens [87], omnemque laudem et glorificationem vivificæ Trinitati incessanter offerens. Brevis autem finis idolorum, quem sapientia concionatur, id est horum demolitio, et quod non in sempiternum maneant, non aliunde quam ex apparitione factum est magni Dei et Salvatoris nostri Jesu Christi; quam Ecclesia ejus, quæ a finibus usque ad fines orbis terræ sanguine ejus acquisita est, semper pie sentiens confitetur et glorificat. Nihil ergo reprehensionis idolorum, quæ in illis scripta est, germanus et verax Trinitatis adorator populus Christi in semet attrahit,

A τῆς πίστεως αὐτοῦ διανοιχθήσεται. Τούτοις πάντως προστεθήσεται τά τε ἐν τῇ λεγομένῃ Σολομῶντος Σοφίᾳ, καὶ τὰ παρὰ τῷ μεγαλοφώνῳ κείμενα Ἡσαΐᾳ. Ἐκεῖ μὲν γὰρ λέγεται· « Ἀρχὴ πορνείας ἐπίνοια εἰδώλων. Ἔφεσις [1] δὲ αὐτῶν φθορὰ ζωῆς. Οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται. Κενοδοξία γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον· καὶ διὰ τοῦτο σύντομον αὐτῶν τὸ τέλος ἐπενοήθη, » καὶ τὰ ἑξῆς. Παρὰ δὲ τῷ προφήτῃ· « Αἰσχυνθήσονται οἱ πλάσσοντες Θεὸν, » καὶ γλύφοντες· καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν, καὶ κωφοὶ ἀπὸ ἀνθρώπων ἐγένοντο, καὶ τὰ σὺν αὐτοῖς, τέκτονος ξυλουργικῆς τέχνης ἐπίνοια, καὶ ξύλων τῶν· εἰς ὑπηρεσίαν ἀνθρώποις μεταποίησις εἰς ἀνδρὸς μόρφωσιν, καὶ

B θρίαμβος τῆς ἀνοίας τῶν προσκυνούντων αὐτοῖς. Οἷς ἐπιφέρεται· Ἴδετε, οὐκ ἐρεῖτε, ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου· ὅπερ τῆς προγεγραμμένης ἀσεβείας ὡς ἀνατρεπτικὸν ἐπήγαγεν. Ἡμεῖς οὖν εἰδότες καὶ πιστεύοντες εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ὃς ἐστιν ἀλήθεια καὶ δεξιὰ τοῦ Πατρὸς, ἀλλότριοι τῆς εἰρημένης τοῦ προφήτου δεικνύμεθα κατακρίσεως. Καὶ κατὰ τοῦτο εὐκαίρως τὸ προφητικὸν ῥῆμα ἐρῶ· « Τί τὰ ἄχυρα πρὸς τὸν σῖτον; » Τίς οἰκειότης τῆς ῥιπιζομένης ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας ἀνυποστάτου κουφότητος τῶν λατρευόντων τῇ κτίσει παρὰ τὸν κτίσαντα,

C πρὸς τὸν τῆς ἀληθοῦς θεογνωσίας τρόφιμον λόγον, τὸν ἐν παντὶ τῷ λαῷ τοῦ Χριστοῦ εὑρισκόμενον; Ἐκεῖνοι μὲν γὰρ, περὶ ὧν ταῦτα ὁ Ἡσαΐας φησὶν, « Ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐθυσίαζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον, ὑποκάτω δρυὸς καὶ λεύκης καὶ δένδρου συσκιάζοντες· » ὅτι καλὸν σκέπη, ὡς ἕτερός τις προφήτης σύγχρονος τῷ Ἡσαΐᾳ φησίν. Ὁ δὲ λαὸς τοῦ Χριστοῦ τῷ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, μόνῳ σοφῷ Θεῷ προσκυνεῖ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν ποιούμενος, πᾶσάν τε αἴνεσιν καὶ δοξολογίαν τῇ ζωοποιῷ Τριάδι προσφέρων διηνεκῶς. Τὸ δὲ παρὰ τῇ σοφίᾳ διηγορευμένον τῶν εἰδώλων σύντομον τέλος, ἤγουν ὁ

D τούτων ἀφανισμὸς, καὶ τὸ μὴ εἰσαεὶ αὐτὰ διαμεῖναι, οὐκ ἄλλοθεν ἢ ἐκ τῆς ἐπιφανείας γέγονε τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν ἡ Ἐκκλησία αὐτοῦ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης τῷ αἵματι αὐτοῦ περιποιηθεῖσα, διὰ παντὸς ἐν εὐσεβείᾳ ὁμολογεῖ καὶ δοξάζει. Οὐδὲν οὖν τῆς ἐν ἐκείνοις γεγραμμένης τῶν εἰδώλων καταγνώσεως ὁ γνήσιος καὶ ἀληθὴς τῆς Τριάδος προσκυνητὴς λαὸς τοῦ Χριστοῦ εἰς ἑαυτὸν ἐπισύρεται, ἐκ τοῦ τῶν ἁγίων ἀνδρῶν εἰκόνας ἔχειν πρὸς ἀνάμνησιν τῆς αὐτῶν ἀρετῆς· ὥσπερ οὐδὲ τῷ μακαρίῳ ἀποστόλῳ Παύλῳ τὴν ἐν σαρκὶ ἀπαγορεύοντι περιτομὴν, καὶ τοῖς κατὰ νόμον δικαιοῦσθαι βουλομένοις ἐπιτιμῶντι, τὸ περιτεμεῖν τὸν Τιμόθεον, νομικῶς τε περιχείρασθαι, καὶ θυσίαν ἐν τῷ ναῷ προσαγαγεῖν, μομφὴν ἐπάγει τινὰ καὶ κατάκριαν.

[80] II Tim. III, 15. [81] Zach. XIII, 9. [82] Sap. XIV, 12-14. [83] Isa. XLIV, 9. [84] Jerem. XXIII, 28. [85] Isa. LXV, 3. [86] Osee V, 1 seqq. [87] I Tim. II, 12.

VARIÆ LECTIONES.

[1] ἐφεύρεσις.

Digitized by Google

sanctorum virorum imagines habendo ad rememorationem virtutis eorum : quemadmodum nec beato Paulo apostolo carnis prohibenti circumcisionem, et eos qui secundum legem justificari volebant, increpanti, culpam aliquam infert aut crimen, quod circumciderit Timotheum legaliter, quod totonderit, atque in templo sacrificium obtulisse claruerit.

Οὐ γὰρ ἁπλῶς τὰ ἀποτελούμενα σκοπεῖν χρὴ, ἀλλὰ A πανταχοῦ ὁ σκοπὸς τῶν πραττόντων δοκιμάζεται· καὶ ἢ αἰτίας ἀφίησι τὸν ποιουντα, ἢ τοὐναντίον καταδικάζει. Εἰ γὰρ μὴ τοῦτο ἀκριβῶς παραφυλάττοιτο, τάχα οὐδὲ αὐτοῦ τοῦ Θεοῦ τὸ πρόσταγμα ἀκατηγόρητον παρὰ τοῖς ἀπίστοις γενήσεται· εἴγε γλυπτὸν, ἢ γοῦν χωνευτὸν ἀπαγορεύοντος τοῦ νόμου, τὰ κατασκιάζοντα τὸ ἱλαστήριον ἐπὶ τῆς κιβωτοῦ Χερουβὶμ δόξης, ὡς ὁ Ἀπόστολος ὀνομάζει, τοιαύτης ὑπῆρχον κατασκευῆς· οἷς καὶ τὴν θείαν ἐποχεῖσθαι δόξαν οὐ μόνον ἐκ τῆς Γραφῆς διδασκόμεθα, ἀλλὰ καὶ ὁ μακάριος Ἀθανάσιος τὸ ψαλμικὸν ἑρμηνεύων ῥητὸν, « Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι, » τοιαύτην περὶ αὐτῶν παραδίδωσιν ἔννοιαν. Καί τοι ἐκείνων τῶν Χερουβὶμ τὰ ἀρχέτυπα ἄγνωστα τὴν φύσιν ἀνθρώποις παντάπασιν ὄντα· πνεῦμα γὰρ B καὶ πῦρ ὑπάρχουσι, καὶ πάσης σωματικῆς σχηματοθεσίας ἀλλότρια καὶ φύσεως. Τὰ γὰρ περὶ αὐτῶν σωματικώτερον τῷ προφήτῃ λεγόμενα, συμβολικὴν κοὶ ἀνηνεγμένην τὴν ἔννοιαν ἔχει, ἑτέρως νοεῖσθαι κατὰ τὸν εὐαγῆ καὶ τοῖς ἀσωμάτοις πρέποντα μὴ δυνάμενα λόγον. Κἀκεῖνο δὲ εἰπεῖν ἀναγκαῖον, ὅτι οὐδαμῶς Χριστιανοὶ τῶν κατὰ σάρκα προσγενῶν ἢ γνωρίμων καὶ φίλων τὸ εἶδος ἀναγράφοντες σέβουσιν, ἢ τιμῆς τινος ἀξιοῦσιν. Ἀλλ' οὐδὲ βασιλικῶν προσταγμάτων ὑποκύψαντες ἐξουσίᾳ, τὰ τοιαῦτα ὑπενόησαν, ἅπερ δικαίως ἐγκαλοῦνται ἐκεῖνοι, « οἱ φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ εἰς ὁμοίωμα εἰκόνος φθαρτοῦ ἀνθρώπου, » ὡς φησιν ὁ Ἀπόστολος· ὥστε C καὶ ἐκ τούτου δείκνυσθαι τοῦ τρόπου σαφῶς, τὸ πρὸς ἡμᾶς ἀνάρμοστον εἶναι τὴν προκειμένην τῆς Γραφῆς κατηγορίαν. Εἰ μὲν οὖν τὰς περὶ τοῦ Θείου εὐσεβεῖς ὑπολήψεις πρὸς τὸ σωματικώτερον μετατιθέμενοι, ἢ τὰ τῆς θεοπρεποῦς δόξης τε καὶ λατρείας καταλιπόντες, ἢ κατά τι γοῦν ὅλως σμικρύνοντες ἐκ τῆς τοιαύτης δεικνύμεθα ὑποθέσεως, καλῶς ἂν εἶχε περιαιρεῖσθαι τὰ ἀπασχολοῦντα ἡμᾶς καὶ ἀφέλκοντα τῆς πρὸς τὸν ἕνα καὶ ἀληθινὸν Θεὸν σεβασμιότητος καὶ προσεδρείας· νῦν δὲ τοὐναντίον ὁρῶμεν γιγνόμενον.

Neque enim quæ patrantur, simpliciter intueri oportet; sed ubique intentionem gestorum convenit comprobari [*Gr.* gerentium convenit probari, quæ agentem vel crimine absolvit, vel contra damnat]. Nisi enim hoc diligenter observetur, fortasse nec ipsius Dei præceptum sine calumnia penes infideles efficietur. Quod autem sculptiles lege interdicente [*Gr.* Siquidem sculptile sive conflatile lege interdicente], qui obumbrabant propitiatorium super arcam Cherubim gloriæ, ut Apostolus nominat [58], talis essent [erant] facturæ [structuræ], quibus et divinam quoque gloriam contineretur [insideret], non solum ex Scriptura discimus, sed et beatus Athanasius illud Psalmi dictum interpretans : « Qui sedes super Cherubim, appare [59]; » talem de illis tradidit intelligentiam. Et certe illorum Cherubim principalia ignota sunt omnimodis natura hominibus : spiritus enim et ignis exsistunt, et ab omni corporali formatione atque natura extranea. Quæ enim de illis corpulentius a propheta dicta sunt, symbolicum [*Gr.* anagogicum] et excellentem sensum habent, aliter intelligi valentia [*Gr.* non valentia] secundum venerabilem rationem, et id quod incorporalia decet. Illudque dicere necessarium est, quoniam nequaquam Christiani eorum qui sibi sunt secundum carnem agnati, noti vel affines, speciem depingentes, colunt, aut aliquo reddunt dignos honore. Sed neque imperialium præceptorum potestati succumbentes talia excogitaverunt, super quibus juste accusantur illi, qui « dicentes se esse sapientes, stulti facti sunt, et mutaverunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis [60], » ut ait Apostolus : ita ut etiam ex hoc plane modo demonstretur, quod calumnia quæ Scripturæ inest, nobis [*Gr.* accusatio, quam infert Scriptura, nobis] non possit aptari. Ergo si pias de Divinitate opiniones ad corpulentias transferentes, et ea quæ Deo decibilis gloriæ atque servitutis sunt, deferentes, aut secundum aliquid omnino minorantes de hujusmodi causa ostensi fuerimus, bene et abstrahunt nos a cultura et sedulitate, qua utique circumauferri haberent ea quæ occupant circa unum et verum utimur Deum : quod nunc e contrario videmus factum.

Προσβλέπων γάρ τις μετ' ἐπιστήμης εἰκόνι τινὸς D τῶν Ἁγίων, ὡς τὸ εἰκὸς, Δόξα σοι, ὁ Θεὸς, λέγει, τοῦ ἁγίου τὸ ὄνομα προστιθείς· ὥστε καὶ διὰ τοῦ τρόπου τούτου πληροῦσθαι τὸ ἐν τῇ εὐχῇ λεγόμενον παρ' ἡμῶν, ἵνα καὶ δι' ὁρωμένων καὶ δι' ἀοράτων δοξάζηται τὸ πανάγιον ὄνομα τοῦ Χριστοῦ. Ἀλλ' οὐδὲ Θεόν τινα τῶν ἁγίων ἀνδρῶν καλεῖν ἀνεχόμεθα· καίτοι τοῦ κυρίως καὶ μόνου ὄντος Θεοῦ τῆς τοιαύτης προσωνυμίας τοῖς εὐαρεστήσασιν αὐτῷ μεταδιδόντος, ὡς ἐν τῇ ἱερᾷ τῶν Ψαλμῶν ἀναγέγραπται βίβλῳ.

Intendens enim quis cum disciplina imagini cuidam sanctorum, quemadmodum conveniens est, Gloria tibi, Deus, dicit, sancti cujuslibet nomen adjiciens, ita ut per hunc quoque modum compleatur quod in oratione dicitur a nobis, quo et per invisibilia et visibilia glorificetur sanctissimum nomen Christi. Sed neque Deum quemdam sanctorum virorum vocare patimur, quanquam hujusmodi appellationem is qui proprie solus et unus est Deus, illis qui sibi placuerint, largitus sit, quemadmo-

[58] Hebr. IX, 5. [59] Psal. LXXIX, 2. [60] Rom. I, 22, 23.

Digitized by Google

dum in sacro Psalmorum scriptum est libro [61]. Neque rursus ut sufficientem habere nos arbitrantes Dei cognitionis certitudinem, tales imagines parvipendimus, vel spernimus concursum qui in ecclesiis Dei fit; sed die ac nocte, imo ut cum Psalmo dixerim [62], vespere et mane et meridie Deo benedicimus, et maxime in tempore divini sacrificii ac officii. Quin potius ut liquido scientes, non aliunde nobis spem provenire salutis, nisi ex pia fide et confessione quæ in unum Deum, qui in Trinitate adoratur, efficitur, quarum una quidem in corde consistit, altera vero in ore profertur; « Corde enim creditur ad justitiam, ore autem confessio fit ad salutem [63] », semper laudem ipsius Dei qui fecit nos, in ore habemus, et exaltationes ejus in faucibus ferimus, omnisque plebs Christi ad perceptionem sanctissimi corporis ejus et sanguinis, per quæ memoriam mortis ejus et resurrectionis secundum ipsius celebramus traditionem, insatiabili desiderio et divinitus mota industria perurgetur magis, quam cervus ad fontes aquarum [64]. Sed nec illud scandalizet quosdam, quod ante imagines sanctorum luminariorum concinnatio et suavis odoris thymiamata fiunt. Symbolice namque talia celebrari ad honorem illorum excogitata sunt, quorum cum Christo requies est, quorum honor in eum recurrit : hoc probante Basilio sapiente [65], quia honor circa bonos conservorum approbationem habet benevolentiæ erga communem exhibitæ Dominum. Indicia sunt namque sensibilia lumina divini ac sine materia luminis dati : porro aromatum incensum purissimæ et totius sancti Spiritus inspirationis et refectionis [*Gr.* repletionis] insigne.

Et hæc quidem veluti contra emergentes oppositiones et contradictiones, quæ quasi ex Scripturis prætenduntur, scribenda consideravimus, rogantes, ut id quod sine scandalo et turbatione populi sit, omnimodis persequamini : præsertim cum, ne unus ex minimis contemnatur, præcipiat Dominus [66]; similiter autem et ne scandalizetur importabilem [cum hoc imp.] ferat et terribilem iis qui hoc fecerint, damnationem. Nunc autem et civitates omnes [*Gr.* totæ] et multitudines populorum non in pauco super hoc tumultu consistunt : in quo ne nos obnoxii appareamus, omni studio procuremus. Præ omnibus providendum est nobis, quod mentem meam commovet, ne occasionem elationis hinc capiant ii qui contra fidem nostram inimici sunt crucis Christi, dicentes quod usque nunc Christiani errassent. Nisi enim hoc idololatriam esse cognovissent, nequaquam modo manufactorum abjectionem fecissent. Quod quantam injuriam et depositionem inferat fidei quæ in Christum est, unusquisque confessus exstiterit. Siquidem et hoc quasi quid verisimile profecto dicturi sunt, quo-

A Οὔτε πάλιν ὡς ἱκανὴν ἔχειν νομίζοντες θεογνωσίας βεβαίωσιν τὰς τοιαύτας εἰκόνας καταφρονοῦμεν τῆς ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ συνδρομῆς, καὶ τοῦ ἐν αὐταῖς ἡμέρας καὶ νυκτὸς, ψαλμικῶς δὲ μᾶλλον εἰπεῖν, ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας εὐλογεῖν τὸν Θεὸν, καθώς φησιν ὁ Δαβὶδ, καὶ μάλιστα ἐν τῷ καιρῷ τῆς θείας μυσταγωγίας καὶ λειτουργίας. Ἀλλ' ὡς ἀσφαλῶς ἐπιστάμενοι οὐκ ἄλλοθεν ἡμῖν τὴν ἐλπίδα περιγίνεσθαι τῆς σωτηρίας, ἢ ἐκ τῆς πρὸς τὸν μόνον ἀληθινὸν Θεὸν τὸν ἐν Τριάδι προσκυνούμενον εὐσεβοῦς πίστεως καὶ ὁμολογίας, τῆς μὲν ἐν καρδίᾳ συνισταμένης, τῆς δὲ διὰ στόματος προφερομένης « (Καρδία γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν), » διὰ παντὸς τὴν αἴνεσιν B αὐτοῦ τοῦ ποιήσαντος ἡμᾶς Θεοῦ ἐν τῷ στόματι ἔχοντες, καὶ τὰς ὑψώσεις αὐτοῦ ἐν τῷ λάρυγγι φέροντες, πᾶς ὁ λαὸς τοῦ Χριστοῦ ἐπὶ τὴν μετάληψιν τοῦ παναγίου αὐτοῦ σώματος καὶ αἵματος, δι' ὧν τὴν μνήμην τοῦ θανάτου αὐτοῦ καὶ τῆς ἀναστάσεως κατὰ τὴν αὐτοῦ τελοῦμεν παράδοσιν, ἀκορέστῳ ἐπιθυμίᾳ καὶ θεοκινήτῳ σπουδῇ κατεπείγονται μᾶλλον, ἢ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων ἡ ἔλαφος. Ἀλλὰ μηδ' ἐκεῖνο σκανδαλιζέτω τινὰς, τὸ ἔμπροσθεν τῶν εἰκόνων τῶν ἁγίων φωταγωγίαν γίνεσθαι καὶ εὐώδη θυμίασιν. Συμβολικῶς γὰρ τελεῖσθαι τὰ τοιαῦτα πρὸς τιμὴν ἐκείνων ἐπενοήθη, ὧν μετὰ Χριστοῦ ἡ ἀνάπαυσις, ὧν καὶ ἡ τιμὴ εἰς αὐτὸν ἀνατρέχει· τοῦτο λέγοντος Βασιλείου τοῦ σοφοῦ, ὅτι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς C πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας. Σύμβολον μὲν τὰ αἰσθητὰ φῶτα τῆς ἀΰλου καὶ θείας φωτοδοσίας· ἡ δὲ τῶν ἀρωμάτων ἀναθυμίασις τῆς ἀκραιφνοῦς καὶ ὅλης τοῦ ἁγίου Πνεύματος περιπνοίας τε καὶ πληρώσεως.

Καὶ ταῦτα μὲν ὡς πρὸς τὰς ὑφορμώσας ἀντιθέσεις καὶ τὰς ἐκ Γραφῶν δῆθεν προτεινομένας ἀντιλογίας γράψαι συνείδομεν, παρακαλοῦντες τὸ ἀσκανδάλιστον τοῖς λαοῖς, καὶ ἀτάραχον παντὶ τρόπῳ μεταδιώκειν ὑμᾶς, ὁπότε καὶ τῶν μικρῶν ἑνὸς μὴ καταφρονεῖν παραγγέλλει ὁ Κύριος· ὁμοίως δὲ καὶ τὸ σκανδαλίζειν ἀφόρητον καὶ φοβερὰν τοῖς τοῦτο πράττουσιν ἐπάγει κατάκρισιν. Νῦν δὲ πόλεις ὅλαι καὶ τὰ πλήθη τῶν λαῶν οὐκ ἐν ὀλίγῳ περὶ τούτου θορύβῳ τυγχάνουσιν· οὗ ἡμεῖς μὴ αἴτιοι φανῆναι διὰ D πάσης ποιησώμεθα σπουδῆς. Ὑπὲρ ἅπαντα δὲ προνοητέον ἡμῖν, ὅπερ μου κατασείει τὴν διάνοιαν, τοῦ μὴ ἀφορμὴν ἐπάρσεως ἐντεῦθεν λαβεῖν τοὺς τῆς πίστεως ἡμῶν, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ· ὥστε καὶ λέγειν αὐτοὺς, ὅτι μέχρι τοῦ νῦν οἱ Χριστιανοὶ ἐπλανῶντο. Εἰ μὴ γὰρ εἰδωλολατρείαν ᾔδεισαν τὸ τοιοῦτον, οὐκ ἂν ἀρτίως τὴν τῶν χειροποιήτων ἀποβολὴν ἐποιήσαντο. Ὅπερ πόσην ὕβριν καὶ καθαίρεσιν προστρίβεται τῇ εἰς Χριστὸν πίστει, πᾶς τις ὁμολογήσειε. Πάντως γὰρ καὶ τοῦτο κατὰ τὸ εἰκὸς λέγειν αὐτοῖς ἔσται, ὅτι τοῖς ἅπαξ πλανωμένοις οὐκ ἔστιν ὅλως πεῖθεσθαι, ὡς τῆς ἀληθείας οὐκ οὔσης

[61] Psal. LXXXI, 1. [62] Psal. LIV, 18. [63] Rom. X, 10. [64] Psal. XLI, 1. [65] Hom. in 40 martyres. [66] Matth. XVIII, 10.

Digitized by Google

παρ' αὐτοῖς. Τί δὲ, ὅτι καὶ αὐτοὶ οἱ τὰ πάντα εὐσεβέστατοι καὶ φιλόχριστοι ἡμῶν βασιλεῖς στήλην ἀληθῶς τῆς οἰκείας φιλοθεΐας, τὴν πρὸ τῶν βασιλείων λέγω εἰκόνα ἐγείραντες, ἐν ᾗ τῶν ἀποστόλων καὶ προφητῶν ἀναθέμενοι τὰς ἰδέας καὶ τὰς τούτων περὶ τοῦ Κυρίου ἐγγράψαντες φωνάς, τῆς ἑαυτῶν πεποιθήσεως τὸ καύχημα τὸν σωτήριον σταυρὸν ἀνεκήρυξαν; Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις τὸ εἰς εἰκόνας διαφόρους τὸν Θεὸν θαυματουργῆσαι, περὶ ὧν πολλοὶ πολλὰ ἱστορεῖν βούλονται· οἷον ἀῤῥωστούντων θεραπείας, ὧν καὶ ἡμεῖς αὐτοὶ ἐν πείρᾳ γεγόναμεν· περιεργιῶν ἀναλύσεις, αἱ καθ' ὕπνους πολλάκις τῶν γεγραμμένων ἐπιφάνειαι· τὸ δὲ πάντων μάλιστα ἐμφανέστατον, μηδεμιᾶς ἀντιῤῥήσεως ἢ ἀμφιβολίας τινὸς ἀνεχόμενον, ἡ ἐν Σωζοπόλει τῆς Πισιδίας τὸ πρὶν ὑπάρχουσα εἰκὼν τῆς παναχράντου Θεοτόκου, ἐκ τῆς γεγραμμένης παλάμης αὐτῆς τὴν τοῦ μύρου βλύσιν προχέουσα. Οὗ τινος θαύματος μάρτυρες πολλοί. Εἰ δὲ καὶ νῦν οὐχ ὁρᾶται ἡ τοιαύτη τῆς εἰκόνος γινομένη θαυματουργία, οὐ παρὰ τοῦτο τὰ πρώην ἀπιστηθήσεται· ἵνα μὴ ὁμοίως ἄπιστα κρίνωνται τὰ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἱστορούμενα ἐν ἀρχῇ τοῦ κηρύγματος σημεῖα καὶ χαρίσματα διάφορα τοῦ Πνεύματος, τανῦν οὐδαμῶς ἐνεργούμενα· τοῦ φιλανθρώπου Θεοῦ διὰ τῆς τοιαύτης συγκαταβάσεως τοὺς ἀσθενέστερον διακειμένους βεβαιοτέρους εἰς τὴν περὶ αὐτοῦ πίστιν ἐργαζομένου, καὶ ἅμα τὰ τῆς οἰκείας δυνάμεως καὶ διὰ τούτων δεικνύοντος, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο. Ποτὲ μὲν γὰρ ἡ τούτων σκιὰ, ποτὲ δὲ τὸ τῶν ἱματίων ἀπηρτημένον σουδάριον τὰς ἰάσεις παρεῖχον. Ὥσπερ οὖν ἐν ἐκείνοις οὐ παντὸς σώματος σκιὰ, ἀλλὰ τοῦ Πέτρου μόνου τὴν θεραπείαν ἐδίδου τοῖς κάμνουσιν· ὡσαύτως καὶ τὰ σουδάρια οὐ παντὸς ἱματίου, ἀλλὰ τῶν τοῦ Παύλου καὶ μόνων ἴωντο τοὺς ἀσθενοῦντας, εἰς πληροφορίαν πίστεως τοῦ ὑπ' αὐτῶν κηρυττομένου Θεοῦ, ὡσαύτως τὴν οἰκείαν χάριν καὶ διὰ τῶν ἀψύχων ἀποδεικνύντος· οὕτως καὶ ἐπὶ τῶν εἰκόνων πολλάκις ἠὐδόκησε γίνεσθαι, οὐκ ἐπὶ πάσης εἰκόνος ἢ γραφῆς τοῦ τοιούτου εἴδους τῆς εὐεργεσίας ἐν τοῖς πιστεύουσι γινομένου, ἀλλ' ἐν μόναις τῶν ἁγίων, ἢ καὶ αὐτοῦ τοῦ Κυρίου· ὥστε μὴ ἐκ ταυτομάτου ὑπονοεῖν τὰς ἰάσεις συμβαίνειν, ἀλλ' ἐκ μόνης τῆς τοῦ Θεοῦ ἡμῶν χάριτος.

niam his qui semel erraverunt, omnino persuaderi non poterit [*Gr.* omnino dandæ non sunt aures], quippe penes quos veritas non est. Porro quid plura dixerim, cum et ipsi per cuncta piissimi et amici Christi imperatores nostri tabulam veraciter proprii Deitatis amoris, id est, imaginem quæ ante regalia est, erigentes, et in ea apostolorum et prophetarum imponentes effigies, et horum de Domino inscribentes voces, confidentiæ suæ glorificationem salutarem crucem esse prædicaverunt? Capitula vero sunt, quæ dicunt, per imagines [*Gr.* Caput vero eorum qui dicuntur, per imag.] diversas Deum operatum miracula, de quibus multi multam historiam texere volunt: utputa infirmitatum medelas, quas et ipsi nos experti sumus, et circumventionum resolutiones, quas in somnis per picturas crebro conspeximus [*Gr.* et crebras depictorum in somnis visiones]. Porro maxime omnium manifestissimum, et nullam controversiam vel ambiguitatem sustinens, est, quod imago quæ pridem Sozopoli Pisidiæ intemeratæ Dei Genitricis fuit, ex depicta palma sua unguenti emanationem profuderit. Cujus miraculi testes sunt multi. Licet autem nunc hujuscemodi non fiat opus miraculi, non tamen incredibilia erant priora, ne pari modo incredibilia judicentur quæ in Actibus apostolorum sunt descripta in principio prædicationis signa diversa et charismata Spiritus, quæ nunc minime patrantur; amatore hominum videlicet Deo per talem condescensionem eos, qui infirmiores erant [sunt], potentiores in fide sua perficiente, et pariter suam virtutem etiam per hos [per hæc] ostendente, quemadmodum apostolorum factum est tempore. Aliquando enim horum umbra, aliquando vero vestium sublata [*Gr.* de vestibus pendentia] sudaria sanitates præstabant. Sicut ergo in illis non omnis corporis umbra, sed Petri tantummodo dabat laborantibus medelam: similiter et sudaria non omnis vestimenti, sed Pauli solummodo sanabant infirmos, in satisfactionem fidei ejus qui ab ipsis prædicabatur, qui gratiam suam etiam per inanimata demonstrabat: ita et super imaginibus sæpe fieri placuit; non in omni imagine vel pictura talis specie beneficii inter credentes effecta, sed in solis sanctorum, vel etiam ipsius Domini: quo non suapte intelligerentur sanitates accedere, sed ex sola gratia Dei nostri.

Ἄξιον δὲ, ὡς οἶμαι, μηδὲ ἐκεῖνο ἀπαρασήμαντον καταλιπεῖν, ὅπερ ὁ Παμφίλου Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ τέθειχεν Ἱστορίᾳ· ὅτι ἐν Πανεάδι τῇ πόλει, ἣν τινα Καισάρειαν τὴν Φιλίππου τὸ Εὐαγγέλιον ὀνομάζει, λέγεται ὁ οἶκος εἶναι τῆς αἱμορροούσης γυναικὸς, ἥτις τῷ κρασπέδῳ τοῦ Σωτῆρος ἰάθη, ὡς γέγραπται ἐν τοῖς Εὐαγγελίοις. Οὗ τινος οἴκου πρὸς ταῖς πύλαις ἀνδριάντα φησὶν ἐκ χαλκοῦ πεποιημένον ἑστάναι, εἰκόνα φέροντα τοῦ Κυρίου· ἀντικρὺ δὲ ἐκτύπωμα γυναικὸς ἐπὶ γόνυ κεκλιμένης ὑπάρχειν τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶν, ἱκετευ-

Dignum autem, ut reor, est, neque illud prætermittamus, quod Eusebius Pamphili in ecclesiastica Historia posuit: quia in Paneade civitate, quam Cæsaream Philippi Evangelium nominat, fertur domum esse sanguinis fluxum patientis [passæ] mulieris, quæ fimbria Salvatoris sanata est, sicut scriptum in Evangeliis [67]. Cujus domus pro foribus aiunt statuam de ære factam stare, imaginem ferentem Domini: contra quam formam mulieris genibus provolutæ consistere, palmis extensis supplicanti similem, in recordationem miraculi quod

[67] Matth. ix, 20.

Digitized by Google

factum est circa se, hoc ab ea sollicite acto : et quod ad pedes statuæ in nomine Domini factæ, herba quædam oritur nova specie ac ignota, quæ variorum languorum medicamentum est ; quod per seipsum vidisse Eusebius ait : manifeste Salvatore propriæ gratiæ dispensatoriæ insignia faciente ad fidem mulierculæ, ostendente quod nos superius indicavimus, quia non simpliciter tractanda [accipienda] sunt quæ geruntur, sed intentio [facientis] ei est comprobanda. Dicit autem idem Eusebius, quod et apostolorum imagines Petri et Pauli, atque ipsius Christi, per colores æstimatas [*Gr.* conservatas] in picturis aspexerit. Non autem hoc dicimus nos, ut statuas æneas facere studeamus, sed ut insinuemus, quoniam et illud secundum gentilem consuetudinem factum, non renuente, sed volente Domino, ut in ipso demonstretur per plurimum tempus ipsius bonitatis miraculum. Quod apud nos venerabilius est qualiter obtinens mos (3), doceat commemorationis sermo. [*Gr.* morem, qui apud nos obtinuit magis pie quodammodo, non est fas vituperare. In his igitur absolvatur nostra com.] Deus autem veritatis, qui deduxit nos in omnem veritatem, et omnem dissensionis occasionem et turbationis causam a nostris abigit animabus, unanimiter uno spiritu glorificantes eum supercœlesti regno dignos efficiat.

Tarasius sanctissimus patriarcha dixit : Clamaverunt custodes Ecclesiæ catholicæ, sancti videlicet Patres nostri, qui semper supra intelligibiles ejus vigilantes [intelligibilia propugnacula], arietes, omne prælium et inane verbum repulerunt ; et hanc indiscerptam servantes, universam phalangem adversantium persecuti sunt, et una cum veteribus hæresibus et errorem novæ pravitatis Christianos calumniis appetentium pupugerunt gladio Spiritus. Dicamus ergo cunctis una voce cum magistro nostro, Paulo videlicet divino apostolo : « Christus pax nostra, qui fecit utraque unum [68]. » Ipsum decet gloria, honor et adoratio cum Patre et sancto Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

Sancta synodus dixit : Divinitus sonantium Patrum doctrinæ nos correxerunt. Ex ipsis haurientes veritatem potati sumus. Eos sequentes, mendacium persecuti sumus. Ab eis edocti, venerabi-

A οὐσῃ ἐοικὸς, εἰς ἀνάμνησιν τοῦ περὶ αὐτὴν θαύματος τούτου αὐτῇ σπουδασθέντος · καὶ ὡς πρὸς τοῖς ποσὶ τοῦ εἰς ὄνομα τοῦ Κυρίου γενομένου ἀνδριάντος βοτάνη τις ἀναφύεται ξένη τὸ εἶδος, καὶ οὐ γνωρίμη, ἥτις παντοίων νοσημάτων ἰατρεῖον γίνεται · ὅπερ καὶ αὐτοψεὶ παρειλαβεῖν ὁ αὐτὸς Εὐσέβιος ἔφη · προδήλως τοῦ Σωτῆρος τὰ τῆς οἰκείας χάριτος ἐν συγκαταβάσει ποιουμένου πρὸς τὴν πίστιν τοῦ γυναίου, δεικνύοντος ὅπερ ἡμῖν ἀνωτέρω δεδήλωται, ὅτι οὐχ ἁπλῶς τὰ ἀποτελούμενα σκοπεῖται, ἀλλὰ ὁ σκοπὸς τοῦ πράττοντος δοκιμάζεται. Λέγει δὲ ἐν ταὐτῷ ὁ αὐτὸς Εὐσέβιος, ὅτι καὶ τῶν ἀποστόλων τὰς εἰκόνας Πέτρου καὶ Παύλου, καὶ αὐτοῦ δὲ τοῦ Χριστοῦ, διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστόρηκεν. Οὐ τοῦτο δὲ λέγομεν ἡμεῖς, ὥστε τὰς ἐκ χαλ-
B κοῦ στήλας ἐπιτηδεύειν ἡμᾶς, ἀλλ' ἵ μόνον δηλῶσαι, ὅτι καὶ τὸ κατ' ἐθνικὴν συνήθειαν μὴ ἀποποιησαμένου τοῦ Κυρίου, ἀλλ' εὐδοκήσαντος ἐν αὐτῷ ἐπιδείκνυσθαι ἐφ' ἱκανὸν χρόνον τῆς αὐτοῦ ἀγαθότητος τὴν θαυματουργίαν, τὸ παρ' ἡμῖν εὐαγέστερόν πως κρατῆσαν ἔθος κακίζειν οὐκ ὅσιον. Ἐν τούτοις μὲν οὖν ὁ ἡμέτερος πληρούσθω τῆς ὑπομνήσεως λόγος. Ὁ δὲ τῆς ἀληθείας Θεὸς ὁ ὁδηγήσας ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ πᾶσαν διχονοίας ἀφορμὴν καὶ ὑπόθεσιν ταραχῆς των ἡμετέρων ἀπελαύνων ψυχῶν, ὁμοθυμαδὸν ἐν ἑνὶ πνεύματι δοξάζοντας αὐτὸν τῆς ἐπουρανίου βασιλείας καταξιώσῃ.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν · Ἐβόησαν οἱ φύλακες τῆς καθολικῆς Ἐκκλησίας, ἅγιοι Πατέρες ἡμῶν,
C οἱ διὰ παντὸς ὑπεράνω τῶν νοητῶν αὐτῆς ἀγρυπνοῦντες ἐπάλξεων · πᾶσαν παράταξιν καὶ μάταιον λόγον ἀπώσαντο · καὶ ταύτην ἀσπάρακτον τηρήσαντες, παντοίαν φάλαγγα τῶν ἐναντίων ἐξεδίωξαν, καὶ ἅμα ταῖς παλαιαῖς αἱρέσεσι καὶ τὴν πλάνην τῆς καινῆς φαυλότητος τῶν Χριστιανοκατηγόρων ἐξεκέντησαν τῇ μαχαίρᾳ τοῦ Πνεύματος. Εἴπωμεν οὖν ἅπαντες μιᾷ φωνῇ μετὰ τοῦ ἡμῶν διδασκάλου Παύλου τοῦ θείου ἀποστόλου · « Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. » Αὐτῷ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

D Ἡ ἁγία σύνοδος ἐξεβόησε · Τῶν θεοφθόγγων Πατέρων αἱ διδασκαλίαι ἡμᾶς διωρθώσαντο. Ἐξ αὐτῶν ἁρυσάμενοι τὴν ἀλήθειαν ἐποτίσθημεν. Αὐτοῖς κατακολουθήσαντες, τὸ ψεῦδος ἐδιώξαμεν. Παρ' αὐ-

[68] Ephes. II, 14.

(3) Adnotatio Græci scholiastæ. Οἱ Γραικοὶ τὸ ἅγιον θυσιαστήριον, ἵνα μὴ πᾶσιν ἔκδηλα ᾖ τὰ θεῖα, καγκέλλοις περικλείουσιν · ἐν οἷς τὰς σεπτὰς ἀναστηλοῦσιν εἰκόνας, δι' ὧν καὶ τὰ ἄδυτα περιφράττεται, καὶ τῶν ἁγίων οἱ τύποι προσκυνοῦνται. Πρὸς τοῦτο γοῦν δοκεῖ ἀφορᾷν ὁ Γερμανός · ἐπεὶ δι' ἀνδριάντων αὐτὸ τοῦτο γενέσθαι ἀμήχανον · ὅθεν καὶ τὴν τῶν εἰκόνων χρῆσιν ἅτε δὴ κοινοτέραν τε καὶ πρὸς τὸ περικλείειν εὐχερεστέραν πως κατωνόμασεν. Ὅτι γὰρ καὶ τὸ ἑτέρους ἀνδριάντας ἐγείρειν εὐσεβές, καὶ οὐκ ἀσύνηθες τῇ καθολικῇ Ἐκκλησίᾳ, ἔκ τε διαλαλιῶν τινων ἐπισκόπων, καὶ ἐκ τοῦ ὅρου αὐτοῦ τῆς ἁγίας ταύτης συνόδου καθέστηκε προδηλότατον. *Græci, ne sacra omnibus pateant, sacrum altare cancellis circumcludunt : in quibus reponunt imagines, quæ simul altare contegunt, et populo adorandæ proponuntur. Huc videtur allusisse Germanus ; id enim statuæ minus commode præstare queunt ; ac proinde usum imaginum ut commodiorem et communiorem, magis etiam pium quodammodo vocavit. Nam alioqui pium esse ac receptum ab ecclesiis sacrarum statuarum usum, ex quibusdam episcoporum interlocutionibus, et ex ipsa definitione hujus synodi apertissime constat.* HARD.

Digitized by Google

τῶν διδαχθέντες, σεπτὰς εἰκόνας ἀσπαζόμεθα. Πατέρες κηρύττουσι, τέκνα ὑπακοῆς ἐσμεν, καὶ ἐγκαυχώμεθα ἐν προσώπῳ μητρὸς τῇ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας· Πιστεύοντες εἰς ἕνα Θεὸν τὸν ἐν Τριάδι ἀνυμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα. Οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν. Οἱ μὴ οὕτως φρονοῦντες πόρρω τῆς Ἐκκλησίας ἐκδιωχθήτωσαν. Ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς Ἐκκλησίας ἐπακολουθοῦμεν. Ἡμεῖς τοὺς θεσμοὺς τῶν Πατέρων φυλάττομεν. Ἡμεῖς τοὺς προστιθέντας τι, ἢ ἀφαιροῦντας ἐκ τῆς καθολικῆς Ἐκκλησίας, ἀναθεματίζομεν. Ἡμεῖς τὴν ἐπείσακτον καινοτομίαν τῶν Χριστιανοκατηγόρων ἀναθεματίζομεν. Ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀσπαζόμεθα. Ἡμεῖς τοὺς μὴ οὕτως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν. Τοῖς Χριστιανοκατηγόροις, ἤτοι τοῖς Εἰκονοκλάσταις ἀνάθεμα. Τοῖς ἐκλαμβάνουσι τὰς τῆς θείας Γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. Τοῖς μὴ ἀσπαζομένοις τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἀνάθεμα. Τοῖς ἀποκαλοῦσι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας εἴδωλα, ἀνάθεμα. Τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς οἱ Χριστιανοὶ ταῖς εἰκόσι προσέρχονται, ἀνάθεμα. Τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. Τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλος ἐῤῥύσατο ἡμᾶς ἐκ τῶν εἰδώλων, ἀνάθεμα. Τοῖς τολμῶσι λέγειν τὴν καθολικὴν Ἐκκλησίαν εἰδωλά ποτε δεδέχθαι, ἀνάθεμα.

A les imagines salutamus. Patres prædicant, filii obedientiæ sumus, et congratulamur in facie matris, traditione Ecclesiæ catholicæ: Credentes in unum Deum, in Trinitate laudandum, honorabiles imagines salutamus. Qui sic se non habent, anathema sint: qui ita non sentiunt, procul ab Ecclesia pellantur. Nos antiquam legislationem Ecclesiæ catholicæ sequimur. Nos jura patrum conservamus; nos eos qui addunt quid vel auferunt ex catholica Ecclesia, anathematizamus. Nos subintroductam novitatem Christianos accusantium anathematizamus. Nos venerabiles iconas salutamus. Nos eos qui sic se non habent, anathemati submittimus. Christianos accusantibus, id est, imagines confringentibus anathema sit. His B qui assumunt dicta sanctæ Scripturæ, quæ sunt contra idola, in venerabiles imagines, anathema. His qui non salutant sanctas ac venerabiles iconas, anathema. His qui appellant sacras imagines idola, anathema. His qui dicunt, quod veluti ad deos Christiani, ita ad iconas accedant, anathema. His qui communicant scienter injuriam et inhonorantiam inferentibus venerabilibus imaginibus, anathema. His qui dicunt, quod excepto Christo Domino nostro, alius nos eruerit ab idolis, anathema. His qui audent dicere, catholicam Ecclesiam idola aliquando recepisse, anathema.

Καὶ μετὰ τὸ ἐκφωνηθῆναι τοὺς προαναφερομένους ἀναθεματισμοὺς διὰ χάρτου, ἡ ἁγία σύνοδος, C ἀναγνόντος Εὐθυμίου ἐπισκόπου Σάρδεων, ἐξεφώνησε τὰ ὑποτεταγμένα.

Et postquam prolati sunt præfati anathematismi per chartam, sancta synodus, legente Euthymio episcopo Sardis, pronuntiavit subter annexa.

Τὴν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκπληροῦντες θείαν πρόσταξιν οἱ ἅγιοι Πατέρες ἡμῶν, τὸν παρ' αὐτοῦ δοθέντα αὐτοῖς λύχνον τῆς θείας γνώσεως οὐχ ὑπὸ τὸν μόδιον ἐκρυψαν, ἀλλ' ἐπὶ τὴν λυχνίαν ἀνέθηκαν τῆς ὠφελιμωτάτης διδασκαλίας· ἵνα λάμψῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, τουτέστι τοῖς ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ γεννηθεῖσι, διὰ τὸ μήποτε προσκόψαι τινὰ πρὸς λίθον τὸν πόδα τῆς αἱρετικῆς κακοδοξίας τῶν εὐσεβῶς ὁμολογούντων τὸν Κύριον. Αὐτοὶ γὰρ πᾶσαν πλάνην αἱρετικῶν ἐξωθοῦσι, καὶ τὸ σεσηπὸς μέλος, εἴ πως ἀνίατα νοσεῖ, ἐκκόπτουσι· καὶ τὸ πτύον κατέχοντες, τὴν ἄλωνα καθαίρουσι· καὶ τὸν μὲν σῖτον, ἤτοι τὸν D τρόφιμον λόγον, τὸν στηρίζοντα καρδίαν ἀνθρώπου ἀποκλείουσιν ἐν τῇ ἀποθήκῃ τῆς καθολικῆς Ἐκκλησίας, τὸ δὲ ἄχυρον τῆς αἱρετικῆς κακοδοξίας ἔξω ῥίψαντες, κατακαίουσι πυρὶ ἀσβέστῳ.

Dei et Salvatoris nostri Jesu Christi divinum adimplentes præceptum sancti Patres nostri, lucernam sibi divinæ cognitionis ab eo datam non sub modio absconderunt, sed supra candelabrum posuerunt utilissimi magisterii, ut luceat omnibus qui in domo, id est, qui in Ecclesia catholica nati sunt, ne forte offendat aliquis eorum qui pie confitentur Dominum ad lapidem hæreticæ et malæ opinionis pedem suum. Ipsi enim omnem errorem hæreticorum foras expellunt, et putrefactum membrum, si insanabiliter elanguet, excidunt; et ventilabrum habentes, aream purgant: et triticum quidem, id est, verbum quod nutrit, quodque confirmat cor hominis, includunt in horreo catholicæ Ecclesiæ: paleam autem hæreticæ ac malæ opinionis foras projicientes, comburunt igne inextinguibili.

Διὸ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος, ἡ εὐδοκίᾳ Θεοῦ καὶ ἐπινεύσει τῶν εὐσεβῶν καὶ πιστοτάτων ἡμῶν βασιλέων, Εἰρήνης τῆς νέας Ἑλένης, καὶ νέου Κωνσταντίνου τοῦ ταύτης θεοφυλάκτου βλαστοῦ συναθροισθεῖσα ἐν ταύτῃ τῇ Νικαέων λαμπρᾷ μητροπόλει τὸ δεύτερον, διὰ τῆς ἀναγνώσεως κατανοήσασα τῶν ἀοιδίμων καὶ μακαρίων Πατέρων ἡμῶν τὰ δόγματα, αὐτὸν μὲν τὸν Θεὸν δοξάζει, παρ' οὗ ἐδόθη ἐκείνοις λόγος πρὸς ἡμετέραν διδασκαλίαν,

Quamobrem sancta et universalis hæc synodus beneplacito Dei et nutu piorum et fidelissimorum imperatorum nostrorum, Irenæ novæ Helenæ, ac novi Constantini hujus Deo conservandi germinis, congregata, secundo in hac Nicæensium clara metropoli, per lectionem considerans memorabilium et beatorum Patrum nostrorum dogmata, ipsum quidem Deum glorificat, a quo illis datus est sermo ad doctrinam nostram, et ad perfectionem catho-

Digitized by Google

licæ et apostolicæ Ecclesiæ : adversus vero eos qui non sentiunt ea quæ illi, sed obumbrare moliuntur eam quæ vere est veritas, per novitatem suam, Psalmi [69] concinunt vocem : Quanta malignati sunt inimici in sancto tuo, et gloriati sunt dicentes, quia Non est magister, et nos non cognoscet tractantes dolose verbum veritatis. Nos autem per omnia eorumdem deiferorum Patrum nostrorum dogmata et præcepta tenentes, prædicamus uno ore et uno corde, nihil addentes, nihil auferentes ex his quæ ab illis tradita sunt nobis; sed in his roboramur, in his confirmamur: ita confitemur, ita docemus, quemadmodum sanctæ ac universales sex synodi definierunt et firmaverunt. Et credimus in unum Deum Patrem omnipotentem, omnium factorem visibilium et invisibilium: et in unum Dominum Jesum Christum unigenitum Filium et Verbum ejus, per quem omnia facta sunt. Et in Spiritum sanctum Dominum et vivificantem, consubstantialemque et consempiternum eidem Patri et Filio ejus, qui una cum eo sine initio est : Trinitatem inconditam, indivisam, incomprehensibilem, incircumscriptam: eamdem totam ac solam servitute [latria] colendam, et adorandam, et venerandam : unam deitatem, unam dominationem, unam potestatem, unum imperium et potentiam, quæ personis dividitur indivise, et substantia copulatur divise. Confitemur et unum ejusdem sanctæ et consubstantialis Trinitatis Dominum nostrum Jesum Christum verum Deum in novissimis diebus propter nostram salutem incarnatum et hominem factum, salvasse per salutiferam dispensationem suam, passionemque ac resurrectionem, et in cœlos regressionem, genus nostrum, et nos liberasse ab errore idolorum; et ut ait propheta: « Non legatus, non angelus, sed ipse Dominus salvavit nos [70]. » Quem et nos sequentes, et hujus vocem propriam facientes, magna voce clamamus: Non synodus, non principum imperium, non conjuratio Deo odibilis, ab idolorum errore liberam fecerunt Ecclesiam, quemadmodum Judaicum deliravit concilium, quod contra venerabiles imagines infremuit : sed ipse gloriæ Dominus incarnatus Deus nos salvavit, et ab idolica deceptione eripuit. Ipsi igitur gloria, ipsi grates, ipsi gratiarum actio, ipsi laus, ipsi magnificentia : ipsius redemptio, ipsius salus, qui salvare solus in [perfecta] perpetuum potest, et non aliorum, qui de humo veniunt, hominum. Ipse in nobis, in quos fines sæculorum devenerunt, per incarnatam dispensationem suam prænuntiatos prophetarum suorum affatus terminavit, inhabitans in nobis, et inambulans, et delens nomina idolorum a terra, sicuti jam scriptum est. Salutamus autem et Dominicas et apostolicas et

καὶ πρὸς καταρτισμὸν τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας [m] · τοὺς δὲ μὴ τὰ ἐκείνων φρονοῦντας, ἀλλὰ συσκιάσαι μηχανωμένους τὴν ὄντως ἀλήθειαν διὰ τῆς αὐτῶν καινοτομίας, τὴν ψαλμικὴν κατεπᾴδουσι φωνήν · Ὅσα ἐπονηρεύσαντο οἱ ἐχθροὶ ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο λέγοντες, ὅτι Οὐκ ἔστι διδάσκαλος, καὶ ἡμᾶς οὐ γνώσεται δολοῦντας τὸν λόγον τῆς ἀληθείας. Ἡμεῖς δὲ κατὰ πάντα τῶν αὐτῶν θεοφόρων Πατέρων ἡμῶν τὰ δόγματα καὶ πράγματα [n] κρατοῦντες, κηρύσσομεν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, μηδὲν προστιθέντες, μηδὲν ἀφαιροῦντες τῶν ἐξ αὐτῶν παραδοθέντων ἡμῖν · ἀλλὰ τούτοις βεβαιούμεθα, τούτοις στηριζόμεθα. Οὕτως ὁμολογοῦμεν, οὕτως διδάσκομεν, καθὼς αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι ὥρισαν καὶ ἐβεβαίωσαν. Καὶ πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάντων ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων · καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν μονογενῆ Υἱὸν καὶ Λόγον αὐτοῦ, δι' οὗ τὰ πάντα γέγονε · καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιὸν, ὁμοούσιόν τε καὶ συναΐδιον αὐτῷ τε τῷ Πατρὶ καὶ τῷ συνανάρχῳ αὐτοῦ Υἱῷ · Τριάδα ἄκτιστον, ἀμέριστον, ἀκατάληπτον, ἀπερίγραπτον · τὴν αὐτὴν ὅλην καὶ μόνην λατρευτήν τε καὶ προσκυνητὴν καὶ σεβάσμιον · μίαν θεότητα, μίαν κυριότητα, μίαν ἐξουσίαν, μίαν βασιλείαν καὶ δύναμιν, ἥτις ταῖς ὑποστάσεσι διαιρεῖται ἀδιαιρέτως, καὶ τῇ οὐσίᾳ συνάπτεται διῃρημένως. Ὁμολογοῦμεν δὲ καὶ τὸν ἕνα τῆς αὐτῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, καὶ σώσαντα διὰ τῆς σωτηριώδους αὐτοῦ οἰκονομίας · τοῦ τε πάθους καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, τὸ γένος ἡμῶν, καὶ ἀπαλλάξαντα ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, καὶ ὡς φησιν ὁ προφήτης · « Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς. » Ὧ καὶ ἡμεῖς ἑπόμενοι, καὶ τὴν τούτου φωνὴν οἰκειούμενοι, μεγαλοφώνως βοῶμεν · Οὐ σύνοδος, οὐ βασιλέων κράτος, οὐ συνωμοσίαι θεοστυγεῖς τῆς τῶν εἰδώλων πλάνης τὴν Ἐκκλησίαν ἠλευθέρωσαν, καθὼς ἐληρώδησε τὸ Ἰουδαϊκὸν συνέδριον, τὸ κατὰ τῶν σεπτῶν εἰκόνων φρυαχθέν · ἀλλ' αὐτὸς ὁ τῆς δόξης Κύριος ἐνανθρωπήσας Θεὸς καὶ ἔσωσε, καὶ τῆς εἰδωλικῆς ἀπάτης ἀπήλλαξεν. Αὐτῷ τοίνυν δόξα, αὐτῷ χάρις, αὐτῷ εὐχαριστία, αὐτῷ αἶνος, αὐτῷ μεγαλοπρέπεια, αὐτοῦ ἡ ἀπολύτρωσις, αὐτοῦ ἡ σωτηρία τοῦ μόνου σώζειν εἰς τὸ παντελὲς δυναμένου, καὶ οὐχ ἑτέρων τῶν χαμαὶ ἐρχομένων ἀνθρώπων. Αὐτὸς τὰς εἰς ἡμᾶς, ἐφ' οὓς τὰ τέλη τῶν αἰώνων κατήντησαν, διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας προκαταγγελθείσας διὰ τῶν προφητῶν αὐτοῦ ῥήσεις ἐπεραίωσεν, ἐνοικήσας ἐν ἡμῖν, καὶ ἐμπεριπατήσας, καὶ ἐξαλείψας τὰ ὀνόματα τῶν εἰ-

[69] Psal. LXXIII, 3 seqq. [70] Isa. LXIII. 9.

VARIÆ LECTIONES.

[m] *Isc.* τοῖς δὲ μὴ τὰ ἐκ. φρονοῦσιν, etc. [n] L. προστάγματα.

Digitized by Google

δώλων ἀπὸ τῆς γῆς, καθὼς ἤδη γέγραπται. Ἀσπαζόμεθα δὲ καὶ τὰς κυριακὰς καὶ ἀποστολικὰς, καὶ προφητικὰς φωνὰς, δι' ὧν τιμᾶν καὶ μεγαλύνειν ἐδιδάχθημεν, πρῶτα μὲν τὴν κυρίως καὶ ἀληθῶς Θεοτόκον, τὴν ἀνωτέραν πασῶν τῶν οὐρανίων δυνάμεων· τάς τε ἁγίας καὶ ἀγγελικὰς δυνάμεις, τούς τε μακαρίους καὶ πανευφήμους ἀποστόλους, προφήτας τε τοὺς ἐνδόξους, καὶ τοὺς καλλινίκους καὶ ὑπὲρ Χριστοῦ ἀθλήσαντας μάρτυρας, καὶ τοὺς ἁγίους καὶ θεοφόρους διδασκάλους, καὶ πάντας τοὺς ὁσίους ἄνδρας· καὶ ἐξαιτεῖσθαι τὰς τούτων πρεσβείας, ὡς δυναμένας ἡμᾶς οἰκειῶσαι τῷ παμβασιλεῖ τῶν ὅλων Θεῷ, φυλάττοντας δηλαδὴ τὰς αὐτοῦ ἐντολὰς, καὶ ἐναρέτως βιοῦν προαιρουμένους. Ἔτι γε μὴν ἀσπαζόμεθα καὶ τὸν τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ τὰ ἅγια λείψανα τῶν ἁγίων, καὶ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἀποδεχόμεθα, καὶ ἀσπαζόμεθα, καὶ περιπτυσσόμεθα κατὰ τὴν ἀρχῆθεν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας, εἴτουν τῶν ἁγίων Πατέρων ἡμῶν, τῶν ταύτας καὶ δεξαμένων καὶ κυρωσάντων εἶναι ἐν πάσαις ταῖς ἁγιωτάταις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ταύτας δὲ τὰς τιμίας καὶ σεπτὰς εἰκόνας, καθὼς προείρηται, τιμῶμεν καὶ ἀσπαζόμεθα, καὶ τιμητικῶς προσκυνοῦμεν· τουτέστι τὴν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπήσεως εἰκόνα, καὶ τῆς ἀχράντου Δεσποίνης ἡμῶν καὶ παναγίας Θεοτόκου, ἐξ ἧς αὐτὸς ηὐδόκησε σαρκωθῆναι, καὶ σῶσαι, καὶ ἀπαλλάξαι ἡμᾶς πάσης δυσσεβοῦς εἰδωλομανίας· τῶν τε ἁγίων καὶ ἀσωμάτων ἀγγέλων· ὡς ἄνθρωποι γὰρ τοῖς δικαίοις ἐνεφανίσθησαν. Ὁμοίως δὲ καὶ τῶν θείων καὶ πανευφήμων ἀποστόλων, τῶν θεηγόρων προφητῶν, καὶ ἀθλοφόρων μαρτύρων, καὶ ὁσίων ἀνδρῶν τὰς μορφὰς καὶ τὰ εἰκονίσματα· ὡς διὰ τῆς αὐτῶν ἀναζωγραφήσεως εἰς ὑπόμνησιν καὶ μνήμην ἀνάγεσθαι δύνασθαι πρὸς τὸ πρωτότυπον, καὶ ἐν μεθέξει γίνεσθαί τινος ἁγιασμοῦ. Ταῦτα οὕτω φρονεῖν ἐδιδάχθημεν, καὶ ἐβεβαιώθημεν παρά τε τῶν ἁγίων Πατέρων ἡμῶν, καὶ τῆς αὐτῶν θεοπαραδότου διδασκαλίας. Καὶ χάρις τῷ Θεῷ διὰ τὴν ἀνεκδιήγητον αὐτοῦ δωρεὰν, ὅτι οὐκ εἰς τέλος ἡμᾶς ἐγκατέλιπεν, οὐδ' ἀφῆκε τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ἵνα μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν, εἴτουν τὰς πρακτικὰς αὐτῶν ἐνεργείας· ἀλλ' ἀγαθύνατι τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ, καθὼς ὁ ὑμνογράφος Δαβὶδ ἐμελῴδησε· μεθ' οὗ καὶ τὸ ἐξῆς συνυποψάλλομεν· τοὺς τὸ λοιπὸν ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· καὶ εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

A prophetica voces, super quas honorare et magnificare didicimus primo quidem eam quæ proprie ac veraciter esset Dei Genitrix, et superior cœlestibus cunctis virtutibus; sanctasque et angelicas virtutes, atque beatos et laudabilissimos apostolos, prophetasque et gloriosos martyres, qui pro Christo certaverunt; atque sanctos et deiferos magistros, et omnes sanctos viros: et horum expetere intercessiones, ut valentes nos familiares reddere regi omnium Deo, custodientes videlicet mandata ejus, et in virtutibus vivere procurantes. Insuper salutamus et figuram pretiosæ ac vivificæ crucis, et sancta lipsana sanctorum; et sanctas ac venerabiles B iconas recipimus et salutamus, atque amplectimur secundum antiquam traditionem sanctæ catholicæ Dei Ecclesiæ, id est, sanctorum Patrum nostrorum, qui et has susceperunt, et stabilierunt fore in cunctis Dei ecclesiis, et in omni loco dominationis ejus. Porro has pretiosas et venerabiles iconas, ut prædictum est, honoramus et salutamus, ac honoranter adoramus; hoc est, magni Dei et Salvatoris nostri Jesu Christi humanationis imaginem, et intemeratæ Dominæ nostræ sanctissimæ Dei Genitricis, ex qua ipse voluit incarnari, et salvare atque liberare nos ab omni impia idolorum vesania: sanctorum etiam et incorporalium angelorum; ut homines enim justis apparuerunt. Similiter autem et divinorum ac famosissimorum apostolorum, deiloC quorum etiam prophetarum, et certatorum martyrum, et sanctorum virorum figuras et effigies, utpote per picturam suam in recordationem et memoriam adducere nos valentes, et ad principale attrahere, atque participes facere alicujus sanctificationis. Hæc ita sapere et didicimus et roborati sumus a sanctis Patribus nostris, et ab eorum divinitus tradito magisterio. Et gratias Deo super inenarrabili dono suo, quia in finem non deseruit nos, neque reliquit virgam peccatorum super sortem justorum, ut non extendant justi ad iniquitatem manus suas, id est, actuales operationes suas: sed bene fecit bonis et rectis corde, quemadmodum [11] hymnographus David melodice cecinit; cum quo et residuum psallimus: quia de cætero D declinantes in obligationes adducet Dominus cum operantibus iniquitatem: et pax super Israel Dei.

Ἑρμηνεία ὑπογραφῆς Ῥωμαίων.

Ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Πέτρος ἐλέῳ Θεοῦ ἀρχιπρεσβύτερος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ τὸν τόπον ἀναπληρῶν Ἀδριανοῦ τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, πάντας προσδεξάμενος τοὺς ἐπιστρέψαντας ἐκ τῆς δυσσεβοῦς αἱρέσεως τῶν ἀθετούντων τὰς σεπτὰς εἰκόνας, κατὰ

Interpretatio subscriptionis Romanorum.

In nomine Domini nostri Jesu Christi, Petrus misericordia Dei archipresbyter sanctæ Ecclesiæ catholicæ et apostolicæ, et locum complens Adriani sanctissimi et apostolici papæ senioris Romæ, omnes recipiens qui conversi sunt ab impia hæresi reprobantium venerabiles imagines secundum doctrinam et traditionem sanctorum Patrum nostro-

[11] Psal. CXXIV, 4.

Digitized by Google

rum, omnia quæ superius efferuntur approbans et consentiens, subscripsi.

Petrus, misericordia Dei presbyter et hegumenus monasterii sancti Sabbæ, et locum complens Adriani sanctissimi et apostolici papæ senioris Romæ, omnes recipiens qui conversi sunt ab impia hæresi reprobantium venerabiles imagines secundum doctrinam traditionemque sanctorum Patrum nostrorum, omnia quæ superius efferuntur approbans et consentiens, subscripsi.

Tarasius [12], misericordia Dei episcopus Constantinopoleos novæ Romæ, confirmans sic se habere veritatem, omnia quæ superius efferuntur libenter admittens, his subscripsi.

Leo hegumenus Sancti Cyriaci similiter.
Epiphanius hegumenus Sanctæ Dei Genitricis Limnas similiter.
Georgius hegumenus Sanctæ Dei Genitricis similiter.
Cosmas hegumenus Sanctæ Dei Genitricis Paradisii similiter.
Euschemon monachus Sancti Salvatoris juxta Byraicum similiter.
Bardas hegumenus, et archimandrita Prusiadis, similiter.
Petrus hegumenus Sanctorum Apostolorum Castri Protili similiter.
Basilius monachus civitatis Amorii Sanctæ Dei Genitricis similiter.
Basilius presbyter, et hegumenus monasterii Oxypetri, similiter.
Philippus hegumenus Eumeniæ similiter.
Basilius hegumenus Sancti Luciani similiter.
Theophylactus hegumenus Pegadii similiter.
Anthimus hegumenus [*Gr.* monachus *et in c. Jol.*] Psamathi similiter,
Michael hegumenus Sancti martyris Georgii similiter.
Christophorus hegumenus Candelarum similiter.
Nicolaus hegumenus Cænurgon similiter.
Sisinnius hegumenus Lithini similiter.

Νικήτας ἡγούμενος Ὀκτάων ὁμοίως.
Ἀντώνιος ἡγούμενος Ἀκραβόρων ὁμοίως.
Πέτρος ἡγούμενος Πλατανίου ὁμοίως.
Μάρκος ἡγούμενος τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου ὁμοίως.
Λέων ἡγούμενος τῆς Ἁγίας Θεοτόκου Σαλδάλων ὁμοίως.
Κωνσταντῖνος ἡγούμενος τοῦ Ἁγίου Στεφάνου τοῦ Ἀντιψιλίου ὁμοίως.
Θεόδωρος μοναχὸς, καὶ ἐκ προσώπου Θεοδότου ἡγουμένου τῆς Ἁγίας Θεοτόκου Καλοκετῶν ὁμοίως.
Εὐτυχιανὸς μοναχὸς τῶν Καλλιστράτου ὁμοίως.
Θεόδοτος μοναχὸς τῆς Ἁγίας Θεοτόκου Ἐπικανζῆ ὁμοίως.
Ἰωάννης μοναχὸς, καὶ ἐκ προσώπου Στεφάνου ἡγουμένου Βονισῶν ὁμοίως.
Κάλλιστος μοναχὸς τοῦ αὐτοῦ μοναστηρίου Βονισῶν ὁμοίως.
Νικήτας ἡγούμενος τῆς Ἁγίας Θεοτόκου μονῆς τοῦ Κάστρου τῆς Τίου ὁμοίως.
Σαμουὴλ μοναχὸς τοῦ Ἀρχαγγέλου Γαβριὴλ ὁμοίως.
Θεοδόσιος ἡγούμενος τῆς Ἁγίας Τριάδος ὁμοίως.
Ἰωάννης μοναχὸς, καὶ ἐκ προσώπου Στρατηγίου ἡγουμένου τῆς Ἁγίας Θεοτόκου ὁμοίως.
Ἱλαρίων μοναχὸς τῆς Ἁγίας Θεοτόκου τῶν Κελλίων ὁμοίως.
Θεοδόσιος μοναχὸς τοῦ Ἁγίου Θεοδώρου τῆς Σικούνδας ὁμοίως.
Παῦλος ἡγούμενος τῆς Ἁγίας Θεοτόκου Τημπ. ὁμοίως.
Λέων ἡγούμενος τοῦ Ἁγίου Κυριακοῦ ὁμοίως.
Ἐπιφάνιος ἡγούμενος τῆς Ἁγίας Θεοτόκου Λίμνας ὁμοίως.
Γεώργιος ἡγούμενος τῆς Ἁγίας Θεοτόκου ὁμοίως.
Κοσμᾶς ἡγούμενος τῆς Ἁγίας Θεοτόκου τοῦ Παραδεισίου ὁμοίως.
Εὐσχήμων μοναχὸς τοῦ Σωτῆρος πλησίον τοῦ Βυραϊκοῦ ὁμοίως.
Βάρδας ἡγούμενος καὶ ἀρχιμανδρίτης Προυσιάδος ὁμοίως.
Πέτρος ἡγούμενος τῶν Ἁγίων Ἀποστόλων Καστροπρωτίλου ὁμοίως.
Βασίλειος μοναχὸς τοῦ Ἀμορίου τῆς Ἁγίας Θεοτόκου ὁμοίως.
Βασίλειος πρεσβύτερος μονῆς τοῦ Ὀξυπέτρου ὁμοίως.
Φίλιππος ἡγούμενος Εὐμενείας ὁμοίως.
Βασίλειος ἡγούμενος τοῦ Ἁγίου Λουκιανοῦ ὁμοίως.
Θεοφύλακτος ἡγούμενος τοῦ Πηγαδίου ὁμοίως.
Ἄνθιμος μοναχὸς Ψαμάθου ὁμοίως.
Μιχαὴλ ἡγούμενος τοῦ Ἁγίου μάρτυρος Γεωργίου ὁμοίως.
Χριστοφόρος ἡγούμενος τῶν Κανδήλων ὁμοίως.
Νικόλαος ἡγούμενος τῶν Καινουργῶν ὁμοίως.
Σισίννιος ἡγούμενος τοῦ Λιθίνου ὁμοίως.

Digitized by Google

Θωμᾶς μοναχὸς Μοσυνῶν ὁμοίως.

Μιχαὴλ μοναχὸς, καὶ ἐκ προσώπου τοῦ ἡγουμένου μονῆς Ἁγίας Θεοτόκου τοῦ Πύργου ὁμοίως.

Γρηγόριος ἡγούμενος τῆς Ἁγίας Θεοτόκου Συμβόλων ὁμοίως.

Ἰωάννης ἡγούμενος τῆς Ἁγίας Θεοτόκου Ῥούδων ὁμοίως.

Κώνστας [f] ἡγούμενος τοῦ Ἁγίου Πέτρου Ὑδένδρων ὁμοίως.

Συμεὼν ἡγούμενος τῆς Ἁγίας Θεοτόκου τῶν Ἀβραμιτῶν ὁμοίως.

Γρηγόριος ἡγούμενος τοῦ Ἁγίου Κλήμεντος ὁμοίως.

Θέογνις ἡγούμενος τοῦ Ἁγίου ἀποστόλου Τιμοθέου τῆς Κρητῶν νήσου ὁμοίως.

Ἰωάννης ἡγούμενος τοῦ Ἁγίου μάρτυρος Θεοδώρου ὁμοίως.

Θεοδόσιος ἡγούμενος τῆς Ἁγίας Θεοτόκου ὁμοίως.

Πέτρος ἡγούμενος τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου τῆς Κρητῶν νήσου ὁμοίως.

A Thomas monachus Mosynensium similiter.

Michael monachus, et ex persona hegumeni monasterii Sanctæ Dei Genitricis Pyrgi, similiter.

Gregorius hegumenus Sanctæ Dei Genitricis Symbolorum similiter.

Joannes hegumenus Sanctæ Dei Genitricis Rudensium similiter.

Constantinus [Cosmas] hegumenus Sancti Petri Hydendrensium similiter.

Symeon hegumenus Sanctæ Dei Genitricis Abramitensium similiter.

Gregorius hegumenus Sancti Clementis similiter.

Theognis hegumenus monasterii Sancti apostoli Timothei Cretensium [insulæ] similiter.

Joannes hegumenus Sancti martyris Theodori B similiter.

Theodosius hegumenus Sanctæ Dei Genitricis similiter.

Petrus hegumenus Sancti Joannis Deiloqui Cretensium insulæ similiter.

VARIÆ LECTIONES.

[f] *Alii.* Κοσμᾶς.

EJUSDEM SANCTI GERMANI
PATRIARCHÆ CONSTANTINOPOLITANI
ORATIONES.

A'.

Λόγος Γερμανοῦ τοῦ τῆς Κωνσταντινουπόλεως πατριάρχου εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἐν τῷ καιρῷ τῷ μεσονηστίμῳ.

I.

Oratio Germani patriarchæ Constantinopolitani in adorationem venerandæ et vivificæ crucis tempore medii jejunii.

(GRETSER, t. II, p. 245.)

« Φωτίζου, φωτίζου, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ C φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. » Ἐκ τῆς Ἡσαΐου μεγαλοφωνίας τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ τὰ Εὐαγγέλια σήμερον, ὡς μὲν ἀπὸ γλώττης κατηνθρακωμένης τῷ τοῦ θεοῦποστάτου ἄνθρακος ψωμισμῷ ἐξαλλα καὶ λαμπρὰ, ὡς δ' ἀφ' ὕψους ἥκοντα οὐρανίου, ἐξάκουστα καὶ βροντοηχῆ. Τοιαύτη γὰρ ἡ τοῦ προφήτου φωνὴ, τὸν οὐρανὸν ἀνατρέχουσα καὶ περικτυποῦσα τὴν γῆν. « Ἄκουε γάρ, ἔφη, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ. » Ἀλλ' αὐτὸ μὲν βροντῶδες τοῦ φθέγματος, ἀρχόμενος τῆς προφητείας ἐνδείκνυται. Ἐνταῦθα δὲ φῶς ἐξαστράπτει τηλεφανὲς, καὶ πυρσὸν ἐξανάπτει διαέριον, καὶ τοὺς τῷ πελάγει τῆς νηστείας ἐμπλέοντας εἰς λιμένα προσκαλεῖται τῆς παρακλήσεως. Τὸ φῶς, φησὶν, ἥκειν τῆς ἀναστάσεως προευαγγελίζομαι, εἰς ἣν ἐπείγεσθε, καὶ ὑπὲρ D ἧς ἐναγωνίως σταδιεύετε. Πόθεν δὲ τοῦτο δῆλον; Ἡ δόξα Κυρίου ἐπὶ τὴν νέαν Ἱερουσαλὴμ ἀνατέταλκε. Δόξα δὲ Κυρίου ἀναντιῤῥήτως ὁ θεῖος σταυρὸς, καὶ ὡς ὄρθρος ἰδοὺ προϋπαυγάζει καὶ τοῦ τῆς δικαιοσύνης Ἡλίου σήμερον προδρόμους ἐξακοντίζει ἀκτῖνας. Ἔνθα δὲ μνήμη φωτὸς, καὶ φωτὸς ἀδύτου,

« Illuminare, illuminare, Jerusalem, venit enim lumen tuum, et gloria Domini super te orta est [30]. » Ex Isaiæ grandiloquis oraculis desumpta sunt hodierno die Ecclesiæ ex gentibus collectæ Evangelia, ut a lingua quidem in carbonem quasi redacta, buccella carbonis divinitus subsistentis, egregia et splendida; ut vero a cœlesti altitudine descendentia, exauditu facilia et instar tonitrui vocalia. Talis enim prophetæ vox, cœlum percurrens, et circumsonans terram. « Audi, inquit, cœlum, et auribus percipe, terra [31]. » Sed vocem suam tonitrui similem initio prophetiæ ostendit. Hic vero lumen longe lateque collucens emittit, facemque aeriam et sublimem accendit, eosque qui pelagus jejunii trajiciunt, in portum consolationis advocat. Annuntio, ait, advenire lumen resurrectionis, ad quam festinatis, et pro qua viriliter, tanquam in agone decertatis. At unde hoc liquet? Gloria Domini super novam Jerusalem orta est. Gloria vero Domini, omnium concessu, divina crux est, quæ ut aurora jam rutilat, radiosque hodie ejaculatur antecessores Solis justi-

[30] Isa. LX, 1. [31] Isa. I, 2.

Digitized by Google

tiæ. Ubi autem mentio fit luminis, et quidem luminis inaccessi, eosque qui sunt in nocte ignaviæ, illuminantis, ibi celebritatum celeberrima, festorumque festum annuntiatur.

Nullus igitur ex illis qui jejunio dant operam tristis efficiatur, neque mœroris caligine vultum suffundat. Accedite ad orientem crucem, et illuminamini, et facies vestræ non confundentur. Signetur super vos lumen vultus Domini, resplendeantque facies vestræ ut sol, et longe a vobis fugient tenebricosi dæmones, ne aspicere quidem oculis rectis vos ausi. Ego vero concionator ductorque chori gratiæ, opto precorque, ut luminis hujus divitias consequar, ellychniumque linguæ meæ accendam, et ignem luculentum excitem, fidemque mihi facit ipse fidei calor, me jam hunc ignem possidere; et ecce ignem et hæc crucis ligna linguæ meæ in argumentum laudis proposita. Ubinam de cætero hostia, quam hoc festo immolabimus in gloriam quidem Dei, in convivium autem spiritualium convivarum? De hac Deus viderit, qui utilitatis vestræ causa, infecundam meam mentem fecundissimam per spiritum effecit, qui et ex lapidibus legitimos filios patriarchæ excitare potest, quemadmodum olim Isaac ex lapideo Saræ ventre sacrificium illud non sacrificatum, victimamque viventem. Cum igitur super nos signatum sit lumen vultus [33] Domini, crucis descriptione et efformatione, cumque sanctificata sint labia et oculi videndo et salutando instrumentum illud nostræ salutis a Deo factum, agedum ad paradisi omnium sermone decantatissimam regionem fidenter abeamus; sic enim signatis nobis si occurrat, quæ ad fores excubat, rhomphæa, statim, nihil dubito, cedet, lumen Dominici vultus reverita, compressaque nonnihil vi flammea, alteram actionum illustrantem mansuetamque obvertet.

Non enim in crucem ascendit communis Dominus, ut judicet mundum, sed ut clavis affigat ligno, eorum qui ceciderant chirographum, eosque antiquis debitis exsolvat, effuso in solutionem, pretiosissimo, eoque omni, quem habebat, sanguine. Terga autem vertet flammea rhomphæa conspectis nobis, pro quibus Dominus dorso suo flagella excepit. Neque enim ut verberones sceleratosque servos repellet. Novit enim livore Christi omnes sanatos, notasque, quas supra dorsum nostrum peccatores fabricarant, eum, qui sine peccato erat, in se transtulisse non ignorat; sed neque faciei nostræ propinquabit. Minime gentium. Quid ita vero? Quia ora fidelium laudibus in crucem decantatis, et gloria crucifixi repleta sunt; omnino in osculo sancto eos excipiet, propter fidem et charitatem erga communem Dominum. Sunt et cæteroquin amantes hominum angelici ordines, et ex peccatorum pœnitentia festi et gaudii occasio-

[33] Psal. IV, 7.

καὶ τοὺς ἐν νυκτὶ τῆς ἀκηδίας φωτίζοντος, ἐκεῖ τῶν πανηγύρεων ἡ μεγίστη, καὶ τῶν ἑορτῶν ἡ ἑορτή.

Μηδεὶς οὖν τῶν τῆς νηστείας τροφίμων σκυθρωπαζέτω, μηδὲ τοῦ προσώπου κατασκεδαζέτω τὴν τῆς κατηφείας ἀχλύν. Προσέλθετε τῇ ἀνατολῇ τοῦ σταυροῦ καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ἡμῶν οὐ μὴ καταισχυνθῇ. Σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου Κυρίου, καὶ λάμψουσι πρόσωπα ὑμῶν, ὡς ὁ ἥλιος, καὶ φεύξονται μακρὰν ἀφ' ἡμῶν οἱ σκοτεινόμορφοι δαίμονες, ἀντοφθαλμεῖν οὐκ ἔχοντες. Ὁ δ' ἐκκλησιαστὴς ἐγὼ καὶ χοράρχης τῆς χάριτος εὔχομαι τοῦ φωτὸς τούτου πλούσιον μεταλαμβάνειν, καὶ τὴν θρυαλλίδα τῆς γλώττης ἐκκαῦσαι, καὶ πῦρ ἐξάψαι περιφανὲς, καὶ πείθει με τὸ τῆς πίστεως ἔνθερμον, ὡς ἔχω ἤδη τοῦτο πῦρ· καὶ ἰδοὺ τὸ πῦρ, καὶ τὰ ξύλα ταῦτα τὰ σταυρικὰ, εἰς ὕλην ἐπαίνων τῇ γλώττῃ προκείμενα. Ποῦ λοιπὸν τὸ πρόβατον, ὅπερ τῇ ἑορτῇ καταθύσομεν εἰς δόξαν μὲν Θεοῦ, εἰς ἑστίασιν δὲ τῶν πνευματικῶν δαιτυμόνων ὑμῶν; Θεὸς ὄψεται τοῦτο, τῆς ἡμετέρας ἕνεκεν ὠφελείας τὴν ἄκαρπόν μου διάνοιαν γονιμωτάτην ἀποτελέσας διὰ τοῦ πνεύματος, ὁ καὶ τῶν λίθων ἐξεγείρειν ἰσχύων τέκνα γνήσια τῷ πατριάρχῃ, καθὼς ποτε τὸν Ἰσαὰκ ἐκ τῆς λιθώδους τῆς Σάρρας γαστρὸς, τὸ ἄθυτον θῦμα καὶ σφάγιον ζῶν. Ἐπεὶ τοίνυν « ἐσημειώθη τὸ φῶς τοῦ προσώπου » Κυρίου ἐφ' ἡμᾶς σταυρικαῖς διαγραφαῖς καὶ διατυπώσεσιν, καὶ ἡγιάσμεθα χείλη, καὶ ὄμματα ὁρῶντες καὶ ἀσπαζόμενοι τὸ τῆς σωτηρίας ἡμῶν θεότευκτον ὄργανον, φέρε καὶ πρὸς τὸ πολυθρύλλητον χωρίον τοῦ παραδείσου θαῤῥούντως ἀπίωμεν. Οὕτω γὰρ ἂν ἡμῖν σεσημειωμένοις ἡ θυροφύλαξ ἐντυχοῦσα ῥομφαία ὑποχωρήσειεν εὖ οἶδα, τὸ τοῦ Δεσποτικοῦ φῶς προσώπου διευλαβηθεῖσα καὶ τὸ φλογερὸν πρὸς βραχύ τι συστείλασα θατέρων τῶν ἐνεργειῶν τὴν φωτεινὴν καὶ ἥμερον ἀντιστρέψειεν.

Οὐ γὰρ ἂν ἦλθεν ὁ κοινὸς Δεσπότης ἐπὶ σταυροῦ, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα προσηλώσῃ τῷ ξύλῳ τὸ τῶν ἐπτωκότων χειρόγραφον, καὶ τῶν παλαιῶν ἀπολύσειεν ὀφλημάτων, τὸ πᾶν ὑπερτίμιον αὐτοῦ καταβαλόμενον αἷμα εἰς ἔκτισιν. Στρέψει δὲ καὶ νῶτα ἡ φλογίνη ῥομφαία ἡμῖν, ὑπὲρ ὧν ὁ Δεσπότης τὰς κατὰ νώτων ἐδέξατο μάστιγας. Οὐδὲ γὰρ ὡς μαστιγίας, οὐδ' ὡς ἐπιτρίπτους δούλους ἀποσοβήσειε. Τῷ γὰρ μώλωπι τοῦ Χριστοῦ πάντας οἶδεν ἰατρευθέντας καὶ τὰ στίγματα, ὅσα ἐπὶ τῶν νώτων ἡμῶν οἱ ἁμαρτωλοὶ ἐτεκτήναντο, ἐφ' ἑαυτὸν τὸν ἀναμάρτητον μετῳκισάμενον συνεπισπᾶται. Ἀλλ' οὐδὲ κατὰ στόμα προσαπαντήσει. Πολλοῦγε καὶ δεῖ. Τί δή ποτε; Ὅτι τὰ στόματα τῶν πιστῶν τῆς εἰς τὸν σταυρὸν ὑμνολογίας, καὶ τῆς δόξης τοῦ ἐσταυρωμένου πεπλήρωνται, καὶ πάντως ἐν ἁγίῳ φιλήματι κατασπάσεται διὰ τὴν εἰς τὸν κοινὸν Δεσπότην πίστιν καὶ ἔννοιαν. Εἰσὶ δὲ καὶ ἄλλως φιλάνθρωποι τῶν ἀγγέλων τάξεις, καὶ τῶν ἁμαρτω-

Digitized by Google

λῶν τὴν μετάνοιαν ἀφορμὴν ἔχουσιν ἑορτῆς· κἂν ἐξ ἀσιτίας ἀπόζῃ τὰ στόματα, ὡς θυμίαμα προσφέρονται εὔοδμον. Δῆλον δὲ τοῦτο ἐκ τοῦ ἐναντίου. Ἦν γὰρ ὅτε τοῖς προπάτορσι κατὰ στόμα ὑπῆντα ἔτι διαμασσώμενον τὸν καρπὸν τῆς παρακοῆς, κἂν ὁ καρπὸς εὐώδης, ἀλλὰ τὸ στόμα ἄκοσμον ἀπῶζε καὶ δύσοδμον, ἤδη τῆς διαφθορᾶς βαστάζον τοὺς ἀῤῥαβῶνας. Ξύλον μὲν οὖν ἐν τῷ παραδείσῳ καὶ ξύλου καρπὸς τρυγηθεὶς, καὶ βρωθεὶς πικροτέρας τὰς ἀναδόσεις πεποίηκε τῆς χολῆς, καὶ σκοτοδινίαν περιέβαλεν, ὥστε δοκεῖν περιστρέφεσθαί μοι τὸ πᾶν· κἀγὼ τοῦ παραδείσου μέσον ἱστάμενος κρύπτεσθαι ὑπελάμβανον, καὶ τὸν ψόφον τῶν φύλλων κτύπον ὑπενόουν ποδῶν.

Ἀφ' οὗ δὲ Χριστὸς ἐταπείνωσεν ἑαυτὸν, καὶ ὑπήκοος γέγονε τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, ὑπακοῆς ξύλον γέγονε ὁ σταυρὸς, καὶ φωτίζει διάνοιαν, καὶ ἀρωματίζει στόμα, καὶ στηρίζει καρδίαν, καὶ τοῦ τῆς ἀειζωΐας καρποῦ μεταδίδωσιν. Ἀναιρεῖται δὲ τῆς παρακοῆς ὁ καρπὸς τῷ καρπῷ τῆς ὑπακοῆς. Ἐκεῖ μακρυσμὸς ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς ἐξορία, καὶ τό· « Ἐπιστρέψεις εἰς γῆν, ἐξ ἧς ἐλήφθης. » Ἐνταῦθα οἰκείωσις εἰς τὸν Θεὸν, καὶ τό· « Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Τὸ πολύευκτον ὄντως ἐπάγγελμα. Ἐκεῖ τὰ τῆς ἡδονῆς προηγήσατο, καὶ τὰ τῆς ὀδύνης ἐπηκολούθησαν· ἀντιστρόφως ἐνταῦθα ἐξ ὀδύνης, καὶ πάθους τοῦ ἑκουσίου, καὶ τῆς παραλυπησάσης τὴν γεῦσιν χολῆς. Ἡ ἐνταῦθα τῶν εὐφραινομένων κατοικία, ἀνάλυσις καὶ ἄχραντος ἡδονή. Ἐκεῖ κατάβασις ἦν ἐξ ὕψους εἰς τὴν τοῦ κλαυθμῶνος κοιλάδα, καὶ ἡ φύσις καταφερομένη οὐκ ἔστη πρότερον τῆς φορᾶς, ἕως οὗ τῇ πέτρᾳ τῇ ἀῤῥαγεῖ τῷ Χριστῷ, καὶ τῷ ξύλῳ τῷ σταυρικῷ τοιούτοις τισὶν ἀκραδάντοις ἐρείσμασι προσβαλοῦσα ἔστη καὶ ἀνεκόπη. Τὰ μὲν παλαιὰ ταῦτα.

Τὰ νέα δὲ καὶ ἡμέτερα, μᾶλλον δὲ ἡ κατὰ Χριστὸν ὁδὸς ἧς αὐτὸς ἀνθρωποπρεπῶς προηγήσατο, λίαν ὄρθια καὶ ἀνάντη· ἀναφορεῖ γὰρ ἐπὶ τὸν σταυρὸν, καὶ τοὺς πόδας ἀλγύνει τῇ τῆς στάσεως διαμονῇ, ὅλην τὴν ἡμέραν διαπετάζειν χεῖρας πρὸς Θεὸν παραπείθει, ἀηδίζει τὸ στόμα καταξηραίνουσα διὰ τῆς νηστείας. Πλὴν ἀλλὰ τούτων πάντων τῶν κακῶν πονημάτων βιβλίον ἐγγράμματον, ὁ σταυρός· καὶ ὁ οὐ λαμβάνων τὸ βιβλίον τοῦτο, καὶ ἀκολουθεῖ ὀπίσω τοῦ διδασκάλου· διδάσκαλος δὲ ὁ Χριστὸς, ὡς κακόσχολος τοῦ τῶν μαθητῶν χοροῦ διαγράφεται. Ὅτε τοίνυν οὕτω διασκευασθεῖσιν ἡμῖν, κωλύμην ἡ φλογίνη ῥομφαία οὐκ ἐπαγάγῃ τῇ χάριτι τοῦ σταυροῦ, εἰσίωμεν ἤδη διὰ τοῦ λόγου εἰς τὸ ἀρχαῖον τῶν προπατόρων ἡμῶν ἐνδιαίτημα τὸν παράδεισον, καὶ ἀνθολογήσωμεν τὰ τῷ καιρῷ πρόσφορα, καὶ στέφανον ἐγκωμίων ἐντεῦθεν συμπλέξαντες τὸν σταυρὸν καταστέψωμεν. Ἦν ἄρα ποτὲ τὰ καθ' ἡμᾶς ἐν μακαριστοῖς καὶ θεοφύτευτον κατῳκοῦμεν παράδεισον τρυφῆς ἀδιαρεύστου χωρίον. Ἔνθα ἡ φωνὴ τῆς ἐξομολογήσεως καὶ τῶν ἑορταζόντων ὁ ἦχος· καὶ ἀπ'

nem sumunt. Et licet ex inedia ciborumque abstinentia ora male oleant, non secus id reputant, ac suaveolens thymiama; quod ex contrario colligere licet: accidit aliquando, ut primis parentibus occurreret (angelus) ore adhuc prævaricationis cibum commanducante: et quamvis fructus grati odoris esset, attamen os inconditum quid et fetidum exhalabat, jamque corruptionis pignus ferebat. Lignum igitur in paradiso, lignique fructus decerptus et comesus acerbiores felle eructationes effecit, et tenebricosa vertigine me involvit, ut omnia mihi viderentur circumagi, et ego in medio paradiso consistens, occultari posse credebam, sonitumque foliorum, pedum strepitum esse rebar.

Cæterum, ex quo Christus seipsum humiliavit, Patrique obediens factus est usque ad mortem, mortem autem crucis[33], effecta est crux lignum obedientiæ, mentemque illuminat, et aromatis instar, grato halitu os complet, corque firmat, et nos participes facit fructus vitæ perpetuæ. Tollitur autem e medio fructus inobedientiæ fructu obedientiæ. Ibi elongatio est a Deo, et a ligno vitæ exsilium et exterminatio, et illud: « Reverteris in terram, ex qua sumptus es[34]. » At hic est familiaritas et conjunctio cum Deo, et illud: « Quando exaltatus fuero, omnes ad meipsum traham[35]. » Promissum vere exoptatissimum. Ibi ea quæ jucunda erant, antecesserunt, et tristia acerbaque subsecuta sunt; contrarium hic evenit, ex dolore, ex cruciatu voluntario, et ex felle gustatui molesto et ingrato. Qui hic se oblectant, et quasi commorantur, iis tandem requies, sincera et intaminata voluptas comparatur. Ibi descensus erat ex alto in hanc lacrymarum vallem; nec prius substitit natura deorsum ruens, quam illisa in solidam petram Christum, lignumque crucis, tanquam in immota quædam fulcimenta, conquievit et quasi repercussa est. Sed hæc vetera sunt.

Recentia et nostra videamus; ex his vero potissimum viam, quæ secundum disciplinam Christi est, quam prior ipse humana sub imagine calcavit, quæ valde ardua et acclivis est. Ducit enim ad crucem, pedesque standi perpetuitate affligit, suadetque, ut manus ad Deum tota die expandamus; os molestat, dum illud jejunio exsiccat. At harum omnium molestiarum crux scriptus liber est. Et qui non accipit hunc librum, et magistrum sequitur: magister autem Christus est: is ex discipulorum cœtu, tanquam perditus et desperatus expungitur. Quoniam igitur nobis ita comparatis flammea rhomphæa impedimentum nullum objectura est, ope et gratia crucis, ingrediamur jam oratione in vetus illud majorum nostrorum habitaculum, paradisum, floresque tempori opportunos decerpamus, et inde encomiorum corona plexa, crucem coronemus. Fuit, eum inter beatos res nostræ sitæ essent, paradisumque a Deo plantatum, locum indesinentis voluptatis plenissimum incoleremus; ubi vox confessionis, et eorum qui festos

[33] Phil pp. II, 8. [34] Gen. III, 19. [35] Joan. XII, 32.

Digitized by Google

dies agitabant, sonitus, vocesque e cœlo angelorum, hymnos et laudes decantantium. Inferne et ex terra alternatim velut respondentem sonum edebat homo, et consona modulando divina cantica referebat; et gloria in excelsis, et in terra pax exsultabat. Bonitas enim Dei diffusa fuerat in nobis. Nam cum nihil prius in medium contulisset, nec quidquam homo promeruisset, rex terrestrium constitutus est divinæ manus impositione. Tu enim, inquit, formasti me, et « posuisti super me manum tuam[46]. » Et quid moror dicere id, quod longe est admirabilius? Antequam crearer, et fingerer in ventre matris meæ, omnium genitricis terræ, eum quem animo concepérat, format, et me solum ex omnibus creaturis statuit, quasi notam et ansam cognoscendi in una Divinitate personarum Trinitatem; in quibus consistit, vel potius, quæ ipsamet sunt divina illa monarchia, et illa unica Deitatis potestas.

A οὐρανοῦ τῶν ἀγγέλων εὐφημούντων τὰ ὑμνολογικά. Κάτωθεν καὶ ἀπὸ γῆς ἄνθρωπος τὰ ἀντίφωνα ἐψαλλε· καὶ ἀντεμόλπαζε τὰ συνῳδά, καὶ δόξα ἐν ὑψίστοις καὶ ἐπὶ γῆς εἰρήνη ἐχόρευσεν. Ἡ γὰρ ἀγαθότης τοῦ Θεοῦ ὑπερεκκέχυτο ἐν ἡμῖν. Μηδὲν γὰρ προεισενεγκών, βασιλεὺς τῶν ἐπιγείων ὁ ἄνθρωπος κεχειροτόνηται ἐπιθέσει τῆς θείας χειρός. Σὺ γάρ, φησίν, « ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. » Τί μὴ λέγω τὸ θαυμαστότερον; Πρὸ τοῦ πλασθῆναί με ἐν κοιλίᾳ μητέρος μου, τῆς παμμήτορος γῆς, τὸν συσκεπτόμενον σχηματίζεται, καὶ μόνον ἐξ ἁπάντων κτισμάτων ἐμὲ ἀφορμὴν τίθεται γνωριστικὴν τῆς ἐν μιᾷ θεότητι τῶν προσώπων Τριάδος· ἐν οἷς καὶ ἡ μοναρχία τῆς Θεότητος.

Qui sola voluntate totam rerum universitatem condidit, is propter me tricubitalem, paulo post dissolvendum, pedestrem, omni naturali tegumento carentem, deliberat, et quasi consilium init, cuinam opus quod faciendum erat, simile esse debeat, in quos imperium habere, et quousque ejus potestas extendenda sit. Caput et Dominum eorum quæ supra caput volitant (hominem) constituit. Bipedi subjicit quadrupedia. Quæ in mari abdita latent, servire jubet ei qui pedester est. Non grandia hæc, etsi talia et tanta. Ad id, quod excellentius est, venio. Deo assisto ego, qui pondere ad centrum deprimor, et ad ima feror, et qui luteus sum, igneorum ministrorum convictor sum. Meum diversorium paradisus est; in paradiso autem bonorum omnium immensa copia, quorum omnium ego dominus. Et ea quidem quæ hucusque fuerunt, concinunt cantica ascensionum; at quæ sequuntur, descensum in terram, cujus vestes sunt retinacula perpetua. Data est mihi lucerna splendida, ut tantas opes custodirem. Diligenter ad custodiam attendere jubeor; ego vero, nescio quid passus, ad ipsam lucernam dormitavi. Oculum autem bonis meis adjicit nocturnus prædo Satan, cujusdam ex familiaribus persona assumpta. Accedit ut amicus, et deprehenditur improbus. Benevolentiam simulavit externa specie, et interius furem egit, mihique malorum ille sator et auctor lucernam exstinguit. Lucerna enim divina lex est, judicio Davidis, et ipsius veritatis. Comportataque et convasata tota illa a Deo concessorum bonorum multitudine abiit; elatos cachinnos tollens ob humanam simplicitatem et stultitiam.

B Ὁ τὸ πᾶν συστησάμενος μόνῳ θελήματι, δι' ἐμὲ τὸν τρίπηχυν, τὸν βραχυδιάστατον, τὸν πεζὸν, τὸν γυμνὸν τῆς ἐκ φύσεως περιβολῆς, προβούλιον καθίζει καὶ προμελέτημα· τίνος ἔσται καθ' ὁμοίωσιν τὸ πλασθησόμενον, καὶ τίνων κυριεύσει, καὶ μέχρι τίνος ἐξαπλώσει τὴν ἐξουσίαν. Τῶν ὑπὲρ κεφαλῆς πετομένων κεφαλὴν προΐστᾳ. Ὑποτάττει τῷ δίποδι τὰ τετράποδα. Τὰ ὑποβρύχια τῇ θαλάττῃ καταδουλοῖ τῷ πεζεύοντι· οὐ μεγάλα ταῦτα, καίπερ ὄντα τοιαῦτα. Ἔρχομαι δὲ πρὸς τὸ μεῖζον. Παραστάτης ἐγὼ τοῦ Ὑψίστου, ὁ κεντροβριθὴς καὶ κατώρροπος, καὶ τῶν πυρίνων λειτουργῶν συνθυασώτης ὁ πήλινος. Ἐμὸν ἐνδιαίτημα ὁ παράδεισος· ἀγαθῶν ἀμετρία περὶ τὸν παράδεισον, καὶ δεσπότης τούτων ἐγώ. Τὰ μὲν δὴ μέχρι τούτου τὰς ᾠδὰς ψαλάττουσι τῶν ἀναβαθμῶν, C τὰ δ' ἐντεῦθεν κατάβασις εἰς γῆν, ἧς οἱ μοχλοὶ κάτοχοι αἰώνιοι. Δίδοταί μοι λύχνος λαμπρὸς ὑπὲρ τῆς τῶν καλῶν χρημάτων φυλακῆς, νήφειν περὶ τὴν φυλακὴν παραγγέλλομαι· ἐγὼ δὲ, οὐκ οἶδ' ὅ τι καὶ παθὼν, πρὸς τὸν λύχνον αὐτὸν ὑπενύσταξα. Ἐπαφθαλμίζει δέ μου τοῖς ἀγαθοῖς ὁ νυκτιλόχος Σατὰν τῶν τινος οἰκειακῶν ὑποδὺς προσωπεῖον. Πρόσεισιν ὡς συνήθης καὶ εὑρίσκεται κακοήθης. Εὐνοήσατο ἔξωθεν, καὶ ἐκλεπτίσατο ἔνδοθεν, καὶ σβέννυσί μοι τὸν λύχνον ὁ κακομήχανος. Λύχνος γὰρ ὁ θεῖος νόμος, ὡς τῷ Δαυὶδ καὶ τῇ ἀληθείᾳ δοκεῖ, καὶ συμφορήσας πᾶσαν θεοβράβευτον ἀγαθοδωρίαν, καὶ συλλαβὼν ἀπιὼν ᾤχετο, πλατὺν μυκτῆρα τῆς ἀνθρωπίνης καταχεάμενος εὐηθείας.

Exinde nudus sum ego, qui fui paterfamilias, spoliatusque maneo luciſluis illis vestimentis, neque amplius oculos ad illam, quæ in cœlis est, gloriam et sanctitatem attollo: quin magis jam ad proprium pudorem demittuntur, et ejus curam gerunt. Hoc autem ejusmodi est. Passiones et immoderatæ animi perturbationes serie quadam ingruunt. Primas tenet clades illa ventris, orta ex delectatione fructus. Huic conjungitur affectio illa et commotio, quæ sub ventre. Ferunt enim

D Ἐντεῦθεν γυμνὸς ὁ οἰκοδεσπότης ἐγὼ, καὶ τῶν φωτομόρφων ἔρημος ἐνδυμάτων, καὶ οὐκ ἔτι τὰ ὄμματα πρὸς τὴν ἐν οὐρανοῖς ἐπαίρων δόξαν, καὶ τὴν ἐκεῖσε ἁγιότητα· κατανεύουσι δὲ μᾶλλον πρὸς τὴν ἰδίαν αἰσχύνην, καὶ πρόνοιαν δῆθεν ταύτης ποιοῦνται. Τοῦτο δέ ἐστι τοιοῦτον· Ἀπάρχονται τὰ πάθη καθ' εἱρμὸν προχωρεῖν. Προηγεῖται τὸ ἥττημα τῆς γαστρὸς, τὸ ἐξ ἡδονῆς τοῦ καρποῦ, καὶ ἐφέπεται τούτῳ ἡ ἐν τοῖς ὑπογαστρίοις ἐμπάθεια. Εἶναι γάρ φασι, παραίτια γαργαλισμοῦ τὰ φύλλα τῆς συκῆς

[46] Psal. cxxxviii, 5.

Digitized by Google

κατ' ἰδιότητα φυσικήν. Εἰς τοῦτο πάθος καὶ ὁ ἐν βασιλεῦσι προφήτης ἐλθών· « Αἱ ψόαι μου ἐνεπλήσθησαν ἐμπαιγμάτων, » περιπαθέστερον ἐτραγῴδει, ἐννοούμενος μὲν ταῦτα περὶ ἑαυτοῦ· οἰκειούμενος δὲ πλέον τὰ τοῦ προπάτορος. Ἡ γὰρ οὐ ἐμπέπαικται ὁ ἄνθρωπος τῷ Σατὰν ἀποδοσκήσαντι μὲν τοῦτον ἐλπίσι θεώσεως ὑψηλαῖς, τὸν τοσοῦτον δὲ τῶν ἐλπίδων ὄγκον εἰς τὰ τῆς συκῆς περιστήσαντι φύλλα ;

Πεπείραται καὶ Σαμψὼν ἐμπαιγμάτων τῇ μαινάδι Δαλιλᾷ τοὺς ὀφθαλμοὺς ἀποτυφλωθείς, καὶ τοῖς ἀλλοφύλοις εἰς ἄθυρμα προτεθείς. Οὕτω γὰρ ἡ ἐμπαθὴς ἡδονὴ τοὺς ἑαυτῆς οἶδε τιμᾷν ἐραστάς. Οὕτως ἐγὼ παρασυνεβλήθην « τοῖς κτήνεσι τοῖς ἀνοήτοις, » ὁ ἐν τιμῇ ὢν τῇ ἀγγελικῇ, ἐπὶ γαστέρα τὴν ῥοπὴν τῆς προαιρέσεως ὑποβιβάσας καὶ ὑποκύψας περὶ τὰ ὑπογάστρια. Ἐνεμαρτύρει μοι τὴν εὐήθειαν τὰ δέρματα τῶν προβάτων. Πλὴν ἀλλὰ τῆς χλόης τοῦ παραδείσου καταπολαύειν οὐ συγχωροῦμαι, κρίναντος τοῦ Θεοῦ ἐπ' ἐμοί· οὔτε γὰρ τῆς φωνῆς, ὡς πρόβατον, ἤκουσα τοῦ ποιμάναντός με « ἐν τόπῳ χλόης, » καὶ οὐδέν με ὑστερήσαντος. Ἀπὸ παντὸς γὰρ ξύλου τοῦ ἐν τῷ παραδείσῳ ἀνῆκέ με κατεσθίειν· καὶ τὰ κτήνη δὲ τῇ ἀνοησίᾳ νενίκηκα μεταξὺ τοῦ βλάπτοντος καὶ τοῦ ὠφελοῦντος διακρίνας οὐδέν. Τὰ μὲν οὖν ἐκ τοῦ χλωροῦ ξύλου ἐμφυέντα μοι δυστυχήματα, τοιαῦτα, καὶ ἀπόκληρος τῆς πατρίδος ἐγὼ, καὶ τῆς ἀνεκφράστου μακαριότητος ὑπερόριος.

Ὅρα δὲ οἵαις ταῖς καρποδοσίαις καὶ τὸ ξηρὸν βρίθει μοι ξύλον, ζωὴν ἀντὶ τοῦ θανάτου προβάλλεται. Φωτεινὴν στολὴν ἀντὶ τῆς γυμνότητος ἐξυφαίνει μοι. Ἀντὶ κατάρας εὐλογίαν πηγάζει μοι. Ἀντὶ τῆς πρὸς τὴν γῆν ἐπιστροφῆς τὴν μετ' ἀγγέλων ἐν οὐρανοῖς συναναστροφήν, καὶ τὴν ἐκ τοῦ χλωροῦ ξύλου πυρκαϊὰν τῶν ἡδυπαθειῶν τὸ ξυρὸν κατασβέννυσι. Φαίη ἄν τις εὐκαίρως, ὡς τὸν ἐκ τοῦ ζῶντος ὄφεως ἰὸν ἡ νεκρὰ τοῦ ὄφεως σὰρξ ἀναιρεῖ, συγκραθεῖσα τῇ ἀντιδότῳ καὶ θεραπεύσασα τὸν ὀφιόδηκτον. Ἡ γὰρ οὐ τῷ ζῶντι τεθανάτωμαι ὄφει ἐν τῇ Ἐδέμ ; Ἀνεζωώθην δὲ τῷ ἐπὶ τοῦ σταυρικροῦ ξύλου νενεκρωμένῳ Χριστῷ, οὗ προτύπωσις ὁ ἄψυχος ὄφις ἦν, ὁ χαλκοῦς, ὁ ἀμέθεκτος τοῦ θανατηφόρου ἰοῦ· καὶ τὸ τοῦ ὄφεως ἐνεδύετο μόρφωμα. Καὶ γὰρ καὶ ὁ ἐμὸς Δεσπότης καὶ Θεὸς ὁ Χριστὸς ἄνθρωπος κατ' ἀλήθειαν γέγονε, καὶ τὴν τῶν ἀνθρώπων φύσιν τὴν ἐκ τοῦ πονηροῦ βεβλαμμένην ὄφεως ὑπενδυσάμενος ὑπέρτερος ἦν τοῦ τῆς ἁμαρτίας ἰοῦ, καὶ ὅλος ἐλεύθερος. Ἡμῖν δὲ τοῖς δακνομένοις ὑπὸ τῶν τὴν πτέρναν ἡμῶν ἐπιτηρούντων ὄφεων, ἐπ' αὐτὸν δὲ τὰς ἐλπίδας τῆς σωτηρίας ἐπαναρτωσι τὸν ἐπὶ σταυροῦ κρεμασθέντα μετέωρον, ζωῆς καὶ ἀθανασίας πηγαστικός.

Ἀναμφιβόλως γὰρ τοῦ σταυροῦ μυστήριον ἡ κατὰ τὴν ἔρημον τοῦ χαλκοῦ ὄφεως ὕψωσις προυπέγραφε, καὶ τὸ παρὰ τοῦ Μωσέως εἰρημένον· « Ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν, » εἰς τὸν ὄφιν τοῦτον ἀπονεύειν δοκεῖ, οὐχ ὅτι δυνάμεώς τινος μετεῖχε τὸ τοῦ ὄφεως ἴνδαλμα, ἀλλ'

folia ficus naturali quadam proprietate sua excitare titillationem. In hanc affectionem cum rex propheta incidisset, lamentabiliter exclamavit : « Lumbi mei impleti sunt illusionibus[37] ; » hæc quidem de seipso intelligens : plus vero ea quæ a primo parente manant, sibi vindicans. An non enim illusus est homo a diabolo, qui cum eum ingenti spe divinitatis adipiscendæ pavisset, tandem totam illam spei turgidam molem ad folia ficus transtulit?

Tentatus est et Samson illusionibus, a mænade illa furiosa Dalila, oculis excæcatus, et alienigenis in jocum et ludibrium expositus[38]. Sic enim voluptatis affectio suos amatores honorare solet. Ita ego comparatus sum « jumentis insipientibus[39], » qui in angelica gloria degebam ; deflexa et inclinata ad ventrem, et ad ea quæ sub ventre sunt, consilii et voluntatis propensione et proposito. Testes insipientiæ sunt pelles ovium. Cæterum pascuis paradisi frui vetor; divino adversus me prolato decreto. Neque enim ut ovis audivi vocem ejus qui me pavit « in loco pascuæ[40], » nihilque mihi deesse passus est. Nam de omni ligno paradisi fecit mihi comedendi potestatem, ipsaque bruta animantia stultitia longe superavi, eo quod noxium ab utili non discreverim. Hujusmodi ergo sunt illa nocumenta, quæ mihi ex viridi ligno exstiterunt. Interea extorris ego sum a patria, et ab ineffabili illa beatitudine exsul.

Intuere autem, quanta fructuum copia mihi itidem onustum sit aridum lignum, quod loco mortis vitam submittit, splendidamque stolam loco nuditatis mihi contexit. Loco maledictionis benedictionem mihi stillat. Loco reversionis in terram donat mihi conversationem cum angelis in cœlis, illudque ex viridi ligno incendium voluptatum, hoc aridum exstinguit. Non abs re dixerit quis, depulsum esse venenum vivi serpentis a mortua serpentis carne, quæ commista est cum antidoto, eumque, qui a serpentibus ictus fuerat, curavit. An non enim a vivo serpente in paradiso interemptus sum? Revixi autem beneficio Christi in ligno crucis mortui (cujus typus et figura inanimatus ille serpens erat ; æneus, inquam, ille serpens, lethiferi veneni expers), qui serpentis quoque formam subiit. Nam Dominus meus et Deus Christus verus homo factus est, hominumque naturam, quæ a malo serpente læsa fuerat, superior exstitit omni peccati veneno, totusque liber. Nobis vere, qui icti fuimus a serpentibus, calcaneum nostrum observantibus, quique ab ipso in sublimi crucis ligno pendente spem salutis suspensam habemus, fons fit et origo vitæ et immortalitatis.

Absque ulla enim dubitatione adumbravit mysterium crucis illa ærei serpentis in deserto exaltatio. Ut et illud Moysis dictum : « Videbitis vitam vestram pendentem ante oculos vestros[41] ; » hunc serpentem innuere videtur, non quod virtute aliqua serpentis imago prædita fuerit, sed quia typum

[37] Psal. xxxvii, 8. [38] Judic. xii, 1 seqq. [39] Psal. xlviii, 13. [40] Psal. xxii, 2. [41] Deut. xxviii, 66.

Digitized by Google

Christi gerebat. Quo pacto neque rubus inconsumptus et illæsus sua vi in igne perduravit, facultatemque urendi evasit, sed propter Mariam, quæ in mortali et ad corruptionem prona natura ignem Deitatis portavit. Hinc discere potest imaginum hostis et oppugnator, magnarum rerum figuras honore afficiendas esse, ex quacunque demum materia constent. Si enim serpentina hæc imago tam invisa et odiosa, ob evectionem in ligno, quæ Dei et hominis in cruce suspensionem præsignificabat, adeo vitam largiebatur iis quos mors amara perdiderat, quantum proderit, et quam non subministrabit vivificationem opposita Dei et hominis figura? Nisi enim illa ex ære facta effigies typus Christi fuisset, omnino fabrefacta non fuisset. « Non facies enim similitudinem, inquit, neque eorum quæ sunt in cœlo, neque eorum quæ sunt in terra [42]; » neque etiam causa salutis exstitisset illis qui ad ipsam oculos converterant.

Jure enim dubitaverit quispiam, quanam ratione, fuso vitulo et in bovis speciem ingeniose exsculpto, fusores et artifices in prædam ferro et gladiis cesserint; hic autem, serpente fabrefacto, a sæva morte liberat Deus omnes illos qui ad imaginem hanc oculos amice reflectunt. Ita vero consideremus instituamus. Omnis mors, ut uno verbo dicam, quæ non ex naturali infirmitate oritur, et quæ compositum placide non dissolvit, sed cum violentia quadam et ante diem advenit, res est votis omnibus deprecanda et aversanda mortalibus. Atqui illa, quæ in ligno crucis obtingit, omnium est probrosissima, et maxime fugienda. Cum ergo ab æterno definitum esset ut crucis illud mysterium in communem totius mundi utilitatem redundans, peragceretur, novusque Adam nasceretur, ut veterem Adamum renovaret, et per lignum, eum qui ligno peremptus fuerat, vivificaret, hominibus autem, quo minus mysterium hoc reciperent et approbarent, communis illa persuasio obstaret, quam de violenta nece affectis, omnes æqualiter conceperant; cumque lex etiam Mosaica diserte maledictum affirmaret omnem illum qui in ligno penderet, opus fuit, mirabili Dei judicio, ligno et specie serpentina omnibus invisa et detestanda, eique vis vivificandi conceditur; Judæorum capitibus superimponitur, et ut spes vitæ in ea collocetur, occulta dispensatione contingit, creditumque vitæ potestatem habere id, quod vitæ expers et inanimatum erat.

Copiam mihi facite, auditores, ut et alia ratione eamdem sententiam explanem. Crucis enim virtus in mea mente exuberat, et crux tanquam virga virtutis lapideum meum animum percutiens, potabilem aquam vobis elicit. Sæpe invenio Judæos in Scriptura nominari *serpentes* et *genimina viperarum* [43], ob furorem et insaniam quam in bene de se meritos expromebant. Cum igitur definitum

ὅτι τύπον ἔφερε τοῦ Χριστοῦ. Οὐ τρόπον οὐδὲ ἡ βάτος ἐκ τοῦ πυρὸς δι' ἑαυτὴν ἁμάραντος διατετήρηται, καὶ τῆς καυστικῆς δυνάμεως ὑπεξήρηται, ἀλλὰ διὰ τὴν Μαριὰμ τὴν ἐν θνητῇ φύσει καὶ εὐμαράντῳ τὸ τῆς θεότητος βαστάσασα πῦρ. Ἐντεῦθεν μανθάνειν ἔξεστι τὸν εἰκονομάχον, τοὺς τῶν μεγάλων πραγμάτων τύπους σεβάσματος ἀξιοῦν, κἂν ἐν οἱᾳδήτινι ὕλῃ εὑρίσκοιντο. Εἰ γὰρ τὸ ὄφειον βρέτας τοῦτο, τὸ εἰδεχθὲς, διὰ τὸν ἐπὶ ξύλου μετεωρισμὸν, τὴν ἐπὶ τοῦ σταυροῦ ἀναδρομὴν προτυποῦντα τοῦ θεανθρώπου, οὕτως ἦν ζωοπάροχον τοῖς πικρῷ θανάτῳ ἀπολλυμένοις, πόσον ἂν ὀνήσειε καὶ τίνος οὐ μεταδώσει ζωώσεως ἡ ἀντίτυπος τοῦ ἐσταυρωμένου θεανθρώπου μορφή; Εἰ μὴ γὰρ ἦν τύπος Χριστοῦ τὸ χαλκούργημα, οὐδ' ἂν ὅλως διεχαλκεύθη· « Οὐ ποιήσεις γὰρ, φησὶν, ὁμοίωμα, οὔτε τῶν ἐν οὐρανῷ, οὔτε τῶν ἐν τῇ γῇ, » οὔτ' ἄν ποτε σωτηρίας παραίτιον γέγονε τοῖς ἀναβάλλουσιν εἰς αὐτὸ τὰς τῶν ὀμμάτων βολάς.

Ἀπορήσειε γὰρ ἄν τις εἰκότως, πῶς μόσχου χρυσοχοηθέντος, καὶ εἰς βούκρανον εὐφυῶς διαγεγλυμμένου, παρανάλωμα σιδηρέου ξίφους οἱ χρυσοχόοι γεγόνασι. Ἐνταῦθα δὲ ὄφεως χαλκουργηθέντος, πικροῦ θανάτου θεὸς ἀπαλλάττει τοὺς εὐμενῶς ἐπεντρανίζοντας τῷ ἐνδάλματι. Σκοπῶμεν δὲ οὕτως· Ἅπας μὲν οὖν ἀπαξαπλῶς θάνατος μὴ κατὰ φυσικὴν ἀσθένειαν ἐπερχόμενος καὶ διαλύων ἡμέρως τὸ σύνθετον, ἀλλ' ἐκ βίας τινὸς καὶ προκαίριος, ἀπευκταῖον χρῆμα καὶ ἀποτρόπαιον τοῖς ἀνθρώποις. Ὅγε μὴν διὰ τῆς ἐν τῷ σταυρικῷ ξύλῳ ἀναιρέσεως ἐπιὼν, τῶν πάντων ἐπονειδιστικώτατός τε καὶ ἀπευκταιότατος. Ἐπεὶ τοίνυν ὥρισται πρὸ αἰώνων τὸ κατὰ τὸν σταυρὸν κοσμωφελὲς τελεσθῆναι μυστήριον, καὶ νέον Ἀδὰμ γενέσθαι, ἵνα τὸν παλαιὸν ἀνανεώσῃ Ἀδὰμ, καὶ διὰ ξύλου τὸν τῷ ξύλῳ νεκρωμένον ἀναζωώσῃ, προσίστατο δὲ τοῖς ἀνθρώποις εἰς παραδοχὴν τοῦ ὑπὲρ κατάληψιν μυστηρίου ἥτε κοινὴ τῶν ἀνθρώπων ὑπόληψις, ἣν περὶ τοὺς δυσθανατοῦντας ἐπίσης ἅπαντες ἔχουσι, ἀλλὰ δὴ καὶ ὁ Μωσαϊκὸς ἐκεῖνος νόμος, ὁ πᾶς ἐπὶ ξύλου κρεμώμενος λέγων ἐπικατάρατος· ἐδέησε, θαυμαστοῖς Θεοῦ κρίμασι, ξύλου καὶ μορφώματος ὀφιώδους τοῦ πᾶσιν ἀπηχθισμένου καὶ ἐπικαταράτου, καὶ δίδοται τούτῳ δύναμις ζωοποιὸς, καὶ τῆς κεφαλῆς ὑπερτίθεται τῶν Ἰουδαίων, καὶ σαλεύειν ἐπ' αὐτῷ τὰς ἐλπίδας τῆς ζωῆς διοικονομεῖται καὶ ζωῆς ἐξουσίαν ἔχειν, τὸ νεκρὸν καὶ ἄψυχον ἐπιστεύετο.

Δότε μοι, ὦ παρόντες, καὶ δι' ἑτέρας μεθόδου τὸ νόημα τοῦτο μεταχειρίσασθαι. Ἡ γὰρ δύναμις τοῦ σταυροῦ ἐπιδαψιλεύεταί μου τῇ διανοίᾳ· καὶ ὡς ῥάβδος δυνάμεως ὁ σταυρὸς τὴν ἐμὴν λιθώδη πατάσσων διάνοιαν, πότιμον ὕδωρ ὑμῖν ἐκκαλεῖται. Εὑρίσκω πολλαχοῦ τῆς Γραφῆς *ὄφεις καὶ γεννήματα ἐχιδνῶν* τοὺς Ἰουδαίους ὠνομασμένους, τὴν κατὰ τῶν εὐεργετούντων αὐτοὺς μανίαν ἐκ τούτων τοῦ

[42] Deut. v, 8. [43] Matth. xxiii, 33, etc.; Luc. iii, 7.

Digitized by Google

λόγου ὑποδηλοῦντος. Ἐπεὶ τοίνυν προώριστο ἐκ τῆς ὀφιώδους τῶν Ἰουδαίων φυλῆς τὸν Κύριον ἀνατεταλκέναι ἀμέθεκτον παντελῶς τοῦ τῆς ἁμαρτίας ἰοῦ, καὶ διὰ θανάτου, θανάτου δὲ σταυροῦ, ζωῆς αἰωνίου γενέσθαι παρεκτικὸν τοῖς πιστεύουσιν εἰς αὐτὸν, ἡ ἐπὶ τοῦ ξύλου ἀνάρτησις ὄφεως τοῦ χαλκοῦ τελεσιουργηθῆναι προώρισται. Καὶ ἀνέρπουσι τῆς ἐρήμου ἰοβόλων ὄφεων στρατεύματα, καὶ τηροῦσι τὰς πτέρνας τῶν ὁδευόντων, καὶ δάκνοντες ἀναιροῦσι· καὶ εἰσὶν οὗτοι τὴν τρίβον τῶν ποδῶν ἐκταράσσοντες· ὅ φησιν Ἡσαΐας, τῶν τὴν κατὰ Χριστὸν πορευομένων ὁδὸν, καὶ κωλύοντες προσέρχεσθαι τούτῳ καὶ σώζεσθαι σωτηρίαν αἰώνιον, οἱ λέγοντες· « Μὴ καὶ ὑμεῖς πεπλάνησθε; Ἀλλ' ὁ ὄχλος οὗτος ἐπικατάρατος, ὁ μὴ γινώσκων τὸν νόμον. » Οὕτως « ἠκόνησαν γλῶσσαν αὐτῶν » ὡσεὶ ὄφεως, « καὶ ἰὸς ἀσπίδων τοῖς χείλεσιν » ἐπεπλήμμυρε. Τό τε τῶν Ἰουδαίων.

esset ut ex serpentina Judæorum tribu, Dominus nasceretur, carens omni penitus peccati veneno, atque per mortem, mortem autem crucis, credentibus vitam æternam largiretur, simul etiam decretum est ut serpentis ærei in cruce suspensio perficeretur. Repunt autem per solitudinem integri venenatorum serpentium exercitus, et observant transeuntium calcaneum, mordendoque interficiunt, nec alii sunt, quam qui, ut Isaias ait, « semitam pedum conturbant, » eorum videlicet, qui viam Christo consentaneam ambulant, prohibentque ad eum salutis consequendæ gratia adire; qui dicunt: « Num et vos seducti estis? Sed turba hæc, quæ non novit legem, maledicti sunt [43]. » Sic « acuerunt linguam suam » instar serpentis, et « venenum aspidum sub labiis eorum [44] » quasi inundabat. Hoc de Judæis.

Τὸ δ' ἑφεξῆς, ὡς ἀπὸ τῶν κωλυομένων εἰς τὸ προοδεύειν ἐπάγεται· « Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με· οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. » Τοῖς τούτοις ἀνθρωπομόρφοις ὄφεσιν, ὁ Χριστὸς διαλεγόμενος, ἔλεγεν· « Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι. » Νεκρὸς γὰρ κρεμάμενος ἐπὶ τοῦ σταυροῦ τοὺς τῷ κέντρῳ τοῦ θανάτου πεπληγμένους ἐζώωσε. Καὶ δογματικῶς μὲν οὕτως ὁ λόγος διεσκευάσθη· εἰρήσεται δὲ καὶ ἠθικῶς. Τοῦ Χριστοῦ τοῦ ἀρχηγοῦ τῆς ζωῆς ἡμῶν καὶ πλουσίου ἐν ἐλέει τὴν ἑκούσιον καταδεξαμένου πτωχείαν, καὶ τὸ τῆς οἰκονομίας ἅπαν ἐντετελεκότος μυστήριον, πολλαὶ μυριάδες τῶν κακοτρόπων Ἰουδαίων τὸν ἰὸν ἐμέσασαι τῆς κακίας, καὶ τὰς ὑπολοξώσεις τῆς δολιότητος καταλείψασαι, καὶ τὴν εὐθεῖαν ἀνθελόμεναι, εἰς ὕψος πολιτείας ἀνέδραμον ἐναρέτου, καὶ πρὸς τὸν ὅμοιον ζῆλον πλεῖστον μέρος ἀνήγαγον τῶν ὁμογενῶν. Ἔχω τὸν Παῦλον τῷ λόγῳ συνηγοροῦντά μου. Ὅφις γὰρ ἦν ποτε καὶ αὐτὸς, καὶ γέννημα ἐχιδνῶν « ἐμπνέων ἀπειλῆς καὶ φόνου » τοῖς μαθηταῖς τοῦ Χριστοῦ, καὶ « τοὺς ὄντας τῆς ὁδοῦ, » ὅ φησι ἡ βίβλος τῶν Πράξεων, ἀνῄρει καὶ ἐθανάτου, καὶ τοὺς ὀφθαλμοὺς εἶχεν ἀνεῳγμένους νυκτὸς καὶ ἡμέρας ἀνεπινυστάκτως τοῖς Χριστολάτραις ἐπιβουλεύων· ἀλλ' ἐκτυφλοῦται τοὺς ὀφθαλμοὺς, ὡς μὴ βλέποντας λεῖα, τὴν δὲ διεστραμμένην καὶ περίλοξον στέργοντας, εἶτα καὶ τὸν ἰὸν τῆς βλασφημίας ἀποκενοῖ καὶ τὴν λεβηρίδα ἐκδύεται καὶ ἐνδύεται διὰ τοῦ βαπτίσματος τὸν Χριστόν. Αἱ γὰρ τῶν ὀφθαλμῶν ἐκείνου ἀποπεσοῦσαι λεπίδες, ὀφιώδεις εἶναι φολίδες εἰκάζοντο· καὶ δέχεται ὅλον ἐν ἑαυτῷ τὸν Χριστὸν, καὶ εἰς τὴν κατ' αὐτὸν πολιτείαν ἐπαίρεται, καὶ συνεπαίρεται τῷ σταυρῷ, νεκροῖ τὰ μέλη, οὐκ ἔτι ζῇ, παραζηλοῖ τὴν ἑαυτοῦ σάρκα, ἤγουν, τοὺς συγγενεῖς, καὶ νενεκρωμένοις τῇ ἁμαρτίᾳ ζωὴν ἐμπνεῖ τὴν ἀθάνατον. Τῷγε μὴν τοῖς τούτου μέλεσι ἐνδακόντι ὄφει θανατηρῷ παθεῖν ἐπῆλθεν, ὅπερ δράσειν ἠπείλησε μανικῶς παβαγευσαμένῳ

Quod sequitur, quasi ex persona eorum qui progredi prohibiti sunt, adjungitur: « Custodi me, Domine, de manu peccatoris, ab hominibus iniquis eripe me, qui cogitarunt supplantare gressus meos [45]. » Ad hos sub specie humana abditos serpentes Christus concionans aiebat: « Cum exaltaveritis Filium hominis, tunc cognoscetis quoniam ego sum [46]. » Mortuus enim in cruce, vitam largitus est illis qui stimulo mortis percussi fuerant. Ita quidem locus hic intelligendus est spectando doctrinam et dogmata, sed et moraliter explicari debet. Cum Christus auctor vitæ nostræ, et dives in misericordia, voluntariam paupertatem suscepisset, totiusque œconomiæ, et incarnationis mysterium peregisset; multæ myriades malignorum Judæorum, veneno malitiæ ejecto, relictisque fraudis et doli anfractibus, et obliquitatibus, et recta via electa, transtulerunt sese ad vitam virtuti consentaneam, et ad imitationem sui plurimos suæ gentis et stirpis excitarunt. Testem firmandis meis verbis habeo Paulum. Serpens erat et ipse aliquando, et genimen viperarum, et « spirans minas, et cædem » in discipulos Christi, et in omnes illos « qui hujus viæ erant, » ut liber Actuum testatur [47]. Tollebat e medio et occidebat, oculosque dies et noctes, sine ulla interruptione, intendens, Christi cultoribus insidias struebat; sed oculis privatur, quippe qui recta non intuerentur, sed solum distorta, obliqua et flexuosa diligerent. Deinde venenum quoque blasphemiæ evacuat, veteresque exuvias exuit, et induit per baptisma Christum. Nam squamæ, quæ de oculis ejus deciderunt, serpentinæ squamæ esse videbantur, et totum Christum intra se recipit, traduciturque ad eam, quæ præscripto Christi instituitur, vitam, et simul cum cruce levatur, membra mortificat, nec amplius vivit, carnemque suam ad sui æmulationem et imitationem provocat, hoc est, cognatos, et mortuis ob peccatum vitam immortalem inspi-

[43] Joan. VII, 47, 49. [44] Psal. CXXXIX, 4. [45] ibid. 5. [46] Joan. VIII, 28. [47] Act. IX, 1 seqq.

Digitized by Google

rat. Serpenti autem mortifero, qui hujus membris dentes infixerat, evenit ut id mali pateretur, quod alios sese illaturum minabatur, cum insigniter sese carne Apostoli cum Christo crucifixa repleviſset.

A τῆς τῷ Χριστῷ συνεσταυρωμένης τοῦ Ἀποστόλου σαρκός.

Ita crux mortificat et vivificat, non solum in arida, quod docet allatum exemplum, sed et in humente natura. Revoca in memoriam ea quæ in mari Rubro contigerunt. Depingitur ibi tantummodo adversus aquam figura crucis, servatque populum Dei: inimicos autem Dei perdit. Hæc quidem et olim, in tabula quasi mentis sanctorum prophetarum, digito sancti Spiritus, prædelineata et descripta fuerunt; illæque figuræ, symbolis et notis tanquam in columna incisis, consignatæ, sacratisque libris insculptæ sunt in doctrinam posteris longe fructuosissimam; ut cum res ipsa adveniret, scripta in dubium non vocarentur; sed ex comparatione symbola illa lectoribus manifesta fierent, ut qui gloria omnes exsuperat, gloria magis claresceret, qui tantopere sese demisit, et propter nos, qui certo consilio nos dehonestaveramus, id quod probrum esse videbatur, suscepit.

Οὕτως ὁ σταυρὸς καὶ θανατοῖ καὶ ζωογονεῖ, οὐ μόνον ἐπὶ τῆς ξηρᾶς, ὡς παρέστησε τὸ παράδειγμα, ἀλλ' ἔτι καὶ ἐπὶ τῆς ὑγρᾶς. Τὰ κατὰ τὴν Ἐρυθρὰν μοι ἐννόησον. Γράφεται μὲν μόνον καθ' ὑγρῶν ὁ τύπος ἐκεῖ τοῦ σταυροῦ καὶ σώζει μὲν τὸν λαὸν τοῦ Θεοῦ· ὄλλυσι δὲ τοὺς ἐχθροὺς τοῦ Θεοῦ. Ταῦτα μὲν καὶ πάλαι τοῖς ἱεροῖς προφήταις τῇ τοῦ νοὸς αὐτῶν πίνακι δακτύλῳ τοῦ Πνεύματος προεντετύπωται, καὶ τὰ προτυπώματα συμβόλοις, παρεδίδοντο στηλογραφικοῖς, καὶ βίβλοις ἱερογραφικαῖς ἐνεκεχάρακτο, μάθημα τοῖς ὀψιγόνοις ἐπωφελέστατον, ἵν' ὅταν ἔλθῃ τὰ πράγματα, τὰ γράμματα μὴ ἀμφιβάλοιτο, ἀλλ' ἐκ τῆς ἀντιβολῆς τὰ σύμβολα ἐπιγινώσκοιτο τοῖς ἀναγινώσκουσι, καὶ ὁ ὑπερένδοξος ἐνδοξάζοιτο ὁ τοσοῦτον συγκαταβὰς καὶ τὴν δοκοῦσαν ἀτιμίαν καταδεξάμενος διὰ τοὺς ἐκ προαιρέσεως ἀτιμασθέντας ἡμᾶς.

B

Nihilominus priusquam hoc contingeret, prophetæ et omnes justi lacrymas profuderunt, ut miserarentur primos parentes. Et quidni? Cham, qui patris sui verenda irriserat, semper inter exsecrandos posuerunt. David vero tragice decantat carmen plenum affectibus, primisque generis humani auctoribus quasi funebria accinit: « Tanquam oves in inferno positi sunt, mors depascet eos [47]. » Et: « Sicut crassitudo rupti sunt, et dissipata sunt ossa eorum secus infernum [48]. » Davidi consonans Isaias grandiore adhuc voce plangit et lamentatur, et ea quæ parentum sunt, ut filius, sibi vindicans: « Omnes ut oves erravimus; aberravit homo a via sua [49], » miserandum in modum, contra naturam ab Adamo profectam, intonat. Et alius alia; omnesque Davide, ut ad supplicandum venerabiliore, tum propter regiam dignitatem, tum, quod ei promissum esset, fore ut Dei pater fieret, tanquam duce proposito, preces pariter fundebant: « Qui regis Israel, intende, qui deducis velut ovem Joseph. Qui sedes super Cherubim, manifestare [50]. »

Ὅμως δὲ πρότερον ἢ τοῦτο γενέσθαι, προφῆται καὶ δίκαιοι πάντες συμπαθεῖς τῶν προπατόρων κατέσταζον δάκρυον. Καὶ τί γὰρ οὐχί; Τὸν τὴν αἰσχύνην τὴν πατρικὴν καταγελάσαντα Χὰμ, ἐν τοῖς καταράτοις τάττοντες πάντοτε. Ὁ δὲ Δαβὶδ ἐπετραγῴδει περιπαθὲς τοῖς γενάρχαις κειμένοις, τὰ νεκρώσιμα ἐπιψάλλων· « Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς· » καὶ, « Ὡς πάχος ἐρράγησαντες καὶ διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. » Ἐκεῖ τὰ συνῳδὰ τῷ Δαυὶδ ὁ Ἡσαΐας ἐκόπτετο ἐπικωκύων μεγαλοφωνότερον, καὶ τὰ τῶν πατέρων οἰκειούμενος ὡς υἱός· « Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, » ἐλεεινῶς τῆς Ἀδαμιαίας κατῴμωξε φύσεως. Καὶ ἕτερος ἕτερα· καὶ πάντες ὁμοῦ τὸν Δαυὶδ ἱκέτην αἰδεσιμώτερον διὰ τὴν βασιλείαν, ἀλλὰ καὶ διὰ τὴν προεπηγελμένην θεοπατορίαν προστησάμενοι τὰ δεητήρια συνέψαλλον· « Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφανήθητι. »

C

Et hic perspicua est similitudo cum Joseph. Ægyptus ibi tenebrosa; hic orcus tenebricosissimus. Ibi Pharao tyrannus erga Israelem; hic Satan indefessus hostis totius humanæ societatis. Affligebantur ibi luto, et opere lateritio Israelitæ, et collectione palearum. Hic pro rubra argilla carnis, suscipiunt carnis et mundi amatores, omnem laborem et operam. Sed est etiam gravis exactor, et inexorabilis impulsor, urgens ad irrequieta tenebrarum opera, apparensque ut prodigiosus quispiam myrmecoleo, partim quidem rapit et ululat, et quærit quem devoret, partim virtutum commeatum absumens, ad solam palearum collectionem nos impellit. Palea vero peccatum est, fomes et

Κἀνταῦθα γὰρ πρόδηλος ἡ πρὸς τὸν Ἰωσὴφ ὁμοίωσις. Αἴγυπτος ἐκεῖ σκοτεινὴ, ᾅδης ὧδε ὁ ζοφερώτατος. Φαραὼ ἐκεῖ τύραννος τοῦ Ἰσραὴλ· Σατὰν ὧδε ἀκοίμητος δυσμενὴς τοῦ ἀνθρωπείου ὅλου πληρώματος. Προσεταλαιπώρουν ἐκεῖ τῷ πηλῷ καὶ τῇ πλινθείᾳ οἱ ἐξ Ἰσραὴλ καὶ ταῖς συναγωγαῖς τῆς ἀχυρμᾶς, ἐνταῦθα ὑπὲρ τῆς ἐρυθρᾶς πηλοῦ τῆς σαρκὸς πικρὸς τοῖς φιλοσάρκοις ἰδρὼς καὶ φιλοκόσμοις τὸ πᾶν φιλοπόνημα καὶ ὁ βαρὺς ἐπιστάτης ἀπαραίτητος ἐργεπείκτης, ἐπὶ τὰ ἔργα συνελαύνων τοῦ σκότους, ἀκοίμητα καὶ τερατώδης τις μυρμηκολέων φαινόμενος, τοῦτο μὲν ἁρπάζων καὶ ὠρυόμενος, καὶ ζητῶν τίνα καταπίῃ, τοῦτο δὲ τῶν ἀρετῶν τὸν σῖτον ἀποσῳλῶν, ἐπὶ μόνην ἡμᾶς τὴν τοῦ ἀχύρου

D

[47] Psal. XLVIII, 15. [48] Psal. CXL, 7, 8. [49] Isa. LIII, 6. [50] Psal. LXXIX, 2, 3.

Digitized by Google

κατεπείγει συμφόρησιν. Ἄχυρον δὲ ἡ ἁμαρτία, ὑπ- A
έκκαυμα οὖσα τοῦ ἀσβέστου πυρός· διὰ ταῦτα ἰδὼν
εἶδε τὴν κάκωσιν τῆς ἡμῶν φύσεως, καὶ τὴν ἀρ-
χαίαν βουλὴν εἰς πέρας ἀγαγεῖν ὑπὸ τῆς συμφύτου
φιλανθρωπίας ἠπείγετο, προέγνωκεν Ἡσαΐας, συγ-
χαίρει τῷ καταλόγῳ τῶν προφητῶν, καὶ ἅπερ ἠκη-
κόει ἀφώνως, εὐφωνότερον ἐκ προσώπου τοῦ σώζον-
τος ἀνακράζει· « Νῦν ἀναστήσομαι, νῦν δοξασθήσο-
μαι, νῦν ὑψωθήσομαι. » Ῥήματα ταῦτα τὴν ἐπὶ τοῦ
σταυροῦ ἀνύψωσιν προμηνύοντα, καὶ τὴν δόξαν ἣν
ἐπὶ τοῦ σταυροῦ δεδόξασται ὁ Μονογενὴς παρὰ τοῦ
Πατρός. Ἀνίσταται τοῦ θρόνου, καταφοιτᾷ πρὸς τὴν
γῆν ἀνεκφοίτητα. Ἐκ πανάγνων αἱμάτων παρθε-
νικῶν τὸ πεπλανημένον ἐνδύεται πρόβατον, ἵν' ἐπι-
πηδήσῃ καὶ κατ' αὐτοῦ συνήθως ὁ λύκος δελεασθεὶς
τῇ ὁμοιότητι, καὶ συντριβῇ τοὺς ὀδόντας ὁ ἁμαρτωλὸς, B
προσραγεὶς τῷ ἀναμαρτήτῳ.

Ἠπείγετο πρὸς τὴν ἀναζήτησιν τοῦ ἀπολωλότος
προβάτου. Εἰ γὰρ καὶ πρόβατον γέγονε διὰ τὸ πρό-
βατον, ἀλλὰ καὶ ποιμήν ἐστιν ὡς Θεὸς, ἐπὶ τὴν
χλόην συνάγων τοῦ παραδείσου, ὅθεν καὶ προνενό-
μευται. Ξύλῳ τὴν ἐκ τοῦ ξύλου ἧτταν πρόειτι διεκδι-
κῆσαι, καὶ πασσάλῳ πάσσαλον ἀποκρούσασθαι, εἴτουν
ὀργάνῳ κατάρας τὴν ἀπὸ ξύλου φυεῖσαν ἐξαφανίσαι
κατάραν. Πλὴν ἡ νέα καὶ καθ' ἡμᾶς Ἰαὴλ, τὴν Ἐκ-
κλησίαν οὕτως ὠνόμασα, τὸν νέον τοῦτον πάσσαλον
προσκυνεῖ τὸν πικρὸν πολέμιον τῆς ἡμετέρας φύ-
σεως ἀνελόντα. Καὶ ὄργανον ταύτῃ τῆς σωτηρίας
γενόμενον, ἀλλὰ τὴν μὲν κακὴν ταύτην κεφαλὴν
οὕτως συνέτριψε, τὴν Ἀδαμιαίαν δὲ ἄνωθεν αὐτῆς C
προσπαταλευθεὶς, ἀνεζώωσε. καὶ τὴν ἀπὸ τῆς ἐπι-
βλαβοῦς τοῦ ξύλου βρώσεως ἐπιγενομένην κεφαλαλ-
γίαν ἐξιάσατο, ἀνιμησάμενος εἰς ἑαυτὸν τὴν κατάραν
ἐκείνου καὶ ἀφανίσας· εὐλογίας γὰρ, ἀλλ' οὐ κατάρας
ὄργανον ὁ σταυρός· ἐπειδὴ « Εὐλογεῖται ξύλον, κατὰ
τὸν εἰπόντα, δι' οὗ γίνεται σωτηρία. » Τοσούτων
ἡμῖν ἀγαθῶν ὁ σταυρὸς παραίτιος γέγονε, καὶ σω-
τήριον διαβατήριον ἐπὶ τὴν πρώτην μακαριότητα. →

Ὡς ἀγαπητὸν τὸ θυσιαστήριόν σου, Κύριε τῶν
δυνάμεων, ἐν ᾧ τέθυσαι μὲν ὡς ἀμνὸς, αἴρεις δὲ
τὴν ἁμαρτίαν τοῦ κόσμου· ὡς ἄνθρωπος ἐκεῖνο,
τοῦτο ὡς Θεός. Εἰ γὰρ καὶ ἐσταυρώθης ἐξ ἀσθενείας
διὰ τὸ τῆς σαρκὸς παθητὸν, ἀλλὰ Κύριος εἶ τῶν
ἀΰλων δυνάμεων κατὰ φύσιν, καὶ ἡ θεϊκή σου δύ-
ναμις ἐν τῇ ἀνθρωπίνῃ τετελείωται ἀσθενείᾳ, τὸν D
κοινὸν τοῦ γένους ἡμῶν ἐκνευρίσατα τύραννον. Οὐκ
ἀναβιβασθήσεται ἐπὶ τὸ θυσιαστήριον Κυρίου πᾶσα
ζύμη καὶ πᾶν μέλι, τὸ σκιῶδες ἔφη που Γράμμα,
καὶ ὑποκάθηται τούτῳ λόγος φωτοειδής. Εἰ γὰρ καὶ
περὶ τῆς πολύκρεω Λευϊτικῆς λατρείας δοκεῖ τοῦτο
εἰρῆσθαι, ἀλλ' ἐπὶ τὸ ὕψος αὐτὸ ἀνέλκω τὸ σταυρι-
κὸν, καὶ τὴν διάνοιαν τοῦ ῥητοῦ τούτῳ προσανάπτω.
Καὶ τί τοῦ λόγου τὸ βούλημα; Χριστῷ συσταυροῦ-
σθαι καὶ συννεκροῦσθαι τῷ κόσμῳ τὸ γράμμα διατάττεται τὸ ἱερόν. Καὶ πείθεσθε τῷ ἡγουμένῳ τῆς
τραχείας ὁδοῦ, καὶ ὑπείκετε; καὶ τιμήσατε τὸ αὐ-
τοῦ θυσιαστήριον ἐν τῷ μηδέν τι προσφέρεσθαι γλυ-
καῖνον τὴν αἴσθησιν, καὶ ἐκλύον πρὸς ἡδυπάθειαν·

nutrimentum ignis inexstincti. Propterea videns A
vidit afflictionem nostræ naturæ, vetusque illud
consilium ad exitum perducere, insita humanitate
et benevolentia festinabat. Prænovit hoc Isaias,
gratulatur prophetarum cœtui, et quæ absque vocis
ministerio audierat, sonora voce ex persona Salva-
toris annuntiat : « Nunc exsurgam ; nunc glorifi-
cabor; nunc exaltabor. » Verba hæc exaltationem in
cruce præsignificant, et gloriam quam in cruce ade-
ptus est Unigenitus a Patre. Exsurgit ex throno,
descendit ad terram, immensa via. Ex sacratissimo
Virginis sanguine errabundam induit oviculam, ut
impetum in ipsum, etiam consueto more, lupus
faciat, inescatus et illectus similitudine, dentesque
peccator confringat, dum in eum qui omni peccato
carebat, impingit. B

Urgebatur ad inquisitionem ovis perditæ. Licet
enim ovis factus esset propter ovem, attamen pastor
itidem est, ut Deus ; ad pascua paradisi ducens,
unde quoque captiva abducta fuerat. Ligno, cladem
ex ligno, ulcisci progreditur, clavumque clavo
pellere, seu instrumento maledictionis maledictio-
nem ex ligno natam abolere. Cæterum nova, et
quæ apud nos est, Jahel [81] (Ecclesiam intelligo), no-
vum hunc adorat clavum, qui infestum naturæ
nostræ hostem peremit. Ei lemque in salutis or-
ganum evasit, improbumque illud caput contri-
vit quidem, at caput Adami super ipsum affixus
vivificavit, doloremque illum capitis, qui ex esu C
noxii ligni exstiterat, sanavit, attracta in seipsum
maledictione et abolita; benedictionis enim non
maledictionis instrumentum crux est: quandoquidem,
ut ille ait : « Benedictum est lignum, per
quod salus obtingit [82]. » Tantorum igitur bonorum
crux nobis causa est, certusque et salutaris gradus
ad primævam beatitudinem.

Quam dilectum et amabile altare tuum, Domine
virtutum, in quo quidem immolatus es ut agnus,
tollis vero peccatum mundi ; illud ut homo, hoc ut
Deus. Licet enim crucifixus sis ex infirmitate ob
carnem patibilem, attamen Dominus es virtutum
natura sua molis corporeæ et materiæ expertium,
et divina tua virtus in humana est consummata D
imbecillitate, communi generis nostri enervato et
prostrato tyranno. Non ascendet super altare Do-
mini fermentum et mel, umbratilis alicubi Scriptura
monet [82*] ; subestque huic plena splendoris ratio. Li-
cet enim videatur dictum de cultu illo Levitico variis
carnium generibus occupato, attamen ad crucis
altitudinem referendum, sensusque illius ei accom-
modandus est. Quæ est igitur dicti hujus notio?
Hortatur sacra hæc sententia, ut cum Christo
crucifigamur, et ex mundo ejiciamur. Obtemperate
præeunti per asperam viam, et cedite, et hono-
rate ejus altare, nihilque afferte, quod sensum ex-
hilaret, et oblectet, et ad voluptatem resolvat.

[81] Judic. IV, 22. [82] Sap. XIV, 7. [82*] Lev. II, 11.

Digitized by Google

Crucei enim dolor competit, non voluptas. Fellis hic gustandi tempus, non mellis. Altare Christi respuit fermentum Ægyptiacum, turgido fastu et impietate plenissimum. Crux humilitatis symbolum est, et religionis erga Deum erectio. At post resurrectionem erit esus mellis, et sinceræ voluptatis fruitio, præmium vitæ hic severius et asperius institutæ et transactæ.

Ita fit ut crux argumentum sit fortitudinis et gloriationis, non confusionis. Gloriationum enim revera præstantissima est, ut ponat quis animam suam pro servis suis, et ob multorum salutem periculum mortis contemnat. Eamdem cogitationem mihi subjicit et victima, quæ pro nobis in cruce immolata est; *masculi* nomine in sacris Litteris appellata [83]. Venit enim, ut effeminatam illam, animisque noxiam voluptatem profligaret, idque, quod dissolutum erat, denuo intenderet et repararet, quod, initio ducto a voluptatis amante muliere, ad masculam stirpem refluxu quodam venit, virilemque fortitudinem effeminavit, et exiguum illud fermentum (quandoquidem una duntaxat costa fuit), totam illam masculam massam fermentavit, et sua qualitate infecit, suæque mollitiei participem reddidit. Nihil vero arrogantiæ fastu, qui ex hoc fermento nascitur, inferebatur super altare Christi, quod est crux, passiones enim et immoderatas cupiditates perimit vitæ largitrix crux. Quid enim commune est mortificationi et deliciis? Quid commune felli et voluptati? Quid commune vino cor carnis lætificanti, acetique potui sensum molestanti? Illa antiquioris fuerunt Adami, et contra nos; hæc recentioris, et pro nobis. Illa ejus qui corruit, hæc ejus qui nos servavit.

Quin et philosophari hæc me docent, et æquo animo injurias et calumnias tolerare. Non enim malum est simpliciter, injuria affici, sed juste et merito. Neque grave mori, sed mori propter peccatum. Quemadmodum et alterum, pro veritate videlicet et injuste periculum subire, suprema beatitudine dignum habetur. Hoc adora lignum nunc, o homo; quasi clavo directus et gubernatus, non formidabis maris, quod in hac vita, turbulentos fluctus. Non patitur etenim te nimis onustum esse, sed facilem et expeditam nuditatem et tenuitatem carnis te docet, licet violenter contra spirent malitiæ venti, fluctusque decumanos tentationum excitent contra mentis tuæ naviculam. Magistrum habebis immotæ constantiæ et firmitudinis, ut carne tua semper confixus sis cum crucifixo per timorem, sicque instructus aerium stagnum pertransibis, et eos qui in hoc oberrant, efferatos piratas et prædones, et mansuefieri nescios dæmonas, evades sine submersionis periculo, expertemque procellarum stationem regni cœlestis subibis, lucrum inexplicabile ex hac mercatura recepturus.

Sed, o crux, regalis lectule nostri Salomonis, mi-

[83] Exod. XII, 5.

A ἡ ὀδύνη γὰρ τοῦ σταυροῦ οὐχ ἡ ἡδονή. Τῆς χολῆς ἡ γεῦσις οὐχὶ τοῦ μέλιτος. Οὐ δέχεται τὴν Αἰγυπτιακὴν ζύμην τὸ θυσιαστήριον τοῦ Χριστοῦ· τύφου γάρ ἐστι καὶ δυσθείας μεστή. Σταυρὸς δὲ σύμβολον ταπεινώσεως, καὶ τῆς εἰς Θεὸν εὐσεβείας ἀνάστημα· μετὰ τὴν ἀνάστασιν ἡ βρῶσις τοῦ μέλιτος καὶ τῆς ἀκηράτου ἀπόλαυσις ἡδονῆς ἔπαθλον τῆς ἐνταῦθα ἐμπίκρου διαγωγῆς καὶ τῆς τραχυτέρας βιώσεως.

Οὕτως ἀνδρείας ὑπόθεσίς ἐστιν ὁ σταυρὸς καὶ καυχήσεως, ἀλλ' οὐκ αἰσχύνης. Καυχημάτων γὰρ ὄντως τὸ κράτιστον ἵνα θῇ τις τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν δούλων αὐτοῦ, καὶ καταφρονήσῃ θανάτου διὰ πολλῶν σωτηρίαν. Εἰς τοῦτό με διανοίας ἀνάγει καὶ τὸ ἐν αὐτῷ τυθὲν ὑπὲρ ἡμῶν σφάγιον, ἄρσεν Γραφικῶς προσαγορευόμενον. Ἐλήλυθε γὰρ ἐπανορθώσασθαι τὸ θηλυπρεπὲς τῆς ψυχοβλαβοῦς ἡδονῆς, καὶ τονῶσαι τὸ ἔκλυτον· ὅπερ ἀπὸ φιληδόνου ἀρξάμενον γυναικὸς, πρὸς τὴν ἀνδρικὴν γενεὰν κατὰ ἀνάῤῥοιαν ἔδραμε, καὶ ἐξεγυναίκωσε τὸ ἀῤῥενωπὸν καὶ ἡ μικρὰ ζύμη, ἐπεὶ καὶ μία πλευρὰ τὸ ἔφεξῆς ἅπαν ἀνδρῷον φύραμα πρὸς ἑαυτὴν συνεζύμωσε, καὶ συνεποίωσε, καὶ τῆς σφετέρας μετέδωκε μαλακότητος, καὶ τοῦ τῆς ἀλαζονείας οἰδήματος ἐκ ταύτης τῆς ζύμης οὐκ ἀναβιβασθήσεται οὐδὲν ἐπὶ τὸ θυσιαστήριον τοῦ Χριστοῦ τὸν σταυρόν· παθοκτόνος γάρ ἐστιν ὁ ζωοποιός. Τί γὰρ κοινὸν νεκρότητι καὶ τρυφῇ; Τί κοινὸν χολῇ καὶ ἡδονῇ; Τί κοινὸν οἴνῳ καρδίαν εὐφραίνοντι σαρκικὴν, καὶ παροινίᾳ ὄξους παραλυποῦσῃ τὴν αἴσθησιν; Ἐκεῖνα τοῦ παλαιοτέρου B Ἀδὰμ, καὶ καθ' ἡμῶν, ταῦτα τοῦ νέου, καὶ ὑπὲρ ἡμῶν. Ἐκεῖνα τοῦ πτώσαντος, ταῦτα τοῦ σώσαντος.

Διδάσκομαι δὲ καὶ φιλοσοφεῖν ἐν τοῖς τοιούτοις καὶ φέρειν ἐμπαροινούμενος. Οὐ γὰρ κακὸν ἁπλῶς καθυβρίζεσθαι, ἀλλὰ τὸ, δικαίως· οὐδὲ δεινὸν τὸ ἀποθνήσκειν, ἀλλὰ τὸ, δι' ἁμαρτίαν. Ὡς τόγε ἕτερον, τὸ ὑπὲρ τῆς ἀληθείας δηλαδὴ, καὶ ἀδίκως προκινδυνεύειν τοῦ ὑπερτάτου μακαρισμοῦ ἄξιον. Τούτῳ προσκύνει τῷ ξύλῳ πηδαλιουχούμενος· ᾧ καὶ κυβερνώμενος, ὦ ἄνθρωπε, οὐ φοβηθήσῃ τὰ τῆς τοῦ βίου θαλάσσης πολύφλοισβα κύματα. Καὶ γὰρ οὐδὲ συγχωρεῖ κατάφορτον εἶναί σε, ἀλλὰ κοῦφον καὶ εὐστα- D λῆ γύμνωσιν ἐκδιδάσκων, καὶ λεπτουργίαν σαρκὸς, κἂν βίαιον ἀντιπνεύσωσι τῆς πονηρίας τὰ πνεύματα, καὶ σφοδρὰν τὴν τρικυμίαν τῶν πειρασμῶν ἐπεγείρωσι κατὰ τοῦ σκάφους σου τῆς ψυχῆς. Διδάσκαλον ἕξεις τῆς ἀπαραθραύστου στερρότητος, ὥστε καθηλωμένον εἶναι τὰς σαρκὰς τῷ πρὸς τὸν ἐσταυρωμένον φόβῳ διηνεκῶς, καὶ παρεσκευασμένος οὕτω τὸν ἐναέριον ἑλλιμενισμὸν διελεύσῃ, καὶ τοὺς ἐπινηχομένους τούτῳ θηριώδεις πειρατὰς καὶ ἀνημέρους τοὺς δαίμονας παρέλθῃς ἀκαταπόντιστος, καὶ πρὸς τὸν ἀκύμαντον τῆς βασιλείας ἐγκαθορμισθήσῃ λιμένα, κέρδος ἄφατον ἐκ τῆς ἐμπορίας ληψόμενος.

Ἀλλ', ὦ σταυρὲ, βασιλικὴ κλίνη τοῦ καθ' ἡμᾶς

Digitized by Google

Σολομῶν τοῦ πράου καὶ εἰρηνικοῦ, οὗ τῆς εἰρήνης οὐκ ἔστιν ὅριον. Ἡ γὰρ παλαιὰ Ἱερουσαλὴμ, ἧς ὁ φιλόκοσμος ἐβασίλευσε Σολομῶν, ἐστενωμένη ὡροθέτητό τε καὶ περιεγέγραπτο. Ὦ κλίνη, ἐν ᾗ ἀνεπαύσατο τῆς δόξης ὁ Βασιλεὺς ἐπικλίνας αὐτοβούλως τὴν κεφαλὴν, καὶ ἀφύπνωσεν ἑκὼν ὕπνον φυσίζωον, ὃς καὶ κοιμώμενος τὸν ἀκοίμητον πολέμιον ἐξεπόρθησε λαφυραγωγήσας τὰ τοῦ ᾅδου βασίλεια· εἰ γὰρ καὶ καθεύδων ἦν νόμῳ τῷ νεκρικῷ, ἀλλ' ἡ καρδία τούτου ἐνηγρύπνει προνοητικοῖς ὄμμασι καὶ παντεποπτικοῖς. Διασκοποῦσα τὸ πᾶν καὶ κατέχουσα μετὰ Πατρὸς καὶ Πνεύματος. Καρδίαν γὰρ ἐγὼ τὴν ζωοποιὸν τῆς αὐτοῦ θεότητος ὑπείληφα δύναμιν, ἐν ᾗ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν, τὸ σῶμα σύμπαν τῆς Ἐκκλησίας. Σὲ τὴν βασιλικὴν κλίνην καὶ πάντιμον κυκλοῦσιν ἑξήκοντα δυνατοὶ ἀπὸ δυνατῶν Ἰσραὴλ, καὶ τὸν τῶν ἑξήκοντα λόγον εἰς τὸ τῶν ἑξαπτερύγων ἀνάγω ὑπεροχικώτατον σύστημα. Ἑκάστῳ γὰρ τούτων τὸ σχῆμα τῆς κατὰ πᾶν τελειώσεως ὑπερλάμπει, ὃ διὰ τῆς δεκάδος πλαγίως πῶς ὑποδηλοῦται. Τέλειος γὰρ οὗτος ὁ ἀριθμὸς, καὶ παραστάται δεικνύμενοι τῆς δόξης τῆς σῆς, ὡς σκήπτρου βασιλικοῦ, συσχηματίζονταί σοι καινοπρεπέστερον ἐνδοξαζόμενοι τῇ μιμήσει σου τὰς ἄνω μὲν καὶ τὰς κάτω συστέλλοντες πτέρυγας, τὰς δὲ μέσας ἑκατέρωθεν ἐξαπλοῦντες, καὶ σταυροτύπως πετόμενοι ἀλαλάζουσιν ἀσιγήτως τὰ νικητήρια.

Οὕτω τὴν σὴν δόξαν ὁ θεόπτης Ἡσαΐας θεαματισθεὶς καὶ ἕτερον διδάσκει μυστήριον, « Καὶ ἀπεστάλη πρός με, φησὶν, ἓν τῶν Σεραφὶμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβῇ διέλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. » Ἀμφότερα καὶ τὰ τῆς κλίνης, καὶ τὰ τοῦ θυσιαστηρίου συνέδραμεν ἐπὶ σὲ, τὸ μὲν, διὰ τὸν ἑκούσιον ὕπνον, ὃν ἐκοιμήθη καὶ ὕπνωσεν ὁ ἀθάνατος, τὸ δὲ διὰ τὴν ὑπὲρ ἡμῶν σφαγὴν, καὶ τὴν ὑπερένδοξον ἱερουργίαν, ἣν αὐτὸς, ἑαυτῷ ὑπὲρ τοῦ κόσμου ἱερούργησε. Καίσε πιστεύομεν εἶναι τὸ κατηνθρακωμένον θυσιαστήριον τοῦ Ἀμνοῦ τοῦ Θεοῦ. Τί γάρ ἐστιν ἄνθραξ, ἢ ξύλον ἐμπεπυρωμένον ὁλοτελῶς· τὸ γὰρ πῦρ τῆς ἀπαθοῦς Θεότητος τοῦ ἐν αὐτῷ τυθέντος Ἀμνοῦ ἀκατακαύστως κατηνθράκωσε, καὶ ἡμεῖς οἱ τὰ χείλη σήμερόν σοι προσψαύοντες ἔμπυρον κάθαρσιν τῶν ἁμαρτημάτων λαμβάνομεν, τὴν λαβίδα τῶν χειλέων συμπτύσσοντες φιλήματικῶς, καὶ τῷ ἔνδον τῆς πηλίνης ταύτης οἰκίας ἀνθρώπῳ μεταδιδόαμεν τοῦ φωτὸς καὶ τοῦ ἁγιασμοῦ.

Ἀλλ', ὦ σταυρὲ (προσαγορεύω γάρ σε καὶ πάλιν, τῆς πρὸς σὲ φιλίας ἀποσπάσαι τὰ χείλη ἀπαναινόμενος), ὦ σταυρὲ, θυσιαστήριον πάντιμον, τὸ δῶρον τοῦτο τῶν ὕμνων μου πρόσδεξαι, καὶ ὅλον εὐλόγησον· τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, ἐπεὶ καὶ μεῖζον τὸ θυσιαστήριον ἐνταῦθα τοῦ δώρου,

tis et pacifici, cujus pax meta caret et termino. Antiqua enim Jerusalem, in qua mundi amator Salomon regnavit, angusta, certisque limitibus et finibus circumscripta erat. O lectule, in quo Rex gloriæ requievit, reclinans sponte sua caput, libensque dormivit vitalem somnum, qui et somno sopitus pervigilem illum hostem evertit, spoliatis inferorum regnis. Nam licet mortuorum more dormiret, attamen cor illius vigilabat, totam rerum universitatem oculis providis et omnia perlustrantibus obiens, et cum Patre et Spiritu sancto continens. Cor enim ego vivificam Divinitatis ipsius vim esse arbitror, in qua vivimus, et movemur, et sumus nos universum Ecclesiæ corpus. Te lectulum regium, et omni honore dignum, stipant sexaginta potentes ex fortibus Israel, ubi sexagenorum mentio in memoriam mihi revocat excellentissimum illum Seraphinorum sex alas habentium conventum. Nam in quolibet horum elucescit ea quæ in universo inest perfectio, quæ etiam tacite, et velut flexu quodam per denarium insinuatur; perfectus enim est iste numerus. Et illi, qui tuæ gloriæ, ut sceptro regali assistunt, tibi conformantur, et nova quadam ratione imitatione tui glorificantur, contractis quidem alis superioribus et inferioribus, expansis autem utrinque mediis, et in formam crucis volantes sine intermissione victoriæ laudes et præmia decantant.

In hunc modum tuam gloriam Dei contemplator Isaias vidit, qui et aliud docet mysterium, cum ait: « Et missus est ad me unus ex Seraphinis, et in manu sua carbonem habebat, quem forcipe ex altari acceperat; et tetigit os meum, et dixit: Ecce tetigit hoc labia tua, et auferet iniquitatem tuam, et peccata tua emundabit [84]. » Ambæ et lectuli et altaris rationes in te convenerunt, illa quidem propter somnum voluntarium, quo soporatus est immortalis: hæc vero propter victimam pro nobis oblatam, et propter eximium illud sacrificium, quod ipse sibi pro mundi salute immolavit, teque credimus esse altare illud Agni divini, in carbones conversum. Quid enim est carbo, nisi lignum undique accensum et ignitum? Ignis enim impassibilis Divinitatis, Agni in cruce immolati, altare illud in carbonem sine exustione vertit, nosque qui hodie tibi labia nostra admovemus, ignitam emundationem peccatorum accipimus, complicataque et compressa post osculum quasi forcipe labiorum, ei etiam homini, qui intra luteam hanc domum habitat, de lumine et sanctificatione nonnihil impertimur.

Sed, o crux, alloquor enim te, et rursus labia a tuo in te amore abstrahere renuo; o crux, altare venerandum, munus hoc laudum mearum suscipe, totumque benedic. Minus enim a meliore benedicitur, quandoquidem et hic majus est altare ipso munere, quemadmodum id quod sanctificat, eo

[84] Isa. VI, 6, 7.

Digitized by Google

quod sanctificatur. Nunc quidem tanquam altare redde mihi placationem et propitiationem ; ut vero lectulus regius, reclina mihi orationem jam fatigatam et dormiturientem. De cætero autem pugna et dimica pro anima mea contra invisibiles hostes dæmones, ad gloriam Christi, rerum omnium effectoris et dominatoris, qui et per senos fines et terminos tuos omnipotentiam suam mirabiliter demonstravit, quod scilicet Dominus sit rerum supernarum et cœlestium, rerum, quæ infra cœlum sunt et terrestrium ; quin et infernarum (ob hoc enim existimo certa dispensatione accidisse, ut basi crucis cranium seu calvaria subjiceretur) rerum quæ sunt ad dexteram, et quæ ad sinistram, justorum et peccatorum. Horum enim omnium judex est : tam eorum qui prioribus, quam eorum qui posterioribus sæculis vixerunt; quod sempiternæ Deitatis nota est. Nam idem et prius erat, et recens exstitit, ut ante illum non est alius Deus, et post ipsum nullus erit. Ipsi gloria, et honor, et adoratio cum Patre ejus principio carente, cumque sancto, et benigno, et vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A ὡς τὸ ἁγιάζον τοῦ ἁγιαζομένου. Νῦν οὖν ὡς μὲν θυσιαστήριον ἀντιβράβευέ μοι τὴν ἐξιλέωσιν · ὡς δὲ κλίνη βασιλικὴ ἀνάπαυσόν μου τὸν λόγον κεκμηκότα ἤδη καὶ καθυπνιάσαντα. Ἐπὶ δὲ τὸ ἑξῆς προμάχει καὶ προάσπιζε τῆς ψυχῆς μου κατὰ τῶν ἀοράτων φιλοπολέμων δαιμόνων εἰς δόξαν Χριστοῦ τοῦ παντουργοῦ τε καὶ παντοκράτορος, ὃς καὶ διὰ τῶν ἐν σοὶ ἐξαδικῶν διαστάσεων τὸ παντοκρατορικὸν ὑπέφηνε παραδόξως, ὅτι κυριεύει τῶν ἄνω καὶ οὐρανίων, τῶν κάτω καὶ ἐπιγείων, οὐ μὴν ἀλλὰ καὶ ὑποχθονίων (παρὰ τοῦτο γάρ, οἶμαι, τῇ βάσει τῇ τοῦ σταυροῦ τὸ κρανίον ὑποκεῖσθαι ᾠκονομήθη), τῶν δεξιῶν, τῶν ἀριστερῶν, τῶν δικαίων, καὶ τῶν ἁμαρτωλῶν. Κριτὴς γὰρ τούτων ἁπάντων, τῶν ἔμπροσθεν, τῶν ὄπισθεν · τοῦτο τῆς ἀϊδίου θεότητος γνώρισμα. Ὁ αὐτὸς γὰρ B καὶ προῆν, καὶ πρόσφατος γέγονε, καὶ ἔμπροσθεν αὐτοῦ Θεὸς οὐ γέγονεν ἕτερος, καὶ μετ' αὐτὸν οὐκ ἔσται μετόπισθεν. Αὐτῷ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

II.

Germani sanctissimi ac œcumenici patriarchæ, Oratio in divini corporis Domini ac Salvatoris nostri Jesu Christi sepulturam, dicta in die Magni Sabbati (1). *Benedic, Domine.*

B'.

Γερμανοῦ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, Λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ῥηθεὶς ἐν τῇ ἡμέρᾳ τοῦ μεγάλου Σαββάτου. Δέσποτα, εὐλόγησον.

(Combefisius, *Auct. nov.* t. I, col. 1769.)

Hodierna equidem die Sabbatum agimus, ac inter Sabbata omnia longe potissimum. Licet nihilominus sermoni, ut silentii grabatum [55.67] tollat in humeros, utque jam a longa per remissionem supinatione, in Dei incipiat agitari laudem, qui a gravi legis fluctuatione hominem absolvit, ac spiritale nobis Sabbatum initiat, cum ita ait: « Venite post me, omnes qui laboratis [68], » præ vitiosa impensioris in corpus amoris affectione ; « et onerati estis, » inanibus stultisque hujus sæculi curis : « et ego reficiam vos, » alacres subvehens animos, spe vitæ laborum nesciæ, alasque desiderio addens, futuri, ac perpetuo duraturi sabbatismi, amore. Verum non placet ea res Judæis. Nec enim Dei hostes, paternam murmurationis facilitatem emendaverint. Nam quid sermoni, exque ratione compositæ orationi, cum iis commune, qui jumentis irrationalibus comparati sunt [69]; quinimo eorum quoque irrationabilitatem vicerunt? siquidem, « Cognovit bos possessorem suum, ac asinus præsepe domini sui. Israel autem nedum Dominum ac nutritium non cognovit [70], » ut etiam supplau-

C

D

Σάββατον μέν ἐστι σήμερον, καὶ Σαββάτων πάντων τὸ κράτιστον. Ἔξεστι δὲ ὅμως τῷ λόγῳ, τὸν τῆς σιωπῆς κατανωτίσασθαι κράββατον, καὶ καθυπτιάσαντι ἐφ' ἱκανὸν ἐξ ἀνέσεως, πρὸς δοξολογίαν ἄρτι κινεῖσθαι Θεοῦ, τοῦ τῆς βαρείας ζάλης τοῦ νόμου τὸν ἄνθρωπον ἀπολύσαντος, ὃς καὶ πνευματικὸν σαββατισμὸν ἡμῖν ἐγκαινίζει, « Δεῦτε, λέγων, πρός με, πάντες οἱ κοπιῶντες, » ὑπὲρ προσπαθείας φιλοσωμάτου, « καὶ πεφορτισμένοι, » ταῖς ματαιομοχθίαις τοῦ βίου, « κἀγὼ ἀναπαύσω ὑμᾶς, » ταῖς ἐλπίσιν ἀνελαφρίσας τῆς ἀπόνου ζωῆς, καὶ τοῦ μέλλοντος καὶ ἀλήκτου σαββατισμοῦ ἀναπτερώσας τῷ ἔρωτι. Οἱ δ' ἀπαρέσκονται Ἰουδαῖοι. Πάτριον γὰρ τὸ γογγυστικὸν τοῖς θεομάχοις οὐκ ἐπιστραφήσεται. Τί γὰρ κοινὸν τῷ λόγῳ, καὶ τοῖς παραβεβλημένοις τοῖς κτήνεσι τοῖς ἀλόγοις · μᾶλλον δὲ καὶ ὑπερελάσασι τὴν ἀλογίαν αὐτῶν; Εἴπερ, « Βοῦς μὲν τὸν κτησάμενον ἔγνωκεν, ὄνος δὲ φάτνην τοῦ κυρίου αὐτοῦ · Ἰσραὴλ δὲ » πρὸς τὸ μὴ γνῶναι τὸν δεσπόζοντά τε καὶ τρέφοντα, καὶ πτερνισμὸν ἐμεγάλυνεν ἐπ' αὐτόν · καὶ κορεσθεὶς τῆς γάλα καὶ μέλι ῥεούσης γῆς, πωλικῶς κατὰ τοῦ τρέφοντος ἀπελάκτισεν. Οἱ πρὸς μὲν τὴν τῆς κοιλίας

[55.67] Joan. v, 10. [68] Matth. II, 28. [69] Psal. LXIII, 13. [70] Isa. I, 3.

(1) Quam fusa prolixaque oratio hæc, tam certe culta, ac rhetoricis perornata flosculis, seu magis theologicis illustrata gemmis, ut disertissimi æque ac eruditissimi Christiani oratoris monumentum, merito videri possit. Cui eam Germano ascribam, cum plures, iique scriptis clari, Constantinopoli sederint, haud difficile statuerim, post Gretseri ex Augustano censuram, ubi hæc oratio eidem Germano tribuitur, atque illæ de cruce exscriptæ a Gretsero, ac singularis in Dominicam orthodoxiæ, quibus se auctor alium prodit a seniore Germano ac confessore. Videri potest præfatus Grets. Non desunt qui etiam tribuant juniori Germano Mystagogiam quæ circumfertur, ac edita est sancti Germani nomine : in quibus Leo Allatius, vir omnino censendis PP. Græcorum monumentis accuratus. Ipse titulus hic præfixus, alium indicat a sancto Germano, ac patriarcham, qui sola patriarchalis dignitatis prærogativa, appellatus sit *sanctissimus* : quanquam ut alia deessent, esset argumentum hoc debilius.

Digitized by Google

ὑπηρετίαν, ἐνεργοὺς προτείνουσι χεῖρας ἐν τῷ Σαβ- A
βάτῳ, καὶ φορτία βρωμάτων ἐπιστοιβάζουσι τῇ γα-
στρί· λύουσι δὲ καὶ βοῦν καὶ ὄνον ἀπὸ τῆς φάτνης,
καὶ ἀπαγαγόντες, ποτίζουσιν· ἐὰν δὲ σώζοιτο ἄνθρω-
πος δι' ὃν τὸ Σάββατον, καὶ « οὗ τῶν ποδῶν κάτωθεν
βόας ἁπάσας καὶ κτήνη πάντα ὁ Θεὸς καθυπέταξε, »
καταβοῶνται τοῦ εὐεργέτου, καὶ δυσφημοῦσι τὸν σώ-
σαντα· μὴ ἐξεῖναι νομοθετοῦντες ἐν Σαββάτῳ ἀγα-
θοποιεῖν. Καὶ νῦν μὲν ἐπεγκαλοῦσι τῷ παραλύτῳ
νόμου παράλυσιν, τοῦ τῆς κλίνης χάριν βασταγμοῦ
τῇ ἀχθοφορίᾳ κατασπῶντος τὸν τράχηλον, ὡς εἰκός.
Ἄλλοτε βαρέως φέρουσι τὴν τῆς συγκυπτούσης
ἀνόρθωσιν, καὶ εἰς ἐπωμάδιον ἄχθος οἱονεὶ ἐπικά-
θηνται, καὶ ταῖς ἀνίσαις ταύταις τῶν ἰαθέντων ρο-
παῖς, μανίαν ἰσόρροπον ἐπιδείκνυνται. Καὶ τοῦ μὲν
ὑποκλινομένου καλῶς, καὶ ὡς ἦν αὐτῷ δι' εὐχῆς, τῷ B
βαστάγματι, ἀπαγορεύοντες αὐτοὶ ἀνανεύουσι· τῇ
δὲ ἀδίκως ἐμφορτικεύονται, ἀποφορτιζομένῃ τοῦ
νώτου τὸν τοῦ Σατᾶν βαρύτατον κύφωνα· καὶ ἄλλα
ἄλλοις ἐπεγκαλοῦσι διὰ τὴν ἐν Σαββάτῳ εὐεργεσίαν.

Καὶ μήν. ὦ Ἰουδαῖε, ἀντείποιμι ἂν αὐτός· νῦν,
εἴπερ ποτὲ, οὗτοι τὸν σαββατισμὸν ἐτίμησαν, καὶ
τὴν ἄνεσιν. Εἰ γὰρ τῶν ἓξαημέρων φερεπονιῶν ἀπ-
αλλαγὴν τὸ Σάββατον ἐπαγγέλλεται, καὶ πόνων ἐστὶ
λύσις, καὶ σωμάτων ῥᾳστώνη προκεκμηκότων· οἱ δὲ
τὸ πλεῖον τῆς ζωῆς περιωδύναις καὶ ἄλγεσιν ἀναλώ- C
σαντες, νῦν λόγῳ μόνῳ Χριστοῦ ἀνάπαυλαν εὗρον
τῶν πόνων, καὶ τῶν καμάτων ἀνακωχὴν, ὄντως τὴν
τοῦ Σαββάτου τετιμήκασι δύναμιν. Παραβάτης δὲ
Σαββάτου μᾶλλον αὐτὸς, ὃς ταῖς προτέραις τοὺς ἰα-
θέντας κακοπαθείαις, κατατρύχεσθαι καὶ νῦν ἐβού-
λου, καὶ κατατρίβεσθαι. Μὴ τοίνυν ἐπὶ τῶν νώτων
τέκταινε ὁ ἁμαρτωλὸς τοῦ συγκεχωρημένου τὰς
ἁμαρτίας, φορτικώτερος καὶ τοῦ κραββάτου τούτου
φαινόμενος. Βασταζόμενος γὰρ ὑπ' αὐτοῦ, ἐβαρύνετο
μᾶλλον, ἢ ὅτε τοῦτον ἐβάστασε, καὶ τοῖς νώτοις κατ-
έστρωσεν. Ὅλη γὰρ ἔστραπται ἡ κοίτη αὐτοῦ, ψαλ-
μικῶς εἰπεῖν, ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ· ὅτι τὸ πρὸς
ἀνάπαυσιν ἐξησκημένον τεκτόνημα, ἐπαχθὲς τῷ
παρέτῳ, διὰ τὸ τῆς κλίσεως πολυετές· ὑποπεσόντος D
δὲ τούτου, μᾶλλον αὐτῷ γλυκὺ φορτίον καὶ μαλθα-
κὸν, διὰ τὸ τῆς ὑγείας πολύευκτον. Αἱρετώτερος γὰρ
καὶ πόνος ἑκούσιος, καὶ μόχθος βιωφελὴς, ἢ ἀνάκλι-
σις ἔννοσος, καὶ ἄνεσις ἀπροαίρετος. Νῦν ταῖς ἀλη-
θείαις ἀπὸ τῶν μακρῶν ὀδυνῶν ὁ ἄνθρωπος ἐσαββάτι-
σε σαββατισμὸν τοῦτον σωματικόν· ἐσαββάτισε δέ
γε ψυχικῶς, ἀνεθεὶς τοῦ βαρυτάτου φορτίου τῆς
ἁμαρτίας· ἦν ὁ ἔχων οὐκ οἶδεν ὅρον ἀνακωχῆς· κἂν
ἐπίκειται, ἵν' ἀναπίπτῃ· κἂν τῷ στέρνῳ τὰς χεῖρας
ἐπαναπαύῃ. Οὐ γὰρ τὸν Δαβὶδ ἀνέπαυσεν ἡ στρωμνὴ
βεβαρημένη τῇ ἁμαρτίᾳ· οὐδ' ὁ κοινὸς ἀνθρώποις
πᾶσι σαββατισμὸς τῆς νυκτὸς εἰς ἀργίαν ἀνῆκε τὸν
μάκαρα· ἀλλ' ἦν ἡ κλίνη τῷ βασιλεῖ τόπος κακώ-
σεως· καὶ τὸ ὑψηλὸν τῆς στιβάδος κοιλὰς κλαυθμῶ-
νος ἐδείκνυτο. Ὁ δὲ θεραπεύσας τότε τῆς ἐκείνου

tationem in eum magnificaverit [71]; ac terra melle
ac lacte manante saturatus [72], pulli instar adversus
eum qui aleret, recalcitraverit. Qui nimirum, ad
ventris quidem obsequium operosas Sabbato pro-
tendant manus, eique instruant ciborum onera; ac
bovem quidem ac asinum a præsepio solvant, ac
adaquatum abducant; homine autem, cujus gratia
Sabbatum est, ac « sub cujus Deus pedibus boves
subjecit universas, ac jumenta omnia [73], » saluteur
consequente, adversus beneficum conclament, in-
famentque salutis auctorem, decernentes esse ne-
fas Sabbato benefacere: ac modo quidem paralyti-
cum criminantur [74], quod solvat legem, quæ pon-
deris onere, ob lecti gestationem, ut par est, cer-
vicem detraheret: modo grave ferunt, incurvæ
feminæ erectionem [75], velutque in humeros ad
onus incumbunt; hisque inæqualibus curationum
momentis, æqua lance respondentem insaniam
ostendunt: atque ejus qui bene, utque erat in
votis, inclinatus erat, gestamini, prohibentes
obstant; ei autem quæ gravissimum Satanæ cyphonem, onerosum illum dorso abjecisset, injuste
onus adhibent: aliaque aliis vertunt crimini, beneficii nomine quod Sabbato sit collatum.

Enimvero, contra ipse, o Judæe, arguerim: mo-
do plane, ut unquam aliquando, sabbatismum
isti, ac remissionem honori habuerunt. Siquidem
enim Sabbatum, sex dierum fatigationis liberatio-
nem promittit, estque illud laborum solutio, ac
corporum jam fessorum quies: hi autem, cum
plurimam vitæ partem gravibus affecti doloribus
exegissent, solo nunc Christi sermone, laborum
requiem invenerunt, ac morborum inducias, utique
Sabbati virtutem honorarunt: ipse vero magis
Sabbatum transgrederis, qui nunc quoque, ac
Sabbato sanatos homines, prioribus vexari mor-
borum angoribus, atque alteri velis. Ne ergo
peccator supra ejus fabricaveris dorsum, cui
peccata condonata sunt, ejus te etiam grabato
præbens graviorem. Cum enim lecto ipse gesta-
retur, gravabatur magis, quam ubi gestavit ac
stravit sibi in humeros. Ejus quippe universum
stratum versatum est, ut Psaltis more loquar [76],
in infirmitate ejus. Ad quietem enim fabrefactum
cubile grave erat homini resolutis membris, quod
multis hinc annis in eo reclinatus esset: ubi au-
tem ei subcidisset, dulcius molliusque videri cœ-
pit, ob sanitatem quam impensius desideraret.
Plane siquidem voluntarius quoque labor, vitæque
rationibus utilis fatigatio, quam morbi causa re-
cubitus, invitaque remissio, præoptari dignior.
Nunc itaque revera subjectus homo, corporalem
hunc sabbatismum a longis illis sabbatizavit dolo-
ribus: sed et animo sabbatizavit, gravissimo
peccati levatus onere; quo qui tenetur, haud
quidquam laxamenti rationem novit, quanquam
lectulo impositus est, ut recumbat; quanquam
manus pectori admotas ad quietem componat. Non
enim Davidi, peccato gravante, stratum requiem

[71] Psal. LX, 10. [72] Deut XXXII, 13. [73] Psal. VIII. 5. [74] Joan, V, 10. [75] Luc. XIII. 16. [76] Psal. XXXX, 4.

Digitized by Google

præbebat; nec vero noctis sabbatismus universis communis, beato viro quidquam otii ad remissionem dabat: sed erat cubile regi, locus afflictionis, celsumque stratum, vallis fletus ostendebatur [77]. Cæterum, qui in Davide cordis dolorem remissione curasset, ipse nihilominus etiam paralytici, sublato vitiante peccato, dolorem diuturnum sanavit: ablataque ejusmodi causa, etiam corpus a paralysi solutum mansit. Enimvero, tu quidem Judæe, qui invidus sis, ac hominum osor, ad corvos, ac rem malam vade, hominumque cadaveribus pariter inside, atque male habentium infirmitatibus, quando rem ejusmodi, tui Sabbati honorem existimas, deliciare: nos autem, quæ nostræ sunt solemnitatis hodierna philosophabimur die, eumque glorificabimus, qui nostras tulit infirmitates, ac morbos portavit [78].

Itaque, fratres, venerationi habendum est Sabbatum istud, tanquam dies nostræ hominum reformationis. Porro solvi oportet a corporali præsepi ecclesiasticos ac rationales boves (etenim hodie incumbit jejunium ut apostolicis legibus obsequamur): abducique, ut spiritalem potentur aquam ex sepulcri petra recens scaturientem, salientemque in vitam æternam, tametsi exit de sepulcro, quod plane admirationem habet. Sabbatum hoc, primitiæ quidem salutis Ecclesiæ gentium, secundique mundi causa, atque adeo veterati primi novatio; Sabbatismus vero ac solutio est Judaicorum omnium Sabbatorum. En enim, Sabbatum est, exitque sermo ut crucis lignum Dominico adhuc cruore stillans colligat, eoque, desiderii in Christum, qui pro nobis dignatus est pati, ignem accendat: neque is tamen reprehensionis jactibus lapidandus est; quinimo Dei altare adorans, prædicabitur beatus: ipsumque osculans homo, vitt tam coccineam, qualis est scripta Cantico canticorum [79], labia faciet, divini defluentis sanguinis rubore purpurans, atque eum, qui crucem circumfluit, aereum humorem velut aquam sanctificationis, labiorum complexu attrahens, eoque irriguus, in animam hauriet. Cæterum Sabbatum istud ampliorem divinioremque benedictionem percepit, ceu sublimiorum operum, ad hæc vero etiam difficiliorum, requies. Non enim sola voluntate et nutu, uti prima olim habuit mundi conditio, sic magna consummata fuerunt creationis opera, ac veterati Adæ renovatio: sed magis Creatoris sudoribus, proprioque ipsius ac corporali labore, qui in se ipse aliena susceperit mala, ac passiones, easque passione ultro defunctus consumpserit. Sane quidem corruptionis impetus e sublimi olim paradisi loco, teneri nescio effusus cursu, ac velut in declive præceps, novis semper in pejus crementis, subsidente natura, ferebatur. At ubi ad magnum illud incorruptæ Deitatis propugnaculum, ac sepulcri, quod Deum suscepit, petræ impegit, impeditus est, ac cursum retraxit: factaque est hodierni Sabbati dies, incorruptionis quidem mundo principium; Dei autem hominis in

A καρδίας τὸ ἄλγος διὰ τῆς ἀφέσεως, αὐτὸς καὶ τὸ πολυχρόνιον ἄλγος τοῦ παραλύτου ἰάσατο, τὴν νοσοποιὸν ἀνελὼν ἁμαρτίαν· καὶ τοῦ αἰτιικοῦ τούτου περιαιρεθέντος, ἀπελύθη τὸ σῶμα τῆς παραλύσεως. Ἀλλὰ σὺ μὲν βάσκανος ὢν, Ἰουδαῖε, μισάνθρωπος, ἐς κόρακας ἔρρε, καὶ τοῖς τῶν ἀνθρώπων συνεφίζανε πτώμασι, καὶ ἐπεντρύφα τῶν πασχόντων ταῖς ἀσθενείαις, εἴπερ τοῦτο τιμὴν ἠγῇ τοῦ Σαββάτου σου. Ἡμεῖς δὲ, τὰ τῆς καθ' ἡμᾶς ἑορτῆς φιλοσοφήσομεν σήμερον, καὶ δοξάσομεν τὸν τὰς ἀσθενείας ἡμῶν ἄραντα, καὶ τὰς νόσους βαστάσαντα.

B Σεβαστέον οὖν τοῦτο τὸ Σάββατον, ἀδελφοὶ, ὡς ἡμέραν τῆς καθ' ἡμᾶς ἀναπλάσεως· ἀπολυτέον δὲ τῆς σωματικῆς φάτνης τοὺς ἐκκλησιαστικοὺς βόας καὶ λογικούς· δεῖ γὰρ νηστείαν σήμερον ἄγειν, ταῖς ἀποστολικαῖς πειθομένους νομοθεσίαις· καὶ ἀπακτέον αὐτοὺς ὕδωρ ποτισθησομένους πνευματικὸν, ἐκ τῶν τοῦ σωτηρίου πηγῶν, ὅπερ τῆς ἐνταφίου πέτρας ἄρτι ἀποκρουνίζεται, καὶ εἰς ζωὴν αἰώνιον ἅλλεται, εἰ καὶ ἀπὸ τάφου πρόεισι, τὸ παράδοξον. Τὸ Σάββατον τοῦτο, ἀπαρχὴ μὲν σωτηρίας τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ, καὶ δευτέρου κόσμου παραίτιον· μᾶλλον δὲ τῆς τοῦ πρώτου παλαιώσεως καινουργόν· σαββατισμὸς δὲ καὶ κατάλυσις Ἰουδαϊκῶν ἁπάντων Σαββάτων. Ἰδοὺ γὰρ Σάββατον, καὶ ὁ λόγος ἐξέρχεται ξυλεύσασθαι τὸν σταυρὸν, ἔτι τοῖς Δεσποτικοῖς σταζόμενον αἵμασι, C καὶ πῦρ ἀνακαῦσαι πόθου δι' αὐτοῦ πρὸς Χριστὸν τὸν ὑπὲρ ἡμῶν τὸ πάθος καταδεξάμενον· καὶ οὐ λιθολευστηθήσεται ταῖς τοῦ μώμου βολαῖς, μακαρισθήσεται δὲ μᾶλλον τὸ τοῦ Θεοῦ θυσιαστήριον προσκυνήσας· καὶ ὁ κατασπασάμενος ἄνθρωπος, σπαρτίον κόκκινον, τοῦτο δὴ τὸ Ἁσματικὸν, ἀποτελέσει τὰ χείλη, τοῦ θεορρύτου αἵματος ἐπιφοινίξας τῷ ἐρυθήματι. Καὶ τὸ περιῤῥέον σταυρὸν ἀέριον χῦμα, ὡς ὕδωρ ἁγιάσματος εἰς ψυχὴν ἀνιμήσεται, ἀνασύρων καὶ ὑδρευόμενος διὰ τῆς τῶν χειλέων συμπτύξεως. Μετέσχηκε δὲ τοῦτο τὸ Σάββατον εὐλογίας μείζονος καὶ θειοτέρας, ὡς ὑψηλοτέρων ἔργων ἔτι δὲ καὶ ἐγκόπων κατάπαυσις. Οὐ γὰρ θελήματι μόνῳ καὶ νεύματι, ὡς ἡ πρώτη πρώην κοσμογένεια, τὰ μεγάλα D ἔργα συνετελέσθησαν κτίσεως, καὶ ἡ τοῦ παλαιωθέντος Ἀδὰμ ἀνανέωσις· ἱδρῶσι δὲ μᾶλλον τοῦ Ποιητοῦ, καὶ αὐτουργίαις χειρῶν, καὶ πόνῳ σωματικῷ, τὰ ἀλλότρια πάθη ἀναδεξαμένου πρὸς ἑαυτὸν, καὶ τῷ ἑκουσίῳ πάθει καταναλώσαντος. Ἦν μὲν γὰρ ἡ φορὰ τῆς φθορᾶς ἀκάθεκτα ῥέουσα πρώην ἀπὸ μετεώρου θέσεως τοῦ παραδείσου ἀναῤῥαγεῖσα, καὶ ὡς καταπρανῶς φερομένη, τῆς ἀεὶ ταῖς ἐπὶ τὸ χεῖρον προκοπαῖς ὑποβαινούσης φύσεως ἡμετέρας. Ἐπεὶ δὲ τῷ μεγάλῳ ἐρύματι τῆς ἀφθάρτου θεότητος, καὶ τῇ πέτρᾳ τοῦ θεοδέγμονος προσέῤῥηξε τάφου, ἀνεκόπη καὶ ὑπενόστησε· καὶ γέγονε ἡ τοῦ σήμερον Σαββάτου ἡμέρα, ἀφθαρσίας μὲν τῷ κόσμῳ ἀρχὴ, τέλος δὲ τῆς ἐν φθαρτῷ σώματι καὶ ἐγκόπῳ τοῦ θεανθρώπου δια-

[77] Psal. LXXXII, 7. [78] Isa. V, 4. [79] Cant. IV, 3.

Digitized by Google

γωγῆς. Ἀλλ' ὁ μὲν περὶ τούτου τελεώτερος λόγος ἀναμεινάτω καὶ ἔτι· τὰ δὲ τῆς χθὲς ἡμέρας, καὶ ὅσα τοῦ πάθους, καὶ τῆς ἐπὶ τοῦ σταυροῦ ἀδοξίας, ἄρτι κατανοῶμεν. Ἐν γὰρ τῇ τῆς σαρκὸς ἀσθενείᾳ, ταῖς τῆς θεότητος ἄπειρον πλοῦτον ἀποτεταμιευμένον εὑρήσομεν. Καὶ οὐ δεηθησόμεθα μακρηγορίας πρὸς ἀπόδειξιν τῆς τοῦ ἐσταυρωμένου δυνάμεως, οὐδὲ φωνῆς διηκούσης ἐπὶ τὰ πέρατα, καὶ συνεκτεινούσης τῆς ἀληθείας τὴν δήλωσιν. Οἱ οὐρανοὶ γὰρ ἱεροκήρυκες, ὥσπερ προβεβλημένοι διηγοῦνται δόξαν Θεοῦ, διὰ τῆς σφῶν ἀδοξίας, καὶ διὰ τοῦ παγκοσμίου σκότους, τὸ φῶς τοῦ κόσμου τὸ ἄδυτον διατρανοῦσι τῇ οἰκουμένῃ.

Ἔδει δὲ καλῶς ἀδοξῆσαι τὰ κτίσματα, ὑπὲρ τῆς δόξης τοῦ Κτίσαντος, κακῶς καὶ ἀθέως πρότερον θεοποιηθέντα παρὰ τοῖς ἄφροσι, καὶ παρὰ τοῖς ἀνοήτοις τιμηθέντα εἰς ὕβριν τοῦ Ποιητοῦ. Ὁ δὲ τρόπος τῆς τῶν οὐρανῶν διηγήσεως, ὡς θαυμαστός! ὡς τεράστιος καὶ ὑπερφυής! Ἡμέρας μὲν ὀφθαλμὸς ὁ ἥλιος, καὶ ἐκτυφλοῦται· ὁρᾷ δὲ τὸ θαῦμα πᾶσα ἡ γῆ, ὅσην αὐτὸς περιέτρεχε ἐφορῶν. Σβέννυται ὁ κοσμικὸς φωτοδότης. Ὁ λύχνος ἀμαυροῦται τῆς μεγάλης ταύτης οἰκίας, εἶθ' οὕτως ὁ οἰκοδεσπότης ὑπνοῖ. Νῦν οὐ « τίθεται σκότος ἀποκρυβὴν αὐτοῦ » ὁ Θεός· διαφωτίζεται δὲ μᾶλλον ἡ περὶ αὐτὸν γνῶσις διὰ τοῦ σκότους τοῖς πέρασι· « καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνεται· » καὶ Θεοῦ Υἱὸς, τοῖς ἐπὶ τὸν ἑκατόνταρχον φανεροῦται· « καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. » Εὗρε γὰρ ἐν αὐτῷ οὐδὲν ὁ τοῦ κόσμου ἄρχων, ἐπιδραμὼν μετὰ τῆς ὑπ' αὐτὸν στρατιᾶς· περὶ ὧν, « ἐπιστρέψουσι, » φησὶν ὁ ψαλμὸς, « πρὸς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι τὴν πόλιν. » Ἐπεβάλετο μὲν γὰρ ὁ φαλαγγάρχης τῶν τοῦ σκότους ἐξουσιῶν ἐπιλυττῆσαι καὶ πρότερον τῷ Σωτῆρι, ἄρτι τὰς τῆς θεοφανείας ἀκτῖνας ἀποδιασκεδάσαντι καθ' ὑδάτων τοῦ Ἰορδάνου, καὶ ταῖς αὐτοῦ που ἐρημίαις ἀναχωρήσαντι. Οἶδας τὸν μετὰ τὸ βάπτισμα πειρασμὸν ὁ μαθητὴς τοῦ Εὐαγγελίου. Ἀλλὰ συνεθλάσθησαν αἱ παμφάγοι μύλαι τοῦ ἀναιδοῦς· καὶ ὁ θεομάχος ἀπεσοβήθη· καὶ « συντελέσας, » κατὰ τὸν εὐαγγελιστὴν, « πάντα πειρασμὸν, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ. » Καὶ ἔστι οὗτος, τοῦ πάθους. Νῦν γὰρ τοῦ [5] τότε καταισχύναντος τὸν ἀλάστορα τῆς γηΐνης ζωῆς καὶ ἀναστροφῆς, *ἐπιστρέφουσι* πάλιν, καὶ ἐπιχάσκουσιν σταυρουμένῳ καὶ πάσχοντι, τῆς πονηρίας τὰ πνεύματα. Ἀλλὰ « λιμώξουσιν ὡς κύων, » κατὰ τὸν προφητεύσαντα· οὐδὲν γὰρ τῶν αὐτοὺς τρεφόντων εὑρίσκουσιν ἐν αὐτῷ. Τρέφονται γὰρ ἁμαρτίαις ἀνθρώπων· ὁ δέ ἐστιν ὡς ἀληθῶς ἀναμάρτητος. Ἐντεῦθεν οὖν ἀποκρουσθέντες, « κυκλώσουσι πόλιν· » τὴν « ἀποκτείνουσαν τοὺς προφήτας, καὶ λιθοβολοῦσαν τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. » Αἵματα γὰρ

A corruptibili corpore, obnoxioque laboribus, vitæ rationis finis. Verum ejus quidem rei absolutior sermo, hactenus nobis repositus sit : interim autem quæ ad hesternam spectant diem, ac passionem, crucisque infamiam, modo expendamus. In carnis enim infirmitate, immensas Deitatis divitias repositas inveniemus. Nec vero prolixa oratione erit opus, ut Crucifixi potentiam probemus, aut voce, cujus sonus ad orbis fines pervadat. Cœli quippe coram sacri præcones tanquam producti, sua ipsorum ingloriatione enarrant gloriam Dei [80], affusisque toti mundo tenebris, mundi lumen quod nescit occasum, palam declarant terrarum orbi.

Necesse autem erat ut res creatæ, pro Creatoris gloria, bene tandem amitterent gloriam, quas B prius male ac impie insani homines divinitate donassent; ac quibus stulti, in auctoris injuriam honores impendissent. Is porro narrationis cœlorum modus, quam mirabilis! Quam plenus portento, ac vincens naturæ modum! Sane sol diei exsistit oculus; isque nihilominus excæcatur, videtque miraculum universa terra, quantam ipse lustrans gyro percurrit. Exstinguitur mundi luminare. In obscurum cedit magnæ hujus domus lucerna; tumque paterfamilias dormit. Nihil modo Deus, « tenebras ponit latibulum suum [81] : » quinimo ejus scientiæ lumen per tenebras, orbis finibus affunditur; « luxque in tenebris lucet [82] : » ac Dei Filius centurioni manifestatur, « nec eam tenebræ C comprehenderunt [83]. » Nihil quippe in eo invenit mundi princeps, irruens cum subjecto milite; de quibus ait Psalmista : « Convertentur ad vesperam, et famem patientur ut canis, et circuibunt civitatem [84]. » Jam quoque prius turmarum princeps potestatum tenebrarum, suam in Salvatorem rabiem aggressus erat exerere, cum ille nuper ad Jordanis aquas, divinæ suæ apparitionis radios cœpisset diffundere, atque in ejus desertum quoddam recessisset. Nosti tu quisquis es Evangelii discipulus, secutam a baptismo tentationem. Enimvero contritæ sunt impudentis omnia edentes molæ, Deique hostis submotus est, ac « consummata omni tentatione, juxta quod ait evangelista [85], recessit ab illo, usque ad tempus. » Hoc porro istud D est passionis tempus. Nunc enim, adversus eum qui terrenæ vitæ ac conversationis pestem illam tunc confudisset, iterum *convertuntur*, crucique affixo, ac morienti inhiant, maligni spiritus. Verum illi « famem patiuntur ut canis, » juxta Prophetam [86] : quippe qui nihil eorum quibus aluntur, in eo inveniant. Nam aluntur peccatis hominum, cum ille omnino immunis a peccato exsistat.

[80] Psal. XVIII, 1. [81] Psal. XVII, 12. [82] Joan. I, 5. [83] Joan. XIV, 30. [84] Psal. LVIII, 7. [85] Luc. IV, 13. [86] Psal. LVIII, 7.

VARIÆ LECTIONES.

[5] Lege κατὰ τοῦ.

Digitized by Google

Inde ergo repulsi, « circuibunt civitatem ; » illam nimirum « quæ occidit prophetas, lapidatque eos, qui missi sunt ad eam [87]. » Etenim miscentes super sanguinibus sanguines, « homicidas illos ab initio [88] » convivas delectant.

Ἐφ' αἵμασι σμιγνύοντες, τοὺς ἀπ' ἀρχῆς ἀνθρωποκτόνους ἑστιῶντας ἡδύνουσιν.

Sic itaque, cum mundialis hæc lucerna mirabilem illam defectionem passa esset, « populus qui in trium horarum tenebris illis versabatur, vidit lucem magnam [89] » agnitionis Christi : Soli Judæi juxta Isaiam, « habentes oculos non vident [90]. » — « Sicut enim tenebræ eorum, ita et lumen eorum : habentesque aures, non audiunt cœlos [91]. » quanquam ii penetrabili voce enarrent gloriam Christi [92]. Porro Christi gloria est, ejus in ligno crucis elevatio, cujus causa, novæ illæ ac insolitæ tenebræ, universaque heri portento edita signa. Sed et terra deorsum cœlo concinit, ipsa quoque effusorum in sanguines insaniam arguens, furensque bacchantis instar, ac pulsu agitata adversus afflatos dæmoniaco furore homines : amboque extrema hæc, ac quorum complexu omnia teneantur, Davidicis verbis jubilant : « Sicut audivimus, sic et vidimus, in civitate Domini virtutum, in civitate Dei Jacob [93]. » Porro audierunt non defunctorie, autve obiter ; verum cum quandoque olim ab Unigenito in testes accita essent, contestante pridem Isaiæ verbis futuram in novissimis temporibus Israelis injuriam, futurumque tanquam præsens exsisteret, repræsentante, atque dicente : « Audi, cœlum, et auribus percipe, terra : Filios genui et exaltavi, ipsi autem spreverunt me [94]. » Me quoque illi exaltaverunt ; verum id in cruce. Sublimem ii quoque extulerunt, id vero ut casu graviori allideret. Quæ tunc ergo prophetice audierunt, ea nunc opere completa vident. Ad hæc cœlum quidem ad aspectum caligat, offuso tenebris acutissimi visus oculo : terra autem omnis dolore bacchatur, sese discerpens, ac faciem dissecans ; solusque Israel doloris expers agit, ac insensibilis. Sic Christicidæ, nedum brutis animantibus irrationabiliores, sed et rebus insensatis insensibiliores exstitere.

Οὕτω μὲν οὖν τοῦ κοσμικοῦ τούτου λύχνου τὴν παράδοξον μάρανσιν πεπονθότος, « ὁ λαὸς ὁ τῷ τριώρῳ τούτῳ σκότει ἀναστρεφόμενος, εἶδε φῶς μέγα » τὴν ἐπιγνώσεως τοῦ Χριστοῦ. Ἰουδαῖοι μόνοι « ὀφθαλμοὺς ἔχοντες, καθ' Ἡσαΐαν, οὐ βλέπουσιν. » —« Ὡς γὰρ τὸ σκότος αὐτῶν, οὕτω καὶ τὸ φῶς αὐτῶν· καὶ ὦτα ἔχοντες, οὐκ ἀκούουσιν οὐρανῶν, » καὶ ταῦτα διαπρυσίως διηγουμένων δόξαν Χριστοῦ. Δόξα δὲ Χριστοῦ, ὁ ἐπὶ τὸ ξύλον τὸ σταυρικὸν μετεωρισμός, δι' ὃν τὸ παράδοξον σκότος, καὶ ὅσα τὴν χθὲς ἑτερατουργήθησαν δείγματα. Συνᾴδει δὲ τῷ οὐρανῷ κάτωθεν καὶ ἡ γῆ, τὴν τῶν αἱμοχαρῶν τούτων μανίαν ἐλέγχουσα, καὶ κατὰ τῶν δαιμονώντων βεβαχχευμένη, καὶ σφύζουσα· καὶ ἀμφότερα τὰ ἄκρα ταῦτα καὶ περιδραχτικὰ τοῦ παντός, Δαβιτικῶς ἀλαλάζουσα· « Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν, ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ Ἰακώβ. » Ἤκουσαν, οὐχ ὡς ἔτυχεν, οὐδ' ἐκ τοῦ παρέργου, ἀλλ' εἰς μαρτυρίαν παρὰ τοῦ Μονογενοῦς πάλαι ποτὲ προσκληθέντες, προδιαμαρτυρουμένου διὰ γλώσσης τῆς Ἡσαΐου, τὴν ἐπ' ἐσχάτων παροινίαν τοῦ Ἰσραὴλ, καὶ τὸ μέλλον ὡς ἐνεστὼς παριστῶντος· καὶ, « Ἄκουε, λέγοντος, οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. » Ὑψωσάν με καὶ αὐτοί, ἀλλ' ἐν τῷ σταυρῷ. Ἐπῆραν καὶ οὗτοι μετέωρον, ἀλλ' ἵνα κραταιότερον καταῤῥάξωσιν. Ἅπερ οὖν τότε προφητικῶς ἤκουσαν, σήμερον ὁρῶσι πραγματικῶς. Ἐπὶ τούτοις, καμμύει μὲν πρὸς τὴν ὅρασιν οὐρανὸς, ἐπιλυγάσας τὸν πανδερκέστατον ὀφθαλμόν· ἀναβακχεύεται δὲ τῷ πάθει πᾶσα ἡ γῆ, σπαραττομένη, καὶ τὸ πρόσωπον διασχίζουσα· ἀπαθὴς δὲ μόνος ὁ Ἰσραὴλ καὶ ἀνάλγητος. Οὕτως οἱ Χριστοκτόνοι, οὐ μόνον ἀλογώτεροι τῶν ἀλόγων ἀπεφάνθησαν· ἀλλὰ καὶ τῶν ἀναισθήτων ἀναισθητότεροι.

Adhuc sermonem miraculi in sole exhibiti novitas detinet ; ac quanquam celeriter ad monumenti occasum tendat, ac justitiæ Solem illic occultatum, a cursu sistit, suadens omnino ut amplioris aliquid otii circa ipsum ponat. Sane quidem Jesus ille filius Nave, secundus post Moysen Israelitici populi ductor, agitatum solis currum, rotarum officio prohibuit [95], verbum dissyllabum ceu validissimum retinaculum subjiciens, ut ne ejus aurigatio Israelis hostibus salus fieret. Mansit vero nihilominus lucifer. Cum enim imperator adversus hostes visibiles bellum gereret, necessarium habebat lumen, quod visus facultatem moverēt, ac visionem efficeret quo lucis illa extensione, plures

Ἔτι τὸν λόγον ἡ περὶ τὸν ἥλιον ἐπέχει καινοτομία, καὶ φερόμενον ὀξέως ἐπὶ τὴν δύσιν τοῦ μνήματος, καὶ τὸν ἐκεῖσε κρυβέντα Ἥλιον δικαιοσύνης, τοῦ ὁρμήματος ἵστησι, πείθουσα τῷ κατ' αὐτὴν θαύματι, σχολαιότερον διατρίβειν. Ὁ μὲν γε τοῦ Ναυῆ παῖς Ἰησοῦς, καὶ δεύτερος μετὰ Μωσέως [h] δημαγωγὸς Ἰσραὴλ, ἵστησι τῆς τροχηλασίας τὸν ἥλιον, δισύλλαβον ῥῆμα [h'], ὡς πολυδύναμον ἐντρόχιος ὑποβαλών, ἵνα μὴ ἡ ἱππασία τούτου σωτηρία γένηται τοῖς πολεμοῦσιν Ἰσραήλ. Ἔμενε δὲ ὅμως ὁ φωσφόρος. Κατὰ γὰρ τῶν ὁρωμένων ἐχθρῶν ὁ στρατηγὸς τὸν πόλεμον συγκροτῶν, ἐδεῖτο φωτὸς, τοῦ τὸ ὁρατικὸν κινοῦντος τῶν ὀφθαλμῶν, καὶ τὴν τοῦ ὁρᾶν συγκροτοῦντος ἐνέργειαν· ὡς ἂν ἐπὶ τοὺς σκοτεινοὺς τοῦ ᾅδου κευθ-

[87] Matth. xxiii, 37. [88] Joan. viii, 44. [89] Isa. ix, 2. [90] Isa. vi, 9. [91] Psal. cxxxviii, 12. [92] Psal. xvii, 1. [93] Psal. xlvii, 2, 9. [94] Isa. i, 2. [95] Josue x, 12.

VARIÆ LECTIONES.

[h] Ἰσ Μωϋσέα. [h'] στήτω apud LXX. Hebr. monosyl. דום. Arias : *sile* ; Pagn. *exspecta*.

Digitized by Google

μῶνας, τῇ τοῦ φωτὸς παρεκτάσει, πλείονας εἰσ- A hostium in tenebrosos inferni secessus detruderet.
ελάσῃ. Τί γὰρ καινὸν εἰ τὰ τοῦ σκιώδους νόμου πρε- Quid enim novi videatur, ut qui umbratilis legis
σβεύων, καὶ ὁ ὑπουργὸς ὢν τοῦ ἀποκτείνοντος scita tueretur, esseque minister occidentis litteræ,
γράμματος, τοὺς ὀδοστάτας ἀνῄρει τῶν φευγόντων eos interficeret, qui fugientibus a tenebrosa Ægy-
ἐκ τῆς σκοτεινῆς Αἰγύπτου, πρὸς τὴν μακαριζομέ- pto ad beatam illam hæreditatem iter prohiberent?
νην κατάσχεσιν; Νῦν δὲ ἄλλη παράδοξός τε νυκτο- nunc autem nova alia ac insolita nocturna pugna,
μαχία ἐν μεσημβρίᾳ τελεῖται, καὶ σκότος τρίωρον meridie ipso committitur, ac trium horarum tene-
ἀναφαίνεται· καὶ ὁ ἀρχαῖος ἄρχων τοῦ σκότους καὶ bræ fiunt; caditque antiquus ille, ac invisibilis
ἀόρατος, πίπτει βληθεὶς ὑπὸ τοῦ « ἀναβαλλομένου princeps tenebrarum, eo vulnerante, « qui induit
φῶς ὡς ἱμάτιον· » συσκιάσαντος ἑαυτὸν τῷ ἐπενδύ- lumen sicut vestimentum [96]; » quique se carnis
ματι τῆς σαρκὸς, καὶ τούτῳ ἤδη διερρωγότι τοῖς integumento obumbravit, eoque jam clavis discisso,
ἥλοις, καὶ τῇ λόγχῃ διατρηθέντι διὰ πτωχείαν ἑκού- ac lancea perforato, ob eam, quam sponte iniit,
σιον Οἱ δ' « ἐν σκότει ἀγνοίας καὶ σκιᾷ θανάτου καθ- paupertatem. Ii porro, « qui in ignorantiæ tene-
ήμενοι, φῶς μέγα ὁρῶσιν » ἀπολυτρώσεως, καὶ τὸν bris, ac umbra mortis sedebant, magnam vident
τύραννον βλέποντες βεβλημένον, ἀπὸ σκότους ἀνα- redemptionis lucem [97], » videntesque vulneratum
πηδῶσιν εἰς φῶς· ἀπὸ φθορᾶς, εἰς ζωήν. Νίκη γὰρ B tyrannum, a tenebris resiliunt ad lumen; a corru-
τοῦ ἑνὸς Ἰησοῦ, ἡ σωτηρία τῶν ἐκ παραβάσεως ptione ad vitam. Unius quippe Jesu victoria, salus
ἀποστάντων αὐτοῦ, καὶ εἰς ἐχθροὺς ἀντικαταστάν- est eorum qui prævaricantes ab eo defecissent,
των τῷ δημιουργήσαντι, τῇ τοῦ πρωτοπράστου δρά- quousque primo venditi draconis deceptio (10) au-
κοντος ἐξαπάτῃ. Ἀλλ' ὅπερ ἔλεγον, εἶχε μὲν τὸ ctori hostes effecisset. Enimvero, quod dicebam,
σταυρικὸν ξύλον μετέωρον τὸν παραγωγέα τῆς κτί- habebat quidem crucis lignum, eum sublimem,
σεως, καὶ ἐπεστήρικτο τούτῳ ἀνθρωποπρεπῶς, ὁ qui creaturam produxit; eratque illi humano more
πρώην τῷ πατριάρχῃ σχηματισθεὶς, ἐπεστηριγμένος innixus, qui olim patriarchæ spectaculo exhibitus
τῇ κλίμακι. Νεκρὸς γὰρ ὑπὲρ τῆς ἐμῆς ζωῆς γεγο- fuerat innixus scalæ [98]. Morte enim pro mea de-
νὼς, νεκροπρεπῶς τῷ ξύλῳ συνείχετο, ταῖς ἐκ τῶν functus vita, pro mortui ratione in ligno tenebatur,
ἥλων χειροπέδαις ἐνειργμένος· δι' ὧν, ὁ τὸ πᾶν τῇ clavorum compedibus innexus; quibus is, qui uni-
θεότητι συστατῶν, καὶ τοῖς νεκροῖς ἐμπνέων τὴν versa Deitate continet, ac vitam mortuis inspirat,
ζωὴν, τῷ ξύλῳ ἐρήρειστο συσχόμενος. Ἀνέβαινον δὲ ligno detinente suffultus erat (11). Porro angeli
καὶ κατέβαινον οἱ ἄγγελοι ἐπὶ τὸν σταυρόν. Ἀνέβαι- ascendebant, ac descendebant in cruce. Ascende-
νον, ὡς « βραχύ τι παρ' αὐτοὺς » τοῦ ἐσταυρωμένου C bant, tanquam eo, qui erat crucifixus, « modicum
« ἠλαττωμένου διὰ τὸ πάθημα τοῦ θανάτου. » Γορ- præ illis minorato, ob passionem mortis [99]. »
γὸν δ' αὐτίκα κατέβαινον κατάβασιν ἄπειρον, ὑψηλό- Confestim autem immensum rursus descendebant,
τερον αὐτὸν κατανοοῦντες πάσης ἀρχῆς καὶ ἐξου- ut qui omni eum Principatu, ac Potestate angelica
σίας ἀγγελικῆς. Καὶ τί γὰρ ἕτερον, ἢ ποιητὴν αὐ- sublimiorem intelligerent. Quid enim aliud, quam
τῶν, Πατρὶ καὶ Πνεύματι σύνθρονον, καὶ τῆς δόξης suum Creatorem, eadem cum Patre ac Spiritu san-
καὶ Βασιλέα, καὶ Κύριον; Οὐ γὰρ αἰσχύνη ταύταις cto sublimem sede. Regemque ipsum gloriæ, ac
ἦν ὁ σταυρὸς, ἀλλὰ θρίαμβος τροπαιουχίας, καὶ Dominum cogitarent? Non enim crucis pudebat,
παγκοσμίου νίκης ἐπίδειξις. « Ἐκάθισεν ἐπὶ θρό- adeoque tropæi loco, ac mundi totius victoriæ
νου τοῦ σταυρικοῦ ὁ κρίνων δικαιοσύνην, » καὶ τὸν ostensio illis erat. « Sedit super crucis thronum,
ἄδικον κατέκρινε θάνατον τῆς ἀνθρωπίνης ὑπερορί- qui judicat justitiam [1], » ac iniquam condemnavit
σας οὐσίας. Καὶ ὁ ἐξηκανθωμένος δὲ στέφανος ἐπὶ mortem, abs substantia eam humana exterminans.
κεφαλῆς πρὸ τοῦ σταυροῦ ἀνεχόμενος, τὴν νίκην Sed et spinea corona, quam in capite suscepit
ἐβεβαίου τοῦ λέγοντος· « Θαρσεῖτε, ἐγὼ νενίκηκα ante crucem, ejus confirmabat victoriam, qui ait:
τὸν κόσμον, » καὶ κοσμοκράτορα· βαστάσας τὴν « Confidite, ego vici mundum [2], » et mundi prin-
ἁμαρτίαν τοῦ κόσμου. Ἁμαρτίας δὴ σύμβολον, D cipem: utique portando mundi peccatum. Nam
ἄκανθα· ἡ δὲ ἁμαρτία, θανάτου ὅπλον ὀξύτατον· ὁ spinæ, peccati sunt symbolum, peccatum vero,
δὲ θάνατος, ὑποστράτηγος διαβόλου. Εἶδες οὕτω præsentissimum est mortis organum; mors deni-
καθωπλισμένον τὸν τῆς ἀπωλείας ἀρχιστράτηγον; que, vicarius a diabolo imperator. Vidisti sic in-
Εἶδες ἡλίκος ὁ συνασπισμὸς αὐτοῦ; Ἀλλὰ βλέπε structum, principem illum perditionis ducem? Vi-
καὶ τῆς παντευχίας ἀπογυμνούμενον, καὶ ἡττώμενον disti quanta ejus munitio? Vide nihilominus omnis
εὐμηχάνῳ σοφίᾳ Χριστοῦ. Ἁφαρπάζει γὰρ τὸ illa generis armatura nudum, ac expedita Christi
κέντρον ὁ ἀναμάρτητος, καὶ συντρίβει ἐν ἑαυτῷ, sapientia victum. Quippe, abripitis aculeum, im-

[96] Isa. CIII, 2. [97] Isa. IX, 2. [98] Gen. XXVIII, 13. [99] Hebr. II, 9. [1] Psal. IX, 5. [2] Joan. XVI, 33.

(10) *Primo venditi draconis deceptio.* Τῇ τοῦ πρωτοπράστου δράκοντος ἐξαπάτῃ. Draconis illius, qui primus os diabolo tentanti accommodavit, eique ceu instrumentum ad malum venditum fuit; juxta illud Apostoli Rom. VII: *Ego autem carnalis sum, venundatus sub peccato.*

(11) *Ligno detinente suffultus erat.* Ἐρήρειστο συσχόμενος· alioqui in terram prolapsuro inanimi corpore, ut idem orat. in adorationem crucis, ubi eamdem comparationem crucis cum scala Jacob edisserit.

Digitized by Google

munis a peccato exsistens, atque in se ipse conterit, « qui tollit peccatum mundi [3], » ac per naturam nascitur impeccabilis. Inermem ostendit aculeo instructam mortem, prorsusque inefficacem : quinimo, amisso eam aculeo mortificat ac exstinguit. Idipsum vero iis quoque insectis accidit, quæ sunt aculeo instructa, ubi eum carni infixerint.

Christi porro victoria, in universam naturam transit, cujus ipse assumpsisset primitias. Quippe ea per illam vivificatur, ac immortalis efficitur. Cæterum habere mysterium crucis, triumphi pro victoria speciem, res ipsæ clamant. Quanquam enim ego siluero, clamabunt lapides : ii, inquam, lapides [4], sub quibus primi parentis calvaria (12) fuit defossa, uti vera ac antiqua Patrum traditio habet. Velut enim potentissimus Rex, eam Adami sensuum arcem superavit, bellique pugna devicto dæmone, qui per vim ei dominabatur, suum in ea jure belli fixit sceptrum, ac erexit tropæum, palam ostendens, ut Adam ille, quam præcipue propositam haberet, ejus in terram adventus causa fuerit, utque ejus instaurationis, ac reparatæ salutis, gratia, totum exinanitionis mysterium gestum sit : descensus, inquam, e cœlis; incarnatio, sudor, labor, precatio, mors, effusio sanguinis, depositio in monumento. Universa hæc in Adæ refunduntur libertatem, fuitque mysterium, ejus qua fictor prosequebatur, dilectionis argumentum.

Hæc porro quondam arx prior discrimen perpessa erat, cum illam ligni adminiculo hostis quatiens, expugnasset, ac direptam posuisset. Quippe obaudivit primus generis parens, comparatum decipiendo draconis consilium. « Vidit quod fructus speciosus esset ad visum [5] : » attigit, extendens dexteram; decerpsitque, ac ori admovens, gustavit, « eo quod bonus esset ad esum [6], » ejusque suavem odorem percepit. Pro sensuum itaque, sic a dæmone servituti datorum, salute in Lithostroto recta crux specie figitur, ducitque Christus a Calvaria, ubi olim sensus fixerat curationis exordium : cumque solo sermone paradisum plantasset, ipsa nunc manuum opera, ac labore, sublimiorem plantationem molitur, cujus fructus, æternum mansura vita. Porro imitatur optimos satores, qui arborum qualitates nihil commodi fructus edentium, bonis aliis qualitatibus, excisarum arborum

A « αὐτὸς ὢν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, » καὶ φύσει γνωριζόμενος ἀναμάρτητος. Καὶ ἄοπλον τὸν κεντροφόρον δείκνυσι θάνατον, καὶ παντελῶς ἀνενέργητον· μᾶλλον μὲν οὖν θανατοῖ καὶ νεκροῖ, τὸ κέντρον ἀποβαλόμενον. Πάσχει δὲ τοῦτο καὶ τὰ κεντροφόρα τῶν ζωῴων, κατὰ σαρκὸς τὸ κέντρον ἐμ]πήξαντα.

Ἡ δὲ νίκη Χριστοῦ πρὸς ἅπασαν διαβαίνει τὴν φύσιν, ἧς αὐτὸς τὴν ἀπαρχὴν προσέλαβε. Ζωοῦται γὰρ διὰ ταύτης καὶ ἀπαθανατίζεται. Ὅτι δὲ θριαμβόνικον τὸ μυστήριον τοῦ σταυροῦ, αὐτὰ βοῶσι τὰ πράγματα. Κἂν ἐγὼ σιωπήσω, οἱ λίθοι κεκράξονται· λίθοι, ὧν κάτωθεν κατορώρυκται τὸ τοῦ πρωτοπλάστου κρανίον, ὡς ἡ ἀληθὴς καὶ ἀρχαία τῶν Πατέρων ἔχει παράδοσις. Ὡς γὰρ βασιλεὺς πινσθενέστατος, ὑπερανέβη τὴν ἀκρόπολιν ταύτην τῶν Ἀδαμιαίων αἰσθήσεων, καὶ τὸν κατατυραννήσαντα ταύτης κατεστρατήγησε δαίμονα, νόμῳ στρατιωτικῷ, οἰκεῖον ἐπ' αὐτῆς πηξάμενος σκῆπτρον, καὶ τὸ τρόπαιον ἀνεστήλωσε· δεικνὺς προδήλως, ὡς ὁ Ἀδὰμ ἐστι τὸ σκοπιμώτατον τέλος τῆς ἐπὶ γῆς αὐτοῦ παρουσίας, καὶ τῆς αὐτοῦ ἀνακλήσεως καὶ ἀνατώσεως ἕνεκεν, τὸ τῆς κενώσεως ἅπαν ἐπράχθη μυστήριον· ἡ οὐρανόθεν κατάβασις, ἡ ἐνανθρώπησις, ὁ ἱδρὼς, ὁ κόπος, ἡ προσευχὴ, τὸ πάθος, ἡ χύσις τοῦ αἵματος, τοῦ μνήματος ἡ κατάθεσις. Ταῦτα πάντα τῆς τοῦ Ἀδὰμ ἠτιῶντο ἐλευθερίας, καὶ τῆς πρὸς αὐτὸν ἀγάπης τοῦ πλάσαντος ὑπόθεσις ἦν τὸ μυστήριον.

Ἦν δὲ ἄρα πρωτοπαθήσασά ποτε ἡ ἀκρόπολις αὕτη, ὅταν ὁ πολέμιος διὰ ξύλου ταύτην κατέσεισε θέμενος ἁλωτήν. Ἤκουσε γὰρ ὁ γενάρχης τῆς ἀπατηλῆς τοῦ δράκοντος συμβουλῆς. « Εἶδεν, ὅτι ὡραῖος ἦν εἰς ὅρασιν ὁ καρπός· » ἥψατο, τὴν δεξιὰν ἐκτείνας· καὶ δρεψάμενος, καὶ παραπεμψάμενος στόματι, ἐγεύσατο, « ὅτι καλὸς εἰς βρῶσιν, » καὶ τῆς εὐωδίας ἀπήλαυσε. Ὑπὲρ γοῦν σωτηρίας τῶν αἰχμαλωτισθεισῶν τῷ δαίμονι τούτων αἰσθήσεων, ἐπὶ τοῦ Λιθοστρώτου ὁ σταυρὸς ὀρθιάζεται· καὶ ἀπὸ τοῦ Κρανίου, τῆς θεραπείας ἄρχεται ὁ Χριστὸς, ὅπου πρώην τὰ αἰσθητήρια συνεπήξατο· καὶ λόγῳ μόνῳ πεφυτουργηκὼς τὸν παράδεισον, νῦν αὐτουργίᾳ καὶ πόνῳ, ὑψηλοτέραν φυτείαν ἐπιτεχνάζεται· ἧς ὁ καρπὸς, ζωὴ διαιωνίζουσα. Καὶ μιμεῖται τοὺς ἀρίστους τῶν φυτηκόμων· οἱ ποιότητας δένδρων μηδὲν προ- D ἴσχομένων χρηστὸν, εὖ ἐπίστανται μεταβάλλειν εὐχρήσταις ἄλλαις ποιότησι, τῶν τῆς ἐσπημένων [i]

[3] Joan. I, 29. [4] Luc. XIX, 40. [5] Gen. III, 6. [6] ibid.

VARIÆ LECTIONES.

[i] Leg. διὰ τῆς τῶν ἐτμημέν.

NOTÆ.

(12) *Lapides, sub quibus primi parentis calvaria.* Sit hæc ratio, quam se nescire fatetur Grets., cur citata proxime orat. Germanus appellet Lithostrotum Calvariæ locum, ac quo fuit Domino posita crux, quanquam eo nomine a Joanne appelletur Pilati tribunal, quod forte locus esset stratus lapide, nec id vulgari, aut minus exquisito opere : alioqui omnia passim loca strata lapide sic fuissent dicta. Uti ergo Pilati illud tribunal ab eximio lapidum opere, ac strato singulariter solo, dici meruit Λιθόστρωτος, sic sibi Germanus ac Græci alii quos indicat Grets. indulserint, ut locum Calvariæ, a lapidibus antiquo more Adæ cranio impositis pro tumulo, ac quibus peculiari ratione stratus lapide mons ille videretur, juxta eam inibi sepulti Adæ traditionem, Λιθόστρωτον appellarent : quod sane vero similius est, quam ut tot Græcos scriptores oscitantius credamus loca confudisse.

Digitized by Google

περιφυτείας. Πευκίνην σφύραν λίπει εὐθηνουμένην, πικρᾶς ἀμυγδαλῆς ῥίζῃ ἐπεμβαλών, μετεχύμισε τὸ τοῦ δένδρου ὑπόπικρον, πρὸς τὸ εὔχρηστον καὶ γλυκὺ, καὶ τὸ δυπρόσιτον, ἐξημέρωσε. Καὶ ὁ σταυρὸς δὲ τοῦτο, καθ' ὑψηλοτέραν φυτηκομίαν [ποιεῖ·] ἐμπαγεὶς μὲν τῇ ῥίζῃ τοῦ ἀνθρωπείου γένους, τῷ πρωτοπλάστῳ φημί· ἀπαλλάξας δὲ ταύτην τῆς τοῦ θανάτου πικρίας, καὶ πρὸς ζωηρὰν μεταστοιχειώσας ποιότητα. Ζωῆς γάρ ἐστι ξύλον, διὰ τὸν ἐπ' αὐτοῦ ἀνηρτημένον ἀθανασίας καρπόν. Ὦ τῆς ἀπορρήτου φιλανθρωπίας τοῦ Θεοῦ! Ὦ τῆς εἰς ἐμὲ, τὸν πολλοῦ μίσους ἐπάξιον διὰ κακίαν, πολλῆς ἀγάπης αὐτοῦ δι' ἀνεξικακίαν πολλήν! Προεώρα μὲν ἄνωθεν ὁ παντεπόπτης διακύπτων ἐξ οὐρανῶν, τὸ ἐνυποκείμενον κρανίον τῷ Λιθοστρώτῳ, ἐλεεινὸν λείψανον τῆς χειρὶ τετιμημένης τοῦ πλάσαντος πλάσεως· καὶ ἰδὼν, ἐπεκάμφθη· καὶ ἐπικαμφθεὶς, « κάμπτει τοὺς οὐρανοὺς, καὶ κάτεισιν. » Ὁ ἀπερίγραπτος, ἐπὶ γῆς ἀνθρώποις συναναστρέφεται ἄνθρωπος γεγονώς. Ἔδραμεν, ἔδραμεν ἕως ὧδε, ὅπου καὶ ἔστησε τοὺς πόδας αὐτοῦ, τὴν ὁδὸν τοῦ γηΐνου βίου τελειώσας, καὶ καταλαβὼν τὸν ζητούμενον, ἵσταται· καὶ « ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ ὁ μεγαλοπτέρυγος ἀετὸς, » ὡς πτέρυγας τὰς χεῖρας διαπετάσας, καὶ περισκιάσας τὸν κείμενον, καὶ ἐπεντρανίσας, ὁ ἐν οὐρανοῖς κατοικῶν, καὶ « τὰ ταπεινὰ ἐφορῶν· ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνιστῶν πένητα. » Ἐγενόμεθα γὰρ ὡσεὶ κόπρος τῇ γῇ σῆψιν κατακριθέντες καὶ δυσωδίαν.

A insitione commutare noverunt. Piceæ malleum pinguedine uberem, amaræ nucis amygdalæ radici immittens, amarum arboris succum in lenem ac dulcem commutavit, gustuique difficilem cicuravit. Hoc vero etiam crux altiori satione facit, quæ humani generis radici infixa, primo, inquam, condito homini, a mortis eam amaritudine liberat, inque vitalem quamdam qualitatem convertit. Etenim crux lignum est vitæ, propter suspensum in ea immortalitatis fructum. O ineffabilem Dei benignitatem ac clementiam! O multam in me, qui multo odio a vitiositate dignus fui, ejus dilectionem, per multam sustinentiam! Sane quidem jam olim e cœlo inspectans omnium inspector, cranium prævidit in Lithostroto humi conditum, miserabiles B utique reliquias fictionis, quam manus fictoris honoraverat: vidensque, inflexus est, inflexusque, « inclinat cœlos, ac descendit[7]. » Qui nequit circumscribi, cum hominibus in terra versatur, factus homo. Cucurrit, plane cucurrit hucusque, ubi etiam stitit pedes suos terrenæ vitæ consummans viam, statque comprehenso eo, quem currens quærebat: ac « ubi corpus, illic quoque magnarum alarum adest aquila[8], » alarum instar manus expandens, circumobumbrans pariter, illustransque (15) jacentem hominem, qui habitat in cœlis, nihiloque minus « humilia respicit: qui suscitat a terra inopem, et erigit de stercore pauperem[9]. » Facti quippe eramus tanquam stercus terræ, qui fueramus damnati ut putresceremus, tetrumque C odorem exhalaremus.

« Ἀδὰμ, ποῦ εἶ; » πάλιν αὐτὸν ἐρωτᾷ· ἐγὼ γάρ σε ἀναψηλαφῶν, ἐνταῦθα παρεγενόμην, καὶ διὰ τὴν σὴν ἀνεύρεσιν, ἐξέτεινά μου τὰς χεῖρας ἐν τῷ σταυρῷ· πρὸς μὲν τὸν Πατέρα, σχῆμα ἐνδεικνύμενος εὐχαριστίας ἐπὶ τῇ φανερώσει τῇ σῇ· πρὸς σὲ δ' αὖ, ἔκτασιν ἀγκαλισμοῦ. Οἱ δὲ κρότῳ ποτὲ καταθροήσαντές σου τὴν ψυχὴν πόδες (τοῦτο γὰρ ὑποτοπάζειν τὸ δυσμείδητον ταύτης παρείχετο), νῦν ἀψοφητί σε κατέλαβον, καὶ ἀκινητίζουσι διὰ σὲ τῷ ξύλῳ προσπαγέντες. Οὐ γὰρ ἵνα κρίνω σε δι' ἁμαρτίαν, ἀλλ' ἵνα σώσω σε διὰ φιλανθρωπίαν, ἐλήλυθα· οὐδ' ἵνα καταράσωμαι διὰ τὴν σὴν παρακοὴν, ἀλλ' ἵνα εὐλογήσω δι' ἐμὴν ὑπακοὴν, παραγέγονα. « Ἐν τοῖς μεταφρένοις μου ἐπισκιάσω σε, καὶ ὑπὸ τὰς D

« Adam, ubi es[10]? » quærit iterum: ego enim huc veni, ut te rimarer, atque ut te possim invenire, manus meas extendi in cruce: quod quidem spectat ad Patrem, gratias agentis speciem exhibens pro tua detectione; quod autem ad te, extendentis manus ad amplexationem. Cæterum pedes illi, qui tuum quondam animum strepitu terruerunt; hoc enim tristis ejus habitus dabat suspicari: nunc te sine strepitu comprehenderunt, ac sunt immoti, tui causa ligno affixi. Non enim ut propter peccatum te judicarem adveni, sed ut per benignitatem et clementiam salvarem: neque ut maledicerem propter inobedientiam tuam, sed ut per meam obeditionem benedicerem. « Inter

[7] Psal. xvii, 10. [8] Matth. xxiv, 28. [9] Psal. cxii, 9. [10] Gen. iii, 10.

(15) *Illustransque.* Ἐπεντρανίσας· Vox est Germano peculiaris. Sic citata orat. de cruce. Δοξάζεται ὄφις χαλκοῦς ψιλαῖς ἐπεντρανίσεσι ζωοποιῶν. *Laudatur serpens æneus qui sola ac nuda irradiatione vivificaret.* Videatur significare quamdam affusionem luminis ab obtutu, sive in eos qui respicerent, ratione cujus in eos imprimens, a serpentum morsu liberaret. Valde displicet Grets. dum ita adnotat ad eam orat. et verba relata. *Verba illa referri possunt ad ipsum Moysen, si lectio hoc modo constituatur.* Καὶ δοξάζεται ὄφεις χαλκοῦς, *κ. τ. ἑ. Et tamen laudatur et celebratur Moyses, quod æneos serpentes effinxerit. Ita ut* ζωοποιεῖν *non sit vivificare, sed animalis speciem effingere.* Nam 1° Moyses unum duntaxat, non plures ejusmodi effinxit serpentes; 2° effinxit, non *nudo et solo intuitu*, quod ipse reddiderat τὸ, ἐπεντρανίσσει· sed fabrili arte: vel erat alia ejus vocis afferenda expositio, novo isti sensui quadrans; 3° ultro conficta est illa vocis ζωοποιεῖν significatio, nec quidquam eo loco apta. Vere serpens ille δοξάζεται, *habetur celebri memoria*, habuitque suam religionem, siquidem erat crucis figura, et ea ratione aspectu curabat, obscura quadam in Christum relatione, etsi postea proniori in idololatriam populo, ac religionis excedente modum, summa ab Ezechia religione contritus sit. Aliter philosophatur Andr. Cret. orat in crucis Exalt. ut non tam Christi, ejusque crucis typus fuerit, quam per eam crucifixi peccati, ac diaboli, quomodo nullam religionem habere potuit: et tamen δοξάζεται· *laudatur*, tanquam rite, nullaque violatione legis divinæ cusus, sed magis Deo jubente, quanquam videretur sic imagines conflare ab eo prohibitus.

Digitized by Google

scapulas meas obumbrabo tibi, jamque sub pennis meis speras, » tanquam pullus e paradisi nido antea subductus, ac serpentis dentibus læsus. Ego Veritas « scuto te crucis circumdo, nec timebis a timore nocturno ; » te enim dies nesciens vesperam exceptura est ; « necve a negotio perambulante in tenebris. » atque in inferni caliginosis tabernaculis versante ; « nec denique a ruina, et dæmonio meridiano [11]. » Erat enim, ut nosti, pomeridianum tempus, quando, malo dæmone supplantante, pari cum conjuge ruina dejectus es. Ab his omnibus liberaberis, circumquaque munitus scuto crucis. Tandem ergo « non est occultatum os » illud tuum a me. Quanquam autem est tua « substantia in inferioribus terræ [12]. » Quippe substantia corporis anima est, cum et ea abeunte dissolvatur quod subsistens erat : verum illuc quoque nunc eo, ac proficiscor, « æstimatus cum descendentibus in lacum [13-14]. » quæramque animam tuam « in tenebrosis ac umbra mortis [15] » occultatam ; nec desistam sponte humiliatus, ac inferius descendens, donec te in cœlum subveham, ad laudem quidem meæ in humanum genus benignitatis ac clementiæ ; ad probrum vero diabolici in illud odii, ac invidiæ. Qui enim tuam in paradiso conversationem nequivit ferre, quid non molestiæ patiatur cum fueris effectus cœli civis ? quin et vero Patri meo consessor, per istas primitias, ac naturam quam assumpsi ?

A πτέρυγάς μου ἤδη ἐλπίζεις, » ὡς ὁ τῆς καλιᾶς τοῦ παραδείσου ἀποσεσυλημένος πρὶν νεοττὸς, καὶ ὀδοῦσι διαλελωβημένης τοῦ ὄφεως. « Ὅπλῳ κυκλῶ σε » ἡ ἀλήθεια ἐγὼ σταυρικῷ, « καὶ οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ · » ἀνέσπερος γὰρ ἡμέρα σε διαδέξεται · « οὐδ' ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, » κἀν τοῖς ζοφεροῖς τοῦ ᾅδου σκηνώμασιν ἀναστρεφόμενου · « οὐδ' ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. » Ἦν γὰρ, ὡς οἶδας, δειλινὸν, ὅτε συγκατεπτώθης τῇ ὁμοζύγῳ, ὑποσκελισθεὶς τῷ ἀλάστορι. Πάντων τούτων ἀπαλλαγήσῃ τῷ ὅπλῳ περικυκλωθεὶς τοῦ σταυροῦ. Τέλος οὖν « οὐκ ἐκρύβη τὸ ὀστοῦν » τοῦτο ἀπ' ἐμοῦ. Εἰ δὲ καὶ « ἡ ὑπόστασίς σου ἐν τοῖς κατωτάτοις τῆς γῆς » (σώματος γὰρ ὑπόστασις ἡ ψυχὴ · ὅτι καὶ ταύτης ἀφισταμένης, τὸ B ὑφιστάμενον διαλύεται), ἀλλ' ἄπειμι νῦν κἀκεῖ, καὶ κατέρχομαι, « προσλογισθεὶς μετὰ τῶν καταβαινόντων εἰς λάκκον, » καὶ ζητήσω σου τὴν ψυχὴν « ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου » συγκρυπτομένην · καὶ οὐκ ἀποστήσομαι ταπεινούμενος καὶ ὑποκαταβαίνων ἑκών, ἕως ἂν σε πρὸς οὐρανὸν ἀναγάγω, εἰς δόξαν μὲν τῆς ἐμῆς φιλανθρωπίας, εἰς αἰσχύνην δὲ τῆς τοῦ διαβόλου μισανθρωπίας. Ὁ γὰρ οὐκ ἐνεγκὼν τὴν σὴν ἐν παραδείσῳ ἀναστροφὴν, τί οὐκ ἂν πάθοι τῶν ἀνιαρῶν, οὐρανοπολίτου σοῦ γεγονότος, μᾶλλον δὲ καὶ συνέδρου τῷ ἀληθινῷ μου Πατρὶ, διὰ τῆς ἀπαρχῆς ταύτης καὶ τοῦ προσλήμματος ;

Quia ergo mors nihil aliud est quam separatio a corpore, ac Emmanuel factus est veritate homo, omnesque humanitatis modos per summam benignitatem suscepit excepto peccato, moritur pro humanæ naturæ lege : sponte tamen, non vi mortis compellente ; ac anima quidem separatur a corpore, corpusque moritur ea disjunctione : manet vero deitas a neutro sejuncta, divisaque, ambas partes disjunctas colligens, postque etiam mortem, eam quæ fuit ex ipsa unione subsistentiam in seipsa servans. Ac anima quidem sponte in infernum descendit : corpus autem includitur sepulcro. Cæterum, qua ratione nativitas ex Virgine non per omnia similis nostræ habuit, nec omnino humanæ nativitatis leges secuta est, sunique etiam in quibus partus supra humanam D rationem mirabilis fuit, ac natura novata est. Quænam illa ? Utique conceptio sine semine, partus dolorum expers ; servata post partum, uti ante partum virginitas, ut ex rebus adeo mirabilibus, non nudus homo existimaretur qui natus esset, sed veritate Deus cognosceretur qui carnem induisset. Sic sane etiam in morte naturalia commista fuerunt, iis quæ naturæ rationem excedunt. Sunt autem ista, ut ex potestate ac libera ex se voluntate, Patris manibus spiritum commendarit ; ut in infernum descendens, vinctos qui illic tenebantur, reduxerit ; ut tridua-

C Ἐπεὶ τοίνυν οὐδὲν ἕτερόν ἐστι θάνατος, ἀλλ' ἢ χωρισμὸς τῆς ψυχῆς ἀπὸ σώματος, ἄνθρωπος δὲ κατὰ ἀλήθειαν γέγονεν ὁ Ἐμμανουὴλ, καὶ πάντα τὰ τῆς ἀνθρωπότητος μέτρα διὰ φιλανθρωπίαν ἐδέξατο χωρὶς ἁμαρτίας, θνήσκει κατὰ νόμον φύσεως ἀνθρωπίνης · ἑκουσίως μὲν, ἀλλ' οὐχὶ τυραννίδι θανάτου συνελαυνόμενος · καὶ διίσταται μὲν ἐκ τοῦ σώματος ἡ ψυχὴ, νεκροῦται δὲ τὸ σῶμα διαζυγὲν τῆς ψυχῆς · ἡ θεότης δὲ, ἀμφοῖν ἀδιάστατος καὶ ἀδιάῤῥηκτος, τὰ διεστῶτα συνάγουσα, καὶ τὴν ἐξ αὐτῆς ἑνώσεως εἰς ἑαυτὴν ὑπόστασιν συντηροῦσα καὶ μετὰ θάνατον. Καὶ ἡ μὲν κάτεισιν αὐτεξουσίως ἐν τῷ ᾅδῃ · τὸ σῶμα δὲ τῷ τάφῳ συγκλείεται. Πλὴν ὥσπερ ἡ ἐκ Παρθένου γέννησις οὐ κατὰ πάντα ἦν καθ' ἡμᾶς, οὐδὲ τῇ ἀνθρωπείᾳ γεννήσει ὁλοτελῶς ἠκολούθησεν · ἀλλ' εἰσὶν ἐν οἷς καὶ ὑπὲρ ἡμᾶς ὁ τόκος παρεδοξάσθη, καὶ ἡ φύσις κεκαινοτόμηται · τίνα ταῦτα ; ἡ τῆς συλλήψεως ἀσπορία · ἡ ὠδίνων ἄνευ κυοφορία · ἡ μετὰ τὴν κύησιν ὡς πρὸ ταύτης τῆς παρθενίας συντήρησις · ὡς ἐκ τηλικούτου παραδοξάσματος, μὴ ψιλὸν ἄνθρωπον τὸν τεχθέντα, Θεὸν δὲ ταῖς ἀληθείαις ἐγνῶσθαι σεσαρκωμένον · καὶ οὕτω δὴ καὶ ἐν τῷ θανάτῳ, τὰ κατὰ φύσιν σύμμικτα τοῖς ὑπερφυέσι. Καὶ εἰσὶ ταῦτα, τὸ κατ' ἐξουσίαν καὶ αὐτοδεσπότως ταῖς πατρικαῖς χερσὶ παραθεῖναι τὸ πνεῦμα · τὸ καταβῆναι [ἐν τῷ ᾅδῃ,] καὶ τοὺς ἐκεῖ δεσμίους ἀνακαλεῖν, τὸ σῶμα δὲ ἀδιάφθορον ἐνυπτιάσαι τῷ τάφῳ τρι-

[11] Psal. xc, 4-6. [12] Psal. xxxviii, 15. [13-14] Psal. lxxxvii, 5. [15] ibid. 7.

Digitized by Google

ἡμερον, θαλερὸν, ὡς τῇ θεότητι ζῶν· ζωὴν πηγάζον οὐ διαφθοράν· συνέχον, οὐ συνεχόμενον τοῖς ἐνταφίοις δεσμοῖς· μυρίζον, οὐ μυριζόμενον τοῖς νεκρικοῖς ἀρώμασιν· ἕωλον μὲν τῶν ἡμερῶν διαστήμασι, ζῶον δὲ τῷ ἐκ τῆς θεότητος ὑποστήματι.

num in sepulcro corpus resupinum incorruptum manserit, vegetum illud, ut quod viveret Deitate, vitam scaturiens, non corruptionem; quod contineret, non contineretur sepulcralibus vinculis; quod ungeret, non ungeretur mortuorum aromatibus; quod quidem dierum intervallo obsoletum esset, sustentante autem Deitate vivum exsisteret.

Ἄγε τοίνυν, ἡμεῖς τὰς μυροφόρους μαθητρίας προλάβωμεν, μαθηταὶ τῆς πνευματικῆς ἐλευθερίας τυγχάνοντες. Ἐκεῖναι γὰρ ἔτι νομοφυλακοῦσι, καὶ τὴν νομικὴν σκιὰν ὑποκάθηνται σαββατίζουσαι· ὁ δὲ λόγος καταφρονείτω νῦν τοῦ Σαββάτου· καταπολμάτω τῆς κουστωδίας· εἰσδυέτω τὴν πέτραν λαξευτὴν, καὶ ὑπ' αὐτὴν σκεπασθεὶς, ὁράτω Θεοῦ ἀπόῤῥητον συγκατάβασιν· βλεπέτω Θεοῦ πρόσωπον μετὰ παῤῥησίας· οὐ μὴ γὰρ ἀποθάνῃ εἰς τοὺς αἰῶνας. Πῶς γάρ, ὅπου καὶ οἱ θανόντες, ἰδόντες ἀνεζωώθησαν; Ἡκέτω τοίνυν Δαβὶδ· στηκέτω μεθ' ἡμῶν· ἐξαρχέτω τῆς ἑορτῆς· χορηγείτω τῶν ὕμνων τὰς ἀφορμάς· πρόσωπον ὑποδυέσθω τοῦ κατακρίτου τῇ διαφθορᾷ, καὶ τῷ ᾅδῃ βροτείου πληρώματος, τοῦ πάλαι τὴν τοῦ Σωτῆρος ἀπεκδεχομένου ἐπέλευσιν, καὶ τὴν νῦν ἐκ τάφου ἀθανασίαν· « Ὑπομένων ὑπέμεινα τὸν Κύριον, μελιῤῥῶν, καὶ εἰσήκουσε τῆς δεήσεώς μου· καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας· » λάκκον ταλαιπωρίας τῆς διαφθορᾶς τὸ χωρίον, τὸν τάφον ἐπεξηγούμενος· « Καὶ ἀπὸ πηλοῦ ἰλύος· » τῆς εἰς γῆν καὶ ὕδωρ τοῦ σώματος ἀναλύσεως, ἐξ ὧν καὶ συνέστηκε. Ταῦτα τὰ ἐκ τῆς κατάρας ἡμῶν ἐπιτίμια. Ἀλλ' ἐπιμεμιδιάτω ἡμῖν καὶ τὰ καταθύμια. « Καὶ ἔστησε, φησὶν, ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. » Πῶς, καὶ τίνα τρόπον; Τίθεται Χριστὸς ἐπὶ τὴν πέτραν ταύτην τοῦ μνήματος, καὶ τὸ στερῤῥὸν αἱ βάσεις τῆς ἡμετέρας λαμβάνουσι φύσεως, καὶ οὐκέτι *ἐκχυθήσονται τὰ διαβήματα* τῶν ἀνθρώπων εἰς θάνατον· πηγάζει γὰρ ἡ πέτρα ὕδωρ ἀθανασίας. Πάντα μὲν οὖν τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη, προσείληπται τῷ Μονογενεῖ κατ' ἀλήθειαν, γεγονότι ἀνθρώπῳ ἐξ αἱμάτων παρθενικῶν, καὶ ὅλον τὸ Ἀδαμιαῖον φύραμα ἐν ἑαυτῷ ὑποστήσαντι. Ἔκτοτε οὖν κινεῖσθαι ἀρξάμενα, οὐκ ἀνάγκῃ φύσεως, ἀλλ' ἐνδόσει θεότητος, σήμερον ἐν τῇ πέτρᾳ ταύτῃ τῆς κινήσεως ἔστησαν· « καὶ ἐχόμενα πέτρας ταυτησὶ κατεπόθησαν. » Οὐκέτι κόπος, οὐκέθ' ὕπνος, οὐ πεῖνα, οὐ δίψα, τὰ μετὰ τὴν παράβασιν τῆς φύσεως ἡμῶν ἐπιτίμια. Τῆς γὰρ ἀφθαρσίας ἐξανθησάσης, ταῦτα κατεμαράνθησαν, ἅπερ ἐμοὶ καὶ « νήπια Βαβυλώνια ὀνομασθήσεται προσεδαφισθέντα τῇ πέτρᾳ ταύτῃ, » καὶ ἀναλωθέντα· νήπια μὲν, ὅτι οὐκ εἰς ἁμαρτίας λογίζεται· ἀδιάβλητα γάρ· Βαβυλώνια δὲ, ὅτι μετὰ τὴν πρὸς τὴν κοσμικὴν σύγχυσιν ἔκπτωσιν, καὶ τὴν ἀπὸ τῆς ὑψηλῆς Ἱερουσαλὴμ, πρὸς τὴν κοιλάδα τοῦ κλαυθμῶνος ἀπαγωγὴν, ταυτὶ παρεισέδυσαν τὰ μὴ διαβεβλημένα πάθη, ἐπίφθορα ὄντα τῇ διὰ πληρώσεως καὶ κενώσεως συνισταμένῃ τῶν ἀνθρώπων ζωῇ.

Age ergo unguentiferas discipulas occupemus, qui spiritalis libertatis discipuli simus. Illæ siquidem adhuc legem servant, subsidentque sabbatizantes umbram legalem: Nunc autem sermo Sabbatum negligat, contemnat custodiam, intret in excisam petram, eaque obtectus, videat ineffabilem Dei inclinationem, Dei vultum libere aspiciat: non enim morietur in æternum. Qui enim? Quando etiam mortui videntes, vivificati sunt. Veniat itaque David, stet nobiscum, festæ luci præsul exsistat, canticorum argumenta suggerat: personam subeat hominum cœtus corruptioni addicti, ac inferno mortalis, ejus qui olim Salvatoris præstolaretur adventum, ac immortalitatem quæ nunc exhibetur, modulans in hæc verba: « Exspectans exspectavi Dominum, et exaudivit preces meas: et eduxit me de lacu miseriæ[16]. » Lacum miseriæ, corruptionis locum postmodum sepulcrum exponens: « Et de luto fæcis[17], » ex resoluto corpore in terram et aquam, ex quibus etiam constitutum est. Hæc maledictionis nobis indictæ multa. Enimvero arridens quoque nobis desiderata edicat: « Et statuit, inquit, supra petram pedes meos, et direxit gressus meos[18]. » Quo id modo, ac qua ratione? Ponitur Christus super hanc petram monumenti, solidanturque nostræ naturæ bases, nec amplius hominum *gressus* in mortem *effundentur*[19]: petra siquidem immortalitatis aquam scaturit. Sane quidem Unigenitus naturales omnes affectiones, quæ vacant crimine, vere assumpsit, qui sit factus homo ex sanguinibus virginalibus, totamque Adæ conspersionem in se ipse sustentaverit. Ab eo itaque tempore, cum moveri cœpissent, non necessitate naturæ, sed Deitatis concessione, hodie in petra hac, a motu quievere, « fueruntque absorptæ huic junctæ petræ[20]. » Non enim amplius est labor, non somnus, non fames, non sitis, pœnalia illa a prævaricatione in naturam invecta. Efflorente enim incorruptione, obsoluerunt ista; eaque ego appellarim « parvulos Babylonis, ad istam allisos petram[21], » atque peremptos: parvulos quidem, eo quod non imputentur ad culpam; quippe vacant crimine; Babylonis autem, quia innocuæ ejusmodi affectiones, post casum in mundi illam confusionem, abductionemque a sublimi Jerusalem in vallem fletus, occasione ingressæ, humanæ vitæ, quæ plenitudine ac exinanitione constat, interitum consciscunt.

[16] Psal. XXXIX, 2. [17] ibid. [18] Psal. XXXIX, 3. [19] Psal. LXXII, 2. [20] Psal. CXL, 6. [21] Psal. CXXXVI, 8.

Digitized by Google

Tu mihi quoque, sermo, longius exi, ad usque deserti viam, Manna collecturus; nec te Sabbati metus incessat. Habent enim qui Christi adventu sabbatizaverit, Judaica Sabbata. Adeo igitur decantatum Manna, « angelorum panis [22] » in Psalmorum libro fuit appellatum : eratque illud, quod asserens dico, hujusce mysterii prævia designatio, ac Christum panem cœlestem, qui ad nos usque descendit, ceu delineatione expressit, quem qui manducant, non moriuntur, ut ea quoque ratione angelorum panis vocetur : nam angeli immortales sunt : quodque alioqui congruat, ut qui sunt angelicis moribus præditi manducent. Erat certe quondam natura hominum unius diei, cum propter divini mandati transgressionem, fuisset corruptioni addicta. Sed et vermes ebulliebat, quos putredo edit : eratque plenus fetore, quique naribus difficile efflaretur, olentiæ influxus : quibus utique corruptionis vitiis, etiam Manna obnoxium erat, ut in proximam crastinam lucem solis, servari non posset. Pro more enim insectorum unius diei, ipsa die, cum nascebatur, tum interibat : quod autem amplius servatum esset, tanquam mortuum corpus, ac loculo conditum, vermes ebulliebat. Cum autem dies adveniret quæ præcedit Sabbatum, postquam Sabbatum haberet oriri, recondebatur quidem a vespera, ac intra vasa abscondebatur, eratque omnino a putredine immune, et ut ne vestigium corruptionis invaderet, utque dum diei, quæ septimanæ dierum caput præcedit, diluculum claresceret : quod ipsum tempus, cœlestis panis sepulturæ designabat mysterium, ac incorruptionis delineabat figuras. Ante enim vesperam Paraseeves, in monumento, supremo viventium habitaculo depositus, immunis a corruptione servatus est, omnique a morte vitiante immutatione, ac alteratione, superior effectus. Nactus vero ipse incorruptionem, ejus universam naturam participem fecit, ita ut multi corruptionis relicta sede, nempe monumentis, redivivi apparuerint; ac secundam induti vitam, quemadmodum ait : « Qui seminant in lacrymis, in exsultatione metent [23]. » Mystica Davidis agricultura est, ex qua sermo fructus hos colligit, verborumque intellectum, in deiferi ac vivifici sepulcri penum mittit.

Verum propheta quidem, plenum labore Israelitici populi in Babylonem descensum, ejusque inde lætum regressum, sementis ac messis symbolo obscure designavit : nos autem sacrum Evangelium in Dominicum monumentum rapit, illius vocis memores, quæ ait : « Nisi granum frumenti cadens in terram mortuum fuerit, ipsum solum manet : si autem mortuum fuerit, multum fructum affert [24]. » Nunc quippe seminatur in lacrymis supra monumenti petrosa, quod mundum alit, granum; ac nedum non arescet, sed et multum immortalitatis fructum, perfecta maturitate terri-

Ἐξιθί μοι, λόγε, καὶ πορρώτερω, καὶ μέχρι βάδισιν τῆς ἐρήμου, τὴν τοῦ Μάννα συγκομιδὴν ποιησόμενος· μηδὲ ὑποστέλλου διὰ τοῦ Σαββάτου· ἔχουσι γὰρ σαββατίσαντα τῇ παρουσίᾳ Χριστοῦ, τὰ Ἰουδαϊκὰ Σάββατα. Μάννα οὖν ἐννόει τὸ πολυθρύλλητον, « ἄρτος ἀγγέλων » τῇ βίβλῳ κέκληται τῶν Ψαλμῶν· καὶ ἦν, ὡς ἐγώ φημι, τοῦ παρόντος μυστηρίου προτύπωσις, καὶ ὑπέγγραφε τὸν Χριστὸν τὸν οὐράνιον ἄρτον, καὶ μέχρις ἡμῶν καταβεβηκότα, ὃν οἱ τρώγοντες, οὐκ ἀποθνήσκουσιν· ὡς διὰ τοῦτο, καὶ ἄρτον ἀγγέλων καλεῖσθαι. Ἀθάνατοι γὰρ οἱ ἄγγελοι· καὶ τοῖς ἄλλως ἀγγελοκίοις [-λικοῖς ?] προσήκειν ἐσθίεσθαι. Ἦν μὲν οὖν ἐφήμερος ἡ τῶν ἀνθρώπων φύσις ποτὲ, ὑπὸ φθορὰν γενομένη, διὰ τὴν τῆς θείας παράβασιν ἐντολῆς. Ἐξέβραττε δὲ καὶ σκώληκας, τὰ τῆς σήψεως ἀποκυήματα· καὶ πλήρης ἦν δυσοδμίας, καὶ μυκτήρων δυσαπόφορος εἰσροή· οἷς δὴ πάθεσι διαφθορᾶς, καὶ τὸ Μάννα ὑπέκειτο, μὴ δυνάμενον τὴν ἐς νέωτα καταλήψεσθαι φεραύγειαν ἡλιακήν. Κατὰ γὰρ τὰ ἐφήμερα τῶν ζωιφύων, αὐθήμερον καὶ ἐτίκτετο, καὶ ἀπέθνησκε· τὸ δ' ἀπὸ τοῦδε τεταμιευμένον, ὡς τεθνηκὸς σῶμα, καὶ ἐνσοριασθὲν, ἐξέζεε σκώληκας. Ἐπὰν δὲ τὸ Προσάββατον καταλάβοι, μεθ' ὃ τὸ Σάββατον ὑπανέτελλεν, ἐταμιεύετο μὲν ἐξ ἑσπέρας, καὶ ἔνδον ἐκρύπτετο τῶν σκευῶν· καὶ ἦν ἄσηπτον παντελῶς, καὶ διαφθορᾶς ἀπρόσψαυστον ἴχνεσιν, ἕως καὶ ἐς αὐτὸν ὑπαυγάζοντα ὄρθρον, τῆς εἰς κεφαλὴν προκαθημένης τῶν ἑβδομαδικῶν ἡμερῶν· καὶ ὁ καιρὸς οὗτος, τὸ τῆς ταφῆς τοῦ οὐρανίου ἄρτου προετύπου μυστήριον, καὶ τῆς ἀδιαφθορίας προυπεχάραττεν εἰκονίσματα. Τὸ πρὸς ἑσπέραν γὰρ τῆς Παρασκευῆς, τῷ μνήματι ἀποταμιευθεὶς, τῷ τελευταίῳ τῶν βιούντων οἰκητηρίῳ, ἐξάντης τῆς διαφθορᾶς ἀποσέσωσται, καὶ τῆς οἱασοῦν νεκρώδους παρεκτροπῆς καὶ ἀλλοιώσεως ὑπερέβη. Ἀπαφθαρθεὶς δὲ, πάσῃ τῇ φύσει τῆς ἀφθαρσίας μετέδωκεν, ὥστε πολλοὺς τῆς διαφθορᾶς τὰ χωρία καταλιπόντας, τὰ μνήματα, παλιμβίους ὀρᾶσθαι, καὶ δευτέραν ἀμφιεννυμένους ζωήν· καθὼς εἶπεν, « Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσιν. » Ἐκ τῆς τοῦ Δαβὶδ μυστικῆς γεηπονίας, ὁ λόγος ταῦτα καρπίζεται, καὶ τὴν διάνοιαν τῶν ῥημάτων, πρὸς τὴν ἀποθήκην ἄγει τοῦ θεοφόρου τάφου, καὶ ζωηροῦ.

Ἀλλ' ὁ μὲν προφήτης, τὴν εἰς Βαβυλῶνα ἐπίπονον κάθοδον, καὶ τὴν ἐκεῖθεν αὖθις εὔθυμον ἄνοδον τοῦ Ἰσραὴλ, ἐπικεκρυμμένως διὰ τοῦ σπόρου καὶ τοῦ θέρους ἠνίξατο· ἡμᾶς δὲ τὸ ἱερὸν Εὐαγγέλιον, ἐπὶ τὸ Δεσποτικὸν μνημεῖον ἐκφέρεται, τῆς θεολέκτου μεμνημένους φωνῆς, τῆς « Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, λεγούσης, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. » Σπείρεται γὰρ νῦν ἐν δάκρυσιν ὁ κοσμοτρόφος κόκκος ἐπὶ τὰ πετρώδη τοῦ μνήματος, ὃς οὐ μόνον οὐ ξηρανθήσεται, ἀλλὰ καὶ πολὺν καρπὸν ἀθανασίας τελεσφορήσει τοῖς γηγενέσι. Καὶ τοῦ εὐαγγελικοῦ μὲν σπόρου,

[22] Psal. LXXVII, 25. [23] Psal. CXXV, 5. [24] Joan. XII, 24.

Digitized by Google

ὅσον τῆς πέτρας κατεσκεδάσθη, ἀπεξηράνθαι φησὶ τὸ λόγιον διὰ τὸ μὴ ἔχειν ῥίζαν· ὁ δὲ μυστικὸς καὶ ἡμέτερος κόκκος, ὡς διφυὴς, καὶ δίῤῥιζός ἐστιν· ἄνω μὲν τὸν Πατέρα προαιώνιον ῥίζαν αὐχῶν· κάτω δὲ, τὴν Μητέρα, καὶ δι' αὐτῆς, τὸν τοῦ Δαβὶδ πατέρα, τὸν Ἰεσσαί. Ἐκ τῆς ῥίζης γὰρ αὐτοῦ, τὸ κατὰ σάρκα, ἐβλάστησεν. Ἀλλ' οὐδὲ ἡλίου ἀνατείλαντος, μάρανσιν πεπονθὼς εὑρεθήσεται. « Λίαν γὰρ, φησὶ, πρωῒ τῆς μιᾶς Σαββάτου, ἦλθον αἱ μὲν γυναῖκες ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου· καὶ ὁ κόκκος σταχυφορήσας τὴν τῶν βροτῶν σωτηρίαν, ἐκεῖθεν ἀνέσχε, καὶ τὴν γῆν καταλέλοιπε. Τί μὴ λέγω, ὡς οὐδὲ αἱ ἄκανθαι τοῦτον τὴν χθὲς ἐναπέπνιξαν· καὶ ταῦτα κατὰ κύκλον περιλαβοῦσαι, καὶ τὴν μακαρίαν συσφίγγουσαι κεφαλήν; Οὐ γὰρ ἀνιαρὰ τῷ Δεσπότῃ τὰ ἄτιμα· χαρμόσυνα μὲν οὖν διὰ τὴν ἐμὴν σωτηρίαν· καὶ στέφανος καυχήσεως, ἡ πρὸς ὕβριν στεφηφορία τῶν ἀκανθῶν. Ἔχαιρεν ὅτι βαστάζων τὰς ἡμῶν ἁμαρτίας, ταῖς ἀκανθηραῖς ὀξύτησι συμβολογραφομένας, ὑπὲρ τῆς τούτων ἀφέσεως τῷ Πατρὶ προσῆγεν ἑαυτὸν εἰς θυσίαν. Ὥριστο δὲ τοῦτο πάλαι καὶ τῇ σκιώδει νομοθεσίᾳ τοῦ γράμματος, καὶ ὁ ὑπὲρ ἁμαρτίας προσφέρων θυσίαν, τὰς χεῖρας ἐπετίθει τῇ τοῦ θύματος κεφαλῇ· ὡσανεὶ τὴν πονηρὰν πρᾶξιν ἦστινος αἱ χεῖρες σύμβολον ἦσαν, εἰς ἑαυτὸ τοῦ θύματος ἀναδεχομένου, καὶ ὑπὲρ τοῦ προσαγωγέως ἁγιαζομένου· ὅπερ καὶ ὁ Χριστὸς ὑπαινισσόμενος, ἔλεγεν· « Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν. »

Τοιαῦθ' ἡμεῖς πανηγυρίζομεν, τὰ ἐπισπόρια τοῦ ἀμαράντου κόκκου, καὶ ζωογόνου, θησαυρισθέντος ἤδη ἐπὶ τῆς γῆς, « ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφανίσει· » ἄθικτος γὰρ ταῖς παμφάγοις μύλαις τῆς διαφθορᾶς, ἡ θεοῦπόστατος σάρξ· « καὶ ὅπου κλέπται οὐ διορύξουσιν, οὐδὲ κλέψουσι. » Μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, « Ἦλθον οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, λέγοντες, καὶ ἔκλεψαν αὐτόν. » Ἀλλ' οὗτοι μὲν ὡς σπερμολόγοι καὶ φιλοπτώματοι κόρακες, τὸν τάφον περιερχόμενοι, κατακράζουσι τοῦ κειμένου· πλάνον μὲν αὐτὸν ὀνομάζοντες, δεδοικότες δὲ ὡς ἀληθῆ. Διὸ καὶ ἀντιστρατεύονται τῇ ἀληθείᾳ, καὶ κατὰ σώματος ὁπλοφοροῦσι νεκροῦ. Θύμενοῦν ἕτερόν τι, νὴ τὴν ἀλήθειαν, ἀποσοβήσονται, εἰ τὸ ψεῦδος, καὶ τὴν ἀναιδεστάτην συκοφαντίαν· ὡς ἂν ἐπὶ πολλοῖς μάρτυσι, καὶ τούτοις ἀντικειμένοις, τελεσθῇ τὸ θαῦμα τῆς ἀναστάσεως. Οὐδὲν γὰρ οὕτως τῷ κρινομένῳ πρὸς ἐκνίκησιν ἰσχυρὸν, ὡς τὸ, τοὺς κατηγόρους ὑπερηγόρους ἀναφανῆναι· καὶ τοὺς χθὲς ὑβριστὰς, σήμερον ἐγκωμιαστάς. Πόσου τοῦτό σοι δοκεῖ θαύματος ἄξιον, κήρυκας τῆς ἀναστάσεως ὁρῶντι τοὺς στρατιώτας; Ἰδοὺ γὰρ ἀεὶ « ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, » τὴν ἐκ τάφου ἀνάστασίν τε καὶ ὕψωσιν ἀπαγγέλλουσαι τοῦ Χριστοῦ· « καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν, » τὸ ἀκαταπρόδοτον βεβαιοῦσαι τῆς φυλακῆς. Καὶ τό γε εἰς αὐτοὺς ἦκον, ἀνύστακτον καὶ ἀνα-

A genis producet. Equidem sementis evangelicæ, quidquid sparsum fuerat supra petram, ait Scriptura exaruisse, eo quod non haberet radicem [25]; at mysticum, ac nostrum granum, uti duplici natura, ita et radice duplici est. Patrem quidem, æternam in cœlis radicem habet; in terris autem Matrem, ac per eam Davidis patrem Jesse. Quippe germinavit ex ejus radice secundum carnem [26]. Cæterum neque orto Sole invenietur emarcuisse. « Valde enim mane, inquit, una Sabbati, venerunt mulieres ad monumentum orto jam sole [27]; » granumque, mortalium salutem spicæ instar ferens, inde emerserat, ac terram reliquerat. Quidni dico, neque etiam spinas illud heri suffocasse, quamquam in circuitu complexæ erant, ac beatum con-
B stringerent caput? Non enim Domino molesta sunt quæ probrum habent, sed magis propter meam salutem læta: ac coronam exsultationis ducit, quod ad contumeliam spinarum sertum gestat. Gaudebat, quod portans nostra peccata, spinarum aculeis symbolo designata, Patri se, pro eorum remissione sacrificium, offerret. Porro id quoque olim, litteræ umbram habentis scito statutum erat: ut qui victimam pro peccato offerebat, capiti hostiæ manus imponeret; tanquam illa, malam actionem, cujus manus essent symbolum, in se reciperet, ac sanctificaretur pro offerente: quod ipsum innuens Christus, ait: « Ego pro eis sanctifico meipsum [28]. »

C Hanc nos incorrupti ac vitalis grani seminationem, celebri celebramus conventu: grani, inquam, quod jam thesauro in terra conditum fuit, « ubi nec tinea, nec ærugo demolitur [29]. » Quippe intacta est omnia edentibus corruptionis molis, quæ in Deo subsistit caro: « Ac ubi fures non effodiunt, nec furantur [30]. » Ne illuc Dei hostes linguas mittant, dicentes: « Venerunt discipuli ejus nocte, et furati sunt eum [31]. » Verum hi quidem tanquam seminiverbii, ac cadaverum amantes corvi, circa sepulcrum gyrantes, adversus eum qui jacet sepulcro positus clamant; appellantes quidem seductorem, sed quem tanquam veracem timeant. Quamobrem etiam aciem struunt contra veritatem, armisque instruuntur adversus defuncti corpus.
D Nihil enimvero, per veritatem, eo apparatu submoturi sunt, præter mendacium ac impudentissimam calumniam; eo re gesta, ut miraculum resurrectionis, in præsentia multorum testium, idque adversariorum perficeretur. Nihil enim acto in judicium usque adeo ad victoriam valet, quam ut ipsi se accusatores patronos exhibeant, atque ut qui heri injuriis lacessebant, encomiis hodie celebrent. Quanti hoc miraculi loco habendum putas, ut præcones resurrectionis milites videas? Ecce enim « exaltationes Dei jugiter in gutture eorum [32]: » quæ Christi e sepulcro cum resurrectio-

[25] Matth. XIII, 6. [26] Isa. XI, 1. [27] Marc. XVI, 1. [28] Joan. XVII, 19. [29] Matth. VI, 20. [30] ibid. [31] Matth. XXVIII, 13. [32] Psal. CXLIX, 7.

Digitized by Google

nem, tum exaltationem annuntient : « Et gladii ancipites in manibus eorum [33], » qui nihil proditam custodiam confirment. Ac sane quod spectat ad ipsos, eum milites apostoli Christi præcones, non dormitantem, ac a mortuis suscitatum, mundo declaraturi erant, nisi occupans Judæorum pravitas, illorum quoque animum datis argenteis suffurata esset : qua prius ratione Judam quoque, vim vocalem gutturis perstringens argenteis vinculis, miserabili laqueo præfocasset. Tandem ergo milites produnt veritatem. Quippe sordidum est id genus hominum, ac pecuniis insane inhians : ac bovem quidem in lingua gestat, animique libertatem servitutis jugo mancipat. Eorum malos mores, olim jam David deplorat, dicens : « Filii hominum, ut quid gravi corde [34]? » quod gravi pecuniæ pondere oneretis; illud quoque sacri Psaltis contemnentes, in hæc verba docentis : « Divitiæ si affluant, nolite cor apponere [35]. » Et : « Ut quid diligitis vanitatem, et quæritis mendacium [36]? » lucri causa calumniantes Dominicam resurrectionem. « Scitote quoniam mirificavit Sanctum suum, ut non daret eum videre corruptionem [37]. » Quinimo, notas ei fecit vias instauratæ vitæ. Alia enim aliis succedanea funebria cantica, vitæ auctori mortuo jacenti psallet, decem illud chordarum organum, atque ad ista, alia accinet : « Eripe me, et libera me de manu filiorum alienorum, quorum os locutum est (calumniæ) vanitates (adversus te); et dextera eorum, dextera iniquitatis [38]; » quæ acceptione munerum, veritatem prodiderit. Enimvero perdet eos Dominus, « qui posuerunt mendacium spem suam, et mendacio protecti sunt [39] : » juxta Isaiam. Nos autem revelata facie ac nudo capite veritatem prædicantes, subjectam materiam iterum resumamus.

A στάντα ἀνεδείχθησαν οἱ στρατιῶται ἀπόστολοι Χριστοκήρυκες ἐν τῷ κόσμῳ, εἰ μὴ φθάσασα τῶν Ἰουδαίων ἡ σκαιοτροπία, ἀργυρίοις καὶ αὐτῶν τὴν γνώμην ὑπέκλεψεν, ὡς καὶ τὸν Ἰούδαν τὸ πρότερον ἀθλίως ἐβρόχισε, διασφίγξασα δεσμοῖς ἀργυρίοις τοῦ λάρυγγος τὸ φωνητικόν. Ἀμέλει τοιγὰρ προδιδόασι τὴν ἀλήθειαν οἱ στρατιῶται. Φιλοχερδὲς γὰρ τὸ γένος τοῦτο, καὶ ἀργυρομανές· καὶ φορεῖ μὲν τὸν ἐπὶ γλώττης βοῦν, καὶ τῆς ψυχῆς τὴν ἐλευθερίαν ζυγῷ δουλείας ὑποζευγνύει. Καὶ προφθάνει Δαβὶδ τὴν τούτων ταλανίζων κακοτροπίαν, « Υἱοὶ ἀνθρώπων, λέγων, διατί βαρυκάρδιοι, » βαρυταλάντοις ἀργυρίοις αὐτὴν ἐπιβρίθοντες· περιφρονοῦντες κἀκεῖνο τοῦ ἱεροῦ ψαλτῳδήματος· « Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ [k], » διδάσκοντος. Καί· « Ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; » συκοφαντοῦντες τοῦ Δεσπότου τὴν ἔγερσιν διὰ φιλοκέρδειαν. « Γνῶθε ὅτι ἐθαυμάστωσε τὸν ὅσιον αὐτοῦ, μὴ δεδωκὼς ἰδεῖν αὐτὸν διαφθοράν. » Μᾶλλον μὲν οὖν, ἐγνώρισεν αὐτῷ παλινζωΐας ὁδούς. Ἐπιψαλάξει γὰρ ἀλλεπάλληλα τὰ ἐπιτάφια τῷ κειμένῳ ζωοδότῃ νεκρῷ, τὸ δεκάχορδον ὄργανον, καὶ τούτοις ἕτερα ἐπάσει. « Ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων· ὧν τὸ στόμα ἐλάλησε ματαιότητας (συκοφαντικὰς κατὰ σοῦ)· καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας· » τὴν προσδοσίαν δωροληπτοῦσα τῆς ἀληθείας. Ἀλλ' ἀπολεῖ Κύριος τούτους, « θεμένους ψεῦδος τὴν ἐλπίδα αὐτῶν, καὶ σκεπασθέντας τῇ ψεύδει, » καθ' Ἡσαΐαν. Ἡμεῖς δ' ἀνακεκαλυμμένῳ προσώπῳ, καὶ γυμνῇ τῇ κεφαλῇ τὴν ἀλήθειαν διαB κηρύττοντες, τῆς ὑποθέσεως αὖθις ἐχώμεθα.

Sane propheticus sermo, Unigeniti incarnationem, ac morte conciliandam mortuis immortalitatem, *consilium antiquum, ac verum* appellavit [40]; ac quidem inducitur per parabolam primus generis parens, ab Jerusalem descendisse in Jericho [41]. A divina enim gloria, ac gaudio angelorum, prævaricatione in vallem fletus descendit; descendens autem obvias habuit passiones, ac plagas a dæmonibus accepit : tu vero animi mihi passiones ac plagas intellige. At nostræ vitæ auctori, a Galilæa, juxta historiam, in Jerusalem per Jericho ascendenti, diri latrones occurrerunt. Quid enimvero Judæorum Synagoga prædatorium magis, quibus etiam clementis Dei templum, in latronum speluncam commutatum est? « Qui etiam spoliantes eum, ac plagas imponentes [42]; » puta, nunc quidem flagellantes, nunc clavis configentes, « reliquerunt semivivum [43]. » Etenim Christus duplici compositus natura, mortali ac immortali fuit : ac altera quidem

Ἀρχαίαν μὲν οὖν *βουλὴν καὶ ἀληθινὴν*, ὁ προφητικὸς λόγος τὴν σάρκωσιν ἐκάλεσε τοῦ Μονογενοῦς, καὶ τὴν διὰ θανάτου τῶν θανόντων ἀθανασίαν, καὶ εἰσάγεται μὲν παραβολικῶς ὁ γενάρχης ἡμῶν ἐξ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ κατιών. Ἀπὸ δόξης γὰρ θείας, καὶ ἀγγελικῆς χαρμονῆς, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος διὰ παρακοὴν καταβέβηκε, καὶ κατερχόμενος ὠδοστατήθη τοῖς πάθεσι, καὶ κατεμωλωπίσθη τοῖς δαίμοσι· ψυχικὰ δέ μοι τὰ πάθη, καὶ τοὺς μώλωπας νόησον. Τῷ δέ γε τῆς ζωῆς ἡμῶν ἀρχηγῷ ἀπὸ τῆς Γαλιλαίας ἱστορικῶς διὰ τῆς Ἰερίχω πρὸς τὴν Ἰερουσαλὴμ ἀναβαίνοντι, ἀνηλεεῖς λῃσταὶ συνηντήκεσαν. Τῆς Ἰουδαίων δὲ συναγωγῆς τί ἂν εἴη λῃστρικώτερον, οἷς καὶ ὁ ναὸς τοῦ φιλανθρώπου Θεοῦ, εἰς λῃστῶν μεταπεποίηται σπήλαιον; « Οἱ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες » ὡς νῦν μὲν φραγελλοῦντες, νῦν δὲ ἥλοῦντες· « ἀφῆκαν ἡμιθανῆ. » Σύνθετος γὰρ ὁ Χριστὸς ἐξ ἀθανάτου φύσεως καὶ θνητῆς· καὶ ἡ μὲν μεμένηκε ἀπα-D

[33] Psal. CXLIX. [34] Psal. IV, 3. [35] Psal. LXI, 11. [36] Psal. IV, 3. [37] Psal. XV, 10. [38] Psal. CXLIII, 7. [39] Isa. XXVIII, 15. [40] Isa. XXV, 1. [41] Luc. X, 30 seqq. [42] Luc. XIX, 46. [43] ibid.

VARIÆ LECTIONES.

[k] Apud Septuag. καρδίαν.

Digitized by Google

θὴς, ὅπερ ἦν αὐτὴ κατὰ φύσιν φυλάξασα· ἡ δὲ, τὸ πάθος καὶ τὸν θάνατον ἀνθρωπίνως ὑπέμεινε. Ταῦτ' οὖν ἐκοντὶ καταδεξαμένου τοῦ μακροθύμου, πάντες οἱ φίλοι αὐτοῦ, καὶ οἱ πλησίον μακρόθεν ἑστησαν παραβλεψάμενοι τὸν παθόντα, πλὴν Νικόδημος καὶ Ἰωσήφ. Τὸ γὰρ εἰς αὐτοὺς ἦκον, « Ὑπέμεινε συλλυπούμενον, καὶ ὑπῆρξε· καὶ παρακαλοῦντα, καὶ εὗρε. » Καὶ γυμνὸν ἰδόντες αὐτὸν, καὶ τοῦ ἐνσοριάσοντος χρῄζοντα, σπλαγχνισθέντες, ἱλαρὸν ἐπ' αὐτῷ χέουσι δάκρυον· σινδόσι καταδεσμοῦσι, καὶ ἐπὶ τὸ πανδοχεῖον εἰσάγουσι, νόμῳ κοινῷ ἀνθρωπίνῳ, τῇ γῇ παραπέμποντες, καὶ τῷ τάφῳ καλύπτοντες. Ἡ δὲ μήτηρ ἀνακμάζει ἔτι ταῖς θρηνῳδίαις· ἔτι συλλαμβάνει πυκνοτέρους τοὺς στεναγμούς· ἔτι τὸ δάκρυον ὠδίνει εὐρωώτερον. Αἱ δὲ περιωδυνίαι, βαρύτεραι· αἱ δ' ἀλγηδόνες, ὀξύτεραι. Νῦν γὰρ οὐδ' αὐτὴν ἔχει τοῦ παιδὸς τὴν ὄψιν, τὸ πλεῖον ὑποτεμνομένην τῆς ἀθυμίας, καὶ διὰ τῶν ὀφθαλμῶν, εἰς μέσην τὴν καρδίαν ἀναψυχὴν ἐνσταλάττουσαν. « Ἔγνω γὰρ ὁ ἥλιος τὴν δύσιν αὐτοῦ, » τὴν γῆν ὑπελθὼν, καὶ ἐγένετο νὺξ τῇ τοῦ Ἡλίου Μητρί· νὺξ βαρυαλγίας καὶ συμφορᾶς. Ἐν αὐτῇ διῆλθοσαν πάντα τὰ δίκην θηρίων βιβρώσκοντα τὴν ψυχὴν ἀλγεινά. « Ἀναπεσὼν (γὰρ) ὡς λέων ὁ ἐξ Ἰούδα βλαστὸς, (ὑπὸ τὸ σπήλαιον) ἐκοιμήθη. » Ἔχει δὲ ὅμως καὶ κοιμώμενος, ἀνεῳγμένους τοὺς παντεπόπτικοὺς ὀφθαλμούς. Οὐδὲ γὰρ μετὰ θάνατον, τῆς θεότητος διῃρέθη τὸ πρόσλημμα, ᾗ καθάπαξ ἐνυπέστη, καὶ ἥνωται. Πλὴν ἡ μήτηρ τὸν πανσθενέστατον σκύμνον οὐκ ἔχουσα, « Ὠρύεται ἀπὸ στεναγμοῦ τῆς καρδίας αὐτῆς, » καὶ τοιαῦτά τινα περιπαθέστερον θρηνῳδεῖ·

« Ὦ βάθος πλούτου, καὶ ὕψος πτωχείας! Ὦ νέκρωσις ζωηφόρος, καὶ ἀθανασία θανοῦσα! Ὦ συμπλοκὴ πραγμάτων, τὴν ἐκ τῆς γλώττης ὑπερνικῶσα διάλυσιν! Τίς, ὦ παῖ, καὶ Θεὸς, ἡ ὑψοποιὸς συγκατάβασις; Τίς ἡ πληρεστάτη σου κένωσις; Ὁ μετρῶν τὸν οὐρανὸν σπιθαμῇ, πῶς ὑπέρχῃ τρίπηχυν τάφον; Ὁ τοὺς φωτοβόλους κόλπους πληρῶν τοῦ Πατρὸς, πῶς ἐν κοιλίᾳ συλλαμβάνῃ τοῦ ᾅδου; Ὁ ἐνδύων νέφεσιν οὐρανὸν, πῶς γυμνὸς καθορᾷ, καὶ παρὰ τὸ μὴ ἔχειν σκέπην, πέτραν περιεβάλου; Ἔδυς, τῶν ὀφθαλμῶν τὸ φῶς; οὐ χρεία μοι λοιπὸν τῶν ὀφθαλμῶν, τοῦ φωτὸς ἐκλιπόντος, κατατήξω τὸ τούτων ἔνυγρον εἰς τὰ δάκρυα. Καλύπτῃ τῷ μοδίῳ τοῦ τάφου, ὁ ἀνέσπερος λύχνος οἰκίας τῆς κοσμικῆς; συγκρυβήσομαί σοι καὶ ἡ λυχνία. Οὐ στέγω τὴν ἐναντίαν ἀλλοίωσιν· οὐ φέρω τὴν ἀπευκταίαν ἀντιστροφήν. Τὰ εὔφημά μοι, πρὸς δυσφημίαν μεταχωρεῖ, ἀδοξοῦσι τὰ ἔνδοξα· πικραίνουσι τὰ γλυκέα; λυποῦσί με τὰ χαρμόσυνα. Πόκος ἐγὼ, ἀλλὰ πλήρης ὕδατος τῶν δακρύων· ἐπὶ δὲ πᾶσαν τὴν γῆν, ξηρασία. *Ὑπέμεινα γὰρ συλλυπούμενον* καὶ συνδακρύοντα, *καὶ οὐχ ὑπῆρξεν*. Ἡ βάτος, συμφρύγομαι τῇ ἀθυμίᾳ· ἐνακμάζουσι δὲ, μόνα μοι κέντρα, καὶ κεντοῦσι τὰ σπλάγχνα μου. Ἡ κλίμαξ, λογι-

mansit a passionibus immunis, id conservans, quod per naturam erat : altera autem, passionem, ac mortem humano more sustinuit. Cum itaque longanimis ille hæc ultro susciperet, ejus omnes amici ac propinqui a longe steterunt [46], aspicientes morientem, exceptis Nicodemo et Joseph. Quod enim ad eos attinet, « sustinuit qui simul contristaretur, et fuit; qui consolaretur, et invenit [48]. » Videntes autem nudum, et cui esset pollinctore opus, misericordia moti, blandas in eum lacrymas fundunt : sindonibus alligant, ac in stabulum inducunt, communi humana lege mandantes humo, ac tegentes sepulcro. Cæterum Mater vehementius adhuc lamentis incumbit : acerbiora adhuc assumit suspiria : uberiores parturit lacrymas. Facti sunt dolores graviores, acutiores cruciatus. Nunc enim, neque ipsum habet Filii aspectum, maximam mœroris succidentem partem; quique per oculos, in ipsum cor medium, refrigerium instillaret. Etenim « Sol cognovit occasum suum [46], » subtus terram ingressus; « ac (Solis Matri) facta est nox [47]; » gravis illa doloris ac calamitatis : in ipsa pertransierunt molesta omnia bestiarum more depascentia animum. « Accumbens (enim) ut leo, illud ex Juda germen (subtus speluncam) obdormivit [48]. » Nihilominus vero quanquam dormiens, apertos tamen habet omnium inspectores oculos. Neque enim assumpta natura, a Deitate sejuncta est post mortem, in qua semel subsistentiam, ipsi unita, habuerat. Cæterum Mater, quæ fortissimo illo catulo careat, « rugit a gemitu cordis sui [49], » exque impensiori affectu, talia quædam deplorat :

« O divitiarum profundum, ac altitudinem paupertatis! O mortem vivificam, ac morientem immortalitatem! O rerum complexionem, quam linguæ sedulitas dissolvere non possit! Quænam illa, o Fili, Deusque, exaltare habens inclinatio? Qui cœlum metiris palmo [50], quomodo trium cubitorum sepulcrum subis? Qui luce micantem sinum Patris imples, quomodo inferni ventre comprehenderis! Qui cœlum induis nubibus [51], quomodo aspiceris nudus, quodque tegumento careres, petra coopertus es? Occidisti oculorum lumen? nihil mihi jam necessarii oculi, postquam lumen defecit : consumam eorum humorem in lacrymas. Sepulcri absconderis modio, mundialis domus lucerna nesciens vesperam? Ego quoque candelabrum, una tecum abscondar. Non sustineo contrariam immutationem; ferre non valeo deprecandam conversionem. Quæ mihi in famæ splendorem erant, in infamiam transeunt. Gloriosa, ingloria sunt : dulcia amarescunt : contristant me læta. Sum vellus verum, sed plenum aqua lacrymarum; cum siccitas sit in universa terra. *Sustinui* enim *qui simul contristaretur* [52], ac collacrymaretur, *et non fuit*. Quæ sim rubus [53], torrefio præ mœstitia; solique mihi vi-

[46] Luc. XXIII, 49. [48] Psal. LXVIII, 28. [46] Psal. CIII, 9. [47] ibid. [48] Gen. XLIX, 9. [49] Psal. XXXVII, 9. [50] Isa. XL, 12. [51] Psal. CXLVI, 8. [52] Psal. LXVIII, v. 2. [53] Exod. III, 2.

Digitized by Google

gent aculei, punguntque viscera mea. Quæ scala [54], cogitationum ascensus descensusque sustineo : nunc quidem ad ipsos usque ascendentium cœlos, ac illic eum contuentium, qui hic tumulo jacet, nunc vero ad usque abyssos descendentium. Nam et nubes lucida, abyssi vestigiis inambulat tristis ; nubesque levis, gravi omnino pondere est, ac lacrymarum imbribus plena. Quis vero mihi det ut et nunc quoque una cum Filio, in Ægypti miserabiles tenebras, infernum, inquam, descendam [55] ? Urna ego aurea manna habens [57], plena sum amaritudine, ac præ tristibus, rubiginem animo contraxi. Furore ebrii Israelitæ, surrexerunt, o Dei Verbum, adversus te ludere [58], et ego tua tabula corde conteror. Tuum ego sum illud triste templum, ob disruptum, quod ex me assumpsisti, saccinum velum [59] ; nempe lancea ac clavis perforatum. Ignis, et caligo, et procella super montem Deo incessum [60], multusque inde gemituum sumus.

σμῶν ἀναβάσεις καὶ καταβάσεις καθυπομένω, νῦν μὲν ἀναβαινόντων ἕως τῶν οὐρανῶν, κἀκεῖ τὸν ὧδε κείμενον συνορόντων· νῦν δὲ καταβαινόντων ἕως τῶν ἀβύσσων. Καὶ ἐν ἴχνεσι γὰρ ἀβύσσου περιπατεῖ ἡ φωτεινὴ νεφέλη, στυγνή· καὶ ἡ κούφη, ἐπιεικῶς βαρυσύμφορος, καὶ δμβρων ἐγχύμων δακρυηρῶν. Καὶ τίς μοι δώσει συγκαταβῆναι καὶ νῦν τῷ υἱῷ, ἐπὶ τὴν σκοτεινὴν Αἰγύπτου, ᾅδην [1], ἡ χρυσῆ στάμνος τοῦ μάννα, πλήρης πικρίας, καὶ τὴν ψυχὴν κατίωμαι τοῖς λυπηροῖς. Μεθύσαντες τῇ μανίᾳ οἱ ἐξ Ἰσραὴλ, ἀνέστησαν παίζειν, Λόγε Θεοῦ, κατὰ σοῦ, καὶ ἡ σὴ πλὰξ συντρίβομαι τὴν καρδίαν. Ὁ σὸς ναὸς ἐγὼ σκυθρωπὸς, ὅτι τὸ ἐξ ἐμοῦ σοι σάρκινον καταπέτασμα διερράγη, λόγχῃ καὶ ἥλοις διατρηθέν. Πῦρ καὶ γνόφος καὶ θύελλα, ἐπὶ τὸ ὄρος τὸ θεοβάδιστον, καὶ πολὺς ἐντεῦθεν τῶν στεναγμῶν ὁ καπνός.

« Quam lætum ac illustre tui in terram adventus fundamentum ! quam mœstum ac triste tuæ mortis tectum ! Cœpit a gaudio, desinitque in luctum. Ab spelunca oriens mundo apparuisti, inque speluncam subiens occidis mundo. Inventa tibi est id temporis spelunca, cum *non esset locus in diversorio* [61], nuncque spelunca alia hospes exciperis carens monumento. Cæterum angelicus hymnus tuum illum ceu buccina clangente prædicavit adventum. Verum stella, Persarum tibi sistebat reges, iique adorabant, ac ceu regi offerebant munera ; quæ autem nunc tibi a militibus sunt officia, ignominiam habent ; qui et tuam cumulo resurrectionem muneribus acceptis calumniantur. Tuo in Ægyptum descensu, *concussa sunt manufacta* [62], neque impii Deum glorificabant : nunc quoque terræmotus est, lapidesque conteruntur, te in Ægyptum descendente, caliginosam utique inferni tyrannidem ; ac *quem vocasti ex Ægypto* [63] Israelem, supra quam Pharao durus est corde [64]. O Symeon ! Symeon ! O animi dioptra vique perspectiva acutissime ; tametsi caligáverant corporis oculi ! O optime prædictor, quanquam eras præ senio infirma voce. Venit gladius ; cor meum pervadit ; discerpit viscera mea. Dic quoque, quando futurum sit *ut revelentur ex multis cordibus cogitationes* [64*], ac veritas astruatur. Hactenus quidem meus Filius crucis causa *in multorum ruinam positus est* [65], ut etiam amici ac propinqui eum relinquentes, longe facti sint : quando igitur etiam est resurrecturus ad resurrectionem multorum ? Dic, rogo, ocius : dic quando tristium me prementium carmini accine-

« Ὡς λαμπρὸς ὁ θεμέλιος τῆς ἐν γῇ παρουσίας σου ! Ὡς στυγνὸς ὁ δροφός σου τῆς τελευτῆς ! Ἀπὸ χαρᾶς ἤρξατο, καὶ εἰς τὸ πένθιμον τελευτᾷ. Ἔφανας ἀπὸ σπηλαίου τῷ κόσμῳ, εἰς δὲ σπήλαιον δύνεις ἀπὸ τοῦ κόσμου. Εὕρηταί σοι τότε σπήλαιον, *τόπου μὴ ὄντος ἐν τῷ καταλύματι*· καὶ νῦν ἑτέρῳ σπηλαίῳ ξενοδοχῇ μνήματος ἀπορῶν. Πλὴν ὁ ἐξ ἀγγέλων ὕμνος, τὴν σὴν διεσάλπιζε παρουσίαν. Πλὴν ὁ ἀστὴρ βασιλεῖς Περσῶν σοι παρίστᾳ, καὶ προσεκύνουν καὶ ἐδωροφόρουν ὡς βασιλεῖ· ἄτιμα δέ σοι νῦν τὰ ἐκ στρατιωτῶν, οἳ δὲ ἀλλὰ καὶ δωροληπτήσουσι κατὰ τῆς σῆς ἀναστάσεως. Τῇ πρὸς Αἴγυπτόν σου καθόδῳ, *τὰ χειροποίητα κατεσείσθησαν*, καὶ ἐδοξάζου τοῖς ἀθέοις ὁ Θεός· σεισμὸς καὶ νῦν, καὶ συντρίβονται λίθοι, σοῦ κατιόντος εἰς Αἴγυπτον, τὴν ζοφερὰν τυραννίδα τοῦ ᾅδου· καὶ *ὁ ἐξ Αἰγύπτου κληθεὶς* Ἰσραὴλ, ὑπὲρ τὸν Φαραὼ σκληροκάρδιος. Ὦ Συμεών, Συμεών ! Ὦ τὴν τῆς ψυχῆς διόπτραν ὀξύτατε, εἰ καὶ τοὺς ὀφθαλμοὺς ἠμβλύνου τοῦ σώματος ! Ὦ τὴν πρόῤῥησιν κραταιὲ, εἰ καὶ τὴν φωνὴν ἠῤῥώστεις γεροντῶς. Ἀφίκετο ἡ ῥομφαία· διεμβαίνει μου τὴν καρδίαν· σπαράττει τὰ σπλάγχνα μου. Εἰπὲ καὶ πότε *Ἀποκαλυφθήσονται ἀπὸ πολλῶν καρδιῶν διαλογισμοὶ*, καὶ πιστωθήσεται ἡ ἀλήθεια. Τέως νῦν *εἰς πτῶσιν κεῖται πολλῶν* ὁ ἐμὸς Υἱὸς διὰ τὸν σταυρὸν, ὡς καὶ τοὺς φίλους, καὶ τοὺς πλησίον τοῦτον ἀπολιπόντας, ἐκμεμακρύσθαι. Πότε δὲ καὶ εἰς ἀνάστασιν πολλῶν ἀναστήσεται ; Εἰπὲ τάχος, παρακαλῶ· εἰπὲ τὴν ἐπῳδὴν τῶν πιεζόντων με λυπηρῶν. Ὦ Παῖ, δημιουργὲ τῆς Μητρὸς, ποῦ εἰσιν οἱ τῶν θαυμάτων σου προσκορεῖς ; Ἐλθέτωσαν, τρεχέτωσαν, τοῦ εὐεργέτου προκινδυνεύσοντες. *Οἱ χωλοὶ*,

[54] Gen. xxviii, 12. [55] Exod. xiv, 16. [56] Isa. xix, 1. [57] Hebr. ix, 4. [58] Exod. xxxii, 6. [59] Matth. xxvii, 51. [60] Exod. xix, 16. [61] Luc. ii, 7. [62] Isa. xix, 1. [63] Osee. xi, 1. [64] Exod. x, 1 seqq. [64*] Luc. ii, 35. [65] Ibid. 34.

VARIÆ LECTIONES.

[1] Ἴσ. ὅτην τὸν ᾅδην.

Digitized by Google

πάλιν ὡς ἔλαφοι ἄλλεσθε· τῶν ἀγνωμόνων καθάλλεσθε· ἄνέλετε τοὺς ὄφεις, καὶ τὰ ἐχιδναῖα γεννήματα. *Οἱ μογιλάλοι, τὴν γλῶτταν τραυώσατε·* καταῤῥητορεύσατε τῶν Φαρισαίων· ὀξύνατε ταύτην ὡς *κάλαμον γραμματέως*, τοὺς γράφοντας πονηρίαν γραμματεῖς ἐκκεντήσοντες. Ὁ πολυχρόνιος παραλυτικὸς, ἆρας σου τὸν κράββατον, περιπάτει, καὶ πάλιν ἐπίδειξον αὐτὸν τοῖς ἀπιστοῦσι τῷ ἰατρῷ σου. Εἰ γὰρ καὶ Σάββατόν ἐστιν, ἀλλ' ἔξεστιν ἆραι τὸν κράββατον εἰς δόξαν Θεοῦ τοῦ ἐν παντὶ δοξαζομένου καιρῷ. Εἰπὲ τοῖς ἀπίστοις· Μάτην τὴν ἐντάφιον ταύτην περικαθέζεσθε κλίνην. Ἐγερθήσεται ὁ ἀνακεκλιμένος· οὐδέν ἐστι τοῦτο τὸ τριήμερον. Ἐγὼ νεκρὸς πολυχρόνιος, ἀλλ' ἐν τούτου ῥῆμα τοῦ κραββάτου με ὡς τάφου ἀνιστᾷ. Εἰπὲ ταῦτα ὅ ποτε παράλυτος σύ· εἰ δ' οὐ πείθονται, *Λοῦσον τὴν κλίνην σου· δάκρυσι τὴν στρωμνήν σου βρέξον*, σχετλιάζων κατὰ τῆς μοιχαλίδος καὶ φονουργοῦ γενεᾶς. Ὁ ἐκ γενετῆς τυφλὸς, τὸ φῶς σου βλέπε τῶν ὀφθαλμῶν μεμυκός· καὶ εἰ μηδὲν ἕτερον δύνῃ πρὸς σύναρσιν, προσαίτης γε ὤν, κἂν γοῦν χρῆσαι τούτοις εἰς δάκρυα. Τέγξον τὴν γῆν· πηλοποίησον· ἀντισήκωσον τὴν ἔμπλαστρόν σου τῷ ἰατρῷ. Ἐὰν ἑλκυσθῇς ἐπὶ τὴν Συναγωγὴν, πάλιν ἔνστηθι κραταιότερον· φανέρωσόν σου τὸν φωτοδότην· κήρυξον τὸ φῶς τὸ ἀληθινὸν, ὃς τοὺς λύχνους ἀνῆψε τοῦ σώματος. Συναλγεῖτέ μοι καὶ ὑμεῖς οἱ ποτε κωφοί· ναὶ συναλγεῖτε, καὶ τὴν προτέραν ζητεῖτε κώφευσιν, τὰς κατὰ Χριστοῦ μὴ στέγοντες βλασφημίας. Οἱ πειραθέντες δαιμόνων, μηκέτι φοβεῖσθε τὴν τούτων ἐπήρειαν. Ὅλαι τοῦ σκότους αἱ φάλαγγες αὐτῷ φαλαγγάρχῃ, τοῖς σταυρωταῖς συνεπέθεντο. Ἔτυχον δὲ ἐπιτηδείων ὀργάνων τῆς σφῶν φονουργίας. Εἰσέδυσαν· ἐνεφιλοχώρησαν· ἐξεβάκχευσαν τοὺς ἀθλίους. Οὐχ ὁρᾶτε ὡς τρίζουσι τοὺς ὀδόντας; πῶς διαῤῥήξουσι τὰ ἱμάτια; πῶς παραφθέγγονται, τῷ Θεῷ βλασφημίαν ἐπεγκαλοῦντες; πῶς ἀφρίζουσιν ἐκ τοῦ στόματος τῷ Δεσποτικῷ προσώπῳ ἐμπτύοντες; πῶς τοὺς ὀφθαλμοὺς διεστράφησαν; καὶ Βαραββᾶν ὁρῶντες λῃστὴν, Χριστὸν ἡγοῦνται Σωτῆρα, καὶ σώζουσι; καὶ Χριστὸν ὁρῶντες, λῃστὴν νομίζουσι, καὶ φονεύουσι; Τὸ φῶς, βλέπουσι σκότος· καὶ τὸ σκότος, φῶς. Τὸ γλυκὺ νοοῦσι πικρόν· καὶ τὸ πικρὸν ὁμολογοῦσι γλυκύ. Ὦ γενεὰ σκολιὰ καὶ διεστραμμένη!

Ὦ παλίμβολον φῦλον καὶ ἄπιστον! Χθὲς ὑπεστρώννυεν ὡς βασιλεῖ τὰ ἱμάτια, σήμερον ὡς δοῦλον μαστιγίαν ἀπογυμνοῖ. Χθὲς εὐφημίαι, καὶ σήμερον δυσφημίαι! Χθὲς τὸ, *Εὐλογημένος ὁ ἐρχόμενος·* σήμερον τὸ, *Ἐπικατάρατος ὁ ξύλῳ κρεμάμενος.* Χθὲς, *Βασιλεὺς τοῦ Ἰσραὴλ*, καὶ νῦν, Ἀντάρτης κατὰ τοῦ Καίσαρος. Χθὲς ἐσείσθη πᾶσα ἡ πόλις τῇ βασιλικῇ προπομπῇ· σήμερον σεισμὸς οἰκουμενικὸς, καὶ τῆς βάσεως οὐ παρασαλεύονται τῆς κακίας. Ἔστω ταῦτα, ὅτι παρὰ δυσμένων· ὅτι παρὰ βασκαι-

A tur. O Fili Matris conditor, jubi sunt modo quos ex miraculis ad usque satietatem sanitatum donasti munere? Veniant: currant; se pro beneficio suo, periculo exponant. *Claudi*, iterum *salite tanquam cervi* [66], adversus ingratum salite genus; serpentes, ac genimina viperarum occidite. *Muti linguam expedite* [67]; Pharisæos vi dicendi superate; eam acuite *velut calamum scribæ* [68], scribasque, qui malitiam scribant, expungite. Tu plures annos paralyticus [69], tollens grabatum tuum, iterum quoque ambula; ostende illud non credentibus tuo medico. Quanquam enim etiam Sabbatum est, licet tamen illud tollere in Dei gloriam, qui omni tempore glorificatur. Dic incredulis: Frustra sepulcralem hunc lectum obsidetis. Resurget qui fuit
B reclinatus: nihili est quod agitur triduum. Fui ego longi temporis mortuus; ejus tamen verbum unicum, e grabato me, tanquam e sepulcro excitavit. Hæc tu dicito, qui quondam paralyticus fuisti: sin autem non credent, *Lava lectum tuum; lacrymis stratum tuum riga* [70], plangens adversus adulteram gentem et homicidam. Cæcus tu a nativitate, vide oculorum tuorum lumen clausum [71]: atque ut nullo alio opitulari possis, qui sis mendicus, iis certe vel ad lacrymas utaris. Irriga terram, facito lutum, repende emplastrum tuo medico. Siquidem tractus fueris in Synagogam, firmius iterum resiste, eum manifesta qui lumine donavit, lumen illud verum prædica, qui lucernas
C corporis accendit. Una mecum dolete, qui quondam fuistis surdi; ita plane dolete mecum, ac pristinam quærite surditatem, non ferentes blasphemias quæ in Christum jactantur. Qui dæmonum tentamenta experti estis, nolite eorum amplius injuriam timere: universæ siquidem tenebrarum turmæ cum principe suo in crucifixores irruerunt. Porro invenerunt opportuna cædi, quam moliebantur, organa. Ingressi subierunt, inhabitarunt, in furorem miseros egerunt. Non videtis ut stridant dentibus? Ut vestimenta discindant? ut stulte loquantur, blasphemiæ crimen Deo inferentes? Ut ore spument, Domino in faciem spuentes? Ut habeant perversos oculos? videntesque Barabbam latronem, Christum existiment, ac salvent: videntes autem Christum, latronem putantes, necent? Lumen, tenebras vident; et tenebras, lumen [72]. Dulce putant amarum, ac amarum confidenter dulce. O generatio prava atque perversa!

D « O genus inconstans ac infidele! Heri substernebant vestimenta tanquam regi; hodie tanquam servum flagrionem nudant.' Celebres heri acclamationes; hodie maledicentiæ. Heri illud: *Benedictus qui venit in nomine Domini* [73]; hodie: *Maledictus qui pendet in ligno* [74]. Heri, *Rex Israel;* hodie, tyrannus adversus Cæsarem. Heri commota est tota civitas Dominico triumpho; hodie terræmotus est universi orbis, nec illi moventur a nequitiæ basi. Enimvero, sic illa habeant,

[66] Isa. xxxv, 6. [67] ibid. [68] Psal. xlv, 2. [69] Joan. v, 7. [70] Psal. vi, 7. [71] Joan. ix, 1 seqq. [72] Isa. v, 20. [73] Matth. xxi, 9. [74] Deut. xxi, 23

Digitized by Google

ἀγειν[s] σκηνοβατεῖν εἰς τὰ ἅδυτα ; Τίς σου ἡ σκέψις, φράσον· καὶ τί σου τὸ ὄνομα [t] ; Ἐγὼ, φησὶν, ἡ χαριτώνυμος Ἄννα τῷ ὑποφήτῃ, γένους μὲν πέφυκα ἱερατικοῦ, φυλῆς Ἀαρωνείτιδος, ῥίζης προφητικῆς καὶ βασιλικῆς. Τοῦ γὰρ Δαβὶδ καὶ Σολομῶντος, καὶ καθεξῆς ὄρπηξ καθέστηκα· συγγενὴς δὲ, καὶ τῆς σῆς γαμετῆς Ἐλισάβετ. Εἶτα συνήφθην μὲν ἀνδρὶ, νόμῳ τῷ τοῦ Δεσπότου· εὑρέθην δὲ στεῖρα καὶ ἄγονος ἐφ' ἱκανὸν χρόνον. Μηδὲν οὖν ὅλως ἀκεσώδυνον τῆς συμφορᾶς εὑρηκυῖα φάρμακον, πρὸς τὸν μόνον δυνάστην, καὶ τῶν ἀπόρων ποριστὴν Θεὸν κατέφυγον· καὶ πρὸς αὐτόν μου τὸ στόμα σπουδαίως ἀνοίξασα, σὺν οἰμωγῇ καρδίας, μετὰ δακρύων ἐβόησα, τοιαῦτα εἰποῦσα· « Ὦ δὴ Κύριε, Κύριε, ὁ κατωδύνων ψυχῶν εἰσακούων ταχύτατα, ἵνα τί με παρήλλαξας φύσεως τῶν προγόνων μου ; ἵνα τί ἔθου με παραβολὴν ἐν τῷ γένει μου, καὶ κίνησιν κεφαλῆς ἐν τῇ φυλῇ μου ; Ἵνα τί τῆς κατάρας τῶν σῶν προφητῶν μέτοχόν με ἀνέδειξας, δούς μοι μήτραν ἀτεκνοῦσαν, καὶ μασθοὺς ξηρούς ; Ἵνα τί μου τὰ δῶρα ἀπρόσδεκτα ὡς ἀτέκνου ἐποίησας ; Ἵνα τί μυκτηρισμόν με τοῖς γνωστοῖς, καὶ χλευασμὸν τοῖς ὑπὸ χεῖρα, καὶ τοῖς γείτοσιν ὄνειδος γενέσθαι κατέλιπες ; Ἐπίβλεψον, Κύριε· εἰσάκουσον, Δέσποτα· σπλαγχνίσθητι, Ἅγιε. Ὁμοίωσόν με τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τοῖς θηρίοις τῆς γῆς, τοῖς τῆς θαλάσσης ἰχθύσιν· ὅτι καὶ αὐτὰ γόνιμά εἰσιν ἐνώπιόν σου, Κύριε. Μὴ χείρων φανείη τῶν ἀλόγων, Ὕψιστε, ἡ κατὰ σὴν ὁμοίωσιν καὶ εἰκόνα ὑπὸ σοῦ γεγονυῖα. »

Ταῦτα εἰποῦσα, καὶ τὰ τούτοις ὅμοια, προστέθεικα, ὅτι « Σοὶ, Δέσποτα, δῶρον χαριστήριον πάντως ἀναθήσομαι, ὃ ἂν δοίης μοι τέκνον, τοῦ εἶναι αὐτὸ καὶ διαμένειν εἰς τὸ σὸν ἁγιαστήριον, ὡς ἱερὸν ἀνάθημα καὶ δῶρον πάντιμον, παρὰ σοῦ δωρηθέν μοι τοῦ δαψιλεστάτου δοτῆρος τῶν τελείων δωρημάτων. »

Τοιαῦτα ἐγὼ αἴθριος οὖσα ἐν τῷ ἐμῷ παραδείσῳ, τὸ μὲν ὄμμα εἰς οὐρανοὺς τείνουσα, τὸ δὲ στῆθός μου ταῖς χερσὶ τύπτουσα, πρὸς τὸν ἐν οὐρανοῖς Θεὸν ἀνεβόων. Ὁ δὲ ἐμοὶ σύνευνος ἐν τῷ ὄρει μονώτατος ὤν, καὶ νηστεύων τεσσαρακονθήμερον, τὰ ἴσα τούτων τὸν Θεὸν ἐλιπάρει· οὕτω τοίνυν ἐπικαμφθεὶς ὁ πρὸς οἶκτον ἕτοιμος καὶ φιλόψυχος Κύριος, ταῖς ἀμφοτέρων εὐχαῖς τὸν αὐτοῦ πέπομφεν ἄγγελον, τὴν τῆς ἐμῆς παιδὸς σύλληψιν ἡμῖν προσαγγείλαντα. Αὐτίκα γοῦν ἡ φύσις πρὸς Θεοῦ κελευσθεῖσα, τὴν γονὴν εἰσεδέξατο· οὐ γὰρ πρὶν τῆς θείας χάριτος αὐτὴν τετόλμηκε δέξασθαι. Ἀλλ' ἐκείνης προεισελθούσης, οὕτως ἡ μύσασα μήτρα τὰς ἰδίας πύλας ἤνοιξε, καὶ τὴν ἐκ Θεοῦ παραθήκην ὑποδεξαμένη παρ' ἑαυτῇ κατέσχεν, ἄχρι Θεοῦ εὐδοκίᾳ τὸ ἐν αὐτῇ σπερμανθὲν εἰς φῶς ἐξῆλθεν [u-v].

es? Tunc puellam in sacra penetralia, eorum communicaturam religionem inferas? Quid spectas? Quid animo propositum est ? eloquere. Ego, inquit Anna prophetæ (illa nomen a gratia habens), sacerdotali prosapia orta sum, ex tribu Aaronitica, prophetica stirpe atque regia. Nam Davidis ac Salomonis, reliquorumque deinceps ramus exsisto : sed et cognata sum Elisabeth conjugis tuæ. Postquam autem deinde, ex Dominicæ præscripto legis, viro conjuncta fuissem, inventa sum sterilis, mansique multum tempus sine prole. Nullum itaque calamitatis meæ remedium inveniens, ad solum rerum omnium potentem, quique rebus etiam difficillimis, viam nobis rationemque ostendit, Deum confugi : atque os meum enixe ad eum aperiens, cum gemitu cordis ac lacrymis clamavi, in hæc verba dicens : « O Domine, Domine, qui mœstas ac dolore oppressas animas celerrime exaudis, cur me a majorum meorum natura discrepare voluisti ? Cur me parabolam fabulamque in familia mea posuisti, ac commotionem capitis in tribu mea ? Cur me tuorum prophetarum exsecrationibus obnoxiam ostendisti, dando uterum sterilem, ac arentia ubera ? Cur mea velut sterilis munera non accepta fecisti ? Cur me notis subsannationem, subditisque derisum, ac probrum vicinis fieri reliquisti ? Respice, Domine : exaudi, Domine : miserere, Sancte. Fac me similem volatilibus cœli, bestiis terræ, piscibus maris : nam et illa gignendi vim habent coram te, o Domine. Ne, Altissime, brutis ipsis animantibus deterior appareat, quam creasti ad imaginem tuam, ac similitudinem [s]. »

Hæc dicens, ac iis similia, adjeci : « Tibi, Domine, gratitudinis ergo omnino donum voveo oblaturam, quam mihi dederis prolem, ut maneat in sanctuario tuo, tanquam sacrum donarium, munusque pretiosissimum, abs te mihi, perfectorum datore liberalissimo donorum, concessum. »

Hæc ego in horto meo sub dio oculis in cœlum defixa, manibus autem pectus tundens, ad Deum, qui in cœlis est, clamabam. Conjux autem meus, solus omnino in monte agens, ac quadraginta jejunans dies, similia Deum comprecabatur : atque ita tandem clemens Dominus, ac ad miserandum promptus, amborum inflexus precibus, angelum suum misit, qui nobis hujusce filiæ meæ conceptionem annuntiaret. Statim ergo, jubente Deo, natura fetum suscepit : neque enim ante gratiam divinam ausa erat suscipere. Verum cum illa prior ingressa esset, matrix hactenus clausa portas suas aperuit, susceptumque a Deo pignus apud se retinuit, donec, ejusdem voluntate, quod conceptum erat in lucem prodiit.

[s] Annæ oratio ex Jacobi apocrypho.

VARIÆ LECTIONES.

[s] Maz. εἰσάγειν. [t] Maz. τί τὸ ἐννόημα. [u-v] Reg. ἐξέλαμψεν, Maz. ἐξελήλυθεν.

Digitized by Google

Idcirco igitur, ablactata jam puella, « Vota mea reddo Deo, quæ distinxerunt labia mea; osque meum locutum est in tribulatione mea [37]. » Propterea etiam virginum agmen cum facibus coegi, sacerdotes convocavi; congregavi cognatos, in hæc verba universos alloquens : Congratulamini mihi omnes, quia hodie mater pariter, offerensque effecta fui; non ut terreno regi filiam offeram (nec enim decet), sed ut Regi cœlesti, tanquam ejus munus ac donarium sistam. Jam ergo accipe, prophetа, Dei mihi munere concessam filiam, atque inducens, planta in monte sanctificationis [38], in præparato habitaculo Dei [39]; nihil anxie inquirens, donec ei, qui illam huc vocavit, visum fuerit finem accipere quæ ad ipsam spectant.

His Zacharias sermonibus auditis, statim Annæ respondit : Benedicta radix tua, summe veneranda; gloriosus uterus tuus, viro amata; prægloriosa tua oblatio, Deo dilecta. Tum puellam summo gaudio tenens, in Sancta eam sanctorum alacriter infert, hæc fortean ad ipsam dicens : Adesdum, meæ plenitudo prophetiæ; huc ades, Domini ordinationum perfectio, ades, obsignatio ejus testamenti; ades, ipsius consiliorum finis; ades, declaratio ejus sacramentorum; ades, universorum speculum prophetarum; ades, collectio male dissonantium; ades, conjunctrix olim dissidentium; ades, firmamentum in terram nutantium; ades, instauratio jam veteratorum; ades, splendor in tenebris jacentium; ades, novum maxime ac divinum donarium; ades, Domina terrigenarum omnium; ingredere in Domini tui gloriam; hactenus quidem in eam quæ in terris est, ac calcari potest; paulo autem post, in supernam illam, ac hominibus inaccessam.

Atque ita merito sacerdos puellam allocutus, eam intus deposuit loco congruo, ac quo præfinitum erat. At illa exsultans, gestiensque, tanquam in thalamo, ita in templo Dei gradiebatur : triennis quidem, ut ætatem spectes; ut autem gratiam, summe perfecta ac consummata, tanquam universorum Deo ac moderatori præscita, prædestinataque, atque electa.

Mansit autem in Sanctorum penitissimis penetralibus, ambrosiis dapibus ab angelo nutrita, ac sacro potata nectare, ad alteram usque ætatem; tumque Dei nutu, ac consilio sacerdotum datur sors super eam, Josephque vir justus sorte victor exit, ac sacram hanc Virginem divina dispensatione a Dei templo, ipsiusque sacerdotibus accipit ad serpentem illum malorum auctorem decipiendum; ne tanquam puellam adhuc integram eam adoriretur, sed tanquam desponsatam præteriret. Fuit igitur castissima Virgo in domo Joseph fabri,

A Ἐντεῦθεν τοίνυν ἀπογαλακτισθέντος αὐτοῦ, « Τὰς εὐχάς μου τῷ Θεῷ ἀποδίδωμι, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. » Διὰ τοῦτο τὸ τῶν παρθένων στίφος μετὰ λαμπάδων συνήθροισα, τοὺς ἱερεῖς συνεκάλεσα· τοὺς συγγενεῖς μου συνήγαγον, πᾶσι λέγουσα ταῦτα· Συγχάρητέ μοι, πάντες, ὅτι καὶ μήτηρ, καὶ προσαγωγὸς σήμερον ἀναδέδειγμαι· οὐ βασιλεῖ ἐπιγείῳ τὸ ἐμὸν τέκνον προσάγουσα· ὅτι οὐδὲ ἔοικεν· ἀλλὰ τῷ ἐπουρανίῳ βασιλεῖ ἀναθεῖσα τοῦτο, ὡς τούτου δῶρα. Δέξαι λοιπὸν, ὦ προφήτα, τὴν ἐμὴν θεόσδοτον θυγατέρα· δέξαι, καὶ εἰσαγαγὼν καταφύτευσον αὐτὴν εἰς τόπον [x] ἁγιάσματος, εἰς ἕτοιμον κατοικητήριον Θεοῦ, μηδὲν περιεργαζόμενος, ἕως ἂν τὰ κατ' αὐτὴν εὐδοκήσειεν εἰς πέρας ἐλθεῖν, ὁ ταύτην ἐνταῦθα καλέσας Θεός.

B Τούτων ἀκούσας ὁ Ζαχαρίας τῶν λόγων, εὐθὺς τῇ Ἄννῃ προσεῖπεν· Εὐλογημένη ἡ ῥίζα σου, πάντιμε· δεδοξασμένη ἡ μήτρα σου, φίλανδρε· καὶ ὑπερένδοξος ἡ προσαγωγή σου, φιλόθεε. Εἶτα τὴν παῖδα περιχαρῶς κατέχων, ταύτην εἰς τὰ τῶν ἁγίων εἰσφέρει προθύμως Ἅγια, τάχα που τοιαῦτα πρὸς αὐτὴν εἰπών· Δεῦρο, πλήρωσις τῆς ἐμῆς προφητείας, δεῦρο, τέλεσμα τῶν συνταγῶν Κυρίου· δεῦρο, σφράγισμα τῆς αὐτοῦ διαθήκης· δεῦρο, τὸ πέρας τῶν αὐτοῦ βουλευμάτων· δεῦρο, δήλωσις τῶν αὐτοῦ μυστηρίων· δεῦρο, διόπτρα τῶν προφητῶν ἁπάντων· δεῦρο, σύλλογε κακῶς διαφωνούντων· δεῦρο, σύναψις τῶν πάλαι διεστηκότων· δεῦρο, στήριγμα τῶν κάτω νενευκότων· δεῦρο, καινισμὸς τῶν πεπαλαιωμένων· δεῦρο, τὸ σέλας τῶν C ἐν σκότει κειμένων· δεῦρο, δώρημα καινότατον καὶ θεῖον· δεῦρο, Δέσποινα τῶν γηγενῶν ἁπάντων· εἴσελθε εἰς τὴν δόξαν [y] τοῦ Κυρίου σου· τέως μὲν, εἰς τὴν κάτω καὶ πατουμένην, μετ' οὐ πολὺ δὲ, εἰς τὴν ἄνω καὶ ἄβατον ἀνθρώποις.

Οὕτως εἰκότως λέξας ὁ μύστης πρὸς τὸ παιδίον, ἐναπέθετο τοῦτο ἔνθα προσῆκε, καὶ προσήρμοσται [z], καὶ προώρισται. Ἡ δὲ παῖς σκιρτῶσα καὶ ἀγαλλομένη, καθάπερ ἐν θαλάμῳ, ἐν τῷ ναῷ τοῦ Θεοῦ ἐβάδιζε· τριετίζουσα μὲν τῷ χρόνῳ τῆς ἡλικίας, ὑπερτελὴς δὲ τῇ χάριτι τῇ θείᾳ, ὡς ἅτε προεγνωσμένη καὶ προωρισμένη καὶ ἐκλελεγμένη τῷ πάντων Θεῷ καὶ ταμίᾳ.

Ἔμεινεν δὲ αὐτὴ εἰς τὰ τῶν ἁγίων ἐνδότερα Ἅγια, ἀμβροσίῳ τροφῇ δι' ἀγγέλου τρεφομένη, καὶ τοῦ θείου νέκταρος ποτιζομένη, μέχρι δευτέρας μεθηλικιώσεως· καὶ τότε νεύματι Θεοῦ, καὶ βουλῇ ἱερέων δίδοται περὶ αὐτῆς κλῆρος, καὶ κατακληροῦται Ἰω- D σὴφ ὁ δίκαιος, καὶ τὴν ἁγίαν ταύτην Παρθένον οἰκονομικῶς ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ ἱερέων παραλαμβάνει, πρὸς δελεασμὸν τοῦ ἀρχεκάκου ὄφεως· ἵνα μὴ ὡς παρθένῳ προσβάλῃ τῇ ἀκηράτῳ κόρῃ, ἀλλ' ὡς ἅτε μεμνηστευμένην ταύτην παραδράμῃ. Ὑπῆρχε τοίνυν ἡ πανάχραντος ἐν τῷ οἴκῳ τοῦ τέ-

[37] Psal. LXV 14. [38] Psal. LXXVII, 54. [39] Psal. XXXII, 14.

VARIÆ LECTIONES.

[x] Reg. ὄρος. [y] Reg. χαράν. [z] Max. ἥρμοζε.

Digitized by Google

κτονος Ἰωσὴφ, τῷ ἀρχιτέκτονι Θεῷ τηρουμένη, ἕως A τὸ πρὸ πάντων αἰώνων ἀπόκρυφον θεῖον μυστήριον ἐν αὐτῇ ἐτελέσθη, καὶ τοῖς βροτοῖς ὁ Θεὸς ἐξ αὐτῆς ὡμοιώθη. Ἀλλὰ τοῦτο μὲν ἄλλης πραγματείας καὶ καιροῦ πρέποντος δεόμενον· ἡμῖν δὲ ὁ λόγος ἐπὶ τὸ προκείμενον πάλιν ἀναγέσθω, καὶ ἡ ἡμέρα τῆς προπομπῆς σήμερον εὐφημείτω.

summo illi universorum fabro ac conditori Deo servata, quousque sacramentum illud divinum, ante sæcula omnia absconditum, in ea perficeretur, atque ex illa Deus mortalibus similis efficeretur. Cæterum id alterius operis ac temporis est ad hoc opportuni : nobis autem nunc sermo ad id quod propositum est revertatur, diemque solemnis hujus deductionis in præsentiarum prosequamur.

Ἄπιθι τοίγαροῦν, ὦ Δέσποινα Θεομῆτορ, ἄπιθι πρὸς τὴν σὴν κληρουχίαν, καὶ βάδιζε εἰς τὰς αὐλὰς τοῦ Κυρίου, σκιρτῶσα καὶ χαίρουσα, τρεφομένη καὶ θάλλουσα, προσδεχομένη ἡμέραν ἐξ ἡμέρας τὴν ἐν σοὶ τοῦ παναγίου Πνεύματος ἔλευσιν, καὶ τῆς δυνάμεως τοῦ Ὑψίστου τὴν ἐπισκίασιν, καὶ τοῦ Υἱοῦ σου τὴν σύλληψιν, ὡς Γαβριὴλ σοι προσφωνήσει[a]· καὶ ὅς τοῖς τὴν σὴν ἑορτὴν τελοῦσιν, τὴν σὴν βοήθειαν, καὶ σκέπην, καὶ προστασίαν· ῥυομένη πάντοτε ταῖς σαῖς πρεσβείαις τούτους ἐκ πάσης ἀνάγκης καὶ κινδύνων, νόσων τε δεινῶν, καὶ συμφορῶν παντοίων, καὶ τῆς μελλούσης ἀπειλῆς δικαίας τοῦ Υἱοῦ σου. Τάξον δὲ αὐτοὺς, ὡς τοῦ Δεσπότου μήτηρ, ἐν τόπῳ τρυφῆς, ἔνθα φῶς καὶ εἰρήνη, καὶ τῶν ὀρεκτῶν ἡ ἀκροτάτη δόσις· « Καὶ γενηθήτω ἄλαλα τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ σοῦ τῆς δικαίας, ἀνομίαν ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει· » καὶ ἐξουδενωθήτω[b] ἐν τῇ πόλει σου ἡ τούτων εἰκών· αἰσχυνθήτωσαν, καὶ ἐκλιπέτωσαν, καὶ ἀπολέσθωσαν, καὶ γνώτωσαν ὅτι ὄνομά σοι Δέσποινα. Σὺ γὰρ μόνη Θεοτόκος, ὑψηλοτάτη ἐπὶ πᾶσαν τὴν γῆν· ἡμεῖς δέ σε, Θεόνυμφε, πίστει εὐλογοῦμεν, καὶ πόθῳ γεραίρομεν, καὶ φόβῳ προσκυνοῦμεν, ἀεί σε μεγαλύνοντες, καὶ σεπτῶς μακαρίζοντες. Μακάριος γὰρ ὡς ἀληθῶς, ἐξ ἀνδρῶν ὁ πατήρ σου, καὶ μακαρία ἐκ γυναικῶν ἡ μήτηρ σου, μακάριος ὁ οἶκός σου, μακάριοι οἱ γνωστοί σου, μακάριοι οἱ ἰδόντες σε, μακάριοι οἱ συνομιλήσαντες, μακάριοι οἱ ὑπηρετήσαντες, μακάριοι οἱ τόποι σου οὓς ἐβάδισας, μακάριος ὁ ναὸς ἐν ᾧ προσηνέχθης, μακάριος Ζαχαρίας, ὁ σὲ ἐναγκαλισάμενος, μακάριος Ἰωσὴφ, ὁ σὲ μνηστευσάμενος, μακαρία ἡ κλίνη σου, μακάριος ὁ τάφος σου. Σὺ γὰρ, τιμὴ τῶν τιμῶν, καὶ γέρας τῶν γερῶν, καὶ ὑψωμάτων ὕψωμα.

Abi igitur, Deipara Domina, abi in tuam hæreditatem; incede in atriis Domini exsultans ac gaudens; alta illic, ac virens, sancti in te Spiritus quotidie adventum exspectans, ac Altissimi obumbrantem virtutem, tuique Filii conceptionem, uti tibi Gabriel acclamaturus est : atque iis qui tuam celebrant festivitatem, tuum impende auxilium, ac B protectionem, tutamenque : tuis semper intercessionibus, ab omni eos libera necessitate ac periculis; gravibusque morbis, ac omnis generis calamitatibus, futuraque justa tui Filii comminatione. Colloca vero ut Domini mater in voluptatis loco, ubi lumen ac pax, summaque desiderabilium impertitio : « Fiantque muta labia dolosa, quæ loquuntur adversum te justam, iniquitatem in superbia, et contemptu [50] : » ad nihilum redigatur eorum imago in tua civitate [51] : confundantur, et deficiant, pereantque, ac sciant quia nomen tibi Domina [52]. Tu enim sola Dei Genitrix, altissima super omnem terram : nos vero te, divina Sponsa, fide benedicimus, desiderioque honoramus, ac timore adoramus, semper te exaltantes, ac veneratione beatam prædicantes. Beatus quippe revera e viris pater tuus, et beata ex mulieribus mater tua, beata domus tua, beati noti tui, beati qui te viderunt, beati qui tua usi sunt consuetudine, beati qui tibi ministrarunt; beata loca quæ calcasti; beatum templum in quo oblata fuisti; beatus Zacharias, qui te ulnis excepit; beatus Joseph, qui te sibi despondit; beatus lectus tuus, beatum sepulcrum tuum ! Tu enim summus honor es, summum præmium, ac summa celsitudo.

Ἀλλ', ὦ μοι, Δέσποινα, μόνη τὸ ἐμὸν ἐκ Θεοῦ ψυχαγώγημα[c], τοῦ ἐν ἐμοὶ καύσωνος ἡ θεία δρόσος, τῆς ξηρανθείσης μου καρδίας ἡ θεόῤῥυτος ῥανὶς, τῆς ζοφερᾶς μου ψυχῆς ἡ τηλαυγεστάτη λαμπὰς, τῆς ἐμῆς πορείας ἡ πρόηγία, τῆς ἀσθενείας μου ἡ δύναμις, τῆς γυμνώσεως ἡ ἀμφίασις, τῆς πτωχείας ὁ πλοῦτος, τὸ τῶν ἀνιάτων τραυμάτων τὸ ἴαμα, ἡ τῶν δακρύων ἀναίρεσις, τῶν στεναγμῶν ἡ κατάπαυσις, τῶν συμφορῶν ἡ μεταποίησις, τῶν ὀδυνῶν ὁ κουφισμὸς, τῶν δεσμῶν ἡ λύσις, τῆς σωτηρίας μου ἡ ἐλπὶς, εἰσάκουσόν μου τῶν προσευχῶν· οἰκτειρόν μου τοὺς στεναγμοὺς, καὶ πρόσδεξαί μου τοὺς ὀδυρμούς. Ἐλέησόν με ἐπικαμφθεῖσα τοῖς δάκρυσι τοῖς ἐμοῖς,

Sed, o Domina, sola tu meum ex Deo solatium : divinus ros in me exsistentis æstus : exarescentis cordis mei divinitus affluentes guttæ, tenebricosæ animæ meæ splendidissima lampas, itineris mei D deductio, meæ debilitatis virtus, nuditatis meæ vestimentum, mendicitatis meæ divitiæ, insanabilium vulnerum meorum medicina, lacrymarum mearum exstinctio, gemituum meorum cessatio, calamitatum depulsio, dolorum levatio, vinculorum solutio, meæ spes salutis, exaudi preces meas; miserere meorum gemituum, ac suscipe lamenta mea. Miserere mei; meis tu inclinata lacrymis, misericordiæ in me visceribus, tanquam benigni

[50] Psal. xxx, 19. [51] Psal. lxxii, 20. [52] Psal. lxxxii, 18, 19.

VARIÆ LECTIONES.

[a] ed. et Maz. προέφησε. [b] R. ἐξολευθρήτω. [c] φωταγώγημα.

Digitized by Google

Dei, ac clementis parens inflectere. Aspice, atque annue supplicationi meæ; imple animæ meæ sitibundum desiderium; meque (31) meæ cognatæ atque conservæ in mansuetorum terra, in tabernaculis justorum in sanctorum regione conjunge: tuque universorum patrocinium, gaudiumque, ac læta jucunditas, dignare, quæso, simul me cum ea lætari, in gaudio illo vere ineffabili, nati ex te Dei ac Regis, thalamoque ejus incorrupto, ac deliciis perpetuis, nullaque satietate oblectantibus; inque ipsius regno occasum nesciente, ac interminabili. Ita Domina mea, ita meum refugium; vita ac auxilium meum, armatura ac gloriatio, spes mea, ac robur meum. Da mihi una cum illa perfrui inenarrabilibus ac incomprehensis Filii tui donis in cœlesti illa mansione. Habes enim, novi, parem cum voluntate facultatem tanquam Altissimi parens: quam etiam ob rem audeo atque confido. Ne ergo mea frauder exspectatione, purissima Domina: sed ejus compos efficiar, o Dei Sponsa, quæ altiori supra rationem ratione, universorum exspectationem peperisti, Dominum nostrum Jesum Christum, verum illum Deum ac Dominum: quem decet omnis gloria, honor, adoratio, cum æterno Patre, ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A σπλαγχνίσθητι ἐπ' ἐμοὶ ὡς μήτηρ τοῦ φιλανθρώπου Θεοῦ. Ἐπίβλεψον καὶ κατάνευσον πρὸς τὴν ἐμὴν ἱκεσίαν, ἐκπλήρωσόν μου τὸ ἐκδιψώμενον καταθύμιον, καὶ σύναψόν με τῇ ἐμῇ συγγόνῳ καὶ συνδούλῃ ἐν τῇ γῇ τῶν πραέων, ἐν σκηναῖς τῶν δικαίων, καὶ χορῷ[d] τῶν ἁγίων· καὶ ἀξίωσόν με, ἡ πάντων προστασία καὶ χαρὰ, καὶ φαιδρὰ θυμηδία, συνευφρανθῆναι ταύτῃ, δέομαί σου, ἐν τῇ χαρᾷ ἐκείνῃ τῇ ὄντως ἀνεκφράστῳ τοῦ ἐκ σοῦ γεννηθέντος Θεοῦ καὶ Βασιλέως, καὶ τῷ νυμφῶνι αὐτοῦ τῷ ἀφθάρτῳ, καὶ τρυφῇ τῇ ἀλήκτῳ καὶ ἀκορέστῳ, καὶ ἐν τῇ ἀνεσπέρῳ καὶ ἀπεράντῳ βασιλείᾳ. Ναὶ, Δέσποινα· ναὶ, τὸ ἐμὸν καταφύγιον, ἡ ζωὴ καὶ ἡ ἀντίληψις, τὸ ὅπλον καὶ τὸ καύχημα, ἡ ἐλπίς μου καὶ τὸ σθένος μου. Δός μοι σὺν αὐτῇ ἀπολαῦσαι τῶν τοῦ Υἱοῦ σου ἀνεκδιηγήτων καὶ B ἀκαταλήπτων δωρεῶν ἐν τῇ ἐπουρανίῳ διαμονῇ. Ἔχεις γὰρ, οἶδα, σύνδρομον τῇ θελήσει τὸ δύνασθαι, ὡς τοῦ Ὑψίστου μήτηρ· καὶ διὰ τοῦτο τολμῶ. Μὴ οὖν ἀποστερηθείην, πανάχραντε Κυρία, τῆς ἐμῆς προσδοκίας· ἀλλὰ τύχοιμι ταύτης, Θεόνυμφε, ἡ τὴν τῶν ὅλων προσδοκίαν ὑπὲρ λόγον τεκοῦσα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἀληθινὸν Θεὸν καὶ Δεσπότην· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

V.

Ejusdem, in sanctissimæ Dei Genitricis Annuntiationem (32).

Ε'.

Τοῦ αὐτοῦ, Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς ὑπεραγίας Θεοτόκου.

(Combef. *Auct. nov.* t. II, p. 1423.)

Venerandæ hujus regalisque collectæ, lucidam ac prægloriosam memoriam, populi, tribus, ac linguæ, omnisque hominum status ac dignitas, necnon festi amans conferta multitudine collectus amplissimus hic cœtus, ac peculiaris populus, exsultabundo nunc animo spiritualiter celebremus: augustaque, ac plena majestate cantica, ortæ Davidico stemmate Reginæ, omni diligentia con- D

C Τῆς παρούσης τιμίας καὶ βασιλικῆς συνάξεως, τὴν φαεινήν τε καὶ ὑπερένδοξον ἀνάμνησιν, λαοὶ, φυλαὶ, καὶ γλῶσσαι, καὶ ἅπαν ἀξίωμα, καὶ ὁ πολύρρευστος οὗτος ὁ φιλέορτος σύλλογος, καὶ λαὸς ὁ περιούσιος, νῦν ἀγαλλιωμένῃ τῇ ψυχῇ πνευματικῶς πανηγυρίσωμεν· καὶ ὕμνους θεοπρεπεῖς, τῇ ἐκ Δαβὶδ Βασιλίδι μετὰ πάσης σπουδῆς ἐξυφάνωμεν· καὶ συστησώμεθα ἑορτὴν ἑορτῶν ἐαρινὴν, καὶ πανήγυριν πανηγύρεων

VARIÆ LECTIONES.

[d] R. χώρᾳ.

NOTÆ.

(31) *Meæ cognatæ atque conservæ.* Συγγόνῳ καὶ συνδούλῃ. Videatur omnino dicere aliquam e cognatis, forte sororem, sanctitate spectabilem, vita jam functam. Absone is qui ediderat tomo illo II. *Biblioth. Patrum*: Ἀντὶ συγκόνῳ, quod erat mendose in ejus codice, suspicatur legendum συγκοίτῳ· quod et reddit, *conjugi*. Quasi vero Germanus aliquando conjugem habuisset, nec magis a Constantino Pogonato adhuc adolescens eviratus esset, ubi ille ejus patrem virum præstantem, ac clarum, tyrannidis metu occidisset, quod omnes perinde testantur Græci scriptores.

(32) Habuit Regius codex, sed fine mutilam: qua tamen desint pauca ad epilogum spectantia, ac acclamationem aliquam in Mariam, sive supplicationem, si quam auctor subjunxit. Stilo congruit cum superiori jam edita sub nomine sancti Germani patriarchæ Constantinopolitani. Dialogismi, quibus tota dramatice decurrit, valde Patribus familiares erant in Dominica hac solemnitate, uti liquet ex orat. 6 Procli, exque alia edita nomine Chrysostomi, eodem plane ac ista schemate. Sed et Mariæ et Joseph dialogismi, qui exstant in Vaticana nomine Georgii Nicomediensis, haud aliud videantur, quam monumentum eadem forma conscriptum, ac quo Josephi anxius animus explicetur, cum is Mariam adulterii suspectam habens, clam relinquere meditaretur: ipsaque Maria vel mysterium hactenus taceret, vel non satis, pro ejus incomprehensibilitate ac novitate, faceret fidem. Ut quid autem in his et similibus pii Patres, ac Mariæ devotissimi, videantur decorum excessisse, aut plus justo adhæsisse Jacobi ἀδελφοθέου apocrypho, sive Jacobi Hierosolymorum archiepiscopi, ut codex eminentissimi cardinalis Mazarini inscriptum habet, pie omnino indulgendum: universis constantissimum habentibus, nihil Mariam vel Joseph commisisse, quam quod rerum momenta, ac augustiæ committendum ferebant a justissimis quibusque conjugibus ac quales erant beatissimum illud par Dei nutu consertum.

Digitized by Google

τῆς ἐλπίδος ἡμῶν, « ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς » ἡμῶν. Σήμερον γὰρ, ὡς ἀληθῶς, αἱ νοεραὶ Δυνάμεις τῶν οὐρανῶν οὐρανόθεν παρέκυψαν, καὶ μεθ' ἡμῶν τῶν γηγενῶν, ... ἐν ᾗ ἡ ἔμψυχος καὶ ἔντιμος καὶ θεοβασίλευτος πόλις, ἀεὶ τειχιζομένη σεμνύνεται.

Χαῖρε, κεχαριτωμένη, ἡ τοῦ μάννα στάμνος ὁλόχρυσος, καὶ σκηνὴ ὡς ἀληθῶς πορφυροποίητος, ἣν ὁ νέος Βεσελεὴλ χρυσοπρεπῶς κατεποίκιλεν. Χαῖρε, κεχαριτωμένη, ἡ διὰ πάντων πορφυρίζουσα θεοβάστακτος νεφέλη, καὶ πηγὴ πηγάζουσα πᾶσιν ἀέναον. Χαῖρε, κεχαριτωμένη, ὁ θρόνος ὁ ὑψηλὸς καὶ ἐπηρμένος τοῦ τῶν ὅλων ποιητοῦ, καὶ λυτρωτοῦ, καὶ πάντα χειρὶ περιέποντος, ὅσα ἐν οὐρανῷ, καὶ ὅσα ἐπὶ τῆς γῆς. Χαῖρε, κεχαριτωμένη, ὁ ναὸς ὁ ἔμψυχος τῆς μεγαλοπρεποῦς δόξης, τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σάρκα φορέσαντος. Χαῖρε, κεχαριτωμένη, ἡ ζωὴν φέρουσα, καὶ τρέφουσα τὸν τρέφοντα· καὶ γάλα ποτίζουσα, τὸν ἐκ πέτρας μέλι πάλαι πηγάσαντα. Χαῖρε, κεχαριτωμένη, ὄρος Θεοῦ, ὄρος πῖον, ὄρος κατάσκιον, ὄρος ἀλατόμητον, ὄρος Θεοῦ τὸ ἐμφανές. Χαῖρε, κεχαριτωμένη, ψυχῆς ἀγαλλίαμα, καὶ ὅλου τοῦ κόσμου παγκόσμιον σέβασμα, καὶ ἁμαρτωλῶν ἁπάντων ἡ ὄντως ἀγαθὴ μεσιτεία. Χαῖρε, κεχαριτωμένη, θύρα θλιβομένων, καὶ προστασία φοβερὰ, τῶν εἰλικρινεῖ καρδίᾳ Θεοτόκον ὁμολογούντων σε. Χαῖρε, κεχαριτωμένη, ἡ φιλάνθρωπον Δεσπότην ὑπὲρ κοινῆς τοῦ γένους τῶν ἀνθρώπων κυοφορήσασα σωτηρίας. Χαῖρε, κεχαριτωμένη, Χριστιανῶν ἁπάντων θαυμαστὸν καὶ εὐσυμπάθητον καταφύγιον, καὶ πάσης μεγαλουργοῦ καλλονῆς ὑψηλότερον θέαμα. Ἀλλὰ ταῦτα μὲν ἡμεῖς οἱ ἐλάχιστοι, παρὰ τῆς θεοπνεύστου Γραφῆς μεμαθηκότες, πρὸς τὴν οὐράνιον νύμφην καὶ βασιλίδα καὶ Θεοτόκον, ἀναξίοις χείλεσι διελέχθημεν· ἔλθωμεν δὲ λοιπὸν, ἐπιπόθητοι, ἐπὶ τὸν ἔνθεον τοῦ ἀρχαγγέλου Γαβριὴλ εὐαγγελισμὸν, καὶ ἀκούσωμέν τί πρὸς αὐτὴν τὴν ἄμεμπτον ἀφικόμενος εὐηγγελίζετο.

Ὁ ἄγγελος. Ἄκουε, δεδοξασμένη· λόγους ἀποκρύφους Ὑψίστου ἄκουε· « Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. » Ὁπλίζου λοιπὸν εἰς Χριστοῦ παρουσίαν· ἦλθον γὰρ εὐαγγελίσασθαί σοι τὰ προῤῥηθέντα, πρὸ καταβολῆς κόσμου.

Ἡ Θεοτόκος. Ἄπιθι πόλεως ἐμῆς καὶ πατρίδος, ἄνθρωπε· ἄπιθι· καὶ σπουδῇ τὸ ἐμὸν κατάλιπε δωμάτιον. Μακρὰν ἀπόφυγε προθύρων τῶν ἐμῶν, ὁ λαλῶν μοι, καὶ μὴ τοιοῦτον εὐαγγελισμὸν τῇ ἐμῇ ταπεινώσει προσκόμιζε.

Ὁ ἄγγελος. Βουλὴν ἀρχαίαν πληρῶσαι βουλόμενος, καὶ ἐλεῆσαι τὸν πλανηθέντα ἄνθρωπον, ἄνθρωπος [γενόμενος] ὁ φιλάνθρωπος, φιλανθρωπίας ἀγαθότητι γενέσθαι ηὐδόκησεν· καὶ τί λοιπὸν τὸν ἐμὸν οὐ προσδέχῃ ἀσπασμὸν, ἡ κεχαριτωμένη;

Ἡ Θεοτόκος. Βλέπω σου, νεανίσκε, τῆς εὐμορ-

texamus, ac vernam solemnitatum solemnitatem, festamque maxime lucem spei nostræ, « in insigni die solemnitatis » nostræ, constituamus. Vere namque hodie spiritales Virtutes de cœlo prospexerunt, ac nobiscum terrigenis..... in qua animata honorabilisque, ac regia civitas, munita semper honestatur.

Ave, gratia plena, urna manna habens tota aurea, tabernaculumque purpuræ revera opere, quod novus ille Beseleel, auro intextum variumque effinxit. Ave, gratia plena, undique rutilans nubes Dei bajula, fonsque perennis universis aquas effluens. Ave, gratia plena, thronus ille excelsus et elevatus universorum Creatoris ac Redemptoris, manuque omnia complectentis atque foventis, tum quæ in cœlo, tum quæ in terra. Ave, gratia plena, animatum templum magnificæ gloriæ ejus, qui nostræ salutis causa homo factus est, ac induit carnem. Ave, gratia plena vitam ferens, eumque alens, qui alit: ac ei lac potûm præbens, qui olim e petra mellis fontes eduxit. Ave, gratia plena, mons Dei, mons pinguis, mons umbrose, mons non cæse: mons in oculis omnium posite. Ave, gratia plena, exsultatio animæ, mundique universi summe decora veneratio: omnium peccatorum mediatrix vere bona. Ave, gratia plena, afflictorum janua, teque sincero corde Dei Genitricem confitentium protectio tremenda. Ave, gratia plena, quæ benignum Dominum, inque humanum propensiorem genus, pro humani generis communi salute peperisti. Ave, gratia plena, Christianorum omnium mirabile, ac quod facile afficiatur refugium, omnique magnifica specie sublimius spectaculum. Verum hæc quidem nos exilissimi, ex Scriptura divinitus inspirata edocti, indignis labiis ad cœlestem Sponsam, Reginamque, ac Dei Genitricem sumus prolocuti: nunc autem, desideratissimi, superest ut ad divinam archangeli Gabrielis salutationem veniamus, ac audiamus quid omni carentem reprehensione adiens, faustæ afferret annuntiationis.

Angelus. Audi, gloriosa: arcanos Altissimi sermones percipe: « Ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum [43]. » Te jam, ut advenientem suscipias, accinge; veni enim ut tibi annuntiarem quæ sunt abscondita ante mundi constitutionem.

Deipara. Abi ab urbe ac patria mea: o homo, abi, citoque meum domicilium relinque. Procul a meis vestibulis aufuge, qui mihi loqueris, nolique ejusmodi nuntium meæ perferre humilitati.

Angelus. Antiquum consilium implere volens, ac hominis errore decepti misereri, qui clemens ac misericors est, clementi bonitate fieri homo dignatus est. Quid ergo jam tu, gratia plena, meam non recipis salutationem?

Deipara. Video tuam, adolescens, omnium co-

[43] Luc. I, 31.

Digitized by Google

lorum gratiis speciosæ formæ tuæ venustam speciem, ac figuræ radiantem aspectum : audioque ex te sermones quos nunquam audivi ; subitque suspicio, ut ne ad decipiendum adveneris.

Angelus. Scias palam, animoque persuasum habeas me magis te obstupuisse, cum tuam divinis affusam gratiis pulchritudinem spectarem : ac te jam videns, mei Domini gloriam mihi videor aspectare.

Deipara. Linguam, quam non noveram, audivi : vidi faciem, quam nunquam videram; cur ergo tota prorsus contremiscens non obstupescam ; quæ nimirum justum habeam sponsum, nec omnino cum extraneo sermones miscere consueverim?

Angelus. Suscipe nuntii gaudium dignum auditu, ac tibi congruentissimam laudationem : qui enim « ex te nasciturus est, Filius Altissimi vocabitur [44] : » tuusque idem sanctificatæ Filius, exsuperanti bonitate portabitur.

Deipara. Timeo tremoque tuos ejusmodi sermones ; ac existimo venisse ut me tanquam Evam aliam decipias. At ego nihil Evæ illi similis sum. Cur vero etiam puellam salutas, quam nunquam videris?

Angelus. Evangelizo tibi gaudii nuntium ; evangelizo partum cogitatu majorem ; evangelizo excelsi Regis inenarrabilem adventum. Forte vero etiam, quam purpuram tenes (33), regiam præsignat dignitatem.

Deipara. Ex quo mihi hæc annuntias, nec annuntiare desinis, dicam tibi jam, non habere me fidem ejusmodi tuo nuntio. Venisti enim ut virginale meum decus exstingueres, meoque sponso molestiam faceres.

Angelus. Zacharias propheta, ac tuæ cognatæ Elisabeth charissimus conjux, certam te a tua reddet incredulitate. Ad eam ergo vade, ut ex illo noveris quæ illi accidere.

Deipara. Par summe ingenuum, ac reprehensione carens, Joachim et Anna parentes mei exsistunt : qui ergo eorum ego germen, culpæ maculam asciscam? Quis videat, ac certam faciat fidem, nihil Mariam lascive egisse?

Angelus. Cum mei sermones suo tempore consummati fuerint, tunc mysterii incomprehensibilis virtutem intelliges : tunc meorum verborum eventum scies.

Deipara. Quæ ex domo et familia David genus ducam, quomodo horrendis ejusmodi, ac cœlestibus sacramentis inservire habeam? ac quomodo Jesum illum sanctum, qui sedet super Cherubim, suscipere valeam?

Angelus. Thronus Dei bajulus, regalisque cœle-

φίας τὸ ἀξιογράφιστον κάλλος, καὶ τοῦ χαρακτῆρος τὴν αὐγηρὰν θεωρίαν· καὶ λόγους ἀκούω σου, οὓς οὐδέποτε ἀκήκοα, καὶ ἐν ὑποψίᾳ γίνομαι τάχα, ὅτι πλανῆσαί με παραγέγονας.

Ὁ ἄγγελος. Γνῶθι σαφῶς καὶ πιστώθητι, ὅτι μᾶλλον ἐγὼ ἐν ἐκπλήξει γέγονα θεασάμενος τὸ τοιοῦτόν σου θεογράφιστον κάλλος· καὶ βλέπων σε λοιπὸν, νομίζω δόξαν Κυρίου μου καταμανθάνειν.

Ἡ Θεοτόκος. Γλῶσσαν ἣν οὐκ ἔγνων, ἤκουσα· καὶ ὄψιν ἣν οὐδέποτε εἶδον τεθέαμαι· καὶ πῶς οὐκ ἐκπλήξομαι, ὅλη δι' ὅλου σύντρομος γεγονυῖα, καθότι μνηστῆρα δίκαιον κέκτημαι, καὶ οὐκ εἴθισα μετὰ ξένου τὸ καθόλου συνομιλεῖν;

Ὁ ἄγγελος. Δέξαι ἀγγελίας χαρὰν ἀξιάκουστον, καὶ ἐγκώμιον τό σοι πρεπωδέστατον· ὁ γὰρ « ἐκ σοῦ τικτόμενος, Υἱὸς Ὑψίστου κληθήσεται, » καὶ Υἱός σου τῆς ἡγιασμένης ὑπερβολῇ χρηστότητος βασταχθήσεται.

Ἡ Θεοτόκος. Δέδοικα καὶ τρέμω σου τοὺς τοιούτους λόγους· καὶ ὑπολαμβάνω, ὡς ἄλλην Εὔαν πλανῆσαί με παραγέγονας. Ἐγὼ δὲ οὐκ εἰμὶ κατ' ἐκείνην. Πῶς δὲ καὶ ἀσπάζεσαι κόρην, ἣν οὐδέποτε ἐθεάσω;

Ὁ ἄγγελος. Εὐαγγελίζομαί σοι χαρᾶς εὐαγγέλια· εὐαγγελίζομαί σοι τόκον ἀνεννόητον· εὐαγγελίζομαί σοι παρουσίαν ὑψηλοῦ Βασιλέως ἀνεκδιήγητον. Τάχα δὲ καὶ ἣν κατέχεις πορφύραν, προμηνύει τὸ βασιλικὸν ἀξίωμα.

Ἡ Θεοτόκος. Ἐπειδὴ ταῦτα μηνύεις μοι, καὶ μηνύων οὐ παύῃ, λέξω σοι λοιπὸν, ὅτι οὐ πιστεύω σου τὸν τοιοῦτον εὐαγγελισμόν· καθότι ἐξουθενῆσαι ἦλθες τὸ παρθενικόν μου ἀξίωμα, καὶ λυπῆσαι τὸν ἐμὸν μνηστῆρα.

Ὁ ἄγγελος. Ζαχαρίας ὁ προφήτης, καὶ προσφιλὴς τῆς συγγενίδος σου Ἐλισάβετ, ἐξ ἀπιστίας πληροφορήσει σε. Πρὸς ἐκείνην οὖν πορεύθητι, ἵνα μάθῃς ἐξ ἐκείνου τὰ ἐκείνῳ συμβησόμενα.

Ἡ Θεοτόκος Ζεῦγος εὐγενέστατον καὶ ἄμεμπτον, Ἰωακεὶμ καὶ Ἄννα οἱ ἐμοὶ γονεῖς τυγχάνουσιν· καὶ πῶς ἐγὼ τούτων γέννημα, ἐπίμωμον γενήσομαι; Τίς ἴδῃ καὶ πληροφορήσῃ ὅτι Μαρία οὐκ ἠτάκτησεν;

Ὁ ἄγγελος. Ἡνίκα τελεσθῶσιν οἱ λόγοι μου εἰς τὸν καιρὸν αὐτῶν, τότε συνήσεις τοῦ ἀκαταλήπτου μυστηρίου τὴν δύναμιν. Τότε γνώσῃ τῶν ἐμῶν ῥημάτων τὴν ἔκβασιν.

Ἡ Θεοτόκος. Ἡ ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ καταγομένη, πῶς τοιούτοις φρικτοῖς καὶ ἐπουρανίοις ἐξυπηρετήσω μυστηρίοις; Καὶ πῶς Ἰησοῦν τὸν ἅγιον, τὸν ἐπὶ τῶν Χερουβὶμ καθεζόμενον, ἐγὼ πῶς ὑποδέξασθαι δυνήσομαι;

Ὁ ἄγγελος. Θρόνος Θεοβάστακτος, καὶ βασιλικὴ

[44] Luc. 1, 35.

(33) *Quam purpuram tenes.* Alludit ad ea quæ habet liber ille Jacobi : ut Maria jam desponsata purpuram nendam acceperit, cum sacerdotum consilio velamen per puellas virgines conficeretur ad templi usum : eique intenta operi a Gabriele salutata sit. Quæ ibi late scripta habentur : sed modo sat indicasse.

Digitized by Google

καθέδρα τοῦ ἐπουρανίου Βασιλέως κληθήσῃ, καθότι Βασίλισσα καὶ Δέσποινα, καὶ βασιλέως ἐπιγείου θυγάτηρ τυγχάνεις, καὶ χαρακτῆρα ἔχεις βασιλικόν.

A stis Regis sella appellaberis; quod Regina ac Domina, regisque terreni filia, regiaque specie, ac majestate prædita sis.

Ἡ Θεοτόκος. Θρόνος Ὑψίστου ἐγὼ πῶς γενήσομαι, ἑρμήνευσόν μοι, ὁ λαλῶν μοι· καὶ πῶς τὸ ὑπὲρ ἥλιον φῶς ἐκεῖνο τὸ ἀψηλάφητον ψηλαφήσει σὰρξ πηλίνη. Ἀμήχανα κηρύττεις, νεανίσκε, εὐαγγέλια.

Deipara. Qua ego ratione thronus efficiar Altissimi, tu mihi expone, qui me alloqueris, quove modo intrectabile illud sole splendidius lumen, caro lutea contrectatura sit. Quæ, adolescens, nuntia prædicas, impossibilia exsistunt.

Ὁ ἄγγελος. Ἵνα τί, καὶ διὰ τί, καὶ τίνος ἕνεκεν τὸν ἐμὸν εὐαγγελισμὸν ἐπὶ τοσοῦτον ἠπίστησας, δεδοξασμένη; καὶ μέχρι τίνος οὐ πειθαρχεῖς εἰς τὸν ἐξ οὐρανοῦ σοι πεμφθέντα ἄγγελον; Οὐκ εἰμὶ γὰρ ἐγὼ ὁ τὴν Εὔαν πλανήσας.

Angelus. Quorsum, quamobremque, ac qua gratia, meo tandiu nuntio incredula fuisti, o gloriosa? ac quandiu non morem geres angelo ad te de cœlo misso? Nec enim ego sum qui Evam decepi.

Ἡ Θεοτόκος. Εἶδόν σου τὴν πολυσχημάτιστον ὄψιν, καὶ ἤκουσά σου τὰ πολυθαύμαστα ῥήματα, ἅπερ οὐδείς ποτε ἀκήκοε· καὶ διὰ τοῦτο οὐ δύναμαι τοιοῦτον εὐαγγελισμὸν ὑποδέξασθαι.

Deipara. Vidi tuam multa specie venustam faciem; verbaque tua, multa plena admiratione, audivi, qualia nemo audivit unquam: quocirca non possum nuntium ejusmodi suscipere.

Ὁ ἄγγελος. Καὶ εἰ μορφή μου καταπλήττει σε, οἶδα ὅτι τὰ ῥήματα τοῦ στόματός μου, πρόξενά σοι γενήσονται· καὶ μακαρίσει σε λοιπὸν ὁ οὐρανὸς καὶ ἡ γῆ.

Angelus. Quanquam te mea percellit forma; novi tamen fore, ut verba oris mei, tibi gaudii causa futura sint: teque deinceps beatam dicent cœlum et terra.

Ἡ Θεοτόκος. Κατὰ τί γνωσομαι τοῦτο, ὅτι ἔσται τελείωσις τοῖς ὑπ' αὐτοῦ γενομένοις, καθότι παρθένος ἀθαλάμευτος ἐγὼ τυγχάνω, καὶ μῶμος ἡδυπαθείας οὐκ ἔστιν ἐν ἐμοί; Δούλη γάρ εἰμι τοῦ Κυρίου τοῦ ποιήσαντός με.

Deipara. Quomodo sciam consummanda esse quæ mihi dicis, quæ sim virgo nesciens thalamum, ac carnalis voluptatis dedecore carearn? Sum namque ancilla Domini, qui creavit me.

Ὁ ἄγγελος. Λέξω σοι τρανῶς, ὅτι καὶ Ἐλισάβετ ἡ συγγενής σου, κατὰ τὸν καιρὸν τοῦτον, υἱὸν ἐν γήρει τέξεται· καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται καὶ θαυμάσονται· κληθήσεται γὰρ τὸ ὄνομα αὐτοῦ Ἰωάννης.

Angelus. Dicam tibi aperte, fore ut etiam Elizabeth cognata tua per hoc tempus filium pariat in senectute sua: multique gaudeant, ac admirentur in ejus nativitate: vocabitur enim nomen ejus Joannes.

Ἡ Θεοτόκος. Λάβε δόματα παρ' ἐμοῦ, καὶ ἀπόστα ἀπ' ἐμοῦ, ὁ λαλῶν μοι· κἂν τε γὰρ ἄγγελος τυγχάνεις, κἂν ἄνθρωπος, μετὰ ἀληθείας τοῦτο οὐκ ἐπίσταμαι. Ἄγγελον θεωρῶ τῷ σχήματι, καὶ ἄνθρωπον κατανοῶ τῷ βλέμματι.

Deipara. Acceptis a me muneribus, discede a me, qui me alloqueris: sive namque angelus es, sive homo, haud revera scio. Habitu angelum video, aspectuque hominem considero.

Ὁ ἄγγελος. Μὴ γὰρ εἰς τὰ Ἅγια τῶν ἁγίων τυγχάνουσα, οὐχ ἑώρακάς με, εὐλογημένη; Ἑώρακάς με λοιπὸν καὶ τροφὴν ἐκ τῆς ἐμῆς πυρίνης ἐδέξω χειρός. Ἐγὼ γάρ εἰμι Γαβριὴλ ὁ διαπαντὸς παρεστηκὼς ἐνώπιον τῆς δόξης τοῦ Θεοῦ.

Angelus. Nunquid vero cum in Sanctis sanctorum esses, non vidisti me, o benedicta? Plane vidisti, exque ignea mea manu cibum accepisti. Ego enim sum Gabriel, qui semper assisto in conspectu gloriæ Dei.

Ἡ Θεοτόκος. Μνηστῆρα σώφρονα καὶ ἅγιον καὶ δίκαιον κέκτημαι, τεκτονικὴν ἐπιστήμην ἐπιστάμενον· καὶ εὐλαβοῦμαι τοῦτον, ἵνα μὴ τύχῃ μετὰ σοῦ τοῦ ξένου συνομιλοῦσαν, καὶ μάλιστα κατὰ μόνας.

Deipara. Sponsum habeo castum, sanctumque, ac justum, fabrilem doctum artem: eumque timeo, ut ne tecum, qui extraneus sis, inveniat miscentem sermones, atque id maxime sine arbitris.

Ὁ ἄγγελος. Νῦν ἠρξάμην λαλεῖν· Πλήρης εἰμὶ ῥημάτων αἰωνίων· λέξω σοι λοιπόν, ὅτι ὁ Κύριος μετὰ σοῦ μέλλει τίκτεσθαι, Βασιλεὺς βασιλέων, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. »

Angelus. Nunc cœpi dicere: Plenus sum æternorum verborum; dicam deinceps: Dominus ex te nasciturus est, Rex ille regum, « regnabitque super domum Jacob, et regni ejus non erit finis [45]. »

Ἡ Θεοτόκος. Νῦν ἡ ψυχή μου τετάραχται, καὶ οὐκ οἶδα τί λογίσομαι τὴν φρικτὴν ὀπτασίαν ταύτην.

Deipara. Nunc anima mea turbata est, nec scio quid terribilem hanc reputem visionem. Puto enim

[45] Luc. I 32

VARIÆ LECTIONES.

* *Δείπ.* χαρᾶς

vera fore tua verba; ac Joseph me traditurum in eorum manus, qui hæc judicant.

Angelus. Novum videtur, ac stupore dignum, o gloriosa, quod me adhuc, a tantis celsitatibus ad te nuntium, habeas suspectum; me enim magis, ut Dei futuram Matrem te revereri oportet, regiamque tuam horrere ac stupere dignitatem.

Deipara. Sunt ergo nova, ac plena stupore, quæ nuntias: adventusque tuus, sermones tuos prodit ac mores. Venisti enim in meas ædiculas, ac adisti, cum nihil præmonuisses: ut ancillam forte reputans, non ut dominam.

Angelus. Tota prorsus munda, omnique carens reprehensione, miror ut tandiu meis verbis incredula sis, o gratia plena. En Rex gloriæ, ut puto, adhuc loquente me, in te regina inhabitavit.

Deipara. Qui viri expertem virginem salutas, taliaque verba innuptæ puellæ ingeris, omnino nosti quid res habeat: quando nimirum, ac unde, et « quomodo mihi jam erit istud, quoniam virum non cognosco [46]? »

Angelus. « Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi. Ideoque quod nascetur Sanctum, vocabitur Filius Dei. Ne timeas, Maria; invenisti enim gratiam apud Deum [47]. »

Deipara. Venisti de cœlo sacramentum allaturus multis dubiis implicatum, ac Spiritus sancti mihi pollicens adventum: qui vero non magis huic tuæ novæ annuntiationi fidem abnegem; cedo tu, qui me alloqueris?

Angelus. Abjice, Virgo, mentem incredulam; jam enim, ut puto, consummati sunt sermones mei, tuusque uterus tumorem portat; ac nisi per te steterit, « non erit impossibile apud Deum omne verbum [48]. »

Deipara. Germen sum Davidica radice ortum, timeoque ne quomodo mihi quoque alieni cubilis inexspectatum superveniat opprobrium: meque jam sacerdotis sancta lamina prodat.

Angelus. Salvatorem Dominum enixura es, ac unum Trinitatis vivificæ; erisque mundo gaudii causa ineffabilis; qualis utique, nullus angelus vel homo auctor unquam fuit: et erit nomen tuum benedictum.

Deipara. Dic, quæso, juvenis, quomodo Salvatorem, ut dicis, enixura sim. Plane in stuporem vertunt, intellectrices pariter angelicas virtutes, archangelorumque, ac multis oculis præditorum flammeos ordinum principatus, quæ fausta annuntias.

Angelus. Oblectamentum, ac plane dulcedo sunt, quæ loqueris, o gloriosa: quamobrem etiam tibi dicam: non ex voluntate carnis, sed ex vo-

Νομίζω γὰρ ὅτι ἀληθεύουσι τὰ ῥήματά σου· καὶ ἔκδοτον ποιήσει με ὁ Ἰωσὴφ εἰς χεῖρας τῶν ταῦτα κρινόντων.

Ὁ ἄγγελος. Ξενίζομαι, δεδοξασμένη, ὅτι ἀκμὴν διστάζεις με τὸν ἐκ τοσούτων ὑψωμάτων εἰς σὲ παραγενόμενον. Ἐμὲ γὰρ ἔξεστι μᾶλλον εὐλαβεῖσθαί σε ὡς Μητέρα Κυρίου μου μέλλουσαν ἔσεσθαι, καὶ τρέμειν σου τὸ βασιλικὸν ἀξίωμα.

Ἡ Θεοτόκος. Ξενισμὸς οὖν εἰσι τὰ σὰ εὐαγγέλια· καὶ ἡ ἐπιστασία σου δημοσιεύει τοὺς λόγους σου, καὶ τοὺς τρόπους σου. Ἦλθες γὰρ εἰς τὸ ἐμὸν δωμάτιον, ἀμηνυτὶ πλησιάσας μοι· τάχα ὡς παιδίσκην, καὶ οὐχ ὡς δέσποιναν λογισάμενος.

Ὁ ἄγγελος. Ὅλη διόλου καθαρὰ καὶ ἄμεμπτος τυγχάνουσα, θαυμάζω πῶς ἐπὶ τοσοῦτον τοῖς ἐμοῖς ἠπίστησας ῥήμασιν, ἡ κεχαριτωμένη. Ἰδοὺ ὁ Βασιλεὺς τῆς δόξης, ὡς λογίζομαι, ἔτι λαλοῦντός μου, ἐν τῇ σῇ βασιλίδι ἐνῴκησεν.

Ἡ Θεοτόκος. Ὁ παρθένον ἀπείρανδρον ἀσπαζόμενος, καὶ κόρην ἀπειρόγαμον τοιαῦτα φθεγγόμενος, τὸ ἀληθὲς οἶδας· τὸ πότε, καὶ πόθεν καὶ « Πῶς λοιπὸν ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; »

Ὁ ἄγγελος. « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. »

Ἡ Θεοτόκος. Πολυζήτητον μυστήριον ἦλθες ἐξ οὐρανοῦ κομιζόμενός μοι· καὶ Πνεύματος ἁγίου παρουσίαν ἐπαγγελλόμενός μοι· καὶ πῶς μὴ πιστεύσω τοῦτόν σου τὸν παράδοξον εὐαγγελισμόν; λέγε μοι, ὁ λαλῶν μοι.

Ὁ ἄγγελος. Ῥῖψον τὴν ἄπιστον γνώμην, Παρθένε. Ἰδοὺ γὰρ, ὡς ἐμοὶ δοκεῖ, ἐτελέσθησαν οἱ λόγοι μου· καὶ ἡ κοιλία σου ὄγκον βαστάζει· καὶ εἰ μὴ βούλει, « Οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. »

Ἡ Θεοτόκος. Ῥίζης Δαβιδικῆς βλάστημα τυγχάνω, καὶ δέδοικα πῶς ἐπέλθοι κάμοὶ κοίτης ἀλλοτρίας ἀπροσδόκητος ἐξουθενισμός· καὶ φανερώσει μοι λοιπὸν τὸ πέταλον τοῦ ἱερέως τὸ ἅγιον.

Ὁ ἄγγελος. Σωτῆρα τέξεις τὸν Κύριον, τὸν ἕνα τῆς ζωαρχικῆς Τριάδος, καὶ χαρὰν τῷ κόσμῳ προξενήσεις ἀνεκλάλητον, ἣν οὐδεὶς οὐδέποτε ἀγγέλων ἢ ἀνθρώπων προεξένησεν· καὶ ἔσται τὸ ὄνομά σου εὐλογημένον.

Ἡ Θεοτόκος. Σωτῆρα, ὡς λέγεις, ὅτι [t] τέξομαι, λέξον μοι, νεανίσκε. Ξενίζει γὰρ ὡς ἀληθῶς, καὶ ἀγγέλων νοερὰς δυνάμεις, καὶ ἀρχαγγέλων τὰς φλογερὰς, καὶ πολυομμάτων ταξιαρχίας, τὰ σὰ εὐαγγέλια.

Ὁ ἄγγελος. Τέρψις καὶ διόλου γλυκασμός ἐστι τὰ ῥήματά σου, δεδοξασμένη· καὶ διὰ τοῦτό σοι λέξω· ὅτι οὐκ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ θελή-

[46] Luc. I, 34. [47] ibid. 35. [48] ibid. 36.

VARIÆ LECTIONES.

[t] *Isc.* ὅπως.

Digitized by Google

ματος Θεοῦ, καὶ ἐξ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύ- A luntate divina, ac adventu Spiritus sancti erit tuus
ματος, ἡ σὴ κυοφορία γενήσεται. partus.

Ἡ Θεοτόκος. Τίς πληροφορήσει τὸν Ἰωσὴφ, ὅτι οὐκ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐξ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος ἐγὼ συλλήψομαι; καθότι ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι παρθένος ἀπείρανδρος βρέφος τέτοκεν.

Deipara. Quis Josephum certiorem faciet, non ex viri me voluntate, sed ex Spiritus sancti illapsu concepisse? siquidem a sæculo inauditum est, virginem innuptam peperisse.

Ὁ Ἄγγελος. Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύξεται πᾶν γένος ἀνθρώπων, καὶ πᾶσα γλῶσσα πηλίνη μακαρίσει σε· καὶ λαληθήσεται τὸ ὄνομά σου ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ, ὅτι διὰ [τοῦ] σοῦ Κύριος, τὸ φῶς τοῦ κόσμου, μέλλει τίκτεσθαι.

Angelus. Sub tuæ misericordiæ viscera humanum omne confugiet genus; luteaque omnis lingua beatam te dicet; ac nomen tuum in omni generatione et generatione celebrabitur; quod per te Dominus, lumen illud mundi, sit nasciturus.

Ἡ Θεοτόκος. Ἡλίκη τυγχάνουσα, καὶ ἐκ γῆς τὴν γέννησιν ἔχουσα, πῶς καταφύγῃ ἀνθρώπων γένος εἰς ἐμέ; καὶ πῶς Χριστὸν, τὸ φῶς τοῦ κόσμου ἐναγκαλίσομαι; καὶ πῶς ὁ ἥλιος ἐκεῖνος ὁ ἄδυτος, ὑπὸ B τῆς νοητῆς σελήνης βασταχθήσεται;

Deipara. Qualis ego ac quanta exsisto; eumque ex terra ortum habeam, quomodo fiet ut universum humanum genus ad me confugiat? ac quomodo Christum mundi lumen ulnis complectar? quomodo autem Sol ille occasum nesciens, ab spiritali Luna portandus est?

Ὁ Ἄγγελος. Φαιδρὸν ἀνάλαβε βλέμμα, δεδοξασμένη· οὐρανὸς γὰρ μέλλεις γενέσθαι, καὶ ναὸς θεοχώρητος, καὶ σκηνὴ Θεοῦ ἔμψυχος· ἑπτὰ στερεωμάτων εὐρυχωρότερός τε καὶ ὑψηλότερος καὶ θαυμασιώτερος.

Angelus. Serenum lætumque assume vultum, o gloriosa; fles namque cœlum, ac templum Dei capax, tabernaculumque Dei animatum, septem firmamentis capacius pariter, sublimiusque ac mirabilius.

Ἡ Θεοτόκος. Φρίττω τοῦ παραδόξου τῆς ξένης μου λοχείας τὰ ἐγκαίνια· εὐλαβοῦμαι δὲ καὶ τὸν Ἰωσὴφ, καὶ τί λοιπὸν συμβήσεται οὐκ οἶδα. Συμφέρει μοι οὖν, εἰς οἶκον Ζαχαρίου ἀπελθεῖν, πρὸς τὴν ἐμὴν συγγενίδα.

Deipara. Horreo novi mei partus inusitata encænia: timeo autem etiam Josephum, nec scio quid jam mihi eveniet. Operæ ergo mihi pretium est, ut in domum Zachariæ ad cognatam meam vadam.

Ὁ Ἄγγελος. Χριστιανῶν ἁπάντων γενήσῃ κοινὸν ἱλαστήριον· καὶ διὰ τοῦτο πάλιν, ἐπιφθέγγομαί σοι τὴν πρέπουσαν φωνὴν, « Κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. »

Angelus. Christianorum omnium efficieris commune propitiatorium: ideoque rursum congruam C tibi acclamo vocem: « Gratia plena: Dominus tecum; benedicta tu in mulieribus, et benedictus fructus ventris tui [49]. »

Ἡ Θεοτόκος. Χαρακτῆρα φέρουσα βασιλικὸν, καὶ εἰς τὰ βασίλεια τῆς ἐμῆς Βηθλεὲμ τιθηνήσασα, καὶ εἰς ἅγια ἐκ παιδόθεν ἀμέμπτως διαπρέψασα· καὶ παρθένος λοιπὸν τυγχάνουσα, πῶς ἐγὼ μήτηρ ἀκούσω τοῦ παιδός μου;

Deipara. Quæ regiam feram speciem, fuerimque nutrita in meæ regia Bethleem, ac in Sanctis a puero sine crimine, honesteque vixerim, simque hactenus virgo, quomodo mater audiam mei filii?

Ὁ Ἄγγελος. Ψηλαφήσας ὁ Ὕψιστος ὅλον τὸν κόσμον, καὶ μὴ εὑρὼν ὁμοίαν σου μητέρα, πάντως ἐκεῖνος, ὡς ἠθέλησεν, ὡς ηὐδόκησεν, ἐκ σοῦ τῆς ἡγιασμένης ἄνθρωπος διὰ φιλανθρωπίαν γενήσεται.

Angelus. Scrutatus diligenter Altissimus mundum universum, nec similem tui matrem inveniens, omnino ut voluit, ut beneplacitum fuit, ex te sanctificata, pro illo suo in humanum genus propensiori affectu, homo fiet.

Ἡ Θεοτόκος. Ψάλλουσα αἰνέσω τὸν Κύριον, « ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης D αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· » καὶ λαὸς ὁ τῶν ἐθνῶν διηνεκῶς ἐπαινέσει με.

Deipara. Psallens Dominum laudabo, « eo quod respexerit humilitatem ancillæ suæ: ecce enim amodo beatam me dicent omnes generationes [50]: » populusque nationum jugiter laudabit me.

Ὁ Ἄγγελος. Ὦ παρθένε, χαρᾶς ἐπουρανίου πρόξενος· τερπνὸν καὶ θαυμαστὸν οἰκητήριον, καὶ τοῦ κόσμου παντὸς ἱλαστήριον, ἡ μόνη κατὰ ἀλήθειαν ἐν γυναιξὶν εὐλογημένη, ἑτοιμάζου λοιπὸν εἰς μυστικὴν Χριστοῦ παρουσίαν.

Angelus. O Virgo, cœlestis causa gaudii: delectabile admirandumque domicilium, ac mundi universi propitiatorium; sola vere in mulieribus benedicta, ad mysticum jam secretioremque Christi adventum præparare.

Ἡ Θεοτόκος. Ὦ νεανίσκε, χαρᾶς ἐπουρανίου πρόξενε· ὁ ἐξ ἀσωμάτων παραγενόμενος, καὶ πηλῷ διαλεγόμενος· ἕως πότε ἀνέξομαί σου, καὶ μέχρις

Deipara. O juvenis, cœlestis paranymphe gaudii; qui ex incorporeis ac beatis spiritibus venisti, ac cum luto fabularis; quandiu te feram?

[49] Luc. I, 28. [50] ibid. 48.

Digitized by Google

quandlu vero non hos sermones desines loqui? « Ecce ancilla Domini, fiat mihi secundum verbum tuum [21]. »

Atque hæc quidem omni digna laude, ac beata Virgo, seu his quoque mystica magis atque congrua disserebat. Verum, si libet, desideratissimi, etiam audiamus quid ad eam Joseph ille justus loqueretur.

Joseph. Immaculatam accepi te e domo Domini, teque virginem impollutam domi reliqui : quid hoc ergo quod nunc video, matrem inexspectato, non virginem? dic, Maria; mihi cito quid res habeat, edicito.

Deipara. Immaculatam, ut ais, me domi reliquisti; rursumque, puto, impollutam me invenisti : quippe quæ ab infantia oderim tunicam carnis sordibus inquinatam, ac in qua vestigium ullum turpis libidinis sit.

Joseph. Time, Maria, tribunal judicis, severum, inquam, illud concilium, Judæorum nimirum Synagogæ, quod decipi nequit, judicium, mihique palam edicito; ne me celaveris quæ sunt eventura.

Deipara. Tribunal ac judicium incommutabile futuri ævi, o Joseph, time, ubi ipsi quoque tremunt angeli, qui nunquam peccavere : de terreno autem rege ac tribunali nulla tibi sit ratio.

Joseph. Scriptum est in lege Moysi hoc modo : « Si quis invenerit virginem, et vim faciens concubuerit cum illa, dabit homo ille patri puellæ quinquaginta didrachmata [22]. » Quid ergo ad hæc facies?

Deipara. Scriptum est in prophetis : « Dabitur signatus liber viro scienti litteras, et dicet : Non possum illum legere [23] : » certe enim, ut puto, prophetia hæc de te dicta fuit.

Joseph. Prode, Maria, meæ domus insidiatorem : produc in medium eum, qui stuprum fecit, ut fabrili gladio ejus auferam caput, eo quod ille meos probro affecerit canos, sitque futurum, ut me deinceps duodecim tribus Israel subsannent.

Deipara. Justus es, ac sine crimine · ac verisimile puto, ut Deus meus tibi revelet quæ mihi eventura sunt, ipsumque in somnis ostendat, quem insidiatorem dicis. Ego enim non consuevi ad illius celsitatem provehi.

Joseph. Citius excede domo, atque ad novum amatorem abi. Amodo non alam : non comedes mensæ meæ panem, eo quod tristitiam probrumque, loco gaudii, canis meis intuleris.

Deipara. Modicum, o Joseph, exspecta, nec me occulte a domo tua amandaveris; eo quod non moris sit peregre diversari, nec sciam neque ad dexteram, neque ad sinistram : nec plane noverim quo jam eam, aut ad quem confugiam.

[21] Luc. I, 38. [22] Deut. XXII, 28. [23] Isa. XXIX, 11.

A τίνος οὐ καταπαύσεις τοὺς λόγους σου; « Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. »

Καὶ ταῦτα μὲν, ἡ πανύμνητος καὶ μακαρία Παρθένος · ἢ καὶ τὰ τούτων μυστικώτερα καὶ ἁρμοδιώτερα, εἰκότως διελέγετο. Ἀλλὰ ἀκούσωμεν λοιπὸν, ἐπιπόθητοι, εἰ βούλεσθε, τί καὶ πρὸς αὐτὴν ὁ δίκαιος Ἰωσὴφ ἔλεγεν.

Ὁ Ἰωσήφ. Ἄσπιλόν σε παρέλαβον ἐξ οἴκου Κυρίου, καὶ παρθένον ἀμόλυντον κατέλιπόν σε ἐν τῷ οἴκῳ μου · καὶ τί τοῦτο ὃ νῦν ὁρῶ, μητέρα παρ' ἐλπίδα καὶ οὐ παρθένον τυγχάνουσαν; εἰπέ μοι, Μαρία · τὸ ἀληθὲς ἐν τάχει λέγε μοι.

Ἡ Θεοτόκος. Ἄσπιλον κατέλιπας, ὡς ἔφης, ἐν τῷ οἴκῳ σου, καὶ πάλιν ἀμώμητον, ἐγὼ λογίζομαι, κατ-
B ἐτυχές με · ὅτι ἐκ παιδόθεν ἐμίσησα τὸν ἀπὸ σαρκὸς ἐσπιλωμένον χιτῶνα, καὶ ἴχνος ἡδυπαθείας οὐκ ἔστιν ἐμοί.

Ὁ Ἰωσήφ. Βῆμα τοῦ δικαστοῦ εὐλαβήθητι, Μαρία · τὸ αὐστηρὸν βουλευτήριον · Συναγωγῆς τῆς Ἰουδαϊκῆς τὸ ἀπαραλόγιστον δικαστήριον · καὶ λέξον μοι σαφῶς · μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰ συμβησόμενα.

Ἡ Θεοτόκος. Βῆμα καὶ κριτήριον ἀπαράλλακτον τοῦ μέλλοντος αἰῶνος εὐλαβήθητι, ὁ Ἰωσὴφ, ὅπου καὶ ἄγγελοι τρέμουσι, οἱ μηδέποτε ἁμαρτήσαντες · περὶ δὲ τοῦ ἐπιγείου βασιλέως καὶ δικαστηρίου, ὅλως μή σοι μελέτω.

Ὁ Ἰωσήφ. Γέγραπται ἐν τῇ βίβλῳ Μωϋσέως οὕτως · « Ἐάν τις εὕρῃ τὴν παρθένον, καὶ βιασάμενος
C κοιμηθῇ μετ' αὐτῆς, δώσει ὁ ἄνθρωπος ἐκεῖνος τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα. » Τί οὖν πρὸς ταῦτα ποιήσεις;

Ἡ Θεοτόκος. Γέγραπται ἐν τοῖς προφήταις, ὅτι « Δοθήσεται τὸ ἐσφραγισμένον βιβλίον ἀνδρὶ εἰδότι γράμματα, καὶ ἐρεῖ · Οὐ δύναμαι ἀναγνῶναι αὐτό. » Τάχα οὖν, ὡς ἐμοὶ δοκεῖ, ἡ προφητεία αὕτη, περὶ σοῦ ἐλέχθη.

Ὁ Ἰωσήφ. Δημοσίευσον, Μαρία, τὸν ἐπίβουλον τῆς ἐμῆς οἰκίας · ἄγαγε εἰς μέσον τὸν ἁτακτήσαντα · ἵνα ξίφῳ τεκτονικῷ τὴν ἐκείνου κεφαλὴν ἀφέλω, καθότι ἐκεῖνος τὴν ἐμὴν ἠτίμωσε πολιὰν, καὶ μυκτηρίσει με λοιπὸν ἡ δωδεκάφυλος τοῦ Ἰσραήλ.

Ἡ Θεοτόκος. Δίκαιος εἶ, καὶ ἄμεμπτος τυγχά-
D νεις · καὶ εἰκότως ὁ Θεός μου ἀποκαλύψει σοι τὰ ἐμοὶ συμβησόμενα · καὶ δείξει σοι καθ' ὕπνον, καὶ ὃν λέγεις ἐπίβουλον. Ἐγὼ γὰρ εἰς τὸ ὕψος ἐκείνου οὐκ εἴθισα ἄγεσθαι.

Ὁ Ἰωσήφ. Ἔξιθι τοῦ οἴκου μου ταχὺ, καὶ πρὸς τὸν νέον ἐραστὴν ἐπείχθητι. Οὐ διαθρέψω σε ἀπὸ τοῦ νῦν · οὐ φάγῃς ἄρτον τραπέζης ἐμῆς, καθότι λύπην καὶ ἐξουθενισμὸν, ἀντὶ χαρᾶς, ταῖς ἐμαῖς ἠτίμωσας πολιαῖς.

Ἡ Θεοτόκος. Ἔκδεξαι μικρὸν, Ἰωσὴφ, καὶ μὴ ξενώσεις με λάθρα τοῦ οἴκου σου · καθότι ξενιτεύειν οὐκ εἴθισα, καὶ οὐκ ἐπιγινώσκω δεξιὰ ἢ ἀριστερά · καὶ ποῦ λοιπὸν πορεύσομαι, οὐκ ἐπίσταμαι, ἢ πρὸς τίνα καταφεύξομαι.

Digitized by Google

Ὁ Ἰωσήφ. Ζωῆς καὶ θανάτου μεταξὺ τυγχάνουσα A λέγε μοι, Μαρία, τὸ ἀληθές· τίς, ὁ θηρεύσας με; Φανέρωσόν μοι τὸν μετὰ σοῦ συνομιλήσαντα. Ἑρμήνευσόν μοι τὸ ἐκείνου ἀξίωμα· λέξον μοι ποίας πόλεως ἐτύγχανεν, ἵνα ἐκεῖ πορευθεὶς ἐξουθενήσω αὐτόν.

Ἡ Θεοτόκος. Ζῇ Κύριος, ὅτι καθαρά εἰμι, καὶ ἄνδρα οὐ γινώσκω· ὁ γὰρ φανείς μοι, ὡς ἐμοὶ δοκεῖ, ἄγγελος Κυρίου ὑπάρχει, ἀνθρωποσχηματισθείς· καὶ μετ' εὐλαβείας ὡς ἀπὸ διαστήματος ἐξίστατο. Καὶ ἵστατο, καὶ οὕτως ἠρέμα τῇ ἐμῇ ταπεινώσει διελέγετο.

Ὁ Ἰωσήφ. Ἥξει ἐπὶ σοὶ, ἀλλὰ καὶ ἐπ' ἐμοὶ τῷ γέροντι, κλεψιγαμίας ἔγκλημα, καὶ ἐξουδενισμὸς ἀπροσδόκητος παρὰ τῶν ταῦτα κρινόντων· καὶ ἐλέγξει λοιπὸν ἀμφοτέρους, εἰ καὶ μὴ βουλόμεθα, τὸ B ὕδωρ τῆς ἐλέγξεως.

Ἡ Θεοτόκος. Ἠκούσθη σοι ὅτι καὶ Ἐλισάβετ, ἡ τοῦ Ζαχαρίου, καὶ συγγενίς μου, κατὰ τὸν καιρὸν τοῦτον, προφήτην καὶ Πρόδρομον παρ' ἐλπίδα συνέλαβεν. Εἰ μὴ γὰρ προφήτης ἐτύγχανεν, οὐκ ἂν διὰ τῶν σκιρτημάτων προσεκύνει τὸν ἐν ἐμοὶ κρυπτόμενον Κύριον.

Ὁ Ἰωσήφ. Θαυμάζω ἐπὶ σοὶ, καὶ σφόδρα καταπλήττομαι· καὶ οἶδα ὅτι διαλάλημα γέγονας τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξουδενήσει με Ἀδωναῖ Κύριος, ἀνθ' ὧν παρέλαβόν σε ἐξ ἁγίου Πνεύματος, καὶ ἐξ ἁγίου κατοικητηρίου εἰς τήρησιν, καὶ παρθένον σε οὐκ ἐτήρησα.

Ἡ Θεοτόκος. Θλίψεως ἡμέρα κατέλαβέ με, καὶ μέμψις ἐξ ὑποψίας ἐπῆλθέν μοι· καὶ ἐξέτασις μνήστορός μου κατεπείγει με· καὶ κυοφόρησις παιδὸς μου κατηγορεῖ με· καὶ ὁ τὸ, Χαῖρε, μοὶ λέξας ἄγγελος τάχα ἀπεκρύβη· καὶ τί λοιπὸν λογίσομαι, οὐκ οἶδα.

Ὁ Ἰωσήφ. Ἴδον σου τὸν τόκον τῆς πρὶν ἡγνισμένης νηδύος, καὶ ὅλος δι' ὅλου σύντρομος γέγονα. Εἰπὲ γάρ μοι, ποῦ σε φανερώσω; ἢ πῶς δυνήσομαι λαθεῖν τὸ Ἰουδαϊκὸν συνέδριον; Ἀπόστηθι οὖν τοῦ οἴκου μου· ταχέως ἀπόστηθι.

Ἡ Θεοτόκος. Ἴδε διώκεις με τοῦ οἴκου σου, ὦ Ἰωσὴφ, καὶ ποῦ λοιπὸν πορεύσομαι· οὐκ ἐπιγινώσκω. Ὑποστρέψω ἆρα ἐν τῷ οἴκῳ τοῦ ἱεροῦ ἁγιάσματος, ἢ ἀπελεύσομαι πρὸς τοὺς γονεῖς μου; Ἀλλὰ ποίῳ προσώπῳ ἀτενίσω εἰς αὐτούς; D

Ὁ Ἰωσήφ. Κἂν ἐγὼ σιωπήσω τὸ ἁμάρτημά σου, οἱ λίθοι κεκράξονται· Καὶ τὰ Ἅγια τῶν ἁγίων μεγάλα βοήσονται· καθότι παρέλαβόν σε εἰς τήρησιν ἐκ τοῦ ἐκείνου καταλεγομένου ἱερέως, καὶ παρθένον σε οὐκ ἐφύλαξα.

Ἡ Θεοτόκος. Κρύψομαι λοιπὸν ἐμαυτὴν, εἰς ἓν τῶν σπηλαίων τῆς ἐμῆς Βηθλεὲμ, καὶ εἰσδέξομαι νενομισμένον καιρὸν ἐμῆς κυοφορίας· καὶ μάθω τίς ὁ ἐξ ἐμοῦ μέλλων τίκτεσθαι. Λογίζομαι γὰρ ὅτι ὁ Θεὸς ἐπόψεται τὴν ταπείνωσίν μου.

Ὁ Ἰωσήφ. Λέξον μοι σαφῶς, τίς ὑπῆρχεν ὁ ξένος καὶ προδότης ἐκεῖνος, ὁ εἰς τὸ ἐμὸν δωμάτιον

Joseph. Quæ vitæ ac mortis media posita sis, mihi, Maria, edicito quid res habeat. Quisnam ille sit, qui me est deprædatus. Declara mihi eum, qui tecum est congressus. Expone cujusnam ille exsistat dignitatis: dic qua sit ortus civitate, ut eo me confereus, hominem ad nihilum redigam.

Deipara. Vivit Dominus, quia munda sum, et virum non cognosco: qui enim mihi apparuit, angelus Domini, ut quidem arbitror, hominis habitu fuit: ac reverenter modesteque velut ab spatio aliquo exsurgens, stansque, sic meam submisse allocutus est humilitatem.

Joseph. Veniet super te, quin et super me sene violatarum nuptiarum crimen, inexspectataque spretio ab iis qui hæc judicant: ambosque deinceps coarguet, tametsi nolimus, redargutionis aqua.

Deipara. Audisti etiam Elisabeth Zachariæ conjugem, ac cognatam meam, circiter tempus hoc, præter spem prophetam concepisse, ac Præcursorem. Nisi enim esset propheta, haudquaquam exsultando, Dominum in me absconditum adoraret.

Joseph. Miror de te, ac vehementer stupeo; sciqueque late nomen tuum filiis Israel celebratum esse: ac Adonai Dominus ad nihilum me rediget, quod a Spiritu sancto, exque sacro domicilio ad custodiam te accipiens, virginem non servaverim.

Deipara. Tribulationis me dies comprehendit, exque suspicione mihi est impactum crimen, urgetque sponsi inquisitio, ac accusat, quam prolem in utero gesto; quique angelus mihi dixit: *Ave*, forte absconditus est; nec jam scio quid cogitem. C

Joseph. Vidi tuum uteri prius sanctificati partum, totusque omnino contremui. Nam, rogo, quo te loco occultabo, ac ubi te prodam? quave ratione Judæorum concilium latere quibo? Abi ergo a domo mea; cito abi.

Deipara. Ecce pellis me, Joseph, a tua domo, nec scio jam quo pergam. Revertar in domum sacri sanctuarii, an ad parentes redeam? At qua facie in eos aspiciam?

Joseph. Quanquam taceam ego tuum peccatum, at lapides clamabunt: Sanctaque sanctorum exerta contestabuntur voce, quod te ad custodiam a delecto ejus acceperim sacerdote, nec virginem tamen servaverim.

Deipara. Occultabo me deinceps in una aliqua spelunca meæ Bethleem, ac exspectabo legitimum mei partus tempus, sciamque quisnam ex me nasciturus sit. Fore enim spero ut Dominus respiciat humilitatem meam.

Joseph. Dic mihi palam, quisnam ille peregrinus ac viator fuerit, qui in domum nihil indicando

[51] Isa. VII, 14.

Digitized by Google

advenit, velut quis explorator, præsertim me absente, ac cum intra muros urbis Nazareth non essem.

Deipara. Cum hydriam accepissem ut irem ad fontem haurire aquam ad potum, ingressa est vox silentio in aures meas dicens : « Ave, gratia plena : Dominus tecum. »

Joseph. Num vero ex auditu concepisti? A sæculo non est auditum, ut virgo viri expers ex sola verborum voce aliquando conceperit : nec patres nostri nobis annuntiarunt, ejusmodi aliquid factum esse in diebus antiquis.

Deipara. Nunquid non scriptum est in prophetis : « Quia virgo concipiet in utero, et pariet nobis puerum [55]? » Num potes dicere prophetas esse mentitos? jam falleris, o Joseph, nimisque insanis.

Joseph. Nunc, Maria, dicam, Evæ te vestigia matris tuæ fuisse secutam. Verum illa quidem paradisi domicilio pulsa fuit, quod susurranti aures aperuisset : tu autem a domo mea tanquam rea exturbaberis.

Deipara. Nunc tanquam alienigena quidam, ac accusator congressus increpasti ; non quasi reginam alloqueris : clamque e civitate in civitatem persequeris : quid vero deinceps excusans respondeam?

Joseph. Novitate turbabit partus, ut quidem puto, nedum me, sed et angelos, et homines, nec ii habebunt fidem. Quis unquam audivit virginem puerum peperisse, maxime nulla viri consuetudine?

Deipara. Turbabunt te, scio, verba hæc novitate, mentemque tuam mystici partus mirabile sacramentum in stuporem vertet : haud tamen ego illatæ mihi calamitatis causa fui, quippe quæ ab infantia Domino Creatori meo servire consuevi.

Joseph. Nonne tibi dixi, ut mihi eum ostenderes qui domui meæ est insidiatus, teque ipse liberarem ab hoc crimine? Nonne dixi, ut cito ad amatorem tuum abires? Quid ergo deinceps spe præsumis?

Deipara. Non novi liquido quibus ille moretur locis. Nam et ego revera ipsum invenire vellem : gratiis omnibus temperatam libens ejus aspicerem pulchritudinem, ac sermones cum eo miscerem; quippe cum mihi ille *Ave* dixerit, agamque modo in tristitia.

Joseph. Quomodo non inhorrescam, ac facie confundar, quod te virginem e domo Domini accipiens, non te servaverim? Quomodo autem deinceps offeram Deo meo, ac legalem pro more implebo constitutionem?

Deipara. Crede Dei prophetis ; nec te adeo abundantiori consumas tristitia. Invenies enim hæc in eis scripta : « Ecce virgo concipiet et pariet filium, et vocabunt nomen ejus Emmanuel. »

[55.58] Isa. VII, 14.

ἀμηνυτὶ παραγενόμενος, ὡς τίς ποτε κατάσκοπος, καὶ μάλιστα ἐμοῦ ἀπόντος, καὶ οὐκ ὄντος ὑπὸ τὰ τείχη τῆς πόλεως Ναζαρέτ.

Ἡ Θεοτόκος. Λαβοῦσα τὴν κάλπην ἀπιέναι ἐπὶ τὴν ἐμὴν πηγὴν ἀντλῆσαι ὕδωρ ὅπως πίωμαι, εἰσῆλθεν εἰς τὰ ὦτά μου φωνὴ σιωπηλῶς, τοιαῦτα λέγουσα· « Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. »

Ὁ Ἰωσήφ. Μὴ γὰρ ἐκ τῆς φωνῆς συνέλαβες ; ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἀπὸ φωνῆς ῥημάτων ἐκυοφόρησε παρθένος ἀπείρανδρός ποτε · οὔτε οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ὅτι τοιοῦτον γέγονεν ἐν ταῖς ἀρχαίαις ἡμέραις.

Ἡ Θεοτόκος. Μὴ γὰρ οὐ γέγραπται ἐν τοῖς προφήταις, « Ὅτι Παρθένος ἐν γαστρὶ λήψεται, καὶ παιδίον ἡμῖν τεχθήσεται ; » Μὴ ἔχεις εἰπεῖν ὅτι οἱ προφῆται ψεύδονται ; σφάλλῃ λοιπὸν, ὦ Ἰωσὴφ, ἐπὶ πολὺ μαινόμενος.

Ὁ Ἰωσήφ. Νῦν λέξω, Μαρία, ὅτι τοῖς ἴχνεσιν Εὔας σῆς μητρὸς ἐξηκολούθησας. Ἀλλ' ἐκείνη μὲν τοῦ παραδείσου ἀπῳκίσθη, καθότι τὴν ἀκοὴν ἐφήπλωσε τῷ ταύτῃ ψυθιρίσαντι · σὺ δὲ τοῦ οἴκου μου ἐκβληθήσῃ ὡς ὑπεύθυνος.

Ἡ Θεοτόκος. Νῦν ἐπῆλθές μοι ὥς τίς ποτε ἀλλογενὴς καὶ ἑτερόφυλος, καὶ κατήγορος, οὐχ ὡς βασιλίδι τινὶ διαλεγόμενος · καὶ ἀπὸ πόλεως εἰς πόλιν λάθρα διώκομαι · καὶ τί λοιπὸν ἀπολογήσομαι ;

Ὁ Ἰωσήφ. Ξενίσει ὁ τόκος, ὡς ἐμοὶ δοκεῖ, οὐ μόνον ἐμοὶ, ἀλλὰ καὶ ἀγγέλους καὶ ἀνθρώπους, καὶ οὐκ ἂν πιστεύσωσι. Τίς ποτε ἀκήκοεν, ὅτι παρθένος βρέφος τέτοκεν, καὶ μάλιστα ἀπείρανδρος τυγχάνουσα ;

Ἡ Θεοτόκος. Ξενίσει σοι, οἶδα, τὰ λεγόμενα καὶ καταπλήττει σου τὸν νοῦν τῆς μυστικῆς κυοφορίας τὸ παράδοξον μυστήριον. Ἐγὼ δὲ οὐκ ἐγενόμην αἰτίος τῆς ἐπενεχθείσης μοι συμφορᾶς, καθότι ἀπὸ βρέφους λατρεύειν εἵθισα τῷ Κυρίῳ μου τῷ ποιήσαντί με.

Ὁ Ἰωσήφ. Οὐκ εἶπόν σοι, ὅτι δεῖξόν μοι τὸν ἐπίβουλον τῆς ἐμῆς οἰκίας, καὶ ἐλευθερῶ σε τοῦ τοιούτου ἐγκλήματος ; Οὐκ εἶπόν σοι, ὅτι Πορεύθητι σπουδαίως πρὸς τὸν σὸν ἐραστήν ; Καὶ τί λοιπὸν ἀπὸ τούτου ἐλπίζεις ;

Ἡ Θεοτόκος. Οὐκ ἐπίσταμαι σαφῶς τὸ, ἐν ποίοις τόποις αὐλίζεται. Ἐπεὶ κατὰ ἀλήθειαν ἤθελον κἀγὼ αὐτὸν κατατυχεῖν · ἤθελον αὐτοῦ τὸ ἀξιοζωγράφιστον κάλλος θεάσασθαι, καὶ μετ' αὐτοῦ διαλεκτῆσαι · ὅτι εἶπέ μοι *Χαῖρε*, καὶ ἄρτι λυποῦμαι.

Ὁ Ἰωσήφ. Πῶς μὴ πτήξω, καὶ τύψω τὴν ὄψιν, ὅτι παρθένον παρέλαβόν σε ἐξ οἴκου Κυρίου μου, καὶ οὐ διετήρησά σε ; Πῶς δὲ ἀπὸ τοῦ νῦν προσάξω Κυρίῳ τῷ Θεῷ μου, καὶ ἐκπληρώσω νομικὴν διάταξιν κατὰ τὸ ἐμοὶ εἰθισμένον ;

Ἡ Θεοτόκος. Πίστευε προφήταις Θεοῦ, καὶ μὴ ἐπὶ τοσοῦτον τῇ περισσοτέρᾳ λύπῃ κατατήξῃς ἑαυτόν · εὑρήσεις γὰρ ἐν αὐτοῖς γεγραμμένα · « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. »

Digitized by Google

'Ο Ἰωσήφ. Ῥάβδος ἀρχιερατικὴ ἔπεισέ με παραλαβεῖν σε ἐκ τοῦ οἴκου τῆς προσευχῆς εἰς τήρησιν· καὶ κατέλιπόν σε λοιπὸν μετὰ πάσης εὐταξίας ἐν τῷ οἴκῳ μου· καὶ ἵνα τί οὐκ ἐδέξω, Μαρία, τῆς ἐμῆς ξενιτείας, καὶ τῶν ἐμῶν ἔργων τὴν συμπλήρωσιν;

Ἡ Θεοτόκος. Ῥυτίδα κοίτης ἀλλοτρίας, καὶ μῶμον σαρκικῆς ἐπιθυμίας, οὐκ ἐπίσταμάι, ζῇ Κύριος· πλὴν εἰ μὴ ὅτι καὶ πάλιν τὴν πορφύραν κατέχουσα, ἤκουσα φωνῆς ἀγγελικῆς βοώσης μοι· « Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. ».

'Ο Ἰωσήφ. Στέρξον ὀλίγον ἔτι ἄπαξ ἐν τῷ οἴκῳ μου, καθότι καιρὸς ἀπογραφῆς ἐφέστηκεν Αὐγούστου Καίσαρος τὰ νῦν βασιλεύοντος· ἐγὼ δὲ καὶ γυναῖκα ἐμὴν εὐλαβοῦμαί σε ἀπογράψασθαι· μάλιστα διὰ τὴν Δαυϊτικὴν συγγένειαν.

Ἡ Θεοτόκος. Συντηρήσω ἄρα τοὺς λόγους σου ἐν τῇ καρδίᾳ μου, καὶ στέρξω μικρὸν λοιπὸν ἔτι ἐν τῷ οἴκῳ σου· καὶ ἐκδέξομαι καιρὸν ἀπογραφῆς καὶ ἡμέραν κυοφορίας μου, μέχρι ἂν καὶ φόρους τελέσωμεν Αὐγούστῳ Καίσαρι, Αὐγούστῳ Ῥωμαίων τῷ νῦν βασιλεύοντι.

'Ο Ἰωσήφ. Τάχα ἄγγελος ἦν ὁ φανείς μοι καθ' ὕπνον, καὶ λέξας μοι· « Ἰωσὴφ υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. »

Ἡ Θεοτόκος. Τάχα, κύριέ μου, ἐκεῖνος ἦν ὁ τὸ, *Χαῖρε*, μοὶ ἐπιφθεγξάμενος. Ἀλλὰ τὸ λοιπὸν εὐτρέπισον σπήλαιον, καὶ μαῖαν Ἑβραίαν καταζήτησον τοῦ γένους ἡμῶν· καὶ τὸ μυστήριον φυλάξει, καὶ κατὰ τὸ εἰθισμένον διακονήσει μοι.

'Ο Ἰωσήφ. Ὑποδείξει μοι πάντως φανεὶς μοι καὶ τὸν τόπον καὶ τὸ σπήλαιον· σὺ δὲ, Μαρία, τὰ σπάργανα ἑτοίμασον. Κἂν τε προφήτης, κἂν τε βασιλεὺς ὑπάρχει ὁ μέλλων τίκτεσθαι, ἡμεῖς οὐκ [6] οἴδαμεν, « ὅτι Ναζωραῖος κληθήσεται. »

Ἡ Θεοτόκος. Ὑπολαμβάνω ὅτι βασιλεὺς κληθήσεται ὁ μέλλων τίκτεσθαι· γέγραπται γὰρ· ἐν τοῖς προφήταις· « Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων. »

'Ο Ἰωσήφ. Φαινερώσει μοι λοιπὸν ὁ καθ' ὕπνον χρηματίσας μοι, καὶ τὰ μέλλοντα ἡμῖν μετὰ ταῦτα συμβαίνειν. Ἐγὼ καὶ τὸν Ἡρῴδην εὐλαβοῦμαι, ὅτι ποτέ τινος μηνύσαντος, ποιήσει ζήτησιν τοῦ παρ' ἡμῖν τικτομένου παιδός.

Ἡ Θεοτόκος. Φανήσεται τὸ σημεῖον ἐν τῷ οὐρανῷ· γέγραπται γὰρ ἐν τοῖς προφήταις· « Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ. »

'Ο Ἰωσήφ. Χθὲς ἐξ ὑποψίας σφαλλόμενος, μέμψιν ἐπήνεγκα τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· νῦν δὲ ἐξ ὕψους πληροφορίαν δεξάμενος, ἀπο-

Joseph. Sacerdotalis virga, ut a domo orationis te assumerem ad custodiam, mihi persuasit : teque postea domi bene prorsus compositam, totaque honestate reliqui : quidni ergo, Maria, donec mea absentia operaque complerentur, exspectasti?

Deipara. Vivit Dominus, alieni sordes tori, ac carnalis labem desiderii ignoro : nisi quod iterum tenens purpuram, angelicam vocem audivi mihi dicentem : « Ne timeas, Maria : invenisti enim gratiam apud Deum [56]. »

Joseph. Semel adhuc in domo mea sustine modicum, eo quod professionis tempus Augusti Cæsaris nunc imperantis advenit. Nam et ego, ut meam tu conjugem profitearis vereor, propter Davidicam maxime cognationem.

Deipara. Conservabo ergo sermones tuos in corde meo, adhucque modicum sustinebo in domo tua; ac exspectabo tempus professionis ac partus diem, donec tributa penderimus Augusto Cæsari; Augusto, inquam, Romani nunc imperii habenas moderanti.

Joseph. Forte angelus erat, qui mihi apparuit in somnis, ac mihi dixit : « Joseph fili David, noli timere accipere Mariam conjugem tuam : quod enim in ea natum est, de Spiritu sancto est. Pariet autem filium, et vocabis nomen ejus Jesum [57]. »

Deipara. Forsan, domine mi, ille erat, qui mihi acclamavit, *Ave*. Cæterum quod superest, speluncam para, ac quære obstetricem Hebræam de gente nostra, servabitque illa mysterium, ac pro more mihi ministrabit.

Joseph. Plane is qui mihi apparuit, tum locum, tum speluncam subindicabit : tu vero, Maria, pannos præpara. Sive autem propheta, sive rex exsistat, qui est nasciturus, hoc vero scimus, quia « Nazaræus vocabitur [58]. »

Deipara. Existimo fore ut rex appelletur, is qui est nasciturus; scriptum enim est prophetis : « Gaude vehementer, filia Sion : prædica, filia Jerusalem : ecce rex tuus venit tibi justus et salvans [59]. »

Joseph. Qui in somnis mihi respondit, ipse nobis posthæc eventura declarabit. Porro etiam Herodem timeo, ne quo forte nuntiante, natum apud nos filium inquirat.

Deipara. Apparebit signum in cœlo; nam scriptum est in prophetis : « Orietur stella ex Jacob, et exsurget homo de Israel, et percutiet duces Moab [60]. »

Joseph. Falsa heri suspicione deceptus, speciei tuæ ac pulchritudini impegi crimen; nunc autem de alto certior effectus, excusabo pariter, ac reve-

VARIÆ LECTIONES

[6] Lege οὖν.

[56] Luc. I, 30. [57] Matth. I, 20. [58] Matth. II, 23. [59] Zachar. IX, 9. [60] Num. XXIV, 17.

Digitized by Google

renter adorabo tuam magnificentiam, tuumque nomen benedicam. (*Desunt aliqua.*)

VI.

Sancti Patris nostri Germani archiepiscopi Constantinopolitani, in omni veneratione prosequendam sanctæ Dei Genitricis Dormitionem (34), *sermo I.*

(COMBEF. *Auct. nov.* II, 1445.)

Qui debitor est, continuis canticis beneficum celebrat. Salvandus cliens, sui salvatoris præsidium non nescit. Qui minus habet, quam ut dignas reipsa vices referre possit, verborum saltem officio protectorem demereri probat. Quamobrem ipse quoque, o Deipara, quæ supra rationem ac cogitatum, rerum prodigio novarum mirabilia adepta sis, audeo laudare. Tibi utique assumpta fiducia, tuæ illius vocis in exsultatione (35) submitto verba. Respice in humilitatem servi tui; exalta os humilis; desiderioque sitientem laudare te, beata imple bonorum tuorum adeptione, ut tuo auxilio animum dirigente, non confundar, o Domina, magnificare te. Tu enim merito dixisti fore ut te omnes hominum ætates beatam dicant [61]: te, inquam, quam nemo condigne magnificare possit; quæ semper angustam ac præcipitem laudatorum tuorum animi paupertatem, commiserationis affectu prosequaris. Quid primum dicam; quidve secundo loco enarrandum remittam? Tuæne in carne cum hominibus conversationis laudes celebrem; an migrationis in spiritu qua somno vivis excessisti (36), gloriam, plausu excipiam? Sunt ambo hæc tremenda: horrendum utrumlibet. Verum sermo quidem enarrandis ceu transitu triumphis tuis positus erit; processu autem hodierni argumenti, præclaræ tuæ ac gloriosæ, o Deipara, migrationis canticum inchoaverit. A terrenis migrantem, liquet ascendisse cœlestia; cæterum neque olim eras cœlestium expers, neque migratis excessisti a terrenis, quando etiam sublimiores cœlestibus ordinibus sedes petisti, terrenisque creaturis altior apparuisti. Plane enim, o Deipara, cum cœlos decorasti, tum terram immensum illustrasti. Cœlos quidem, quia mox ut humanum genus fuit conditum, jussi sunt angeli ut eorum vitæ tutores agerent, atque præfecti; quo essent ductores, gubernarentque, atque in immobili fidei in Deum proposito custodirent. Nam, inquit, « Constituit terminos gentium, secundum numerum an-

[61] Luc. I, 48.

Ὁ χρεωστῶν, πάντοτε τὸν ἴδιον εὐεργέτην ἀνυμνεῖ. Ὁ σωζόμενος, οὐκ ἀγνοεῖ τοῦ οἰκείου Σωτῆρος τὴν σκέπην. Ὁ ἐξ ἔργων ἀμοιβὰς παρέχειν μὴ εὐπορῶν, κἂν τὴν ἐκ τῶν λόγων δοκιμάζει προσφέρειν τῷ προστάτῃ δεξίωσιν. Διὸ καὶ σὲ, Θεοτόκε, ὡς ὑπὲρ λόγον καὶ ἔννοιαν, τὰ τῶν παραδόξων κεκτημένην θαυμάσια, ἐγκωμιάσαι τολμῶ. Σοὶ τὰ τῆς σῆς φωνῆς ἐν ἀγαλλιάσει κἀγὼ παῤῥησιασθεὶς προσαναπέμπω ῥήματα. Ἐπίβλεψον ἐπὶ τὴν ταπείνωσιν τοῦ δούλου σου· ὕψωσον ταπεινοῦ στόμα, καὶ πεινῶντά με τὴν σὴν ἐπιθυμητῶς δοξολογίαν, τῶν σῶν ἔμπλησον τῆς ἐπιτυχίας ἀγαθῶν, ἵνα σοῦ τῇ ἀντιλήψει τὸν νοῦν ποδηγούμενος, μὴ ἐντραπῶ μεγαλύναι σε, Δέσποινα. Σὺ γὰρ εἶπας δικαίως μακαρίζειν σε, πάσας τὰς τῶν ἀνθρώπων γενεάς· σὲ, τὴν μὴ παρ' οὐδενὸς ἀξίως μεγαλυνομένην· σὲ, τὴν συμπαθοῦσαν ἀεὶ, τῇ στενῇ τῶν ἐγκωμιαστῶν σου καὶ προπετεῖ πτωχονοίᾳ. Τί πρῶτον εἴπω, καὶ τί δεύτερον παραφυλάξω; Τῆς ἐνσάρκου σου μετὰ ἀνθρώπων συναναστροφῆς τοὺς ἐπαίνους ἐπανυμνήσω, ἢ τῆς ζωοκοιμήτου σου κατὰ πνεῦμα μεταστάσεως τὴν δόξαν ἐπικροτήσω; Φοβερὰ τὰ ἀμφότερα· φρικτὰ τὰ ἑκάτερα. Περὶ μὲν οὖν τῶν σῶν ἐν διηγήσει θριάμβων παρακατιὼν ὁ λόγος ὑποστήσει· προῖὼν δὲ, τῆς νῦν ὑποθέσεως, τῆς τιμίας καὶ ἐνδόξου σου, Θεομῆτορ, μεταστάσεως, ἀπάρξηται τὸν ὕμνον. Τῶν ἐπιγείων ὅταν μετέστης, τῶν οὐρανίων προδήλως ἐπέβης· πλὴν οὔτε πρώην τῶν οὐρανίων ἠμοίρεις, οὔτε μετατεθεῖσα τῶν ἐπιγείων ἐξέστης· ἐπειδὴ, καὶ τῶν ἐν οὐρανοῖς ταγμάτων ὑψηλοτέρα κατέστης, καὶ τῶν ἐπὶ γῆς ποιημάτων ὑπερτέρα κατεφάνης. Ἐπ' ἀληθείας γὰρ, καὶ τοὺς οὐρανοὺς ἐκαλλώπισας, καὶ τὴν γῆν ὑπερελάμπρυνας, Θεοτόκε. Τοὺς μὲν οὐρανοὺς, ὅτιπερ ἅμα τοῦ στῆναι τὰ τῶν ἀνθρώπων γένη, ἄγγελοι τῆς τούτων ἐπιτροπεύειν προετάχθησαν ζωῆς· τοῦ ὁδηγεῖν, καὶ διοικεῖν, καὶ φυλάττειν αὐτοὺς, ἐν τῇ πρὸς Θεὸν ἀμεταθέτῳ πίστεως καρδίᾳ. « Ἔστησε γὰρ, φησὶν, ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. » Καὶ,

(34) Schotus ediderat 2, quæ exstat tom. II *Bibl. PP. Græco-Lat.*; sed versione quæ multis displiceat. Ejus codex potuit desiderare hanc primam, quam Regius perantiquus repræsentat, æque ac secundam, sub eodem Germani nomine: ac plane altera alterius continuatio est, eodem ubique dicendi charactere. Multam stylus, totaque utriusque orationis compositio redolet pietatem in Mariam, nec rerum divinarum mediocrem scientiam, ac meditationem: dignum plane opus egregio confessore Germano.

(35) *Tuæ illius vocis in exsultatione.* Cantici Mariæ verba sunt, quæ in se auctor, ejus imitatus modestiam, encomium auspicaturus detorquet.

(36) *Qua somno vivis excessisti.* Longa paraphrasi explicare conor vocem ζωοκοίμητον· qua scite auctor exprimit, ut Mariæ transitus habuerit, instar nimirum somni; spiritu interim migrante ad superos, nulla corporis, qualis in aliis accidit, vitiatione.

Digitized by Google

« Παρεμβαλεῖ, φησὶν, ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. » Ἀλλὰ τῶν ἐλεεινῶν ἀνθρώπων πλάνῃ καὶ εἰδωλολατρείᾳ τότε διατελούντων, κνίσης τε θυσιῶν τὸν ἀέρα μολυνόντων, ἀφειδίασαν [h] ἐκ τῆς τῶν ἀνθρώπων συνδιαγωγῆς λοιπὸν καὶ οἱ ἄγγελοι· ἀντανεῖλε δὲ παρ' αὐτῶν ὁ Θεὸς καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Σοῦ δὲ τεκούσης ἐπ' ἐσχάτων τὸν « ἐν ἀρχῇ » Λόγον τοῦ Θεοῦ καὶ Πατρὸς, παρευθὺ τῆς σῆς κυήσεως, καὶ τῶν ἀγγέλων αἱ στρατιαὶ, ἀπὸ τῶν οὐρανῶν παρέκυψαν, τὸν ὑπὸ σοῦ γεγεννημένον ἀνυμνοῦντες Θεὸν, καὶ δόξαν ἐν τοῖς ὑψίστοις προστεθῆναι βοήσαντες, εἰρήνην ἐπὶ γῆς ἐκραύγασαν ἐπιφθάσαι· ὡς μηκέτι λοιπὸν ἔχθραν μεσοτοίχου μεταξὺ ἀγγέλων καὶ ἀνθρώπων, οὐρανοῦ τε καὶ γῆς, χρηματίζειν· ἀλλὰ σύμφωνον πολίτευμα, καὶ μίαν ἀντιφωνοῦσαν δοξολογίαν παρ' ἀγγέλων καὶ ἀνθρώπων, τῷ ἑνὶ καὶ τριαδικῷ Θεῷ προσαναπέμπεσθαι παρ' ἑκατέρων. Καὶ ὁ Πατὴρ δὲ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, μαρτυρῶν τῇ ἐκ σοῦ χωρὶς Πατρὸς σωματικῇ κυοφορίᾳ, εἰς αὐτὸν βοᾷ· « Ἐγὼ σήμερον γεγέννηκά σε. » Καὶ πάλιν· « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε. » Ὦ ῥήματα θεολογίας μεστά! Εἰ πρὸ γεννηθῆναι παρὰ σοῦ τῆς Παρθένου Μητρὸς, Υἱὸς οὗτος μονογενὴς τοῦ Θεοῦ, πῶς ὁ Πατὴρ φησι πρὸς αὐτὸν, « Ἐγὼ σήμερον γεγέννηκά σε ; » Δῆλον ὅτι τὸ *σήμερον*, οὐχὶ τὴν τῆς θεότητος τοῦ Μονογενοῦς πρόσφατον παρίστησι ὕπαρξιν, ἀλλὰ τὴν πρὸς ἀνθρώπους σωματικὴν αὐτοῦ βεβαιοῖ παρουσίαν. Τὸ δὲ, *γεγέννηκά σε*, τὸ τοῦ ἁγίου Πνεύματος ἐν τῷ Πατρὶ θεαρχικὸν ὁμοῦ καὶ συνεργητικὸν ἐμφαίνει συνούσιον. Ἐπειδὴ γὰρ οὐκ ἀλλότριον τὸ Πνεῦμα τοῦ Πατρὸς· εὐδοκίᾳ δὲ καὶ ἀποστολῇ τοῦ Πατρὸς ᾤκησεν ἐν σοὶ τῇ Παρθένῳ καὶ Μητρὶ, ἰδιοποιεῖται τὴν τοῦ παναγίου Πνεύματος ἐνέργειαν ὁ Πατὴρ, ὅθεν τὴν ἐκ σοῦ σωματικὴν τοῦ Υἱοῦ αὐτοῦ πρόοδον καινοποιησάμενος μετὰ τοῦ Πνεύματος ὁ Πατὴρ, « Ἐγὼ, φησὶ τῷ Υἱῷ, σήμερον γεγέννηκά σε. » Καὶ τόδε, « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, » τῆς αὐτῆς ἔχεται πιστοφορίας [h*] τουτέστιν, ὅτι καὶ τὴν προαιώνιον τῆς θεότητος ἐν τῷ Μονογενεῖ πιστὸν μετὰ τοῦ Πατρὸς συναΐδιον οὐσίαν, καὶ τὴν ἔνσαρκον αὐτοῦ περὶ τὰ ἔσχατα τῶν καιρῶν ἐκ σοῦ τῆς Ἀειπαρθένου φυσικὴν καὶ ἀφάνταστον δείκνυσιν ἐνανθρώπησιν. Γαστέρα γὰρ προεωσφόρον, τὴν γεννητικὴν τοῦ προουρανίου καὶ ἐπιγείου Φωτὸς ὠνόμασεν ἡ Γραφὴ πρόοδον· τοῦ δειχθῆναι ὅτι πρὸ πάσης κτίσεως ὁρωμένης καὶ ἀοράτου, ὁ Μονογενὴς ὑπὸ τοῦ Πατρὸς ἀνάρχως, ἐκ Φωτὸς ἐγεννήθη Φῶς· καὶ

gelorum Dei [65]. » Et : « Immittet, inquit, angelus Domini in circuitu timentium eum, et eripiet eos [66]. » Cum autem miseri homines, errori tunc ac idolorum cultui vitam agerent, ac victimarum nidore contaminarent aerem, etiam angeli ab humana se spernentes abjunxerunt consuetudine ; suumque Deus ab illis vicissim abstulit Spiritum sanctum. At ubi ipsa novissimis temporibus, Verbum illud Dei et Patris, « quod erat in principio [64], » peperisti ; ab eo statim partu, etiam angelorum exercitus e cœlis aspexerunt, laudum canticis celebrantes ex te natum Deum ; adjectamque in altissimis gloriam clamantes [65], pacem in terram advenisse vociferati sunt ; ut non amplius nominetur inimicitia medii parietis angelos inter ac homines, cœlumque et terram : sed consona vitæ ratio, unaque mutuo respondens ab angelis ac hominibus glorificatio, uni trinoque ab utrisque Deo offeratur. Sed et Pater, unigeniti Filii sui, corporali ex te sine patre conceptui testimonium perhibens, in ipsum clamat : « Ego hodie genui te [66]. » Rursumque : « Ex utero ante luciferum genui te [67]. » O verba plena theologia ! Si quidem enim priusquam ex te matre Virgine nasceretur, unigenitus ex Deo Filius erat, quomodo Pater ad eum ait : « Ego hodie genui te ? » Utique liquet vocem (37) *hodie*, non divinitatis Unigeniti recentem significare exsistentiam, sed ejus ad homines astruere corporalem præsentiam ac adventum. Cæterum illud, *genui te*, divinam in Patre Spiritus sancti rationem principii (38) ac coagendi vim substantialem ostendit. Quia enim Spiritus sanctus non est alienus a Patre, ille autem ex Patris beneplacito ac missione, in te habitavit Virgine et Matre, ejus sibi Pater vindicat actionem, ac suam facit. Quamobrem Filii sui corporalem ex te processionem novam molitus Pater cum Spiritu sancto : « Ego hodie, inquit Filio, genui te. » Illud quoque : « Ex utero ante luciferum genui te, » eamdem ingerit fidem, ac veritatem ; hoc est : significat cum sæculis anteriorem deitatis in Unigenito certam exploratamque cum Patre cœternam substantiam ; tum ejus in carne in finem temporum, ex te semper Virgine, naturalem illam veramque, non apparentia consistentem, humanationem. Quippe uterum lucifero antiquiorem nominavit Scriptura, processionem, qua Sol ille sæculis antiquior, idemque terrenus, natus est ; quo ostendat, ante creatum omne, vel quod oculis subjectum est, vel quod spiritale oculis non subest,

[64] Deut. XXXII, 8. [65] Psal. XXXIII, 8. [64] Joan. I. [65] Luc. II, 14. [66] Psal. II, 7. [67] Psal. CIX, 3.

VARIÆ LECTIONES.

[h] *Isc.* ἀφείδησαν. [h*] *Isc.* πληροφορίας.

NOTÆ.

(37) *Liquet vocem* hodie, τὸ σήμερον· Sic quoque Methodius in *Occurs.* et alii, de temporali exponunt nativitate, in quam etiam Ecclesia usurpat, in officio diei Natalis Domini.

(38) *Divinam in Patre Spiritus sancti rationem principii.* Τὸ τοῦ ἁγίου Πνεύματος ἐν τῷ Πατρὶ θεαρχικόν· ut sibi Pater, Dominicam et ipse vendicet incarnationem, quæ appropriatur Spiritui sancto ; quæ nimirum una utriusque voluntate facta sit. Τὸ, θεαρχικὸν, hic, velut ἀπὸ ἀρχῆς, τὸ, αἰτία· quod habet Spiritus sanctus tantum ad extra.

Digitized by Google

Unigenitum ex Patre sine principio, tanquam Lumen de Lumine, natum esse : ac rursum uteri nomine, tuum designavit ventrem, ut et carnalem ex te Unigeniti adventum significaret. Nam ea voce, *ante luciferum*, noctem illam indicat, antequam diluculum esset. Recte vero diem, *luciferum* vocat; quia enim intempestæ noctis silentio, iis qui sedebant in tenebris, lumen peperisti, *ante luciferum*, ac præmatutinam horam tui partus dixit. « Pastores enim, inquit, erant in regione eadem vigilantes, et custodientes vigilias noctis. » Ejusmodi est, o Deipara, quæ per te gloria cœlestibus accessit. Si quidem enim jam accesserat, haudquaquam angeli, quod olim glorificatum esset, « Gloria in altissimis » cantico celebrarent, cum ineffabilis tui puerperii tempus advenisset. Quam vero etiam terrenorum genus illustratum est? Homo etenim per tuam immaculatam carnem cœli civis evasit, ac pastores commisti sunt angelis. Angeli quidem [inferius se ad nati infantis humilitatem inclinarunt; homines vero], ad supernam Dei, ac glorificatam subvecti sunt dignitatem : hoc est, æternam Patris ad Filium, ac ante sæcula consubstantialitatem, quæ est nativitate, non creatione, sapienter didicerunt.

A γαστέρα πάλιν, τὴν σὴν ἐσήμανε κοιλίαν, τοῦ δεῖξαι καὶ τὴν σαρκικήν ἐκ σοῦ τοῦ Μονογενοῦς ἐπιδημίαν. *Προεωσφόρον* δὲ, τὴν πρὸ τοῦ αὐγους τότε δεδήλωκε νύκτα· *ἑωσφόρον*, τὴν ἡμέραν καλῶς ὑποτιθεμένη· ἐπειδὴ γὰρ ἐν νυκτὶ τὸ φῶς τοῖς ἐν σκότει καθημένοις ἐκύησας, *προεωσφόρον* τὴν ὥραν ἐκάλεσε τοῦ τόκου σου. « Ποιμένες γὰρ, φησὶν, ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτός. » Τοιαύτη ἡ προστεθεῖσα διὰ σοῦ τοῖς ἐπουρανίοις δόξα, Θεοτόκε. [i] Μὴ γὰρ προσετέθη, οὐκ ἂν τὸ ἤδη δεδοξασμένον, *Δόξαν ἐν ὑψίστοις*, ἀνύμνουν οἱ ἄγγελοι, κατὰ τὸν καιρὸν, ἐπικαταλαβεῖν τῆς ἀφράστου σου κυοφορίας. Ποία δὲ καὶ τῶν ἐπιγείων ἡ ἔλλαμψις; ὅτιπερ διὰ τῆς σῆς ἀμώμου σαρκὸς οὐρανοπολίτης ὁ ἄνθρωπος ἀπετε-
B λέσθη, καὶ ποιμένες μετ' ἀγγέλων ἐμίχθησαν. Οἱ μὲν ἄγγελοι καταβατικοί . . . . . πρὸς τὴν ἄνω τοῦ Θεοῦ καὶ δεδοξασμένην ὑψωθέντες ἀξίαν· τουτέστι, τὴν ἄναρχον τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν σοφισθέντες πρὸ τῶν αἰώνων γεννητικὴν, καὶ οὐ κτιστὴν ὁμοουσιότητα.

Ex quo igitur, sanctissima Dei Mater, cœlum, atque adeo terra, per te decorem habuerunt, qui fieri potuit, ut migrando, tua homines inspectione orbatos desereres? Enim veroabsit ut ita sentiamus. Quemadmodum enim mundo hoc agens, haudquaquam hospes eras cœlestis convictus, ita neque postquam migrasti, ab hominum in spiritu conversatione alienata es : quando etiam tuo illo
C amplissimo sinu gestando Deo, altissimi Dei capax cœlum effecta es; spiritualisque nihilominus ei terra fuisti appellata, ob obsequium carnis ei subministratæ. Atque adeo facili inde suademus conjectura, cum Deo prorsus contubernalem fuisse, dum in mundo versareris, tumque ab humanis translatam, eos nunquam deseruisse qui in mundo essent. Instamus nihilominus, verbisque importuni sumus, qui fideli te mente venerari consuevimus : quamobrem non et ipsi id tantum boni consecuti sumus, ut tua in corpore frui mereremur consuetudine? Idcirco etiam magis ter beatissimos eos prædicamus, qui tui accolatus spectaculo delectati
D sunt, ut qui te, Matrem Vitæ, communem secum vitam ducentem habuerunt. Cæterum, velut etiamnum corporaliter inter nos, atque in humanis agens ambules, sic tua quotidie visione, animorum nostrorum oculos delectas et afficis.

Etenim qua ratione cum antiquioris ætatis hominibus in carne conversabaris, ea quoque nobiscum spiritu habitas; tuaque illa, qua nos foves, multa protectio, tuæ nobiscum consuetudinis index est : tuamque universi audimus vocem; universorumque vox, auditus tui aures pulsat : quique a te pro tua in nos protectione cognoscamur, tuam

Ἐπὰν οὖν, παναγία Θεομῆτορ, ὁ οὐρανὸς, καὶ ἡ γῆ μᾶλλον εἰπεῖν, διὰ σοῦ κατεκομίσθη [i], πῶς ἔνδεκτον ὀρφανοὺς τῆς σῆς ἀναθεωρίας καταλεῖψαί σε τῇ μεταστάσει τοὺς ἀνθρώπους; Μὴ γένοιτο τοῦτο φρονεῖν ἡμᾶς! Ὥσπερ γὰρ ἐν τῷ κόσμῳ τούτῳ διάγουσα, οὐ ξένη τῶν οὐρανίων ὑπῆρχες διαιτημάτων, οὐδὲ μετα[τε]θεῖσα, τῆς σῆς ἀνθρώπων ἠλλοτριώθης τῷ πνεύματι συναναστροφῆς· ἐπειδὴ καὶ οὐρανὸς θεοχώρητος ἀνεδείχθης τοῦ ὑψίστου Θεοῦ, διὰ τὸν χωρητικὸν κόλπον σου πρὸς αὐτοῦ βασταγμοῦ· καὶ γῆ πάλιν αὐτῷ πνευματικὴ, διὰ χωρητικὴν ὑπουργίαν ἐχρημάτισας τῆς σαρκός σου. Ὡς ἔνθεν εὐστόχως ἔστι πιστεύειν, ὅτιπερ καὶ κατὰ τὸν κόσμον τοῦτον ὅταν ἐπεδήμεις, σύνοικος ἦσθα διὰ παντὸς τοῦ Θεοῦ· μετατεθεῖσα τῶν ἀνθρωπίνων, οὐκ ἐγκατέλιπάς ποτε τοὺς ἐν τῷ κόσμῳ. Πλὴν ὁμοίως [i'] ἀδολεσχοῦμεν, οἱ πιστῶς σε προσκυνεῖν εἰθισμένοι· διὰ τί, σὲ καὶ σὺν τῷ σώματι μὴ κατηξιώθημεν καὶ ἡμεῖς εὐτυχῆσαι; Διὸ καὶ τρισμακαρίστους μᾶλλον καλοῦμεν, τοὺς τῆς παροικίας σου κατατρυφήσαντας θεατὰς, ἐπειδή σε συνομόζωον ἑαυτοῖς τὴν Μητέρα τῆς ζωῆς κατεκτήσαντο. Ἄλλως ἵνα καὶ μεθ' ἡμῶν σωματικῶς ἐμπεριπατεῖς, οὕτω καὶ τῶν ἡμετέρων ψυχῶν οἱ ὀφθαλμοὶ καθεκάστην σε προβλέπειν ψυχαγωγοῦνται.

Καὶ γὰρ, ὡς μετὰ τῶν ἀρχαιοτέρων ἡμῶν ἐν σαρκὶ συνεπολιτεύου, ὁμοίως καὶ μεθ' ἡμῶν τῷ πνεύματι συνοικεῖς· καὶ ἡ πολλή σου περὶ ἡμᾶς σκέπη, τὴν σὴν ἡμῶν χαρακτηρίζει συνομιλίαν. Καὶ τῆς φωνῆς σου πάντες ἀκούομεν· καὶ ἡ φωνὴ τῶν ὅλων πρὸς τὰ σὰ τῆς ἀκροάσεως ὦτα· καὶ γινωσκόμενοι παρὰ σοῦ διὰ τῆς ἀντιλήψεως, ἐπιγινώσκομέν σου,

VARIÆ LECTIONES.

[i] leg. ἄν. [i'] leg. κατεκοσμήθη. [i''] *Ισ. ὅμως.*

Digitized by Google

προστατικὴν ἀεὶ τὴν ἀντίληψιν. Κωλυτικὸν γὰρ οὐ- B
δὲν, μερισμὸν λέγω ψυχῆς καὶ σώματος, μεταξὺ τῆς
σῆς καὶ τῶν σῶν δούλων διαγνώσεως. Οὐ γὰρ ἀφ-
ῆκας, οὓς διέσωσας · κατέλιπας, οὓς συνήγαγες ·
ὅτι ζῇ σου τὸ πνεῦμα διὰ παντὸς, καὶ ἡ σὰρξ διαφθορὰν οὐχ ὑπέμεινε ταφῆς. Πάντας ἐπισκέπτῃ, καὶ ἡ ἐπισκοπή σου, Θεομῆτορ, ἐπὶ πάντας · ὥστε κἂν οἱ ὀφθαλμοὶ ἡμῶν κρατοῦνται τοῦ μὴ βλέπειν σε, παναγία, ἐν μέσῳ σὺ τῶν ἁπάντων ἐμφιλοχωρεῖς, ἐμφανίζουσα τοῖς ἀξίοις σου διαφόρως ἑαυτήν. Ἡ γὰρ σὰρξ οὐκ ἐμποδίζει τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ πνεύματός σου · ὅτιπερ ὅπου θέλει πνεῖ σου τὸ πνεῦμα, ἐπειδὴ καθαρὸν τοῦτο καὶ ἄῦλον · ἄφθαρτον καὶ ἀκηλίδωτον, καὶ τοῦ Πνεύματος τοῦ ἁγίου συνδιαιτικὸν πνεῦμα, καὶ τῆς Μονογενοῦς θεότητος ἐκλεκτόν, σὺ, κατὰ τὸ γεγραμμένον, « ἐν καλλονῇ · » καὶ B
τὸ σῶμά σου τὸ παρθενικὸν, ὅλον ἅγιον, ὅλον ἁγνὸν, ὅλον Θεοῦ κατοικητήριον · ὡς ἐκ τούτου λοιπὸν καὶ ἀλλότριον χοϊκῆς ἀναλύσεως. Ἐνηλλαγὲν μὲν ὡς ἀνθρώπινον πρὸς ἄκραν ἀφθαρσίας ζωήν · σῶον δὲ τοῦτο καὶ ὑπερένδοξον, ζωοτελὲς καὶ ἀκοίμητον · καθ' ὅτιπερ οὐδὲ ἦν δυνατὸν παρὰ νεκροποιοῦ συγκλεισμοῦ τοῦτο κρατηθῆναι, ὡς σκεῦος ὑπάρχον θεηδόχον, καὶ ἐμψυχος ναὸς τῆς τοῦ Μονογενοῦς παναγίας θεότητος. Ἐνεκεν δὴ τούτων, μεθ' ἡμῶν σε, Θεοτόκε, πιστεύομεν περινοστεῖν.

semper auxiliatricem agnoscimus protectionem : nihil enim illa, animam inter ac corpus divisio, tuam, ac servorum tuorum dignationem prohibere possit. Haud quippe dimisisti, quibus fuisti saluti; haud abs te congregatos dereliquisti : nam spiritus tuus semper vivit, nec caro corruptionem sepulcri sustinuit. Omnes visitas, tuaque, Dei Mater, inspectio in omnes exsistit : adeoque, quanquam tenentur oculi nostri ne te videamus, o sanctissima, lubens tamen in medio omnium habitas, teque ipsam, dignis te diversimode manifestas. Nihil enim caro, tui spiritus virtuti ac efficaciæ officit; quippe tuus ille spiritus ubi vult spirat, qui nimirum mundus sit ac vacans materia; incorruptus ac incontaminatus, sanctique Spiritus sodalis, ac Unigeniti Deitati delectus, spiritus. Tu juxta quod scriptum est, « Speciosa es [68]; » tuumque illud corpus virginale, totum sanctum est, totum castum, totum Dei domicilium; ut ideo quoque a resolutione in pulverem deinceps sit liberum : quod quidem ceu humanum, ad summam incorruptionis vitam sit immutatum; sitque nihilominus ipsum incolume ac prægloriosum; consummatæ vitæ, ac insoporabile : quatenus impossibile erat, ut mortuorum sepulcro clausum teneretur, quod vas Dei susceptivum esset, ac sanctissimæ Unigeniti Deitatis animatum templum. Idcirco vero te, Deipara, nobiscum credimus obambulare.

Ὄντως γὰρ, ὄντως, καὶ πάλιν εὐχαριστικῶς ἐρῶ · οὐκ ἐχωρίσθης κἂν μετέστης τοῦ Χριστιανικοῦ γένους · οὐκ ἐμακρύνθης, συναφθαρσίας ζωὴ, τοῦ φθειρομένου τούτου κόσμου, ἀλλ' ἐγγίζεις τοῖς ἐπικαλουμένοις σε. Εὑρίσκῃ τοῖς πιστῶς ἐκζητοῦσί σε · ἄτινα ζωῆς εἰσιν ἐνεργείας πνεύματος ἀειπνόου, σώματος ἀδιαρεύστου παραστατικὰ θεωρήματα. Πῶς γὰρ εἶχε διάλυσις σαρκὸς πρὸς χοῦν καὶ κόνιν ἀνθυποστρέψαι σε, τὴν ἀπὸ θανάτου καταφθορᾶς, τὸν ἄνθρωπον, διὰ τῆς τοῦ Υἱοῦ σου λυτρωσαμένην σαρκώσεως; Μετέστης γοῦν τῶν ἐπιγείων, τοῦ δειχθῆναι τὸ τῆς φρικτῆς ἐνανθρωπήσεως βεβαιούμενον ἀφαντάστως μυστήριον · ἵνα σοῦ τὴν ἐκδημίαν τῶν προσκαίρων ὑπομεμενηκυίας, ὁ ἐκ σοῦ γεννηθεὶς Θεὸς, πιστευθῇ καὶ τέλειος προελθεῖν ἄνθρωπος, ἐξ ἀψευδοῦς Μητρὸς Υἱὸς, ὑποκειμένης νόμοις φυσικῶν ἀναγκασμάτων, ὅρου θείου κελεύσματι, καὶ χρόνου D
βιωτικοῦ παρακελεύσει · σοῦ, τῆς ὡς μιᾶς τῶν καθ' ἡμᾶς τυγχανουσης σωμάτων, καὶ διὰ τοῦτο μὴ τοῦ κοινοῦ τῶν ἀνθρώπων θανάτου δυνηθείσης ἐκφυγεῖν τὸ συνάντημα · ὃν τρόπον καὶ ὁ σὸς Υἱὸς καὶ πάντων Θεὸς, καὶ αὐτὸς, ὅσον εἰπεῖν, διὰ τὸν παντὸς ἀποθνήσκοντα τοῦ γένους ἡμῶν ἄνθρωπον, τοῦ ὁμοίου σαρκικῶς « ἀπεγεύσατο θανάτου · παραδοξάσας δηλαδὴ, κατὰ τὸν ἴδιον αὐτοῦ καὶ ζωοποιὸν τάφον, καὶ τὸ σὸν τῆς κοιμήσεως ζωοπαράδεκτον μνῆμα · ὥστε ἀμφοτέρων σώματα μὲν ἀφαντάστως ὑπο-

Vere etenim, vere, etiam iterum grati animi dicam exsultatione : quanquam ab humanis migrasti, haud tamen a Christianorum gente recessisti. Non es elongata a mundo hoc exolescente, paris tu incorruptionis vita (39); sed iis, qui invocant te, propior accedis; inveniris ab iis, qui te fideliter exquirunt : quæ plane, Spiritus vitæ jugiter spirantis, ac corporis a fluxione liberi, ac incorruptibilis, exhibitionem haud obscuram habent. Nam quomodo carnis te dissolutio in cineres, ac pulverem potuisset redigere, quæ humanum genus a mortis corruptione, per Nati ex te assumptam carnem, liberasses? Migrasti ergo ab humanis, ut horrendæ incarnationis, solida veritate, nulla apparentia constans, confirmatum patesceret sacramentum; ut, inquam, tuo illo a temporaneis, ac sæculo discessu, qui ex te natus est Deus, perfectus nihilominus ex vera Matre crederetur processisse Filius, quæ nimirum necessitatum naturæ legibus subjaceret, divinæ jussionis definitione, ipsoque ad mundi vitam concesso tempore sollicitante : cujus corpus, ut unius haberet reliquarum mulierum, eoque communis hominum mortis occursum vitare nequivisses : quo etiam modo Filius tuus, ac Deus universorum, ob nostrum, ut ita dicam, universi generis mortuum hominem, similem et ipse carne, « gustavit mortem [69] : » mirabilia plane

[68] Cant. II, 13. [69] Hebr. II, 9.

(39) *Paris tu incorruptionis vita.* Συναφθαρσίας ζωὴ. Vel Christi Domini, qui ipse vita pariter est, ac incorruptio cum Maria; ejus, atque adeo incorruptionis, ac vitæ matre : juxta quod paulo inferius vocat, μητέρα ζωῆς. Vel, vita incorruptionis nostræ, quam secum incorruptibiles faciens, suo illa nobis puerperio conciliet.

Digitized by Google

operatus, cum in suo ipsius ac vivifico sepulcro, tum in tuo dormitionis vitam suscipiente monumento : ut ea, amborum quidem corpora veritate susceperint, haudquaquam vero corruptionem induxerint. Neque enim fieri poterat, ut quæ Dei capax vasculum esses, emortuum corpus corrumpente difflueres pulvere. Quia enim is, qui in te fuerat exinanitus, Deus erat a principio, ac vita sæculis antiquior; utique par quoque erat, ut Vitæ Mater, Vitæ pariter contubernalis fieret; dormitionemque somni instar susciperet; ac migrationem, haud secus atque expergefactionem, ceu Vitæ Parens, subiret. Uti enim chara proles propriam quærit ac desiderat parentem, atque parens vicissim cum prole amat versari, ita et te, quæ prolis amantibus in Filium tuum ac Deum visceribus prædita esses, congruum erat redire ad Filium; parque vicissim erat, ut pro ea, qua Deus ad Matrem haberet amoris affectione, suam sibi contubernalem, consuetudine donans, adjungeret. Sic porro rebus caducis emortua, ad immortales æternorum demigrasti mansiones, ubi Deus inhabitat; cum quo pariter ipsa agens, Dei Genitrix, ab ejus conversatione non discedis. Quippe ei, o Deipara, corporalis domus, qua quiesceret, es effecta; ipseque vicissim, o laudatissima, domus requietionis migranti efficitur : « Hæc enim, inquit, requies mea in sæculum sæculi [70]; » hoc est, caro, quam is ex te, o Deipara, induit; qua indutus, nedum præsenti sæculo apparuisse creditus est, sed et est futurum, ut eadem ipsa, veniens judicare vivos et mortuos indutus appareat. Ergo te, ut quæ æterna ei requies esses, a corruptione liberam, ad se assumpsit; suis te, ut ita dicam, et afflatibus et visceribus volens propius affixam : idcirco quidquid ab eo quæris, id ille, filiorum lugenti sortem, tribuit; ac si quid petis ab eo, divina implet virtute : qui est benedictus in sæcula. Amen.

A

B

C

D

δεξαμένων, διαφθοράν δὲ μηδαμῶς ἐνεργησάντων. Οὐδὲ γὰρ ἐνεδέχετό σε θεοχώρητον οὖσαν ἀγγεῖον, τῆς ἀναλύσεως νεκροφθόρῳ διαῤῥυῆναι χοΐ. Ἐπειδὴ γὰρ ὁ κενωθεὶς ἐν σοὶ, Θεὸς ἦν ἀπ' ἀρχῆς, καὶ ζωὴ προαιώνιος, καὶ τὴν Μητέρα τῆς Ζωῆς σύνοικον ἔδει τῆς Ζωῆς γεγονέναι, καὶ καθάπερ ὕπνον τὴν κοίμησιν ὑπολαβεῖν, καὶ ὡς ἐγρήγορσιν ὑποστῆναι τὴν μετάστασιν ὡς Μητέρα τῆς Ζωῆς. Ὥσπερ γὰρ τέκνον τὴν ἰδίαν ζητεῖ καὶ ποθεῖ μητέρα, καὶ μήτηρ συνδιάγειν τῷ τέκνῳ φιλεῖ, οὕτως καὶ σὲ φιλότεκνα σπλάγχνα πρὸς τὸν Υἱόν σου καὶ Θεὸν κεκτημένην, ἥρμοσεν πρὸς αὐτὸν ἐπανελθεῖν· καὶ τὸν Θεὸν δὲ, μητροφιλῆ διακρατοῦντα πρὸς σὲ στοργὴν, συνδιαιτόν σοι τὴν ἑαυτοῦ καὶ πάντως ἔπρεπε καταστῆναι συνομιλίαν. Τούτῳ δὲ τρόπῳ τὴν ἀποδίωσιν τῶν περαινομένων πεπονθυῖα, πρὸς τὰς ἀφθάρτους τῶν αἰωνίων μετῴκησας διατριβάς, ὅπου Θεὸς ἐναυλίζεται, μεθ' οὗ καὶ σὺ συνδιάγωγος οὖσα, Θεοτόκε, οὐκ ἀποχωρίζῃ τῆς τούτου συναναστροφῆς. Οἶκος γὰρ αὐτῷ καταπαύσεως σὺ γέγονας σωματικὸς, Θεοτόκε, καὶ τόπος ἀναπαύσεως αὐτὸς χρηματίζει μεταστάσει, πανύμνητε. « Αὕτη γὰρ, φησὶν, ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· » τουτέστιν, Ἡ ἐκ σοῦ περιβληθεῖσα τούτῳ, Θεοτόκε, σάρξ· μεθ' ἧς οὐ μόνον εἰς τὸν παρόντα τοῦτον αἰῶνα ἐπιφανεὶς ὁ Χριστὸς ἐπιστεύθη, ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα αἰῶνα, σὺν τῇ τοιαύτῃ σου σαρκὶ, ἐρχόμενος κρῖναι ζῶντας καὶ νεκροὺς ἐμφανισθήσεται. Ἆρα οὖν, ὡς αἰωνίας σου τούτῳ καταπαύσεως οὔσης, πρὸς αὐτὸν ἀδιάφθορον προσελάβετό σε, πλησιοχώρως, ὡς εἴποι τις, τῶν σῶν λαλιῶν καὶ σπλάγχνων ἔχειν σε θέλων· διὸ καὶ ὅσα ζητεῖς παρ' αὐτοῦ, τεκνοπενθῷ ἐπιδίδωσι, καὶ ὅσαπερ αἰτεῖς ἐξ αὐτοῦ, θεοδυνάμως ἀποπληροῖ· ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

VII.

Ejusdem in beatam sanctissimæ Dominæ nostræ Deiparæ semperque virginis Mariæ dormitionem sermo II.

Cessent indocti vesanique hæreticorum sermones (40). Iniqua eorum labia obturentur. « Exsultent et lætentur super te omnes quærentes te, » o Deipara; « et dicant semper : Magnificetur Dominus, qui » pro debito, « diligunt [71], » magnificare nomen tuum : « Os » enim Christianorum « meditabitur justitiam tuam, » ac virginitatem; « tota die laudem [72] » sanctitudinis partus tui. « Viderunt pauperes [73], » per te, « divitias bonitatis divinæ [74]. » Viderunt, atque dixerunt : « Misericordia Domini plena est terra [75]. » Peccatores, per te « Deum exquisierunt, et salvi facti sunt [76]; dixerunt et ipsi:

Ζ'.

Τοῦ αὐτοῦ εἰς τὴν ἁγίαν κοίμησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας λόγος β'.

Παυσάτωσαν τῶν αἱρετικῶν οἱ ἀμαθεῖς καὶ ἐμβρόντητοι λόγοι. Ἐμφραττέσθωσαν τὰ τούτων ἄδικα χείλη. « Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, » Θεοτόκε, « καὶ λεγέτωσαν διὰ παντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες » μεγαλύνειν κατὰ χρέος τὸ ὄνομά σου· ὅτι « τὸ στόμα » τῶν Χριστιανῶν « μελετήσει τὴν δικαιοσύνην σου » καὶ παρθενίαν σου· ὅλην τὴν ἡμέραν τὸν ἔπαινον » τῆς ἁγιοσύνης τοῦ τόκου σου. « Εἶδον οἱ πτωχοὶ τὸν » διὰ σοῦ « τῆς χρηστότητος τοῦ Θεοῦ πλοῦτον. » Εἶδον καὶ εἶπον· « Τοῦ ἐλέου Κυρίου πλήρης ἡ γῆ. » — « Ἐξεζήτησαν » οἱ ἁμαρ-

[70] Psal. CXXXI, 14. [71] Psal. XXXIV, 17. [72] Psal. XXXIV, 28 [73] Psal. LXVIII, 33. [74] Rom. II, 4. [75] Psal. XXXII, 5. [76] Psal. XXXIII, 3.

(40) Nullo exordio, velut superiori continuat, ac prosequitur πάθος. Magnam partem verbis sensisque Scripturæ pie accommodatis, intexta oratio, iis velut margaritis et splendet, et devotius quid spirat, uti omnes in Bernardo advertunt, miranturque.

Digitized by Google

τωλοὶ διὰ σοῦ τὸν Θεὸν, καὶ ἐσώθησαν. » Εἶπον καὶ αὐτοί· « Εἰ μὴ ὅτι Κύριος ἐβοήθησεν ἡμῖν, » ἐκ παρθένου σαρκωθείς, « παρὰ βραχὺ παρῴκησεν ἂν, » ἐν τῷ παμφάγῳ τῆς ἀπονεκρώσεως ᾅδῃ, « τῶν ψυχῶν ἡμῶν » αἱ καταδύσεις. Δυνατὴ τοιγαροῦν πρὸς σωτηρίαν ἡ βοήθειά σου, Θεοτόκε, καὶ μὴ χρῄζουσά τινος ἑτέρου πρὸς τὸν Θεὸν παραθέτου. Σὺ γὰρ εἶ τῆς ὄντως ἀληθινῆς Ζωῆς ἡ μήτηρ. Σὺ εἶ τῆς ἀναπλάσεως τοῦ Ἀδὰμ ἡ ζύμη. Σὺ εἶ τῶν ὀνειδισμῶν τῆς Εὔας ἡ ἐλευθερία. Ἐκείνη μήτηρ χοὸς, σὺ μήτηρ φωτός. Ἐκείνης ἡ μήτρα, φθορᾶς [k]· ἡ δὲ σὴ γαστὴρ, ἀφθαρσίας. Ἐκείνη θανάτου κατοίκησις, σὺ μετάστασις ἀπὸ θανάτου. Ἐκείνη βλεφάρων καταχθονισμὸς, σὺ γρηγορούντων ὀφθαλμῶν ἀκοίμητος δόξα. Ἐκείνης τὰ τέκνα, λύπη· ὁ δὲ σὸς Υἱὸς, παγγενὴς χαρά. Ἐκείνη ὡς γῆ οὖσα εἰς γῆν παρῆλθε· σὺ δὲ Ζωὴν ἡμῖν ἔτεκες, καὶ πρὸς τὴν ζωὴν ἐπανῆλθες, καὶ Ζωὴν τοῖς ἀνθρώποις, καὶ μετὰ θάνατον, προξενεῖν κατίσχυσας. « Οὐκ ἔστι τῆς ἀντιλήψεώς σου κόρος, » οὐδὲ τῆς ζωοκοιμήτου σου μεταθέσεως ἐπιζήμιος, ὡς εἰπεῖν, ὑποτρέχουσα τοῖς ἀνθρώποις αἴσθησις· διότι καὶ ἡ προστασία σου ζῶσα, καὶ ἡ πρεσβεία σου ζωὴ, καὶ ἡ σκέπη σου διηνεκής. Εἰ μὴ γὰρ σὺ προηγοῦ, οὐδεὶς πνευματικὸς ἀπετελεῖτο [l]· οὐδεὶς ἐν Πνεύματι τὸν Θεὸν προσεκύνει. Τότε γὰρ πνευματικὸς ὁ ἄνθρωπος, ὅταν σὺ, Θεοτόκε, Πνεύματος ἁγίου κατοικητήριον ἐγένου. Οὐδεὶς Θεογνωσίας ἀνάμεστος, εἰ μὴ διὰ σοῦ, παναγία· οὐδεὶς ὁ σωζόμενος, εἰ μὴ διὰ σοῦ, Θεοτόκε· οὐδεὶς κινδύνων ἐλεύθερος, εἰ μὴ διὰ σοῦ, Παρθενομῆτορ· οὐδεὶς ὁ λελυτρωμένος, εἰ μὴ διὰ σοῦ, Θεομῆτορ· οὐδεὶς ὁ ἐλεούμενος δῶρον, εἰ μὴ διὰ σοῦ, Θευχώρητε. Τίς γὰρ τῶν ἁμαρτωλῶν ἐπὶ τοσοῦτον ὑπερμαχεῖ; Τίς τῶν ἀδιορθώτων [m] κατὰ τοσοῦτον [ἀντιφωνητικῶς] ὑπεραπολογεῖται; Πᾶς γὰρ τῶν δυναμένων ἔσθ' ὅτε καὶ βοη-

« Nisi quia Dominus, » carnem de Virgine sumens, « adjuvisset nos; paulo minus habitassent, » in demortuorum omnia devorante inferno (41), occidentes « animæ nostræ [77]. » Potens igitur ad salutem auxilium tuum, o Deipara, nec alterius cujusquam apud Deum commendationem requirens. Tu enim revera, veræ es Vitæ parens: tu fermentum reformationis Adæ: tu opprobriorum Evæ liberatio. Illa pulveris mater (42), tu Luminis. Illius vulva, corruptio; tuus uterus, a corruptione immunitas. Illa mortis demoratio et sedes; tu, a morte translatio. Illa palpebrarum in terram demissio, tu insomnis vigilantium gloria. Proles illius, dolor; tuus Filius, omnigenum gaudium. Illa ut terra, in terram cessit; tu, et nobis peperisti Vitam, et ad vitam rediisti, vitamque, post etiam mortem, hominibus conciliare potuisti. « Tuæ magnitudinis non est finis [78]. » Te cogitandi, nulla satietas; nec tui illius vitali somno transitus (43) velut subrepens sensus, ac se in hominum insinuans animos, damnum afferat: nam et tutela tua immortalis est; et intercessio, vita; et protectio perpetua. Nisi enim tu præires, nemo spiritalis evaderet; nemo in Spiritu Deum adoraret [79]. Tunc enim spiritalis factus est homo, cum tu, Deipara, Spiritus sancti habitaculum effecta es: nemo Dei cognitione repletus est nisi per te, o sanctissima. Nemo salvus nisi per te, o Deipara; nemo periculorum expers nisi per te, Virgo parens; nemo redemptus (44) nisi per te, Dei Mater; nemo donum per misericordiam consecutus (45), nisi per te, o digna quæ Deum caperes. Quis enim tantopere peccatores defendit? Quis adeo nihil emendatis (46), sponsionem prætendens patrocinatur?

[77] Psal. XCIII, 17. [78] Psal. CXLIV, 3. [79] Joan. IV, 24.

VARIÆ LECTIONES.

[k] impr. φθορὰ ἀφθαρσία. [l] impr. ἀνετεκ. [m] impr. ἀδιορθούντων.

NOTÆ.

(41) *In demortuorum omnia devorante inferno*: Ἐν τῷ παμφάγῳ τῆς ἀπονεκρώσεως ᾅδῃ. Velut eorum inferno qui cesserunt in cadavera; quorum nulla, nisi Christo resurgente, erat futura resurrectio; atque adeo nisi nato eodem ex Maria.

(42) *Illa pulveris mater*, etc. Μήτηρ χοὸς, καὶ μήτηρ φωτός. Accedit ex Regio: quod paulo inferius ex eodem sequebatur, εἰς γῆν περιῆλθε· mutavi in παρῆλθε· quod propius est voci ἀπῆλθε, qua illic usi sunt LXX interpretes.

(43) *Nec tui illius transitus*. Restitui ex Regio ἐπιζήμιος· ἀντὶ τοῦ, ἐπιζώμιος, quod vel nihil significat, aut non satis appositum. Quid enim hic ad ζωμοὺς, καὶ τὰ εὔζωμα· nulla præsertim sacra allusione. Alludit Germanus ad Prov. XXV, ubi vers. 16 et 27 de mellis castigato usu, alioqui exitioso: velitque non esse id periculi in memoria, sensuque migrationis Mariæ, velut continue animum subeunte, ac recurrente.

(44) *Nemo redemptus*. Id quoque ex Regio: ac congrue admodum redemptioni per Mariam adjunxit τὸ, Θεομῆτορ· quando ex Deo infinitus ille manat valor, ratione cujus Christi Domini, Mariæ prolis, satisfactio abundans fuit, ac copiosa redemptio.

(45) *Nemo donum per misericordiam consecutus*. ἐλεούμενος δῶρον. Quidquid eximie donum est, ac gratia per Christum, ex eo in nos derivatum, quod Maria fuit Θεοχώρητος· quod ex Regio prætulimus: quanquam, τὸ Θεοχάριτος in editis non displiceat. Utrumque enim in Mariam congruit, quæ et Deum utero complexa est, et Deo grata singulariter fuit; quod eam compellat angelus Luc. I: *Χαῖρε, κεχαριτωμένη*.

(46) *Nihil emendatis*. Ἀδιορθώτοις. Τὸ, ἀδιορθούντων editis, minus quadrat. Deerat quoque τὸ, ἀντιφωνητικῶς, quod sequentia exigunt, ubi ejusmodi sponsionis privilegium in Maria declaratur, sed male explicatur a Schotto, cui τὸ, ἀντιφώνησις, quod sequitur, est *contradictio*, tota serie ac sensu contrariis. Allusio est ad ficum succidendam, cui sola Maria, post longam adeo expectationem, et cum aliorum sponsio jam ἄδεκτος videri possit (quomodo restituo ex ms. ἀντὶ τοῦ, ἄδικος·) inducias impetrare habeat. Simili sensu Andreas Cretens. Mariam deprædicat orat. in Annunt. allusione

Digitized by Google

Quivis enim eorum, qui etiam auxilio esse possent, parabolicæ ficus[80] excidium in nobis metuens, supplicationem Deo pro nobis offerre detrectabat; ut ne inutili promissione, lata sententia, non admittenda sponsio videretur. Tu autem, quæ materna in Deum auctoritate polleas, etiam iis qui enormiter peccant, eximiam remissionis gratiam concilias. Non enim potes non exaudiri, cum Deus, ut veræ ac intemeratæ Matri suæ, quoad omnia, et per omnia, et in omnibus, morem gerat. Hinc merito, afflictus quisque ad te confugit; infirmus tibi adhæret; bello petitus te hostibus opponit. Tu, « Indignationem, et iram, et tribulationem, immissionem per angelos malos[81], » transfers; justasque minas, ac condignæ sententiam condemnationis, quæ Filii tui nomine appellatum (47) populum, impensius diligas, avertis. Hinc et populus tuus Christianus, perpendens rerum suarum statum, fidenter tibi suas ad Deum, perferendas preces committit. Indubius fore sperat, ut exoret ac flectat, o sanctissima, ob factum olim periculum (48), et multitudinem tuorum in nos beneficiorum; quodque sæpius supplicando, ut benigne annueris, adigat. Quapropter, quis non beatam te deprædicet? Spectaculum, angelorum intelligentia majus; omni præstantem miraculo, summeque novam hominum felicitatem; Christianorum gentis susceptionem; peccatorum frequens asylum; quæ per horas singulas Christianorum ore verseris? Simul atque enim tremore correptus fuerit Christianus aliquis, aut pedem ad lapidem offenderit, illico tui nominis præsidium invocat. Quare ut quis nulla requie, te laudibus celebret, non existimat se celebrare; qui magis insatiabili affectu celebrare incipiat. Nemo enim satis pro dignitate celebrare possit. Qui te semper magnificare desiderat, jugi tua glorificatione, debitum in te suum apud se repetit. Cum enim multorum debitor nihil possit rependere, accumulat gratiarum actionem, quemadmodum ipsa tutelam et protectionem accumulas. Quia enim illa donum est optimum quod finem non habeat, jugi afficientem beneficio, velut a principio, gratiarum actione demeretur. Quis enim te admirationi non habeat, spem immutabilem, protectionem immobilem, sta-

[80] Luc. XIII, 6 seqq. [81] Psal. LXXVII, 90,

A θεῖν, τῆς παραβολικῆς συκῆς τὴν ἐκτομὴν ἐν ἡμῖν εὐλαβούμενος, ἀνεβάλλετο τὴν ὑπὲρ ἡμῶν ἱκεσίαν τῷ Θεῷ προσαναπέμψαι· ἵνα μὴ τῆς ἀποφάσεως διὰ τὸ ἄκαρπον τῆς ὑποσχέσεως δοθείσης, ἄδεκτος ἡ ἀντιφώνησις ὀφθῇ. Σὺ δὲ, μητρῴαν ἔχουσα πρὸς τὸν Θεὸν τὴν ἰσχὺν, καὶ τοῖς καθ' ὑπεροχὴν ἁμαρτάνουσι, καθ' ὑπερβολὴν τὴν συγχώρησιν ἐξανύεις. Οὐδὲ γὰρ ἐνδέχεταί σέ ποτε παρακουσθῆναι, ἐπειδὴ πειθαρχεῖ σοι κατὰ πάντα καὶ διὰ πάντα, καὶ ἐν πᾶσιν ὁ Θεὸς, ὡς ἀληθινῇ αὐτοῦ καὶ ἀχράντῳ Μητρί. Ὅθεν ὁ θλιβόμενος, εὐλόγως πρὸς σὲ καταφεύγει· ὁ ἀσθενῶν, σοὶ προσκολλᾶται· ὁ πολεμούμενος, σὲ τοῖς ἐχθροῖς ἀνθοπλίζει. « Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν, » σὺ μεταβάλλεις.

B Ἀπειλὴν δικαίαν καὶ ψῆφον ἀξιοπαθοῦς καταδίκης σὺ μεταστρέφεις, ἀγαπῶσα μεγάλως τὸν ἐπικεκλημένον τῷ ὀνόματι τοῦ Υἱοῦ σου λαόν. Ὅθεν καὶ ὁ Χριστιανὸς λαός σου, τὰ καθ' ἑαυτὸν ἀνακρίνων, πρὸς μὲν τὸν Θεὸν παῤῥησιαστικῶς ὑποστέλλεταί σοι τὰς δεήσεις προσφέρειν. Σὲ δυσωπεῖν ἀνενδοίαστος θαῤῥεῖ, παναγία, διὰ τὴν πεῖραν, καὶ τὰ πλήθη τῶν εἰς ἡμᾶς ἀγαθῶν σου, καὶ παραβιάσεσθαί σε πολλάκις ἐν ἱκεσίαις. Ἀνθ' ὧν τίς σε μὴ μακαρίσει; Τὴν τῶν ἀγγέλων ὑπὲρ ἔννοιαν θεωρίαν· τὴν τῶν ἀνθρώπων ὑπέρξενον ἐπιτυχίαν· τὴν ὑπόληψιν τοῦ γένους τῶν Χριστιανῶν· τὸ ὀχλούμενον[n] τῶν ἁμαρτωλῶν προσφύγιον· τὴν καθ' ὥραν ἐν τῷ στόματι τῶν Χριστιανῶν φερομένην. Μόνον γὰρ εἰ θροηθῇ Χριστιανὸς, εἰ καὶ πρὸς λίθον τὸν ἑαυτοῦ προσκόψῃ πόδα, τὸ σὸν ἐπικαλεῖται πρὸς βοήθειαν ὄνομα. Σὲ τοιγαροῦν τις δοξάζων, ἀπαύστως οὐ μὴ δοξάζεται. Δοξάζειν σε, μᾶλλον ἐὰν ἀκόρως ἐνάρξηται. Ἀδύνατον γὰρ ἐπαξίως ἀνυμνῆσαί σε. Τὸ διὰ παντὸς μεγαλύνειν σε ποθεῖ, διὰ τοῦ διηνεκῶς δοξολογεῖν σε, παραψυχὴν τοῦ χρέους ἀναλαμβάνων. Ἐπὰν γὰρ πολλὰ χρεωστῶν οὐδὲν ἀνταποδίδωσί σοι, πληθύνει τὴν εὐχαριστίαν, ὡς σὺ τὴν προστασίαν. Ἐπειδὴ πανάγαθον δώρημα τέλος μὴ δεχόμενον, τὴν εὐχαριστίαν ὡς ἐν ἀρχῇ, ἀεὶ τὸ ἀγαθὸν ποιοῦντι[o] προσάγει. Σὲ τίς μὴ θαυμάσει τὴν ἀμετάθετον σκέπην, τὴν ἀμετάστατον καταφυγὴν, τὴν ἀκοίμητον πρεσβείαν, τὴν ἀδιάλειπτον σωτηρίαν, τὴν σταθερὰν βοήθειαν, τὴν ἀσάλευτον προστασίαν, τὸ ἀπόρθητον τεῖχος, τὸν θησαυρὸν τῶν ἀπολαύσεων, τὸν ἀνέγκλη-

C

D τον[p] παράδεισον, τὸ ἀσφαλὲς ὀχύρωμα, τὸ κραταιὸν

VARIÆ LECTIONES.

[n] Reg. μὴ ὀχλ. [o] ποιούσῃ. Impr. πρός τι. [p] Impr. ἀνέκλειπτον.

NOTÆ.

ad Moabitarum *urbem Laterum*. In ficum arefactam novum monumentum suggerit, nuper Græcorum cimeliis egregiis copiose aucta, præclara inclyti Galliæ cancellarii Petri Seguieri gaza, inscriptum illud Joanni Damasceno, aliud ab eo, quod Joannis Chrysostomi nomine editum, nonnulli Romæ codices eidem vindicant. Incipit illa Damasceni Oratio: Κινεῖ με πρὸς τὸ λέγειν ὁ ἐνυπόστατος τοῦ Θεοῦ καὶ Πατρὸς Λόγος. Hanc ego orationem dum avidius exscribo, mutilam, et ut fere exordio constet invenio, plurium foliorum lacuna diminuto præfato codice.

(47) *Filii tui nomine appellatum*. Quod Andreas Cretens. aliique vocant Χριστώνυμον· *a Christi dictum nomine, ac Christianum*. Male Schot. *Filii tui nomen implorantem*. Τὸ ἀξιοπαθοῦς· nonnihil novum sensu quo reddo, ac reddidit Schottus.

(48) *Ob factum olim periculum*. διὰ πεῖραν· ex ms. Inepte edita, πέτραν· Schottus minus apposite, *robur*. Multum certe ad fiduciam facit, impensa alias benignitas, ac anterior impetratio.

Digitized by Google

περιχαράκωμα, τὸν ἰσχυρὸν τῆς ἀντιλήψεως πύργον, τὸν λιμένα τῶν χειμαζομένων, τὴν γαλήνην τῶν τεταραγμένων, τὴν τῶν ἁμαρτωλῶν ἐγγυητήν, τὴν τῶν ἀπεγνωσμένων προσαγωγήν, τὴν τῶν ἐξορισθέντων ἀνάληψιν, τὴν τῶν ἐκδιωχθέντων ὑποστροφήν [q], τὴν τῶν ἀλλοτριωθέντων οἰκείωσιν, τὴν τῶν κατακεκριμένων παράθεσιν, τὴν τῶν καθῃρημένων εὐλογίαν, τὴν δρόσον τῆς ψυχικῆς αὐχμηρίας, τὴν σταγόνα τῆς ἐκτακείσης βοτάνης. « Τὰ γὰρ ὀστᾶ ἡμῶν, ὡς γέγραπται, διὰ σοῦ καθάπερ βοτάνην ἀνατελεῖ· » τὴν τοῦ ἀμνοῦ καὶ ποιμένος μητέρα, καὶ πάντων τῶν ἀγαθῶν γνωριζομένην πρόξενον. Ὅσα τὰ σὰ, παράδοξα, « ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτὸ, ἐπιθυμήματά τε *πάντα* καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Καὶ γὰρ οἱ δοῦλοί σου ποθοῦμεν αὐτὰ, ἐν τῷ ποθεῖν αὐτὰ, ἀντάμειψις ἐκ σοῦ πολλή. » — « Τὰ ἐλέη σου τίς συνήσει; » Ἀλλὰ ἀρκεῖ σοι πρὸς ἔπαινον [r], ἀξιάγαστε, τὸ μὴ εὐπορεῖν ἡμᾶς ἐγκωμιάσαι τὰ σά. Ἔχεις ἐκ Θεοῦ τὸ μέγα πρὸς θρίαμβον ὕψος· διότι λαὸν αὐτῷ Χριστιανικὸν ἀπὸ σαρκὸς τῆς σῆς συνεστήσω, καὶ τὸ ὁμοιογενές σου, σύμμορφον τῆς θείας αὐτοῦ καὶ ὁμοιωτικῆς εἰκόνος ἀπειργάσω. « Εὐλογημένον τοίνυν διὰ τοῦτο τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. » Πρὸ τοῦ ἡλίου τὸ φῶς σου. Ὑπερτέρα πάσης τῆς κτίσεως ἡ τιμή σου· πρὸ τῶν ἀγγέλων ἡ ὑπεροχή σου. « Ὑψηλοτέρα σὺ τοῦ οὐρανοῦ· » ἀλλὰ καὶ πλατυτέρα τοῦ οὐρανοῦ τῶν οὐρανῶν, καὶ τοῦ Γραφικῶς παρά τινος ἁγίου ἀντιφερομένου ἑβδόμου. Ὑγδοώτερε, καὶ εἰ ἔστι τις ἕτερος, καὶ ὑπερέκεινα τούτου λέγειν, οὐρανέ· εὐλογημένη σὺ ἐν γενεαῖς γενεῶν· ἀλλὰ καὶ εὐλογήθησαν ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Οὐδὲ γάρ ἐστι τόπος ἔνθα σὺ μὴ δοξάζῃ· οὐδὲ φυλὴ, ἐξ ἧς οὐκ ἐδλάστησαν διὰ σοῦ καρποὶ τῷ Θεῷ· ὥστε καὶ τὰ μὴ ἐπεγνωκότα σε κατὰ τὸν κόσμον τοῦτον ἔθνη, καινῷ [s] δεκτῷ καὶ αὐτὰ μακαριοῦσί σε, Παρθένε. Ὅταν γὰρ ὁ ἐκ σοῦ γεννηθεὶς ἤξει « κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ὄψονται καὶ κόψονται, » οἱ μὴ Θεοτόκον σε πιστῶς ὁμολογῆσαι θελήσαντες· καὶ τότε γνώ-

tum perfugium, semper vigilem deprecationem, perennem salutem, auxilium stabile, patrocinium inconcussum, murum inexpugnabilem, thesaurum voluptatum, hortum irreprehensibilem (49), arcem tutam, vallum undique munitum, validam auxilii turrim, portum tempestate jactatorum, malaciam perturbatorum, peccatorum vadem, desperatorum adductionem, exsulum revocationem, pulsorum, postliminio reversionem, alienatorum conciliationem, damnatorum commendationem (50), maledictorum benedictionem, rorem squalentis animæ, stillam irriguumque confectæ ac tabescentis herbæ? Per te enim, inquit Scriptura, « ossa nostra sicut herba germinabunt [83]; » Agni et Pastoris parentem, omniumque bonorum palam conciliatricem. Tua omnia admiranda sunt, « vera, justificata in idipsum, *omniaque* desiderabilia, ac dulciora super mel et favum. Nam et servi tui ea desideramus; in illis desiderandis, *ex te*, retributio multa [84]. » — « Quis tuas misericordias intelliget [85]. » Enimvero, sat tibi ad laudem, o admirabilis, quod non possimus dignis encomiis res tuas celebrare. Magnam a Deo, ad triumphum celsitatem adepta es, quod tua ex carne, populum ei Christianum comparaveris; quodque id quod similis tecum esset naturæ, divinæ ejus expressæque imaginis conforme reddideris. Quare, « benedictum nomen tuum in sæcula [86]. » Vincit solem lux tua: superat creata omnia, tuus honor et dignitas; præ angelis major excellentia tua. « Tu cœlo excelsior [87]; » sed et cœlo cœlorum expansior, septimoque cœlo, quod ceu ex Scriptura (51), sanctus quidam astruit. O cœlum supra octavum, et si quod ulterius octavo cœlum, dici potest! Benedicta tu in generationibus generationum: sed et in te, benedictionem consecutæ sunt omnes tribus terræ [87]; nullus enim locus est, ubi non honori habearis. Neque ulla tribus est, ex qua Deo, per te, fructus non germinaverint:

[83] Isa. LXVI, 14. [84] Psal. XVIII, 10-12. [85] Psal. CVI, 43. [86] Psal. LXXI, 17. [87] Job. XI, 8. [87] Basil. *Hexaem.* hom. 3.

VARIÆ LECTIONES.

[q] Impr. ἐπιστροφή. [r] Impr. male ἔλεον. [s] καιρῷ.

NOTÆ.

(49) *Hortum incomprehensibilem.* Ἀνέγκλητον· Prætuli eam ms. lectionem, velut alludat ad primum illum hortum voluptatis, non omnino ἀνέγκλητον, ac vacantem crimine, ut quo Adam, ac cujus occasione peccaverit. Τὸ, ἀνέκλειπτον etiam editorum, non male in Mariam horti typo dictum sit; quod fugax sit hortorum decor, et temporaneus; non sic Mariæ, sed indeficiens.

(50) *Damnatorum commendationem.* παράθεσιν· ad sensum Lucæ. παραθέντες αὐτοὺς Θεῷ· *Commendantes Deo:* qua Mariæ commendatione, rei jam, ac prædamnati, absolutionem a Deo judice, ac veniam consequantur.

(51) *Quod ceu ex Scriptura.* Γραφικῶς· Schottus, *Graphice:* verum id parum graphice, ac scite. Palam enim est alludere ad illud Basilii hom. 3 *in Hexaem.* quo unitatem cœli impugnans, eo quod illud constet tota sua materia, etiam plures in psalmo, iis verbis, *cœli cœlorum*, insinuatos ostendit: quod et nostrorum sententiæ de 7 cœlis planetarum non male congruit. Sic Damascenus, lib. II, cap. 6: Ἐκ τῆς Γραφῆς μεμνημένον εὐμδεμ Basilium, ait dixisse cœlorum substantiam, λεπτὴν ὡσεὶ καπνόν· *tenuem instar fumi:* quod nimirum id ille ex illo Isai LI, 6 juxta, LXX: Ὁ οὐρανὸς ὡσεὶ καπνὸς ἐστερεώθη· *Cœlum sicut fumus firmatum est;* nitatur statuere. Sensus ergo erit, esse Mariam septimum illud cœlum, octavumque superius, ac si quod est ulterius cœlum, eminens creaturæ toti corporali.

Digitized by Google

ut et gentes, quæ te usu sæculi non cognoverunt, ipsæ etiam tempore placito (52) beatam te, Dei Genitrix Virgo, sint prædicaturæ. Tuo enim Filio videbunt et plangent[89], » qui te Deiparam, confiteri noluerunt : tumque demum perspicient quanto se thesauro perverso sane consilio defraudarunt.

Nobis itaque Christianis, teque Deiparam Christiana fide venerantibus, stabilis tutelæ tuæ misericordiam exhibe. Etenim Dormitionem tuam, o Deipara, jure vitam arbitramur; teque spiritali quadam ratione nobis contubernalem credimus. Cumque adeo ingruerit calamitas, tuum quærentes præsidium, liberamur : rursum vero fausta, gaudiique oboriente die, eam ipsa concilias : ac postquam in omnibus nostri sollicita es, nobiscum te agere persuasum habemus. Quemadmodum enim siticulosus ad fontem properat, sic et fidelis omnis anima, tota æstuans accurrit, tuo implenda auxilio. Ac iterum, quemadmodum anhelitu haustus aer animalem hominibus olfactum afflat (53): ita et te, orthodoxi omnis Christiani flatus, ac spiratio, ore profert ac enuntiat. Nec enim tantum ab aeris haurimus oblectatione, quantum a tui nominis haurimus protectione : adeo ut in Christo, ac te impleatur quod scriptum est : « Respiratio narium nostrarum es tu; in tegumento tuo et umbra vivemus[90]. » Quodnam enim aliud hominum genus a Christianis, id tantum obtinuit gloriæ? tam illustri fuit existimatione? Angeli cœlestibus glorientur habitaculis, nos, incessu sanctorum templorum tuorum, feriis delectamur. Ut enim illud quondam Salomonis templum, cœlum in terris adumbrarit; quam nos potiori jure, cum ipsa effecta fueris vivum Christi templum, ecclesias tuas et templa, velut terrestres cœlos sumus elaturi? Stellarum claræ faces loquuntur in firmamento cœli : corporeique tuarum, o Deipara, imaginum ducti colores, tuorum nobis donorum largitionem ceu stellanti fulgore coruscant. Sol et luna unius axem circuli illuminant; at domus omnis, et civitas, regioque, tuum, ex tui Nati Lumine, splendet lumen. Quapropter beatus homo, etsi peccator, quod tuam adeptus per naturam cognationem, etiam divinæ, per te, naturæ particeps inventus sit : « Beatus » revera, et bene illi fuit; imo, « et erit bene[91]; » non enim deficies

σονται, ποίου θησαυροῦ ἑαυτοὺς κακοβούλως ἐζημίωσαν.

veniente « judicare orbem terrarum in justitia[88], credentes noluerunt : tumque demum perspicient quanto se thesauro perverso sane consilio defraudarunt.

Ἀλλ' ἡμῖν τοῖς Χριστιανοῖς καὶ Χριστιανικῇ θεοτόκον σεβομένοις σε πίστει, παράτεινον τῆς ἀμεταθέτου σου προστασίας τὸ ἔλεος. Καὶ τὴν γὰρ κοίμησίν σου, Θεοτόκε, ζωὴν ἡγούμεθα δικαίως, καὶ σύνοικόν σε πνευματικῶς ἔχειν πεπιστεύκαμεν. Καὶ ὅταν θλῖψις ἐγγὺς εἶ, ζητοῦντές σε λυτρούμεθα· καὶ ὅταν πάλιν χαρᾶς καιρὸς, σὺ εἶ ταύτης πρόξενος· καὶ ὅταν ἐν ὅλοις ὑπὸ σοῦ μεριμνώμεθα, μεθ' ἡμῶν σε διάγειν πιστοφορούμεθα. Ὃν γὰρ τρόπον ὁ διψῶν, πρὸς τὴν πηγὴν κατασπεύδει, οὕτω καὶ πᾶσα ψυχὴ πιστοτάτη πρὸς σὲ κατατρέχει, ἐμπλησθῆναι τῆς σῆς φλεγομένη βοηθείας. Καὶ πάλιν ὥσπερ τὸ τοῦ ἀέρος ἄσθμα ζωτικὴν τοῖς ἀνθρώποις ἐμπνέει τὴν ὄσφρησιν· οὕτω καὶ σὲ παντὸς ὀρθοδόξου Χριστιανοῦ ἐπὶ στόματος προφέρει πνοή. Οὐδὲ γὰρ τοσοῦτον τῆς τοῦ ἀέρος ἀνιμώμεθα ψυχαγωγίας, ὅσον τῆς τοῦ ὀνόματός μου ἀρυόμεθα σκέπης· ὡς ἐν Χριστῷ καὶ ἐν σοὶ τὸ γεγραμμένον πληροῦσθαι· « Ἀναπνοὴ, φησὶ, μυκτήρων ἡμῶν σὺ εἶ· ἐν τῇ σκέπῃ σου καὶ πνοῇ ζήσομεν. » Ποῖον γὰρ γένος ἀνθρώπων, πάρεξ εἰπεῖν Χριστιανῶν, τοιαύτης ἐπέτυχε δόξης, τοιαύτης εὐπόρησεν ὑπολήψεως; Ἄγγελοι ταῖς οὐρανίων ἐγγαυριῶνται καταμοναῖς· ἡμεῖς τοῖς τῶν ἁγιωτάτων [1] σου ναῶν εὐφραινόμεθα σχολασμοῖς. Εἰ γὰρ ὁ Σολομώντειος ναὸς, πάλαι τὸν οὐρανὸν ἐπὶ τῆς γῆς ἐσκιογράφει, πόσῳ μᾶλλον ἐμψύχου σοῦ ναοῦ γεγονυίας τοῦ Χριστοῦ, μὴ καὶ τὰς Ἐκκλησίας τὰς σὰς, ὡς ἐπιγείους οὐρανοὺς δικαίως ἔστιν ἀνακομπάζειν; ἀστέρες λαμπηδογλωσσοῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ· αἱ σωματικαί σου, Θεομῆτορ, τῶν εἰκόνων χρωματουργίαι, τὴν ἐπίδοσιν τῶν σῶν ἡμῖν ἀναστράπτουσι δωρεῶν. Ἥλιος καὶ σελήνη τὸν ἕνα τοῦ κυκλώματος δρᾳδουχοῦσι πόλον· πᾶς οἶκος, καὶ πᾶσα πόλις, καὶ χώρα, τὸ σὸν, ἐκ τοῦ σοῦ γεννηθέντος φωτὸς, ἀγλαΐζεται φῶς. Διὰ τοῦτο μακάριος κἂν ἁμαρτωλὸς ὁ ἄνθρωπος, ὅτιπερ συγγενῆ σε κατ' οὐσίαν κτησάμενος εὑρέθη, καὶ θείας φύσεως διὰ σοῦ κοινωνὸς, « Μακάριος » ἀληθῶς, καὶ καλῶς αὐτῷ γέγονε· μᾶλλον δὲ « καὶ ἔσται καλῶς· » οὐ διαλείψῃ γὰρ τοῖς τὴν σὴν ἀντίληψιν ἕως τέλους ἔχειν ἀξιου-

[88] Psal. xcvii, 9. [89] Zach. xii, 10. [90] Thren. iv, 20. [91] Psal. cxxvii, 2.

VARIÆ LECTIONES.

[1] Male edit. ἁγιασμάτων.

NOTÆ.

(52) *Tempore placito.* Καιρῷ δεκτῷ· Sic lego ἀντὶ τοῦ, καινῷ δεκτῷ· quod ms. habet. Vitiosius editis σταυρῷ δοκῶ. Verba sunt Pauli, II Cor. vi, ut quod ille, in primum adventum dixit, Germanus in secundum transferat, qui et ipse καιρῷ δεκτῷ futurus est, *accepto ac placito tempore.*

(53) *Animalem hominibus olfactum afflat.* Ζωτικὴν ὄσφρησιν ἐμπνέει. Vim olfactus ac nares, ut sequens auctoritas, Thren. iv, indicat, quam edita male referebant Sap. ii. Significatur jugis quædam Mariæ memoria, ejusque nominis ore prolatio, uti est jugis aeris spiratio. Editis, ἀντὶ τοῦ ἄσθμα, est αἴσθημα· sed minus quadrat. Quod postmodum in illis sequitur, nonnihil diversum est ab iis, quæ damus ex Regio: Οὕτω καὶ ἡ παντὸς ὀρθοδόξου Χριστιανοῦ πρὸς σὲ θεόμορος πνοή· Verum videatur vitiosum Τὸ, θεόμορος, quanquam Schottus nititur reddere. Legerim Θεομῆτορ, quomodo etiam ms. paulo inferius eamdem corrigit vocem, ubi Schot. θεομόρων τῶν εἰκόνων· *prudentium imaginum :* hic autem, θεόμορος πνοή· *respiratio quæ facit participem divinitatis.*

Digitized by Google

μένοις. Ἐρρέτω θάνατος ἐπὶ σοὶ, Θεοτόκε, ζωὴν ὅτι τοῖς ἀνθρώποις προσήγαγες. Ἐρρέτω τάφος ἐπὶ σοὶ, ἐπειδήπερ ὕψους ἀκαταφράστου θεῖος ἐγένου θεμέλιος. Ἐρρέτω χοῦς ἐπὶ σοί· ἀνάπλασις γὰρ εἶ, ὅτι τοῖς ἐν ὕλῃ [u] πηλοῦ διαφθαρεῖσι κεχρημάτικας, Δέσποινα. Οὐκοῦν πίστει σε μεθ' ἡμῶν συνανάστροφον ἔχειν ὁμολογοῦμεν. Εἰ μὴ γὰρ ἐν τούτῳ παρηγορούμεθα, ἐξέλιπεν ἂν τῇ ἐπιθυμίᾳ τῇ πρὸς σὲ, τὸ ἡμέτερον πνεῦμα· καὶ πίστει τοὺς οὐρανοὺς, ὡς γέγραπται, κατηρτίσθαι νοοῦμεν· οὕτω καὶ σὲ μετελθοῦσαν συνδιάγωγον καὶ μετὰ τὴν ἐκδημίαν τοῦ σώματος πιστεύομεν ἀναθεωρεῖν. Οὐ γὰρ ὀδύνη τοσαύτη τῇ ψυχῇ, τῆς σαρκὸς ὅταν ἀποσπασθῇ, ὅσον ὀδυνηρότερον σοῦ στερηθῆναι, πανάχραντε. Ὅθεν κατὰ τὸ γεγραμμένον, « Κἂν τὸ σῶμά σου καθεύδει, ἡ καρδία σου ἀγρυπνεῖ. » Καὶ κἂν τὸ ἀπαραίτητον τοῦ θανάτου, τῇ ἀνθρωπίνῃ παρεδέξω φύσει, οὐ νυστάζει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων ἡμᾶς ὀφθαλμός σου.

Οὐκ ἀμάρτυρος γὰρ ἡ μετάστασίς σου· οὐδὲ ψευδὴς ἡ κοίμησις. Ὁ οὐρανὸς τῶν ἐπὶ σοὶ τότε συνδραμόντων διηγεῖται δόξαν· ἡ γῆ, τὴν περὶ αὐτῶν παρίστησιν ἀλήθειαν· αἱ νεφέλαι, τὴν ἐξ αὐτῶν σοι διακονηθεῖσαν βοῶσι τιμήν· καὶ ἄγγελοι τὴν εἰς σὲ ντότε γενομένην ἀπαγγέλλουσι δωροφορίαν [v]· τὸ πῶς φημι κατὰ τὴν Ἱερουσαλὴμ οἱ ἀπόστολοι παρεγένοντο πρὸς σὲ, καθάπερ καὶ Ἀμβακοὺμ ὁ προφήτης ἐκ μερῶν τῆς Ὀρεινῆς, ἐν ὥρᾳ μιᾷ διὰ νεφέλης ἁρπαγείς, καὶ ἀγγελικῆς δεξιᾶς ὑπολῃφθεὶς [x], ἐν τῇ Περσικῇ Βαβυλῶνι εἰς [y] τὸν λάκκον τοῦ Δανιὴλ παρέστη. Ἀλλ' ὥσπερ ῥανὶς εἰς θάλασσαν ἐπιχεομένη οὐδὲν προστίθησιν, οὐδὲ βαλάντιον πτωχοῦ, πλουσίου θησαυρὸν ἀποκενοῖ· οὕτως οὐδὲ τὰ ὕψη σου τῶν ἐγκωμίων, ἱκανός τις ἐν λόγων κατευμεγεθῆσαι φωναῖς. Ἔχεις σὺ παρ' ἑαυτῆς τὸν ἴδιον ὕμνον, ὅτιπερ Θεοτόκος ἀνεδείχθης. Οὐδὲ γὰρ, ὅτι τοῖς ὡσὶν ἡμῶν παρὰ Γραφικῆς ἐξηγήσεως τοῦτο καὶ μόνον ἠκούσθη· οὐδὲ πάλιν ὅτιπερ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν τοῦτο παναληθευούσῃ διηγήσει, τὴν προσηγορίαν ἐκληρώσω [z] τῆς Θεοτόκου· ἀλλ' ὅτι τὸ ἔργον ὃ εἰργάσω ἐν ἡμῖν, κυρίως καὶ ἀψευδῶς ἀγλωσσοχαρίτως καὶ ὀρθοδόξως, Θεοτόκον σε δι' αὐτῶν βεβαιοῖ τῶν πραγμάτων· καὶ τούτου χάριν, τὸ θεηδόχον σου σῶμα, παρὰ νεκροποιοῦ καταφθορᾶς, ἔπρεπεν ὄντως μὴ συγκλεισθῆναι· ἀλλὰ καὶ τὸν τάφον ὡς ἀνθρώπινον ὑποδέξασθαι τὸ ἴδιον φύραμα· καὶ σοῦ ζωοτελῶς πρὸς τὰ οὐράνια, τῆς οἰκείας μεταστάσης ζωῆς· κενὸν μὲν τὸ δειχθῆναι τῆς σαρκός σου· ἀχώριστον δὲ τῆς τῶν ἀνθρώπων συναναστροφῆς εὑρεθῆναι τὸ πνεῦμά σου, ἀοράτῳ ἐνεργείᾳ τοῦ ὑπὸ σοῦ παρθενικῶς γεννηθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

iis qui usque ad finem auxilium tuum obtinere meruerint. Facessat in te mors, o Deipara, quod vitam mortalibus produxeris. Facessat in te sepulcrum, quando inexplicabilis sublimitatis divinum facta es fundamentum. Facessat pulvis; nova quippe informatio es, quod iis, qui in limo luti corrupti essent, Domina facta sis. Te igitur, una nobiscum versari certa confitemur fide. Nisi enim nostra in eo esset posita consolatio, deficeret præ tui desiderio spiritus noster. Quomodo autem juxta Scripturam [92], fide intelligimus aptatos cœlos, ita et te, etiam a migratione corporis, accedentem nobis comitem, velut oculis contueri credimus. Non enim tantum dolet anima, cum a corpore avellitur, quantus dolor est te privari, o immaculatissima. Hinc, juxta Scripturam : « Etsi corpus tuum dormit, cor tamen tuum vigilat [93]; » et quanquam inevitabilem humanæ conditionis mortis necessitatem subiisti, non tamen dormitabit, autve dormiet, nos custodiens oculus tuus.

Non enim testibus caret tuus transitus; nec dormitio tua falsi quidquam habet. Enarrat cœlum gloriam eorum, quæ in te tunc concurrerunt; terra, eorum repræsentat veritatem; nubes, honorem quem famulatu exhibuerunt, clamant. Denique angeli, quod id temporis satellitium stiparet, annuntiant : ut nimirum apostoli ad te Hierosolymam convenerint, quemadmodum etiam Habacuc propheta, hora una, in nube raptus, surriente angelica dextera, ex partibus Orines, Judæaque, Babylone Persidis, ad lacum Danielis præsto fuit [94]. Enimvero, ut gutta una nihil mari adjicit, neque pauperis crumena, divitis thesaurum evacuat; ita nemo tuarum celsitudinem laudum oratione satis extulerit. Habes plane, ipsa a te propriam laudem, quod Deipara effecta sis. Non enim quia hoc tantum, exponente Scriptura, « auribus nostris audivimus; » neque iterum « quia patres nostri, » hoc « nobis » verissima narratione « annuntiaverunt [95], » Deiparæ appellationem sortita es; sed quia ipsum opus quod es operata in nobis, proprie et vere, nihilque gratificante lingua, et orthodoxe, Dei, te, Matrem, ab ipsis rebus confirmat. Ideoque par erat, ut ne revera, corpus illud tuum quod vitam suscepisset, mortifera corruptione involveretur : ac vero, ut et sepulcrum, velut hominis propriam massam susciperet; utque te, vitæ consummatione, a tua ipsa vita migrante ad cœlestia; monumentum quidem tua carne ostenderetur vacuum; tuus vero spiritus inveniretur ab humana conversatione inseparabilis; invisibili ejus virtute, qui ex te Virgine natus est Christus Deus noster; cui gloria in sæcula. Amen.

[92] Hebr. II, 2. [93] Cant v, 2. [94] Dan. XIV, 32 seqq. [95] Psal. XLIII, 2.

VARIÆ LECTIONES.

[u] Impr. ὑλύῃ. *gr.* ἐλύῃ. [v] *gr.* δορυφ. [x] Ed. ὑποβληθ. [y] Ms. πρός. [z] Male edita ἐπληρώσω.

Digitized by Google

VIII.

Sancti Germani archiepiscopi Constantinopolitani, Laudatio in sanctam ac venerabilem Dormitionem prægloriosæ Dominæ nostræ Dei Genitricis semper virginis Mariæ

A

Η'.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἐγκώμιον εἰς τὴν ἁγίαν καὶ σεβάσμιον κοίμησιν τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

COMBEFIS. ad calcem Theodoti Ancyrani gr. lat. 8° Paris, 1675, p. 87.

Præclara « fama ac bona, » sicut scriptum est, « impinguat ossa [96]. » Quamobrem etiam instituta de corporali Vitæ parentis semperque Virginis Mariæ Dormitione narratio (quippe quæ divinus odor ac fragrantia sit sanctissimæ carnis Christi) eos sanctificat, qui ipsam sanctificant. Immutata enim quandoque ex Dei misericordia apud inferos humana ossa, immaculatum sanctæ Dei Genitricis corpus plane impinguavit, cum ea ex corruptione induruissent : quippe quæ Nati ex ea resurrectione, B exspectata incorruptione mollita sunt super oleum [97]. Enimvero nos quoque paucis, ejus perpetua digni memoria Transitus memoriam recolamus. Vere namque etiam lætitia, ejusmodi narrationis auditio est.

« Φήμη καλὴ καὶ ἀγαθὴ πιαίνει, » κατὰ τὸ γεγραμμένον, « ὀστᾶ. » Καὶ ἡ περὶ τῆς σωματικῆς κοιμήσεως τῆς Ζωοτόκου καὶ ἀειπαρθένου Μαρίας διήγησις, ὡς ἅτε δὴ θεοπνευστία καὶ εὐωδία τῆς ὑπεραγίας σαρκὸς ὑπάρχουσα τοῦ Χριστοῦ, ἁγιάζει τοὺς ἁγιάζοντας αὐτήν. Ἀλλοιωθέντων γάρ ποτε δι' ἔλεον Θεοῦ τῶν ἀνθρωπίνων ἐν τοῖς καταχθονίοις ὀστέων, τὸ ἄμωμον τῆς Θεοτόκου σῶμα κατεπίανε ταῦτα τῇ διαφθορᾷ σκληρωθέντα, διότι τῇ ἀναστάσει τοῦ ὑπ' αὐτῆς γεννηθέντος ἠπαλύνθησαν ὑπὲρ ἔλαιον τῇ ἀφθαρσίᾳ. Ἀλλά γε δὴ καὶ ὀλίγων τῆς ἀειμνήστου μεταστάσεως αὐτῆς ἐπιμνησθῶμεν. Εὐφροσύνη γὰρ ὡς ἀληθῶς καὶ ἡ περὶ τῆς τοιαύτης ἐξηγήσεως ἀκρόασις.

Cum Christo Deo nostro constitutum esset, ut quæ vitæ parens exstitisset, Matrem suam transferret, per angelum rursus ei familiarem in procinctu esse ejus Dormitionis tempus prænuntiat; ne sicut in reliquis mortalibus, mors repente ingruens, ipsi quoque vivis excessuræ aliquam turbationem afferret. Ne igitur etiam illa improvise sæculo migrans, naturali carnis proprietate turbaretur, ut quæ suum ipsa excessum non prænovisset, Dei scilicet qui universorum creator est, pa- C rens mittitur ad eam angelus, qui ex Christi persona verbis istiusmodi ejus præmuniret animum, ac fiduciam augeret.

Ὅταν πρὸς ἑαυτὸν Χριστὸς ὁ Θεὸς ἡμῶν τὴν Ζωοτόκον αὐτοῦ μετενεγκεῖν ἐδουλεύσατο Μητέρα, δι' ἀγγέλου αὐτῇ καὶ πάλιν τοῦ συνήθους τὸ τῆς κοιμήσεως προμηνύει παραστατικόν· ὅπως μὴ καθὼς ἐν τοῖς λοιποῖς ἀνθρώποις αἰφνιδίως ὁ θάνατος ὑπερχόμενος, τάραχον καὶ αὐτῇ μετεκδημούσῃ ποιήσοι. Οἶδεν γὰρ ὁ τοῦ σώματος ἀπὸ ψυχῆς μερισμός, καὶ τῶν μεγάλων ἀνθρώπων περίλυπον ποιεῖν τὸ πνεῦμα. Ἵνα οὖν μὴ καὶ αὐτὴ ἀπροόπτως μετερχομένη, τῷ φυσικῷ τῆς σαρκὸς ἰδιώματι θορυβηθῇ, ὡς μὴ προεγνωκυῖα τὴν ἰδίαν ἔξοδον, ἡ τὸν γνώστην τῶν ὅλων τεκοῦσα Θεόν, ἀποστέλλεται πρὸς αὐτὴν ὁ ἄγγελος, προθαρσύνων αὐτὴν τοῖς ἀπ' αὐτοῦ τοῦ Χριστοῦ τοιουτοισὶ λόγοις·

Tempus est, ait Dominus, ut te Matrem meam assumam. Quemadmodum igitur terram, et qui in terra sunt, gaudio replevisti, gratia plena, sic et cœlestia rursum lætifica. Patris mei mansiones exhilara : sanctorum item Spiritus recrea. Videntes enim illi tuam ad me celebri cultu ac stipantibus angelis translationem, certa ducuntur fide sibique persuadent fore, ut per te eorum quoque portio in mea inhabitet luce. Veni igitur cum exsultatione. Ave et nunc et gaude, uti et pridem [98] : habes enim D in omnibus, ejus, quod est esse plenam gratiæ, nominis dignitatem. Ut cum me esses conceptura, gaudii nuntium accepisti : gaude et modo, quæ a me assumenda invitaris. Ne te turbaverit, quod mundum relinquas, qui corrumpitur cum desideriis suis. Ejus transmittis corruptionem ; nam neque eos qui in mundo sunt, tua destitutos ope dimissura es : sed sicut ego, cum de mundo non sim, eos qui in mundo sunt propitiis intueor oculis, ac providentia guberno ; sic nec tua a mundo usque ad consummationem auferenda protectio est.

Καιρὸς, λέγει Κύριος, τὴν ἐμὴν προσλαβέσθαι σε μητέρα. Καθὼς οὖν τὴν γῆν καὶ τοὺς ἐν τῇ γῇ χαρᾶς ἐπλήρωσας, κεχαριτωμένη, χαροποίησον καὶ τὰ οὐράνια πάλιν. Φαίδρυνον τὰς τοῦ Πατρός μου μονάς· ψυχαγώγησον, καὶ τῶν ἁγίων τὰ Πνεύματα. Ὁρῶντα γὰρ τὴν σὴν πρὸς ἐμὲ τιμητικὴν καὶ ἐξ ἀγγέλων δορυφορουμένην μετάθεσιν, πληροφοροῦνται πιστῶς, ὡς διὰ σοῦ καὶ ἡ τούτων μερὶς ἐν τῷ ἐμῷ κατοικήσει φωτί. Ἔρχου δὴ σὺν ἀγαλλιάσει. Χαῖρε καὶ νῦν, ὥσπερ καὶ πρώην. Διὰ πάντων γὰρ ἔχεις τὸ κεχαριτωμένον τῆς προσηγορίας ἀξίωμα. Ὡς ὅταν σὺ μέλλουσα συλλαμβάνειν με, χαίρειν ἐμηνύθης, χαῖρε καὶ ἄρτι προσλαμβάνεσθαι ζητουμένη παρ' ἐμοῦ. Μὴ ταραχθῇς ἐγκαταλιποῦσα τὸν φθειρόμενον σὺν ταῖς ἐπιθυμίαις αὐτοῦ κόσμον. Τὴν φθορὰν αὐτοῦ παρεᾷς· ἐπεὶ τοὺς ἐν τῷ κόσμῳ τῆς ἀντιλήψεως ὀρφανοὺς οὐκ ἀφήσεις· ἀλλ' ὥσπερ ἐγὼ μὴ ὢν ἐκ τοῦ κόσμου, ἐπιβλέπω καὶ διοικῶ τοὺς ἐν τῷ κόσμῳ· οὕτως καὶ ἡ σὴ προστασία οὐκ ἀφαιρεθήσεται μέχρι συντελείας ἐκ τῶν τοῦ κόσμου.

[96] Prov. xv, 30. [97] Psal. LIV, 22. [98] Luc. I, 28.

Digitized by Google

Μὴ θρυλλήσει σε σαρκὸς ἀφειδίασις· πρὸς ζωτέραν ἐπανέρχῃ ζωὴν, πρὸς ἀνάπαυσιν χαρᾶς, πρὸς εἰρήνην ἀκατάκρατον, πρὸς ἀμέριμνον διαγωγὴν, πρὸς ἀπαθῆ τρυφὴν, πρὸς ἀπερίσπαστον διαμονὴν, πρὸς ἀτελεύτητον ἀπόλαυσιν, πρὸς ἄδυτον φῶς, πρὸς ἀνέσπερον ἡμέραν, πρὸς ἐμὲ αὐτὸν, τὸν τοῦ παντὸς καὶ σοῦ Ποιητήν. Ὅπου γὰρ ἐγὼ, ἐκεῖ ζωὴ αἰώνιος, χαρὰ μὴ συγκρινομένη, κατοικία μὴ ἐξισουμένη, πολιτεία μὴ φθειρομένη. Ὅπου τοίνυν ἐγὼ, καὶ σὺ μέλλεις ὑπάρχειν, ἀχώριστος μήτηρ, ἐν ἀδιαζεύκτῳ Υἱῷ. Ὅπου Θεὸς, πᾶσα ἀγαθωσύνη, πᾶσα τερπνότης, πᾶσα φαιδρότης. Οὐδεὶς ἰδὼν τὴν δόξαν μου, παρεᾶσαι ταύτην ἐθέλησεν. Οὐδεὶς ἐλθὼν εἰς τὴν κατάπαυσίν μου, τὰ τοῦ φθαρτοῦ πάλιν κατεζήτησεν κόσμου. Πέτρος ἐρωτάσθω, εἰ ὁμοία σύγκρισις τοῦ κόσμου καὶ τοῦ Θαβωρίου ὄρους, ὅταν ἐν αὐτῷ τὴν ἐμὴν ἐθεάσατο πρὸς ὀλίγον καιρὸν δόξαν.

Ἐν τῷ κόσμῳ τῶν φθαρτῶν διαγούσης σου, ὀπτασίᾳ τὴν ἐμήν σοι ἐνεφάνιζον δύναμιν· μεταβαινούσης σου τοῦ βίου, πρόσωπον πρὸς πρόσωπον ἐμαυτὸν ὑποδείξω σοι. Δὸς ἀθλίπτως τῇ γῇ τὰ ἴδια. Ἐμὸν τὸ σὸν σῶμα· καὶ ἐπειδὴ ἐν τῇ χειρί μου τὰ πέρατα τῆς γῆς, οὐχ ἁρπάζει τις οὐδὲν ἐκ τῆς χειρός μου. Ἐμοὶ τὸ σῶμά σου πίστευσον, ὅτι κἀγὼ τῇ κοιλίᾳ σου τὴν ἐμὴν παρεκατεθέμην θεότητα. Ὄψεται τοῦ Πατρός μου τὴν δόξαν ἡ ἔνθεός σου ψυχή. Ὄψεται τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ τὴν δόξαν τὸ ἀμίαντον σῶμά σου. Ὄψεται τοῦ παναγίου Πνεύματος τὴν δόξαν τὸ ἄχραντον πνεῦμά σου.

Οὐ καυχήσεται θάνατος ἐπὶ σοί· Ζωὴν γὰρ ἐκύησας. Σκεῦος ἐμὸν ἐγένου· οὐ ῥαγώσει τοῦτο σύντριμμα θανατοφθόρου καταπτώσεως. Οὐκ ἀμαυρώσει τοῦτο ζόφου κατασκιασμός. Ἔρχου προθύμως πρὸς τὸν ὑπὸ σοῦ γεγεννημένον. Εὐφρᾶναί σε βούλομαι τεκνοχρέως· ἀποδοῦναί σοι τὰ τῆς μητρικῆς κοιλίας ἐνοίκια· τῆς γαλακτοτροφίας τὸν μισθόν· τῆς ἀνατροφῆς τὴν ἀντάμειψιν· τοῖς σπλάγχνοις σου τὴν πληροφορίαν. Μονογενῆ μεκεκτημένη, μῆτερ, Υἱὸν, συνοικῆσαί μοι μᾶλλον προτίμησον· οὐκ ἀντιπερισπάσαι γὰρ οἶδα πρὸς ἑτέρου τέκνου διάθεσιν. Ἐγώ σε παρθένον ἀνέδειξα μητέρα· ἐγώ σε καὶ εὐφραινομένην ἐπὶ Τέκνῳ καταστήσω μητέρα. Ἐγώ σοι τὸν κόσμον χρεώστην ἀναδείξω, καὶ μετερχομένης πλεῖον σοῦ τὸ ὄνομα καταδοξάσω. Ἐγώ σε τεῖχος κοσμικὸν οἰκοδομήσω, γέφυραν κλυδωνιζομένων, κιβωτὸν διασωζομένων, βακτηρίαν χειραγωγουμένων, πρεσβείαν ἁμαρτανόντων, καὶ κλίμακα πρὸς οὐρανὸν τοὺς ἀνθρώπους ἀναβιβάζειν ἰσχύουσαν.

Ἔρχου μετ' εὐφροσύνης. Ἄνοιξον σὺ τὸν παράδεισον, ὃν ἡ συγγενής σου καὶ ὁμοφυὴς ἀπέκλεισεν Εὔα. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Υἱοῦ σου· ἄφες τὴν κάτω Ἱερουσαλὴμ· ἀνάδραμε πρὸς τὴν οὐράνιον πόλιν, ὅτι τῆς κάτω Ἱερουσαλὴμ μεγαλυνθήσεται μετὰ μικρὸν « ὁ κοπετὸς, ὡς κοπετὸς, κατὰ τὸ γεγραμμένον,

Non franget te neglecta carnis cura : ad vivaciorem vitam reverteris, ad gaudii requiem, ad tranquillissimam summamque pacem, ad vitam nullis curis anxiam, ad delicias omni labe carentes, ad perennitatem quietissimam, ad jucunditatem immortalem, ad lucem occasus nesciam, ad diem vespere non obscurandum, ad meipsum, hujusce rerum universitatis tuumque Conditorem. Nam ubi sum ego, illic vita æterna, incomparabile gaudium, habitatio non exæquata, nulli obnoxia interitioni civitas. Ubi igitur ego sum, debes et ipsa esse, inseparabilis mater, in Filio indivulso. Ubi Deus, omnis bonitas est, omnis oblectatio, omnis jucunditas. Nemo qui viderit meam claritatem, ab ea abscedere in animum induxit. Nemo ingressus in meam requiem, quæ sunt mundi perituri denuo requisivit. Ex Petro sciscitare, parne mundi comparatio ac montis Thaborii, tum cum ibi constitutus ad breve momentum meæ spectator claritatis fuit.

Dum in mundo corruptibili vitam ageres, meam tibi in visione exhibebam potentiam ; emigranti e vita, ipse me tibi facie ad faciem ostendam. Nihil gravate terræ cedito, quæ sunt ejus propria. Tuum corpus meum est : quodque in manu mea sunt omnes fines terræ [99], nemo quidquam rapiet de manu mea. Tuum mihi corpus concredito ; nam et ego divinitatem tuo utero deposito tradidi. Videbit Patris gloriam divina anima tua : videbit unigeniti Filii ejus claritatem intemeratum corpus tuum : videbit sanctissimi Spiritus majestatem impolutus spiritus tuus.

Nihil in te mors gloriabitur, ut quæ Vitam utero gestaveris. Vas meum effecta est : haud illud lethalis casus contritio confringet : haud caliginis obtenebratio in obscurum trahet. Veni ad Natum tuum propensa animi voluntate : Filii debito lætificare gestio : materni uteri hospitii commodati præmia reddere : quod lac præbueris, mercedem dare : quod educaveris, vicem rependere : ratam visceribus tuis fidem facere. Quæ me, Mater, Filium unigenitum nacta sis, mecum potius commorari velis ; sat enim novi ad alterum te filium non amore distrahi. Ego te virginem matrem effeci. Ego te quoque lætantem super Filio matrem constituam [1]. Mundum tibi debitorem præstabo, et emigrantis nomen tuum majori gloria collustrabo. Ego te mundi murum exædificabo, eorum pontem, qui fluctibus jactantur, eorum qui manu ducuntur baculum, peccatorum advocatam, scalam denique quæ provehere in cœlum mortales sufficiat.

Veni cum lætitia. Aperi paradisum, quem cognata tua Eva, ejusdemque consors generis occlusit. Intra in gaudium Filii tui. Dimitte terrenam Jerusalem : ad cœlestem excurre civitatem ; quippe cum brevi post terrenæ Jerusalem « Planctus magnus futurus sit, uti scriptum est, sicut planctus

[99] Psal. xciv, 4. [1] Psal. cxii, 9.

Digitized by Google

malogranati quod succiditur in agro [1]. » Decumbe, atque id ad speciem tantum, in Gethsemane monumenti loco : haud in longum tempus in eo te orbam traham. Veniam ad te mox ac justis persolutis in monumento deposita fueris, non qui a te denuo concipiendus sim, qua ratione in te semel habitavi, sed qui potius contubernalem mihi futuram sim assumpturus. Pone fidenter corpus tuum in loco Gethsemane, qua ratione ego ante passionem humano more in oratione eo ipso loco prostravi mei corporis genua. Sicut igitur ego, ubi tunc genua flexissem, ad vivificam ac sponte assumptam exii meæ crucis mortem, sic tu quoque post depositum corpusculum, ad vitam confestim traduceris.

En mei quoque ad te veniunt discipuli, quorum manibus honorifice ac reverenter tuum curabitur funus, qui scilicet spiritales meæ filii sunt lucis. Iis, ut tu ipsa testis es, adoptionis gratiam impartivi. Ac sane iis justa solventibus, hæc me tibi solvere existima, atque meis ipsum manibus tibi parentare. Nam neque decet ut his tibi officiis ulli alii defungantur, præterquam apostoli mei, in quibus etiam habitat Spiritus sanctus, qui et meam personam explebunt, o intemeratissima, in honore tuarum exsequiarum.

His Dei Mater nuntiis acceptis, gavisa est gaudio magno, spreta penitus temporanea mortalium vita. Accensis itaque in omni domus ambitu magnis facibus, convocat amicas sanguinisque necessitudine conjunctas atque vicinas : domum everrit, velut in virginis thalamo, lectulum floribus sternit, quem videlicet hactenus per singulas noctes, desiderio in Christum ac Filium suum, copiosis lacrymarum rivis inter fundendas preces inundaverat. « In lectulo enim meo, ait Scriptura, quæsivi quem dilexit anima mea [2]. » Alacri animo præparat, quæ ad excessum funusque essent opportuna. Vulgat se migraturam, manifestat quæ ab angelo fuerant denuntiata : ostendit et quod bravium illi dederat. Illud porro, ramus palmæ erat, victoriæ signum adversus mortem, immarcescibilisque vitæ præfiguratio; ad certam illi faciendam fidem, quæ humanis migratura esset, majore vi corruptionem expugnaturam esse, perinde ac Natus ejus Christus inferni victor exstiterat. Hujusmodi palmæ illud bravium, in quo et religiosi Hebræorum pueri, accedenti Christo ad passionem, tanquam qui mortis victor futurus esset ac triumphator, laudis specie ac præconii vibrantes præluserunt, clamantes : « Hosanna in altissimis [3]; » hoc est, Salva, quæso, qui es in altissimis. Vox enim illa apud Hebræos, si interpreteris, hoc sonat, *Salva, quæso*. Quemadmodum igitur dum sic exciperetur, palmarum rami illi triumphalem Christi mortem figura præsignarunt; sic et contraditum Deiparæ bravium palmæque certum pignus erat.

A ῥοῶνος ἐκκοπτομένου ἐν πεδίῳ. » Προσανακλήθητι, καὶ μόνον ἐν σχήματι τῷ Γεθσημανῇ τοῦ μνήματος χωρίῳ· οὐκ ἀφήσω σε χρονίως ὀρφανὴν ἐν αὐτῷ. Ἔρχομαι πρὸς σὲ παρευθὺ, τοῦ κατατεθῆναί σε κηδευθεῖσαν ἐν τῷ μνημείῳ, οὐ συλληφθησόμενος πάλιν ὑπὸ σοῦ, ὡς ἐφ' ἅπαξ οἰκήσας ἐν σοὶ, ἀλλὰ παραληψόμενος μᾶλλον συνοικεῖν ἐμοί. Θὲς ἐν τῷ Γεθσημανῇ χωρίῳ τεθαρρηκότως τὸ σῶμά σου, καθὼς ἐγὼ πρὸ τοῦ παθεῖν με δι' ἀνθρωπίνην προσευχὴν ἐκεῖσε τὰ γόνατα. Σοῦ γὰρ προτυπούμενος τὴν κοίμησιν, ἔκλινα κἀγὼ πρὸς τὸ τοιοῦτον χωρίον τὰ ἐμὰ τοῦ ἐκ σοῦ σώματος γόνατα. Ὡς οὖν ἐγὼ μετὰ τὴν τότε γονυκλισίαν πρὸς τὸν ζωοποιὸν ἐξῆλθον καὶ ἑκούσιον τοῦ σταυροῦ μου θάνατον, καὶ σὺ μετὰ τὴν κατάθεσιν τοῦ σοῦ λειψάνου πρὸς ζωὴν παραχρῆμα μετατεθήσῃ.

B Ἰδοὺ καὶ οἱ ἐμοὶ καταλαμβάνουσι πρὸς σὲ μαθηταὶ, δι' ὧν τιμίως καὶ εὐλαβῶς ἐνταφιασθήσῃ, τῶν πνευματικῶν υἱῶν τοῦ φωτός μου. Οἷς, ὡς καθὼς σὺ προσμαρτυρεῖς, υἱοθεσίας χάριν ἐδωρησάμην. Καὶ δὴ παρ' αὐτῶν ἐνταφιαζομένη, ὡς ἐξ ἐμοῦ χειρῶν λογίζου κηδευομένη. Καὶ γὰρ οὐδὲ πρέπει παρ' ἑτέρων σὲ κηδευθῆναι, εἰ μὴ παρὰ τῶν ἐμῶν ἀποστόλων, ἐν οἷς καὶ τὸ ἅγιον Πνεῦμα κατοικεῖ· οἳ καὶ τὸ ἐμὸν ἀναπληρώσουσι πρόσωπον, ἐπὶ τιμῇ τῆς ἐξόδου σου, πανάχραντε.

Τούτων ἀκούσασα τῶν ἀγγελιῶν ἡ Θεομήτωρ ἐχάρη χαρὰν μεγάλην, καταφρονήσας παντελῶς τῆς προσκαίρου ζωῆς τῶν ἀνθρωπίνων· καὶ δὴ φῶτα μεγάλα ποιησαμένη περὶ πάντα τὸν οἶκον, συγκαλεῖ τὰς C φίλας αὐτῆς συγγενεῖς τε καὶ γείτονας· σαροῖ τὴν οἰκίαν, ἀνθηροποιεῖ τὴν ἑαυτῆς κλίνην, ὡς ἐπὶ παστάδος παρθενεύοντος γάμου· τὴν ἕως τότε κατὰ πᾶσαν νύκτα διὰ τὸν πρὸς Χριστὸν καὶ Υἱὸν, αὐτῆς ἐπιθυμίαν, τοῖς τῶν προσευχῶν θαλασσουμένην δάκρυσιν. « Ἐπὶ κοίτην γάρ μου, φησὶν ἡ Γραφὴ, ἐξεζήτησα, ὃν ἠγάπησεν ἡ ψυχή μου. » Ἑτοιμάζει προθύμως τὰ πρὸς τὴν ἔξοδον. Δημοσιεύει τὴν μετάστασιν, δηλοποιεῖ τὰ παρ' ἀγγέλου πρὸς αὐτὴν δηλωθέντα· δεικνύει καὶ τὸ δοθὲν αὐτῇ βραβεῖον. Ἦν δὲ τὸ βραβεῖον, φοίνικος κλάδος, σύμβολον νίκης κατὰ θανάτου, καὶ ζωῆς ἀμαράντου προεκτύπωμα· τοῦ πιστωθῆναι μετερχομένην, ὅτι καταδυναστεύσειεν τῆς φθορᾶς, ὡς καὶ ὁ ὑπ' αὐτῆς γεννηθεὶς ἐνίκησεν τὸν ᾅδην, D Χριστός. Τοιοῦτον τὸ βραβεῖον τοῦ φοίνικος, ἐν ᾧ καὶ οἱ θεοφιλεῖς τῶν Ἑβραίων παῖδες ἐπὶ τὸ πάθος ἐγγίζοντι τῷ Χριστῷ, ὡς νικητῇ τούτῳ μέλλοντι γίνεσθαι τοῦ θανάτου, δοξολογητικῶς ἐπέσεισαν, κράζοντες· « Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· » τουτέστι, Σῶσον δὴ, ὁ ἐν ὑψίστοις. Τὸ γὰρ *Ὡσαννὰ παρ' Ἑβραίοις σῶσον δὴ* μεθερμηνεύεται. Ὥσπερ οὖν ἐκεῖ τὰ βαΐα τῶν φοινίκων νικητικὸν τὸν τοῦ Χριστοῦ προεμήνυον συμβολικῇ τῇ ὑποδείξει θάνατον, οὕτως καὶ τὸ ἐκ φοίνικος δοθὲν τῇ Θεοτόκῳ βραβεῖον, πληροφόρημα νίκης ὑπῆρχεν θανατοποιοῦ καταφθορᾶς.

spatula, futuræ de corruptione mortis victoriæ

[1] Zach. XII, 11. [2] Cant. III, 1. [3] Matth. XXI, 9.

Digitized by Google

Ἔκλαιον αἱ μετακληθεῖσαι· ἐθρήνουν οἱ ἐπισυναχθέντες πρὸς αὐτὴν, ποταμοὺς ὡς εἰπεῖν αὐλακίζοντες ἐν τῷ οἴκῳ. Παρεκάλουν αὐτὴν μὴ ὀρφανισθῆναι παρ' αὐτῆς. Ἡ δέ φησι, Τὸ θέλημα τοῦ Υἱοῦ μου καὶ Θεοῦ γενέσθω ἐν ἐμοί. « Οὗτος γάρ μου Θεὸς, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν· » Υἱὸς μὲν σαρκὶ γεννηθεὶς ὑπ' ἐμοῦ· Πατὴρ [redacted]αὶ Κτίστης καὶ Θεὸς τῆς ἰδίας οὗτος μητρός. Εἰ [redacted]εῖς γονεῖς ὄντες ἐκ φθαρτῶν καὶ ἐκ ῥύπου συν[redacted]παίδων, οὐ καρτερεῖτε τούτων πρὸς ῥοπὴν [redacted]σθῆναι, πῶς ἐγὼ Θεὸν Υἱὸν κεκτημένη, καὶ σπλάγχνα μονομερῆ πρὸς αὐτὸν ἐπέχουσα, διότι χωρὶς ἀνδρὸς αὐτὸν ἀφθάρτως καὶ παρθενικῶς ἐκύησα, μὴ μεῖζον ὑμῶν νενίκημαι παρὰ τῶν σπλάγχνων; Ὑμεῖς γὰρ ὑπ' ἀλλήλων τὴν ἐπὶ τοῖς τέκνοις ψυχαγωγεῖσθε ζημίαν· ἐγὼ δὲ καὶ Θεὸν τὸν Χριστὸν καὶ μονογενῆ τοῦτον νῦν ἔχειν ἠξιωμένη, πῶς μὴ πρὸς αὐτὸν ἡδέως ἐπαναλύσω, τὸν ἀεὶ ζῶντα καὶ ζωὴν πᾶσι διδόντα.

A Flebant, quæ accersitæ mulieres fuerant: lugebant qui ad eam convenerant, atque lacrymarum imbre, flumina, ut sic loquar, in domo ducebant. Ne et pupillos relinqueret, votis obsecrabant. Ad quos illa: Filii mei ac Dei voluntas in me fiat. « Hic enim Deus meus, et glorificabo eum: Deus Patris mei, et exaltabo eum [8]. » Filius est ex me carnis ratione natus; Paterque, et Conditor, ac Deus suæ ipse parentis est. Si igitur vos, cum ex mortalibus filiis, sordidaque copula parentes sitis, ab eis separari ne ad momentum quidem sustinetis: qui fiat ut ego Deum Filium nacta, et quæ ad eum indivisa prætendam viscera, idcirco quia nulla viri opera incorrupta ac illibata eum virginitate enixa sum, non præ vobis majori subacta sum amoris B illecebra? Vos enim mutuo, alternisque proventibus, liberorum solamini jacturam: at ego, quæ et Deum Christum atque hunc unigenitum habere dignata sum, quomodo non lubenti animo gaudensque ad eum proficiscar, qui et ipse semper vivat, ac vitam cunctis præbeat?

Τούτων λαλουμένων, γίνεταί τις ἄφνω βροντῆς βιαίας ἦχος, καὶ λαίλαψ ὑπογαίου νεφέλης ἐπιστασίας, ἐξ ἧς ὥσπερ τινὲς δροσόμματοι σταγόνες οἱ τοῦ Χριστοῦ μαθηταὶ, τῷ τῆς Παρθένου καθορμισθέντες ὁμοθυμαδὸν ἐπέστησαν οἴκῳ. Καὶ ἰδόντες αὐτὴν, προσεκύνησαν ταύτῃ φιλοφρόνως, καὶ τὴν εἴδησιν τῆς ἀφίξεως ἐξ αὐτῆς μεμαθηκότες, τοιαῦτα πρὸς αὐτὴν διεξῆλθον· Διότι μὲν ἐν τῇ τοῦ κόσμου τούτου παροικίᾳ σὲ, Θεομῆτορ, σύνοικον ἔχοντες, καὶ ὡς αὐτὸν τὸν Χριστὸν θεωροῦντές σε παρεμυθούμεθα βλέποντες, ἀδολεσχοῦμεν ἐπὶ τῇ σῇ μεταστάσει. Ἐπεὶ δὲ καὶ θείᾳ ἐξουσίᾳ, καὶ σαρκικῇ πρὸς μητέρα προσπαθείᾳ, πρὸς τὸν Θεὸν ἐπεζητήθης ἀναλῦσαι, χαίρομεν τῷ ἐπὶ σοὶ πρεπόντως ἐκπληρουμένῳ, καὶ συμφερόντως ἐκβησομένῳ. Καὶ γὰρ πληροφορίαν ζωῆς αἰωνίου καὶ ἡμεῖς ἐπὶ σοὶ προσλαμβάνομεν, καὶ μεσίτῃ σε πρὸς Θεὸν μεθισταμένην κεκτήμεθα. Οὐδὲ γὰρ καὶ ἥρμοζεν τὴν Μητέρα τοῦ Θεοῦ ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης διάγειν, ἀλλ' ἐν σκηναῖς οὐρανίων καὶ ἀφθάρτων διατριβῶν μετελθεῖν.

Inter quæ verba, en tibi repente vehementis tonitrui sonitus, nubisque sedentis turbo irrumpens, ex qua velut guttarum roris ocelli, Christi discipuli depluentes, conferto unanimiter agmine Virginis tecto astitere. Quam ut conspexere officiosissimo venerati sunt: doctique ex illa adventus causam, ejuscemodi eum verbis allocuti sunt: Ea quidem ratione, quod te in mundi hujus incolatu habentes, ac velut ipsum Christum contueremur cernentes, haud exiguum ærumnarum levamen, o Dei Mater, nacti eramus, tuæ causa migrationis quiritantes dolemus. Quod vero tum divina auctoritate, tum carnali in Matrem necessitudine, ut ad Deum proficiscaris evocata es, gaudemus et gratulamur, ejus nomine, quod in te decenter impletur, commodumque eventurum est. Nam et nos in te abunde vitæ æternæ altum pignus accepimus, atque ad Deum mediatricem humanis emigrantem nanciscimur. Nec enimvero decebat ut Dei Mater in medio generationis pravæ atque perversæ vitam ageret, sed ut ad cœlestia tabernacula ad sedes immortales transiret.

Ταῦτα λέγοντες, τοῖς δάκρυσιν ἦσαν ἀπαραμύθητοι. Ἡ δὲ λέγει πρὸς αὐτούς· Χαίρετε, τέκνα πνευματικὰ τοῦ τέκνου μου. Μνήσθητε τῶν αὐτοῦ ῥημάτων, πῶς ἡμῖν ἐν τῷ καιρῷ τοῦ πάθους μὴ θρῆνον ποιεῖν τὴν χαρὰν προσέταττεν τοῦ κόσμου. Κἀμοῦ δὲ σήμερον πρὸς αὐτὸν μετατιθεμένης, μὴ πενθοσθῆν ἐμὴν ἐργάσησθε χαρμονήν· ἀλλὰ τὸ ἐμὸν σῶμα, καθὼς ἐγὼ τοῦτο σχηματίσω πρὸς τῇ κλίνῃ, κηδεύσατε πάντες. Δοκῶ γὰρ ἐκ τῶν χειρῶν αὐτῶν ἐνταφιάζεσθαι τοῦ Υἱοῦ μου, παρ' ἡμῶν τῶν ἐκείνου μαθητῶν κηδευομένη πιστῶς.

Interea vero inconsolabilibus flebant lacrymis: D ad quos illa: Gaudete, Filii mei spiritales filii. Mementote illius verborum [9], quomodo in passione commune mundi gaudium haud in luctum vertendum præceperit. Et me itaque hodie ad eum commigrante, ne gaudium meum luctuosum reddideritis: sed meum corpusculum, ita ut ipsa illud in lecto composuero, omnes efferte. Mihi enim videor ipsis Filii mei manibus exsequiarum more tumulo componi atque efferri, cui a vobis ejus discipulis justa, fide solvantur.

Τούτων μεταξὺ φθάζει καὶ Παῦλος ὁ ἀπόστολος, ὡς ἐκ μηκόθεν κινήσας τοῦ κηρύγματος. Ἐπικρούει τῇ θύρᾳ τοῦ δόματος· ἀνοίγει τούτῳ χαριέντως ὁ τοῦ οἴκου προεστὼς Ἰωάννης ὁ ἀπόστολος, καὶ τὴν Παρθέ-

Interim advenit et Paulus apostolus, ut quem procul terris dissitum, evangelicæ prædicationis functio detineret. Pulsanti vero januam domus gratanter aperit præpositus Joannes apostolus [9],

[8] Exod. xv, 2. [9] Luc. xxiii, 28. [9] Joan. xix, 27.

Digitized by Google

qui et Virginem tanquam matrem virgo ipse ab ipso Christo in sua acceperat. Viso Paulo apostoli animis recreati, in suppedaneo scabello reverenter prima illum sede collocarunt. Suscipit illum Virgo hilari vultu. Paulus, ad ejus se pedes jactat; ac, ubi didicisset quamobrem et ipse venisset, ingenti ac lugubri gemitu expeditum os suum et doctrinæ assuetum aperiens, magnifice Virginem encomio celebrat: ex cujus elogio hæc pauca sunto:

Avesis, Mater vitæ, meæque prædicationis existimatio. Salvesis, meæ oblectationis ac solatii consecutio. Quanquam enim Christum in carne non vidi, qui te in corpore videam, quæ corpus incorporeo induendum ministraveris, sic animo afficiebar ac oblectabar, ac si Christum viderem. Meum itaque in Christum desiderium, vultus tui aspectu occupata delibatione explebam. Hactenus ego te in gentibus Christum carne peperisse prædicabam, deinceps jam etiam te ad ipsum commigrasse docebo: quo exploratum gentibus fiat ipsorum salutem in tua confirmatam esse intercessione, ut et ipsæ immobili apud Deum defensione gaudeant.

Interim vero etiam multis aliis laudum præconiis, quantum nosse licuit, Pauli ore Dei Genitrici oblatis, supremum cunctis Virgo vale dicit: tum grabato, quod instraverat, decumbit; atque, ut libuit, intemerato corpusculo suo composito, velut in somno spiritum dimittit. Quinimo, ut verius loquar, a carne in vigilia ac expergiscens separatur, liberam a corruptione sui portionem reliquam (corpusculum scilicet) præstans. Cum itaque publica voce sua illa Christo ac Deo, suoque corporis ratione Filio omnis labis purum spiritum suum commendasset, hortatur Petrus summa arce collegam suum Paulum, ut super Virginis corpusculo consuetam precationem fundat. Renuit Paulus rem Petrum decere dicens, qui sit pastorum summus ac princeps. Insistit Petrus, se Paulo demittens, ea scilicet ratione, quod is fungenda prædicatione plurimum laborasset. Nihil quidquam prorsus acquiescit Paulus, Christi in Petro promotionem inviolabili ratam firmitate servans. Petrus itaque precationem fundit: apostoli reliqui sublato in humeros feretro, Virginis corpus cum canticis et luminibus, honesto cultu ac reverentia ad monumentum pompa efferunt.

Confluxerat multitudo, quæ et numerum excederet, ad ejus honestandas exsequias, quæ vitæ parens exstitisset. Stupebant sic repente humanis excessisse. Vehementius admirabantur etiam apostolos, iis ex locis quibus dispersi erant, per aera delatos venisse. Ubique enim Hierosolymis fama pervulgatum erat, tonantem ac turbini similem nubem, pluviæ instar ac roris venti sibilantis, momento citius, in Virginis eos domo perstillasse. Fugax porro tum etiam ex incredulis Hebræis vanusque (sunt enim vanitas vanitatum[8], ut qui semper scandalo sint, nec contentius commentari

[8] Eccle. I, 2.

A νον ὡς μητέρα ὁ παρθένος εἰς τὰ ἴδια διαπαραλαβὼν ἐξ αὐτοῦ τοῦ Χριστοῦ. Ἰδὸν τὸν Παῦλον οἱ ἀπόστολοι, καὶ ἐψύχησαν, τῇ βαθμικῇ τοῦτον προανατάξαντες ἐντίμως καθέδρᾳ. Δέχεται τοῦτον ἱλαρῶς ἡ Παρθένος· ῥίπτει Παῦλος ἑαυτὸν εἰς τοὺς θεοβαστάκτους αὐτῆς πόδας, καὶ μαθὼν ἐφ' ᾧ καὶ αὐτὸς παραγέγονεν, σὺν μεγάλῳ καὶ ἐνδακρύῳ στεναγμῷ ἀνοίξας τὸ ἕτοιμον καὶ διδασκαλικὸν αὐτοῦ στόμα, ἐγκωμιάζει μεγάλως τὴν Παρθένον, ἐξ ὧν ὀλίγα ταῦτα·

Χαῖρε, Μῆτερ τῆς ζωῆς, καὶ τοῦ ἐμοῦ κηρύ[illegible] ἡ ὑπόληψις. Χαῖρε, τῆς ἐμῆς ψυχαγωγίας ἡ ἐπίτυχ[illegible] Εἰ γὰρ καὶ τὸν Χριστὸν σαρκὶ μὴ τεθέαμαι, ἀ[illegible] βλέπων ἐν σώματι, τὸν Χριστὸν θεωρεῖν παρηγορούμην, τὴν σῶμα τῷ ἀσωμάτῳ χορηγήσασαν ἐν περιβολῇ. Τὸν οὖν εἰς Χριστὸν πόθον τῷ σῷ προανεπλη-
B ροῦμην προσώπῳ. Ἐγώ σε τοῖς ἔθνεσιν ἕως χθὲς, Θεὸν σαρκικῶς ἐκήρυττον γεγεννηκέναι· ἀπάρτι καὶ πρὸς αὐτὸν μετατεθῆναί σε διδάξω τοῦ γνωσθῆναι αὐτοῖς ἔθνεσιν τὸ σωτήριον αὐτῶν ἐν τῇ σῇ κραταιοῦσθαι πρεσβείᾳ· ὅπως ἔχειν καὶ αὐτὰ προστασίαν πρὸς τὸν Θεὸν ἀμετάθετον.

Μετὰ δὲ καὶ ἄλλων πολλῶν παρὰ Παύλου, καθὼς μαθεῖν ἠδυνήθημεν, πρὸς ἐπαίνων ἐντεύξεις τῇ Θεοτόκῳ προσαχθέντων, συντάσσεται πᾶσιν ἡ Παρθένος. Ἀναπίπτει τῷ ἐκστρωθέντι παρ' αὐτῆς κραβάτῳ· σχηματίζει τὸ ἄμωμον ἑαυτῆς ὡς ἠβουλήθη σῶμα· ἀφίησιν ὡς ἐν ὕπνῳ τὸ πνεῦμα. Μᾶλλον δὲ λέγειν, διίσταται τῆς σαρκὸς ἐν ἐγρηγόρσει, ἐλευθέ-
C ραν φθορᾶς τὴν κατάλειψιν αὐτῆς ποιησαμένη. Παραθεμένης τοιγαροῦν ἐν φωνῇ δημοσίᾳ τῷ Χριστῷ καὶ Θεῷ καὶ σωματικῷ αὐτῆς Υἱῷ τὸ ἀνεπίληπτον ἑαυτῆς πνεῦμα, προτρέπεται Πέτρος τὸν συγκορυφέα τούτου Παῦλον, τὴν ἐπὶ τῷ λειψάνῳ τῆς Παρθένου ποιήσασθαι κατὰ τὸ σύνηθες εὐχήν. Ἀνανεύει Παῦλος, Πέτρῳ τοῦτο ποιεῖν ἁρμόδιον λέγων ὡς ποιμενάρχῃ. Ἐπινεύει Πέτρος Παύλῳ ταπεινούμενος, ὡς διὰ τὸν πολὺν τοῦ κηρύγματος αὐτοῦ μόχθον. Οὐ πείθεται τοσύνολον Παῦλος, τὴν τοῦ Χριστοῦ προαγωγὴν ἀκαινοτόμητον ἐπὶ Πέτρῳ παραφυλάττων. Ποιεῖ τοίνυν τὴν εὐχὴν ὁ Πέτρος· αἴρουσιν οἱ λοιποὶ τῶν ἀποστόλων ἐν ὤμοις τὸ κλινάριον· ὕμνοις καὶ φώτοις τὸ σῶμα τῆς Παρθένου πρὸς τὸ μνῆμα τιμίως καὶ εὐλαβῶς ἐξοδεύοντες.
D

Ἐπέρρευσεν ἀκαταμέτρητος λαὸς ἐν τῇ τῆς ζωοτόκου κηδείᾳ. Κατεπλήττοντο τῇ ἄφνω ταύτης ἀποικίᾳ. Ἐξεθαμβοῦντο καὶ ἐπὶ τῇ τῶν ἀποστόλων ἐκ τῶν διασπορῶν ἐναέρῳ παρουσίᾳ. Διεφημίσθη γὰρ περὶ αὐτῶν ἐν ὅλῃ τῇ Ἱερουσαλὴμ, ὡς ἂν ἔμβροντος καὶ λαιλαποειδὴς γεγονυῖα πρὸ ῥοπῆς ὁμίχλη, ὡς ὄμβρον αὐτοὺς καὶ δρόσον πνεύματος διασυρίζοντος, τῷ τῆς Παρθένου κατεστάλαξεν οἴκῳ. Μάταιος δέ τις καὶ τότε τῶν ἀπίστων Ἑβραίων (ματαιότης γὰρ οὗτοι ματαιοτήτων εἰσὶν, ὡς σκάνδαλοι καὶ ἐρίσται πάντοτε πρὸς διαλογισμῶν ἐπιτηδεύσεις) ἐκτείνας τὰς ἀνόμους αὐτοῦ χεῖρας· « Ἐν χερσὶ γὰρ τού-

Digitized by Google

των ἀδιαλείπτως, φησίν, ἡ ἀνομία· » ταράσσει τὸν σκίμποδα τοῦ κραβάτου, σκῦλαι τὸ σῶμα τετολμηκὼς τῆς ἀχράντου, καταῤῥίψαι τε τὸν ἔνσαρκον θρόνον μὴ ἐνδοιάσας τοῦ Ὑψίστου. Ἐκκόπτεται παραχρῆμα τῶν χειρῶν, γεγονὼς παράδειγμα καὶ τρόμος τοῖς ἀπαναισχυντοῦσιν ἀεὶ πρὸς τὸν Χριστὸν Ἰουδαίοις. Ἐγγίζει τῇ σορῷ τὸ λείψανον. Ὑπεστάλησαν οἱ ἀπόστολοι αἰδοῖ καὶ φόβῳ θεαρέστως, τοῦ σώματος ἅψασθαι τῆς Παρθένου. Καὶ οἱ μὲν μαθηταὶ διὰ τὸ ὑπέρτιμον, καὶ σκεῦος ὅτι τὸ σῶμα διεγίγνωσκον ὑπάρχειν τῆς ἁγνῆς, τὴν ἐπαινετὴν δειλίαν πρὸς τὴν ἁφὴν τοῦ σώματος αὐτῆς ἐνεδείκνυντο. Οἱ δὲ πιστοὶ τοῦ λαοῦ πρὸς ἁγιασμὸν ἑαυτῶν, καὶ συλῆσαί τι τῶν ἐνταφίων αὐτῆς ἠγωνίων. Οὐδεὶς μέντοι τὰς χεῖρας ἐπέβαλεν ἐπ' αὐτῇ· τοῦ παραδειγματισθέντος Ἑβραίου τὴν προπέτειαν καὶ μάλιστα πρὸ ὀφθαλμῶν τιθέμενοι. Γνώμῃ δὲ καὶ ἐπιλογῇ τῶν ἀποστόλων κοινῇ, Πέτρος καὶ Παῦλος ὑπολαβόντες τὴν ἔνθεν κἀκεῖθεν τοῦ κραβάτου χαλαστικῶς ἀποκρεμαμένην σινδόνα, τιθέασι τὸ λείψανον ἐν τῷ μνημείῳ, τῇ σινδόνι τὴν ψαῦσιν ἐπιβαρήσαντες, καὶ οὐχὶ τῇ χειροθεσίᾳ καταχρησάμενοι τῇ ἰδίᾳ οἱ πανεύδοξοι καὶ ὑπερευλαβεῖς ἀπόστολοι· οἱ διὰ τὸν πόθον τοῦ Θεοῦ, τὸν φόβον αὐτοῦ φανερὸν δείξαντες τότε οἱ πρὸς ταπείνωσιν ὑψηλοὶ καὶ οὐράνιοι γεωλόφοι· οἱ τιμητικοὶ καθυπουργοί, καὶ τῆς ἀγάπης τοῦ Χριστοῦ κατορθωταί· οἱ τὸν Υἱὸν διὰ τῆς μητρὸς, τὴν μητέρα διὰ τὸν Υἱὸν ὑπερτίμως σεβασθέντες· οἱ διὰ τὸν ἔνσαρκον γεγονότα Θεὸν, τῇ χορηγῷ τῆς σαρκὸς αὐτοῦ, γνησίως τότε δεδουλευκότες Μητρί. Ὧν ἐκ χειρῶν, πάντων ἀποσκοπούντων τὸ ἄχραντον ἀφηρπάγη τῆς Παρθένου σῶμα. Καὶ ὁ μὲν ἁρπάσας αὐτὸ, πᾶσιν ἄβλεπτος· Θεὸς γὰρ ἦν ἀθεώρητος· ἡ δὲ σινδὼν ἐν νεφέλῃ κούφῃ ἐν τῇ σαρκικῶς προφητευομένῃ κούφῃ νεφέλῃ, ταῖς χερσὶ τότε τῶν ἀποστόλων, κούφως ἀνεμιζομένη κατεφάνη. Ἔγνωσαν οἱ μαθηταὶ τὴν πρὸς τὴν Μητέρα τοῦ Χριστοῦ σὺν ἀγγέλοις παρουσίαν· ὑφ' οὗ καὶ μεταστᾶσαν αὐτὴν πιστωθέντες, ἔδωκαν δόξαν τῷ Θεῷ ἐν αἰνέσει φωνῆς αὐτῶν, ταῦτα καὶ πρὸς τὸν λαὸν διεξελθόντες· Ἄνδρες Ἰσραηλῖται, τοῦτο νῦν γνωστὸν ὑμῖν ἐδείχθη πᾶσι περὶ Μαρίας τῆς κατὰ σάρκα μητρὸς τοῦ Χριστοῦ, ὡς ἅμα ἡμῖν καὶ ὑμῖν ἐπὶ τὸ μνῆμα τοῦτο νεκρὰ παραγενομένη, παρὰ τῶν ἡμετέρων ἀνελήφθη χειρῶν. Μηδεὶς οὖν δύσπιστος ἐν τούτῳ δειχθῇ. Μηδεὶς ἡμῖν ὡς ἐπὶ σώματος τοῦ Χριστοῦ κλοπὴν καὶ ἐν τῷ ταύτης λειψάνῳ ψευδῶς ἐπεγκαλείτω· ἀλλ' ἐὰν ἀκουσθῇ τοῦτο παρὰ τοῦ ἡγεμόνος καὶ τῶν ἀρχιερέων ὑμῶν, ἀμέριμνον τὴν ἀλήθειαν, καὶ μὴ τὸ ψεῦδος, ποιήσητε. Γίνεσθε μάρτυρες, ὧν ἐθεάσασθε. Γίνεσθε νέοι καὶ ὑμεῖς σαρκικοί τινες ἄγγελοι κατὰ τὸ μνῆμα σήμερον πορευθέντες. Πτερώσατε τὴν ἑαυτῶν ἐν τῇ ἀληθείᾳ γλῶσσαν. Εἴπατε καὶ ὑμεῖς· Ἴδε ὁ τόπος, ὅπου τέθαπται μὲν ἡ Παρθένος· μετετέθη δὲ ἡ ζωοτόκος Μαρία. Ἴδε καὶ ἡ σινδὼν

ac nugas dare unquam desinant) extentis sceleratis manibus suis : « In eorum enim manibus, inquit, semper iniquitas [9] » lectuli ferculum quatit intemeratæ corpus incessere ausus, nec Altissimi carneum solium solo allidere veritus. Isque adeo confestim manuum exsectione multatur, exemplum ac tremor nunquam non in Christum procacibus Judæis factus. Jam tumulo prope inferendum sacrum cadaver erat. Haud vero ausi apostoli (qua reverentia ac religiosiore metu tenebantur) Virginis corpus attingere. Ac quidem discipuli, quo præcellenti honore habebant, quodque castissimæ corpus Dei vas esse non ignorabant, omni laude dignam formidinem, ne illius sibi contactum indulgerent, præferebant. Qui autem ex plebe fideles erant, etiam feralium aliquid, quo sibi sanctificationem conciliarent, diripere anxiis animis expetebant. Nemo tamen in eam manus misit, cum severiori exemplo puniti Hebræi petulantiam vel maxime ob oculos haberent. Communi vero apostolorum sententia, Petrus et Paulus hinc inde ex grabato, laxo tractu demissum pendensque linteum suscipientes, sanctum cadaver tumulo inferunt. Cum nempe sacri pignoris onus linteo incumberet, nec sua ipsi manu contingerent, clarissimi supraque modum religiosi apostoli, quo in Deum amore ferebantur, ipsius tunc palam timorem prodentes, viri scilicet ad humilitatem sublimes, ac cœlestes colles; ministri honore impensi, ac Christi magnifice dilectione strenui; qui Matris interventu Filium, inque Filii gratiam Matrem eximio cultu atque honore prosecuti sint: qui propter Deum incarnatum, sincero tunc affectu, Matri quæ carnem ministravit, obsequii vicem dependerent. E quorum manibus, cunctis spectantibus, intemeratum Virginis corpus abreptum fuit. Ac quidem, quisnam rapuerit, vidit nemo : Deus quippe is erat, oculis inaspectabilis; linteum vero in nube levi, in ea quæ carnali ratione nubes levis prophetico prodita oracula est [10], apostolorum tum manibus leviter in auras sublatum apparuit.

Agnovere discipuli Christi ad Matrem angelis stipantibus adventum; indeque eam quoque translatam sibi certo statuentes, Deo gloriam dederunt in laude vocis suæ; talia propemodum etiam ad populum orantes : Viri Israelitæ, id nunc cunctis vobis de Maria, quæ Christi carne mater exstitit, notum effectum est; cum nempe una nobis vobisque deducentibus, ad monumentum hoc exstincta venisset, nostris e manibus assumptam fuisse. Nemo igitur se in hac parte ad fidem difficilem præbeat. Nemo nobis, velut in Christi corpore, in ejus quoque cadavere crimen imponat: sed, si contingat rem audiri a præside, vestrisque pontificibus, veritatem, non mendacium cura eximite. Estote testes eorum quæ vidistis. Estote vos quoque novi quidam carnales angeli, in monumento hodie deambulantes. Vestræ et ipsi linguæ in veritate alas accommodate. Dicite et vos : Ecce locus ubi Virgo sepulta fuerat, at translata est, vitæ parens,

[9] Psal. xxv, 2. [10] Isa. xix, 1.

Digitized by Google

Maria. Ecce et linteum absque illa quæ illo fuerat involuta, eam quærens quam astrinxerat; et cui velut inanimi, sepulcrale linteum fuerat, huic nunc tanquam animatæ atque viventi substerni amat. Estote vos quoque ejus, quæ translata est, mulieres unguenta ferentes. Currite, annuntiate translationem ejus ex tumulo, quod vitam tantisper susceperat.

A δὼν χωρὶς τῆς ἔνδον σπαργανωθείσης ἐπιζητοῦσα τὴν ἐν αὐτῇ κατασφιγχθεῖσαν, ἣν ὡς ἄψυχον ἐσπαργάνου, καὶ ὡς ἐμψύχῳ νῦν ὑποστρωθῆναι ποθεῖ. Γίνεσθε καὶ ὑμεῖς γυναῖκες μυροφόροι τῆς μεταστάσης. Δράμετε, ἀπαγγείλατε τὴν ταύτης ἐκ τοῦ ζωοπαραδέκτου μνημείου μετάθεσιν.

Orientem versus precari traditum est, ut et reliqua ab apostolis sanctis, et ita res habet, propterea quod spiritalis Sol justitiæ Christus Deus noster, in terra apparuit in orientis solis sensibilis partibus, ut propheta inquit : « Oriens nomen ei est[16] ; » et rursum : « Adorate Dominum qui ascendit in cœlum cœli secundum orientem[17]. » Et : « Adorabimus in loco ubi steterunt pedes ejus[18]. » Et iterum : « Stabunt pedes Domini super montem Domini olivarum ad orientem[19]. » Hæc aiunt prophetæ. Propterea etiam quod nos denuo paradisum illum in Eden expetimus et speculamur ab oriente, recuperatum iri exspectantes, et etiam recipientes ortum illum lucis apparituræ in Domini secundo adventu et regeneratione.

Genu non flectere sancto die Dominico Resurrectionis, significat lapsuum nostrorum erectionem factam per triduanam Christi resurrectionem. Non flectere genu ad Pentecosten usque, est septem dies post sanctum Pascha septies multiplicatos, contineri die Pentecostes. Nam septies septem faciunt quadraginta novem, et Dominico addito fiunt quinquaginta. Tonsura capitis sacerdotis, et rotunda ejus pilorum media sectio, vice coronæ est spineæ quam Christus gestavit. Duplex corona circumposita capiti sacerdotis, ex capillorum significatione, imaginem refert venerandi capitis apostoli Petri : quæ, cum missus esset ad prædicationem Domini et Magistri, ei tonsa est ab iis qui ejus sermoni non credebant, ut illuderetur ab ipsis, eique magister Christus benedixit, et infamiam in honorem, illusionem in gloriam convertit, et posuit super caput ejus coronam, non ex lapidibus pretiosis, sed lapide et petra fidei ejus fulgescen-

ναοῦ, εἰσὶν ἃ δηλοῦσι · τὸ μὲν ἔξωθεν τοῦ βήματος ναὸν, τὴν εἴσοδον καὶ παράστασιν τοῦ λαοῦ τοῦ εἰσερχομένου εἰς προσευχήν · τὸ δὲ ἔσωθεν ἤτοι τὸ βῆμα, δηλοῖ τὰ Ἅγια τῶν ἁγίων, εἰς ὃ καὶ μόνοι οἱ ἱερεῖς καὶ οἱ μετ' αὐτῶν εἰσίασι. Κάγκελλά εἰσι, τῆς προσευχῆς τόπον δηλοῦντα, ἐν οἷς σημαίνει τὴν μὲν ἔξωθεν τοῦ λαοῦ εἴσοδον, τὴν δὲ ἔσωθεν τὰ Ἅγια τῶν ἁγίων ὑπάρχουσαν, καὶ μόνοις τοῖς ἱερεῦσιν οὖσαν ἐπίβατον. Ἔστι δὲ καὶ ἀληθῶς εἰς τὸ ἅγιον μνῆμα κάγκελλα χαλκᾶ, διὰ τὸ μηδένα εἰσιέναι ἐν αὐτῷ ἁπλῶς, καὶ ὡς ἔτυχεν. Ὁ ἄμβων ἐστὶν ἐμφαίνων τὸ σχῆμα τοῦ λίθου τοῦ ἁγίου μνήματος, ὃν ὁ ἄγγελος ἀποκυλίσας ἐκ τῆς θύρας τοῦ μνήματος, ἀνεβόα τὴν ἀνάστασιν τοῦ Κυρίου ταῖς μυροφόροις. Ἔστι δὲ καὶ κατὰ τὸν Προφήτην τὸν λέγοντα · « Ἐπ' ὄρους πεδικοῦ ἄρατε σημεῖον · ἀνάβηθι ὁ εὐαγγελιζόμενος, καὶ ὕψωσον φωνήν · » ὄρος γάρ ἐστιν εἰς τόπον πεδινὸν καὶ ὁμαλὸν κείμενον.

Τὸ κατὰ ἀνατολὰς εὔχεσθαι, παραδεδομένον ἐστὶν, ὡς καὶ τὰ λοιπὰ, ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ ἔστιν οὕτως, διὰ τὸ τὸν νοητὸν Ἥλιον τῆς δικαιοσύνης Χριστὸν τὸν Θεὸν ἡμῶν ἐπὶ γῆς φανῆναι ἐν τοῖς μέρεσι τῆς ἀνατολῆς τοῦ αἰσθητοῦ ἡλίου, κατὰ τὸν προφήτην τὸν λέγοντα · « Ἀνατολὴ ὄνομα αὐτῷ. » Καὶ πάλιν · « Προσκυνήσατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς. » Καί · « Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. » Καὶ πάλιν · « Στήσονται οἱ πόδες Κυρίου ἐπὶ τὸ ὄρος Κυρίου τῶν ἐλαιῶν κατὰ ἀνατολάς. » Ταῦτά φασιν οἱ προφῆται, καὶ διὰ τὸ ἀποκαραδοκεῖν ἡμᾶς πάλιν τὸν ἐν Ἐδὲμ παράδεισον κατὰ ἀνατολὰς ἀπολαμβάνειν, καὶ ὡς ἐκδεχομένους τὴν ἀνατολὴν τῆς φωτοφανείας τῆς δευτέρας τοῦ Κυρίου παρουσίας καὶ παλιγγενεσίας.

Τὸ μὴ κλίνειν γόνυ τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς Ἁγίας Κυριακῆς, σημαίνει τὴν τῆς καταπτώσεως ἡμῶν ἀνόρθωσιν γενομένην διὰ τῆς τριημέρου τοῦ Χριστοῦ ἀναστάσεως. Τὸ δὲ μέχρι τῆς Πεντηκοστῆς μὴ κλίνειν γόνυ, ἔστι τὰς ἑπτὰ ἡμέρας μετὰ τὸ ἅγιον Πάσχα ἑπταπλουμένας κρατεῖν τῇ διακινησίμῳ (6). Τὸ ἑπτάκις ἑπτὰ, τεσσαράκοντα ἐννέα, καὶ ἡ Κυριακὴ πεντήκοντα. Τὸ δὲ ξύρισμα τῆς κεφαλῆς τοῦ ἱερέως, καὶ τὸ γυροειδὲς αὐτοῦ τμῆμα τὸ μέσον τῶν τριχῶν, ἀντὶ τοῦ ἀκανθίνου στεφάνου, ὃν περ ὁ Χριστὸς ἐφόρεσεν. Ὁ ἐν τῇ κεφαλῇ τοῦ ἱερέως περικείμενος διπλοῦς στέφανος ἐκ τῆς τῶν τριχῶν σημειώσεως, εἰκονίζει τὴν τοῦ ἀποστόλου Πέτρου τιμίαν κάραν, ἣν ἐν τῷ τοῦ Κυρίου καὶ Διδασκάλου κηρύγματι ἀποσταλεὶς, καὶ καρεὶς ὑπὸ τῶν ἀπειθούντων τῷ λόγῳ, ὡς ἐμπαιζόμενος ὑπ' αὐτῶν, ταύτην ὁ διδάσκαλος Χριστὸς εὐλόγησε, καὶ ἐποίησε τὴν ἀτιμίαν τιμὴν, καὶ τὴν χλεύην εἰς δόξαν, καὶ ἔθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον, οὐκ ἐκ λί-

[15] Psal. cxxi, 5. [16] Zach. vi, 12. [17] Psal. lxvii, 34. [18] Psal. cxxxi, 7. [19] Zach. xiv, 4.

(6) Alias διακαινήσιμος q. d. *innovatio*. Sic Græci appellant et *Feriam* v hebdomadæ, et tempus quod nos *Paschale* dicimus, eo quod facta innovatio per Christum commemoretur.

Digitized by Google

θων τιμίων, ἀλλὰ τῷ λίθῳ καὶ τῇ πέτρᾳ τῆς πίστεως αὐτοῦ ἐκλάμπουσαν, ὑπὲρ χρυσίον καὶ τοπάζιον καὶ λίθους τιμίους. Κορυφὴ γὰρ κεκαλλωπισμένη, καὶ στέφανος τοῦ δωδεκαλίθου, οἱ ἀπόστολοί εἰσι. Πέτρα δὲ ὁ παναγιώτατος ἀπόστολος ὑπάρχει ἀρχιεράρχης τοῦ Χριστοῦ.

tem super aurum, topazium, et lapides pretiosos. Vertex enim, ornatus et corona duodecim lapillorum, apostoli sunt. Petra vero, sanctissimus apostolus est, primus hierarcharum Christi.

Ἡ στολὴ τοῦ ἱερέως ὑπάρχει κατὰ τὸν ποδήρη Ἀαρών, τουτέστιν ἱμάτιον, ὅ ἐστιν ἱερατικὸν ἔνδυμα, τὸ μέχρι τῶν ποδῶν, τὸ τιμιώτατον. Ἔστι δὲ πυροειδὴς, κατὰ τὸν προφήτην τὸν λέγοντα· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. » Καὶ πάλιν· « Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; » Ἐδὼμ γὰρ ἑρμηνεύεται *γήϊνος*, ἢ *ἐκλεκτὸς* ἢ *κόκκινος*. Εἶτα ἐπάγει· « Ἐρύθημα ἱματίων αὐτοῦ, ἐξ ἀμπέλου Βοσώρ. Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀπὸ πατητοῦ ληνοῦ; » Ἐμφαίνοντος τὴν βαφεῖσαν τοῦ Χριστοῦ στολὴν τῆς σαρκὸς ἐν αἵμασιν, ἐν τῷ ἀχράντῳ αὐτοῦ σταυρῷ. Πάλιν δὲ ὅτι καὶ κοκκίνην χλαμύδα ἐφόρεσεν ἐν τῷ πάθει ὁ Χριστὸς, ἐμφαίνουσιν οἱ ἀρχιερεῖς ποίου ἀρχιερέως εἰσὶν ὑπασπισταί. Τὸ δὲ ἀπεζωσμένους τοὺς ἱερεῖς περιπατεῖν φαινόλαις, δείκνυσιν ὅτι καὶ ὁ Χριστὸς ἐν τῷ σταυρῷ ἀπερχόμενος, οὕτως ἦν βαστάζων τὸν σταυρὸν αὐτοῦ. Ἐν ταῖς ἄνω λαμπρότησι τῶν νοερῶν οὐρανίων λειτουργῶν, προφητῶν καὶ ἱεραρχῶν, εἰσὶ πρεσβύτεροι εἴκοσι τέσσαρες, καὶ διάκονοι ἑπτά. Οἱ μὲν πρεσβύτεροι κατὰ μίμησιν τῶν Σεραφικῶν Δυνάμεών εἰσι, ταῖς μὲν στολαῖς, δίκην πτερύγων κατακεκαλυμμένοι, ταῖς δὲ δυσὶ πτέρυξι τῶν χειλέων τὸν ὕμνον βοῶντες, καὶ κατέχοντες τὸν θεῖον καὶ νοητὸν ἄνθρακα, Χριστὸν ἐν τῷ θυσιαστηρίῳ τῇ λαβίδι τῆς χειρὸς φανερῶς φέροντες. Οἱ δὲ διάκονοι εἰς τύπον τῶν ἀγγελικῶν Δυνάμεων ταῖς λεπταῖς τῶν λεπτῶν ὡραρίων πτέρυξιν, ὡς λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα προτρέχουσι. Πρῶτον μὲν τὸ στιχάριον λευκὸν ὄν, τῆς θεότητος τὴν αἴγλην ἐμφαίνει, καὶ τοῦ ἱερέως τὴν λαμπρὰν πολιτείαν. Τὰ λωρία τοῦ στιχαρίου εἰσὶ, τὰ ἐν τῇ χειρὶ ἐμφαίνοντα τὸν δεσμὸν τοῦ Χριστοῦ· δήσαντες γὰρ αὐτὸν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα καὶ τὸν Πιλᾶτον. Τὰ λωρία τὰ εἰς τὰ πλάγιά εἰσι, τὸ αἷμα τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐν τῷ σταυρῷ. Τὸ περιτραχήλιόν ἐστι τὸ φακεώλιον, μεθ' οὗ ἐπεφέρετο ὑπὸ τοῦ ἀρχιερέως δεδεμένος, καὶ συρόμενος ἐπὶ τὸ πρόσθεν ἐπὶ τῷ τραχήλῳ ὁ Χριστὸς, ἐν τῷ πάθει αὐτοῦ ἀπερχόμενος. Τὸ δὲ τοῦ ἐπιτραχηλίου δεξιὸν μέρος, πέφηνεν ὁ κάλαμος ὃν ἔδωκαν ἐμπαίζοντες τῇ δεξιᾷ τοῦ Χριστοῦ. Τὸ δὲ τοῦ ἐξ εὐωνύμου μέρους, ἡ τοῦ σταυροῦ βασταγὴ ἐπὶ τῶν ὤμων αὐτοῦ. Ἡ δὲ ζώνη, ἣν περιζώννυται, πέφηνεν ἡ εὐπρέπεια, ἣν ὁ Χριστὸς βασιλεύσας, εὐπρεπῆ περιεζώσατο δύναμιν τῆς θεότητος. Τὸ δὲ φαινόλιον, ἐμφαίνει τὴν ἀπὸ κοκκίνου πορφύραν, ἣντερ τῷ Ἰησοῦ ἐμπαίζοντες οἱ ἀσεβεῖς ἐφόρεσαν. Ἔστι δὲ καὶ ἡ στολὴ τοῦ βαπτίσματος. Τὸ ὠμοφόριόν ἐστι τοῦ ἀρχιερέως, κατὰ τὴν στολὴν τοῦ Ἀα-

Stola sacerdotis est ad exemplum talaris Aaron, id est vestimentum, quod sacerdotale est indumentum, ad pedes usque, honorabilissimum. Est autem ignea specie, juxta Prophetam dicentem : « qui facit angelos suos spiritus, et ministros suos ignem ardentem [20]. » Et rursum : « Quis iste adveniens ex Edom [21]? » Edom enim sonat *terrenum*, aut *electum*, aut *rubrum*. Deinde subdit : « Rubedo vestimentorum ejus, ex vinea Bosor : ad quid tua rubra sunt vestimenta, et indumenta tua tanquam torcularis calcati [22]? » Quod indicat tinctam Christi stolam carnis in sanguine, in ejus immaculata cruce. Itemque quia etiam coccineam chlamydem gestavit in passione Christus, demonstrant pontifices, cujus pontificis sint satellites. Exutos autem zonis sacerdotes deambulare in casulis, id significat Christum in crucem abeuntem ita gestasse crucem suam. In supremis illis splendoribus intelligentium cœlestium ministrorum, prophetarum, et hierarcharum, sunt presbyteri XXIV et diaconi VII. Presbyteri, ad imitationem sunt Seraphicarum potestatum, stolis vice alarum contecti : duabus autem alis labiorum, hymnum illum voce cantantes, et tenentes divinum et spiritalem carbonem; Christum prehensione manus manifesto gestantes. Diaconi vero ad typum angelicarum potestatum, tenuibus tenuium oratorium alis, ut administratorii spiritus, in ministerium missi, præcurrunt. Ac primum tunica quæ alba est, divinitatis splendorem indicat, et sacerdotis splendidam conversationem. Lora tunicæ quæ sunt ad manum, significant vinculum Christi : vinctum enim eum abduxerunt ad Caipham pontificem et Pilatum. Lora quæ sunt transversa, sanguinem significant, qui fluxit ex latere Christi in cruce. Peritrachelion est fasciola qua producebatur a Pontifice vinctus, et tractus in anteriorem partem per collum Christus, ad patiendum ipse proficiscens. Epitrachelii dextra pars denotat arundinem quam dederunt, illudentes dextræ Christi. Læva pars, crucis est gestatio super humeris ejus. Zona quæ præcingitur declarat majestatem qua Christus regnans magnifica dignitate divinitatis præcinctus est, et undique ornatus. Casula denotat coccineam purpuram, quam Jesu illudentes, gestandam impii dederunt. Est etiam stola baptismi. Humerale est pontificis, ad exemplum stolæ Aaron, quam gestabant legales pontifices, sudariis longis lævo humero circumponentes ad significandum jugum mandatorum Christi. Humerale autem quo episcopus circumdatur, significat ovis pellem, quam errantem cum Domi-

[20] Psal. CIII, 4. [21] Isa. LXIII, 1. [22] ibid. 2.

Digitized by Google

nus invenisset, super suis humeris assumpsit, et cum iis quæ non erraverant recensuit. Habet autem et cruces, quia Christus super humero ipse quoque gestavit crucem suam. Præterea etiam qui volunt secundum Christum vivere, super humeris tollunt crucem suam, id est, afflictionem : symbolum enim afflictionis crux est. Monachalis habitus est ad imitationem cultoris, et quasi civis deserti, Baptistæ Joannis : quia indumentum ejus erat ex pilis cameli, et zona pellicea circum lumbos ejus. Radi vero toto capite, ad imitationem fit sancti apostoli Jacobi, Dei fratris, et Pauli apostoli, et reliquorum. Anabolæa autem, ea referunt anabolæa quæ gerebant vestimenta. Cucullæ, prout ait Apostolus : « Crucifixus est mihi mundus, et ego mundo [23]. » Mantile declarat tenui sua simplicitate, alatam et volantem conversationem, imitatione angelica, prout angelicus habitus dicitur. Linteum cum quo ministrant diaconi, designat Christi humilitatem quam demonstravit cum pedes suorum ablueret. Enchirium quod est in zona, linteum est quo manus extersit suas : et enchirium habere in zona, typum refert extergentis manus, et acclamantis : « Innocens ego sum [24]. »

ρῶν, ἥνπερ ἐφόρουν οἱ ἐν νόμῳ ἀρχιερεῖς, σουδαρίοις μακροῖς τὸν εὐώνυμον ὦμον περιτιθέντες, κατὰ τὸν ζυγὸν τῶν ἐντολῶν τοῦ Χριστοῦ. Τὸ δὲ ὠμοφόριον ὃ περιβέβληται ὁ ἐπίσκοπος, δηλοῖ τὴν τοῦ προβάτου δορὰν, ὅπερ πλανώμενον εὑρὼν ὁ Κύριος, ἐπὶ τῶν ὤμων αὐτοῦ ἀνέλαβε, καὶ σὺν τοῖς μὴ πεπλανημένοις ἠρίθμησεν. Ἔχει δὲ καὶ σταυροὺς, διὰ τὸ καὶ τὸν Χριστὸν ἐπὶ τοῦ ὤμου βαστάσαι τὸν σταυρὸν αὐτοῦ. Ἔτι δὲ καὶ οἱ θέλοντες κατὰ Χριστὸν ζῆν ἐπὶ τῶν ὤμων αἴρουσι τὸν σταυρὸν αὐτοῦ, ὅ ἐστιν ἡ κακοπάθεια · σύμβολον γὰρ κακοπαθείας ὁ σταυρός. Τὸ μοναχικὸν σχῆμά ἐστι κατὰ μίμησιν τοῦ Ἐρημοπολίτου καὶ Βαπτιστοῦ Ἰωάννου, ὅτι τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλου, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν αὐτοῦ. Τὸ δὲ κείρεσθαι τὴν κάραν ὁλοτελῶς, κατὰ μίμησιν τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Παύλου τοῦ ἀποστόλου καὶ τῶν λοιπῶν. Τὰ δὲ ἀναβόλαιά εἰσι κατὰ τὰ ἀναβόλαια, ἅπερ ἐφόρουν ἱμάτια. Τὰ δὲ κουκούλλια, κατὰ τὸν λέγοντα Ἀπόστολον · ὅτι « Ἐσταύρωταί μοι ὁ κόσμος, κἀγὼ τῷ κόσμῳ. » Τὸ δὲ μανδίον, ἐμφαῖνον διὰ τῆς ἀπολελυμένης ἁπλώσεως τὴν πτερωτικὴν τῆς τῶν ἀγγέλων μιμήσεως (7), καθότι ἀγγελικὸν σχῆμα λέγεται. Ἡ δὲ ὀθόνη μεθ' ἧς λειτουργοῦσιν οἱ διάκονοι, δηλοῖ τὴν τοῦ Χριστοῦ ταπείνωσιν, ἣν ἐνεδείξατο ἐν τῷ νιπτῆρι. Τὸ δὲ ἐγχείριον τὸ ἐπὶ τῆς ζώνης, ἐστὶ τὸ ἀπομάξαν τὰς χεῖρας αὐτοῦ λέντιον · καὶ πέφυκε τὸ ἐγχείριον ἔχειν, ἐπὶ τῆς ζώνης, ἀντίτυπον τοῦ ἀπομάξαντος τὰς χεῖρας, καὶ τοῦ « Ἀθῷός εἰμι » ἐπιφωνήσαντος.

Oblatio quæ fit in armario, denotat Calvariæ locum in quo crucifixus est Christus, in quo aiunt sitam esse calvariam primi parentis Adam : ostendit autem « fuisse monumentum prope locum ubi crucifixus est. » Præfiguratus est autem Calvariæ hic locus, in Abraham, quando super uno montium, Dei jussu, altare ex lapidibus construxit, et ligna stravit, imposuitque filium suum, et obtulit arietem pro eo in holocaustum; ita et Deus Pater, principio carens et Antiquus ille dierum, Filium suum principio carentem, postremis temporibus incarnatum ex Virgine Deipara ex lumbis Abraham, juxta promissionem jurisjurandi quod fecit cum eo; ita ut pro genere humano « non pepercerit Filio suo charissimo et unigenito, sed pro nobis omnibus tradiderit eum [25] : » ac passus est quidem homo in carne, sed impatibilis permansit in divinitate. Etenim Christus proficiscens ad crucem suam, gestavit crucem; et pro ariete immolatum est corpus ejus immaculatum, ut agnus mactatus, lancea per latus ejus transfixa : et Pontifex factus ut Filius hominis, et offerens seipsum, et oblatus ad subvehendos peccatores multos. Et mortuus quidem est ut homo, resurrexit vero ut Deus; ex quo supramundanam gloriam habuit apud Deum et Genitorem. Oblatio autem panis repræsentat corpus Domini affixum propter salutem nostram qui sumus fideles. Panis propositionis sanctificatus indicat purgationem mundi, et exi-

Ἡ προσκομιδὴ ἡ γενομένη ἐν τῷ σκευοφυλακίῳ, ἐμφαίνει τὸν Κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός · ἐν ᾧ λόγος, κεῖσθαι τὸ κρανίον τοῦ προπάτορος Ἀδάμ · δείκνυσι δὲ, ὅτι « Ἐγγὺς ἦν τὸ μνημεῖον ὅπου ἐσταυρώθη. » Προετυπώθη δὲ ὁ τοῦ Κρανίου τόπος οὗτος ἐν τῷ Ἀβραὰμ, ὅτε ἐφ' ἑνὶ τῶν ὀρέων τοῦ Θεοῦ κελεύσαντος, τὸ θυσιαστήριον ἐκ λίθων ἐποίησε, καὶ ἐπέβασε ξύλα, καὶ ἔθηκε τὸν υἱὸν αὐτοῦ, καὶ ἀνήνεγκε κριὸν ἀντ' αὐτοῦ εἰς ὁλοκάρπωσιν. Οὕτως ὁ Θεὸς καὶ Πατὴρ, ὁ ἄναρχος καὶ Παλαιὸς τῶν ἡμερῶν, τὸν ἀνάρχοντα Υἱὸν αὐτοῦ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ τῆς Παρθένου καὶ Θεοτόκου, ἐκ τῆς ὀσφύος Ἀβραὰμ κατ' ἐπαγγελίαν τοῦ ὅρκου οὗ ἔθηκε πρὸς αὐτόν. Ὥστε καὶ ὑπὲρ γένους ἀνθρώπου, « οὐκ ἐφείσατο τοῦ Υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ καὶ μονογενοῦς, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν · » καὶ ἔπαθε μὲν ὡς ἄνθρωπος ἐν τῇ σαρκὶ, ἀλλ' ἔμεινεν ἀπαθὴς ἐν τῇ θεότητι. Καὶ γὰρ ὁ Χριστὸς ἀπερχόμενος ἐν τῷ σταυρῷ αὐτοῦ, ἐβάσταζε τὸν σταυρόν · καὶ ἀντὶ κριοῦ ἐτύθη τὸ σῶμα αὐτοῦ τὸ ἄμωμον, ὡς ἀμνὸς σφαττόμενος τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ, καὶ Ἀρχιερεὺς γενόμενος, ὡς Υἱὸς ἀνθρώπου, καὶ προσφέρων ἑαυτὸν, καὶ προσφερόμενος εἰς τὸ ἀνενέγκαι ἁμαρτωλοὺς πολλούς. Καὶ τέθνηκε μὲν ὡς ἄνθρωπος, ἀνέστη δὲ ὡς Θεὸς, δι' ἣν εἶχεν ὑπερκόσμιον δόξαν παρὰ τῷ Θεῷ καὶ Γεννήτορι. Ἡ δὲ προσκομιδὴ τοῦ ἄρτου, πέφηνε τὸ σῶμα τοῦ Κυρίου, τὸ παγὲν διὰ τὴν σωτηρίαν ἡμῶν τῶν πιστῶν.

[23] Galat. VI, 14. [24] Matth. XXVII, 24. [25] Rom. VIII, 32.

(7) Deest aliquid.

Digitized by Google

Ὁ ἄρτος τῆς προθέσεως ὁ ἀποκαθιερούμενος, ἐμ- A φαίνει τὴν κάθαρσιν τοῦ κόσμου, καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ Θεοῦ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε, καὶ ἑαυτὸν προέθηκε θυσίαν καὶ προσφοράν, καὶ τὸ σῶμα αὐτοῦ ἀντίλυτρον ἐξίλασμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας· ἀναλαβὼν μὲν τὸ φύραμα ὅλον τῆς ἀνθρωπίνης φύσεως χωρὶς ἁμαρτίας, προσενεχθεὶς δὲ ὡς ἀπαρχὴ καὶ ἐξαίρετον ὁλοκάρπωμα τῷ Θεῷ καὶ Πατρὶ ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, ὡς λέγει· « Ἐγώ εἰμι ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· » καὶ, « Ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα. » Περὶ οὗ φησι καὶ ὁ προφήτης Ἱερεμίας· « Δεῦτε καὶ ἐμβάλλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, » δεικνὺς τὸ ξύλον τοῦ σταυροῦ, τὸ ἐν τῷ σώματι ἐμπαγέν. Ἡ δὲ λόγχη, ἀντὶ τῆς κεντησάσης τὴν πλευρὰν τοῦ Κυρίου. Τὸ δὲ ἐν τῇ λόγχῃ ἀποκαθαίρεσθαι, σημαίνει τὸ, « ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, » καὶ τὰ ἑξῆς. Ὁ δὲ δίσκος, ἡ κλίνη ἐστὶν, ἐν ᾗ τὸ σῶμα τοῦ Κυρίου ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου κατασκευάζεται· οἵτινές εἰσιν Ἰωσὴφ καὶ Νικόδημος. Ὁ δὲ οἶνος πέφηνε τὸ αἷμα, τὸ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ῥεῦσαν. Ἔστι δὲ καὶ ὁ μυστικὸς οἶνος, ὃν ἔδωκε τοῖς μαθηταῖς ἐν τῷ δείπνῳ. Τὸ δὲ ὕδωρ πέφηνε τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ Χριστοῦ, καὶ διὰ τὴν θερμότητα δηλοῖ τὴν ζέσιν τοῦ ἁγίου Πνεύματος· τὴν δὲ λευκότητα, τὴν ἀκίβδηλον πίστιν.

mias divitias bonitatis et clementiæ Dei, in eo quod Filius Dei homo factus est, et seipsum proposuit hostiam et oblationem : et corpus suum, redemptivam propitiationem pro mundi vita et salute, assumens totam massam humanæ naturæ absque peccato, oblatus autem, ut primitiæ et holocaustum selectum Deo et Patri pro genere humano : quemadmodum ait : « Ego sum panis qui de cœlo descendi : qui manducat hunc panem, vivet in æternum [26]. » De quo etiam ait propheta Jeremias : « Venite, et immittamus lignum in panem ejus [27]; » ostendens lignum crucis, in quo corpus ejus infixum. Lancea vice est ejus quæ latus Domini punxit. Lancea expurgari, significat illud, « tanquam ovis ad occisionem ductus est [28], » etc. Discus B lectica est in qua corpus Domini componitur a sacerdote et diacono, qui sunt Joseph et Nicodemus. Vinum autem declarat sanguinem ex latere Christi fluxum. Est autem et mysticum vinum, quod dedit discipulis in cœna. Aqua vero demonstrat eam quæ fluxit ex latere Christi : et per calorem, significat fervorem sancti Spiritus : per albedinem vero, sinceram fidem.

Οἶνος ὁμοῦ καὶ ὕδωρ, εἰσὶ τὸ ἐξελθὸν ἐκ τῆς πλευρᾶς αὐτοῦ αἷμα καὶ ὕδωρ, καθὼς ὁ προφήτης λέγει· « Ἄρτος αὐτῷ δοθήσεται φαγεῖν, καὶ ὕδωρ αὐτῷ ποτὸν πιστόν. » Ἀντὶ γὰρ τῆς λόγχης τῆς κεντησάσης τὸν Χριστὸν ἐν τῷ σταυρῷ ὑπὸ Λογγίνου, ἔστιν αὕτη ἡ λόγχη. Ὁ ἄρτος καὶ τὸ ποτήριον κυρίως καὶ ἀληθῶς, κατὰ μίμησιν τοῦ μυστικοῦ ἐκείνου δείπνου, ἐν ᾧ ὁ Χριστὸς ἔλαβεν ἄρτον καὶ οἶνον, καὶ εἶπε· « Λάβετε, φάγετε καὶ πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμα· » δεικνὺς, ὅτι κοινωνοὺς ἡμᾶς ἐποίησε τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς δόξης αὐτοῦ. Ἡ δὲ προσφορὰ, ἥ καὶ ἄρτος καὶ εὐλογία καὶ ἀπαρχὴ λεγομένη, ἐξ ἧς τὸ Κυριακὸν σῶμα διατέμνεται, εἰς τύπον τῆς Ἀειπαρθένου καὶ Θεοτόκου λαμβάνεται, ἥ τις κατ' εὐδοκίαν τοῦ Πατρὸς, καὶ θέλησιν τοῦ Υἱοῦ αὐτοῦ καὶ Λόγου, καὶ ἐπέλευσιν τοῦ θείου Πνεύματος, τὸν ἕνα τῆς ἁγίας Τριάδος, Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον εἰσδεξαμένη, τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον ἀπεκύησεν. Ὥσπερ δὲ πάλιν ὁ ὑπερούσιος Θεὸς, σάρκα ἐκ ταύτης προσλαβόμενος ἐν μιᾷ ὑποστάσει, τέλειος ἦν Θεὸς καὶ ἄνθρωπος, ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας· οὕτω καὶ τὸ Κυριακὸν σῶμα ὡς ἐκ τινος κοιλίας καὶ σαρκὸς τοῦ παρθενικοῦ σώματος (τοῦ ὅλου ἄρτου φημὶ, τῆς εὐλογίας καὶ τῆς προσφορᾶς) παρὰ τοῦ διακόνου, ὡς ἡ μεγάλη Ἐκκλησία παρέλαβε, διατέμνεται σιδήρῳ τινὶ ὄνπερ καὶ λόγχην λέγουσιν, εἰ καὶ μήπω ταύτης ἐστὶν ὁ καιρὸς, καὶ οὕτως ἰδιοϋποστάτως ἐκ μέσου ταύτης ἀφαιρεῖται. Ὁ μέντοι διάκονος ὁ τοῦτο ἐνεργῶν, ἑτοιμάσας σὺν αὐτῷ καὶ τὸ μέλλον ἐπιτελεῖσθαι Δεσποτικὸν αἷμα, ἐν τῷ προσήκοντι τοῦ πάθους καιρῷ, διὰ τῆς ζωοποιοῦ Πνεύ-

Vinum simul et aqua, sunt egressi ex latere ejus sanguis et aqua : quemadmodum ait propheta : « Panis ei dabitur ad cibum, et aqua ei ad potum C fidelem [29]. » Nam vice lanceæ quæ punxit Christum in cruce a Longino, est hæc lancea. Panis et poculum, proprie et vere, ad imitationem mysticæ illius cœnæ in quam Christus accepit panem et vinum, et dixit : « Accipite, manducate, et bibite ex eo omnes : hoc enim est corpus meum et sanguis [30] : » ostendens se nos participes fecisse mortis, et resurrectionis, et gloriæ suæ. Oblatio autem, quæ et panis, et benedictio, et primitiæ dicuntur, ex qua Dominicum corpus dissecatur : ad typum semper Virginis et Deiparæ sumitur, quæ secundum beneplacitum Patris, et voluntatem Filii sui et Verbi, et adventum divini Spiritus, unum sanctæ Trinitatis, Filium Dei et Verbum recipiens in se, perfectum D Deum et perfectum hominem peperit. Ut autem rursum supersubstantialis Deus, carne ex ea assumpta in una hypostasi, perfectus erat Deus et homo, similis nobis absque peccato : ita et Dominicum corpus, tanquam ex quodam utero et carne corporis virginalis (toto pane, inquam, benedictionis et oblationis) a diacono, ut magna Ecclesia a majoribus accepit, dissecatur ferro quodam quod et lanceam appellant, tametsi nondum tempus ejus est : et ita peculiari quadam hypostasi, ex medio ejus aufertur. Diaconus tamen qui id efficit, præparato cum eo qui conficiendus est Dominicus sanguis, in convenienti passionis tempore, per vivifici Spiritus adventum; dimittit ea in prothesi, orationem adjungente sacerdote. Ipse vero qui di-

[26] Joan. VI, 51-52. [27] Jerem. XI, 19. [28] Isa. LIII, 7. [29] Isa. XXXIII, 16. [30] Matth. XXVI, 26.

Digitized by Google

vinum corpus dividit, diaconus, a benedictione angelum imitatur, qui Virgini *Ave* annuntiavit. Nec mirandum, etiamsi sacerdotes id secent : nam ad consuetudinem magnæ Ecclesiæ respiciendum. Ita igitur dimittitur divinum corpus in prothesi, tanquam in Bethleem, ubi natus est Christus : « Cujus egressus ab initio, a diebus sæculi [31] ; » simulque etiam tanquam in Nazareth. Insuper quoque conversationis in Capernaum locum prothesis ipsa explet. Ideo enim in proœmiis prædiximus : unum eorum quæ nunc figurantur, duobus aut tribus eorum quæ tum fiebant, absolvi et referri. Et ut summatim dicam : annorum triginta tempus ante baptismum et conversationes prothesis explet.

A ματος ἐπιφοιτήσεως, ἀφίησι ταῦτα ἐν τῇ προθέσει τὴν εὐχὴν ἐπιλέγοντος τοῦ ἱερέως. Αὐτὸς δὲ ὁ τὸ θεῖον σῶμα διατέμνων διάκονος, ἀπὸ τῆς εὐλογίας τὸν ἄγγελον μιμεῖται, τὸν τῇ Παρθένῳ τὸ *Χαῖρε* προσφθεγγόμενον. Εἰ δὲ καὶ ἱερεῖς τοῦτο τέμνουσιν, οὐ θαυμαστόν· πρὸς γὰρ τὰ ἔθη τῆς μεγάλης Ἐκκλησίας ὁρᾶν χρή. Οὕτω τοιγαροῦν ἀφίεται τὸ θεῖον σῶμα ἐν τῇ προθέσει, ὥσπερ ἐν Βηθλεὲμ, ὅπου γεγέννηται ὁ Χριστός· « Οὗ αἱ ἔξοδοι ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. » Ὁμοῦ δὲ καὶ ὡς ἐν τῇ Ναζαρέτ. Πρὸς δὲ, καὶ τῆς ἐν Καπερναοὺμ διατριβῆς τὸν τόπον ἡ πρόθεσις ἐκπληροῖ. Τούτου γὰρ ἕνεκεν ἐν προοιμίοις προέφημεν, ὅτι τὸ ἓν τῶν νῦν τυπουμένων ἐπὶ δυσὶ καὶ τρισὶ τῶν τότε τελεῖται καὶ ἀναφέρεται, καὶ ἁπλῶς εἰπεῖν, τὸν τριακονταετῆ χρόνον τὸν πρὸ τοῦ βαπτίσματος καὶ τὰς διατριβὰς ἡ πρόθεσις ἐκπληροῖ.

Calix autem est loco vasis quod recepit effusum sanguinem puncti immaculati lateris, et manuum et pedum Christi unguenti defluxum. Cratera salutare poculum est, quod dedit discipulis suis in cœna. Poculum rursum est ad exemplum crateræ quam describit proprie ; sive Sapientia, sive Filius Dei, miscuit suum sanguinem loco vini illius, et apposuit in sancta sua mensa, dicens omnibus : « Bibite ex eo omnes » : pro vino illo misto in remissionem peccatorum et in vitam æternam. Crateras etiam interpreteris licet mammas Deiparæ ; salutare lætitiæ poculum, et tutelare ac conservatorium totius generis mortalium. Armarium, ubi præsentatio perficitur, pro Calvariæ loco est. Corporale, significat sindonem in qua involutum est Christi corpus cum e cruce descensum est, et in monumento collocatum. Et superius disci velamen indicat sindonem qua involverunt corpus Domini. Disci velamentum est pro sudario quod erat super facie, circumtegens illam in sepulcro. Velum sive aer, est et dicitur esse vice lapidis, quo munivit Joseph monumentum, quod obsignavit tabella custodiæ. Ecce cruci Christus est fixus, sepulta vita est, munitum est sepulcrum. Et statim thuribulum subindicat humanitatem Christi, ignis divinitatem et fragrans fumus indicat illum bonum odorem sancti Spiritus præcedentem. Nam thymiater est (si interpretari velis) *fragrantissima lætitia*. Incensum autem repræsentat aromata illa quæ offerebant sepeliendo Domino : et myrrha, et thus magorum, pura est precatio bonorum operum, ex quibus fragrantia procedit, ut ait Apostolus : « Christi bonus odor sumus [32]. »

B Τὸ δὲ ποτήριόν ἐστιν ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ ἐκχυθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου πλευρᾶς καὶ χειρῶν καὶ ποδῶν τοῦ Χριστοῦ τὸ ἀπομύρισμα. Ὁ δὲ κρατὴρ, τὸ ῥύσιον ποτήριον, ὅπερ δέδωκε τοῖς μαθηταῖς αὐτοῦ ἐν τῷ δείπνῳ. Ποτήριον δὲ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει κυρίως· ἤτοι ἡ Σοφία καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐκέρασε τὸ ἑαυτοῦ αἷμα, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προσέθηκεν ἐν τῇ ἁγίᾳ αὐτοῦ τραπέζῃ λέγων τοῖς πᾶσι· « Πίετε ἐξ αὐτοῦ πάντες. » Ἀντὶ τοῦ οἴνου τοῦ κεκερασμένου εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον. Κρατῆρες ἑρμηνεύονται καὶ οἱ μαζοὶ τῆς Θεοτόκου, ῥύσιον εὐφροσύνης ποτήριον, καὶ φυλακτήριον παντὸς γένους βροτείου. Τὸ δὲ σκευοφυλάκιον ὅπου ἡ προσκομιδὴ ἐπιτελεῖται, ἀντὶ τοῦ Κρανίου τόπου. Τὸ C εἰλητὸν, σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλήθη τὸ σῶμα τοῦ Χριστοῦ, ἐκ τοῦ σταυροῦ καταβὰν καὶ ἐν μνήματι τεθέν. Καὶ ἡ ἐπάνω κάλυψις τοῦ δίσκου, ἐμφαίνει τὴν σιδόνα, ᾗ εἵλιξαν τὸ σῶμα τοῦ Κυρίου Τὸ δὲ δισκοκάλυμμά ἐστιν ἀντὶ τοῦ σουδαρίου τοῦ ὄντος ἐπὶ τοῦ προσώπου περικαλύπτοντος αὐτὸ ἐν τῷ τάφῳ. Τὸ καταπέτασμα ἤτουν ὁ ἀὴρ ἐστι καὶ λέγεται, ἀντὶ τοῦ λίθου οὗ ἠσφαλίσατο τὸ μνημεῖον ὁ Ἰωσὴφ, ὅπερ ἐσφράγισεν ἡ πλὰξ τῆς κουστωδίας. Ἰδοὺ ἐσταύρωται ὁ Χριστὸς, τέθαπται ἡ ζωὴ, ἠσφαλίσθη ὁ τάφος. Καὶ εὐθέως ὁ θυμιατὴρ ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, τὸ πῦρ τὴν θεότητα· καὶ ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου Πνεύματος προπορευομένην. Ὁ γὰρ θυμιατὴρ, ἑρμηνεύεται *εὐωδεστάτη εὐφροσύνη*. Τὸ δὲ θυμίαμα D πέφυκεν, ἀντὶ τῶν ἀρωμάτων, ἃ προσέφερον εἰς τὸν ἐνταφιασμὸν τοῦ Κυρίου· καὶ ἡ σμύρνα, καὶ ὁ λίβανος τῶν μάγων, ἡ καθαρὰ προσευχὴ τῶν ἀγαθῶν ἔργων, ἐξ ὧν ἡ εὐωδία ἔρχεται, καθὼς φησιν ὁ Ἀπόστολος· « Χριστοῦ εὐωδία ἐσμέν. »

Agnoscite igitur, omnes sacerdotes qui sacro altari assidetis, et incruentam victimam sacrificatis, quod vivas passiones Christi annuntietis. Conceditur itaque tempus a pontifice sacerdoti inchoaturo divinam mystagogiam : id autem tempus repræsentat prædictum tempus voce prophetæ Isaiæ,

Γνῶτε οὖν πάντες οἱ ἱερεῖς, οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ προσεδρεύοντες, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦντες, ὅτι τὰ ζωηρὰ πάθη Χριστοῦ καταγγέλλομεν. Δίδοται τοίνυν καιρὸς παρὰ τοῦ ἀρχιερέως τῷ ἱερεῖ τῷ μέλλοντι ἄρχεσθαι τῆς θείας μυσταγωγίας. Οὗτος δὲ ὁ καιρὸς σχηματίζει τὸν παρὰ τοῦ

[31] Mich. v, 2. [32] II Cor. II, 15.

Digitized by Google

προφήτου Ἡσαΐου προαναφωνηθέντα καιρὸν τῆς τοῦ Προδρόμου Ἰωάννου γεννήσεως, καὶ τῆς Χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας. Ὁ δέ γε ἱερεὺς, ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιούμενος, εἰκόνα φέρει τοῦ Προδρόμου Ἰωάννου καὶ Βαπτιστοῦ προκαταρξαμένου τοῦ κηρύγματος, καὶ λέγοντος· « Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· » καὶ βαπτίζοντος πάντας τοὺς προσερχομένους. Οἱ διάκονοί εἰσιν οἱ ποιμένες· οἱ ἱερεῖς εἰσιν οἱ ἄγγελοι. Ὁ διάκονος· « Εὐλόγητον, δέσποτα. » Ὁ ἱερεύς· « Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Οὕτω τὴν πρώτην ἔχει τάξιν τῶν πρὸς τὸν Θεὸν ἐντεύξεων ἡ δοξολογία. Διὰ τοῦτο ποδὸ πάσης εὐχῆς καὶ ἱερολογίας, ὁ ἱερεὺς δοξολογεῖ τὸν Θεόν. Τί οὖν τὸ τρισσὸν ἐπιφημίζει τοῦ Θεοῦ, καὶ οὐ τὸ ἑνιαῖον; Οὐ γὰρ, *εὐλογητὸς Θεὸς*, ἦ, *Εὐλογημένη ἡ τοῦ Θεοῦ βασιλεία*· ἀλλὰ τοῖς προσώποις διῃρημένος, « Εὐλογημένη ἡ βασιλεία, φησὶ, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· » ὅτι διὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου πρώτης, ἐμαθον οἱ ἄνθρωποι, ὡς εἴη τρία πρόσωπα ὁ Θεός. Ταύτῃ δὲ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, μυσταγωγία ἐστὶ τὰ τελούμενα· ὅθεν ἐν τοῖς προοιμίοις αὐτῶν ἔδει προλάμπειν καὶ κηρύττεσθαι τὴν Τριάδα. Καὶ ὑπὸ τῶν ἄνω Δυνάμεων δοξάζεται ὁ Θεὸς τρισὶν ἁγιασμοῖς, καὶ ὑπὸ ἀνθρώπων ἡ βασιλεία τοῦ Χριστοῦ εὐλογεῖται, ὃς δυνάμει θεότητος αὐτοῦ τὸν ᾅδην ἐσκύλευσε, καὶ ἡμᾶς ἠλευθέρωσε. Τὸ δὲ, Ἀμὴν, *ἀληθῶς*, ἢ *γένοιτο*. Διὰ δὲ τὸ, « Εἰς αἰῶνας τῶν αἰώνων, » τὸν καπνὸν τῆς πόλεως Βαβυλῶνος ἀναβαίνειν δηλοῦται, ὅτι τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς Βαβυλῶνος ἐξεζήτησε, καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ κολάσεως εὐηργέτησεν, ἐκκοπὴν τῆς ἁμαρτίας ἐργασάμενος. Ὁ διάκονος· « Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. » Μετὰ δὲ τὴν δοξολογίαν, τὴν αἴτησιν λέγει· τὸ γὰρ « τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν. » Καὶ ἵνα μὴ βαττολογῶμεν, διδάσκει ἡμᾶς ἃ δεῖ περὶ τῆς εὐχῆς, ὅτι ἐν εἰρήνῃ εὔχεσθαι δεῖ· οὔτ' ἐξομολογησαμένους πρότερον, οὔτ' εὐχαριστήσαντας τῷ Θεῷ, ὅτι ἐν τῷ εἰπεῖν τὴν *εἰρήνην* κἀκεῖνα περιέλαβεν, εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν. Νῦν διδάσκει, πρῶτον δεῖν αἰτεῖσθαι τὴν ἄνωθεν εἰρήνην καὶ τὴν τῶν ψυχῶν σωτηρίαν. Οὕτω γὰρ ὁ Χριστὸς ἐκέλευσεν αἰτεῖσθαι. Μετὰ δὲ ἠρέμου νοὸς τὰς εὐχὰς ἡμῶν ἀποδῶμεν. « Τῆς παναγίας, ἀχράντου, » καὶ τὰ ἑξῆς. Τὰς πράξεις πάντων τῶν ἁγίων μιμηθέντες, ἕτερος τὸν ἕτερον, καὶ τὴν ζωὴν ἡμῶν ἅπασαν σὺν τοῖς καλοῖς ἡμῶν ἔργοις τῷ Θεῷ παραδώσωμεν.

Τὰ ἀντίφωνά εἰσι τῶν προφητῶν αἱ προρρήσεις, προκαταγγέλλουσαι τὴν παρουσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὴν ἐκ Παρθένου ἐπὶ γῆς, καὶ βοῶσαι· « Ὁ Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη, καὶ εὐπρέπειαν ἐνεδύσατο· » ἤγουν τὴν σάρκωσιν αὐτοῦ δηλοῦσαι, ἣν ἡμεῖς ὑποδεξάμενοι καὶ μαθόντες διὰ τῶν ὑπηρετῶν καὶ αὐτοπτῶν τοῦ Λόγου γενομένων τῶν ἀποστόλων λέγομεν. Χρὴ δὲ εἰδέναι, ὅτι ἐν ἀρχῇ πάσης τελετῆς ὀρθρινῆς τε καὶ λυχνικῆς πρῶτον τῆς Παλαιᾶς ᾄδονται οἱ ψαλμοὶ, εἶτα τὰ τῆς νέας χάριτος ᾄσματα, ὡς προηγησαμένης τῆς Παλαιᾶς Διαθήκης, ἧς

A quando nasciturus esset Præcursor Joannes, et ad nos Christus peregrinaturus. Sacerdos autem initium divinæ liturgiæ faciens, imaginem refert Joannis Præcursoris et Baptistæ, prædicationem inchoantis et inquientis : « Pœnitentiam agite, prope enim est regnum cœlorum [32], » et baptizantis omnes accedentes. Diaconi, sunt pastores ; sacerdotes, angeli. Diaconus : « Benedic, domine. » Sacerdos : « Benedictum regnum Patris, et Filii, et Spiritus sancti. » Ita primum ordinem habet orationem ad Deum, quæ doxologia dicitur. Itaque ante omnem orationem et sacram commemorationem, sacerdos gloriam Dei celebrat. Quid igitur ter Dei nomen nuncupat, non semel duntaxat ? non enim, *Benedictus Deus* : aut, *Benedictum Dei regnum* : sed per

B sonis distinctis : « Benedictum regnum (inquit) Patris, et Filii, et sancti Spiritus : » quia per incarnationem Domini, primum didicerunt homines tres esse personas. Hujus autem incarnationis Domini mystagogia sunt, quæ hic peraguntur ; unde in proœmiis eorum oportebat prælucere et prædicari Trinitatem. Et a superioribus illis Potestatibus glorificatur Deus, tribus sanctificationibus ; et ab hominibus regnum Christi benedicitur, qui vi et potentia divinitatis suæ inferos spoliavit, et nos liberavit. Amen, *vere*, aut, *fiat*. His autem verbis : « In sæcula sæculorum, » fumum civitatis Babylonis ascendere significatur ; quod sanguinem servorum suorum de manu Babylonis requisivit. et ejus habitatores puniendo, beneficiis affecit, excisione peccati peracta. Diaconus : « In pace Dominum precemur. » Post doxologiam autem petitionem memorat, nam « quid oremus ut oportet, nescimus. » Et ne multiloqui simus, docet nos quæ de oratione sentienda sunt ; in pace scilicet orandum esse, neque prius professis, neque gratiis Deo actis. Quia cum dixit *pacem*, illa quoque complexus est, si quis accurate considerare velit. « Pro superna pace ; » nunc docet primum petendam cœlitus pacem et animarum salutem. Ita enim nos Christus petere jussit. Tranquilla mente preces nostras exhibeamus. « Sanctissimæ, immaculatæ, » etc. Actorum omnium sanctorum memores : alter alterum et vitam nostram omnem, cum bonis nostris operibus Deo commendemus.

Antiphona, sunt prophetarum prædictiones præ-nuntiantes adventum Filii Dei ex Virgine super terram, et clamantes : « Deus noster super terram visus est, et decorem induit : » id est, incarnationem ejus manifestantes, quam nos suscepisse et didicisse per ministros et oculatos testes Verbi apostolos, profitemur. Sciendum autem est, initio omnis officii matutini et vespertini, primum Veteris Testamenti cantari psalmos, deinde novæ gratiæ cantica, veteri nimirum præcedente, cujus legislator hic natus extremis diebus oracula fudit, ut om-

[32] Matth. III, 2.

Digitized by Google

nes intelligunt unum et eumdem Deum ac Dominum esse, qui has et illas leges sancivit Christus.

Antiphonum 1 : « Bonum est confiteri Domino. » Opera nostri cordis enarrare Domino bonum est. « Et psallere nomini tuo, Altissime. » Cantando dicere, quos tibi hymnos offerimus, oportet. « Ad annuntiandum mane misericordiam tuam, et veritatem tuam per noctem. » Ut manifesto narremus quomodo misericordiam consecuti sumus, et contra omne peccatum opponamus veritatem tuorum factorum. « Quia rectus Dominus Deus noster. » Quoniam verax est Dominus Deus noster. « Et non est iniquitas in eo. » Et nullum mendacium aut falsitas apud Deum. « Etiam atque etiam in pace Dominum deprecemur. » Iterumque atque iterum intenta et quieta mente Dominum deprecemur. Cum voce pronuntiando : « Quia tua est potentia, et tuum regnum, et potestas, et gloria, Patris, et Filii, et Spiritus sancti, nunc et semper, et in sæcula sæculorum. Amen. » Quia tua est dominatio et regnum omnium visibilium et invisibilium : propterea nos qui super terram sumus, gratiarum actionem omnes et gloriam indesinenter tibi referimus, nunc et semper, et in sæcula sæculorum. Amen, est, *vere*, aut, *fiat*.

Antiphonum 2 : « Dominus regnavit, decorem indutus est. » Dominus regnavit in cœlis, et fidelem populum sibi vindicavit proprio sanguine suo, et egressus est ad debellandum diabolum. « Etenim firmavit orbem terræ qui non commovebitur. » Firmavit orbem terrarum, Ecclesiam, in fide sua, et portæ inferorum non prævalebunt ei. « Testimonia tua confirmata sunt vehementer : domum tuam decet sanctitudo, Domine. » Ea quæ tu passus es credita sunt in mundo, populum tuum decet gratia tua in æterna sæcula. Conjunctum autem est extremo primi antiphoni hoc : « Intercessionibus Deiparæ serva nos : » cujus rei gratia? nisi ad confirmanda omnino quæ prius dicta sunt de typo semper Virginis, quod ejus ipsa dux est ministerii et veræ dispensationis. Secundi vero ephymnium : « Intercessionibus sanctorum tuorum ; » quoniam enim pro salute animarum et venia lapsuum divinam celebramus mystagogiam, merito tanquam superiorem Dei Matrem omnibus sanctis, aut etiam ipsis supercœlestibus Potestatibus, in supplicatione primam appellamus, deinde eos qui complacuerunt ejus Filio. Troparium autem quod ad finem antiphoni secundi dicitur, quod est : « Unigenitus Filius et Verbum Dei, » etc., opus est Joseph et Nicodemi. Tollentes enim Dominum ut sepelirent eum, eo sunt initiati a venerando et vivifico corpore Domini, et divinitate in eo inseparabili. Nonnulli aiunt idem troparium enuntiatum fuisse a divina sorte rege Justiniano, quod valde etiam symbolis Christi nativitatis quadrat. Is enim (inquit) natus unigenitus Filius, et Sermo Patris initio carentis

A νομοθέτης οὗτος ὁ γεννηθεὶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐχρημάτισεν, ἵν' ἔχωσιν εἰδέναι πάντες, ὡς εἷς καὶ ὁ αὐτὸς Θεὸς καὶ Δεσπότης, ὁ ταῦτα κἀκεῖνα νομοθετήσας Χριστός.

Ἀντίφωνον α'. « Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. » Τὰ κατὰ τὴν καρδίαν ἡμῶν ἔργα, διηγήσασθαι τῷ Κυρίῳ ἀγαθόν ἐστι. « Καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. » Ἐν μέλει εἰπεῖν οὓς σοι προσφέρομεν ὕμνους δεῖ. « Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. » Τοῦ διηγήσασθαι φανερῶς, τό, πῶς ἠλεήθημεν, καὶ κατὰ πάσης ἁμαρτίας προσφέρειν τὴν ἀλήθειαν τῶν πραγμάτων σου. « Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν. » Ἐπειδὴ ἀληθὴς Κύριος ὁ Θεὸς ἡμῶν. « Καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. » Καὶ οὐδὲν ψευδὲς παρὰ τῷ B Θεῷ. « Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. » Ἀκμὴν καὶ ἀκμὴν μετὰ ἠρέμου νοὸς τοῦ Κυρίου δεηθῶμεν. Ἐκφώνως· « Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. » Ὅτι σοῦ ἐστιν ἡ κυρία καὶ ἡ βασιλεία πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ διὰ τοῦτο ἡμεῖς οἱ ἐπὶ γῆς τὴν εὐχαριστίαν ἅπαντες καὶ δόξαν ἀδιαλειπτως σοι ἀναπέμπομεν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν, ἔστιν, *ἀληθῶς*, ἦ, *γένοιτο*.

Ἀντίφωνον β'. « Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. » Ὁ Κύριος ἐβασίλευσεν ἐπὶ τοὺς οὐρανοὺς, καὶ τὸν πιστὸν λαὸν περιεποιήσατο διὰ τοῦ C ἰδίου αἵματος αὐτοῦ καὶ ἐξῆλθεν εἰς πόλεμον κατὰ τοῦ διαβόλου. « Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται. » Ἐστερέωσε τὴν οἰκουμένην τὴν Ἐκκλησίαν ἐν τῇ πίστει αὐτοῦ, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. « Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε. » Τὰ παθήματά σου ἐπιστεύθησαν εἰς τὸν κόσμον· τῷ λαῷ σου πρέπει ἡ χάρις σου εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Συντέτακται δὲ τῷ τέλει τοῦ πρώτου ἀντιφώνου τό, « Ταῖς πρεσβείαις τῆς Θεοτόκου σῶσον ἡμᾶς. » Τίνος χάριν; ἢ πάντως βεβαιοῦν τὰ πρότερον εἰρημένα, περὶ τοῦ τύπου τῆς Ἀειπαρθένου, ὡς τῆς αὐτῆς αὐτὴ προηγεῖται διακονίας, καὶ ἀληθοῦς οἰκονομίας. Τοῦ δευτέρου δὲ τὸ D ἐφύμνιον. « Ταῖς πρεσβείαις τῶν ἁγίων σου. » Ἐπεὶ γὰρ ὑπὲρ σωτηρίας ψυχῶν καὶ συγχωρήσεως πταισμάτων τὴν θείαν τελοῦμεν μυσταγωγίαν, εἰκότως, ὡς ὑπερτέραν οὖσαν τὴν Θεομήτορα πάντων τῶν ἁγίων, ἢ καὶ αὐτῶν τῶν ἐπουρανίων Δυνάμεων, εἰς ἱκεσίαν προκαλούμεθα· εἶτα τοὺς, εὐαρεστήσαντας τῷ ταύτης Υἱῷ. Τὸ δὲ τροπάριον, ὃ κατὰ τὸ τέλος τοῦ δευτέρου ἀντιφώνου, λέγεται, τὸ, « Ὁ Μονογενὴς καὶ Λόγος τοῦ Θεοῦ, » καὶ τὰ ἑξῆς, ποίημά ἐστιν Ἰωσὴφ καὶ Νικοδήμου. Ἀπαίροντες γὰρ τὸν Κύριον πρὸς τὸ ἐνταφιάσαι αὐτὸν, ἐμυήθησαν αὐτὸ, ἀπὸ τοῦ τιμίου καὶ ζωοποιοῦ σώματος Κυρίου, καὶ τῆς ἐν αὐτῷ ἀχωρίστου θεότητος. Ἔνιοι δὲ λέγουσιον, ὅτι τὸ αὐτὸ τροπάριν ἐκπεφώνηται παρὰ τοῦ τῆς θείας λήξεως βασιλέως Ἰου-

Digitized by Google

στινιανοῦ, σφόδρα καὶ αὐτὸ τοῖς συμβόλοις τῆς Χριστοῦ γεννήσεως ἐφαρμόζον. Οὗτος γὰρ, φησὶν, ὁ γεννηθεὶς, ὁ μονογενὴς Υἱὸς καὶ Λόγος προανάρχου Πατρὸς ὑπάρχων, καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου, ἀτρέπτου μεινάσης τῆς θεότητος καὶ ἀσυγχύτου, εἷς ἐστι τῆς ἁγίας Τριάδος, ἐνανθρωπήσας καὶ σταυρωθῆναι καταδεξάμενος, ὁ καὶ ἐν Τρισαγίῳ ὕμνῳ συνδοξαζόμενος ὑπὸ τῶν νοερῶν καὶ οὐρανίων Δυνάμεων. Ἀνεκφοιτήτως γὰρ καὶ ἀχωρίστως τῶν πατρικῶν κόλπων καταβὰς σεσάρκωται. Αὐτὸς οὖν ἐστι ὁ σώζων ἡμᾶς. Ὁ διάκονος· « Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. » Ὁ ἱερεὺς ἐκφώνως· « Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν. » Ἀγαθὸς Θεὸς, λέγομεν, καὶ φιλάνθρωπος εἶ, ὅτι τὸν Υἱόν σου εἰς τὸν κόσμον ἱλασμὸν ἀπέστειλας. Διὰ τοῦτο τὴν δόξαν καὶ εὐχαριστίαν σοι ἀναπέμπομεν, ὅ ἐστι, προσάγομεν νῦν καὶ πάντοτε εἰς τοὺς αἰῶνας.

A cum sit, recepta propter nostram salutem incarnatione ex sacra Deipara, immutabili manente divinitate et inconfusa, unus est de sancta Trinitate, homo factus et lubens crucifixus, qui et in sancto illo hymno conglorificatur a spiritalibus et cœlestibus Potestatibus. Nam nulla facta egressione aut separatione a paternis finibus, descendens incarnatus est : ipse est qui servat nos. Diaconus : « Etiam atque etiam in pace. » Sacerdos, elata voce : « Quia bonus et hominum amans Deus es, et tibi gloriam referimus, Patri, et Filio, et Spiritui sancto, nunc. » Bonus et hominum amans es, dicimus, quia Filium tuum in mundum, propitiationem misisti. Propterea gloriam et gratiarum actionem tibi referimus, id est, offerimus, nunc et semper, et in sæcula.

B

Ἀντίφωνον γ'· « Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ. » Δεῦτε, ἐμπλησθῶμεν πάσης χαρᾶς ἐν Κυρίῳ· « Ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. » Δεηθῶμεν μετὰ δακρύων τῷ Θεῷ ἡμῶν Ἰησοῦ· « Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. » Καὶ πρὸ τῆς παρουσίας αὐτοῦ δεηθῶμεν αὐτῷ, καὶ ψάλλοντες ἱκετεύσωμεν αὐτόν· « Ὅτι Θεὸς μέγας Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. » Μέγας Θεός ἐστιν Ἰησοῦς Χριστὸς, καθὼς ὁ Ἀπόστολος λέγει, ἐν τῷ εἰπεῖν· « Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, » καὶ ἐπὶ πάντα τὰ ἔθνη ἐβασίλευσε, καὶ βασιλεύσει διὰ τῆς πίστεως αὐτοῦ, « Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ· ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ. » Ὁ πιστὸς λαὸς δηλονότι καὶ οἱ λοιποὶ τῶν προφητῶν. « Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν. » Ὅτι αὐτοῦ ἐστιν πᾶν τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ αὐτὸς τὸ πρότερον ἐδημιούργησεν αὐτούς· καὶ πάλιν ἐν τῷ βαπτίσματι αὐτοῦ ἀνεκαίνισεν αὐτούς. « Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. » Καὶ τὴν καρδίαν πάντων τῶν ἀνθρώπων ἔκτισε τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ, ἐν τῷ λουτρῷ τῆς ἀφθαρσίας.

Antiphonum 3 : « Venite, exsultemus Domino. » Agitedum impleamur omni gaudio in Domino : « Jubilemus Deo salutari nostro. » Deprecemur cum lacrymis Deum nostrum Jesum. « Præoccupemus faciem ejus in confessione, et in psalmis jubilemus ei. » Et ante adventum ejus, cum deprecemur, et psallentes supplicemus ei : « Quoniam Deus magnus Dominus, et Rex magnus super omnem terram. » Magnus Deus est Jesus Christus, quemadmodum Apostolus inquit, cum ait : « Magni Dei et Salvatoris nostri Jesu Christi, qui dedit semetipsum pro nobis [33a] ; » et in omnes gentes regnavit, et regnabit per fidem suam. « Quia non repellet Dominus plebem suam, quia in manu ejus omnes fines terræ, et C altitudines montium ejus. » Fidelis populus scilicet, et reliqui prophetæ. « Quoniam ipsius est mare, et ipse fecit illud. » Quoniam ipsius est omnis multitudo hominum : et ipse prius fabricavit eos, et rursum in baptismate suo renovavit eos. « Et aridam manus ejus formarunt. » Et cor omnium hominum creavit Spiritus sanctus ejus, in lavacro incorruptibilitatis.

Ἡ Εἴσοδος τοῦ Εὐαγγελίου ἐμφαίνει τὴν παρουσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ τὴν εἴσοδον τὴν εἰς τὸν κόσμον τοῦτον, ὡς λέγει ὁ Ἀπόστολος· « Ὅταν εἰσαγάγῃ (ἤγουν ὁ Θεὸς καὶ Πατὴρ) τὸν Πρωτότοκον (τὸν Μονογενῆ αὐτοῦ) εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι αὐτοῦ. » Ἔπειτα δεικνύντος καὶ τοῦ ἀρχιερέως διὰ τῆς στολῆς αὐτοῦ τὴν τῆς σαρκὸς τοῦ Χριστοῦ στολὴν, τὴν ἐρυθρὰν καὶ αἱματώδη, ἣν ἐφόρεσεν ὁ ἄῦλος καὶ Θεὸς, ὡς πορφύραν βαφεῖσαν ἐξ ἀχράντων αἱμάτων τῆς Θεοτόκου· καὶ ἀνέλαβε τὸ πλανηθὲν πρόβατον ἐπὶ τῶν ὤμων αὐτοῦ, τὸ ἀρχαῖον κώδιον τοῦ Ἀδαμιαίου φυράματος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ποιμαίνων τὸν Ἰσραὴλ ἐν τῇ ῥάβδῳ τοῦ σταυροῦ αὐτοῦ, ἐν σπαργάνοις μὲν εἰληθεὶς καὶ τεθεὶς, οὐκ ἐν φάτνῃ μὲν τῶν ἀλόγων, ἀλλ' ἐν τραπέζῃ λογικῇ ἀνθρώπων·

Introitus Evangelii adventum indicat Filii Dei, et ingressum ejus in hunc mundum, ut ait Apostolus : « Cum induxit (nimirum Deus et Pater) Primogenitum (et Unigenitum) suum in orbem terrarum, ait : Et adorent eum omnes angeli ejus [34]. » Deinde ostendente etiam Pontifice per stolam suam, carnis Christi stolam rubram et sanguineam, quam gestavit immaterialis ille et Deus, ut purpuram tinctam ex immaculato sanguine Deiparæ : et quod assumpsit errabundam ovem super humeros suos, et pellem Adamææ massæ, pastor ille bonus pascens Israel in virga crucis suæ, in fasciis involutus, et positus non in præsepi brutorum, sed in mensa rationali hominum, quem in nativitate sua celebrarunt hymnis angelorum exercitus dicentes : « Gloria in excelsis Deo, et in terra pax, in hominibus

D

[33a] Tit. II, 13. [34] Hebr. I, 6.

Digitized by Google

bona voluntas [35]. » Et : « Universa terra adoret te, et psallat tibi [36]. » Ac omnibus subaudientibus ait : « Venite, adoremus et procidamus ei : serva nos, Fili Dei. » Primum ei flectamus genu ut obnoxii, et tunc veniam ab eo petamus eorum quæ ipsi debemus, et prædicemus ejus adventum patefactum nobis in gratia Domini nostri Jesu Christi.

ὃν ἐν τῇ γεννήσει αὐτοῦ ὕμνησαν ἀγγέλων στρατιαὶ, λέγουσαι· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· » Καὶ, « Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλάτωσάν σοι. » Καὶ πάντων καθυπακουόντων, λέγει· « Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ· σῶσον ἡμᾶς Υἱὲ Θεοῦ. » Πρῶτον αὐτῷ κλίνωμεν γόνυ, ὡς ὑπεύθυνοι ὄντες, καὶ τότε συγχώρησιν αὐτῷ αἰτήσωμεν, οὗ ὀφείλομεν αὐτῷ, καὶ κηρύττωμεν αὐτοῦ τὴν παρουσίαν, φανερωθεῖσαν ἡμῖν ἐν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Aliter de Introitu. Censeo enim ostensionem in Jordane et patefactionem Christi et Dei nostri, ingressu pontificis obscure designari. Nam eatenus, etiamsi aderat pontifex, at nondum manifestus et notus, neque in medio stabat, et supernaturalia et eximia mysteria celebrabat, sed tempus opportunum nactus sacerdos, quasi præcursor pœnitentiæ baptisma conficiebat : qui cernens pontificem ingredientem, loco migrat, tantum non illud ipsum tacitum secum ratiocinans, quod et Joannes dixit : « Hunc oportet crescere, me autem diminui [37] : » ac statim cedit pontifici, ut majora mysteria perficiat : qui et ait : « Quoniam sanctus es, Deus noster. » Ter ille sanctus hymnus, ita quidem est, quemadmodum illic quidem angeli dixerunt : « Quam magnificata sunt opera tua, Domine! » Et : « Gloria in excelsis Deo. » Hic vero ut Magi dona Christo offerentes, fidem, spem et charitatem, quasi aurum, thus et myrrham ; incorporeorum canticum vociferantes fideliter et dicentes : « Sanctus Deus ; » Deus, inquam, Pater. « Sanctus fortis, » Filius et Sermo, quod fortem illum nostrum adversarium diabolum vicit, et irritam ejus fecit potentiam, per crucem : qui potestatem habet mortis, ac vitam et robur et potestatem nobis dedit calcandi super eum. « Sanctus immortalis, » Spiritus sanctus, vivificus, per quem omnis creatura vivificatur, et in statu permanet, ac clamat inquiens, « Miserere nostri. » Consolator ille Spiritus sanctus et veritatis, qui sacrificium consummat, et semper adjuvat filios Ecclesiæ, et miseretur, et per baptismum immortalitate donat. Aliter : « Sanctus Deus, » id est, Pater, qui est, et fuit, et erit, qui olim Mosi oraculum fudit, inquiens : « Ego sum ille qui sum [38], » qui volo vitulum mactare propter vos. « Sanctus fortis : » Filius et Sermo Dei, qui « erat in principio apud Deum, per quem omnia facta sunt [39], » et vitulus ille qui semper, volens ipse, mactatur, et semper vivit. Per ista autem : « Erat in principio apud Deum, per quem omnia facta sunt : » simulque, « Vitulus qui semper mactatur volens, et semper vivit et permanet, » immortalitatem significat ejus qui in se complectitur omnium eorum quæ sunt, et initium, et media, et postrema. Aliter : « Sanctus fortis, » Filius et Sermo Dei : fortis quidem, quasi fortitudo Dei, sapientia et potestas, prout ait Apostolus [40], Filius et Sermo Dei, *fortis* et potens, et vivens, efficaxque et « magis secans quam gladius

Ἄλλως περὶ τῆς Εἰσόδου. Δοκῶ μὲν γὰρ τὴν ἐπὶ τοῦ Ἰορδάνου ἀνάδειξιν καὶ φανέρωσιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τὴν τοῦ ἀρχιερέως εἴσοδον ὑπαινίττεσθαι. Μέχρι γὰρ ταύτης, εἰ καὶ ἦν ὁ ἀρχιερεὺς, ἀλλ' οὐχὶ πᾶσι δῆλος καὶ γνώριμος, οὐδὲ εἰς μέσον ἑστὼς, καὶ τὰ ὑπερφυῆ καὶ ἐξαίσια τελῶν· ἀλλ' τὸν καιρὸν λαβὼν ἱερεὺς, ὡς πρόδρομος ἐνήργει τὸ διὰ μετανοίας βάπτισμα. Ὃς εἰσελθόντα ἰδὼν τὸν ἀρχιερέα, μεθίσταται, μονονουχὶ τοῦτ' ἐκεῖνο ἠρέμα πρὸς ἑαυτὸν διαλεγόμενος, ὅπερ ἔφησε καὶ ὁ Ἰωάννης· « Τοῦτον δεῖ αὐξάνεσθαι, ἐμὲ δὲ ἐλαττοῦσθαι. » Καὶ εὐθὺς παραχωρεῖ τῷ ἀρχιερεῖ τὰ μείζονα τελεσιουργεῖν· ὃς καὶ λέγει· « Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. » Ὁ Τρισάγιος ὕμνος, ἔστι μὲν οὕτως, ὡς ἐκεῖ μὲν οἱ ἄγγελοι εἶπον· « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! » Καὶ, « Δόξα ἐν ὑψίστοις Θεῷ. » Ἐνταῦθα δὲ ὡς οἱ Μάγοι τὰ δῶρα προσφέροντες τῷ Χριστῷ, πίστιν, ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῶν ἀσωμάτων τὸ ᾆσμα βοῶντες πιστῶς, καὶ λέγοντες· « Ἅγιος ὁ Θεός· » ὁ Θεὸς, ἤτοι ὁ Πατήρ· « Ἅγιος ἰσχυρός· » ὁ Υἱὸς καὶ Λόγος, διότι τὸν καθ' ἡμῶν ἰσχυρὸν διάβολον δεσμεύσας, κατήργησε διὰ τοῦ σταυροῦ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ τὴν ζωὴν καὶ τὴν ἰσχὺν καὶ τὴν ἐξουσίαν ἡμῖν ἔδωκε τοῦ πατεῖν ἐπάνω αὐτοῦ. « Ἅγιος ἀθάνατος· » τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιὸν, δι' οὗ πᾶσα ἡ κτίσις ζωοποιεῖται, καὶ διαμένει, καὶ βοᾷ λέγουσα· « Ἐλέησον ἡμᾶς. » Ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον καὶ τῆς ἀληθείας, ὁ τὴν θυσίαν τελεσιουργῶν, καὶ ἀεὶ ἐπιφοιτῶν τοῖς τέκνοις τῆς Ἐκκλησίας, καὶ ἐλεεῖ καὶ ἀθανατοῖ διὰ τοῦ βαπτίσματος. Ἄλλως· « Ἅγιος ὁ Θεὸς, » ἤτοι ὁ Πατὴρ, ὁ ὤν, καὶ ἦν, καὶ ἐρχόμενος· ὁ χρηματίσας πάλαι τῷ Μωσῇ λέγων· « Ἐγώ εἰμι ὁ ὤν, » ὁ θελήσας τὸν μόσχον θῦσαι δι' ὑμᾶς. « Ἅγιος ἰσχυρὸς, » ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, δι' οὗ τὰ πάντα ἐγένετο. καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν. Διὰ δὲ τὸ, « Ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, δι' οὗ τὰ πάντα ἐγένετο, » ἅμα καὶ, « Ὁ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν καὶ διαμένων, » τὸ ἀθάνατον σημαίνει τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τήν τε ἀρχὴν καὶ τὰ μέσα καὶ τὰ τελευταῖα. Ἄλλως· « Ἅγιος ἰσχυρὸς, » ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ· ἰσχυρὸς μὲν, ὡς ἰσχὺς Θεοῦ σοφία καὶ δύναμις, κατὰ τὸν λέγοντα Ἀπόστολον· « Ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, *ἰσχυρὸς* καὶ δυνατὸς, καὶ ζῶν, ἐνεργής τε καὶ « τομώτερος μαχαίρας διστόμου, » καὶ τὰ ἑξῆς. « Ἅγιος ἀθάνα-

[35] Luc. II, 14, 15. [36] Psal. LXV, 4. [37] Joan. III, 30. [38] Exod. III, 14. [39] Joan. I, 1, 3. [40] I Cor. I, 24.

Digitized by Google

τος, » σημαινει τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τήν τε ἀρχὴν καὶ τὸ τέλος.

Λέγεται δὲ ἐκ τρίτου τὸ *Τρισάγιον*, ἐπεὶ ἁρμόττει καὶ ἐφ' ἑνὶ ἑκάστῳ τῶν τριῶν προσώπων τῆς μιᾶς θεότητος, τὰ τρία ταῦτα ἅγια. Ἕκαστον γὰρ τούτων, καὶ ἅγιός ἐστι, καὶ ἰσχυρὸς, καὶ ἀθάνατος. Φύσις μὲν γὰρ καὶ οὐσία τοῖς τρισὶ μία, ὄνομα δὲ κοινὸν ἓν ἡ θεότης, εἰ καὶ ἕκαστον τῶν τριῶν προσώπων Θεὸς ὀνομάζεται τέλειος. Ἐν τούτοις δὲ τοῖς βραχέσι ῥήμασι καλῶς νοεῖται καὶ τὸ παρὰ τοῦ μεγάλου Θεολόγου οὕτω πως εἰρημένον· « Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ συνάπτεται διῃρημένως. » Καὶ ἀλλαχοῦ, ὁ αὐτός· « Οὐ φθάνω τὸ ἓν ἐννοῆσαι, καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι. » Ἀλλὰ μή τις τὰς μαρτυρίας ταύτας τοῦ Τρισαγίου ἀκούων, νομίσῃ τὸν Τρισάγιον τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἐνανθρωπήσεως. Πάλαι γὰρ ὑπὸ τῶν θεηγόρων προφητῶν, μυστικῶς τῷ Πνεύματι προαναπεφωνημένος ἦν. Τούτου γὰρ τὸν τύπον καὶ τὰς ῥήσεις ἱστορῶν ὁ Δαβὶδ, διὰ βραχυλογίας τοῦτον παρίστησιν· « Ἐδίψησε, λέγων, ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα. » Καὶ ἀλλαχοῦ· « Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. » Καὶ ἑτέρωθεν· « Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. » Ὁ δ' ὑπὸ Ἡσαΐου ἐκφωνηθεὶς Σεραφικὸς ὕμνος, καὶ τὰ τρία ἅγια εἰς μίαν κυριότητα συνάγων καὶ θεότητα, τίνα διαφορὰν φέρει τοῦ παρ' ἡμῶν ᾀδομένου Τρισαγίου;

Τὸ δὲ ἀνελθεῖν ἐν τῷ συνθρόνῳ τὸν ἀρχιερέα, καὶ σφραγίσαι τὸν λαὸν, ἔστιν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ μέλλων πληροῦν τὴν κατὰ σάρκα ἡμῶν οἰκονομίαν, ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησε τοὺς ἁγίους αὐτοῦ μαθητὰς, λέγων αὐτοῖς· « Εἰρήνην ἀφίημι ὑμῖν. » Δεικνύων, ὅτι τὴν αὐτὴν εἰρήνην καὶ εὐλογίαν δέδωκε τῷ κόσμῳ ὁ Χριστὸς διὰ τῶν ἀποστόλων αὐτοῦ. Ἄλλως· Ἡ σφραγὶς, ἣν ὁ ἀρχιερεὺς εἴωθε ποιεῖν ἐν τῷ τέλει τοῦ Τρισαγίου, εἰς πλήρωσιν μὲν καὶ οἱονεὶ ἐκσφράγισμα τῶν περὶ Χριστοῦ προηγορευμένων προφητικῶν χαρακτηρίζεται. Ἡ γὰρ αὐτοῦ διὰ σαρκὸς παρουσία, σφραγὶς ἐγένετο, ἐπικυροῦσα τὰ ὑπ' ἐκείνων προηγορευμένα ὡς ἀληθῆ· αὐτὴ δὲ καὶ εἰς ἀρχὴν τῶν θεοπρεπῶν ἔργων, καὶ τῆς τοῦ ἀνθρωπίνου γένους ἀναπλάσεως τέτακται. Τάξις γὰρ, φησὶν ὁ θεολόγος Γρηγόριος, ἀρίστη, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι. Ἀρχιερεὺς, ὁ Κύριος· θρόνος, ἡ Παρθένος· τὸ δὲ καθίσαι ἐστὶν, ὅτι ὁ Υἱὸς τὴν ἑαυτοῦ σάρκα ἣν ἐφόρεσε, καὶ τὸ πρόβατον ὃ ἀνέλαβεν ἐπὶ τῶν ὤμων (ὅπερ σημαίνει τὸ ὠμοφόριον) ὅ ἐστι τὸ Ἀδαμιαῖον φύραμα, ἀνεβίβασεν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος τῶν ἄνω Δυνάμεων, καὶ προσήγαγεν αὐτὸ τῷ Θεῷ καὶ Πατρί. Ἐπειδὴ γὰρ ὁ μὲν ἐθέωσεν, ὁ δὲ ἐθεώθη, τουτέστι τὸ πρόσλημμα, ὃ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ τὴν καθαρότητα τοῦ προσενεχθέντος, ἐδέξατο αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ, ὡς θυσίαν καὶ

A anceps [41], » etc. « Sanctus immortalis : » significat eum qui in se complectitur initium omnium quæ sunt, et finem.

Dicitur autem, *Ter sanctus*, a ternario : quia congruunt etiam singulis trium personarum unius Deitatis hæc tria sancta. Unaquæque enim et sanctus est, et fortis, et immortalis. Natura enim et essentia tribus una est, nomen commune unum divinitatis, etiamsi unaquæque personarum trium, Deus nominatur perfectus. In his autem brevibus verbis præclare licet intelligere illud quoque quod a magno Theologo ita dictum est : « Dividitur enim individue (ut ita dicam), et connectitur dividue. » Et alibi idem : « Simul atque unum intelligere incipio, B trium splendore undique collustror; vix dum inchoans tria dividere, ad unum referor. » Verum ne quis testimonia hæc Ter sancti audiens, arbitretur Ter sanctum inchoasse a Christi et Dei nostri humanitatis assumptione. Jam pridem enim a divini loquis prophetis, mystice Spiritus prædictus erat. Hujus enim typum et eloquia videns ac declarans David, paucis verbis eum repræsentat : « Sitivit (inquiens) anima mea ad Deum, fortem vivum [42]. » Et alibi : « Verbo Domini cœli firmati sunt; et spiritu oris ejus, omnis virtus eorum [43]. » Et alias : « In lumine tuo videbimus lumen [44]. » Ille autem ab Isaia enuntiatus Seraphicus hymnus, et Ter sanctus, in unam dominationem colligens et deitatem, quid discriminis habet ab hoc nostro Ter C sancto quem canimus?

Quod autem ascendat in consessum pontifex, et obsignet populum, id est, Filium Dei impleturum in carne nostra ministerium suum, sublatis manibus suis benedixisse sanctis suis discipulis, dicentem eis : « Pacem relinquo vobis, » ostendentem eamdem pacem et benedictionem mundo, Christum per apostolos suos dedisse. Aliter. Signaculum quod pontifex facere solet in fine Ter sancti, in complementum et tanquam obsignationem prophetarum qui de Christo vaticinati sunt, designatur : nam ejus adventus per carnem, sigillum fuit rata faciens et confirmans quæ ab illis prædicta fuerant, ut vera : ipsum enim, et in initio divinorum operum generis humani in reformatione ordinem tenet. D Ordo enim, ait theologus Gregorius, optimus est, a Deo inchoare, et in Deo finire. Pontifex, Dominus est : Thronus, Virgo. Sedere autem, est Filium suam carnem quam gestavit, et ovem quam super humeros assumpsit (quod designatur superhumerali) quæ est Adamæa massa, sustulisse supra omne imperium, et potestatem, et dominationem superiorum virtutum, et obtulisse Deo et Patri. Quem enim ille deificabat, hic deificabatur : hæc est assumptio quam propter dignitatem offerentis et puritatem oblati, admittebat ipse Deus et Pater, quasi hostiam et oblationem acceptabilem pro humano genere : ad quem ait David : « Dixit Domi-

[41] Hebr. IV, 12. [42] Psal. XLI, 3. [43] Psal. XXXII, 6. [44] Psal. XXXV, 10.

Digitized by Google

nus Domino meo : Sede a dextris meis [45]; » id est. Pater Filio, « qui sedet in dextera parte throni majestatis ejus in excelsis [46]. » Hic est Jesus Nazarenus, « pontifex futurorum bonorum [47]. »

Post Ter sanctum hymnum legitur liber apostolicus, et ait diaconus : « Attendamus, auscultemus, auribus percipiamus omnes cum tranquilla mente. Sapientia. Psalmus David. » Sermo Dei sanctus et dilectus, annuntiat quæ sunt Patris, quæ sunt abscondita. Quod proponitur rursum, indicat prophetarum sacram manifestationem et prædictionem adventus regni Christi, quasi satellites præcurrentes et clamantes : « Qui sedes super Cherubim, appareto, et veni ad servandos nos. » Ac, « Deus sedet super throno sancto suo. » Et testis oculatus et minister sermonis Paulus, clamat prædicans Dei regnum, et inquiens : « Christus assistens Pontifex futurorum honorum per amplius, » etc. Cum quo clamat quoque Joannes Baptista : « Qui post me venit, est Agnus Dei tollens peccatum mundi, » ipse nos sanctificabit in spiritu et igne, et medius inter nos stetit. Post id autem, et apostolorum vocatio, et eorum designatio declaratur Actuum ipsorum et Epistolarum lectione. *Alleluia* clamat David, et ait : « Deus noster manisfesto veniet, et ignis coram ipso præcedet [48]. » *Apparuerunt fulgura* (evangelistarum) *ejus orbi terrarum.* Hebraica enim lingua est *Al*, *venit*, *apparuit*; *El*, *Deus*; *uia*, *laudate* et *celebrate viventium Deum.* Aliter. *Al*, Pater : *El*, Filius : *uia*, Spiritus sanctus. *Alleluia*, Deus fortis, potens, laus Dei, laudate Deum qui est. *Alleluia*, laus Deo qui est. Aliter : *Alleluia*, divinam laudem significat trifariam, propter tribus personis distinctam Patris, Filii, et sancti Spiritus singularem deitatem. Aliter, *Alleluia*, præco Evangelii vociferans, Dominus venit. Aliter. Laudate, celebrate. Dicunt autem angelos hac voce celebrare Deum, veluti Cherubim, dicendo, *Sanctus :* idque sancti Patres tradiderunt qui id audierunt, quemadmodum Isaias e Cherubim.

Etenim statim thuribulum subindicat humanitatem Christi, ignis deitatem : odoratus fumus indicat bonum odorem sancti Spiritus præcedentem : incensum enim est fragrantissima lætitia. *Sapientia*, sermo Dei : « Recti audiamus sanctum Evangelium; » id est, erigamus mentes nostras cum operibus a terrenis, et intelligamus bonorum declarationem. Evangelium est adventus Filii Dei, quo apparuit nobis, non jam per nebulas et ænigmata loquens nobis, ut aliquando Mosi per voces et fulgura et tubas, sonitu et caligine et igne, in monte, aut olim prophetis, per somnia : sed mani-

προσφορὰν εὐάρεστον ὑπὲρ τοῦ ἀνθρωπίνου γένους· πρὸς ὃν εἶπεν ὁ Δαβίδ· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου· » ἤτοι ὁ Πατὴρ τῷ Υἱῷ· « ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης αὐτοῦ ἐν ὑψηλοῖς. » Οὗτός ἐστιν Ἰησοῦς ὁ Ναζαραῖος, « ὁ ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν. »

Μετὰ δὲ τὸν Τρισάγιον ὕμνον, ἀναγινώσκεται βιβλίον ἀποστολικὸν; καὶ λέγει ὁ διάκονος· « Πρόσχωμεν, ἀκουτισθῶμεν, ἐνωτισθῶμεν πάντες μετὰ ἠρέμου νοός. Σοφία. Ψαλμὸς τοῦ Δαβίδ. » Ὁ Λόγος τοῦ Θεοῦ ὁ ἅγιος καὶ ἀγαπητὸς, ἀναγγέλλει τὰ τοῦ Πατρὸς, ἃ εἰσιν ἀπόκρυφα. Τὸ προκείμενον μηνύει πάλιν, τὴν τῶν προφητῶν ἐκφαντορίαν, καὶ τὴν προμήνυσιν τῆς τοῦ βασιλέως Χριστοῦ παρουσίας, ὡς στρατιῶται προτρέχοντες καὶ βοῶντες· « Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. » Καὶ, « Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. » Καὶ ὁ αὐτόπτης καὶ ὑπουργὸς τοῦ λόγου Παῦλος βοᾷ, κηρύσσων τοῦ Θεοῦ τὴν βασιλείαν, καὶ λέγων· « Χριστὸς παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος, » καὶ τὰ ἑξῆς. Μεθ' οὗ βοᾷ καὶ Ἰωάννης ὁ Βαπτιστής· « Ὁ ὀπίσω μου ἐρχόμενος, ἔστιν ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· » αὐτὸς ἡμᾶς ἁγιάσει ἐν πνεύματι καὶ πυρὶ, καὶ μέσον ἡμῶν ἔστηκε. Μετὰ δὲ τοῦτο, καὶ ἡ τῶν ἀποστόλων κλῆσις καὶ ἡ ἀνάδειξις αὐτῶν ἀναφαίνεται διὰ τῆς τῶν Πράξεων αὐτῶν, ἢ τῶν Ἐπιστολῶν ἀναγνώσεως. Τὸ Ἀλληλούϊα, βοᾷ Δαβίδ, καὶ λέγει· « Ὁ Θεὸς ἡμῶν ἐμφανῶς ἥξει, καὶ πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται. » Ἔφαραν αἱ ἀστραπαὶ (τῶν εὐαγγελιστῶν) *αὐτοῦ τῇ οἰκουμένῃ.* » Τῇ γὰρ Ἑβραΐδι διαλέκτῳ, ἔστι τὸ Ἀλ, *ἔρχεται*, *ἐφάνη*· τὸ δὲ *ηλ*, *ὁ Θεός*· τὸ δὲ *ούϊα*, *αἰνεῖτε* καὶ *ὑμνεῖτε τὸν ζῶντα Θεόν.* Ἄλλως· Ἀλ, ὁ Πατήρ· *ηλ*, ὁ Υἱός· *ούϊα*, τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλληλούϊα, Θεὸς ἰσχυρὸς, κραταιὸς, αἶνος Θεοῦ, αἰνεῖτε τὸν ὄντα Θεόν. Ἀλληλούϊα, αἶνος τῷ ὄντι Θεῷ. Ἄλλως· Ἀλληλούϊα, θεῖον αἶνον σημαίνει τρισσῶς, διὰ τὴν τρισυπόστατον Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος ἐνιαίαν θεότητα. Ἄλλως· Ἀλληλούϊα, κῆρυξ τοῦ Εὐαγγελίου κράζων ὁ Κύριος ἔρχεται· Ἄλλως· Ἀλληλούϊα, αἰνέσατε, ὑμνήσατε. Λέγεται δὲ τοὺς ἀγγέλους ταύτῃ τῇ φωνῇ ὑμνεῖν τὸν Θεὸν, ὥσπερ τὰ Χερουβὶμ τῷ Ἅγιος· καὶ τοῦτο οἱ ἅγιοι Πατέρες παραδεδώκασιν αὐτήκοοι γενόμενοι, ὥσπερ Ἡσαΐας τῶν Σεραφίμ.

Καὶ γὰρ εὐθέως ὁ θυμιατὸς ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, τὸ πῦρ τὴν θεότητα· ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου Πνεύματος προπορευομένην· ὁ γὰρ θυμιατός ἐστιν εὐωδεστάτη εὐφροσύνη. *Σοφία*, ὁ λόγος τοῦ Θεοῦ. « Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. » Τουτέστιν, Ἄρωμεν τὰς διανοίας ἡμῶν σὺν τοῖς ἔργοις ἀπὸ τῶν γηΐνων, καὶ συνήσωμεν τῶν ἀγαθῶν τὴν δήλωσιν. Τὸ Εὐαγγέλιόν ἐστιν, ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Θεοῦ, καθ' ἣν ὡράθη ἡμῖν, οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὡς ποτε τῷ Μωσῇ, διὰ φωνῶν καὶ ἀστραπῶν καὶ σαλπίγγων, ἤχῳ καὶ γνόφῳ καὶ

[45] Psal. cix, 10. [46] Hebr. i, 3. [47] Hebr. ix, 11. [48] Psal. xlix, 3.

Digitized by Google

πυρὶ ἐπὶ τοῦ ὄρους, ἢ τοῖς πάλαι προφήταις, δι' ἐνυπνίων, ἀλλ' ἐμφανῶς ὡς ἄνθρωπος ἀληθῶς ἐφάνη, καὶ ὡράθη ἡμῖν, ὡς πραῦς καὶ ἥσυχος βασιλεύς, ὁ πρὶν καταβὰς ὡς ὑετὸς ἐπὶ πόκον ἄφοφητί· « Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· πλήρης χάριτος καὶ ἀληθείας. » Δι' οὗ ἐλάλησεν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ στόμα πρὸς στόμα, καὶ οὐ δι' αἰνιγμάτων· περὶ οὗ ὁ Πατὴρ ἐξ οὐρανοῦ μαρτυρεῖ, καὶ λέγει· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, » Σοφία, Λόγος καὶ Δύναμις, ὁ ἐν προφήταις ῥηθείς, καὶ προκηρυχθεὶς ἡμῖν, ἐν Εὐαγγελίοις δὲ φανερωθείς, ἵνα ὅσοι λάβωσιν αὐτὸν καὶ πιστεύσωσιν εἰς τὸ ὄνομα αὐτοῦ, λάβωσιν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. Ὃν ἀκηκόαμεν καὶ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, Σοφίαν καὶ Λόγον Θεοῦ τοῦτον εἶναι πάντες πιστεύοντες, βοῶμεν, « Δόξα σοι Κύριε. » Εἶτα πάλιν τὸ Πνεῦμα, τὸ ἐν νεφέλῃ φωτεινῇ ἐπισκιάζον, νῦν δι' ἀνθρώπου βοᾷ· *Πρόσχωμεν*. Προσέχετε, τουτέστιν, Αὐτοῦ ἀκούετε.

Ματθαῖος, ἑρμηνεύεται, *μέλι*· Μάρκος, *οἶνος*· Λουκᾶς, *γάλα*· Ἰωάννης, *ἔλαιον*. Τὰ τέσσαρα Εὐαγγέλιά εἰσι, κατὰ τὰ τέσσαρα πνεύματα καθολικά, *ἀπηλιώτην*, *ζέφυρον*, *νότον* καὶ *βορρᾶν*. Αὐτὰ γάρ εἰσι πρὸς σύστασιν τοῦ παντός. Καθολικὰ δὲ λέγονται, διὰ τὰ ἀντιπνέοντα ὀκτώ. Καὶ ἄλλως· Τέσσαρά εἰσιν Εὐαγγέλια, καὶ τέσσαρα καθολικὰ πνεύματα, κατὰ τὰ τετράμορφα ζῶα, λέγω δὴ τὰ Χερουβίμ, ἐν οἷς κάθηται ὁ τῶν ὅλων Θεός· ἐξ ὧν φαίνεται, ὅτι ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ Θεὸς, καὶ συνέχων τὸ πᾶν, φανερωθεὶς ἔδωκεν ἡμῖν τετράμορφον τὸ Εὐαγγέλιον, ἑνὶ δὲ πνεύματι συνεχόμενον· καὶ γὰρ τετραπρόσωπά εἰσι· καὶ τὰ πρόσωπα αὐτῶν εἰκονίζουσι τὴν πραγματείαν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Τὸ μὲν γὰρ πρῶτον ζῶον, φησὶν, ὅμοιον λέοντι, τὸ ἔμπρακτον αὐτοῦ καὶ ἡγεμονικὸν καὶ βασιλικὸν χαρακτηρίζον. Τὸ δὲ δεύτερον, ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν καὶ ἱερατικὴν τάξιν ἐμφαῖνον. Τὸ δὲ τρίτον ἔχον πρόσωπον ἀνθρώπου, τὴν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν φανερῶς διαγράφον. Τὸ τέταρτον ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ ἁγίου Πνεύματος ἐφιπταμένην δόσιν σαφηνίζον. Τοίνυν καὶ τὰ Εὐαγγέλια τούτοις σύμμορφά εἰσιν, ἐν οἷς ἐπικάθηται ὁ Χριστός. Τὸ μὲν γὰρ, ἀετὸς, κατὰ Ἰωάννην Εὐαγγέλιον, τὴν ἀπὸ τοῦ Πατρὸς ἡγεμονικὴν αὐτοῦ καὶ ἔνδοξον γέννησιν διηγεῖται λέγων· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. » Καὶ, « Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. » Τὸ δὲ, ταῦρος, κατὰ Λουκᾶν, ἅτε ἱερατικοῦ χαρακτῆρος ὑπάρχον, ἀπὸ Ζαχαρίου ἱερέως θυμιῶντος ἄρχεται λέγων· « Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν, » καὶ τὰ ἑξῆς. Ἤδη γὰρ ὁ σιτευτὸς μόσχος ὑπὲρ τῆς εὑρέσεως τοῦ νεωτέρου παιδὸς ἔμελλε θύεσθαι. Βοῦς τὸ ὀρεκτικὸν ἦπαρ σημαίνει. Ποικίλος δὲ ἵππος, Λουκᾶς, ὡς εὐγλωττότερον καὶ ποικιλώτερον τὸ κατὰ τὸν Κύριον ἐκθέμενος. Ματθαῖος δὲ, τὴν κατὰ ἄνθρωπον αὐτοῦ γέννησιν κηρύττει, λέγων· « Βίβλος γενέσεως Ἰη-

festo ut homo vere apparuit, et visus est nobis ut mitis et quietus rex, qui prius descendit, ut pruina in vellus sine strepitu : « Et vidimus gloriam ejus, gloriam tanquam unigeniti a Patre, plenum gratiæ et veritatis[49], » per quem locutus est nobis Deus et Pater, ore ad os, et non per ænigmata, de quo Pater cœlitus testatur, et ait : « Hic est Filius meus ille dilectus[50], » Sapientia, Sermo, et Potestas, in prophetis dictus, et prædicatus nobis : in Evangeliis manifestatus, ut quotquot receperint eum et crediderint in nomen ejus, accipiant potestatem qua filii Dei fiant : quem audivimus et vidimus oculis nostris, Sapientiam et Sermonem Dei hunc esse omnes credentes, clamamus, « Gloria tibi, Domine. » Deinde rursus Spiritus in lucida nube obumbrans, nunc per hominem clamat : *Attendamus*. Attendite, hoc est, Ipsum audite.

Matthæus, si vis interpretari, *mel* est : Marcus, *vinum* : Lucas, *lac* : Joannes, *oleum*. Quatuor Evangelia sunt ad exemplum quatuor ventorum universalium, *subsolani*, *favonii*, *austri*, *aquilonis* : hi enim exsistunt ad mundi constitutionem : universales vero dicuntur, propter alios octo ex adverso spirantes. Et aliter : Quatuor Evangelia sunt et quatuor universales venti, juxta quadriformia animalia, dico sane Cherubim illa in quibus sedet universorum Deus, ex quibus constat, sedentem super Cherubim Deum et continentem hoc universum, patefactum dedisse nobis quadriforme Evangelium, idque uno Spiritu contentum : quatuor enim facies habent, ac facies eorum imaginem referunt administrationis Filii Dei. Primum enim animal (aiunt) leoni simile est, denotans efficaciam ejus et principatum et regnum. Secundum, simile vitulo, sacrificium et sacerdotalem ordinem indicans. Tertium habens faciem hominis, adventum ejus secundum hominem, manifesto perscribens. Quartum simile aquilæ volanti, sancti Spiritus advolantem largitionem declarans. Igitur et Evangelia his conformia sunt, in quibus insidet Christus. Nam aquila, quæ est, secundum Joannem, Evangelium, quem habet a Patre principatum ejus et gloriosam generationem enarrat, inquiens : « In principio erat Verbum ; » et, « omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est. » Taurus, quod est secundum Lucam, Evangelium, cum sacerdotalem speciem præ se ferat, a Zacharia sacerdote incensum offerente incipit, inquiens : « Postquam multi conati sunt retexere narrationem, » etc. Jam enim saginatus vitulus pro inventione junioris pueri mactandus erat. Bos, appetibile jecur significat. Varius vero equus, Lucas, ut qui magis eloquenter et varie gesta Domini tractarit. Matthæus vero, humanam ejus generationem concionatur, inquiens : « Liber

[49] Joan. I, 14. [50] Matth. XII, 17.

Digitized by Google

generationis Jesu Christi, etc. Jesu Christi autem nativitas sic habet. » Hominis ergo conformationem refert hoc Evangelium. Homo, quod rationis est particeps. Homo, quod ejus capite continetur: Latini dicunt, *rationabile*, Græci, *phronesin* et *logioteta*, prudentiam et orationis usum. Arabes sive Saraceni, *elaphacar*, *elacil*, *eltzinun*. Fulvus igitur equus Matthæus, ut qui humanitatis assumptionem Domini diserte exposuerit. Leonis specie, Marcus, a prophetico spiritu ex alto adveniente, hominibus initium fecit, inquiens : « Initium Evangelii Jesu Christi, ut scriptum est in prophetis : Ecce ego mitto angelum meum ante faciem tuam : » volatilem imaginem Evangelii, his verbis ostendens. Leo, animal *thymicum* est, id est, *ad iram pronum*, Latini dicunt, *irascibile*. Et aliter : *Thymicum*, *fortitudinem*, et *timiditatem* significat, Latinis, *irascibile*, Saracenis, *elgadab*, *enigde*, *velgiben*. Et aliter : Variegatus equus, Marcus, ut qui floribus distinctius Evangelium scripserit : Joannes, aquila ut qui spiritale. Et aliter. Aquila, anima est. Et aliter, albidus equus, Joannes, ut qui candidius universam laudationem pervulgarit.

Cæterum ipse sermo Dei patriarchis ante Mosem divine et gloriose colloquebatur. Qui erant in lege, iis sacerdotalem ordinem tribuit. Postea autem homo factus, donum sancti Spiritus in universam emisit terram, tegens nos suis alis. Qualis igitur operatio Filii Dei, talis et animalium forma, talis et Evangeliorum stylus. Quatuor enim formas animalia habent, habet totidem et Evangelium, et operatio Domini : et ob id, quatuor generalia testamenta humanæ naturæ data sunt: unum quidem in diluvio, de arcu : secundum Abrahamo, de signo circumcisionis : tertium est, legislatio per Mosem : quartum est Evangelii Jesu Christi Domini nostri. His vero sic se habentibus, vani sunt omnes et imperiti, insuper etiam temerarii qui abrogant ideam Evangelii, et sive plures sive pauciores quam quæ dicta sunt, circumferunt Evangeliorum facies: partim ut qui plura quam veritas habet, extulisse videantur, partim ut qui dispensationes faciant irritas.

Post divinorum Evangeliorum lectionem, preces et petitiones habitæ ad Cherubicum usque hymnum, Christi et Dei nostri doctrinam tribus annis indicant, et eorum qui ad baptismum se applicarunt institutionem. Ad quod hos sermonum potentia et miraculorum efficacia pertrahebat : quando etiam catechumeni, et nondum admissi ad Christi mysteria, foras migrant. Quæ vero interea fiunt preces, pro ipsis fiunt catechumenis, fidelibus, et ipso pontifice. Intelligentes enim sancti Patres qualem esse necesse sit animam et manum ejus qui contrectaturus est immaculatissimum corpus Dei nostri, quodque puriorem solaribus radiis hanc esse oporteat, preces pro eorum venia, per

A σοῦ Χριστοῦ, » καὶ τὰ ἑξῆς· « Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. » Ἀνθρωπόμορφον οὖν τὸ Εὐαγγέλιον τοῦτο. » Ἄνθρωπος, τὸ λογικόν. Ἄνθρωπος μὲν, τὸ ἐγκέφαλον· Λατῖνοι δὲ λέγουσι, *ratzionabile*, Ἕλληνες δὲ λέγουσι *φρόνησιν* καὶ *λογιότητα*· οἱ δὲ Ἄραβες ἤτοι Σαρακηνοὶ, *ελαφάκαρ*, *ελακίλ*, *ελτζινοῦν*. Πυρρὸς οὖν ἵππος, Ματθαῖος, ὡς τὰ τῆς ἀνθρωπήσεως τοῦ Κυρίου τρανῶς ἐκθέμενος. Λέοντος δὲ Μάρκος ἀπὸ τοῦ προφητικοῦ Πνεύματος, τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις, τὴν ἀρχὴν ἐποιήσατο λέγων· « Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, » τὴν πτερωτικὴν εἰκόνα τοῦ Εὐαγγελίου διὰ τούτων δεικνύς· λέων, *θυμικόν*· Λατῖνοι

B λέγουσιν, *ιρασκιβιλε*. Καὶ ἄλλως· Τὸ *θυμικὸν*, *ἀνδρίαν* καὶ *δειλίαν*· Λατῖνοι *ιρασκιβιλε*, Σαρακηνοὶ *ἐλγαδάβ*, *ἐνιγδε*, *οὐελγίβιγ*. Καὶ ἄλλως· Ψάρος ἵππος, Μάρκος, ὡς διανθέστερον τὸ Εὐαγγέλιον γράψας· Ἰωάννης, ἀετὸς, τὸ πνευματικόν. Καὶ ἄλλως· Ἀετὸς δὲ ἡ ψυχή. Καὶ ἄλλως· Λευκὸς ἵππος Ἰωάννης, ὡς λευκότερον πᾶσαν αἴνεσιν στηλιτεύσας.

Καὶ αὐτὸς δὲ ὁ λόγος τοῦ Θεοῦ, τοῖς μὲν πρὸ Μωσέως πατριάρχαις, κατὰ τὸ θεῖκὸν καὶ ἔνδοξον ὡμίλει· τοῖς δὲ ἐν τῷ νόμῳ, ἱερατικὴν τάξιν ἀπένειμε. Μετὰ δὲ ταῦτα ἄνθρωπος γενόμενος, τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, εἰς πᾶσαν ἐξέπεμψε τὴν γῆν, σκεπάζων ἡμᾶς ταῖς αὐτοῦ πτέρυξιν. Ὑποία οὖν ἡ πραγματεία τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοιαύτη καὶ τῶν ζώων

C ἡ μορφὴ, τοιοῦτος καὶ τῶν Εὐαγγελίων ὁ χαρακτήρ. Τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ Εὐαγγέλιον, καὶ ἡ πραγματεία τοῦ Κυρίου· καὶ διὰ τοῦτο, τέσσαρες ἐδόθησαν καθολικαὶ διαθῆκαι τῇ ἀνθρωπότητι· μία μὲν τῷ κατακλυσμῷ τοῦ τόξου, ἐπὶ τοῦ τόξου· δευτέρα δὲ, τῷ Ἀβραὰμ, ἐπὶ τοῦ σημείου τῆς περιτομῆς· τρίτη δὲ, ἡ νομοθεσία διὰ Μωσέως· τετάρτη δὲ, ἡ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Τούτων δὲ οὕτως ἐχόντων, μάταιοι πάντες καὶ ἀμαθεῖς, προσέτι δὲ καὶ τολμηροὶ, οἱ ἀθετοῦντες τὴν ἰδίαν τοῦ Εὐαγγελίου, καὶ εἴτε πλείονα,

D εἴτε ἐλάττονα τῶν εἰρημένων περιφέροντες Εὐαγγελίων πρόσωπα· οἱ μὲν, ἵνα πλείονα δόξωσι τῆς ἀληθείας ἐξειρηκέναι· οἱ δὲ, ἵνα τὰς οἰκονομίας τοῦ Θεοῦ ἀθετήσωσιν.

Αἱ μετὰ τὴν τῶν θείων Εὐαγγελίων ἀνάγνωσιν εὐχαὶ καὶ αἰτήσεις, ἄχρι τοῦ Χερουβικοῦ ὕμνου, τὴν ἐπὶ τρισὶ χρόνοις διδασκαλίαν ἐμφαίνουσι τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τὴν τῶν πρὸς τὸ βάπτισμα εὐτρεπιζομένων κατήχησιν. Ἐφ' ὃ τούτους ἡ τῶν λόγων δύναμις, καὶ ἡ τῶν θαυμάτων ἐνέργεια καθυφείλκετο· ὅτε δὴ καὶ οἱ κατηχούμενοι καὶ μήπω καταξιωθέντες τῶν τοῦ Χριστοῦ μυστηρίων, ἔξω μεθίστανται. Αἱ δὲ ἐν τῷ μεταξὺ τούτων γενόμεναι εὐχαὶ, ὑπὲρ αὐτῶν τε γίνονται τῶν κατηχουμένων, πιστῶν, καὶ αὐτοῦ τοῦ ἀρχιερέως. Ἐννοοῦντες γὰρ οἱ θεσπέσιοι Πατέρες, ὁποίαν εἶναι χρὴ τὴν ψυχὴν, καὶ τὴν χεῖρα τοῦ μέλλοντος ἅπτεσθαι τοῦ παναχράντου σώματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὡς καθαρωτέραν τῶν ἡλιακῶν

Digitized by Google

ἀκτίνων ταύτην δεῖ τυγχάνειν, τὰς ὑπὲρ τῆς συγχωρήσεως τούτων εὐχὰς, διὰ φιλανθρωπίαν ἐσομένης, ἐξέθεντο. « Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. » Μέγα ἔλεος, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Λόγος, ὃν εἰς τὸν κόσμον ἀπέστειλεν ἱλασμὸν ὁ Πατήρ. Τὸ κατασφραγίσαι τὸν λαὸν τὸν ἀρχιερέα, ὑποδεικνύει τὴν μέλλουσαν Χριστοῦ παρουσίαν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει μέλλειν ἔσεσθαι, διὰ τῆς ψηφίδος τῶν δακτύλων ἐμφαινούσης ἑξακισχιλιοστὸν πεντακοσιοστόν. Τοῦτο καὶ Ἱππόλυτος Ῥώμης, καὶ ὁ ἅγιος Κύριλλος λέγουσιν ἐν τοῖς περὶ τοῦ Ἀντιχρίστου λόγοις αὐτῶν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει, τὴν μέλλουσαν παρουσίαν ἔσεσθαι, καὶ ὁ Χρυσόστομος· « Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. »

A humanitatem futura, exposuerunt: « Miserere nostri, Deus, pro tua magna misericordia. » Magna misericordia, Filius Dei et Sermo, quem in mundum misit propitiationem Pater. Quod pontifex obsignet populum, id subindicat futurum adventum Christi, anno sexies millesimo quingentesimo fore (8), ex supputatione digitorum significante sexies millesimum quingentesimum. Id et Hippolytus e Roma, et sanctus Cyrillus dicunt in libris suis de Antichristo, anno sexies millesimo quingentesimo futurum adventum fore, itemque Chrysostomus : « Quia misericors et hominum amans Deus exsistis. »

« Ὅσοι κατηχούμενοι, προέλθετε. » Οἱ κατηχούμενοι ἐξέρχονται, ὡς ἀμύητοι τοῦ θείου βαπτίσματος, καὶ τῶν τοῦ Χριστοῦ μυστηρίων, περὶ ὧν λέγει ὁ Κύριος, ὅτι « Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, » καὶ τὰ ἑξῆς. « Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ. » Οἱ ἀμύητοι, οἱ ἀβάπτιστοι, καὶ οἱ ἐν ἐπιτιμίοις δι' ἐξαγορεύσεως. Ἀμύητοι μὲν, οἱ ἄπειροι, οἱ ἔτι μὴ μετασχόντες τῶν θείων μυστηρίων· ἀβάπτιστοι δὲ, οἱ μὴ φωτισθέντες ἔτι διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος· οἱ ἐξαγορεύσαντες καὶ ἔτι ἐν ἐπιτιμίοις ὄντες. Προσφωνεῖ, ἵνα πάντες εὔξωνται ὅπως τύχωσι τῆς ἀφέσεως, καὶ τοῦ ζωοποιοῦ θύματος διὰ τοῦ βαπτίσματος· « Οἱ πιστοὶ, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν. » Οἱ φωτισθέντες καὶ ἀμνησίκακοι ὄντες, οἱ καὶ ἀνεχόμενοι τῆς ἀδικίας, καὶ συγχωρεῖν καὶ εὐεργετεῖν τοῖς ἀδικοῦσιν, εὔξασθε ὑπὲρ τῶν κατηχουμένων, ἤγουν ὑπὲρ τῶν ἀμυήτων, ὡς φησιν ὁ Ἀπόστολος· « Οἱ δυνατοὶ, τῶν ἀδυνάτων τὰ βάρη βαστάζετε. »—« Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. » Διδάξῃ αὐτοὺς τὰ τοῦ Σωτῆρος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος. « Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης. » Φανερώσῃ αὐτοῖς τὴν δήλωσιν τῶν ἀγαθῶν πραγμάτων. « Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ. » Ἀξιώσῃ αὐτοὺς τῆς ζωοποιοῦ θυσίας. « Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε· » οἱ ἀμύητοι, τὰς αἰσθήσεις καὶ τὰς καρδίας ἀγνὰς πρὸς τὸν Κύριον νείματε. « Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον. » Ἵνα φωτισθέντες, καὶ τῆς ἀφέσεως, καὶ τῆς μυστικῆς ζωοθυσίας τυχόντες, δοξάζωσί σε σὺν ἡμῖν τὸν Πατέρα καὶ Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Τὸ *εἰλητὸν* σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλίχθη τὸ σῶμα τοῦ Χριστοῦ ἐκ τοῦ σταυροῦ καταβάν, καὶ ἐν μνημείῳ τεθέν. « Ὅσοι κατηχούμενοι, προσέλθετε. » Πᾶς ἀμύητος καὶ ἀφώτιστος, καὶ ὢν ἐν ἐπιτιμίοις ἔτι, σπεύσατε, ἥκατε, φωτίσθητε, καὶ τῇ ψυχοτρόφῳ τραπέζῃ προσπελάσατε, καὶ τὸν ἱερουργούμενον ἁγναῖς καρδίαις καὶ ψυχαῖς βλέψατε· ἵνα ὡς οἱ πιστοὶ ἦτε, καὶ μὴ ἦτε ἔτι κατηχούμενοι, ἀκμὴν καὶ ἀκμὴν μετ' ἠρέμου νοὸς τοῦ Κυρίου δεηθῶμεν.

B « Quotquot estis catechumeni, procedite. » Catechumeni exeunt, ut divino baptismate, et Christi mysteriis non initiati, de quibus ait Dominus: « Alias oves habeo quæ non sunt ex hoc ovili [81], » et cætera. « Orate, catechumeni, Dominum. » Non initiati, non baptizati, quique confessione vestra notati estis. Non initiati, imperiti, qui nondum participes estis divinorum mysteriorum: non baptizati, qui nondum per baptismatis lavacrum illuminati estis, qui confessi estis et adhuc obnoxii multæ estis. Acclamat, ut omnes orent remissionem consequi, et vivificam hostiam per baptismum. « Fideles, oremus pro catechumenis. » Illuminati et malorum immemores, quique sustinetis et injuriam condonare, et injuriis benefacere; C orate pro catechumenis, id est, pro nondum initiatis, ut ait Apostolus : « Vos potentes, impotentium onera portate [82]. » — « Instituat eos verbo veritatis: » doceat eos de Servatore qui propter nos humilitatem assumpsit. « Revelet eis Evangelium justitiæ. » Patefaciat manifestationem bonarum rerum. « Uniat eos cum sancta sua catholica et apostolica Ecclesia: » impertiat eis vivificum sacrificium. « Catechumeni, capita vestra Domino inclinate, » nondum initiati, sensus et corda pura Domino inclinate : nondum initiati, sensus et corda pura Domino tribuite. « Ut et ipsi nobiscum glorificent venerabile, » etc. Ut illuminati, et remissionem, et mysticum ac vivum sacrificium adepti, glorificent nobiscum te Patrem, et Filium, et D Spiritum sanctum, nunc et semper, et in sæcula sæculorum. *Corporale* significat sindonem, in qua involutum est corpus Christi de cruce descensum, et in monumento positum. « Quotquot estis catechumeni, accedite. » Omnis non illuminatus et non initiatus, quique etiamnum est in reatu, festinate, venite, illuminemini, et ad animarum nutricem mensam propius accedite, et eum qui sacrificatur, puris cordibus et animis aspicite: utque fideles sitis et non amplius catechumeni, etiam atque etiam intente et cum tranquilla mente oremus.

[81] Joan. x, 16. [82] Galat. vi, 2.

(8) Vide Malvendam de Antichr. lib. capp. 28, 29, 30.

Digitized by Google

Cherubicus hymnus demonstrat per diaconorum progressionem, et flabellorum, sive Seraphicarum alarum adumbrationem, inspectionem, et ingressum sanctorum et justorum omnium una ingredientium coram Cherubicis potestatibus, et angelicis exercitibus, et choris incorporeis, et immaterialibus ordinibus invisibiliter præcurrentibus, et hymnos dicentibus, et comitantibus quasi satellitibus ante magnum Regem Christum, qui proficiscitur ad mysticum sacrificium, et manibus materialibus gestatur, cum quibus et Spiritus sanctus una procedit a fronte, ad incruentum sacrificium et rationale mysterium. Quæ spiritaliter contemplamur in igne et incenso, et vapore fumi fragrantis: igne quidem deitatem, vapore fumi fragrantis significante adventum ejus, accedente invisibiliter, et odore bono nos exhilarante, per mysticam et animalis sacrificii ac incruenti latriam et holocaustum. Quinetiam intelligentes Potestates, et cœtus angelorum, videntes per crucem et mortem Christi consummatam ejus dispensationem, tandemque et de morte victoriam habitam, et ad inferos descensionem, et triduanam resurrectionem, et ejus ascensionem, nobiscum clamant invisibiliter: *Alleluia.* Intuere intelligentes Potestates, venientes cum pretiosis muneribus (id est corpus Domini Jesu) e Calvaria ad sepulcrum usque, nobiscum invisibiliter acclamant hymnum Cherubicum: *Alleluia.* Ezechiel enim ait: « Et Cherubim stabant a dextris domus dum ingrederetur vir indutus stola, et nubes replevit aulam interiorem, et discessit gloria Domini a Cherubim in subdialem partem domus, et implevit domum nubes, et aula repleta est splendore gloriæ Domini [59]. »

Est autem sancta mensa, ad imitationem sepulturæ Christi, qua Joseph sublato corpore de cruce, involvit sindone munda, et aromatibus et unguentis ipsum unctum exportavit cum Nicodemo, et sepelivit ipsum in monumento novo exciso ex petra: quod est exemplum sancti monumenti illius, altare et catathesium, in quo positum est sanctum et omnino immaculatum corpus, quæ est sancta mensa. Aliter. Sacrorum translatio a prothesi, corporis (inquam) Dominici, et sanguinis, et eorum ingressus ad altare, et Cherubicum, a Bethania in Jerusalem Domini introitum significat. Tunc enim plurima turba et Hebræorum pueri tanquam regi et victori mortis hymnum referebant sensibiliter: spiritualiter autem angeli cum Cherubim, Ter sanctum reddiderunt hymnum: ac sceptra ac rhomphæas, ut insignia regis proferunt diaconi. Flabella vero typum referunt Cherubim. Cherubicus vero hymnus qui canitur, admonet omnes hinc et ad finem usque sacri officii, attentiorem mentem habere, omissa inferius omni de

[59] Ezech. x, 3, 4.

A Ὁ Χερουβικὸς ὕμνος ἐμφαίνει διὰ τῆς τῶν διακόνων προοδοποιήσεως, καὶ τῆς τῶν ῥιπιδίων, ἤτοι τῆς τῶν Σεραφικῶν ἀπεικονισμάτων ἱστορίας, τὴν εἴσοδον τῶν ἁγίων καὶ δικαίων πάντων συνεισερχομένων μετὰ τοῦ ἁγίου τῶν ἁγίων ὑπάρχοντος, συνεισπορευομένων ἔμπροσθεν Χερουβικῶν δυνάμεων, καὶ ἀγγελικῶν στρατιῶν, καὶ χορῶν ἀσωμάτων καὶ ἀΰλων τάξεων ἀοράτως προτρεχουσῶν, καὶ ὑμνουσῶν καὶ δορυφορουσῶν ἔμπροσθεν τοῦ μεγάλου Βασιλέως Χριστοῦ, προερχομένου εἰς μυστικὴν θυσίαν, καὶ ὑπὸ χειρῶν ἐνύλων βασταζομένου, μεθ' ὧν καὶ Πνεῦμα τὸ ἅγιον συνεισπορεύεται ἔμπροσθεν ἐν τῇ ἀναιμάκτῳ θυσίᾳ καὶ λογικῇ λειτουργίᾳ, νοερῶς θεωρούμενον, πυρὶ καὶ θυμιάματι καὶ ἀτμίδι καπνοῦ εὐώδους· τοῦ μὲν πυρὸς δεικνύοντος τὴν θεότητα, τῆς δὲ ἀτμίδος B τοῦ εὐώδους καπνοῦ, τὴν παρουσίαν αὐτοῦ ἐπελθόντος ἀοράτως, καὶ εὐωδιάσαντος ἡμᾶς, διὰ τῆς μυστικῆς καὶ ζωοθύτου καὶ ἀναιμάκτου λατρείας καὶ ὁλοκαρπώσεως. Ἀλλὰ καὶ αἱ νοεραὶ Δυνάμεις, καὶ αἱ χοροστασίαι τῶν ἀγγέλων, ὁρῶσαι τὴν διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου Χριστοῦ τετελεσιουργημένην αὐτοῦ οἰκονομίαν· λοιπὸν δὲ καὶ τὴν κατὰ τοῦ θανάτου νίκην γενομένην, καὶ τὴν ἐν τῷ ᾅδῃ κάθοδον, καὶ τριήμερον ἀνάστασιν, καὶ ἀνάβασιν αὐτοῦ, σὺν ἡμῖν βοῶσιν ἀοράτως τὸ, Ἀλληλούϊα. Ὁρῶσαι οἱ νοεραὶ δυνάμεις τὸ Χερουβικὸν ἐρχόμενον μετὰ τῶν τιμίων δώρων, ἤγουν τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ, ἀπὸ τοῦ Κρανίου ἕως τοῦ τάφου, σὺν ἡμῖν ἀοράτως βοῶσι τὸν ὕμνον, τὸ Ἀλληλούϊα. Ἰεζεκιὴλ γάρ φησι· C « Καὶ τὰ Χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ οἴκου, ἐν τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα τὸν ἐνδεδυμένον τὴν στολήν· καὶ ἡ νεφέλη ἐπλήρωσε τὴν αὐλὴν τὴν ἐσωτέραν· καὶ ἀπῆρεν ἡ δόξα Κυρίου ἀπὸ τῶν Χερουβὶμ εἰς τὸ αἴθριον τοῦ οἴκου· καὶ ἐνέπλησε τὸν οἶκον ἡ νεφέλη· καὶ ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης Κυρίου. »

Ἔτι δὲ ἡ ἁγία τράπεζα κατὰ μίμησιν τοῦ ἐνταφιασμοῦ τοῦ Χριστοῦ, καθ' ἣν ὁ Ἰωσὴφ καθελὼν τὸ σῶμα ἀπὸ τοῦ σταυροῦ, ἐνείλησε σινδόνι καθαρᾷ, καὶ ἀρώμασι καὶ μύροις αὐτὸ ἀλείψας, ἐβάστασε σὺν Νικοδήμῳ, καὶ ἐκήδευσεν αὐτὸ ἐν μνημείῳ καινῷ λελατομημένῳ ἐκ πέτρας· ὅπερ ἐστὶν ἀντίτυπον τοῦ ἁγίου μνήματος ἐκείνου, τὸ θυσιαστήριον, καὶ τὸ καταθέσιον δηλαδή, ἐν ᾧ ἐτέθη τὸ ἅγιον καὶ παν- D άχραντον σῶμα, ἡ ἁγία τράπεζα. Ἄλλως· Ἡ τῶν ἁγίων μετάθεσις ἀπὸ τῆς προθέσεως, τοῦ σώματός φημι τοῦ Δεσποτικοῦ καὶ τοῦ αἵματος, καὶ ἡ τούτων πρὸς τὸ θυσιαστήριον εἴσοδος, καὶ τὸ Χερουβικὸν, τὴν ἀπὸ Βηθανίας πρὸς τὴν Ἱερουσαλὴμ δηλοῖ τοῦ Κυρίου εἰσέλευσιν· τηνικαῦτα γὰρ καὶ ὁ πλεῖστος ὄχλος, καὶ οἱ τῶν Ἑβραίων παῖδες, ὡς βασιλεῖ καὶ νικητῇ τοῦ θανάτου, τὸν ὕμνον ἀνέφερον αἰσθητῶς· γοητῶς δὲ ἄγγελοι μετὰ τῶν Χερουβὶμ, τὸν Τρισάγιον ἀπέδωκαν ὕμνον, καὶ τὰ σκῆπτρα καὶ τὰς ῥομφαίας, ὡς σύμβολα βασιλέως, ἐπιφέροντες οἱ διάκονοι. Αἱ ῥιπίδες δὲ εἰς τύπον εἰσὶ τῶν Χερουβίμ. Ὁ δὲ Χερουβικὸς ὕμνος ᾀδόμενος, παρακελεύεται πάν-

Digitized by Google

τας, ἐντεῦθεν καὶ μέχρι τέλους τῆς ἱερουργίας προσ- A
κτικώτερον ἔχειν τὸν νοῦν, πᾶσαν βιωτικὴν μέρι-
μναν κάτωθεν ἀφεμένους, ὡς βασιλέα μέγαν μέλλον-
τος ὑποδέχεσθαι διὰ τῆς κοινωνίας. Ἡ δὲ πρὸς τὴν
ἁγίαν τράπεζαν τῶν ἁγίων ἀπόθεσις, μίμησιν ἔχει
τηνικαῦτα μὲν τοῦ ἐσταυρωμένου ἀνῳγέου · μετ' ὀλί-
γον δὲ, ἡ αὐτὴ καὶ τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν, ἐν
δὲ τῷ τέλει τὴν ταφὴν εἰκονίζει, καὶ τὴν ἀνάστασιν,
καὶ τὴν ἐκεῖθεν ἀνάληψιν · ἵνα γὰρ μὴ τοῦ καθ' ἕκα-
στον τῶν τότε γενομένων, τὴν ὥραν, καὶ τὸν καιρὸν,
καὶ τὸν τόπον ἀφορίζοντες οἱ ἅγιοι Πατέρες, ἔτι καὶ
μεταθέσεων ἑτέρων καὶ θυσιαστηρίων πλειόνων δεη-
θῶσι, κἀκ τούτων μωμητὸν τὸ τῆς Ἐκκλησίας κατα-
στῇ μυστήριον, τί ἄρα σκοποῦσιν, ἢ πράττουσιν;
Ὡς λίαν μεγαλοπρεπὲς, καὶ τοῦ ἐν αὐτοῖς οἰκοῦντος B
Πνεύματος ἄξιον, τῆς θεουργοῦ δημιουργίας τὸν
τρόπον ἐμιμήσαντο, ὡς οἷόν τε ἀνθρώπῳ μιμεῖσθαι
τὰ θεῖα καὶ κατεργάζεσθαι · καὶ ὡς οὐρανὸν μὲν, τὸ
ἐπάνωθεν τῆς ἁγίας τραπέζης �ρόφιον ἀπαρτίζου-
σιν · ὡς ὅλην δὲ γῆν ὁρίζονται, τὸ ὑπὸ τεσσάρων
κιόνων τοῦ εἰρημένου κιβωρίου συγκλειόμενον ἢ
περιγραφόμενον ἱερὸν ἔδαφος · ἐν ᾧ πληροῦται καὶ ὁ
προφητικὸς λόγος, ὁ λέγων · « Εἰργάσατο σωτηρίαν
ἐν μέσῳ τῆς γῆς ὁ Θεός. » Εἰ μὴ γὰρ οὕτω ταχθείη,
πῶς ἂν οἱ ἐν Ἰνδίᾳ τελοῦντες τὸ μέγα τοῦτο μυστήριον,
καὶ πιστεύοντες αὐτὸ ἐκεῖνο τὸ σῶμα τοῦ Χριστοῦ
καὶ Θεοῦ ἡμῶν εἶναι σταυρούμενον, καὶ θαπτόμενον,
καὶ ἀνιστάμενον, ταύτην τὴν σωτηρίαν ἐν μέσῳ τῆς
γῆς φήσαιεν ἂν ἐργάσασθαι τὸν Δεσπότην; Πῶς δὲ
οἱ τὰς Βενετικὰς νήσους οἰκοῦντες πιστοὶ, τὸ αὐτὸ C
μετὰ σωζομένης διανοίας εἰσδέξονται, πάντων ὁμολο-
γούντων ἐν Ἱεροσολύμοις περιγεγράφθαι τῆς γῆς τὸ
μεσότατον; Ἢ πάντως ὅτι μεθόριον οὐρανοῦ τε καὶ
γῆς οὖσα ἡ ἁγία τράπεζα, καὶ αὖθις κατὰ τὸ μέσον
τοῦ οὐρανίου κύκλου ὑφισταμένη, καὶ τὸν μέσον τῶν
κιόνων, τῶν κύκλῳ ῥιπιδίων κατὰ τὴν στάσιν ἔχουσα
τόπον, ὅπουπερ ἂν εἴη αὕτη ἐν μέσῳ τῆς γῆς,
τὴν σωτηρίαν ἐργάζεσθαι ἐπεμφαίνει · ἔνθα δὴ καὶ
πάντα τὰ τοῦ πάθους ὑπέστη Κύριος, τὴν προδοσίαν,
τὴν κρίσιν, τὰ πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὸν στα-
ρόν. Εἰκότως οὖν οἱ ἅγιοι Πατέρες, οὕτω τελεῖσθαι
ταῦτα καὶ προσφέρεσθαι ἐδογμάτισαν.

Ὁ δίσκος ἐστὶν ἀντὶ τῶν χειρῶν Ἰωσὴφ καὶ Νικο-
δήμου, τῶν κηδευσάντων τὸν Χριστόν. Ἑρμηνεύεται
δὲ δίσκος, ἔνθα ὁ Χριστὸς ἐπιφέρεται, κύκλος οὐρα- D
νοῦ, ἐμφαίνων ἐν μικρᾷ περιγραφῇ τὸν νοητὸν ἥλιον,
Χριστὸν ἐν τῷ ἄρτῳ ὁρώμενον. Τὸ δὲ ποτήριόν ἐστιν,
ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ ἐκβληθὲν αἷμα τῆς
κεντηθείσης ἀχράντου πλευρᾶς, καὶ χειρῶν καὶ πο-
δῶν τοῦ Χριστοῦ ἀπομύρισμα. Ποτήριον δὲ πάλιν
ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει κυρίως ἡ σοφία,
ἤτοι ὁ Υἱὸς τοῦ Θεοῦ · ἐκέρασε γὰρ τὸ αἷμα αὐτοῦ,
ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προέθηκεν ἐν τῇ ἁγίᾳ
τραπέζῃ, λέγων τοῖς πᾶσι · Πίετε τὸ αἷμά μου ἀντὶ
οἴνου κεκερασμένου ὑμῖν, « εἰς ἄφεσιν ἁμαρτιῶν »
καὶ εἰς ζωὴν αἰώνιον. Χριστὸς ἡ τοῦ Θεοῦ σοφία καὶ
δύναμις, τὴν ἑαυτοῦ σάρκα ᾠκοδόμησεν, ἐξ ἀπειράν-

rebus ad vitam tuendam pertinentibus sollicitudine, quasi regem magnum per communionem excepturos. Sacrorum ad sanctam mensam depositio imitationem habet tunc quidem temporis cœnaculi crucifixi : paulo post autem eadem, et crucis elationem, et ad finem, sepulturam designat et resurrectionem, et illinc assumptionem. Ut enim ne singulatim rerum gestarum eo tempore, tempus, occasionem, et locum distinguentes sancti Patres, adhuc etiam translationum aliarum, et altarium plurium indigerent, indeque culpabile Ecclesiæ mysterium exsisteret, quidnam considerant aut faciunt? Profecto quod valde magnificum et præclarum, ac in eis inhabitante Spiritu dignum, opificii divini modum imitati sunt, quatenus homini licet imitari conficereque divina : atque ut cœlum, quod supra sacram mensam eminet laquearium conficiunt : ut totam terram præfiniunt, quod a quatuor columnis ejus quod ciborium appellatur, conclusum aut circumscriptum sacrum solum, in quo completur et propheticus sermo, inquiens : « Operatus est salutem in medio terræ Deus [84]. » Nisi enim ita fuisset actum, quomodo qui in India perficiunt magnum hoc mysterium, et credunt illud corpus Christi et Dei esse nostri, crucifixum et sepultum, et resurgens, hanc salutem in medio terræ dicerent Dominum operari? Quomodo item fideles Veneticas insulas inhabitantes, idem sensu conservato reciperent; omnibus confitentibus, in Hierosolymis circumscriptum esse ipsissimum medium terræ? Aut omnino, quia confinium cœli et terræ cum sancta mensa sit, et item in medio cœlestis orbis subsistat, et medium columnarum quæ sunt in circuitu flabella, statione teneat locum, ubi ea cumque fuerit in medio terræ, salutem fieri demonstrat : ubive omnia quæ passionis sunt, Christus subiit, proditionem, judicationem, quæ ante crucem, quæ et post crucem acta sunt. Merito igitur sancti Patres, ita perfici hæc et offerri censuerunt.

Discus est vice manuum Joseph et Nicodemi, qui funus Christo celebrarunt. Discus est autem, ubi Christus infertur, si velis interpretari; cœli orbis indicans in parva circumscriptione spiritualem solem, Christum in pane visum. Poculum est vice vasis illius quod accepit sanguinem emissum ab immaculato latere puncto, et pretiosus a manibus et pedibus defluxus. Poculum rursum est ad exemplum crateræ illius quam describit proprie Sapientia sive Filius Dei : miscuit enim sanguinem suum vice vini illius, et proposuit in sancta mensa, inquiens omnibus : Bibite sanguinem meum, pro vino misto vobis, « in remissionem peccatorum [85], » et in vitam æternam. Christus, Dei sapientia et virtus, suam carnem ædificavit, ex virum non ex-

[84] Psal. LXXIII, 12. [85] Matth. XXVI, 28.

Digitized by Google

pera casta Matre et Virgine, præpurgata anima et corpore : « et Verbum caro factum est, et habitavit in nobis [56], » et subfulciit columnas septem, sancti Spiritus septenarium donum, quemadmodum ait Isaias, « Requiescent enim super eum septem Spiritus [57], » id est, septem operationes Spiritus : in quibus sunt adversa vitiis totidem. « Mactavit suas victimas [58], » prophetas suo tempore interfectos ab infidelibus pro veritate, et clamantes : « Propter te morti addicimur tota die, reputati sumus quasi oves occisionis [59]. » Et miscuit in cratera suum vinum, in supersancta Virgine suam deitatem uniens carni, ut vinum merum. Servator enim genitus est ex ea inconfuse, et absque conjuge, Deus et homo, et paravit suam mensam, agnitionem sanctæ Trinitatis quæ annuntiatur : misitque suos servos in universum mundum, qui invitarent omnes gentes ad agnitionem Dei, et mentis indigis sit, nondum adeptis sancti Spiritus gratiam : « Venite, comedite meum panem, et bibite vinum quod miscui vobis [60]. » Divinam suam carnem et sanctum suum sanguinem dedit nobis Christus edendum et bibendum in remissionem peccatorum. Disci velamentum est, pro sudario quod super ejus facie erat, circumtegens ipsam in sepulcro. Velum (id est, aer) etiam dicitur vice lapidis quo munitum est a Joseph monumentum, quem obsignavit Pilati custodia. Ecce crucifixus est Christus, sepulta est vita, munitum est sepulcrum, obsignatus est lapis.

Ablutio manuum est vice ejus qui se lavit, et « Innocens sum, » vociferatus est. Nobis autem sacerdotibus innuit, ut puri conscientia, mente et cogitatione (quæ sunt manus animarum nostrarum) cum timore et mansuetudine et clementia omni accedamus ad sanctam mensam. « Lavabo inter innocentes manus meas. » Addam puris sacerdotibus duas naturas meas : animæ manus dico, lavabo in castitate. « Et circumdabo altare tuum, Domine [61] : » quia semper Deo assidere debemus, nusquam ad libidinosum peccatum irruentes. Et aliter : Serviam tibi, et communicabo cum fideli populo. « Ut audiam ego vocem laudis tuæ. » Acclamationem innuit horum verborum, « Tua de tuis tibi offerentes. » Et aliter. Lectionem inquit hanc : Audiam et docebo eumdem populum, scilicet fidelem : et audientes custodiemus simul mandata tua. « Et narrabo omnia mirabilia tua : » mysticas, inquam, orationes humanitatis. « Domine, dilexi decorem domus tuæ : » de Ecclesia ait ; decor autem Ecclesiæ, fidelis populus est. « Et locum tabernaculi gloriæ tuæ ; » castum uterum Virginis dicit, in qua habitavit. Et aliter : « Locum ubi tu inhabitas. »

A δρου Μητρὸς ἁγνῆς καὶ Παρθένου, τῆς προκαθαρθείσης ψυχῇ καὶ σώματι· « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· » καὶ ὑπήρεισε στύλους ἑπτὰ, τὴν τοῦ ἁγίου Πνεύματος ἑβδομάδα· ὡς φησιν ὁ Ἡσαΐας· « Ἐπαναπαύσεται γὰρ ἐπ' αὐτὸν ἑπτὰ Πνεύματα. » Ἦγουν αἱ ἑπτὰ ἐνέργειαι τοῦ Πνεύματος· ἐν οἷς εἰσιν ἀντίθετα τῆς πονηρίας ὁμοίως. « Ἔσφαξε τὰ ἑαυτῆς θύματα, » τοὺς προφήτας τοὺς κατὰ καιρὸν ἀναιρουμένους παρὰ τῶν ἀπίστων ὑπὲρ τῆς ἀληθείας, καὶ βοῶντας, « Ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. » Καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς εἰς τὴν ὑπεραγίαν Παρθένον, τὴν ἑαυτοῦ θεότητα, ἑνώσας τῇ σαρκὶ ὡς οἶνον ἄκρατον. Ὁ Σωτὴρ γὰρ ἐγεννήθη ἐξ αὐτῆς ἀσυγχύτως καὶ ἀσυνδιαστως, B Θεὸς καὶ ἄνθρωπος, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν, τὴν ἐπίγνωσιν τῆς ἁγίας Τριάδος καταγγελλομένην· ἀπέστειλε δὲ τοὺς ἑαυτῆς δούλους, εἰς τὸν σύμπαντα κόσμον προσκαλουμένους πάντα τὰ ἔθνη εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ, καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπε, τοῖς μήπω κεκτημένοις τοῦ ἁγίου Πνεύματος τὴν χάριν· « Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. » Τὴν θείαν αὐτοῦ σάρκα, καὶ τὸ ἅγιον αὐτοῦ αἷμα δέδωκεν ἡμῖν ὁ Χριστὸς ἐσθίειν καὶ πίνειν εἰς ἄφεσιν ἁμαρτιῶν. Τὸ δισκοκάλυμμά ἐστιν, ἀντὶ τοῦ σουδαρίου, ὃ ἦν ἐπὶ τοῦ προσώπου αὐτοῦ, περικαλύπτον αὐτὸν ἐν τῷ τάφῳ. Τὸ δὲ καταπέτασμα, ἤγουν ὁ ἀήρ ἐστι, καὶ λέγεται ἀντὶ τοῦ λίθου, οὗ ἠσφάλισε τὸ μνημεῖον ὁ C Ἰωσὴφ, ὅνπερ ἐσφράγισεν ἡ τοῦ Πιλάτου κουστωδία. Ἰδοὺ ἐσταύρωται ὁ Χριστός· τέθαπται ἡ ζωή· ἠσφαλίσθη ὁ τάφος· ἐσφράγισται ὁ λίθος.

Ἡ δὲ νίψις τῶν χειρῶν, ἀντὶ τοῦ νίψαντος, καὶ, « Ἀθῷός εἰμι, » φωνήσαντος. Καθ' ἡμᾶς δὲ τοὺς ἱερεῖς δηλοῖ, ἵνα καθαριεύοντες τὸ συνειδὸς, νοῦν καὶ διάνοιαν, ἅτινά εἰσι χεῖρες τῶν ἡμετέρων ψυχῶν, μετὰ φόβου καὶ πραότητος καὶ ἐπιεικείας πάσης, προσίωμεν τῇ ἁγίᾳ τραπέζῃ. « Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου. » Προσθήσω τοῖς καθαροῖς ἱερεῦσι τὰς δύο φύσεις μου· τὰς τῆς ψυχῆς χεῖρας λέγω, νίψομαι ἐν ἀγνότητι. » Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε· » ὅτιπερ ἀεὶ τῷ Θεῷ προσεδρεύειν ὀφείλομεν, οὐδαμοῦ πρὸς τὴν ἄσωτον ἁμαρτίαν ἐμπίπτοντες. Καὶ ἄλλως· Λειτουργήσω σοι, καὶ μετα- D δώσω τῷ πιστῷ λαῷ. « Τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου, » τὴν ἐκφώνησιν δηλοῖ τοῦ, « Τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέροντες. » Καὶ ἄλλως· Τὴν ἀνάγνωσιν λέγει· Ἀκούσω καὶ διδάξω τὸν αὐτὸν λαὸν, ἤγουν τὸν πιστόν· καὶ ἀκούσαντες φυλάξομεν ἅμα τὰς ἐντολάς σου. « Καὶ διηγήσομαι πάντα τὰ θαυμάσιά σου· » τὰς μυστικὰς λέγω εὐχὰς τῆς φιλανθρωπίας. « Κύριε, ἠγάπησα εὐπρέπειαν τοῦ οἴκου σου· » τὴν Ἐκκλησίαν λέγει. Εὐπρέπεια δὲ τῆς Ἐκκλησίας, ὁ πιστὸς λαός ἐστι. « Καὶ τόπον σκηνώματος δόξης σου· » τὴν καθαρὰν μήτραν λέγει τῆς Παρθένου, ἐν ᾗ ἐσκήνωσε. Καὶ ἄλλως· « Τὸν τόπον ἔνθα σὺ κατοικεῖς.

[56] Joan. I, 14. [57] Isa. XI, 2. [58] Prov. IX, 2. [59] Psal. XLIII, 22. [60] Prov. IX, 2. [61] Psal. XXV, 6 seq.

Digitized by Google

Τὴν δέησιν δὲ ἀποπληροῦντες ὑπὲρ τῶν ἐνεχθέντων τιμίων δώρων, λέγει· « Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, τοῦ τε Προδρόμου, καὶ ἀποστόλων καὶ πάντων τῶν ἁγίων τὸν βίον καὶ τὰς πράξεις μνησθέντες, οὕτω καὶ ἡμεῖς ἕτερος ἑτέρου ἀμιλληθέντες, τὴν ζωὴν ἡμῶν ἅπασαν μετὰ τῶν ἁγίων παραδώσωμεν τῷ Θεῷ σὺν ἔργοις ἀγαθοῖς· διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. » Διὰ τῆς συμπαθείας τοῦ Υἱοῦ σου τῆς εἰς ἡμᾶς, εὐλογοῦμέν σε σὺν ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. « Εἰρήνη πᾶσιν. » Ὁμογνωμοσύνην καὶ ἀγάπην καὶ ταυτότητα ἀλλήλοις συνάπτοντες, τοῦ Κυρίου τὴν μίμησιν αὐτοὶ ἀντιλαμβάνομεν, εἰρήνην τὴν οἰκείαν ἀφιέντος, καὶ δι.δόντος, καὶ ἐκφωνοῦντος, ἥρεμον τὸν νοῦν πάντες σχῶμεν. « Καὶ τῷ Πνεύματί σου. » Τουτέστι, Τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν δὸς ἡμῖν, ἵνα τῷ Πνεύματι εἰρηνεύοντες, ἀχώριστοι τυγχάνωμεν. « Ἀγαπήσωμεν ἀλλήλους. » Τὰς ψυχὰς ἀλλήλων συνδέσμῳ συνάψαντες, καὶ οὕτως δυνησόμεθα μετὰ παῤῥησίας ἀπολαῦσαι τῆς προκειμένης τραπέζης. Τὸ, « Ἀγαπήσωμεν ἀλλήλους, » δηλοῖ καὶ τὴν πρὸς πάντας ἀγάπην, καὶ εἰς ἑαυτοὺς ἀλλήλους, καὶ τὴν τοῦ Θεοῦ γενησομένην ὁμόνοιαν, καὶ τὴν τῶν αἰσθήσεων πάροδον, καὶ τὴν τῶν νοητῶν φανέρωσιν, καὶ τὴν τοῦ ἁγίου συμβόλου τῆς πίστεως, καὶ τὴν καινὴν τοῦ θείου μυστηρίου διαδοχήν. « Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ. » Τὰς ἐνθυμήσεις τῶν διανοιῶν ἡμῶν ἄρωμεν ἀπὸ τῶν γηΐνων ἔργων καὶ ἐνθυμημάτων. « Πρόσχωμεν ἐν τῇ σοφίᾳ. » Ἤγουν ἐν τῷ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ, καὶ εἰς τὴν σοφίαν τοῦ θείου συμβόλου τοῦ, παρὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων ἐκτεθέντος, ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ προσέξωμεν· τουτέστι, τοῦ « Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα. » Καὶ ἐκόντες καὶ συνιέντες μετ' ἠρέμου νοὸς προσέλθωμεν τῇ μυστικῇ ζωοθυσίᾳ. Τὸ θεῖον τῆς ὀρθοδόξου πίστεως σύμβολον λέγεσθαι διατέτακται, ἵν' ἐκ τούτου γνώριμον εἴη τοῖς πᾶσιν, ὅτι ὁ εἷς τῆς ἁγίας Τριάδος ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ προανάρχου Πατρὸς, οὗτος διὰ τὴν ἡμετέραν σωτηρίαν ἄνθρωπος γέγονε, σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστάς. Οὐ κατὰ τὰς θείας ἐντολὰς, τὰ τελούμενα ταῦτα πράττομεν, ἵνα μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις εἰσαεὶ τῆς σωτηρίας ἡμῶν ἐνεργουμένης, οὕτω φαινώμεθα ζῶντες ὁμοῦ καὶ πολιτευόμενοι. Καὶ τὰ μὲν πάθη σαρκὶ τοῦτον ὑπομεμενηκέναι ὁμολογῶμεν· ἀπαθῆ δὲ τούτου φυλάττεσθαι τὴν θεότητα· ἅμα δὲ, ἵνα τῇ ἐκφωνήσει τοῦ θείου τοῦδε συμβόλου, καὶ οἱ ἀγνῶτες καὶ ἀμαθεῖς, τούτου ἀκούοντες ᾀδομένου, διὰ παντὸς ἐν γνώσει ἔχωσι τὰ ἔκφορα τοῦ μυστηρίου τῆς πίστεως, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόῤῥητα. Ἡ δὲ τῶν θυρῶν κλεῖσις, καὶ ἡ ἐπάνωθεν τούτων ἐξάπλωσις τοῦ καταπετάσματος, ὡς οἱ ἐν τοῖς μοναστηρίοις εἰώθασι, καὶ ἡ διὰ τοῦ λεγομένου ἀέρος τῶν θείων ἐπικάλυψις, ὡς οἶμαι, τὴν νύκτα ἐκείνην δηλοῖ, καθ' ἣν ἡ τοῦ μαθητοῦ προδοσία προέβη, καὶ ἡ πρὸς Καϊάφαν ἀπαγωγὴ, καὶ ἡ πρὸς Ἄνναν πα-

Supplicatione expleta pro illatis pretiosis donis, ait : « Sanctissimæ, immaculatæ, superbenedictæ dominæ nostræ Deiparæ, Præcursorisque, et apostolorum, et omnium sanctorum vitam et facta recordati, ita et nos alter cum altero contendentes, vitam nostram universam cum sanctis commendemus Deo cum operibus bonis : per miserationes unigeniti tui Filii, cum quo benedictus es in sæcula sæculorum : » per compassionem Filii tui, quam habet in nos, benedicimus te cum sancto Spiritu, nunc et semper et in sæcula. « Pax omnibus : » concordiam, et dilectionem, et eumdem sensum, inter nos invicem coalescentes, Domini imitationem ipsi arripiamus, pacem suam relinquentis, et dantis, et exclamantis, quietam mentem omnes habeamus. « Et spiritui tuo : » id est, tecum unionem individuam da nobis, ut spiritu pacem agitantes inseparabiles simus. « Diligamus invicem : » animos alii aliorum conjunctione copulantes, et ita poterimus audacter et libere frui proposita mensa. Hoc, « Diligamus alii alios, » significat et charitatem in omnes, et in seipsos invicem, et Dei futuram concordiam, et sensuum transitum, et spiritalium patefactionem, et sancti Symboli fidei, et novam divini mysterii successionem. « Januas, januas, in sapientia : » cogitationes mentium nostrarum tollamus a terrenis operibus et cogitationibus. « Attendamus in sapientia : » id est, in Filio et Verbo Dei, et ad intelligentiam divini Symboli a sanctis et divinis Patribus expositi, in Dei Ecclesia attendamus, id est, « Credo in unum Deum, Patrem omnipotentem : » ac volentes et intelligentes, cum quieta mente accedamus ad mysticum et vivificum sacrificium. Divinum orthodoxæ fidei Symbolum dici constitutum est, ut ex hoc notum sit omnibus unum e sancta Trinitate, Unigenitum Filium et Sermonem Patris initio carentis, ipsum propter nostram salutem hominem factum fuisse carne sumpta ex sancta Virgine, crucifixum, et sepultum, et resurgentem. Non divino jussu his ritibus utimur, ut non verbis duntaxat, sed et operibus in perpetuum salutem nostram operantes, ita appareamus viventes simul et conversantes. Ac passiones quidem carne hunc sustinuisse confitemur : impatibilem vero hujus conservatam fuisse deitatem, simulque ut pronuntiatione divini hujus Symboli, et ignorantes et imperiti audientes dum hoc canitur, perpetuo recognoscant pronuntiata mysterii fidei, et multorum auribus non abdita. Januarum autem clausio, et supra has veli explicatio, ut in monasteriis assolent, et per eum qui *aer* appellatur, divinorum velatio, noctem (ut arbitror) illam indicat, in qua discipuli proditio processit, et ad Caipham abductio, et ad Annam præsentatio, et falsa testimonia, et procul dubio illusiones, et colaphorum incussiones, et alia quæ tum temporis contigerunt. Quam ob rem enim aliam, hoc velamen *aer* nominatus est, quam omnino quia occultatus ab eo tenebro-

Digitized by Google

sus aer dictæ noctis designatur? quando et Petrus ille magnus pro foribus stans, intercessione agniti pontifici discipuli introductus est in aulam : ubi et ancilla ei occurrens, et qui ad pyram astabant intuentes, carpebant, et reliqua consecuta sunt ei, quæ ad præcipitium abnegationis perpulerunt : quod qui lapsum admiserit minor evadat quam ut aut efferatur, aut glorietur.

A ράστασις, καὶ αἱ ψευδομαρτυρίαι· ναὶ μὴν καὶ οἱ ἐμπαιγμοὶ, καὶ οἱ κολαφισμοὶ, καὶ τἆλλα ὅσα τοτηνικαῦτα συμβέβηκε. Διὰ τί ἄλλο γὰρ τὸ κάλυμμα τοῦτο ἀὴρ ὠνομάσθη, ἢ πάντως διὰ τὸ τὸν ἐπικαλυπτόμενον παρ' αὐτοῦ σκοτεινὸν ἀέρα, τῆς εἰρημένης νυκτὸς εἰκονίζεσθαι ; Καθ' ἣν καὶ Πέτρος ὁ μέγας, ἔξω τῆς θύρας ἑστὼς, πρεσβείᾳ τοῦ ἐγνωσμένου τῷ ἀρχιερεῖ μαθητοῦ, ἔνδον ἐγένετο τῆς αὐλῆς, ἔνθα καὶ ἡ παιδίσκη τούτῳ ἐντυχοῦσα, καὶ οἱ πρὸς τῇ πυρᾷ παρεστῶτες, διήλεγχον, καὶ τὰ λοιπὰ τούτῳ ἐπηκολούθησαν, ὅσα πρὸς τὸν κρημνὸν τῆς ἀρνήσεως κατήπειγον· δι' ἃ τὸ πτῶμα συγχωρηθέντα, ἧττονα γενέσθαι τῆς ἐπάρσεως, ἢ τῆς καυχήσεως.

Sublato autem aere, et velo contracto, januisque apertis, tempus matutinum illud innuitur, quando abduxerunt ipsum, et tradiderunt Pontio Pilato præsidi. Accedit sacerdos, conversatur cum angelicis Potestatibus, non jam quasi in terreno loco stans, sed in cœlesti altari, coram formidabili altari, throno Dei assistens, contemplatur magnum et inenarrabile et ininvestigabile Christi mysterium. Gratias agit, concionatur de resurrectione, obsignat fidem sanctæ Trinitatis. Accedit albis vestitus angelus, lapidem e monumento manu revolvens, specie sua præ se id ferens, clamans voce tremula, et per diaconum prædicans triduanam resuscitationem : et extollens velum, clamat diaconus, inquiens : « Stemus honeste, stemus cum timore. » Ecce primus dies ! « Attendamus sanctæ oblationi. » Ecce dies secundus ! « In pace offerentes. » Ecce tertius dies ! Et aliter : « Stemus honeste : » mentes nostras firmas habentes, audiamus mysticum et vivificum sacrificium. Populus conclamat resurrectionis Christi gratiam : « Oleum pacis, sacrificium laudis. » Sacerdos vero docet populum, quam per gratiam Christi didicit trinam Dei cognitionem : « Gratia sanctæ et consubstantialis Trinitatis sit cum omnibus vobis. » Alii sacerdotes proferunt ita : « Gratia Domini nostri Jesu Christi, et charitas Dei Patris, et communicatio sancti Spiritus sit cum omnibus vobis. » Populus una confitetur et orat, inquiens : « Et cum spiritu tuo : ut superius diximus, ita agamus. Vel ita : Si egerimus, ut superius diximus, gratia et charitas Domini cum omnibus nobis. Ipse enim propter charitatem suam quam in nobis demonstravit, Filium suum in mundum misit, et corpus ejus propitiationem in vivum sacrificium dedit, et sanguinem ejus in salutare poculum lætitiæ.

B Αἰρομένου δὲ τοῦ ἀέρος, καὶ τοῦ καταπετάσματος συστελλομένου, τῶν θυρῶν τε ἀνοιγομένων, ἡ πρωΐα διατυποῦται, καθ' ἣν ἀπήγαγον αὐτὸν, καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Πρόσεισιν ὁ ἱερεὺς, συνέρχεται ταῖς ἀγγελικαῖς δυνάμεσιν, οὐκέτι ὡς ἐν ἐπιγείῳ τόπῳ ἑστὼς, ἀλλ' ὡς ἐν τῷ ἐπουρανίῳ θυσιαστηρίῳ, ἔμπροσθεν τοῦ φοβεροῦ θυσιαστηρίου τοῦ θρόνου τοῦ Θεοῦ παριστάμενος, θεωρεῖ τὸ μέγα καὶ ἀνερμήνευτον καὶ ἀνεξιχνίαστον τοῦ Χριστοῦ μυστήριον. Ὁμολογεῖ τὴν χάριν, κηρύττει τὴν ἀνάστασιν, σφραγίζει τὴν πίστιν τῆς ἁγίας Τριάδος. Πρόσεισι λευχειμονῶν ὁ ἄγγελος, τὸν λίθον τοῦ τάφου ἀποκυλίων τῇ χειρί· δεικνύων τῷ σχήματι, βοῶν τῇ φωνῇ ἐντρόμῳ· καὶ διὰ τοῦ διακόνου κηρύττων τὴν τριήμερον ἔγερσιν· καὶ ὑψῶν τὸ
C καταπέτασμα, φωνεῖ ὁ διάκονος λέγων· « Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· » Ἰδοὺ πρώτη ἡμέρα. « Πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ· » Ἰδοὺ δευτέρα ἡμέρα. « Ἐν εἰρήνῃ προσφέροντες· » Ἰδοὺ τρίτη ἡμέρα. Καὶ ἄλλως· « Στῶμεν καλῶς. » Τὰς διανοίας ἡμῶν στερεωμένας ἔχοντες, ἀκούσωμεν τῆς μυστικῆς ζωοθυσίας. Ὁ λαὸς βοᾷ τὴν τῆς ἀναστάσεως τοῦ Χριστοῦ χάριν· « Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως. » Ὁ δὲ ἱερεὺς διδάσκει τὸν λαὸν, ἣν διὰ τῆς χάριτος τοῦ Χριστοῦ μεμάθηκε τριαδικὴν θεογνωσίαν. « Ἡ χάρις τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, εἴη μετὰ πάντων ὑμῶν. » Ἄλλοι δὲ ἱερεῖς προφέρουσιν οὕτως· « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία
D τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν. » Ὁ λαὸς συνομολογεῖ, καὶ συνεύχεται λέγων· « Καὶ μετὰ τοῦ πνεύματός σου. » Ὡς ἀνωτέρω ἔφημεν, οὕτω πράξωμεν. Ἢ οὕτως· Ἐὰν πράξωμεν ὡς ἀνωτέρω ἔφημεν, ἡ χάρις καὶ ἡ ἀγάπη τοῦ Κυρίου μετὰ πάντων ἡμῶν. Αὐτὸς γὰρ διὰ τὴν ἀγάπην αὐτοῦ, ἣν εἰς ἡμᾶς ἐνεδείξατο, τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἀπέστειλε, καὶ τὸ σῶμα αὐτοῦ ἱλασμὸν εἰς τὴν ζωοθυσίαν δέδωκε, καὶ τὸ αἷμα αὐτοῦ, τὸ ῥύσιον ποτήριον εὐφροσύνης.

Deinde sacerdos oculos attollens (9) in supernam illam Jerusalem supercœlestem, in qua stantes erant pedes nostri ante lapsum, in atriis tuis, Jerusalem, in montem sanctum ejus clamat : « Aspicite, sursum habeamus corda. » Omnes testificantur, inquientes : « Habemus ad Dominum. » Sacerdos : « Gratias agamus Domino. » Videte.

Εἶτα πάντας ὁ ἱερεὺς ἀναβιβάζων εἰς τὴν ἄνω Ἱερουσαλὴμ τὴν ἐπουράνιον, ἐν ᾗ ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν πρὸ τῆς ἐκπτώσεως, « Ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλὴμ, εἰς τὸ ὄρος τὸ ἅγιον αὐτοῦ, βοᾷ, Βλέπετε, ἄνω σχῶμεν τὰς καρδίας. » Οἱ πάντες διαμαρτύρονται λέγοντες· « Ἔχομεν πρὸς τὸν Κύριον. » Ὁ ἱερεύς· « Εὐχαριστήσωμεν τῷ Κυρίῳ. »

(9) Græce, *omnes erigens.*

Digitized by Google

Βλέπετε, « Ἄνω σχῶμεν τὰς καρδίας. » Ἀπὸ τῶν γηΐνων ἄρωμεν τὰς αἰσθήσεις εἰς τὸν ἄνω βασιλέα, καὶ τὰ αὐτοῦ ἀρεστὰ πράξωμεν. « Εὐχαριστήσωμεν τῷ Κυρίῳ. » Ἤγουν τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν καὶ ἀντάλλαγμα, εὐχαριστήριον ὕμνον ἀπονείμωμεν τῷ Κυρίῳ· καὶ τὴν ἐφ' ἧς ἐσώθημεν τροπὴν, εὐχαριστίαν καὶ δόξαν ἀπονείμωμεν τῷ Κυρίῳ. Ὅτι « Ἄξιον καὶ δίκαιόν ἐστι, » φησὶν ὁ λαός. Τὸ καταπέτασμα λέγεται διὰ τὸν λέγοντα Ἀπόστολον, ὅτι « Ἔχομεν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ Χριστοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν σωτηρίας, καὶ πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερεὺς μέγας ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ. » Εἶτα πρόεισιν ὁ ἱερεὺς μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος τοῦ Θεοῦ, μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως, ἀπαγγέλλων τῷ Θεῷ, καὶ συλλαλῶν μόνος αὐτῷ, οὐκέτι διὰ νεφέλης, ὡς ποτε Μωσῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἀλλ' ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτεύων· καὶ μεμύηται τὴν τῆς ἁγίας Τριάδος θεογνωσίαν καὶ πίστιν, καὶ μόνος μόνῳ προσλαλεῖ Θεῷ μυστήρια, μυστήρια ἀπαγγέλλων ἐν μυστηρίοις, τὰ κεκρυμμένα πρὸ τῶν αἰώνων καὶ ἀπὸ γενεῶν, νῦν δὲ φανερωθέντα ἡμῖν διὰ τῆς ἐπιφανείας τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἅπερ ἡμῖν ἐξηγήσατο ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. Καθὼς γὰρ ἐλάλησεν ὁ Θεὸς τῷ Μωσῇ ἀοράτως, καὶ ὁ Μωσῆς πρὸς τὸν Θεόν· οὕτω καὶ ὁ ἱερεὺς, μέσον τῶν δύο Χερουβὶμ ἑστὼς ἐν τῷ ἱλαστηρίῳ, καὶ κατακόπτων διὰ τὴν ἄστεκτον καὶ ἀθεώρητον τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα, τὴν οὐράνιον λατρείαν νοερῶς ὁρᾷ, καὶ μυεῖται τῆς ζωαρχικῆς καὶ μοναρχικῆς ὑπερουσίου Τριάδος τὴν θείαν ἔλλαμψιν, τοῦ μὲν Θεοῦ καὶ Πατρὸς, τὸ ἄναρχον καὶ ἀγέννητον· τοῦ δὲ Υἱοῦ καὶ Λόγου, τὸ συνάναρχον καὶ ὁμοούσιον, καὶ γεννητόν· τοῦ δὲ ἁγίου Πνεύματος, τὸ συναΐδιον καὶ ὁμοφυὲς καὶ ἐκπορευτὸν, Τριάδα ἁγίαν κατὰ τὴν τῶν ὑποστάσεων (εἴτουν προσώπων) ἀσύγχυτον ἀϊδιότητα, κατὰ δὴ τὴν τῆς φύσεως ἕνωσιν, ἀδιαίρετον καὶ ἀδιάστατον μίαν θεότητα, καὶ βασιλείαν καὶ δόξαν. Καὶ νοερῶς ὁρᾷ καὶ βοᾷ τὴν τῶν Σεραφικῶν δυνάμεων τρισάγιον δοξολογίαν, τῶν μὲν Χερουβὶμ ἐπισκιαζόντων, καὶ τῶν Σεραφὶμ κεκραγότων, μεθ' ὧν βοᾷ· « Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα. »

Εἶτα ὁ λαὸς, ἀντὶ τῶν Χερουβικῶν δυνάμεων καὶ τετραμόρφων ζώων βοᾷ· « Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ· « τουτέστιν ὁ Τρισάγιος καὶ εἷς Θεὸς τῶν δυνάμεων. « Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » *Ὡσαννά* ἐστι, Σῶσον δὴ, ὡς φησιν· « Ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » — « Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα· » *ᾄδοντά* ἐστιν ὁ ἀετός· *βοῶντά* ἐστιν, ὁ βοῦς· *κεκραγότα*, ὁ λέων· καὶ *λέγοντα*, ἄνθρωπος. Λογικὸς ἄνθρωπος ἀντὶ τῶν Χερουβικῶν δυνάμεων, καὶ τὰ τετράμορφα ζῶα βοᾷ· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ. » Ἅγιος μὲν ὁ Πατὴρ, ὡς κυρίως

A « sursum habeamus corda : » a terrenis, tollamus sensus ad supernum Regem, et ejus placita faciamus. « Gratias agamus Domino : » nimirum qui dedit semetipsum, pretium redemptionis pro nobis, et mutuum gratiis agendis hymnum Domino reddamus, et vice salutis qua servati sumus, gratiarum actionem et gloriam reddamus Domino. « Dignum et justum est, » ait populus. Velum dicitur propter Apostolum inquientem : « Habemus fiduciam in introitu sanctorum in sanguine Jesu Christi, quam renovavit nobis viam salutis novam et viventem, per velamen, id est, carnem suam, magnus Sacerdos in domo Dei[62]. » Deinde progreditur sacerdos cum fiducia ad thronum gratiæ Dei, cum veraci corde, in plenitudine fidei conferens sermo-
B nes cum Deo, et solus cum eo colloquens, non jam per nubem, ut aliquando Moses in tabernaculo testimonii, sed revelata facie, gloriam Domini oculis cernens : ac sanctæ Trinitatis divina cognitione et fide initiatur, et solus cum solo Deo mysteria loquitur, mysteria annuntians in mysteriis, occulta ante sæcula et a generationibus : nunc autem manifestata nobis per apparitionem Filii Dei, quæ nobis enarravit unigenitus Filius qui erat in sinu Patris. Ut enim locutus est Deus Mosi invisibiliter, et Moses Deo, ita et sacerdos in medio duorum Cherubim stans in propitiatorio, et se concutiens propter intolerabilem et inspectabilem Deitatis gloriam et splendorem, cœlestem cultum
C mente cernit, et initiatur vitæ principis et singularis principatus supersubstantialis Trinitatis ; divina illuminatione et doctrina de Deo et Patre, quod principio carens et ingenitus sit : de Filio et Sermone, quod una principio carens et consubstantialis et genitus sit : de Spiritu sancto, quod coæternus sit et connaturalis et procedens : quæ est Trinitas sancta, secundum hypostaseon (id est personarum) inconfusam æternitatem, secundum naturæ unitatem individuam, et inseparabilem unam deitatem, et regnum, et gloriam. Atque mente cernit, et elata voce canit Seraphicarum Potestatum ter sanctam gloriæ celebrationem, ipsorum Cherubim obumbrantium, et Seraphim vociferantium, cum
D quibus clamat : « Victoriæ hymnum canentia. »

Deinde populus vice Cherubicarum virtutum et quadriformium animalium clamat : « Sanctus, Sanctus, Sanctus, Dominus Sabaoth ; » id est, ter sanctus et unus Deus virtutum. « Hosanna in excelsis, benedictus qui venit in nomine Domini. » *Hosanna*, est, serva, obsecro, ut ait : « Qui venit in nomine Domini. » — « Victoriæ hymnum canentia ; » *canentia*, ad aquilam ; *vociferantia*, ad bovem ; *clamantia*, ad leonem, et *dicentia*, ad hominem pertinet. Rationalis homo pro Cherubicis virtutibus, et quadriformia animalia vociferantur, « Sanctus, Sanctus, Sanctus : » hoc est, ter sanctus et unus

[62] Ephes. III, 12.

Digitized by Google

Deus virtutum, « Sanctus, Sanctus, Sanctus, Dominus Sabaoth. » Sanctus quidem Pater, ut præcipue sanctus et beatus; illa enim et sola beata natura Dei. Sanctus Filius, ut Sermo Dei et character hypostaseos ejus, et effigies exemplaris, et sigillum immobile, et incommutabilis natura: Filius quidem, ut ex ipso (scilicet ex Patre) natus impatibiliter, ut Verbum ex mente: et quod per ipsum facta sunt omnia visibiliaque et invisibilia, juxta Apostolum [63]. « Sermone enim Domini cœli firmati sunt, » ut ait David [64]. Sanctus vero et Spiritus sanctus, qui a Patre procedit et in Filio requiescit, et sanctificat omnia, et opera perficit, non perficitur; sanctificat, non sanctificatur. Quemadmodum enim sol fons et causa radii et illuminationis est, ac per radium nobis illuminatio communicatur, et ipsa est quæ nobis prælucet, et a nobis participatur, ita sane et Deus et Pater, fons est et causa Filii et sancti Spiritus. Spiritus a Patre procedens, per Filium communicatur et manifestatur. Vox autem *Dominus*, unit Patrem, et Filium, et Spiritum sanctum, et unum esse tria demonstrat. *Ter sanctus* Seraphim dicunt, complentes gloriæ celebrationem his verbis: *Dominus Sabaoth.* Singularem naturam ponentia, sanctam Trinitatem, ut et ab ipsis nobis testificatum sit sanctis Seraphim: nos vero fideles, Patrem, et Filium, et sanctum Spiritum, in quo perfectionem accepimus, cum angelis sentientes, intacite theologamur: est enim in personis Trinitas, unus vero Deus cui psallimus: « Benedictus qui venit in nomine Domini. Hosanna in excelsis. » Hebraicum ita habet: *Hosanna, Adonai, Asdina, Baruch, Pater, Abbath, Semma, Deniam, Sabaoth* (10). Deus virtutum qui voluit mactari vitulum saginatum: et vitulus qui semper mactatur volens, et semper vivens: qui perficit opus mystici sacrificii, et semper adventans per baptismum: sanctus es, Rex sæculorum, et omnis sanctimoniæ dator. Tu es omnium potens, qui sancta obsignas dona: sanctus vero et unigenitus tuus Filius Dominus noster Jesus Christus, ante sæcula ex te ineffabiliter genitus: sanctus autem et Spiritus tuus, totus sanctus, scrutans omnia, etiam profunda tua qui Deus es, per quem universa quæ in cœlo et super terram sunt, sanctificantur.

Flabella vero et diaconi, indicant Seraphim sex alis prædita, et multioculorum Cherubim effigiem. Etenim supermundanorum et supercœlestium supermundanam et spiritalem ordinationem pariter et terrena imitantur. Etenim quadriformia animalia, mutuis canlibus alia ab aliis vicissim excipientia clamant: primum quidem animal similitudine referens leonem clamat, *Sanctus:* secundum, si-

ἅγιος καὶ μακάριος· ἐκείνη γὰρ καὶ μόνη μακαρία φύσις, ἡ τοῦ Θεοῦ. Ἅγιος ὁ Υἱός, ὡς Λόγος Θεοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐκμαγεῖον τοῦ ἀρχετύπου καὶ σφραγὶς ἀκίνητος, καὶ ἀναλλοίωτος φύσις· Υἱὸς μὲν, ὡς ἐξ αὐτοῦ, ἤγουν ἐκ τοῦ Πατρὸς, γεννηθεὶς ἀπαθῶς, ὡς Λόγος ἐκ νοῦ, καὶ ὡς δι' αὐτοῦ γεγενῆσθαι τὰ πάντα, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, κατὰ τὸν Ἀπόστολον· « Τῷ γὰρ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, » ὥς φησιν ὁ Δαβίδ· ἅγιον δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον, καὶ ἁγιάζον τὰ πάντα, καὶ τελεσιουργὸν, μὴ τελειούμενον· ἁγιάζον, οὐχ ἁγιαζόμενον. Ὥσπερ γὰρ ὁ ἥλιος, πηγὴ καὶ αἰτία τῆς τε ἀκτῖνος καὶ τῆς ἐλλάμψεως ὢν, διὰ δὲ τῆς ἀκτῖνος ἡμῖν ἡ ἔλλαμψις μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς, καὶ μετεχομένη ὑφ' ἡμῶν· οὕτω δὴ καὶ ὁ Θεὸς καὶ Πατὴρ, πηγὴ οὖσα καὶ αἰτία Υἱοῦ καὶ ἁγίου Πνεύματος. Τὸ δὲ Πνεῦμα, ἐκ Πατρὸς ἐκπορευόμενον, δι' Υἱοῦ διαδίδοται καὶ πεφανέρωται. Τὸ δὲ εἰπεῖν, *Κύριος*, ἐνοῖ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἓν τὰ τρία δείκνυσι. Τρίτον Ἅγιος τὰ Σεραφὶμ λέγουσι, πληροῦντα τὴν δοξολογίαν εἰς τό· *Κύριος Σαβαὼθ*· ἐνιαίαν φύσιν τιθέντα, τὴν ἁγίαν Τριάδα, ὡς καὶ ὑπ' αὐτῶν ἡμῖν μεμαρτύρηται τῶν ἁγίων Σεραφίμ· ἡμεῖς δὲ οἱ πιστοὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἐν ᾧ τὴν τελειότητα ἐλάβομεν, σὺν ἀγγέλοις ἀσιγήτως θεολογοῦμεν δοξάζοντες· τοῦτο γὰρ ταῖς ὑποστάσεσι Τριάς· εἷς δὲ ὁ Θεὸς, ᾧ καὶ ψάλλομεν· « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ, ἐν τοῖς ὑψίστοις. » Τὸ Ἑβραϊκὸν οὕτω κεῖται· *Ὡσαννὰ, Ἀδωναΐ, Ἀσδινὰ, Βαρούχ, Πατὴρ, Ἀββὰθ, Σεμμὰ, Δενιαν, Σαβαώθ.* Ὁ Θεὸς τῶν δυνάμεων, ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτόν· καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἐκὼν, καὶ ἀεὶ ζῶν, ὁ τελεσιουργῶν τὴν μυστικὴν θυσίαν, καὶ ἀεὶ ἐπιφοιτῶν διὰ τοῦ βαπτίσματος· ἅγιος εἶ, Βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης δοτήρ. Σὺ εἶ ὁ παντοκράτωρ, ὁ σφραγίζων τὰ ἅγια δῶρα. Ἅγιος δὲ καὶ ὁ μονογενής σου Υἱὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πρὸ τῶν αἰώνων ἐκ σοῦ ἀῤῥήτως γεννηθείς· ἅγιον δὲ τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ ἐρευνῶν τὰ πάντα καὶ τὰ βάθη σοῦ τοῦ Θεοῦ· δι' οὗ ἅπαντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἁγιάζεται.

Τὰ δὲ ῥιπίδια καὶ οἱ διάκονοι, ἐμφαίνουσι τὰ ἐξαπτέρυγα Σεραφὶμ, καὶ τὴν τῶν πολυομμάτων Χερουβὶμ ἐμφέρειαν. Καὶ γὰρ κατὰ τὴν τῶν ὑπερκοσμίων καὶ ἐπουρανίων ὑπερκόσμιον καὶ νοερὰν τάξιν, οὕτω καὶ τὰ ἐπίγεια μιμοῦνται. Καὶ γὰρ τὰ τετράμορφα ζῶα, ἀντιφωνητικῶς ἀλλήλοις ἀντιδεχόμενα, βοῶσι· τὸ μὲν πρῶτον ζῶον, τὸ εἰς ὁμοίωμα λέοντος βοᾷ, Ἅγιος. Τὸ δὲ δεύτερον, τὸ εἰς ὁμοίω-

[63] Coloss. I, 16. [64] Psal. XXXII, 6.

(10) Hæc ex Psal. CXLII, 26, sic restitue: *Anna Adonai, hasliana: baruch habba.* « Quæso, Domine, prosperos fac: benedictus qui venit. » (Deinde chaldaico more:) *bisma dadonai sebaoth,* « in nomine Dei virtutum. »

Digitized by Google

μα μόσχου, βοᾷ, Ἅγιος. Τὸ δὲ τρίτον, τὸ εἰς ὁμοίωμα ἀετοῦ, βοᾷ, Ἅγιος. Τὸ δὲ τέταρτον, τὸ εἰς ὁμοίωμα ἀνθρώπου, βοᾷ, *Κύριος Σαβαώθ*. Ἐν τρισὶν ἁγιασμοῖς, εἰς μίαν θεότητα συνιοῦσι κυριότητα καὶ δύναμιν, καθὼς ὁ προφήτης τεθέαται, ὅτι « Εἶδα τὸν Κύριον ἐπὶ θρόνου καθήμενον ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰς Σεραφικὰς δυνάμεις κύκλῳ ἐστώσας, καὶ ἐκ τῆς φωνῆς ἐπλήσθη ὁ οἶκος καπνοῦ. » Τὸ δὲ, « Ἀπεστάλη ἓν τῶν Σεραφὶμ, καὶ εἶχεν ἄνθρακα ἐν τῇ χειρὶ, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, » σημαίνει τὸν ἱερέα τὸν κατέχοντα τὸν νοερὸν ἄνθρακα, Χριστὸν, τῇ λαβίδι τῆς χειρὸς αὐτοῦ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ ἁγιάζοντα καὶ καθαίροντα τοὺς προσδεχομένους καὶ μεταλαμβάνοντας. Καὶ γὰρ εἰς τὰ οὐράνια καὶ ἀχειροποίητα καὶ ἅγια εἰσῆλθεν ὁ Χριστὸς, καὶ ἐνεφανίσθη ἐν δόξῃ τῷ τοῦ Θεοῦ καὶ Πατρὸς προσώπῳ, ὑπὲρ ἡμῶν γενόμενος ἀρχιερεὺς μέγας, διεληλυθὼς τοὺς οὐρανούς· καὶ ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν Πατέρα, καὶ ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὡς καταρτισάμενον ἡμῖν τὸ ἅγιον καὶ συναΐδιον αὐτοῦ σῶμα καὶ τὸ τίμιον αἷμα, λύτρον ὑπὲρ πάντων ἡμῶν, καθὼς ὁ αὐτὸς λέγει· « Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ· καὶ θέλω ἵνα ὅπου ἐγώ εἰμι, καὶ οὗτοι ὦσι, καὶ θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ὅτι ἠγάπησα αὐτοὺς, καθὼς ἠγάπησας ἐμὲ, πρὸ καταβολῆς κόσμου. » Αὐτὸς εἶπε· « Τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτο τὸ αἷμά μου. » Αὐτὸς καὶ τοῖς ἀποστόλοις ἐκέλευσε, καὶ δι' ἐκείνων ἁπάσῃ τῇ Ἐκκλησίᾳ, τοῦτο ποιεῖν· « Τοῦτο γὰρ, φησὶ, ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Οὐκ ἂν ἐκέλευσε τοῦτο ποιεῖν, εἰ μὴ δύναμιν ἐνθῆσαι ἔμελλεν, ὥστε δύνασθαι τοῦτο ποιεῖν. Καὶ τίς ἡ δέησις; τὸ Πνεῦμα τὸ ἅγιον· ἡ ἐξ ὕψους τοὺς ἀποστόλους ὁπλίσασα, κατὰ τὸ εἰρημένον πρὸς αὐτοὺς ὑπὸ τοῦ Κυρίου· « Καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. » Τοῦτο τὸ ἔργον ἐκείνης τῆς καθόδου· οὐ γὰρ κατελθὼν ἅπαξ, εἶτα ἀπολέλοιπεν ἡμᾶς, ἀλλὰ μεθ' ἡμῶν ἐστι, καὶ ἔσται μέχρι παντὸς εἰς τὸν αἰῶνα. Τοῦτο διὰ τῆς χειρὸς τῶν ἱερέων καὶ τῆς γλώττης τὰ μυστήρια τελεσιουργεῖ· καὶ οὐ τὸ ἅγιον Πνεῦμα μόνον ἔπεμψεν ὁ Κύριος ἡμῶν, ὥστε μένειν μεθ' ἡμῶν, ἀλλὰ καὶ αὐτὸς ἐπηγγείλατο μένειν μεθ' ἡμῶν, « ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Ἀλλ' ὁ μὲν παράκλητος ἀόρατος πάρεστιν, ὅτι σῶμα αὐτὸς οὐκ ἐφόρεσεν. Ὁ δὲ Κύριος καὶ ὁρᾶται, καὶ ἁφῆς ἀνέχεται διὰ τῶν φρικτῶν καὶ ἱερῶν μυστηρίων, ὡς ἂν τὴν ἡμετέραν φύσιν δεξάμενος, καὶ ᾧ φέρων εἰς τοὺς αἰῶνας. Αὕτη ἡ τῆς ἱερωσύνης δύναμις· οὗτος ὁ ἱερεύς· οὐ γὰρ ἅπαξ ἑαυτὸν προσαγαγὼν, καὶ θύσας, ἐπαύσατο τῆς ἱερωσύνης, ἀλλὰ διηνεκεῖ ταύτῃ λειτουργεῖ τὴν λειτουργίαν ἡμῶν, καθ' ἣν καὶ παράκλητός ἐστιν ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν δι' αἰῶνος, οὗ χάριν εἴρηται πρὸς αὐτόν· « Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. » Διὰ τοῦτο οὐδεμία τοῖς πιστοῖς περὶ τοῦ ἁγιασμοῦ τῶν δώρων ἀμφιβολία, οὐδὲ περὶ τῶν ἄλλων τελετῶν, εἰ κατὰ τὴν πρόθεσιν καὶ τὰς εὐχὰς τῶν ἱερέων ἀποπληροῦνται.

A militudinem vituli referens clamat, *Sanctus*: tertium simile aquilæ clamat, *Sanctus*: quartum ad similitudinem hominis clamat, *Dominus Sabaoth*. Tribus sanctificationibus in unam deitatem coeuntibus dominationem et potestatem: quemadmodum propheta contemplatus est: « Vidi Dominum super throno sedentem excelso et elato, et Seraphicas potestates in circuitu astantes, et de voce impleta est domus fumo. » Illud autem, « missum est unum e Seraphim, et habebat carbonem in manu, quem forcipe ab altari excepit, significat sacerdotem tenentem spiritalem carbonem (Christum) forcipe manus suæ, in sancto altari, et sanctificantem et purgantem accipientes et participantes. Etenim in cœlestia et non manufacta et sancta ingressus est Christus, et apparuit in gloria coram Dei et Patris facie, pro nobis factus Pontifex magnus, penetrans cœlos; et habemus ipsum advocatum apud Patrem, et propitiationem pro peccatis nostris, utpote cujus sanctum et coæternum corpus nobis coagmentatum sit, et pretiosus sanguis, redemptionis pretium pro nobis omnibus, quemadmodum ipse ait: « Pater, sanctifica eos in nomine tuo, quos dedisti mihi, ut sint et ipsi sanctificati in veritate: ac volo ut ubi ego sum, et hi sint, et contemplentur gloriam meam, quod dilexerim eos, ut dilexisti me ante constitutionem mundi [65]. » Ipse dixit: « Hoc est corpus meum, Hic sanguis meus. » Ipse et apostolis jussit, et per illos universæ Ecclesiæ, hoc facere: « Hoc (enim ait) facite in meam commemorationem [66]. » Non sane id facere jussisset, nisi vim inditurus fuisset ut id facere liceret. Et quæ est deprecatio? Spiritus sanctus, virtus quæ ex alto, apostolos armavit, ut eis a Domino dictum fuerat: « Sedete in urbe Jerusalem donec induti sitis virtute ex alto [67]. » Hoc opus est ejus ingressus: non enim semel egressus, in posterum dereliquit nos, sed est nobiscum et erit in perpetuum, et in ævum. Hoc per manum sacerdotum et linguam mysteria conficit: ac non sanctum Spiritum duntaxat misit Dominus noster, ut maneat nobiscum: sed et ipse pollicitus est se mansurum nobiscum, « usque ad consummationem sæculi [68]. » At Paracletus inconspicuus adest, quia ipse corpus non gestavit: Dominus vero conspicitur, et tangi se patitur per tremenda et sacra mysteria, ut qui nostram naturam acceperit, eamque gestet in sæcula. Hæc sacerdoti virtus, hic sacerdos: non enim semel cum se obtulerit et sacrificarit, sacerdotio defunctus est; sed hoc perpetuo nostrum ministerii munus obit, quo et advocatus est pro nobis apud Deum per ævum, cujus gratia dictum est ad eum: « Tu es sacerdos in æternum [69]. » Propterea nulla fidelibus de sanctificatione donorum dubitatio superest, neque de aliis sacramentis, an secundum propositum et preces sacerdotum compleantur.

[65] Joan. XVII, 1 seqq. [66] Luc. XXII, 19. [67] Luc. XXIV, 49. [68] Matth. XVIII, 20. [69] Psal. CIX, 4.

Digitized by Google

Quid vero (quispiam dicat) de divinis flabellis quæ tenent manus diaconorum, et ab ipsis versantur derepente, quasi in animi consternatione, usque ad precationem Dominicam? Ac temerarium quidem est adhuc de his pronuntiare: verum quia semel ad præceptum mandati obsecundavimus, age de his quoque dicamus quæ Deus dederit. Siquidem et aliis probentur, Deo gratia habeatur: non enim omnino vituperabilia (certo scio), neque extra dogmata fidei orthodoxæ Christianorum. Dicimus igitur semper et inseparabiliter adfuisse Virtutes cœlestes una cum Domino Christo, præcipue vero in illa nocte qua traditus est. Eæ igitur cernentes abductionem ad Caipham, præsentationem coram eo, falsa testimonia, alaparum incussiones, in eum exscreationes, colaphorum inflictiones, ludibrium illud Judæorum, militum coccineum indumentum, spineam coronam, cum risu conjunctas geniculationes, aliaque omnia tum quæ divinorum Evangeliorum historia enarrat, tum quæ propter multitudinem fortasse prætermissa sunt, in singulis quæ fiebant, admirantes et stupentes longanimitatis et patientiæ magnitudinem, velantes suas facies se avertebant, et iterum Domini majestatem reverentes, ad se redibant; id autem faciebant usque ad ejus exaltationem in cruce. Extremum enim corporis passionum, et dedecoris quod inde provenit, crux fuit: quæ gloria potius est, ac non dedecus: hæc enim est initium operationum et virtutum divinarum. Hinc enim ille mundanus terræmotus, trium horarum spatio tenebræ super universam terram, atque veli et petrarum disruptio, et monumentorum patefactio: præterea etiam mortuorum resurrectio, et quæcunque in inferos descendens Servator egit: et propterea in ipso crucifixionis loco cum esset Christus, stuporis et admirationis species divinæ illæ Potestates deposuerunt. Hincque omnia convicia quæ crucem antecesserunt, et illusorii honores quos exhibuerunt, et irrisiones, patientem magis tetigisse (ut etiam spiritales illas divinas potestates) perspicuum fit.

Τί δ' ἄν τις εἴποι, περὶ τῶν θείων ῥιπιδίων ἐγχειρισμένων τοῖς διακόνοις, καὶ ὑπ' αὐτῶν στρεφομένων αἰφνιδίως ὡς ἐν ἐκπλήξει, ἄχρι τῆς θεολέκτου προσευχῆς; Τολμηρὸν μὲν οὖν τὸ περὶ τούτων φθέγγεσθαι ἔτι· ἐπεὶ δ' ἅπαξ ὑπείξαμεν τῇ ἐντολῇ τοῦ κελεύσματος, φέρε καὶ περὶ τούτων εἴπωμεν, ὅσα δοίη Θεός. Εἰ μὲν καὶ τοῖς ἄλλοις δεκτὰ, τῷ Θεῷ χάρις· οὐ γὰρ πάντη ψεκτὰ, εὖ οἶδα, οὐδ' ἔξω τῶν δογμάτων τῆς τῶν Χριστιανῶν ὀρθοδόξου πίστεως. Φαμὲν οὖν ὡς πάντοτε μὲν ἀδιαστάτως συμπαρῆσαν καὶ δυνάμεις οὐράνιοι τῷ Δεσπότῃ Χριστῷ· ἐξαιρέτως δὲ ἐν τῇ νυκτὶ ταύτῃ ᾗ παρεδόθη. Αὗται τοίνυν ὁρῶσαι τὴν πρὸς Καϊάφαν ἀπαγωγὴν, τὴν πρὸς ἄνθρωπον παράστασιν, τὰς ψευδομαρτυρίας, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα, τὰ κολαφίσματα, τὴν χλεύην ἐκείνην τῶν Ἰουδαίων, τῶν στρατιωτῶν τὸ κόκκινον ἔνδυμα, τὸν ἐξ ἀκανθῶν στέφανον, τὰς μετὰ γέλωτος προσκυνήσεις, τἄλλα πάντα, ὅσα τε ἡ τῶν θείων Εὐαγγελίων ἱστορεῖ διήγησις, καὶ ὅσα διὰ τὸ πλῆθος ἴσως παρέλειψεν, ἐφ' ἑκάστῳ τῶν γινομένων διαπορουῦσαι, καὶ ἐκπληττόμεναι τῆς μακροθυμίας τὸ μέγεθος, καλύπτουσαι τὰς ἑαυτῶν ὄψεις ἀπεστρέφοντο, καὶ πάλιν τὴν δεσποτείαν αἰδούμεναι, ἀνθυπέστρεφον. Τοῦτο δὲ ἐποίουν ἄχρι τῆς ἐπὶ σταυροῦ ἀνυψώσεως. Τέλος γὰρ τῶν τοῦ σώματος παθῶν, καὶ τῆς ἐπὶ τούτοις αἰσχύνης, ὁ σταυρὸς γέγονεν, οὐ δόξα μᾶλλον, καὶ οὐκ αἰσχύνη· ἀρχὴ γὰρ οὗτος τῶν ἐνεργειῶν καὶ δυνάμεων τῆς θεότητος. Ἐντεῦθεν γὰρ ὁ κοσμικὸς ἐκεῖνος σεισμὸς, τὸ τρίωρον σκότος ἐπὶ πᾶσαν τὴν γῆν, ἥ τε τοῦ καταπετάσματος καὶ τῶν πετρῶν διάῤῥηξις, καὶ ἡ τῶν μνημάτων ἄνοιξις· ἔτι γε μὴν καὶ ἡ τῶν νεκρῶν ἐξανάστασις, καὶ ὅσα ἐν ᾅδῃ κατελθὼν ὁ Σωτὴρ εἰργάσατο· καὶ διὰ τοῦτο παρ' αὐτοῦ τῷ τόπῳ τῆς σταυρώσεως γενομένῳ τῷ Χριστῷ, τὰ ἐκπλήξεως καὶ τοῦ θαύματος εἴδη αἱ θεῖαι δυνάμεις ἀπέθεντο. Κἀντεῦθεν δῆλον, ὡς τὰ πρὸ τοῦ σταυροῦ πάντα ὀνείδη, καὶ αἱ χλευαστικαὶ τιμαὶ, καὶ οἱ καταγέλωτες, πλεῖον ἥπτοντο τοῦ πάσχοντος, ὥσπερ καὶ τῶν νοερῶν θείων δυνάμεων.

Deinde rursus sacerdos recitat Deo et Patri assumptionis humanitatis mysteria, ex sancta Virgine et Deipara ineffabilem generationem, conversationem et habitationem in mundo, crucem, mortem, ejus ad inferos descensionem, vinctorum illic liberationem, triduanam et sanctam a mortuis resurrectionem, assumptionem in cœlos, a dextris Dei et Patris sessionem, secundum et futurum ejus gloriosum reditum ad nos. Et rursum institutione sacrorum eruditus, appellat Deum ingenitum; hoc est, Deum et Patrem, et uterum ante Luciferum et ante sæcula Filium gignentem, ut ait: « Ex utero ante luciferum genui te [70]. » Et rursus obsecrat ut conficiatur mysterium Filii ejus, et fiat sive transmutetur ipse panis et vinum in corpus et san-

Εἶτα πάλιν ὁ ἱερεὺς ἐπαγγέλλει τῷ Θεῷ καὶ Πατρὶ τὰ τῆς Χριστοῦ ἐνανθρωπήσεως μυστήρια, τὴν ἐξ ἁγίας Παρθένου καὶ Θεοτόκου ἀνέκφραστον γέννησιν, τὴν ἀναστροφὴν καὶ ἐμπολίτευσιν τὴν ἐν τῷ κόσμῳ, τὸν σταυρὸν, τὸν θάνατον, τὴν ἐν τῷ ᾅδῃ αὐτοῦ κατάβασιν, τὴν τῶν δεσμίων δι' αὐτοῦ ἐλευθερίαν, τὴν ἐκ νεκρῶν τριήμερον καὶ ἁγίαν ἀνάστασιν, τὴν ἐν τοῖς οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν, τὴν δευτέραν καὶ μέλλουσαν αὐτοῦ ἔνδοξον παρουσίαν πάλιν, τὴν πρὸς ἡμᾶς. Καὶ πάλιν μυσταγωγεῖται Θεὸν ἀγέννητον, τουτέστι Θεὸν καὶ Πατέρα, καὶ γαστέρα πρὸ ἑωσφόρου, καὶ πρὸ αἰώνων τὸν Υἱὸν γεννῶσαν, καθὼς λέγει· « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε. » Καὶ παρακαλεῖ πάλιν τελειῶσαι τὸ μυστήριον τοῦ

[70] Psal. cix, 3.

Digitized by Google

Υἱοῦ αὐτοῦ, καὶ γεννηθῆναι, ἤτοι μεταποιηθῆναι αὐτὸν τὸν ἄρτον καὶ τὸν οἶνον, εἰς σῶμα καὶ αἷμα τοῦ Χριστοῦ καὶ Θεοῦ, καὶ πληρωθήσεται τό· « Ἐγὼ σήμερον γεγέννηκά σε. » Ὅθεν καὶ τὸ ἅγιον Πνεῦμα τῇ εὐδοκίᾳ τοῦ Πατρὸς, καὶ βουλήσει τοῦ Υἱοῦ, ἀοράτως παρὸν, ὑποδεικνύει τὴν θείαν ἐνέργειαν, καὶ τῇ χειρὶ τοῦ ἱερέως ἐπισφραγίζει, καὶ μεταβάλλει καὶ τελειοῖ τὰ προκείμενα ἅγια δῶρα εἰς σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος, ὅτι « Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι. » Ὅπως ; « Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. » Ὅθεν γενόμενοι θείων μυστηρίων αὐτόπται, καὶ μέτοχοι ζωῆς ἀθανάτου, καὶ κοινωνοὶ θείας φύσεως, δοξάζομεν τὸ μέγα καὶ ἀκατάληπτον καὶ ἀνεξιχνίαστον μυστήριον τῆς οἰκονομίας τοῦ Υἱοῦ τοῦ Θεοῦ· δοξάζοντες δὲ βοῶμεν· « Τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέροντες· » ἐκ τοῦ σώματος καὶ αἵματος τοῦ εἰπόντος· « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· » ὅ ἐστιν, Ἃ ἡμῖν διὰ τῶν ἁγίων σου ἀπόστόλων παρέδωκας, ταῦτά σοι προσφέρομεν διὰ τὴν ἡμῶν σωτηρίαν. Ὁ λαός· « Σὲ ὑμνοῦμεν, τὸν Θεὸν καὶ Πατέρα. Σὲ εὐλογοῦμεν, τὸν Υἱὸν καὶ Λόγον· σοὶ εὐχαριστοῦμεν τῷ ἁγίῳ Πνεύματι· Κύριε ὁ Θεὸς ἡμῶν, Τριὰς ἐν μονάδι, καὶ μονὰς ἐν Τριάδι, » ὁμοούσιε καὶ ἀδιαίρετε, παράδοξον ἔχουσα καὶ τὴν διαίρεσιν τῶν προσώπων, καὶ τὴν ἕνωσιν τῆς μιᾶς φύσεως τῆς θεότητος. Καὶ γὰρ τὸ ἐπικεκυφότως ποιεῖν τὸν ἱερέα τὴν θείαν μυσταγωγίαν, ἐμφαίνει τὸ συλλαλεῖν ἀοράτως τῷ μόνῳ Θεῷ. Ὅθεν καὶ τὴν θείαν φωτοφάνειαν ὁρᾷ, καὶ τῇ λαμπρότητι τῆς δόξης τοῦ προσώπου τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐμφαιδρύνεται, καὶ ὑποστέλλει ἑαυτὸν τῷ φόβῳ καὶ τῇ αἰδοῖ· καθὼς Μωσῆς ὅτε εἶδε τὸν Θεὸν ἐν εἴδει πυρὸς ἐν τῷ ὄρει, ἔντρομος γενόμενος, ἀνέστρεψε καὶ ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γὰρ κατανοῆσαι ἀπὸ τῆς δόξης τοῦ Θεοῦ τὸ πρόσωπον.

guinem Christi et Dei, et impleatur hoc : « Ego hodie genui te [71]. » Unde et sanctus Spiritus, beneplacito Patris et voluntate Filii, invisibiliter præsens, submonstrat divinam confectionem, et manu sacerdotis obsignat, et transmutat, et conficit proposita sancta dona in corpus et sanguinem Domini nostri Jesu Christi qui dixit : « Pro ipsis ego sanctifico meipsum, ut sint et ipsi sanctificati [72]. » Quo pacto ? « Qui edit meam carnem et bibit meum sanguinem, in me manet, et ego in eo [73]. » Unde nos qui divinorum mysteriorum sumus inspectores, et participes immortalis vitæ, et divinæ naturæ communione donati, glorificamus magnum, incomprehensibile et investigabile mysterium dispensationis Filii Dei : glorificantesque clamamus : « Tua de tuis tibi offerentes ; » de tuo corpore et sanguine, qui dixisti : « Hoc facite in meam commemorationem ; » quod est, quæ nobis per sanctos tuos apostolos tradidisti, ea tibi offerimus, propter nostram salutem. *Populus :* « Te hymnis celebramus Deum et Patrem ; tibi benedicimus Filio et Verbo : tibi gratias agimus sancto Spiritui, Domine Deus noster, Trinitas in unitate, et unitas in Trinitate, » consubstantialis et individua, admirabiliter habens et distinctionem personarum, et unionem unius naturæ deitatis. Etenim quod pronus sacerdos divinam mystagogiam faciat, id declarat eum invisibiliter cum solo Deo colloqui. Unde et divinam lucis apparitionem cernit, et ad splendorem gloriæ conspectus Filii Dei, exhilarescit, et se subtrahit timore et verecundia, quemadmodum Moyses cum Deum vidit in monte ignis specie, perterrefactus recessit et occultavit faciem suam ; reverebatur enim percipere a gloria Dei faciem.

« Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου. » Χρὴ ἡμᾶς τὴν Κυρίαν τοῦ παντὸς ἐπαινεῖν, καὶ τὸ, Χαῖρε, τοῦ ἀγγέλου ἐκφωνεῖν. « Τὰ σὰ ἐκ τῶν σῶν. » Ὁ Θεὸς κατ' εἰκόνα αὐτοῦ ἔπλασεν ἡμᾶς, ὅ ἐστι κατὰ τὸ ὅσιον καὶ δίκαιον καὶ δυνατόν· παραβάντες δὲ, δοῦλοι γεγόναμεν Φαραὼ, τοῦ πικροῦ δεσπότου. Ἐλθὼν οὖν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐξηγόρασεν ἡμᾶς ἰδίῳ αἵματι, καὶ ἐνέδυσεν ἡμᾶς τὸν νέον ἄνθρωπον· καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἡμῖν δέδωκεν, εἰπών· « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Ἡμεῖς δὲ μεμνημένοι τῆς αὐτῆς ἐντολῆς, τὰ ἀντίτυπα προσφέρομεν, λέγοντες· « Τὰ σὰ ἐκ τῶν σῶν σοι, » καὶ τὰ ἐξῆς, νοητῶς, ὅ ἐστι τὸ ἀρχέτυπον ἡμῶν ἀξίωμα, δηλαδὴ τὸ κατ' εἰκόνα, ὅ ἐστι τὸ δίκαιον, τὸ ὅσιον, καὶ τὸ δυνατόν. Δίκαιον μὲν, μήτε ἀδικεῖσθαι, μήτε ἀδικεῖν· ὅσιον δὲ, τῶν ἀδικουμένων ἀνέχεσθαι, καὶ συγχωρεῖν τοῖς ἀδικοῦσι, μᾶλλον δὲ καὶ εὐεργετεῖν αὐτούς. Κατὰ πάντα δὲ δεῖ ὑμνεῖν αὐτὸν, ὡς Θεὸν καὶ Κύριον τοῦ παντός.

« Præcipue sanctissimæ, immaculatæ. » Oportet ut nos Dominam hujus universi laudemus, et illam angeli salutationem enuntiemus. « Tua ex tuis. » Deus secundum imaginem suam formavit nos : quod est, secundum sanctitatem, justitiam et potestatem : nos vero transgressi, servi facti sumus Pharaonis, asperi heri. Veniens itaque Dominus noster Jesus Christus redemit nos proprio sanguine, et induit nos novo homine, ac pretiosum suum corpus et sanguinem nobis dedit, inquiens : « Hoc facite in mei recordationem. » Nos enim memores ejus mandati, antitypa (id est, configuralia) offerimus, inquientes : « Tua ex tuis tibi, » etc., spiritaliter, quæ est primigenia nostra dignitas : nimirum quod ex imagine Dei habemus justitiam, sanctitatem, potestatem. Justitiam, ut neque patiamur, neque faciamus injuriam : sanctitatem, ut injuriam inferentes perpetiamur, et injuriis cedamus, vel potius iis benefaciamus. Omnibus autem in rebus, in hymnis celebrandus est ut Deus et Dominus hujus universitatis.

[71] Psal. II, 7. [72] Joan. XVII, 19. [73] Joan. VI, 57.

Digitized by Google

Signantur autem divina dona, ut adventus et gloriosa sancti Spiritus præsentia transmutet et faciat, ex pane quidem, ipsum pretiosum corpus Domini nostri Jesu Christi, ex eo autem quod est in calice, ipsum pretiosum sanguinem magni Dei et Servatoris nostri Jesu Christi, qui effusus est pro mundi vita et salute : et ut participantibus ex eo, fiat in remissionem peccatorum et vitam æternam.

« Hoc autem præcipue, » Id est, o Mater casta, lumine carentes typos et præteritas umbras Verbi contemplantes, quæque in eis sunt, occlusis foribus, lumen veritatis refulgens glorificamus, tuo vero utero digne benedicimus. « Et pro universorum cogitationibus. » Populus : « Et omnium universorum. » Jubet sacerdos populum recordari internarum irarum tempore divinæ mystagogiæ, easque abjicere ab omnibus et universis qui odio nos persequuntur.

Fit autem et memoria apud Deum pro defunctis, et spiritibus et omni carne, ut qui mortuorum et viventium potestatem habeat, et dominetur supercœlestibus et terrenis et subterraneis; et ut Rege Christo præsente, et ut sancto Spiritu omnes adhortante viventes atque vita functos ad illic moram trahendam, et requiescendum in Domini et Dei nostri Jesu Christi occursum, ut congregentur et præoccupent faciem ejus, et audiant voces laudis ejus; ut omnibus quæ erant in infernis animabus solutis a vinculis per mortem et resurrectionem Christi. Ipse enim excitatus est a mortuis, primitiæ et primogenitus factus dormientium, et omnibus viam aperiens resurrectionis a mortuis, ad immortalem et beatam vitam refocillans eos qui in spe resurrectionis ejus dormierunt. Convocantur autem omnes eorum animæ cum prophetis et apostolis et martyribus, ut una ingrediantur et recumbant cum Abraham et Isaac et Jacob in mystica mensa regni Christi.

« Et da nobis, ore uno et corde uno glorificare et laudare honorificentissimum. » Supplicamus tibi, ore uno unoque corde, ut te verbis glorificemus; ita sane et unum spiritum et unum animum da nobis, ut conjuncti charitatis vinculo possimus cum fiducia frui proposita mensa, et fiamus divinis mysteriis digni glorificantes et hymnis celebrantes pretiosissimum et magnificum nomen tuum, o Pater, et Fili, et Spiritus sancte. « Et sint misericordiæ magni Dei et Servatoris nostri Jesu Christi cum omnibus nobis. » Si sic faciamus ut superius diximus, miserationes Dei erunt cum omnibus nobis. Misericordia Dei Christus est, qui propter nos, et quia nostri miserebatur, a magno Deo missus est, qui tradidit semetipsum propter nos, et misertus est. Qui enim in unitatem fidei, et communicationem sancti Spiritus coivimus, per dispensationem ejus qui pro nobis mortuus est et

A Τὸ δὲ σφραγίσαι τὰ θεῖα δῶρα, ἵνα τῇ ἐπιφοιτήσει καὶ ἐνδόξῳ παρουσίᾳ τοῦ ἁγίου Πνεύματος, μεταβάλῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τὸ δὲ ἐν τῷ ποτηρίῳ, αὐτὸ τὸ τίμιον αἷμα τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας· καὶ ἵνα τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ, γένηται εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Τὸ δὲ, « Ἐξαιρέτως, » τουτέστιν, Ὦ μῆτερ ἁγνὴ, τοὺς ἀφεγγεῖς τύπους καὶ τὰς παρελθούσας σκιὰς τοῦ Λόγου θεασάμενοι, καὶ τὰ ἐν τούτοις, κεκλεισμένης πύλης, φῶς τῆς ἀληθείας ἀναλάμψαν, δοξάζομεν· σὴν δὲ γαστέρα ἐπαξίως εὐλογοῦμεν. « Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει. » Ὁ λαός· « Καὶ πάντων B καὶ πασῶν. » Ἐντέλλεται ὁ ἱερεὺς τῷ λαῷ, μνημονεύειν τὰς τῶν διανοιῶν ὀργὰς, ἐν τῷ καιρῷ τῆς θείας μυσταγωγίας, καὶ ἀπορρίψαι αὐτὰς ἐκ πάντων καὶ πασῶν τῶν μισούντων ἡμᾶς.

Γίνεται δὲ καὶ μνήμη πρὸς τὸν Θεὸν ὑπὲρ τῶν κεκοιμημένων, καὶ πνευμάτων, καὶ πάσης σαρκὸς, ὡς νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχοντα, καὶ δεσπόζοντα ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ ὡς τοῦ βασιλέως Χριστοῦ παρόντος, καὶ ὡς τοῦ ἁγίου Πνεύματος πάντας προσκαλουμένου, ζῶντάς τε καὶ μεταστάντας, πρὸς τὰς ἐκεῖσε μονὰς καὶ καταπαύσεις, εἰς τὴν τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ προέλευσιν, συναθροισθῆναι καὶ προφθάσαι τὸ πρόσωπον αὐτοῦ, καὶ ἀκουσθῆναι C τῶν φωνῶν τῆς αἰνέσεως αὐτοῦ· ὡς πασῶν τῶν ἐν ᾅδῃ ψυχῶν ἀπολυθεισῶν τῶν δεσμῶν, διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ. Αὐτὸς γὰρ ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ καὶ πρωτότοκος γενόμενος τῶν κεκοιμημένων· καὶ πᾶσιν ὁδοποιήσας τὴν ἐκ νεκρῶν ἀνάστασιν· καὶ πρὸς τὴν ἀθάνατον καὶ μακαρίαν ζωὴν ἀναπαύων τοὺς ἐπ' ἐλπίδι τῆς ἀναστάσεως αὐτοῦ κοιμηθέντας. Συγκαλοῦνται δὲ πᾶσαι αἱ ψυχαὶ αὐτῶν μετὰ τῶν προφητῶν καὶ ἀποστόλων καὶ μαρτύρων συνεισελθεῖν καὶ ἀνακλιθῆναι μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν τῇ μυστικῇ τραπέζῃ τῆς βασιλείας Χριστοῦ.

« Καὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον. » Δεόμεθά σου ὥσπερ ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ εἰς τὴν σὴν D δοξολογίαν· οὕτω τοίνυν καὶ ἓν πνεῦμα, καὶ μίαν ψυχὴν δὸς ἡμῖν, ἵνα συναπτόμενοι τῷ τῆς ἀγάπης συνδέσμῳ, δυνησώμεθα μετὰ παῤῥησίας ἀπολαύειν τῆς προκειμένης τραπέζης, καὶ γενώμεθα ἄξιοι τῶν θείων μυστηρίων, δοξάζοντες καὶ ὑμνοῦντες τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. « Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν. » Ἐὰν οὕτω πράξωμεν ὡς ἀνωτέρω ἔφημεν, τὰ ἐλέη τοῦ Θεοῦ ἔσται μετὰ πάντων ἡμῶν. Ἔλεος Θεοῦ ὁ Χριστός ἐστιν, ὁ δι' ἡμᾶς, καὶ διὰ τὸ ἐλεῆσαι ἡμᾶς, ἀπὸ τοῦ μεγάλου Θεοῦ ἀποσταλείς· ὃς καὶ παρέδωκεν ἑαυτὸν δι' ἡμᾶς, καὶ ἠλέησεν. Οἱ γὰρ εἰς ἑνότητα τῆς πίστεως καὶ κοινωνίαν τοῦ ἁγίου Πνεύματος

Digitized by Google

συνελθόντες, διὰ τῆς οἰκονομίας τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ ἐγερθέντος, καὶ καθίσαντος ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐκ ἔτι ἐπὶ γῆς ἐσμεν, ἀλλ' ἐν τῷ θρόνῳ τοῦ Θεοῦ τῷ βασιλικῷ παρεστήκαμεν ἐν τοῖς οὐρανοῖς, ὅπου ὁ Χριστός ἐστι, καθὼς αὐτὸς λέγει· « Πάτερ δίκαιε, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι· ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, καὶ θεωρῶσι τὴν δόξαν ἣν δέδωκάς μοι, ὅτι ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας. » Πάντες δὲ οἱ τὴν υἱοθεσίαν ἀπολαβόντες, καὶ συγκληρονόμοι τοῦ Χριστοῦ γενόμενοι, διὰ τῆς χάριτος αὐτοῦ, καὶ οὐκ ἐξ ἔργων ἡμῶν ἔχομεν τὸ Πνεῦμα τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰς τὰς καρδίας ἡμῶν· οὗτινος τὴν χάριν καὶ τὴν ἐνέργειαν θεωρῶν ὁ ἱερεὺς, βοᾷ καὶ λέγει· « Ἀββᾶ, ὁ Πατὴρ ὁ οὐράνιος, ἀξίωσον ἡμᾶς ἀκατακρίτως μετὰ παῤῥησίας τολμᾷν ἐπικαλεῖσθαί σε καὶ λέγειν. »

A excitatus, et sedet in dextera Patris, non amplius super terram sumus, sed in throno Dei regi assistimus in cœlis ubi Christus est, quemadmodum ait ipse : « Pater juste, sanctifica eos in nomine tuo quos dedisti mihi, ut ubi ego sum et illi sint mecum, et contemplentur gloriam quam dedisti mihi, quod dilexerim eos, quemadmodum me dilexisti : » omnes vero qui adoptionem in Filium accepimus, et cohæredes Christi per gratiam ejus ac non ex operibus nostris facti sumus, habemus Spiritum Filii Dei in cordibus nostris : cujus gratiam et efficaciam contemplans sacerdos, clamat et ait : « Abba, Pater cœlestis, dignare nos cum fiducia indemnabiliter audere invocare te et dicere. »

« Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. » Ἀληθῶς Πατὴρ πάντων ἡμῶν ἐστι, καὶ πάντας τηρεῖ. Καὶ εἰ μὲν τὸ θέλημα αὐτοῦ πράττομεν, πατὴρ ἡμῶν· εἰ δὲ μὴ, οὗτινος τὸ ἔργον ποιοῦμεν, οὗτός ἐστι πατήρ. Καὶ ἄλλως· Πατέρα αὐτὸν καλεῖς; ὡς τέκνον πολιτεύου, ἵνα εὐάρεστος αὐτῷ γένῃ τῷ Πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς· τίς γὰρ τῷ κοσμοκράτορι τῶν κάτω συρομένων στρατευόμενος, καὶ υἱοθετούμενος αὐτῷ διὰ τῶν πονηρῶν ἔργων, τολμᾷ τὸν αἴτιον παντὸς ἀγαθοῦ Κύριον εἰπεῖν Πατέρα; Δῆλον δὲ ὅτι οὗτος οὐ τὸν Κύριον Σαβαὼθ καλεῖ Πατέρα, ἀλλὰ τὸν ἐναντικείμενον, οὗ καὶ τὰ ἔργα πράττει. Ἄλλως· Πατέρα λέγεις, ἄνθρωπε, τὸν Θεόν; καλῶς λέγεις· ἔστι γὰρ Πατὴρ καὶ Ποιητὴς πάντων ἡμῶν· ἀλλὰ σπεῦδε ἐργάζεσθαι ἔργα ἀρέσκοντα τῷ Πατρί σου. Εἰ δὲ κακὰ ἔργα ποιεῖς, πρόδηλον ὅτι τὸν διάβολον ἐπικαλεῖς πατέρα. Οὗτος γὰρ ἐστιν ἔφορος τῶν κακῶν. Διὸ σπεῦδε ἐκφυγεῖν τοῦτον, καὶ ἀρέσαι τῷ ἀγαθῷ Πατρί σου καὶ Ποιητῇ σου.

B « Pater noster, qui es in cœlis. » Vere Pater omnium nostrum est, et omnes (ut vocis *etymon* indicat (11), servat. Ac si quidem voluntatem ejus facimus, pater est noster : sin minus, cujuscunque opus facimus, is est pater. Et aliter : Pater eum vocas? ut Filius vitam tuam institue, ut gratus sis et placeas ipsi tuo Patri qui in cœlis est : quis enim sub mundi principe rerumque inferarum potente militans, et in filium ei adoptatus, malis operibus audeat Auctorem omnium bonorum ac Dominum dicere Patrem? Certum est quod hic non Dominum Sabaoth vocat Patrem, sed adversarium, cujus etiam opera facit. Aliter : Patrem dicis (o homo) Deum? præclare dicis, est enim Pater et Auctor omnium nostrum : sed festina ea obire munia quæ C tuo placeant Patri. Si vero mala opera facis, perspicuum est te diabolum invocare patrem : ipse enim est præses malorum. Quocirca festina hunc effugere, et bono Patri tuo et Procreatori tuo placere.

« Ἁγιασθήτω τὸ ὄνομά σου. » Ὄνομά ἐστι τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς· Χριστὸς γὰρ, καὶ ἡμεῖς Χριστιανοὶ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἡμῖν. Καὶ ἀληθῶς ἅγιος ὁ Θεὸς, ἀλλ' ἡμεῖς παρακαλοῦμεν, ἵνα ἁγιάσῃ τὸ ὄνομα αὐτοῦ ἐν ἡμῖν, ὅ ἐστι τὸ ἔργον ἡμῶν ἀξιολόγιστον· ἅγιον καὶ ὅλως καθαρὸν ποιήσῃ τὸ σῶμα ἡμῶν· ἵνα ἀνέγκλητον εὑρεθῇ ἐν τῇ ἡμέρᾳ τῆς ἀπολογίας. Καὶ τί γάρ; οὐκ ἔστιν ἅγιος ὁ Θεός; Ναὶ ἅγιος· ἀλλὰ τοῦτο λέγεις· Ἐν ἐμοὶ « ἁγιασθήτω τὸ ὄνομά σου, » ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἔργα μου, καὶ δοξάσωσί σε τὸν Πατέρα καὶ Ποιητήν μου.

« Sanctificetur nomen tuum. » Nomen est Filii Dei, quod invocatum est super nos. Christus enim est, et nos Christiani, et ab ejus nomine cognominati sumus. Profecto vere sanctus est Deus : at nos supplicamus ut nomen suum in nobis sanctificet, quod est opus nostrum rationi consentaneum : sanctum et omnino purum faciat corpus nostrum, ut irreprehensum inveniatur in die defensionis (12). Ecquid enim non est sanctus Deus? Profecto sanD ctus est; sed hoc ais : In me « sanctificetur nomen tuum, » ut videant homines bona opera mea, et te glorificent Patrem et Factorem meum.

« Ἐλθέτω ἡ βασιλεία σου. » Ἡ βασιλεία τοῦ Θεοῦ, τὸ Πνεῦμά ἐστι τὸ ἅγιον, ὡς λέγει· « Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι. » Τῷ Πνεύματι γὰρ τῷ ἁγίῳ σὺν Πατρὶ καὶ Υἱῷ τὸ βασιλεύειν πρέπει, τῷ ἁγιάζοντι καὶ φωτίζοντι τὰς νοερὰς καὶ ἀγγελικὰς δυνάμεις, καὶ οὐρανίους στρατιὰς, καὶ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, καὶ πιστεύοντα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ

« Adveniat regnum tuum. » Regnum Dei, Spiritus est sanctus, quemadmodum ait : *Regnum cœlorum intra vos est* [13]. Spiritui enim sancto cum Patre et Filio regnare convenit, qui sanctificat et illuminat spiritales et angelicas potestates, et cœlestes exercitus, et omnem hominem venientem in mundum, et credentem in nomine Patris et Filii et sancti Spiritus. Vere Rex terræ, visibilium et invi-

[13] Luc. XVII, 21.

(11) Πατὴρ, quasi πάντας τηρῶν.

(12) Ἀπολογίας, reddendæ rationis.

Digitized by Google

sibilium. Sed quemadmodum cum civitas circumdata est ab hostibus, requirit a rege auxilium, ita et nos circumdati ab adversariis potestatibus et peccatis, quærimus ab eo auxilium ut nos liberet. Regem appellas? fias ut spiritualis miles, ut placeas Regi qui te in suum exercitum allegat. Et quidnam? non est rex Deus, quod adventurum est regnum ejus? Certe Rex omnium est: at quemadmodum civitas circumdata, ut supra dictum. Et alio modo. Cum Propheta dicat: « Regnavit Deus super gentes [75], » præterito tempore ut futuro usus, hujus rei gratia vociferamur: « Adveniat regnum tuum, » super nos qui gentes sumus, Domine.

« Fiat voluntas tua sicut in cœlo et in terra. » Voluntas Dei et Patris, dispensatio Filii ejus est. Angeli in cœlo, in concordia et consensu sunt, ita quærimus et nos in charitate non ficta vivere: quodcunque vis ac requiris, in cœlo fit: in terra ut id fiat, facias oportet. Sensus est ejusmodi: Domine, quemadmodum fit in cœlo voluntas tua, et sunt omnes angeli in pace, nec est in eis qui pellat et qui pellatur, neque qui affligat et affligatur, neque qui bellum aggrediatur et qui sustineat, sed omnes in profunda tranquillitate glorificant te, ita et in nobis hominibus qui sumus in terra, « fiat voluntas tua, » ut omnes gentes uno ore et uno corde glorificemus te Factorem et nostrum omnium Patrem.

« Panem nostrum quotidianum (43) da nobis hodie. » Panis quotidianus, est Christus, qui est, qui ante fuit, et qui manet in sæcula: qui se voluntario præbet edendum, et sine consumptione permanet semper, ut det vitam mundo: quem per baptismum acceptum, petimus ut semper accipiamus, habeamus, et comedamus, petimus naturæ nostræ convenientem; ut nos eo simus contenti, ut ne pauperes facti et fame tabescentes, ad blasphemias convertamur, aut supra modum abundantes efferamur, et a te projiciamur. Panem si quæras, aurum ne cumules: sin tibi deest et privaris, id admoneat te ut quæras. Quotidianum panem accipere postulamus, quia homines omnes ex duabus naturis coalescunt, animo (inquam) et corpore; propterea utrique congruum panem petimus. Nam panis quidem corporis, hic panis est quo vescimur: panis vero animi, sermo Dei est. Aperi, fili, os tuum, et frequentius Dei sis memor quam respires.

« Et dimitte nobis debita nostra. » Condona nobis peccata nostra, quemadmodum nos delinquentibus in nos dimittimus: ac, si ita facimus, ipse quoque nobis sic faciet. Remiserisne cuipiam, quære:

[75] Psal. XLVI, 9.

ἁγίου Πνεύματος. Ἀληθῶς βασιλεὺς γῆς, ὁρατῶν καὶ ἀοράτων. Ἀλλ' ὥσπερ πόλις κυκλωθεῖσα ὑπὸ ἐχθρῶν, ζητεῖ τὴν τοῦ βασιλέως βοήθειαν· οὕτω καὶ ἡμεῖς κυκλωθέντες ὑπὸ τῶν ἐναντίων δανάμεων καὶ τῶν ἁμαρτιῶν, ζητοῦμεν παρ' αὐτοῦ βοήθειαν, ἵνα λυτρώσηται ἡμᾶς. Τὸν βασιλέα καλεῖς; Γενοῦ ὡς πνευματικὸς στρατιώτης, ἵνα ἀρέσῃς τῷ βασιλεῖ τῷ στρατολογήσαντί σε. Καὶ τί γάρ; οὐκ ἔστι βασιλεὺς ὁ Θεὸς, ὅτι μέλλει ἔρχεσθαι ἡ βασιλεία αὐτοῦ; Ναὶ, βασιλεὺς πάντων ἐστίν· ἀλλ' ὥσπερ πόλις κυκλωθεῖσα, ὡς εἴρηται, καὶ κατὰ ἄλλον τρόπον. Ἐπειδὴ ὁ προφήτης λέγει· « Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, » τῷ παρεληλυθότι χρόνῳ ὡς μέλλοντι χρησάμενος, χάριν τούτου κράζομεν· « Ἐλθέτω ἡ βασιλεία σου, » ἐφ' ἡμᾶς τὰ ἔθνη, Κύριε.

« Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. » Τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ οἰκονομία τοῦ Υἱοῦ αὐτοῦ ἐστιν. Οἱ ἄγγελοι ἐν οὐρανῷ, ἐν ὁμονοίᾳ καὶ συμφωνίᾳ ὑπάρχουσιν, οὕτω ζητοῦμεν καὶ ἡμεῖς ἐν ἀγάπῃ ἀνυποκρίτῳ γενέσθαι· ὁποῖον θέλημα ζητεῖς, ἐν οὐρανῷ γίνεται· τὸ ἐν τῇ γῇ δεῖ σε πληρῶσαι. Τὸ δὲ νόημά ἐστιν οὕτως· Κύριε, ὥσπερ ἐγένετο ἐν τῷ οὐρανῷ τὸ θέλημά σου, καὶ εἰσὶ πάντες οἱ ἄγγελοι ἐν εἰρήνῃ, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠθῶν καὶ ἀντωθούμενος, οὔτε θλίβων καὶ θλιβόμενος, οὔτε πολεμῶν καὶ πολεμούμενος, ἀλλὰ πάντες ἐν γαλήνῃ βαθείᾳ δοξάζουσί σε· οὕτω καὶ ἐν ἡμῖν τοῖς ἐπὶ γῆς ἀνθρώποις « γενηθήτω τὸ θέλημά σου, » ἵνα πάντα τὰ ἔθνη ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζωμέν σε τὸν Ποιητὴν καὶ Πατέρα πάντων ἡμῶν.

« Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. » Ὁ ἄρτος ὁ ἐπιούσιός ἐστιν ὁ Χριστὸς, ὁ ὢν, καὶ προὼν, καὶ μένων εἰς τοὺς αἰῶνας· ὁ ἐκουσίως ἐσθιόμενος, καὶ ἀδαπάνητος διαμένων ἀεὶ, καὶ διδοὺς ζωὴν τῷ κόσμῳ· ὃν διὰ τοῦ βαπτίσματος δεξάμενοι, τοῦτον λαβεῖν πάντοτε καὶ ἔχειν καὶ ἐσθίειν αἰτούμεθα· τὸν πρέποντα τῇ οὐσίᾳ ἡμῶν, ὡς ἔστιν ἀρκοῦν ἡμῖν, ἵνα μὴ πενόμενοι καὶ λιμῷ τηκόμενοι, εἰς βλασφημίαν τραπῶμεν, ἢ περιττεύοντες ἐπαρθῶμεν καὶ ἀπορριφῶμεν ἀπὸ σοῦ. Ἄρτον ἐὰν ζητῇς, χρυσίον μὴ σώρευε· εἰ δὲ λείπῃ καὶ στερῇ, προτρεψάτω σε ζητῆσαι. Ἐπιούσιον ἄρτον αἰτούμεθα λαβεῖν, ἐπειδὴ ὁ πᾶς ἄνθρωπος ἐκ δύο οὐσιῶν συνίσταται, ψυχῆς τε λέγω καὶ σώματος· καὶ διὰ τοῦτο, ἐφ' ἑκάστῃ οὐσίᾳ τὸν πρέποντα ἄρτον αἰτούμεθα. Ἄρτος μὲν γὰρ σώματος, οὗτος ὁ ἐσθιόμενος· ἄρτος δὲ ψυχῆς, λόγος Θεοῦ. Ἄνοιγε, τέκνον, σὸν στόμα καὶ συχνότερον μνημόνευε Θεοῦ μᾶλλον ἢ ἀνάπνει.

« Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. » Συγχώρησον ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, λέγοντες, ὥσπερ ἡμεῖς τοῖς πταίουσιν ἡμῖν· καὶ εἰ οὕτω ποιοῦμεν, καὶ αὐτὸς ἡμῖν οὕτω ποιήσει. Ἐὰν ἀφῆκές τινι,

(15) Ἐπιούσιον, substantialem.

Digitized by Google

ζήτει· ἐὰν ἔλυσας ἀδελφὸν ἀπ' ἔχθρας, παρακάλει· εἰ δὲ μνησικακίαν ἔχεις, ποίαν ἄφεσιν ζητεῖς; Ἡ δὲ ἐπίλυσίς ἐστιν οὕτως, ὡς φέρε εἰπεῖν· Κύριε, « ἄφες ἡμῖν τὰ χρέα ἡμῶν, » τουτέστι, τὰς ἁμαρτίας ἡμῶν καὶ τὰ πταίσματα, « ὡς καὶ ἡμεῖς ἀφίεμεν » πᾶσι τοῖς ἁμαρτάνουσιν καὶ πταίουσιν εἰς ἡμᾶς ἀδελφοῖς ἡμῶν, ἐλευθέροις τε καὶ δούλοις, καὶ πᾶσι τοῖς ὑποχειρίοις ἡμῶν. Ταῦτα λέγων, ἄνθρωπε, ἐὰν οὕτω ποιῇς, ἐννοήθητι, ὅτι « φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· » καὶ διορθωσάμενος, ἐπίστρεψον πρὸς τὸν Θεὸν καὶ Πατέρα καὶ Ποιητήν σου.

A an fratrem ab inimicitiis solveris, apud te considera: quod si adhuc mali accepti recordaris, quam remissionem quæris? Eorum quæ dicimus hic sensus est: Domine, « dimitte nobis debita nostra: » id est, peccata nostra et lapsus, « sicut et nos dimittimus » omnibus delinquentibus in nos fratribus nostris, tam liberis quam servis, et omnibus subditis nobis. Hæc dicens, o homo, an ita facias, tecum reputa, quia « terribile est incidere in manus Dei viventis [76]: » et te corrigens et emendans convertere ad Deum et Patrem et Factorem tuum.

« Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. » Ἡμεῖς, Δέσποτα, ἐσμὲν ἄξιοι πάσης κολάσεως, καὶ παρακαλοῦμεν μὴ παραδῷῃς ἡμᾶς εἰς χεῖρας ἐχθίστων ἀνθρώπων, καὶ πονηρῶν δαιμόνων, πρὸς τὸ κολάσαι ἡμᾶς· ἀλλὰ σὺ, Κύριε, ἡμᾶς παίδευσον, ὅτι ὡς ἡ φιλανθρωπία σου, οὕτω καὶ ἡ παιδεία σου. Τί γάρ; ὁ Θεὸς εἰσάγει ἄνθρωπον εἰς πειρασμόν; μὴ γένοιτο. Οὐ γὰρ αἴτιος τῶν κακῶν ὁ Θεός· ἀλλὰ παρακαλέσωμεν αὐτὸν, ἵνα τοῖς πολλοῖς αὐτοῦ οἰκτιρμοῖς μὴ ἐάσῃ ἡμᾶς πειρασθῆναι. Κύριε, ἐὰν ζητήσῃ ἡμᾶς ὁ Σατανᾶς σινιάσαι ὡς τὸν σῖτον, ὥσπερ καὶ τοὺς ἁγίους σου ἀποστόλους ἐζήτησε μὲν, ἀπέτυχε δέ· ἢ ὡς τὸν πάλαι Ἰὼβ· μὴ δώσῃς αὐτῷ ἐξουσίαν καθ' ἡμῶν. Ἀλλ' εἰ καὶ πονηρὸς ἄνθρωπος θελήσει ἡμᾶς πειράσαι, μὴ δώσῃς ἡμᾶς τῷ θελήματι αὐτοῦ, ἀλλὰ σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· « Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, » τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Σοῦ γάρ ἐστιν ἡ ἐξουσία καὶ ἡ κυρία τοῦ ἐλεεῖν καὶ σώζειν, τοῦ θανατοῦν καὶ ζωογονεῖν, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Κύριε, ἐπειδὴ σή ἐστιν ἡ βασιλεία, μὴ ἐάσῃς ἡμᾶς φοβηθῆναι ἑτέραν βασιλείαν, μήτε δύναμιν, μήτε δεσποτείαν. Ἀλλ' εἰ καὶ ἄξιοί ἐσμεν κολάσεων, διὰ τὰς ἁμαρτίας ἡμῶν, σὺ ἡμᾶς οἵῳ τρόπῳ θέλῃς, τιμώρησον· καὶ μὴ παραδῷς ἡμᾶς εἰς χεῖρας ἀνθρώπων. Ἐμπεσούμεθα δὲ εἰς χεῖρας σάς· ὅτι ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου, Πάτερ παντοκράτορ.

B

Purificatum Solem quisnam vidit, præco clamat, natura sua fulgidum? ut te aquis splendorem gloriæ, Patrisque characterem æterni abluam ; quique fenum sum, ignem attrectem tuæ divinitatis? Tu enim es Christus, Dei sapientia et virtus.

Ostendit divinam quam habebat reverentiam Moyses tibi obvius factus : ut enim ex rubo vocantem te sensit, statim avertit faciem. At ego quanam ratione inspiciam te manifeste, vel quomodo contrectabo te? Tu enim es Christus, Dei sapientia et virtus.

Anima præditus sapienti, rationisque compos inanima revereor. Si enim baptizavero te, accusator meus erit igne fumigabundus mons, fugiensque mare bifariam, et Jordanis iste conversus. Tu enim es Christus, Dei sapientia et virtus.

Jesus vitæ auctor solvere damnationem venit Adami protoplasti : purgationis vero, utpote Deus, minime egens, ei qui cecidit purgatur in Jordane : in quo inimicitiam occidens, quæ omnem sensum exsuperat pacem largitur.

Convenientibus infinitis populis ut a Joanne baptizarentur, ipse in medio stetit, clamabatque iis qui aderant : « Quis ostendit, o increduli, vobis declinare a futura ira [2]? » Fructus dignes Christo facite; præsens enim nunc pacem largitur.

Agricola idemque conditor in medio stans, ut unus e multis, corda penetrat : purgativum autem ventilabrum in manu habens, totius mundi aream sapienter discernit, sterilitatem comburens, fructiferis æternam vitam largiens.

Vox Verbi, lucerna luminis, stella matutina, solis anteambulo, in eremo, Pœnitentiam agite, universis clamat populis, et præpurgamini : ecce enim adest Christus, ex corruptione mundum liberans.

Genitus sine passione ex Deo et Patre, ex Virgine carnem induitur sine sordibus Christus, cujus corrigiam, nostram nempe cum Verbo conjunctionem, solvere impossibile docet præcursor terrigenas ex errore liberans.

In igne abluit novissimo Christus immorigeros, et qui Deum ipsum non reputant : at in Spiritu renovat per aquam gratia qui ejus agnoscunt divinitatem, a noxis liberans.

A εὐθείας ἀπεργάσασθε, ἐν πίστει ἀνακράζοντες· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, Κύριε.

Ἀκήκοα, Κύριε, φωνῆς σου, ὃν εἶπας· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· » ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ· ὅλος γεγονὼς τοῦ παρόντος πνεύματος δὲ, ἐβόησε· Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Ῥυπτόμενον Ἥλιον τίς εἶδεν, ὁ κήρυξ βοᾷ, τὸν ἔκλαμπρον τῇ φύσει, ἵνα σε ὕδασιν ἀπαύγασμα τῆς δόξης, τοῦ Πατρὸς χαρακτὴρ ἀΐδιον, ἐκπλύνω, καὶ χόρτος ὢν, πυρὶ ψαύσω τῆς σῆς θεότητος; Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

B Ὑπέφηνεν ἔνθεον ἣν εἶχεν εὐλάβειαν Μωσῆς περιτυχών σοι· ὡς γὰρ τῆς βάτου σε φωνήσαντα ᾐσθήθη, εὐθὺς ἀπεστράφη τὰς ὄψεις. Ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς, ἢ πῶς χειροθετήσω σε; Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Ψυχῆς τελῶν ἔμφρονος καὶ λόγῳ τιμώμενος, ἀψύχων εὐλαβοῦμαι. Εἰ γὰρ βαπτίσω σε, κατήγορόν μοι ἔσται πυρὶ καπνιζόμενον ὄρος, φυγοῦσα δὲ θάλασσα διχῇ καὶ Ἰορδάνης οὗτος στραφείς. Σὺ γὰρ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς λῦσαι τὸ κατάκριμα ἧκει Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν εἰρήνην χαρίζεται.

C Συνελθόντων ἀπείρων λαῶν ὑπὸ Ἰωάννου βαπτισθῆναι, αὐτὸς ἐν μέσῳ ἕστη, προσεφώνει δὲ τοῖς παροῦσι· « Τίς ἔδειξεν, ἀπειθεῖς, τὴν ὀργὴν ὑμῖν ἐκκλίναι τὴν μέλλουσαν; » Καρποὺς ἀξίους Χριστῷ ἐκτελεῖτε, παρὼν γὰρ νῦν εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ δημιουργὸς, μέσον ἑστηκὼς ὡς εἷς ἁπάντων, καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος, τὴν παγκόσμιον ἅλωνα πανσόφως διΐστησι, τὴν ἀκαρπίαν φλέγων, εὐκαρποῦσιν αἰώνιον ζωὴν χαριζόμενος.

Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ φωτὸς, ὁ ἑωσφόρος, ὁ τοῦ ἡλίου πρόδρομος, ἐν τῇ ἐρήμῳ, Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδοὺ γὰρ πάρεστι Χριστὸς, ἐκ φθορᾶς τὸν κόσμον λυτρού-
D μενος.

Γεννηθεὶς ἀῤῥεύστως ἐκ Θεοῦ καὶ Πατρὸς, ἐκ τῆς Παρθένου δίχα σαρκοῦται ῥύπου Χριστὸς, οὗ τὸν ἱμάντα, τὴν ἐξ ἡμῶν τοῦ Λόγου συνάφειαν, λύειν ἀμήχανον διδάσκει ὁ Πρόδρομος, γηγενεῖς ἐκ πλάνης λυτρούμενος.

Ἐν πυρὶ βαπτίζει τελευταίῳ Χριστὸς τοὺς ἀπειθοῦντας, καὶ μὴ Θεὸν φρονοῦντας αὐτόν· ἐν Πνεύματι δὲ καινοποιεῖ δι' ὕδατος χάριτι τοὺς ἐπιγνώμονας αὐτοῦ τῆς θεότητος, τῶν πλημμελημάτων λυτρούμενος.

[1] Isa. XL, 3 ; Matth. III, 3. [2] Joan. III, 7.

VARIÆ LECTIONES.

[1] Anthol. γάρ pro εἶ, ut et infra.

Digitized by Google

Νέους εὐσεβεῖς καμίνῳ πυρὸς[u] προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου ἀβλαβεῖς διεφύλαξε, καὶ θείου ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς, εὐλογητὸς εἶ.

Ὥσπερ οὐρανῷ σὺν τρόμῳ καὶ θαύματι παρίσταντο ἐν Ἰορδάνῃ αἱ δυνάμεις τῶν ἀγγέλων σκοπούμεναι τοσαύτην Θεοῦ τὴν συγκατάβασιν, ὅπως ὁ κρατῶν τὴν ὑπερῷον τῶν ὑδάτων ὑπόστασιν, ἐν τοῖς ὕδασι σωματοφόρος ἔστηκεν. Ὁ Θεὸς ὁ τῶν πατέρων[v], εὐλογητὸς εἶ.

Νεφέλη ποτὲ καὶ θάλασσα θείου προεικόνιζε βαπτίσματος τὸ θαῦμα· ἐν οἷς ὁ πρὶν βαπτίζεται διεξοδικῶς τῷ νομοθέτῃ λαός· θάλασσα δὲ ἦν τύπος, καὶ νεφέλη τοῦ Πνεύματος· οἷς τελούμενοι, Εὐλογητὸς εἶ, κράζομεν, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἅπαντες πιστοὶ ἐν ᾧ τὴν τελείωσιν ἐλάβομεν, θεολογοῦντες ἀσιγήτως σὺν ἀγγέλοις δοξάσωμεν Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον· τοῦτο γὰρ Τριὰς ὑποστάσεσιν ὁμοούσιος, εἷς δὲ Θεὸς, ᾧ καὶ ψάλλομεν· Ὑπερύμνητε ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς[x], εὐλογητὸς εἶ.

Μυστήριον παράδοξον ἡ Βαβυλῶνος ἔδειξε κάμινος πηγάσασα δρόσον, ὅτι ῥείθροις ἔμελλεν ἄῦλον πῦρ εἰσδέξασθαι ὁ Ἰορδάνης, καὶ στέρξαι σαρκὶ βαπτιζόμενον τὸν Κτίστην, ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόθου φόβον ἅπαντα, ὁ Λυτρωτὴς τῷ Προδρόμῳ ἔφησεν, ἐμοὶ δὲ πειθάρχει, ὡς Χριστῷ μοι πρόσελθε, τοῦτο γὰρ φύσει πέφυκα. Ἐμῷ προστάγματι εἶξον, καὶ βάπτισόν με συγκαταβάντα, ὃν εὐλογοῦσιν λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ῥημάτων ὡς ἀκήκοεν ὁ Βαπτιστὴς τοῦ Δεσπότου, σύντρομος παλάμην ἐκτείνει, χεῖρα πτύσας[y] ὅμως δὲ τὴν κορυφὴν τοῦ πλάστου αὐτοῦ· ᾧ[z] βαπτισθέντι ἐβόα· Ἁγίασόν με, σὺ γὰρ εἶ[a] Θεός μου, ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Τριάδος ἡ φανέρωσις ἐν Ἰορδάνῃ γέγονεν, αὕτη γὰρ ὑπέρθεος φύσις. Ὁ Πατὴρ ἐφώνησεν· Οὗτός ὁ βαπτιζόμενος, Υἱὸς ὁ ἀγαπητός μου· τὸ Πνεῦμα συμπαρῆν τῷ ὁμοίῳ, ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπορεῖ πᾶσα γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος ὑμνεῖν σε, Θεοτόκε. Ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας τὸν ἔνθεον ἡμῶν. Σὺ γὰρ Χριστιανῶν ἡ προστάτις· σὲ μεγαλύνομεν.

Δαβὶδ, πάρεσο πνεύματι τοῖς φωτιζομένοις· Νῦν προσέλθετε, ᾄδε, πρὸς Θεὸν, ἐν πίστει λέγων· Φωτί-

Juvenes pios in camino ignis degentes exsibilans spiritus roris intactos conservavit, divinique angeli descensio : quare in flamma rore recreati cum gratiarum actione canebant : Laudabilissime patrum Domine et Deus, benedictus es.

Tanquam cœlo cum tremore et admiratione astabant in Jordane militiæ angelorum contemplantes tantam Dei condescendentiam, quomodo qui moderatur supernam aquarum substantiam in aquis corpus gestans steterit. O Deus patrum nostrorum, benedictus es.

Nubes quondam et mare divini præfigurabant baptismatis miraculum, in quibus vetus baptizatus est transeundo sub legislatore populus : mare autem typus erat aquæ, et nebula Spiritus ; quibus initiati, Benedictus es, clamamus, Deus patrum nostrorum.

Quotquot sumus fideles, in quo perfectionem accepimus, theologizantes prolata voce cum angelis glorificemus Patrem, Filium et Spiritum sanctum : tantumdem namque est Trinitas, personis consubstantialis, sed unus Deus ; cui etiam psallimus ; Laudabilissime patrum Domine et Deus, benedictus es.

Mysterium admirabile Babylonica ostendit fornax scaturiens rore, quoniam in aquis futurum erat ut immaterialem ignem susciperet Jordanis, et complecteretur in carne baptizatum Creatorem, quem benedicunt populi, et superexaltant in omnia sæcula.

Depone timorem omnem, Redemptor Præcursori ait, mihique obtempera : tanquam ad Christum ad me accede, talis enim natura sum. Meo præcepto cede, et baptiza me condescendentem, quem benedicunt populi, et superexaltant in omnia sæcula.

Verba ut audivit Baptista Domini, tremens manum extendit ; dextera tangens nihilominus caput fictoris sui, baptizato clamabat : Sanctifica me ; tu enim es Deus meus quem benedicunt populi, et superexaltant in omnia sæcula.

Trinitatis manifestatio in Jordane contigit ; hæc est enim divina natura. Pater clamavit : Hic qui baptizatur, est Filius meus dilectus : Spiritus simul aderat suo compari, quem benedicunt populi et superexaltant in omnia sæcula.

Nescit omnis lingua quomodo laudet pro merito : vertigine laborat mens etiam cœlestis qui celebret te, o Deipara. Nihilominus bona cum sis, fidem accipe : nosti enim desiderium nostrum divinitus afflatum ; tu quippe Christianis patrona. Te magnificamus.

David, spiritu adesto illuminatis : Nunc accedite, canta, ad Deum ; in fide dicens : Illuminamini.

VARIÆ LECTIONES.

[u] Anth. καμίνου πυρί. [v] Anth. Θεὸς τῶν πατέρων ἡμῶν, et deest εὐλογ. εἶ. [x] Anth. εὐλογ. εἶ, Κύριε ὁ Θ. τ. π. ἡμῶν. [y] Legerem χειραπτάσας, Anth. χειραπτύσας. [z] Anth. τῷ. [a] Anth. deest εἶ.

Digitized by Google

« Iste pauper clamavit, » Adam nempe in lapsu; « etenim Dominus exaudivit eum [a], » veniens ad fluenta Jordanis, corruptumque renovavit.

Isaias [a], Lavamini, mundi estote, ait, auferte iniquitates de conspectu Domini. Qui sititis, ad aquam vivam venite : asperget enim aquam renovantem Christus accedentibus ad eum in fide, et ad vitam non senescentem spiritu baptizat.

Conservemur fideles gratiæ et characteri. Ut enim perniciem effugerunt, limine Hebræi quondam sanguine tincto; sic et nobis evadendi via divinum istud regenerationis lavacrum erit. Unde etiam Trinitatis videre contingat lumen inoccidiuum.

A σθητε. « Οὗτος ὁ πτωχὸς ἐκέκραξεν, » Ἀδὰμ ἐν πτώσει· « καὶ γὰρ αὐτοῦ εἰσήκουσε Κύριος, » ἐλθὼν ῥείθροις τοῦ Ἰορδάνου, φθαρέντα δὲ ἀνεκαίνισεν.

Ὁ Ἡσαΐας, Λούσασθε, [b] καθάρθητε, φάσκει, τὰς πονηρίας ἐναντι ἀφέλεσθε Κυρίου. Οἱ διψῶντες, ὕδωρ ἐπὶ ζῶν πορεύεσθε· ῥανεῖ γὰρ ὕδωρ καινοποιὸν· Χριστὸς τοῖς προστρέχουσιν αὐτῷ [c] πίστει· καὶ πρὸς ζωὴν τὴν ἀγήρω βαπτίζει πνεύματι.

Συντηρώμεθα χάριτι πιστοὶ καὶ σφραγῖδι. Ὡς γὰρ ὄλεθρον ἔφυγον, φλιᾶς Ἑβραῖοι πάλαι αἱμαχθείσης· οὕτω καὶ ἡμῖν ἐξόδιον τὸ θεῖον τοῦτο τῆς παλιγγενεσίας λουτήριον ἔσται. Ἔνθεν καὶ τῆς Τριάδος ὀψώμεθα φῶς τὸ ἄδυτον.

III.

PRO MAGNA SECUNDA FERIA.

Acrostichis :

Secunda.

Ei qui impervium exæstuans mare divino suo mandato arefecit, et ut incederet per illud Israeliticus populus dux fuit, Domino cantemus : gloriose enim glorificatus est.

Ineffabilis Dei descensus, quod Christus ipse est; Deus et homo. Deus non rapinam arbitratus in eo quod formam præ se ferret, servum ostendit discipulis : gloriose enim glorificatus est.

Ministrare ipse veni ei, cujus formam conditor sponte indutus sum, mendico Adæ; ego qui dives sum divinitate : meamque propriam ponere animam redemptionis pretium, qui impassibilis sum divinitate.

Horruit puerorum sanctorum animæ conforme immaculatum corpus, cessitque nutritus immensa materia vehemens ignis : vividissima autem hebescente flamma, perpetuus hymnus canebatur : Dominum, omnia opera, laudate, et superexaltate eum in sæcula.

Vos meos tunc discipulos universi cognoscent, si mandata mea custodieritis, ait Salvator amicis ad passionem veniens [c]. Pacem habete in vobis ipsis et omnibus; et humilia sentientes, exaltamini, Dominumque agnoscentes me, laudate et superexaltate in omnia sæcula.

Ordinis vicissim ethnici esto vobis imperium congenerum : neque enim hæreditas mea est, sed tyrannis, sensus arbitrarius. Qui igitur prælatus in vobis esse vult, aliorum esto omnium novissimus; Dominumque me agnoscentes, laudate et superexaltate in omnia sæcula.

Magnificasti, Christe, quæ te enixa est, Deiparam; ex qua fictor noster ejusdem affectionis induisti corpus, nostrarum redempturam inscitiarum. Hanc beatam dicunt omnes generationes. Te magnificamus.

B

C

D

Γ'.

ΤΗ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ.

Ἡ ἀκροστιχίς·

Τῇ δευτέρᾳ.

Τῷ τὴν ἄβατον κυμαινομένην θάλασσαν θείῳ αὐτοῦ προστάγματι ἀναξηράναντι, καὶ πεζεῦσαι δι' αὐτῆς τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἡ ἀπόῤῥητος τοῦ Θεοῦ κατάβασις, ὅπερ Χριστός αὐτός ἐστι, Θεὸς καὶ ἄνθρωπος. Ὁ Θεὸς οὐχ ἁρπαγμὸν ἡγησάμενος ἐν τῷ μορφοῦσθαι, δοῦλον δεικνύει τοῖς μαθηταῖς· ἐνδόξως γὰρ δεδόξασται.

Διακονῆσαι αὐτὸς ἐλήλυθα, οὗ τὴν μορφὴν ὁ πλαστουργὸς ἐκὼν περίκειμαι τῷ πτωχεύσαντι Ἀδάμ, ὁ πλουτῶν θεότητα, θεῖναι ἐμήν τε τὴν αὐτοῦ ψυχὴν ἀντίλυτρον, ὁ ἀπαθὴς θεότητι.

Ἔφριξε παίδων εὐαγῶν τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα, καὶ εἶξε τὸ τραφὲν ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ· ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλπετο· Τὸν Κύριον, πάντα τὰ ἔργα, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὑμᾶς μου τότε μαθητὰς πάντες γνώσονται, εἰ τὰς ἐμὰς ἐντολὰς τηρήσετε, φησὶν ὁ Σωτὴρ τοῖς φίλοις πρὸς πάθος μολῶν. Εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσι· καὶ ταπεινὰ φρονοῦντες, ἀνυψώθητε. Καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τάξεως ἔμπαλιν ὑμῖν ἐθνικῆς ἔστω τὸ κράτος ὁμογενῶν· οὐ κλῆρος γὰρ ἐμὸς, τυραννὶς δὲ γνώμη αὐθαίρετος. Ὁ οὖν πρόκριτος ἐν ὑμῖν εἶναι θέλων, τῶν ἄλλων ἔστω πάντων ἐσχατώτερος· καὶ Κύριον γινώσκοντές με, ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐμεγάλυνας, Χριστὲ, τὴν τεκοῦσάν σε Θεοτόκον, ἐξ ἧς ὁ πλάστης ἡμῶν ὁμοιοπαθὲς περιέθου σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀγνοημάτων. Ταύτην μακαρίζουσαι [d] πᾶσαι αἱ γενεαὶ, σὲ μεγαλύνομεν.

[a] Psal. xxxiii, 7. [a] Isa. i, 16. [c] Joan. xiv, 15.

VARIÆ LECTIONES.

[b] Auth. καὶ. [c] Auth. ἐν. [d] Forte μακαρίζουσι.

Digitized by Google

Ῥύπον πάντα ἐμπαθῆ ἀπωσάμενοι, ἐπάξιον τῆς θείας βασιλείας γνώμην ἀναλάβετε ἔμφρονα, τοῖς σοῖς ἀποστόλοις προέφης ἡ ὄντως σοφία, ἐν ᾗ δοξασθήσεσθε λάμποντες ἡλίου τηλαυγέστερον.

Ἀφορῶντες εἰς ἐμὲ, εἶπας, Κύριε, τοῖς σαυτοῦ μαθηταῖς, Μὴ φρονεῖτε ὑψηλὰ, ἀλλὰ συνεπάχθητε τοῖς ταπεινοῖς· ἐμὸν ὅπερ πίνω, πίεσθε ποτήριον τοῦτο, ὅτι ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς συνδοξασθήσεσθε.

Sordes omnes affectionum abjicientes, dignum divino regno sensum assumite prudentem, tuis apostolis prædicebas tu qui vere sapientia es, in quo glorificabimini fulgentes sole splendidius.

Respicientes in me, dixisti, Domine, discipulis tuis : Nolite alta sapere, sed humiles imitamini : meum quod bibo, bibite calicem hunc, quoniam in regno Patris conglorificabimini.

Δ'.
ΤΗ ΜΕΓΑΛΗ ΤΡΙΤΗ.
Ἡ ἀκροστιχίς·
Τριτῃ τε.

Τῷ δόγματι τῷ τυραννικῷ οἱ ὅσιοι τρεῖς παῖδες μὴ πεισθέντες, ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν ὡμολόγουν ψάλλοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ῥαθυμίαν ἄποθεν ἡμῶν βαλώμεθα, καὶ φαιδραῖς ταῖς λαμπάσι τῷ ἀθανάτῳ νυμφίῳ Χριστῷ ὕμνοις συναντήσωμεν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ἱκανούσθω τὸ κοινωνικὸν ψυχῆς ἡμῖν ἔλαιον ἐν ἀγγείοις, ὅπως ἐπάθλων μὴ θέντες καιρὸν ἐμπορίας, ψάλλωμεν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Τὸ τάλαντον ὅσοι πρὸς Θεοῦ ἐδέξασθε, ἰσοδύναμον χάριν ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ αὐξήσωμεν, ψάλλοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ἡ τὸν ἀχώρητον Θεὸν ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, Θεοτόκε παρθένε.

Τοῖς μαθηταῖς ὁ ἀγαθὸς, Γρηγορεῖτε, ἔφησας, ᾗ γὰρ ὥρᾳ ἥξω ὁ Κύριος ἀγνοεῖτε, ἀποδοῦναι ἑκάστῳ.

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ παρουσίᾳ, Δέσποτα, δεξιοῖς προβάτοις με σύνταξον, τῶν πταισμάτων παριδών μου τὰ πλήθη.

IV.
PRO MAGNA TERTIA FERIA.
Acrostichis :
Tertiaque.

Decreto tyrannico sancti tres pueri non obtemperantes, in fornacem projecti Deum confitebantur psallentes : Benedicite, omnia opera Domini, Domino.

Socordiam procul a nobis abjiciamus, et splendidis lampadibus immortali sponso Christo hymnis occurramus : Benedicite, omnia opera Domini, Domino.

Præsto sit sociale animæ nobis oleum in vasis, ut ne præmiorum tempus emptioni impendentes, psallamus : Benedicite, omnia opera Domini, Domino.

Talentum quotquot a Deo accepistis, æquipollentem gratiam auxilio dantis Christi augeamus, psallentes : Benedicite, omnia opera Domini, Domino.

O quæ incomprehensibilem Deum utero comprehendisti, gaudiumque orbi peperisti, te laudamus, Deipara virgo !

Discipulis, bonus qui es, Vigilate, dixisti ; qua enim hora venturus sim Dominus ignoratis, ut rependam unicuique.

In secundo tuo terribili adventu, Domine, ad dexteram positis cum ovibus me recense, lapsuum dissimulans meorum multitudinem.

Ε'.
ΤΗ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ.
Ἡ ἀκροστιχίς·
Τετράδι ψαλῶ [e].

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου. Ηὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, Κύριε.

Ἐν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων, καὶ γνώμῃ συναθροίζεται κακοτρόπῳ, κατάκριτον τὸν ῥύστην σε ἀποφῆναι Χριστὸν, ᾧ ψάλλομεν [f]· Σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, Κύριε.

Τὸ δεινὸν βουλευτήριον τῶν ἀνόμων σκέπτεται θεομάχου ψυχῆς ὑπάρχον, ὡς δύσχρηστον τὸν δίκαιον ἀποκτεῖναι [g] Χριστὸν, ᾧ ψάλλομεν· Σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, Κύριε.

V.
PRO MAGNA QUARTA FERIA.
Acrostichis :
Quarta canam.

Fidei in petra stabiliens me, dilatasti os meum contra inimicos meos. Lætatus est enim spiritus meus dum canerem : Non est sanctus ut Deus noster, et non est justus præter te, Domine.

In vanis concilium iniquorum et sententia congregatur improba, ut damnandum liberatorem suum decernat Christum, cui psallimus : Tu es Deus noster, et non est justus præter te, Domine.

Nequam concilium impiorum deliberat, cum animo sit in Deum hostili, ut tanquam inutilem justum interficiat Christum, cui psallimus : Tu es Deus noster, et non est justus præter te, Domine.

VARIÆ LECTIONES

[e] Confer Triodium Romæ edit. pag. 487. [f] Triod. Χριστὲ, ᾧ κράζομεν. [g] Triod. κατακρίναι.

Digitized by Google

Verbum tyranni quoniam urgebat, septempliciter fornax succensa est quondam, in qua pueri non sunt combusti, qui regis conculcarunt mandatum, sed clamabant : Omnia opera Domini, Dominum laudate, et superexaltate in omnia sæcula.

Effundens mulier unguentum pretiosum super dominicum et divinum reverendum caput, Christe, vestigia tua contrectavit immaculata maculatis manibus, et clamabat : Omnia opera Domini, Dominum laudate, et superexaltate in omnia sæcula.

Lacrymis lavat pedes rea criminum Conditoris, et abstergit capillis. Ideo eorum quæ in vita patraverat non eam fefellit liberatio, sed clamabat : Omnia opera Domini, Dominum laudate, et superexaltate in omnia sæcula.

Celebratur redemptio a grata et memori ex salutaribus visceribus et lacrymarum fonte, in quo per confessionem lota, non verecundabatur, sed clamabat : Omnia opera Domini, Dominum laudate, et superexaltate eum in sæcula.

Animis puris et mundis labiis venite, magnificemus immaculatam et castissimam matrem Emmanuelis, per ipsam ei qui ex ipsa natus est offerentes cultum. Parce animabus nostris, Christe Deus, et salva nos.

Perfidum se prodens, et malum zelatorem, donum Deo dignum pretio taxat. Per eum debitum solutum est criminum, dum cauponatur infelix Judas divinam gratiam. Parce animabus nostris, Christe Deus, et salva nos.

Dicit pergens ad iniquos principes : Quid mihi dare vultis, et ego Christum vobis quem requiritis volentibus tradam? necessitudinem Dei Judas repudians auro. Parce animabus nostris, Christe Deus.

O cæcante avaritia fœdifrage! oblivionem unde nactus es eorum quæ didicisti, quod ne totus quidem mundus æquali pretio cum anima sit habendus. Desperatione enim teipsum laqueo suspendisti, o proditor. Parce animabus nostris, Christe Deus.

VI.

PRO MAGNA QUINTA FERIA.

Acrostichis :

Longa quinta, longum hymnum canto.

Divisionibus dividitur mare Rubrum, procellosum vero siccatur profundum, idemque simul et inermibus fit permeabile, et armatis sepulcrum. Ode vero Deo digna canebatur : Gloriose glorificatus est Christus Deus noster.

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος ἐξεκαύθη ποτὲ, ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν βασιλέως πατήσαντες δόγμα, ἀλλ' ἐβόων· Πάντα τὰ ἔργα, τὸν [h] Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀποχενοῦσα γυνὴ μύρον ἔντιμον δεσποτικῇ καὶ θείᾳ φρικτῇ κορυφῇ, Χριστὲ, τῶν ἰχνῶν σου ἐπελάβετο τῶν ἀχράντων κεχραμμέναις παλάμαις, καὶ ἐβόα· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δάκρυσι πλύνει τοὺς πόδας ὑπεύθυνος ἁμαρτίαις τοῦ πλάσαντος, καὶ ἐκμάσσει θριξί. Διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε πεπραγμένων τῆς ἀπολυτρώσεως, ἀλλ' ἐβόα· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖται τὸ λύτρον εὐγνώμονι, ἐκ σωτηρίων σπλάγχνων τε καὶ δακρύων πηγῆς, ἐν ᾗ διὰ τῆς ἐξαγοράσεως [i] ἐκπλυθεῖσα, οὐ κατῃσχύνετο, ἀλλ' ἐβόα· Πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ψυχαῖς καθαραῖς, καὶ ἀῤῥυπάντοις [j] χείλεσι δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον καὶ ὑπέραγνον μητέρα τοῦ Ἐμμανουὴλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς προσφέροντες λατρείαν [k] τεχθέντι. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς

Ἀγνώμων φανεὶς, καὶ πονηρὸς ζηλότυπος, δῶρον ἀξιόθεον [l] λογοπραγεῖ. Δι' οὗ ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων, καπηλεύων ὁ δεινὸς Ἰούδας τὴν φιλόθεον χάριν. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Λέγει πορευθεὶς τοῖς παρανόμοις ἄρχουσι· Τί μοι δοῦναι θέλετε, κἀγὼ Χριστὸν ὑμῖν τὸν ζητούμενον τοῖς θέλουσι παραδώσω; οἰκειότητα Θεοῦ Ἰούδας ἀντωσάμενος χρυσοῦ. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός [m].

Ὦ πηρωτικῆς φιλαργυρίας ἄσπονδε, λήθης ὅθεν ἔτυχες, ὅτι ψυχῆς οὐδ' ἰσοστάσιος ὁ κόσμος, ὧν ἐδιδάχθης. Ἀπογνώσει γὰρ σαυτὸν ἐβρόχισας ἀνάψας, προδότα. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός.

Ζ'.

ΤΗ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ.

Ἡ ακροστιχὶς·

Τῇ μακρᾷ πέμπτῃ μακρὸν ὕμνον ἐξάδω.

Τμηθείσῃ [n] τμᾶται πόντος Ἐρυθρὸς, κυματοτρόφος δὲ ξηραίνεται βυθὸς ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς [o] βατὸς, καὶ πανοπλίταις τάφος· ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο· Ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

VARIÆ LECTIONES.

[h] Triod. Κυρίου τὸν, et sic semper, additque αὐτὸν ante εἰς τοὺς αἰῶν. [i] Triod. ἐξαγορεύσεως. [j] Triod. ἀῤῥυπώτοις. [k] Triod. προσβείαν, supplicationem. [l] Triod. ἀξιόχρεον. [m] Triod. ὁ Θεὸς, σῶσ. ἡμ, sic et infra. [n] Forte τμήσεσι. Triod. τμηθείς. [o] Tr. γέγονε.

Digitized by Google

Ἡ πανταιτία καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς ἁγνῆς ἐξ ἀπειράνδρου μητρὸς, ναὸν δὲ [P] σωματικὸν περιθέμενος ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν. A

Quæ causa est omnium datrixque vitæ, infinita sapientia Dei ædificavit domum suam castissima ex Virgine matre; templum vero corporis indutus gloriose glorificatus est Christus Deus noster.

Μυσταγωγοῦσα φίλους ἑαυτῆς, τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν, ἀμβροσίας δ' ἡ ὄντως σοφία Θεοῦ κιρνᾷ κρατῆρα πιστοῖς. Προσέλθωμεν εὐσεβῶς καὶ βοήσωμεν· Ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

Imbuens amicos suos, animæ altricem præparat mensam, ambrosia autem, quæ vere est Sapientia Dei, temperat craterem fidelibus. Accedamus religiose et clamemus : Gloriose glorificatus est Christus Deus noster.

Ἀκουτισθῶμεν πάντες οἱ πιστοὶ συγκαλουμένης ὑψηλῷ κηρύγματι τῆς ἀκτίστου καὶ ἐμφύτου σοφίας Θεοῦ. Βοᾷ γάρ· Γεύσασθε, καὶ γνόντες ὅτι Χριστὸς ἐγώ, κράξατε· Ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

Audiamus cuncti fideles convocantem excelso præconio increatam et innatam sapientiam Dei. Clamat enim : Gustate, et scientes quoniam ego sum Christus, clamate : Gloriose glorificatus est Christus Deus noster.

Κύριος ὢν πάντων καὶ κτίστης Θεὸς, τὸν κτιστὸν ὁ ἀπαθὴς πτωχεύσας ἑαυτῷ ἥνωσας [Q]· καὶ τὸ Πάσχα οἷς ἔμελλες θανεῖν αὐτὸς ὤν, ἑαυτὸν προετίθης· Φάγετε, βοῶν, τὸ σῶμά μου, καὶ πίστει στερεωθήσεσθε. B

Dominus cum sis omnium et creator Deus, creaturam, licet impassibilis, factus humilis tibi ipse univisti : et Pascha eorum pro quibus moriturus eras exsistens, teipsum proponebas : Manducate, clamans corpus meum, et fide roborabimini.

Ῥύσιον παντὸς τοῦ βροτείου γένους τὸ οἰκεῖον, ἀγαθὲ, τοὺς σοὺς μαθητὰς ἐπότισας εὐφροσύνης ποτήριον πλήσας. Αὐτὸς γὰρ ἑαυτὸν ἱερούργεις· Πίετε, βοῶν, τὸ αἷμά μου, καὶ πίστει στερεωθήσεσθε.

Liberatorium totius humani generis, o benigne, proprium discipulis tuis propinasti lætitiæ poculum, quod repleveras. Ipse enim temet sacrificabas : Bibite, inquiens, sanguinem meum, et fide roborabimini.

Ἄφρων ἀνὴρ ὃς ἐν ἡμῖν προδότης, τοῖς οἰκείοις μαθηταῖς προέφης, ὁ ἀνεξίκακος, οὐ μὴ γνώσεται ταῦτα· καὶ οὗτος ἀσύνετος ὤν, οὐ μὴ συνήσει· ὅμως μείνατε ἐν ἐμοὶ, καὶ πίστει στερεωθήσεσθε.

Insipiens homo, qui inter vos proditor est, tuis discipulis prædicebas, o clementissime, non cognoscet hæc : isque imprudens non intelliget hæc : Attamen manete in me, et fide roborabimini.

Προκατιδὼν ὁ προφήτης τοῦ μυστηρίου σου τὸ ἀπόῤῥητον, Χριστὲ, προανεφώνησεν· Ἔθου κραταιὰν ἀγάπησιν ἰσχύος, Πάτερ οἰκτίρμον· τὸν μονογενῆ Υἱὸν γὰρ, ἀγαθὲ [R] ὁ Πατὴρ, εἰς τὸν κόσμον ἀπέστειλας. C

Prævidens propheta mysterium tuum ineffabile, Christe, proclamavit : Posuisti fortem dilectionem potentiæ, Pater misericordiarum : Unigenitum enim Filium, bone Pater, propitiationem in mundum misisti.

Ἐπὶ τὸ πάθος τὸ πᾶσι τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν, Χριστὲ μολῶν, τοῖς φίλοις σου εἶπας· Μεθ' ὑμῶν τοῦ Πάσχα μετασχεῖν τούτου ἐπεθύμησα, τὸν Μονογενῆ ἐπεί με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Ad passionem quæ omnibus Adami posteris scaturivit liberationem a passionibus, Christe contendens, pernecessariis tuis dixisti : Vobiscum hujus Paschæ participem esse desideravi, me enim Unigenitum propitiationem Pater in mundum misit.

Μεταλαμβάνων κρατῆρος, τοῖς μαθηταῖς ἐβόας, ἀθάνατε· Γεννήματος ἀμπέλου δὲ πίομαι λοιπὸν οὐκέτι μεθ' ὑμῶν βιοτεύων, τὸν Μονογενῆ ἐπεί με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Manu tenens craterem, discipulis clamabas, o immortalis : De genimine vitis non amplius deinceps bibam vobiscum vivens; Unigenitum enim me propitiationem Pater in mundum misit.

Πόμα καινὸν ὑπὲρ λόγον ἐγώ φημι ἐν τῇ βασιλείᾳ μου, Χριστὲ, τοῖς φίλοις πίομαι· ὥστε γὰρ θεοῖς Θεὸς ὑμῖν συνέσομαι, εἶπας, τὸν Μονογενῆ ἐπεί με ἱλασμὸν [S] ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε. D

Potum novum supra rationem ego dico in regno meo, Christe, cum amicis bibam : tanquam enim cum diis Deus vobiscum ero ipse, dixisti : Unigenitum nunc autem me propitiationem Pater in mundum misit.

Τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεόμενοι οἱ ἀπόστολοι, τῷ δεσπόζοντι τῶν ὅλων ἑαυτοὺς Χριστῷ ἀναθέμενοι, ὡραίους πόδας ἐξεπενίζοντο [T], εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

Vinculo charitatis colligati apostoli, dominatori omnium seipsos Christo dicantes, speciosos pedes extendebant, evangelizantes omnibus pacem.

Ἡ τὸ ἄσχετον κρατοῦσα καὶ ὑπερῷον ἐν αἰθέρι

Quæ immensam tenet superioremque in aere

VARIÆ LECTIONES.

[P] Tripol. γὰρ pro δέ. [Q] Tr. ἤνωσε. mox ἔμελλε.... προετίθεις. [R] Tr. ἱλασμὸν, ut infra. [S] Tr νυν δέ με ἱλ. [T] Tr. ἐξατενίζοντο.

Digitized by Google

aquam ; quæ abyssos freno coercet et maria compescit Dei sapientia, aquam pelvi infundit, pedes vero lavat servorum Dominus.

Discipulis ostendit humilitatis formam Dominus : qui nubibus autem cœlum obducit, præcingitur linteo ; flectitque genu servorum ut lavet pedes, in cujus manu est spiritus omnium exsistentium.

Abyssus extrema peccatorum circumdedit me, æstumque non amplius ferens, ut Jonas tibi Domino clamo : De corruptione educ me.

Dominum vocatis, o discipuli, et magistrum me, sum etenim, o Salvator, clamabas : quare imitamini exemplar quo modo in me vidistis.

Sordes quis non habens, non indiget lavari pedes. Mundi estis autem vos, o discipuli, at non omnes ; propensio enim inordinate unius ex vobis insanit.

Pueri in Babylone fornacis flammam non sunt veriti, sed in medium ignis projecti irrorati psallebant : « Benedictus es, Domine Deus patrum nostrorum [7]. »

Nutans caput Judas mala prævidens movebat, opportunitatem quærens tradendi judicem in condemnationem, qui universorum est Dominus, et Deus patrum nostrorum.

Ex vobis, Christus amicis clamabat, unus me tradet. Lætitiæ obliti anxietate et dolore tenebantur : Quis iste sit dicito, aientes, o Deus patrum nostrorum.

Qui mecum manum in catinum mittit audacter. Verumtamen huic bonum erat si portas vitæ transiisset nunquam : huncce autem dicens manifestabat Deus patrum nostrorum.

Legum paternarum beatificantes in Babylone pueri periculum subeuntes, regis contempsere præceptum irrationabile : et conjuncti igni quo conflati non sunt, omnipotente dignum canebant hymnum : Dominum laudate, opera, et superexaltate eum in sæcula.

Convivæ beatificantes in Sion Verbo assidue adhærentes, apostoli, inquam, sequebantur pastorem tanquam agni : et conjuncti Christo a quo divulsi non sunt, divino sermone enutriti, cum gratiarum actione clamabant : Dominum laudate, opera, et superexaltate eum in sæcula.

Legem amicitiæ infamis Iscariotes sponte oblivioni tradens, quos laverat præparavit ad proditionem pedes : et tuum panem manducans, corpus, inquam, divinum, elevavit supplantationem contra te, Christe, nec clamare novit : Dominum laudate, opera, et superexaltate eum in sæcula.

Dextera recipiebat redemptorium peccati corpus homo sine conscientia, sanguinemque divinum

A ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα, καὶ θαλάσσας ἀναχαιτίζουσα Θεοῦ σοφία, ὕδωρ νιπτῆρι βάλλει, πόδας ἀποπλύνει δὲ δούλων Δεσπότης.

Μαθηταῖς ὑποδεικνύει ταπεινώσεως ὁ Δεσπότης τύπον· ὁ νεφέλαις δὲ τὸν πόλον περιβάλλων, ζώννυται λέντιον, καὶ κάμπτει γόνυ δούλων ἐκπλῦναι πόδας, οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ὄντων.

Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν κλύδωνα μηκέτι στέγων [u], ὡς Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ σοι· Ἐκ φθορᾶς μὲ ἀνάγαγε.

Κύριον φωνεῖτε, ὦ μαθηταί, καὶ διδάσκαλόν με, καὶ γὰρ πέφυκα, Σῶτερ, ἑβόας· διὸ μιμεῖσθε τὸν τύπον, ὃν τρόπον ἐν ἐμοὶ ἐθεάσασθε.

Ῥύπον τις μὴ ἔχων, ἀποπλυθῆναι οὐ δεῖται πόδας. Καθαροί, ὦ μαθηταί, ὑμεῖς δὲ, ἀλλ' οὐχὶ πάντες. Ῥοπὴ γὰρ ἀτάκτως ἐξ ὑμῶν ἑνὸς μαίνεται.

Οἱ παῖδες ἐν Βαβυλῶνι καμίνου φλόγα οὐκ ἔπτησαν, ἀλλ' ἐν μέσῳ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· « Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Νευστάζων κάραν Ἰούδας κακὰ προβλέπων ἐκίνησεν, εὐκαιρίαν ζητῶν παραδοῦναι τὸν κριτὴν εἰς κατάκρισιν, ὃς πάντων ἐστὶ Κύριος, καὶ Θεὸς τῶν πατέρων ἡμῶν

Ὑμῶν, ὁ Χριστὸς τοῖς φίλοις ἑβόα, Εἷς παραδώσει με. Εὐφροσύνης λαθόντες ἀγωνίᾳ καὶ λύπῃ [v] συνείχοντο, Τίς οὗτος φράσον, λέγοντες, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Μεθ' ὅστις ἐμοῦ τὴν χεῖρα τρυβλίῳ βάλλῃ θρασύτητι. Τούτῳ πλὴν καλὸν ἦν πύλας βίου περάσαι μηδέποτε· τοῦτον [x] εἰπὼν ἐδήλου δὲ ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Νόμων πατρῴων οἱ μακαρισταὶ [y] ἐν Βαβυλῶνι νέοι προκινδυνεύσαντες, βασιλεύοντος κατέπτυσαν προσταγῆς ἀλογίστου· καὶ συνημμένοι ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ, τοῦ κρατοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον· Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Οἱ δαιτυμόνες οἱ μακαρισταὶ, ἐν τῇ Σιὼν τῷ Λόγῳ προσκαρτερήσαντες, οἱ ἀπόστολοι παρείποντο τῷ ποιμένι ὡς ἄρνες· καὶ συνημμένοι, οὐκ [z] ἐχωρίσθησαν Χριστῷ· θείῳ λόγῳ τρεφόμενοι εὐχαρίστως ἑβόων· Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Νόμον φιλίας ὁ δυσώνυμος Ἰσκαριώτης γνώμῃ ἐπιλαθόμενος, οὓς ἐνίψατο ηὐτρέπισεν εἰς [a] προδοσίαν πόδας· καὶ σου ἐσθίων ἄρτον, σῶμα θεῖον, ἐπῆρε πτερνισμὸν ἐπὶ σὲ, Χριστὲ, καὶ βοᾷν οὐ συνῆκε· Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἐδεξιοῦτο τὸ λυτήριον τῆς ἁμαρτίας σῶμα ὁ ἀσυνείδητος, καὶ τὸ αἷμα τὸ χεόμενον ὑπὲρ κόσμου τὸ

[7] Dan. III, 26.

VARIÆ LECTIONES.

[u] Triod. φέρων. [v] Tr. φόβῳ. [x] Tr. οὕτως. [y] Tr. μακαριστοί, sic infra. [z] Tr. ᾧ οὐκ. [a] Tr. ηὐτρέπιζε πρός.

Digitized by Google

θεῖον · ἀλλ' οὐκ ἠδεῖτο πίνων ὃ ἐπίπρασκε τιμῆς. Οὐ κακίᾳ προσώχθισε, καὶ βοᾷν οὐ συνῆκε · Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ξενίας Δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης ἐν ὑπερῴῳ τόπῳ ὑψηλαῖς φρεσὶ, πιστοὶ, δεῦτε ἀπολαύσωμεν, ἐπαναβεβηκότα λόγον ἐκ τοῦ Λόγου μαθόντες, ὃν μεγαλύνομεν [b].

Ἅπιτε, τοῖς μαθηταῖς ὁ Λόγος ἔφη, τὸ Πάσχα ἐν ὑπερῴῳ τόπῳ, ᾧ νοῦς ἐνίδρυται, οἷς μυσταγωγὰς [c] σκευάσατε ἀζύμῳ ἀληθείας λόγῳ · τὸ στερὸν δὲ τῆς χάριτος μεγαλύνατε.

Δημιουργὸν ὁ Πατὴρ πρὸ τῶν αἰώνων σοφίαν γεννᾷ ἀρχὴν ὁδῶν με, εἰς ἔργα ἔκτισε [d] τανῦν μυστικῶς τελούμενα. Λόγος γὰρ ἄκτιστος ὢν φύσει, τὰς φωνάς οἰκειούμενος νῦν [e] προσείληφα.

Ὡς ἄνθρωπος ὑπάρχω οὐσίᾳ, οὐ φαντασίᾳ · οὕτω Θεὸς τῷ τρόπῳ τῆς ἀντιδόσεως ἡ φύσις ἡ ἑνωθεῖσά μοι · Χριστὸν ἕνα, διὸ, μὲ γνῶτε, τὰ ἐξ ὧν ἐν οἷς ἅπερ πέφυκα σώζοντα.

Πρὸς τὸν Κύριον.

Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε, τῶν ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων, τῶν ἔργων ἐρευνωμένων, τῶν λογισμῶν ἀπολογουμένων. Ποία κρίσις ἔσται ἐν ἐμοὶ τῷ συλληφθέντι ἐν ἁμαρτίαις; Τίς μου τὴν φλόγα κατασβέσει, εἰ μὴ σὺ, Κύριε; Ἐλέησόν με ὡς φιλάνθρωπος.

Πρὸς τὴν Θεοτόκον.

Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου ἔχων, σωθήσομαι · τὴν προστασίαν σου κεκτημένος παράμωμε, οὐ φοβηθήσομαι · καταδιώξω τοὺς ἐχθρούς μου καὶ τροπώσομαι, μόνην ἀντεχόμενος ὡς θώρακα τὴν σκέπην σου, καὶ τὴν παντοδύναμον βοήθειάν σου. Καὶ καθικετεύω βοῶν σοι · Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου, καὶ ἀνάστησόν με ἐκ ζοφώδους ὕπνου πρὸς σὴν δοξολογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος Θεοῦ.

Πρὸς τὴν αὐτήν.

Ἔνδοξε, Ἀειπάρθενε, μήτηρ Χριστοῦ τοῦ Θεοῦ, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Πρὸς τὸν Κύριον.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀπορροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ ἁμαρτωλοὶ προσφέρομεν · Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.

Πρὸς τὸν αὐτόν.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

A quod effunditur pro mundo : at non reverebatur bibens quod vendebat pretio. Non culpam abominatus est, et clamare non novit : Dominum laudate, opera, et superexaltate eum in sæcula.

Hospitalitate Dominica, et immortali mensa in excelso loco sublimibus mentibus, fideles, venite, fruamur ; superexcellens verbum ex Verbo discentes, quod magnificamus.

Ite, discipulis Verbum ait, Pascha in superiori loco, quo mens roboratur, iisdem quibus sacras institutiones, parate azymo veritatis verbo : firmitatem autem gratiæ magnificate.

Opificem Pater ante sæcula sapientiam generat me principium viarum, ad opera autem creavit nunc quæ mystice perficiuntur. Cum enim Verbum sim increatum natura, voces ejus meas feci B quem nunc assumpsi.

Ut homo sum essentia, non apparenti tantum specie ; sic Deus est modo assumptionis natura unita mihi. Christum unum idcirco me agnoscite, ea ex quibus et in quibus sum salvantem.

Ad Dominum.

Quam terribile judicium tuum, Domine, angelis astantibus, hominibus adductis, libris apertis, operibus discussis, cogitationibus respondentibus ! Quale judicium erit in me concepto in peccatis ? Quis meam flammam exstinguet, nisi tu, Domine ? Miserere mei, quippe benignus.

Ad Deiparam.

C Quæ non confundit, o Deipara, spem tuam habens, salvus ero : patrocinium tuum obtinens, o immaculatissima, non timebo : persequar inimicos meos et in fugam convertam, solam retinens veluti thoracem protectionem tuam, tuumque omnipotens auxilium. Et deprecor clamans ad te : Domina, salva me intercessionibus tuis, et exsuscita me a caliginoso somno ad tuam glorificationem, virtute ejus, qui in te caro factus est, Dei.

Ad eamdem.

Gloriosa, semper Virgo, Mater Christi Dei, affer nostram orationem ad Filium tuum et Deum, ut salvet per te animas nostras.

Ad Dominum.

D Miserere nostri, Domine, miserere nostri ! Omni enim excusatione destituti, hanc tibi supplicationem tanquam Domino peccatores afferimus : Miserere nostri, Domine, miserere nostri.

Ad eumdem.

Domine, miserere nostri, in te enim speravimus. Ne irascaris nobis vehementer, neque memineris iniquitatum nostrarum, sed respice et nunc tanquam benignus, et redime nos de inimicis nostris. Tu enim es Deus noster, et nos populus tuus, universi nos opera manuum tuarum, et de nomine tuo vocamur.

VARIÆ LECTIONES.

[b] Quæ hic male interserebantur, habes expleta acrostichide, quippe aliena. [c] Triod. μυσταγωγῶς. [d] Tr. ἔ' ἐκτ. [e] Tr. οἰκειοῦμαι, οὗ νῦν.

Digitized by Google

Ad Deiparam.

Benignitatis januam aperi nobis, benedicta Dei genitrix. Sperantes utique in te nostra nos non fallat sententia : liberemur per te a calamitatibus. Tu enim es salus generis humani.

Ad eamdem.

Multæ sunt multitudines, o Dei Genitrix, meorum peccatorum. Ad te confugi, o immaculata, salutis indigens. Visita infirmam animam meam, et postula a Filio tuo et Deo nostro, ut detur mihi remissio malorum quæ perpetravi : o sola immaculata, sola benedicta !

Ad eamdem.

Omnem spem meam in te colloco, mater luminis : custodi me sub protectionem tuam.

VII.

PRO MAGNA PARASCEVE.

Acrostichis :

Pridieque Sabbati.

Ad te de luce vigilo, qui propter misericordiam teipsum pro eo qui cecidit evacuasti sine mutatione, et usque ad passiones impassibiliter succubuisti, o Verbum Dei. Pacem da mihi, misericors.

Sordidati pedes, sed ante purgati participatione mysterii divinæ mentis tuæ, Christe, famuli ex Sion Oliveti magnum ad montem coascenderunt, laudantes te, o misericors.

Videte, dixisti, o chari, ne terreamini : nunc enim appropinquavit hora ut capiar interficiarque manibus iniquorum. Omnes autem dispergemini me derelinquentes, quos congregabo ut prædicetis me misericordem.

Statuam sceleris Deo adversi divini pueri infamarunt : contra Christum vero insolescens impiorum concilium meditatur inania : interficere cogitat qui vitam manu tenet, quem omnis creatura benedicit, glorificans in sæcula.

A palpebris, o discipuli, jam somnum excutite, Christe, dixisti, et in oratione vigilate, ne forte tentatione pereatis, et præsertim Simon : valentiori enim majus quid. Experientia agnosce me, Petre, quem omnis creatura benedicit, glorificans in sæcula.

Profanum verbum a labiis nunquam excidere sinam, Domine : tecum moriar, tanquam bene memor, etsi omnes negaverint te, clamavit Petrus : non caro et sanguis, sed Pater tuus revelavit mihi te, quem omnis creatura benedicit, glorificans in sæcula.

Profundum sapientiæ divinæ et cognitionis non omne pervestigasti, abyssumve judiciorum meorum non comprehendisti, o homo, Dominus ait. Caro igitur cum sis, ne glorieris : ter enim negabis me, quem omnis creatura benedicit, glorificans in sæcula.

Negas, Simon Petre, quod tamen cito patieris,

Πρὸς τὴν Θεοτόκον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἀνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες οὖν εἰς σὲ, μὴ ἀστοχήσωμεν· ῥυσθῶμεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ σωτηρία τοῦ γένους τῶν ἀνθρώπων.

Πρὸς τὴν αὐτήν.

Πολλὰ τὰ πλήθη τῶν ἡμῶν, Θεοτόκε, πταισμάτων. Πρὸς σὲ κατέφυγον, ἀγνὴ, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχὴν, καὶ αἴτησαι τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν δοθῆναί μοι τὴν ἄφεσιν ὧν ἔπραξα δεινῶν, μόνη ἀγνὴ, μόνη εὐλογημένη.

Πρὸς τὴν αὐτήν.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, μῆτερ τοῦ φωτὸς, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Z'

ΤΗ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Ἡ ἀκροστιχὶς·

Προσάββατόν τε.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν ἑαυτὸν τῷ πεσόντι κενώσαντα [f] ἀτρέπτως, καὶ μέχρι παθῶν ἀπαθῶς ὑποκύψαντα, Λόγε Θεοῦ. Τὴν εἰρήνην παράσχου μοι, φιλάνθρωπε.

Ῥυφθέντες πόδας, καὶ προκαθαρθέντες μυστηρίου μεθέξει τοῦ θείου νοῦ, Χριστὲ, συῦ, οἱ ὑπηρέται ἐκ Σιὼν ἐλαιῶνος μέγα πρὸς ὄρος συνανῆλθον ὑμνοῦντές σε, φιλάνθρωπε.

Ὁρᾶτε, ἔφης, φίλοι, μὴ θροεῖσθε· νῦν γὰρ ἤγγικεν ὥρα ληφθῆναί με, κτανθῆναι χερσὶν ἀνόμων. Πάντες δὲ σκορπισθήσεσθε ἐμὲ λιπόντες, οὓς συνάξω κηρύξαι με φιλάνθρωπον.

Στήλην κακίας ἀντιθέου θεῖοι παῖδες παρεδειγμάτισαν, κατὰ Χριστοῦ δὲ φρυαττόμενον ἀνόμων συνέδριον βουλεύεται κενά· κτεῖναι μελετᾷ τὸν ζωῆς κρατοῦντα παλάμῃ, ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπὸ βλεφάρων, μαθηταί [g], νῦν ὕπνον, ἔφης, Χριστὲ, τινάξατε, ἐν προσευχῇ δὲ γρηγορεῖτε, πειρασμῷ μή πως ὀλλυσθε, καὶ μάλιστα Σίμων [h], τῷ κραταιῷ γὰρ, μεῖζον. Πεῖρα γνῶθί με, Πέτρε, ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βέβηλον ἔπος τῶν χειλέων οὔποτε προήσομαι, Δέσποτα· σὺν σοὶ θανοῦμαι ὡς εὐγνώμων, κἂν οἱ πάντες ἀρνήσωνταί σε [i], ἐβόησε Πέτρος· σὰρξ οὐδὲ αἷμα, ὁ Πατήρ σου ἀπεκάλυψέ μοί σε, ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας θείκης καὶ γνώσεως οὐ πᾶν ἐξηρεύνησας, ἄβυσσον δέ μου τῶν κριμάτων οὐ κατέλαβες, ἄνθρωπε, ὁ Κύριος ἔφη. Σὰρξ οὖν ὑπάρχων μὴ καυχῶ· ἀρνήσῃ τρίτον γάρ με, ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπαγορεύεις, Σίμων Πέτρε, ὅπερ πείσῃ τάχος, ὡς

VARIÆ LECTIONES ET NOTÆ.

[f] Triod. ἐνώσαντα. [g] Tr. μαθηταῖς. [h] Tr. Σίμωνι. [i] Tr. omittit σε.

Digitized by Google

εἴρηται, καί σοι παιδίσκη οἷα θᾶττον προσελθοῦσα πτοήσει σε, ὁ Κύριος ἔφη. Πικρῶς δακρύσας, ὅμως ἔξεις εὐίλατόν με, ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Θλέθριος σπεῖρα θεοστυγῶν πονηρευομένων, θεοκτόνων συναγωγὴ ἐπέστη, Χριστὲ, σοὶ, καὶ ὡς ἄδικον εἵλκε τὸν Κτίστην τῶν ἁπάντων, ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς, φωνὰς προφητῶν τε μελετῶντες διακενῆς, ὡς πρόβατον εἱλκόν σε τὸν ἁπάντων Δεσπότην ἀδίκως σφαγιάσαι, ὃν μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν σὺν τοῖς Γραμματεῦσιν ἀναιρεῖσθαι οἱ μιερεῖς [1] παρέσχον πληγέντες αὐτοφθόνῳ κακίᾳ, τὸν φύσει ζωοδότην, ὃν μεγαλύνομεν.

Ἐκύκλωσαν κύνες ωσει πολλοὶ, ἐκρότησαν, ἄναξ, σιαγόνα σὴν ῥαπισμῷ· ἠρώτων σε, σοῦ δὲ ψευδῆ κατεμαρτύρουν. Καὶ πάντα ὑπομείνας, ἅπαντας ἔσωσας.

Η'.

ΤΩ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ.

Ἡ ἀκροστιχὶς·

Σάββατον μέλπω μέγα.

Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη στέρνοις κητώοις Ἰωνᾶς· σοῦ γὰρ τὸν τύπον φέρων τοῦ παθόντος καὶ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ κουστωδίᾳ· Οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτὸν ἐγκατελίπατε [k].

Ἀνῃρέθης, ἀλλ' οὐ διῃρέθης, Λόγε, ἧς μετέσχες σαρκός. Εἰ γὰρ καὶ λέλυταί σου ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους, ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις τῆς θεότητος καὶ τῆς σαρκός σου. Ἐν ἀμφοτέροις γὰρ εἷς ὑπάρχεις Υἱὸς, Λόγος τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπος.

Βροτοκτόνον, ἀλλ' οὐ Θεοκτόνον ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ. Εἰ γὰρ καὶ πέπονθέ σου τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία, ἀλλ' ἡ θεότης ἀπαθὴς διέμεινε. Τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν μετεστοιχείωσε, καὶ ἀφθάρτου ζωῆς ἔδειξε [l] πηγὴν ἐξ ἀναστάσεως.

Βασιλεύει, ἀλλ' οὐκ αἰωνίζει ᾅδης τοῦ γένους τῶν βροτῶν. Σὺ γὰρ τεθεὶς ἐν τάφῳ, κραταιᾷ [m] ζωαρχικῇ παλάμῃ τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας, καὶ ἐκήρυξας τοῖς ἀπ' αἰῶνος ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ, Σῶτερ, γεγονὼς νεκρῶν πρωτότοκος.

Ἄφραστον θαῦμα! Ὁ ἐν καμίνῳ ῥυσάμενος τοὺς ὁσίους παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

ut dictum est; tibique puella unica improviso accedens, terrebit te, dixit Dominus. Amare flens nihilominus habebis facile placabilem me, quem omnis creatura benedicit, glorificans in sæcula.

Pretiosiorem Cherubinis, gloriosiorem incomparabiliter Seraphinis, incorrupte Deum Verbum enixam, veraciter Deiparam, te magnificamus.

Perniciosa caterva Deo invisorum sontium, deicidarum Synagoga astitit, Christe, tibi, et tanquam iniquum traxit creatorem omnium, quem magnificamus.

Legem nescientes impii, prophetarumque voces meditantes inaniter, ceu ovem traxere te omnium Dominum injuste ad occidendum, quem magnificamus.

Gentibus traditam vitam cum Scribis, ut interficeretur, sacerdotes prodiderunt, sauciati malitia nullam invidiæ causam habente; eum, inquam, qui natura vitæ auctor est, quem magnificamus.

Circumdederunt, tanquam canes multi, cecideruntque, o rex, genam tuam colapho; interrogarunt te, et contra te falsa testimonia dixerunt. Sed omnia sustinens, universos salvasti.

VIII.

PRO MAGNO SABBATO.

Acrostichis:

Sabbatum canto magnum.

Contentus, at non retentus est pectoribus ceteis Jonas: tui enim typum ferens qui passus es et sepulturæ datus, tanquam ex thalamo, a ceto exsiliit, alloquebaturque custodiam: Qui excubias agitis vane et mendaciter, misericordiam ipsam deseruistis.

Occisum, at non divulsum es, o Verbum, a carne cui participasti. Quamvis enim solutum fuerit templum tuum tempore passionis, nihilominus tamen una erat hypostasis divinitatis et carnis tuæ. In utraque enim unicus es Filius, Verbum Dei, Deus et homo.

Homicida, at non Deicida fuit lapsus Adami. Etsi enim passa est tuæ carnis terrena substantia, divinitas tamen impassibilis permansit. Corruptibile autem tuum ad incorruptionem transmutavit, incorruptæque vitæ ostendit fontem ex resurrectione.

Regnat, at non perennat Orcus in hominum genere. Tu enim in sepulcro positus, potente vitæque dominatrice manu mortis claustra dilacerasti, et prædicasti iis, qui a sæculo ibi sedebant, redemptionem verissimam, o Salvator, factus mortuorum primogenitus.

Inenarrabile prodigium! Qui in fornace liberavit sanctos pueros a flamma, in sepulcro mortuus nec spirans deponitur pro salute nostra, qui canimus: Redemptor Deus, benedictus es.

VARIÆ LECTIONES.

[1] Triod. ἱερεῖς. [k] Triod. ἔλεος αὐτῶν ἐγκατελίπετε. [l] Tr. ἔδειξας. [m] Tr. κραταιέ.

Digitized by Google

Sauciatus est infernus in corde dum suscepit eum, qui sauciatus fuit hasta per latus, gemitque igne divino consumptus pro salute nostra, qui canimus : Redemptor Deus, benedictus es.

Felix sepulcrum ! in se enim suscipiens veluti dormientem auctorem vitæ, thesaurus divinus indicatus est in salutem nostram, qui canimus : Redemptor Deus, benedictus es.

Lege mortuorum depositionem in sepulcro vita omnium accipit, et hoc fontem demonstrat resurrectionis pro salute nostra, qui canimus : Redemptor Deus, benedictus es.

Una fuit in inferno inseparata, in sepulcro et in Eden, Christi divinitas, cum Patre et Spiritu, pro salute nostra, qui canimus : Redemptor Deus, benedictus es.

Obstupesce horrens, o cœlum, et commoveantur fundamenta terræ ! Ecce enim inter mortuos reputatur qui in excelsis habitat, et sepulcro pusillo hospitatur, quem pueri benedicunt, sacerdotes laudant et glorificant in omnia sæcula.

Solutum est immaculatum templum, at quod ceciderat erigit habitaculum. Adam enim pro priore secundus qui in excelsis habitat, descendit usque ad inferni penetralia, quem pueri benedicunt, sacerdotes laudant et glorificant in omnia sæcula.

Desiit animositas discipulorum, sed Arimathæus strenue agit Josephus. Mortuum enim nudumque conspicatus universorum Deum, postulat, et parentat clamans : Pueri, benedicite ; sacerdotes, laudate; populi, superexaltate in omnia sæcula.

O prodigia inusitata ! O bonitatem, et indicibilem tolerantiam ! Volens enim sub terra sigillo munitur, qui in excelsis habitat; et tanquam erro Deus traducitur, quem pueri benedicunt, sacerdotes laudant et glorificant in omnia sæcula.

Ne quiriteris, mea mater, videns in sepulcro quem in utero sine semine concepisti filium. Resurgam enim et glorificabor, et exaltabo in gloria cornu, tanquam Deus, eorum, qui in fide et affectu magnificant te.

In admirabili partu tuo dolores non experta, supernaturaliter beatificata sum, æterne Fili. Nunc autem te, Deus meus, non spirantem conspicata mortuum, gladio doloris laceror vehementer. Sed resurge, ut magnificer.

Tellus me tegit volentem, sed horrent Orci janitores, indutum videntes stola cruentata sanguine [e], o Mater, ultionis. Inimicis enim in cruce conculcatis, ut Deus, resurgam rursus, et magnificabo te.

Exsultet creatura, lætentur omnes terrigenæ : inimicus enim exspoliatus est infernus. Cum unguentis mulieres occurrant : Adamum cum Eva redimit totius generis parentem, et tertia die resurget.

A Τέτρωται ᾅδης, ἐν τῇ καρδίᾳ δεξάμενος τὸν τρωθέντα λόγχῃ τὴν πλευράν· καὶ στένει πυρὶ θείῳ δαπανώμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Ὅλβιος τάφος ! ἐν ἑαυτῷ γὰρ δεξάμενος ὡς ὑπνοῦντα τὸν δημιουργὸν ζωῆς, θησαυρὸς θεῖος ἀναδέδεικται εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Νόμῳ θανάτων, τὴν ἐν τῷ τάφῳ κατάθεσιν ἡ τῶν ὅλων δέχεται ζωὴ, καὶ τοῦτο πηγὴν δείκνυσιν ἐγέρσεως, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν ἐν τῷ ᾅδῃ ἀχώριστος, καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ θεότης Χριστοῦ, σὺν Πατρὶ καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· B Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Ἔκστηθι φρίττων, οὐρανὲ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς ! Ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται, ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, καὶ δοξολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας [n].

Λέλυται ἄχραντος ναὸς, τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν. Ἀδὰμ γὰρ τῷ πρωτέρῳ δεύτερος ὁ ἐν ὑψίστοις οἰκῶν, κατῆλθε μέχρις ᾅδου ταμείων, ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, καὶ δοξολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν, Ἀριμαθαῖος γὰρ [o] ἀριστεύει Ἰωσήφ. Νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος C τὸν ἐπὶ πάντων Θεὸν, αἰτεῖται, καὶ κηδεύει κραυγάζων· Οἱ παῖδες, εὐλογεῖτε, ἱερεῖς, ἀνυμνεῖτε, λαὸς, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὦ τῶν θαυμάτων τῶν καινῶν ! Ὦ ἀγαθότητος καὶ ἀφράστου ἀνοχῆς ! Ἐκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται ὁ ἐν ὑψίστοις οἰκῶν· καὶ πλάνος Θεὸς συκοφαντεῖται, ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, καὶ δοξολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Μὴ ἐποδύρου, μοῦ μῆτερ, καθορῶσα ἐν τάφῳ ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες υἱόν. Ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ τὸ κέρας, ὡς Θεὸς, τῶν ἐν πίστει, καὶ πόθῳ μεγαλυνόντων σε [p].

Ἐπὶ τῷ ξένῳ σου τόκῳ τὰς ὀδύνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην, ἄναρχε Υἱέ. Νῦν δέ σε, Θεέ D μου, ἄπνουν ὁρῶσα νεκρὸν, τῇ ῥομφαίᾳ τῆς λύπης σπαράττομαι δεινῶς. Ἀλλ' ἀνάστηθι, ὅπως μεγαλυνθήσομαι.

Γῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾅδου οἱ πυλωροὶ, ἡμφιεσμένον βλέποντες στολὴν ἡμαγμένην, Μῆτερ, τῆς ἐκδικήσεως. Τοὺς ἐχθροὺς ἐν σταυρῷ γὰρ πατήσας, ὡς Θεὸς, ἀναστήσομαι αὖθις, καὶ μεγαλύνω σε.

Ἀγαλλιάσθω ἡ κτίσις, εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς. Ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης. Μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν, τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ λυτροῦται παγγενῆ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσεται [q].

VARIÆ LECTIONES.

[n] Triod. ὃν, παῖδες, εὐλογεῖτε, ἱερεῖς, ἀνυμνεῖτε, λαὸς, ὑπερυψοῦτε εἰς π. τ. αἰ. Sic et infra. [o] Tricd. δέ.
[p] Triod. δόξῃ ἀπαύστως, ὡς Θεὸς, τοὺς ἐν πίστει καὶ πόθῳ σε μεγαλύνοντας. [q] Tr. ἐξαναστήσομαι.

Digitized by Google

Θ'.

ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ.

Ἡ ἀκροστιχίς·

Πεντηκοστὴν ἑορτάζωμεν.

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι. Ἄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Ἔργῳ, ὡς πάλαι τοῖς μαθηταῖς ἐπηγγείλω, τὸ παράκλητον Πνεῦμα ἐξαποστείλας, Χριστὲ, ἔλαμψας τῷ κόσμῳ φῶς, φιλάνθρωπε.

Νόμῳ τὸ πάλαι προκηρυχθὲν καὶ προφήταις ἐπληρώθη τοῦ θείου Πνεύματος σήμερον. Πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

Τὴν ἐξ ὕψους δύναμιν τοῖς μαθηταῖς, Χριστὲ, Ἕως οὗ ἐνδύσησθε [r], ἔφης, καθίσατε ἐν Ἰερουσαλὴμ· ἐγὼ δὲ ὡς ἐμὲ παράκλητον ἄλλον Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε.

Ἡ τοῦ θείου Πνεύματος ἐπιφοιτήσασα [r*] δύναμις, τὴν μερισθεῖσαν πάλαι φωνὴν κακῶς ὁμονοησάντων, εἰς μίαν ἁρμονίας [s] θείως συνῆψε γνῶσιν, συνετίζουσα πιστοὺς τῆς Τριάδος, ἐν ᾗ ἑστερεώθημεν.

Κατανοῶν ὁ προφήτης τὴν ἐπ' ἐσχάτων σου, Χριστὲ, ἔλευσιν, ἀνεβόα· Τὴν σὴν εἰσακήκοα, Κύριε, δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Ὁ ἐν προφήταις λαλήσας, καὶ διὰ νόμου κηρυχθεὶς πρώην τοῖς ἀτελέσι Θεὸς ἀληθὴς, ὁ παράκλητος τοῖς τοῦ Λόγου ὑπηρέταις καὶ μάρτυσι γνωρίζεται σήμερον.

Σῆμα θεότητος φέρει [t] τοῖς ἀποστόλοις, ἐν πυρὶ Πνεῦμα κατεμερίσθη, καὶ ξέναις γλώσσαις ἐνέφηνεν, ὡς πατρόθεν θεῖον σθένος ἐρχόμενόν ἐστιν αὐτοκέλευστον [u].

Τὸ διὰ τὸν φόβον σου ληφθὲν, Κύριε, ἐν γαστρὶ τῶν προφητῶν, καὶ κυηθὲν ἐπὶ γῆς Πνεῦμα σωτηρίας, ἀποστολικὰς καρδίας κτίζει καθαρὰς, ἐν τοῖς πιστοῖς εὐθὺς ἐγκαινίζεται. Φῶς γὰρ καὶ εἰρήνη διότι τὰ σὰ προστάγματα.

Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον αὕτη, Πνεῦμα ἀγαθὸν, Πνεῦμα σοφίας Θεοῦ, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευθὲν, καὶ δι' Υἱοῦ πιστοῖς ἡμῖν πεφηνὸς, μεταδοτικὸν ἐν οἷς κατοικίζεται, φύσει τῆς ἐν ᾗ κατοπτεύεται ἁγιότητος.

Ναυτιῶν τῷ σάλῳ τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτόμενος [v], ὡς Ἰωνᾶς, Χριστὲ, βοῶ σοι· Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐκ τοῦ Πνεύματός σου σάρκα ἐπὶ πᾶσαν, ὡς εἶπας, πλουσίως ἐξέχεας, καὶ ἐπλήσθη τῆς σῆς τὰ σύμπαντα γνώσεως [x], ὅτι ἐκ Πατρὸς Υἱὸς ἀῤῥεύστως ἔφυς, καὶ τὸ Πνεῦμα ἀμερίστως πρόεισιν.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες ὅσιοι παῖδες,

IX.

IN PENTECOSTEN.

Acrostichis:

entecosten celebremus.

Mari operuit Pharaonem eum curribus qui conterit bella in excelso brachio. Cantemus illi quoniam glorificatus est.

Reipsa, quomodo quondam discipulis promiseras, Paraclitum Spiritum mittens, Christe, illuxisti mundo lumen, o benignissime.

In lege olim prædictio et prophetis facta Spiritus sancti, impleta est hodie. Omnibus enim fidelibus gratia effusa est.

Virtute ex alto discipulis, Christe, donec induamini, dixisti, sedete in Jerusalem: ego vero ut me Paraclitum alium, Spiritum meum Patrisque mittam, in quo solidabimini.

Divini Spiritus adveniens virtus divisam olim vocem perperam consentientium, in unam harmoniæ divinitus coaptavit sententiam, erudiens fideles de Trinitate, in qua solidati sumus.

Intelligens propheta tuum in novissimis temporibus, Christe, adventum, clamabat: Tuam audivi, Domine, potentiam, quoniam ut salvos faceres omnes christos tuos advenisti.

Qui in prophetis locutus est, et per legem prædicatus olim minus perfectis Deus verus Paraclitus, Verbi ministris et testibus innotescit hodie.

Signum divinitatis ferens apostolis, in igne Spiritus dispertitus est, et stupendis linguis apparuit, quod a Patre divina virtus sit sponte adveniens.

Qui per timorem tuum conceptus fuit, Domine, in ventre prophetarum, editusque mundo Spiritus salutis, apostolica corda creat munda, inque fidelibus rectus innovatur. Lumen enim et pax siquidem sunt mandata tua.

Quæ advenit virtus hæc hodie, Spiritus est bonus, Spiritus sapientiæ Dei, Spiritus ex Patre procedens, et per Filium fidelibus nobis apparens, donabilis iis in quibus inhabitat, ob naturam ejus, in qua cernitur, divinitatis.

Nauseans æstu hujus vitæ curarum, navigantibus mecum submersus peccatis, belluæque animi corruptrici projectus, ut Jonas, Christe, ad te clamo: Ex mortifero me profundo educ.

De Spiritu tuo super omnem carnem, ut dixeras, affatim effudisti, et repleta est omnis terra cognitione tua, quod ex Patre Filius sine semine natus sis, et Spiritus indivisibiliter emanet.

Qui in fornacem ignis injecti sunt sancti pueri,

[s] Isa. LXIII, 2 seqq.

VARIÆ LECTIONES.

[r] Pentecostarium Roman. ἕως ἄν. [r*] Pent. ἐπιδημήσασα. [s] Pent. ἁρμονίαν.... γνώσει. [t] Pent. φέρον. [u] Pent. αὐτο κέλευθον. [v] Pent. προσριπτούμ. [x] Pent. ἐπληρώθη τῆς σῆς ἡ σύμπασα γνώσεως, Κύριε.

Digitized by Google

ignem in rorem converterunt, cantu sic clamantes: Benedictus es, Domine, Deus patrum nostrorum.

Eloquentibus divina magnalia apostolis, Spiritus quæ erat virtus reputabatur ebrietas ab infidelibus, per quam Trinitas prædicabatur unus Deus patrum nostrorum.

Individuam naturam orthodoxe laudamus, Deum Patrem sine principio, ejusdem potentiæ Verbum Spiritumque, Benedictus es, clamantes, Deus patrum nostrorum.

Incombustus igne in Sina rubus, quasi sermocinando Deum notum fecit tardiloquo et difficile verba proferenti Moysi; et pueros zelus Dei non absumptos igne cantatores effecit: Omnia opera Domini Dominum laudate, et superexaltate in omnia sæcula.

Vivifico desuper vehementi veniente cum strepitu Spiritus sanctissimi super piscatores flatu ignearum specie linguarum, magnalia Dei loquebantur: Omnia opera Domini, Dominum laudate, et superexaltate in omnia sæcula.

Tanquam intactum ascendentes in montem, non veriti ignem terrificum, venite et stemus in monte Sion, in civitate viventis Dei, cum Spiritu repletis discipulis nunc choreas agentes: Omnia opera Domini, Dominum laudate, et superexaltate in omnia sæcula.

O non per corruptionis experientiam gravidata, omniumque artifici Verbo carnem mutuata, mater virum nesciens, Virgo Deipara, hospitium ejus qui portari nequit, locus infiniti fictoris tui, te magnificamus.

In æstuante olim igneo curru zelotes ille ignemque spirans lætus dum veheretur, quæ nunc effulsit inspirationem indicabat ex alto apostolis, qua illustrati Trinitatem omnibus notam fecerunt.

Naturæ supra leges stupenda res audiebatur: discipulis namque una voce informati Spiritus munere, diversimode docebantur populi, tribus et linguæ magnalia Dei, Trinitatis notitia imbuti.

A τὸ πῦρ εἰς δρόσον μετέβαλον, διὰ τῆς ὑμνῳδίας οὕτω βοῶντες· Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα τῶν ἀποστόλων, τοῦ Πνεύματος ἡ ἐνέργεια ἐνομίζετο μέθη τοῖς ἀπιστοῦσι, δι' ἧς Τριὰς ἐκηρύττετο, ὁ Θεὸς [y] τῶν πατέρων ἡμῶν.

Τὴν ἀδιαίρετον φύσιν [z] ὀρθοδόξως ὑμνολογοῦμεν, Θεὸν Πατέρα τὸν ἄναρχον, τῆς αὐτῆς ἐξουσίας Λόγον, καὶ Πνεῦμα· Εὐλογητὸς εἶ, κράζοντες, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα βάτος, Θεὸν ἐγνώρισε τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῇ, καὶ παῖδας ζῆλος Θεοῦ τοὺς [a] ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον, B καὶ [b] ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ζωτικῆς ἐξ ὕψους βιαίας φερομένης ἠχητικῶς τοῦ Πνεύματος τοῦ παναγίου ἁλιεῦσι πνοῆς, πυρίνων εἴδει [c] γλωσσῶν, τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐῤῥητόρευον· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς μὴ θιγομένῳ προσβαίνοντες ἐν ὄρει μὴ πεφρικότες πῦρ δειματοῦν, δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιὼν, ἐν πόλει ζῶντος Θεοῦ, πνευματοφόροις μαθηταῖς νῦν συγχορεύοντες· Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μὴ τῆς φθορᾶς διαπείρᾳ [d] κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου πλαστουργοῦ σου, σὲ μεγαλύνομεν. C

Ἐπιπαφλάζοντος πάλαι πυρίνου ἅρματος, ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος, τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου ἐξ ὕψους ἀποστόλοις, ὑφ' ἧς καταλαμφθέντες, τὴν Τριάδα πᾶσιν ἐγνώρισαν.

Νόμου τῶν φύσεων δίχα, ξένον ἠκούετο· τῶν μαθητῶν τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης Πνεύματος χάριτι, ποικίλως ἐνηχοῦντο λαοὶ, φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα, τῆς Τριάδος γνῶσιν μυούμενοι [d*].

X.

IN TRANSFIGURATIONEM DOMINI NOSTRI JESU CHRISTI.

Acrostichis:

Christus in specula jubar immensum speciei emisit.

Chori Israelis siccis pedibus mare Rubrum humidumque profundum transmittentes, equites triarios hostes conspicati in eo submersos, in exsultatione canebant: Cantemus Domino, gloriose enim glorificatus est.

Γ'.

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

D

Ἡ ἀκροστιχίς·

Χριστὸς ἐπὶ σκοπιῇ σέλας ἄπλετον εἶδεος ἧκε.

Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶ πόντον Ἐρυθρὸν καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας δυσμενεῖς ὁρῶντες ἐν ἑαυτῷ [e] ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἐμελπον· Ἄσωμεν τῷ Κυρίῳ [f]· ἐνδόξως γὰρ δεδόξασται.

VARIÆ LECTIONES.

[y] Pent. γνωρίσεται εἷς Θ [z] Pent. ῥῆσιν .... θεολογοῦμεν. [a] Pent. τρεῖς pro τούς. [b] Pent. ἐργ. Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καί. Sic et infra. [c] Pent. ἤδη .... ἐῤῥητορεύοντο. [d] Pent. διὰ πεῖραν. [d*] Pent. μυούμενα. [e] Anthology. αὐτῷ. [f] Anth. τῷ Θεῷ ἡμῶν, ὅτι δεδ. Sic et infra

Digitized by Google

Ῥήματα ζωῆς τοῖς φίλοις Χριστὸς καὶ περὶ τῆς θείας δημηγορῶν βασιλείας ἔφη· Ἐν ἐμοὶ τὸν Πατέρα ἐπιγνώσκεσθε, φωτὶ ὡς ἐξαστράπτῳ [g] ἀπροσίτῳ ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. A

Verba vitæ amicis Christus et de regno Dei loquens, ait : In me Patrem agnoscite, tanquam fulgente in lumine inaccessibili, cum exsultatione canentes : Cantemus Domino, gloriose enim glorificatus est.

Ἰσχὺν τῶν ἐθνῶν κατέδεσθε, φίλοι μαθηταί, θαυμασθήσεσθε δὲ τοῦ πλούτου [h] αὐτῶν, ὅτι δόξης πληροῦσθε ὡς ὀφθήσομαι λαμπρότερον ἡλίου ἐξαστράπτων, ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Fortitudinem gentium comedetis, o chari discipuli, stupori autem eritis ob divitias eorum : gloria enim replebimini ubi conspectus fuero micantius sole fulgere, in exsultatione canentes : Cantemus Domino, gloriose enim glorificatus est.

Σήμερον Χριστὸς ἐν ὄρει Θαβὼρ λάμψας, ἀμυδροὺς [i] θεΐκῆς αὐγῆς, ὡς ὑπέσχετο [μαθηταῖς, παρεγύμνου χαρακτῆρας. Σελασφόρου δὲ πλησθέντες θείας αἴγλης, ἐν ἀγαλλιάσει ἔμελπον, Ἄσωμεν τῷ Κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται.

Hodie Christus in monte Thabor fulgens, subobscura divini splendoris, ut promiserat discipulis, ostendit judicia. Emicante autem repleti divino jubare, in exsultatione canebant : Cantemus Domino, gloriose enim glorificatus est.

« Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. » Διατοῦτο ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου. B

« Arcus fortium infirmatus est, et debiles accincti sunt robore[o]. » Propter hoc confirmatum est in Domino cor meum.

Ὅλον τὸν Ἀδὰμ φορέσας, Χριστέ, τὴν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας.

Totum Adam portans, Christe, obscuratam quondam naturam vicissim illuminasti, et transfiguratione tua deificasti.

Στύλῳ πυριμόρφῳ καὶ νεφέλῃ πάλαι ὁ ἐν τῇ ἐρήμῳ τὸν Ἰσραὴλ ἄγων, σήμερον ἐν τῷ ὄρει Θαβὼρ ἀῤῥήτῳ [j] ἐν φωτὶ Χριστὸς ἐξέλαμψεν.

Qui per columnam igniformem et nubem quondam in deserto Israelem ductabat, hodie in monte Thabor ineffabili lumine Christus effulsit.

Εἰσακήκοα τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεὸς, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς βοῶντάς σοι· Δόξα τῇ δυνάμει σου, Κύριε.

Audivi gloriosam conversationem tuam inter homines, o Christe Deus ; quod natus sis ex Virgine, ut ab errore liberares clamantes ad te : Gloria potentiæ tuæ, Domine.

Νόμον ἐν Σινᾷ τῷ γράμματι διατυποῦμενος, Χριστὲ ὁ Θεὸς, ἐν τῇ νεφέλῃ, πυρὶ καὶ γνόφῳ, καὶ ἐν θυέλλῃ ὤφθης ἐποχούμενος. Δόξα τῇ δυνάμει σου, Κύριε. C

Legem in Sina litteris deformans Christus Deus, in nube, igne et caligine atque in turbine invehi visus es. Gloria potentiæ tuæ, Domine.

Ἵνα πιστώσῃ τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεὸς, ὡς προϋπάρχων τῶν [k] αἰώνων, καὶ αὐτὸς ἐν νέφει τὴν ἐπίβασιν τιθεὶς, ἐν τῷ Θαβὼρ ἐνδόξως [l] ἐξέλαμψας.

Ut confirmes gloriosam œconomiam tuam, Christe Deus, utpote præexsistens sæculis, idemque in nube ascensum ponens, in Thabor gloriose effulsisti.

Συλλαλοῦντες παρειστήκεισαν δουλοπρεπῶς σοι τῷ Δεσπότῃ Χριστῷ, οἷς ἐν πυρὸς ἀτμίδι καὶ γνόφῳ, καὶ λεπτοτάτῃ αὔρᾳ προσωμίλησας· δόξα τῇ δυνάμει σου, Κύριε.

Colloquentes astiterant servilem in morem tibi Domino Christo illi, quibus in vapore ignis et caligine et tenuissima aura locutus es : Gloria potentiæ tuæ, Domine.

Κατεμήνυον τὴν ἔξοδον, τὴν ἐν σταυρῷ σου, ἐν Θαβὼρ παρόντες, ὁ ἐν πυρὶ σε καὶ βάτῳ πάλαι προκατιδὼν Μωσῆς, καὶ ὁ μετάρσιος δίφρῳ ἐν πυρίνῳ Ἠλίας, Χριστέ.

Innuebant excessum tuum in cruce in Thabor præsentes, Moyses qui te quondam in igne et rubo prævidit, sublimisque igneo in curru Elias, Christe.

Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον χάος, ἐν [m] φωτὶ τὰ ἔργα ὑμνεῖ σε, Χριστὲ, τὸν δημιουργόν. Ἐν τῷ φωτί σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον. D

Lucis qui dividisti primogenitum chaos, in luce te, Christe, opera laudant opificem. In luce tua vias nostras dirige.

Προσενωπίῳ [n] σοι ὧραι ὑπεκλίθησαν. Φῶς γὰρ καὶ πρὸ ποδῶν ὑψίδρομον σέλας ἥλιος [o] ἧκε, μορφὴν βροτείαν ὡς ἀμείψαι ηὐδόκησας.

Coram te tempora succubuerunt. Lucem enim et præsens altivagum jubar sol emisit, formam humanam quando transfigurare voluisti.

Ἰδοὺ Σωτὴρ, ἀνεβόων Μωϋσῆς καὶ Ἠλίας, τῶν μαθητῶν ἐν ὄρει ἁγίῳ Θαβὼρ ἐνηχουμένων, Χριστὸς, ὃν πάλαι προηγγείλαμεν ὄντα Θεόν.

Ecce Salvator, clamabant Moyses et Elias, discipulis in monte sancto Thabor audientibus, Christus, quem olim prænuntiavimus esse Deum.

[o] I Reg. II, 4 seqq.

VARIÆ LECTIONES.

[g] Anth. ἐξαστράψω. [h] Anth. τῷ πλούτῳ. [i] Anth. ἀμυδρῶς . . . . χαρακτῆρα. [j] Anth. ἀῤῥήτως. [k] Anth. πρὸ τῶν. [l] Anth. ἀῤῥήτως. [m] Anth. φάος, ὡς ἐν. [n] Anth. Πρὸς ἐνωπίως. [o] Anth. Χριστὲ, ἥλ.

Digitized by Google

Immutabilis natura humanæ consociata, similis immaterialis divinitatis lumen denudans apostolis ineffabiliter affulsit.

Te æternum lumen in paterna gloria discipuli ut viderunt effulgens, Christe, tibi clamarunt : In lumine tuo vias nostras dirige.

Dum tribularer clamavi ad Dominum, et exaudivit me Deus salutis meæ.

Jubare solari longe splendidius lumen in Thabor refulgens Salvator nos illuminavit.

Ascendens in montem Thabor transfiguratus es, Christe, omnemque errorem obscurans, lumen resplenduisti.

Te Deum agnoverunt gloriosi apostoli : in Thabor autem perterriti, genu flexerunt.

Abramidæ quondam in Babylone pueri fornacis flammam conculcarunt, et laudantes psallebant : Deus patrum nostrorum, benedictus es.

Circumfusi lumine inaccessibilis gloriæ in monte Thabor apostoli, Christe, clamarunt : Deus patrum nostrorum benedictus es.

Procella divini sonitus, et roscida nube, Christe, et splendore tuo gaudentes apostoli psallebant : Deus patrum nostrorum, benedictus es.

In ineffabili lumine ut te vidit Petrus in monte Thabor effulgentem, Christe, adoravit : Deus patrum nostrorum benedictus es.

Auctori vitæ Christo astantes filii Zebedæi, ubi emisit formæ lumen tonuerunt : Deus patrum nostrorum benedictus es.

In Babylone pueri divino inflammati zelo, tyranni flammæque minas viriliter conculcarunt, et in medium ignis projecti, irrorati canebant : Benedicite, omnia opera Domini, Dominum, et superexaltate in omnia sæcula.

Voluntate qui omnia portat, pedibus immaculatis montem ascendit Thabor, in quo solis magis fulgore irradians facies, legis gratiæque præelectos effecit canentes : Benedicite, omnia opera Domini, Dominum, et superexaltate in omnia sæcula.

In inaccessibili gloria in monte Thabor apparens ineffabiliter immensum occasusque nescium lumen, Patris splendor; creaturam exhilarans, homines deificavit canentes : Benedicite, omnia opera Domini, Dominum, et superexaltate in omnia sæcula.

Ut in sacris decet, stantes Moyses et Elias in monte Thabor, divinæ characterem hypostaseos manifeste videntes, Christum in paterna fulgentem gloria, canebant : Benedicite, omnia opera Domini, Dominum, et superexaltate in omnia sæcula.

Per divinam vocem in caligine, vultu quondam glorificatus est Moyses : Christus vero tanquam vestimentum lumen et gloriam induitur. Lucis enim

A Ἡ ἀναλλοίωτος φύσις τῇ βροτείᾳ μιγεῖσα [p], τὴν ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα τοῖς ἀποστόλοις ἀπορρήτως ἐξέλαμψε.

Σὲ τὸ ἀΐδιον φέγγος ἐν πατρῴᾳ τῇ δόξῃ οἱ μαθηταὶ ὡς εἶδον ἐκλάμψαν, Χριστὲ, σοὶ ἀνεβόων· Ἐν τῷ φωτί σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Ἐν τῷ θλίβεσθαί με ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου ὁ Θεὸς τῆς σωτηρίας μου.

Λαμπηδόνος πλέον ἡλίου φῶς τρανώτερον ἐν Θαβὼρ ἐκλάμψας ὁ Σωτὴρ [q] ἡμᾶς ἐφώτισεν.

Ἀνελθὼν ἐν ὄρει Θαβὼρ μετεμορφώθης, Χριστὲ, καὶ τὴν πλάνην πᾶσαν ἀμαυρώσας, φῶς ἐξέλαμψας.

Σὲ Θεὸν ἐπέγνων οἱ ἔνδοξοι ἀπόστολοι, ἐν Θαβὼρ, B Χριστὲ, δὲ ἐκπλαγέντες, γόνυ ἔκλιναν.

Ἀβραμιαῖοί ποτε ἐν Βαβυλῶνι παῖδες καμίνου φλόγα κατεπάτησαν, καὶ ὑμνοῦντες ἔψαλλον· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Περιχυθέντες φωτὶ τῆς ἀπροσίτου δόξης Θαβὼρ ἐν ὄρει οἱ ἀπόστολοι, Χριστὲ, ἀνεβόησαν· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Λαίλαπι θείας ἠχῆς, καὶ δροσοβόλῳ νεφέλῃ, Χριστὲ, καὶ αἴγλῃ σου ἡδόμενοι οἱ ἀπόστολοι ἔψαλλον· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Ἐν ἀπορρήτῳ φωτὶ ὡς σε κατεῖδε Πέτρος Θαβὼρ ἐν ὄρει ἐξαστράπτοντα [r], Χριστὲ, προσεκύνησεν· Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Τῷ ἀρχηγῷ τῆς ζωῆς Χριστῷ συνόντες παῖδες οἱ Ζεβεδαίου, ὡς ἀπέπεμψε μορφῆς φῶς, ἐβρόντησαν· C Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Οἱ ἐν Βαβυλῶνι παῖδες τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλὴν ἀνδρείως κατεπάτησαν, καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔμελπον [s]· Εὐλογεῖτε, τὰ ἔργα Κυρίου, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νεύματι τὸ πᾶν ὁ φέρων, ποσὶν ἀχράντοις ὄρους ἐπέβη Θαβὼρ, ἐν [t] τῷ ἡλίου μᾶλλον αὐγῆς ἐξαστράψας τὸ πρόσωπον, τοὺς νόμου προκρίτους καὶ τῆς χάριτος ἔδειξε μέλποντας· Εὐλογεῖτε, τὰ ἔργα Κυρίου, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν τῇ ἀπροσίτῳ δόξῃ κατ' ὄρος ἐκφανθὲν ἀπορρήτως Θαβὼρ τὸ ἄσχετον καὶ ἄδυτον φῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τὴν κτίσιν φαιδρύναν, τοὺς ἀνθρώπους ἐθέωσε μέλποντας· Εὐλογεῖτε, τὰ ἔργα D Κυρίου, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱεροπρεπῶς ἑστῶτες Μωσῆς τε καὶ Ἠλίας ἐν ὄρει Θαβὼρ, τῆς θείας χαρακτῆρος [u] τρανῶς ὑποστάσεως βλέποντες, Χριστὸν ἐν πατρῴᾳ ἐξαστράπτοντα δόξῃ, ἔμελπον· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Διὰ τῆς ἐν γνόφῳ θείας ὀμφῆς τὸ πρόσωπόν ποτε [v] ἐδοξάσθη Μωσῆς· Χριστὸς δὲ ὡς ἱμάτιον φῶς καὶ δόξαν ἀναβάλλεται. Φωτὸς αὐτουργὸς γὰρ πεφυ-

VARIÆ LECTIONES.

[p] Anth. μιχθεῖσα. [q] Anth. ὁ Χριστός. [r] Anth. ἐξαστράψαντα .... ἀνεβόησεν. [s] Anth. ἔψαλλον. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, ut et infra. [t] Anth. Χριστὸς ἐν. Forte ἐν ᾧ. [u] Anth. χαρακτῆρα. Mox ἐξαστράψαντα. [v] Anth. deest ποτε.

Digitized by Google

κὼς καταυγάζει τοὺς μέλποντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐκ φωτογενοῦς νεφέλης Χριστὸν οἱ μαθηταὶ ἀμπεχόμενον ὁρῶντες ἐν Θαβὼρ, καὶ πρηνεῖς ἐπὶ γῆς κατανεύσαντες, τὸν νοῦν ἐλλαμφθέντες, σὺν Πατρὶ τοῦτον ὕμνουν καὶ Πνεύματι· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε σαρκοφόρος, ὃς [x] « ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. » Σὲ, Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Σύντρομοι καινῇ φωτοχυσίᾳ ἀθρόον [y] οἱ μαθηταὶ ἐλλαμφθέντες, πρὸς ἀλλήλους ὁρῶντες, καὶ πρηνεῖς εἰς γῆν καταπεσόντες [z], σοὶ τῷ Δεσπότῃ τῶν ἁπάντων προσεκύνησαν.

Ἦχος ἐκ νεφέλης ἀνεπέμπετο θεόκτυπος βεβαιῶν τὸ θαῦμα. Ὁ Πατὴρ γὰρ τῶν φώτων, Οὗτός ἐστιν Υἱὸς ὁ ἀγαπητός μου, τοῖς ἀποστόλοις ἐπεβόα [a], οὗ ἀκούετε.

Καινὰ κατιδόντες καὶ παράδοξα, φωνῆς πατρικῆς ἐνηχηθέντες [b] ἐν Θαβὼρ οἱ τοῦ Λόγου ὑπηρέται, Ἐκμαγεῖον τοῦ ἀρχετύπου οὗτος ὑπάρχει, ἀνεβόων, ὁ Σωτὴρ ἡμῶν.

Εἰκὼν ἀπαράλλακτε τοῦ ὄντος, ἀκίνητε σφραγὶς, ἀναλλοίωτε, Υἱὲ, Λόγε, Σοφία, καὶ βραχίων δεξιᾶς, Ὑψίστου σθένος, σὲ ἀνυμνοῦμεν σὺν Πατρί τε καὶ τῷ Πνεύματι.

A cum sit auctor, irradiat canentes : Benedicite, omnia opera Domini, Dominum, et superexaltate in omnia sæcula.

Lucigena nube Christum circumvestitum discipuli videntes in Thabor, et proni in terram procumbentes, mente illustrati, cum Patre hunc laudabant et Spiritu : Benedicite, omnia opera Domini, Dominum, et superexaltate in omnia sæcula.

Partus tuus incorruptus ostensus est : Deus ex ilibus tuis processit carnem bajulans, qui « in terris visus est, et cum hominibus conversatus est [10]. » Te, Deipara, propterea omnes magnificamus.

Contremiscentes nova luminis effusione repente illustrati discipuli, se mutuo respicientes et proni B in terram procumbentes, te Dominum omnium adorarunt.

Vox ex nube emittebatur divinitus sonans confirmansque miraculum. Pater enim luminum, Hic est Filius meus dilectus, apostolis clamabat, quem audite.

Nova videntes et paradoxa, a voce paterna edocti in Thabor Verbi ministri : Imago archetypi hic est, clamabant, Salvator noster.

O imago immutabilis ejus qui est! O immobile sigillum, invariabilis, Fili, Verbum, Sapientia et brachium dexteræ, Altissimi virtus : te laudamus cum Patre et Spiritu.

ΙΑ'.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΙΩΝ.

Ἡ ἀκροστιχὶς [c]·

Ὡσαννὰ, Χριστὸς εὐλογημένος Θεός.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου νοτίδος ἄμοιροι, καὶ ἀνεκαλύφθη θαλάσσης κυμαινούσης τὰ θεμέλια τῇ καταιγίδι νεύματι· ταύτην γὰρ ἐπετίμησας. Περιούσιον λαὸν διέσωσας ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε.

Στόματος ἐκ νηπίων ἀκάκων καὶ θηλαζόντων αἶνον τῶν σῶν οἰκετῶν κατηρτίσω, καταλῦσαι τὸν ἀντίπαλον, καὶ ἐκδικῆσαι πάθει σταυροῦ τὴν πτῶσιν τοῦ πάλαι Ἀδὰμ, διὰ ξύλου ἀναστῆσαι τοῦτον δὲ ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε.

Αἴνεσιν Ἐκκλησία ὁσίων τῷ ἐνοικοῦντι Σιὼν σοι, Χριστὲ, προσφέρει. Ἐν σοὶ δὲ Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ χαίρει· καὶ ὄρη, ἔθνη ἀντίτυπα, λιθοκάρδια, ἐκ προσώπου σου ἠγαλλιάσαντο, ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε.

Νάουσαν ἀκρότομον προστάγματι σῷ στερεὰν ἐθήλασε πέτραν Ἰσραηλίτης λαός· ἡ δὲ πέτρα σὺ, Χριστὲ, ὑπάρχεις καὶ ζωή· ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ, εὐλογημένος εἶ, ὁ ἐρχόμενος.

Νεκρὸν τετραήμερον προστάγματι σῷ ἐκ νεκάδων ἔντρομος ᾅδης ἀφῆκε Λάζαρον· ἡ ἀνάστασις, Χριστέ·

XI.

IN DOMINICAM PALMARUM.

Acrostichis :

Osanna : Christus benedictus Deus.

Visi sunt fontes abyssi aqua expertes, et nutu revelata sunt exæstuantis maris fundamenta propter validum ventum : hoc enim increpasti. Peculiarem populum salvasti canentem victoriæ hymnum tibi, Domine.

Ex ore infantium innocentum et lactentium laudem servorum tuorum perfecisti, ut destruas inimicum, et ulciscaris passione crucis lapsum veteris Adami, et per lignum resuscites hunc canentem victoriæ hymnum tibi, Domine.

Laudem Ecclesia sanctorum tibi habitanti Sion, D Christe, profert. In te autem, Israel, factore suo gaudet ; et montes, gentes nempe adversariæ saxeique cordis, ex facie tua exsultaverunt, canentes victoriæ hymnum tibi, Domine.

Scaturientem tuo mandato præruptam durissimam petram suxit Israeliticus populus : petra autem tu es, Christe, et vita, in quo fundata est Ecclesia clamans : Osanna, benedictus es qui venis.

Mortuum quatriduanum jussu tuo ex defunctis contremiscens infernus emisit Lazarum : tu enim

[10] Baruch III, 38.

VARIÆ LECTIONES.

[x] Anth. ὡς. [y] Anth. ἀθρῴως. [z] Anth. ἐώρων, θαμβηθέντες δὲ καὶ πρὸς γῆν κατ. [a] Anth. ἀνεβόα. [b] Anth. ἐνωτισθέντες. [c] Hanc acrostichidem negligenter omissam ex versuum initiis huc restituimus.

Digitized by Google

resurrectio, Christe, et vita es, in quo fundata est Ecclesia clamans : Osanna, benedictus es qui venis.

Cantate digne, sacerdotes in Sion, et votum reddite Christo in Jerusalem. Ipse advenit in gloria cum dominatione, in quo fundata est Ecclesia clamans : Osanna, benedictus es qui venis.

Christus venturus manifeste Deus noster, veniet et non tardabit ex monte umbroso, denso, puella pariente viri nescia, ait olim propheta. Quare omnes clamemus : Gloria potentiæ tuæ, Domine.

Erumpant lætitiam fortem propter misericordiam montes, et omnes colles, et ligna silvæ plaudant manibus. Christum laudate, gentes, et hunc universi populi celebrantes, clamate : Gloria potentiæ tuæ, Domine.

Fortitudinem rex sæculorum Dominus indutus veniet : hujus pulchritudinis et gloriæ incomparabilis decor est in Sion. Quare omnes clamemus ; Gloria potentiæ tuæ, Domine.

Palmo qui mensus est cœlum, pugillo autem terram, Dominus adest. Sionem etenim elegit : in ipsa vero habitare et regnare placitum est, in gentibus etiam, quæ in fide clament : Gloria potentiæ tuæ, Domine.

Qui evangelizas Sion, in montem ascende; quique Jerusalem prædicas, in fortitudine exalta vocem : Gloriosa dicta sunt de te, civitas Dei ; pax super Israel, et salutare gentibus.

Qui in altissimis sedet super Cherubim Deus, et humilia respicit, ecce venit in gloria cum potestate, et replebuntur omnia divina laude ipsius. Pax super Israel, et salutare gentibus.

Sion, Dei mons sancte, et Jerusalem, in circuitu oculos tuos leva, et vide congregatos filios tuos in te. Ecce enim venerunt de longe adorare regem tuum. Pax super Israel, et salutare gentibus.

Clamaverunt in lætitia justorum animæ : Nunc mundo testamentum novum disponitur, et aspersione innovatur populus divini sanguinis.

Suscipe, Israel, Dei regnum, et qui ambulat in tenebris lumen videat magnum, et aspersione innovetur populus divini sanguinis.

Solutos vinctos tuos, Sion, emitte, et de lacu ignorantiæ sine aqua educ : atque aspersione innovetur populus divini sanguinis.

Qui salvasti in igne Abramidas pueros tuos, Chaldæos vero interfecisti, quoniam injuste justis insidias struxerunt, superlaudabilis Domine, Deus patrum, benedictus es.

Genu flexo populi et cum discipulis gaudentes, cum palmis Osanna filio David clamabant : Superlaudabilis Domine, Deus patrum, benedictus es.

Simplex multitudo, adhuc infantilis ætas, ut

σὺ γὰρ καὶ ζωὴ, ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Ἄσατε, οἱ θεοπρεπῶς[d] ἐν Σιὼν, καὶ εὐχὴν ἀπόδοτε Χριστῷ ἐν Ἱερουσαλήμ. Αὐτὸς ἔρχεται ἐν δόξῃ μετὰ κυρίας, ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ, εὐλογημένος εἶ, ὁ ἐρχόμενος.

Χριστὸς ὁ ἐρχόμενος ἐμφανῶς Θεὸς ἡμῶν, ἥξει καὶ οὐ χρονιεῖ ἐξ ὄρους κατασκίου, δασέος, κόρης τικτούσης ἀπειράνδρου, προφήτης πάλαι φησί. Διὸ πάντες βοῶμεν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Ῥηξάτω εὐφροσύνην κραταιὰν ἐπ' ἔλεον ὄρη, καὶ πάντες βουνοὶ, καὶ ξύλα τοῦ δρυμοῦ ἐπικροτησάτω. Χριστὸν αἰνεῖτε, ἔθνη, καὶ τοῦτον, πάντες λαοὶ, ἐπαινοῦντες, βοᾶτε· Δόξα τῇ δυνάμει σου, Κύριε.

B Ἰσχὺν ὁ βασιλεύων τῶν αἰώνων Κύριος ἐνδεδυμένος ἥξει, τῆς τούτου ὡραιότητός τε καὶ δόξης ἀσύγκριτος ὑπάρχει εὐπρέπεια ἐν Σιών. Διὸ πάντες βοῶμεν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Σπιθαμῇ ὁ μετρήσας οὐρανὸν, δρακὶ δὲ γῆν, Κύριος πάρεστι. Σιὼν γὰρ ἐξελέξατο· ἐν αὐτῇ δὲ οἰκεῖν καὶ βασιλεύειν ᾑρέτισται, καὶ τῶν λαῶν τῶν ἐν πίστει βοώντων· Δόξα τῇ δυνάμει σου, Κύριε.

Τὴν Σιὼν, ἐπ' ὄρους ἀνάβηθι, ὁ εὐαγγελιζόμενος, καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων, ἐν ἰσχύϊ ὕψωσον φωνήν. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ· εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ σωτήριον ἔθνεσι.

C Ὁ ἐν τοῖς ὑψίστοις καθήμενος, ἐπὶ τῶν Χερουβὶμ Θεὸς, καὶ ἐφορῶν ταπεινὰ, ἰδοὺ ἔρχεται ἐν δόξῃ μετὰ κυρίας, καὶ πληρωθήσεται τὰ πάντα θείας αἰνέσεως αὐτοῦ. Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ σωτήριον ἔθνεσιν.

Σιὼν, Θεοῦ ὄρος τὸ ἅγιον, καὶ Ἱερουσαλὴμ, κύκλῳ τοὺς ὀφθαλμούς σου ἆρον, καὶ ἴδε συνηγμένα τέκνα σου ἐν σοί. Ἰδοὺ γὰρ ἥκασι μακρόθεν προσκυνῆσαι τῷ βασιλεῖ σου. Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ σωτήριον ἔθνεσιν.

Ἐδόησαν ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα· Νῦν τῷ κόσμῳ διαθήκη καινὴ διατίθεται, καὶ ῥαντίσματι καινουργεῖται λαὸς θείου αἵματος.

Ὑπόδεξαι, Ἰσραὴλ, τοῦ Θεοῦ τὸ βασίλειον, καὶ ὁ βαίνων ἐν τῷ σκότει φῶς θεασάσθω μέγα, καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

D Λελυμένους σοὺς δεσμίους, Σιὼν, ἐξαπόστειλον, καὶ ἐκ λάκκου ἀγνωσίας ἀνύδρου ἐξάγαγε· καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

Ὁ διασώσας ἐν πυρὶ τοὺς Ἀβραμιαίους σου παῖδας, καὶ τοὺς Χαλδαίους ἀνελὼν, οἷς ἀδίκως δικαίους ἐνήδρευσαν, ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Γονυπετοῦντες οἱ λαοὶ, καὶ σὺν μαθηταῖς γεγηθότες, μετὰ βαΐων Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ ἐκραύγαζον· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Ἡ ἀπειρόκακος πληθὺς, ἔτι νηπιάζουσα φύσις,

VARIÆ LECTIONES.

[d] Forte θεοπρεπεῖς.

Digitized by Google

θεοπρεπῶς σε, βασιλεῦ Ἰσραὴλ καὶ ἀγγέλων, ἀνύμνησεν· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Μετὰ βαΐων σε, Χριστὲ, κλάδοις ἐπεκρότει τὰ πλήθη· Εὐλογημένος ὁ ἐλθὼν Βασιλεὺς τῶν αἰώνων, ἐβόα δὲ, Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Εὐφράνθητι, Ἱερουσαλὴμ, πανηγυρίσατε, οἱ ἀγαπῶντες Σιών. Ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας Κύριος τῶν δυνάμεων ἦλθεν. Εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω· Εὐλογεῖτε, τὰ ἔργα, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νέον πῶλον ἐπιβεβηκὼς ὁ βασιλεύς σου, Σιὼν, ἐπέστη Χριστός. Τὴν γὰρ ἀλόγιστον εἰδώλων πλάνην λῦσαι, τὴν ἀκάθεκτον ὁρμὴν ἀναστεῖλαι πάντων ἐθνῶν παραγέγονεν, εἰς τὸ μέλπειν· Εὐλογεῖτε, τὰ ἔργα, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Θεός σου (χαῖρε, Σιὼν, σφόδρα) ἐβασίλευσεν εἰς τοὺς αἰῶνας Χριστός. Οὗτος, ὡς γέγραπται, πραῢς καὶ σώζων, δίκαιος Λυτρωτὴς ἡμῶν ἦλθεν ἐπὶ πώλου ἵππον [a], θράσος ὀλέσαι ἐχθρῶν μὴ βοώντων· Εὐλογεῖτε, τὰ ἔργα, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σπανίζεται θείων περιβόλων τὸ παράνομον συνέδριον ἀπειθῶν, τὸν προσευχῆς Θεοῦ ἐπείπερ οἶκον σπήλαιον ἀπειργάσαντο ληστῶν, ἐκ καρδίας τὸν Λυτρωτὴν ἀπωσάμενοι, ᾧ βοῶμεν· Εὐλογεῖτε, τὰ ἔργα, τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, συστήσασθε ἑορτὴν, καὶ ἀγαλλιώμενοι, δεῦτε μεγαλύνωμεν Χριστὸν, μετὰ βαΐων καὶ κλάδων ὕμνοις κραυγάζοντες· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν.

Ἔθνη, ἵνα τί ἐφρυάξατε Γραφὰς, καὶ ἱερεῖς, τί κενὰ ἐμελετήσατε; Τίς οὗτος, εἰπόντες, ᾧ παῖδες μετὰ βαΐων καὶ κλάδων ὕμνοις κραυγάζουσιν· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν.

Οὗτος ὁ Θεὸς ᾧ παρόμοιος οὐδείς, δικαίαν πᾶσαν ὁδὸν ἐξευρὼν δέδωκε τῷ ἠγαπημένῳ Ἰσραὴλ, μετὰ δὲ ταῦτα ἀνθρώποις συνανεστράφη ὀφθείς. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν.

Σκάνδαλα τρίβους τί ἐχόμενα ὑμεῖς τιθέατε ἀπειθεῖς; πόδες ὀξεῖς ὑμῖν αἷμα τοῦ ἐκχέαι Δεσπότου. Ἀλλ' ἀναστήσεται πάντας σῶσαι τοὺς κραυγάζοντας· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν.

A Deum decet, te, rex Israel et angelorum, laudavit : Superlaudabilis Domine, Deus patrum, benedictus es.

Cum palmis tibi, Christe, ramisque plaudebant turbæ : Benedictus qui venit rex sæculorum clamabant : Superlaudabilis Domine, Deus patrum, benedictus es.

Lætare, Jerusalem, conventum agite, qui diligitis Sion. Qui regnat enim in sæcula Dominus virtutum venit. Timeat omnis terra a facie ejus, et clamet : Benedicite, opera, Dominum, et superexaltate in omnia sæcula.

Juvenem pullum ascendens rex tuus, Sion, astitit Christus. Irrationabilem enim idolorum errorem B solvere, effrenem impetum compescere omnium gentium advenit, ut cantent : Benedicite, opera, Dominum, et superexaltate in omnia sæcula.

Deus tuus (gaude, Sion, valde) regnavit in sæcula Christus. Iste, ut scriptum est, mitis et salvator, justus redemptor noster venit super pullo equitans, ut audaciam perderet inimicorum non clamantium : Benedicite, opera, Dominum, et superexaltate in omnia sæcula.

Dissipatur sacri templi iniquum synedrium contumacium : orationis enim Dei domum speluncam effecerant latronum, a corde Redemptorem excludentes, cui clamamus : Benedicite, opera, Dominum, C et superexaltate in omnia sæcula.

Deus Dominus et apparuit nobis, constituite diem solemnem, et exsultantes venite magnificemus Christum, cum palmis et ramis laudibus clamantes : Benedictus qui venit in nomine Domini Salvatoris nostri.

Gentes ut quid fremuistis in Scripturas, et sacerdotes ut quid inania meditati estis? dicentes : Quis est iste cui pueri cum palmis et ramis laudibus clamant : Benedictus qui venit in nomine Domini Salvatoris nostri.

Hic Deus cui similis nullus, omnem viam justam inveniens dedit dilecto Israel : et post hæc cum hominibus conversatus est visibilis. Benedictus qui D venit in nomine Domini Salvatoris nostri.

Scandala semitas occupantia quid vos ponitis immorigeri? veloces pedes vestri ad effundendum sanguinem Domini. Sed resurget ut salvet omnes qui clamant : Benedictus qui venit in nomine Domini Salvatoris nostri.

ΙΒ'.

ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Ἡ ἀκροστιχίς·

Σταυρῷ πεποιθὼς ὕμνον ἐξερεύγομαι.

Σταυρὸν χαράξας Μωσῆς, ὑπ' εὐθείας ῥάβδῳ τὴν

XII.

IN EXALTATIONEM CRUCIS.

Acrostichis :

Cruce confisus hymnum eructo.

Crucem figurans Moyses, in directo virga Ru-

VARIÆ LECTIONES.

[a] Forte ἱππευων.

Digitized by Google

brum mare divisit Israeli iter facienti, idem vero per reductionem supra Pharaonem cum curribus percutiens univit; in latitudine delineans invincibile telum. Ideo Christo canamus Deo nostro, quoniam glorificatus est.

Typum olim Moyses immaculatæ passionis in seipso ostendit, medius inter sacerdotes stans: cruci vero configuratus, extensis tropæum manibus excitavit, potentiam perdens Amalec perditi. Quare Christo canamus Deo nostro, quoniam glorificatus est.

Imposuit Moyses super conto remedium, corruptivi liberatorium et venefici morsus: et in ligno figura crucis serpentem per terram se trahentem alligavit obliquum, in hoc triumphans noxam. Quare Christo canamus Deo nostro, quoniam glorificatus est.

Ostendit cœlum crucis tropæum pio imperatori et regi divina meditanti, in quo hostium acerrimorum dejectus est fremitus, errorque subversus est, et fides explicata divina ad usque terminos terræ. Quare Christo canamus Deo nostro, quoniam glorificatus est.

Virga in typum mysterii assumitur: germine enim declarat sacerdotem. Sterili autem antea Ecclesiæ nunc efflоruit lignum crucis in imperium et firmamentum.

Ubi emisit percussa aquam petra durissima immorigero populo et duri cordis, divinitus vocatæ indicavit Ecclesiæ mysterium, cujus crux est imperium et firmamentum.

Latere immaculato hasta vulnerato, aqua cum sanguine efflуxit, quæ innovat testamentum et purgat peccata. Fidelium enim crux gloriatio est, et regum imperium atque firmamentum.

Audivi, Domine, œconomiæ tuæ mysterium, intellexi opera tua, et glorificavi tuam deitatem.

Amarulentos mutavit ligno Moyses fontes in eremo quondam cruce, ad pietatem præmonstrans gentium translationem.

Qui imo receperat securim, reddidit Jordanis ligno [11], cruce et baptismate excisionem erroris subindicans.

Sacrate proficiscitur quadripartitus populus deducens aream testimonii in figura [12], cruciformibus aciebus commendabilis.

Mirabiliter explicata solares radios vibravit crux, et enarraverunt cœli gloriam Dei nostri.

O beatissimum lignum, in quo distentus est Christus rex et Dominus! per quod excidit qui ligno decepit, in errorem inductus eo, qui in te carne confixus est, Deo, qui præbet pacem animabus nostris.

[11] IV Reg. VI. [12] Numer. II, 1 seqq.

A Ἐρυθρὰν διέτεμε τῷ Ἰσραὴλ πεζεύσανει· τὴν δὲ ἐπιστρεπτικῶς Φαραὼ τοῖς ἅρμασι κροτήσας ἤωσεν· ἐπ' εὖρους διαγράψας τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Τὸν τύπον πάλαι Μωσῆς τοῦ ἀχράντου πάθους ἐν ἑαυτῷ προέφηνε, τῶν ἱερῶν μεσούμενος· σταυρῷ δὲ σχηματισθείς, τεταμέναις τρόπαιον παλάμαις ἤγειρε, τὸ κράτος διολέσας [f] Ἀμαλὴκ τοῦ πανώλου. Διὸ Χριστῷ ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

B Ἀνέθηκε Μωϋσῆς ἐπὶ στήλης ἄκος, φθοροποιοῦ λυτήριον καὶ ἰοβόλου δήγματος· καὶ ξύλῳ τύπῳ σταυροῦ, τὸν πρὸς γῆν συρόμενον ὄφιν προσέδησεν ἐγκάρσιον, ἐν τούτῳ θριαμβεύσας τὸ πῆμα. Διὸ Χριστῷ ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὑπέδειξεν οὐρανὸς τοῦ σταυροῦ τὸ τρόπαιον τῷ εὐσεβείας κράτορι καὶ βασιλεῖ θεόφρονι, ἐχθρῶν ἐν ᾧ δυσμενῶν κατεβλήθη φρύαγμα, ἀπάτη ἀνετράπη δὲ, καὶ πίστις ἐφηπλώθη γῆς τοῖς πέρασι θεία. Διὸ Χριστῷ ᾄσωμεν Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ῥάβδος εἰς τύπον μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στερευούσῃ δὲ πρώην Ἐκκλησίᾳ νῦν ἐξήνθησε ξύλον σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

C Ὡς ἐπαφῆκε ῥαπιζομένη ὕδωρ ἀκρότομος ἀπειθοῦντι λαῷ καὶ σκληροκαρδίῳ, τῆς θεοκλήτου ἐδήλου Ἐκκλησίας τὸ μυστήριον, ἧς ὁ σταυρὸς τὸ κράτος καὶ στερέωμα.

Πλευρᾶς ἀχράντου λόγχῃ τρωθείσης, ὕδωρ σὺν αἵματι ἐξεβλύθη ἐγκαινίζον διαθήκην, καὶ ῥυπτικὸν ἁμαρτίας. Τῶν πιστῶν γὰρ σταυρὸς καύχημα, καὶ βασιλέων κράτος καὶ στερέωμα.

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Πικρογόνους μετέβαλε ξύλῳ Μωϋσῆς πηγὰς ἐν ἐρήμῳ πάλαι τῷ σταυρῷ, πρὸς τὴν εὐσέβειαν τῶν ἐθνῶν προφαίνων τὴν μετάθεσιν.

Ὁ βυθῷ κολπωσάμενος τέμνουσαν, ἀνέδωκεν Ἰορδάνης ξύλῳ, τῷ σταυρῷ καὶ τῷ βαπτίσματι τὴν τομὴν τῆς πλάνης τεχμαιρόμενος.

D Ἱερῶς προστοιβάζεται [g] ὁ τετραμερὴς λαὸς προηγούμενος τῆς ἐν τύπῳ μαρτυρίου σκηνῆς, σταυροτύποις τάξεσι κλειζόμενος.

Θαυμαστῶς ἐφαπλούμενος τὰς ἡλιακὰς αὐγὰς [h] ἐξηκόντισεν ὁ σταυρὸς, καὶ διηγήσαντο οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν.

Ὦ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ βασιλεὺς καὶ Κύριος, δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

VARIÆ LECTIONES.

[f] Auth. διωλέσας.... πανώλους. [g] Auth. προστιβ. [h] Auth. βολάς.

Digitized by Google

Σὲ τὸ ἀοίδιμον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ἡ τὴν Ἐδὲμ φυλάττουσα στρεφομένη ῥομφαία, σταυρὲ, ἐδέσθη. Τὸ φρικτὸν δὲ Χερουβὶμ εἶξε τῷ σοι παγέντι Χριστῷ[i], τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν. A

Ὑποχθονίων δυνάμεις ἀντίπαλοι τοῦ σταυροῦ φρίττουσι χαραττόμενον τὸ σημεῖον ἐν ἀέρι, ᾧ πολοῦσιν. Οὐρανίων, γηγενῶν γένος δὲ γόνυ κάμπτει Χριστῷ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Μαρμαρυγαῖς ἀκηράτοις φανεὶς ὁ θεῖος σταυρὸς ἐσκοτισμένοις ἔθνεσι τῆς ἐν πλάνῃ ἀπάτης, τὸ θεῖον φέγγος ἀπαστράψας, οἰκειοῖ τῷ ἐν αὐτῷ παγέντι Χριστῷ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Νοτίου θηρὸς ἐν σπλάγχνοις παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδὺς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος. B

Ὁ γήρᾳ καμφθεὶς, καὶ νόσῳ τρυχωθεὶς, ἀνορθούτω[j] Ἰακὼβ χεῖρας ἀμείψας, τὴν ἐνέργειαν φαίνων τοῦ ζωοδότου[k] σταυροῦ. Τὴν παλαιότητα καὶ γὰρ τοῦ νομικοῦ σκιώδους γράμματος ἐκαινογράφησεν ὁ ἐν τούτῳ σαρκὶ προσπαγεὶς ὁ Θεὸς, καὶ τὴν ψυχόλεθρον νόσον τῆς πλάνης ἀπήλασε.

Νεαζούσαις θεὶς παλάμας ὁ θεῖος Ἰσραὴλ σταυροειδῶς κάραις ἐδήλου, ὡς πρεσβύτερον κλέος ὁ νομολάτρης λαός. Ὑποπτευθεὶς ὅθεν οὗτος[l] ἐξηπατῆσθαι, οὐκ ἠλλοίωσε τὸν ζωηφόρον τύπον· Ὑπερέξει λαὸς γὰρ Χριστοῦ τοῦ Θεοῦ νεοπαγὴς, ἀνεβόα, σταυρῷ τειχιζόμενος. C

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον, ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἐψαλλον· Ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Ξύλου γευσάμενος ὁ πρῶτος ἐν βροτοῖς φθορᾷ παρῴκησε. Ῥίψιν γὰρ ζωῆς ἀτιμοτάτην κατακριθεὶς, ὅλῳ τῷ γένει σωματοφόρος τις, ὡς λύμη, τῆς νόσου μετέδωκεν. Ἀλλ' εὑρηκότες γηγενεῖς ἀνάκλησιν σταυροῦ τῷ ξύλῳ[m], κράζομεν· Ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ. D

Ἔλυσε πρόσταγμα Θεοῦ παρακοὴ, καὶ ξύλον ἤνεγκε θάνατον βροτοῖς, τὸ μὴ εὐκαίρως καταληφθέν. Ἐν ἀσφαλείᾳ, ὁ νυκτὶ λόγου[n] δυσθανοῦς ἠνέῳξεν εὐγνωμοσύνῃ κράζοντας· Ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Ῥάβδου προσπτύσσεται τὸ ἄκρον Ἰωσὴφ ὁ γε-

Te commendabile lignum, in quo distentus est Christus, qui Eden custodiebat versatilis gladius, o crux, reveritus est. Terribilis vero Cherubimus cessit ei, qui tibi confixus est Christus, qui præbet pacem animabus nostris.

Inferorum potestates adversariæ crucis, horrent expressum signum in aere, in quo versantur. Cœlestium vero terrigenumque genus genu flectit Christo, qui præbet pacem animabus nostris.

Fulgoribus puris visa divina crux obtenebratis gentibus erroneæ seductionis, divinum jubar corruscans conciliat Christo qui in ea confixus est, qui præbet pacem animabus nostris.

Marinæ feræ in visceribus palmas Jonas decussatim extendens, salutarem passionem sapienter præfigurabat. Idcirco triduanus egressus supernam resurrectionem ad vivum expressit carne crucifixi Christi Dei, et triduana resurrectione mundum illuminantis.

Senio incurvus et morbo confectus surgat Jacob manus decussans, quo virtutem indicet vivificæ crucis. Vetustatem enim legalis adumbrantis litteræ nova scriptura exaravit, qui in ea confixus est carne Deus, et animabus exitialem morbum erroris sustulit.

Juvenilibus imponens palmas divinus Israel decussatim capitibus, ostendebat antiquioris gloriæ populum legis cultorem. Cum is in suspicionem venisset quod erravisset, non immutavit vivificum typum : Eminebit enim populus Christi Dei recens compactus, clamabat, cruce munitus.

Demens præceptum tyranni impii populos commovit, spirans minarum et blasphemiæ Deo invisæ. Nihilominus tres pueros non perculit ira ferina, non ignis crepitans : sed tanquam resonanti vicissim rorifera in aura, degentes in igne, psallebant : Superlaudabilis patrum et noster Deus, benedictus es.

Lignum degustans primus inter homines, ad corruptionem transiit. Amissione enim vitæ ignominiosissimo damnatus, toto generi, ut quis illud suo in corpore portans, veluti pestis, morbum participavit. At reperientes terrigenæ postliminium crucis in ligno, clamamus : Superlaudabilis patrum et noster Deus, benedictus es.

Solvit mandatum Dei inobedientia, et lignum attulerat mortem hominibus, quod importune usurpatum fuerat. Ad securitatem autem pretiosæ vitæ inde lignum prohibetur, quod nocte insidiarum in doloribus morituri benignitas aperuit clamantis : Superlaudabilis patrum et noster Deus, benedictus es.

Virgæ tenet summum Joseph qui fatura videt,

VARIÆ LECTIONES.

[i] Anth. σαρκὶ pro Χριστῷ. [j] Anth. ἀνορθοῦτο. [k] Anth. ζωηφόρου. [l] Anth. οὕτως. [m] Anth. τὸ ξύλον. [n] Anth. νυκτιλόχου . . . . εὐγνωμοσύνη κράζοντος.

Digitized by Google

Israelis regni robur quomodo coaptabit inclyta crux præostendens. Ea enim est regibus triumphalis gloriatio, et lumen iis, qui fide clamant : Superlaudabilis patrum et noster Deus, benedictus, es.

Benedicite, pueri numero pares, Trinitati ; opificem Patrem Deum laudate; condescendens Verbum quodque ignem in rorem mutavit ; et superexaltate omnibus vitam præbentem Spiritum sanctum sæcula.

Exaltato ligno asperso sanguine incarnati Verbi Dei, laudate, virtutes cœlorum, hominum revocationem festo celebrantes. Populi, adorate Christi crucem, per quam mundo fit resurrectio in sæcula.

Terrigenæ qui manibus dispensatores estis gratiæ, crucem in qua stetit Christus Deus exaltate ut sacerdotes decet, lanceamque Dei Verbi corpus quæ transverberavit. Videant gentes omnes salutare Dei glorificantes in sæcula.

Qui divino suffragio prælati estis, exsultate : Christianorum fideles reges, gloriamini, triumphale telum divinitus consecuti, venerandam scilicet crucem. Per hanc enim gentes bellorum animositatem requirentes, disperduntur in sæcula.

Mysticus es, Deipara, paradisus sine cultu germinans Christum, a quo crucis vivificum in terra plantatum est lignum : quo nunc exaltato, venerantes illum, te magnificamus.

Exsultent ligna silvæ universa, sanctificata natura eorum a quo ab initio plantata fuerunt Christo distento in ligno : quo nunc exaltato, venerantes illum, te magnificamus.

Sacrum erectum est cornu religiosis capitis universorum, crux ; in quo peccatorum spiritualium confringantur cornua omnia, quo nunc exaltato adoramus Christum, te magnificantes.

Quæ per esum ligni generi contigit mors, per crucem evacuata est hodie. Progenitricis enim universalis maledictio dissoluta est germine purissimæ Deiparæ, quam omnes virtutes cœlorum magnificant.

Qui non reliquisti inabrogatum amarorem ligni, Domine, per crucem perfecte sustulisti. Quare et lignum solvit aliquando amaritudinem aquarum Marrha, præfigurans crucis efficaciam, quam omnes virtutes cœlorum magnificant.

Indesinenter obrutos caligine progenitoris, Domine, per crucem exaltasti hodie. Ut enim errore nimis intemperanter natura abrepta est, sic integre nos iterum erexit lumen crucis, quam fideles magnificamus.

Ut typum ostenderes mundo adorabilem, Domine, crucis in omnibus tanquam gloriosum, in cœlo ef-

A νησόμενα βλέπων, Ἰσραὴλ τῆς βασιλείας τὸ κραταιὸν ὅπως συνέξει ὁ ὑπερένδοξος σταυρὸς προδηλῶν. Οὗτος γὰρ [o] τοῖς βασιλεῦσι τροπαιοῦχον καύχημα, καὶ φῶς τοῖς πίστει ἀνακράζουσιν· Ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Εὐλογεῖτε, παῖδες τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Ὑψουμένου ξύλου ῥαντισθέντος ἐν αἵματι τοῦ σαρκωθέντος Λόγου Θεοῦ, ὑμνεῖτε, αἱ τῶν οὐρανῶν δυνάμεις, βροτῶν τὴν ἀνάκλησιν ἑορτάζουσαι. Λαοὶ, προσκυνεῖτε Χριστοῦ τὸν σταυρὸν, δι' οὗ τῷ κόσμῳ ἀνάστασις εἰς τοὺς αἰῶνας.

B Γηγενεῖς παλάμαις οἰκονόμοι τῆς χάριτος, σταυρὸν οὗ ἐστι [p] Χριστὸς ὁ Θεὸς ὑψοῦτε ἱεροπρεπῶς, καὶ λόγχην Θεοῦ Λόγου σῶμα ἀντιτορήσασαν. Ἰδέτωσαν ἔθνη πάντα τὸ σωτήριον τοῦ Θεοῦ δοξάζοντες εἰς τοὺς αἰῶνας.

Οἱ τῇ θείᾳ ψήφῳ προκριθέντες, ἀγάλλεσθε· Χριστιανῶν πιστοὶ βασιλεῖς, καυχᾶσθε, τὸ τροπαιοφόρον ὅπλον [q] λαχόντες θεόθεν, σταυρὸν τὸν τίμιον. Ἐν τούτῳ γὰρ φῦλα πολέμων θράσος ἐπιζητοῦντες [r], σκεδάνυνται εἰς τοὺς αἰῶνας.

Μυστικὸς εἶ, Θεοτόκε, παράδεισος ἀγεωργήτως βλαστήσασα Χριστὸν, ὑφ' οὗ τὸ τοῦ σταυροῦ ζωηφόρον ἐν γῇ πεφυτούργηται δένδρον· δι' οὗ νῦν [s] ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

C Ἀγαλλέσθω τὰ δρυμοῦ ξύλα σύμπαντα· ἁγιασθείσης τῆς φύσεως αὐτῶν, ὑφ' οὗπερ ἐξ ἀρχῆς ἐφυτεύθη Χριστοῦ τανυθέντος ἐν ξύλῳ· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Ἱερὸν ἠγέρθη κέρας θεόφροσι τῆς κεφαλῆς τῶν ἁπάντων, ὁ σταυρός· ἐν ᾧ ἁμαρτωλῶν νοουμένων συνθλῶνται τὰ κέρατα πάντα· δι' οὗ νῦν ὑψουμένου προσκυνοῦμεν Χριστὸν, καὶ μεγαλύνομεν [t].

[u] Ὁ διὰ βρώσεως τοῦ ξύλου τῷ γένει προσγενόμενος θάνατος, διὰ σταυροῦ κατήργηται σήμερον. Τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται τῷ βλαστῷ τῆς ἀγνῆς Θεομήτορος, ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσι.

D Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου ἐάσας ἀναιρέσιμον, Κύριε, διὰ σταυροῦ τελείως ἐξήλειφας. Ὅθεν καὶ ξύλον ἔλυσέ ποτε πικρίαν ὑδάτων Μερρᾶς, προτυποῦν τοῦ σταυροῦ τὴν ἐνέργειαν, ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσι.

Ἀδιαλείπτως βαπτομένου [v] τῷ ζόφῳ τοῦ προπάτορος, Κύριε, διὰ σταυροῦ ἀνύψωσας σήμερον. Ὡς γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶς ἡ φύσις προκατηνέχθη, παγκλεῶς [x] ἡμᾶς πάλιν ἀνώρθωσε τὸ φῶς τὸ τοῦ σταυροῦ [y], ὃν οἱ πιστοὶ μεγαλύνομεν.

Ἵνα τὸν τύπον ὑποδείξῃς τῷ κόσμῳ προσκυνούμενον, Κύριε, τοῦ [z] σταυροῦ ἐν πᾶσιν, ὡς ἔνδοξον,

VARIÆ LECTIONES.

[o] Anth. γάρ ἐστι. [p] Anth. ἔστη. [q] Anth. τῷ τροπαιοφόρῳ ὅπλῳ. [r] Anth. ἐπιζητοῦντα. [s] Anth. διὰ νῦν. Sic et infra. [t] Anth. προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν. [u] Hæc videntur temere inserta. Occurrunt in Anth. pag. 73. [v] Anth. βαπτομένους. [x] Anth. παγκλήρως. [y] Anth. σταυροῦ σου. [z] Anth. τὸν τοῦ.

Digitized by Google

ἐν οὐρανῷ ἐμόρφωσας φωτὶ ἀπλέτῳ ἡγλαϊσμένῳ [a] βασιλεῖ πανοπλίαν ἀήττητον. Διό σε αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσι.

A formasti immenso lumine illustrato regi armaturam invictam. Idcirco te virtutes cœlorum magnificant.

ΙΓ'.

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ.

Ἤτοι εἰς τὴν κατὰ σάρκα προσαγωγὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡ ἀκροστιχίς·

Χριστὸν γεγηθὼς πρέσβυς ἀγκαλίζεται [b].

Χέρσον ἄβυσσοτόκον πέδον ἥλιος ἐπεπόλευσέ ποτε· ὡσεὶ τεῖχος γὰρ ἐπάγη ἑκατέρωθεν ὕδωρ λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Ῥανάτωσαν ὕδωρ νεφέλαι· ἥλιος ἐν νεφέλῃ γὰρ κούφῃ ἐποχούμενος ἐπέστη ἀκηράτοις ὠλέναις Χριστὸς ἐν τῷ ναῷ ὡς βρέφος. Διὸ πιστοὶ βοήσωμεν· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Ἰσχύσατε, χεῖρες Συμεών, τῷ γήρᾳ ἀνειμέναι, καὶ κνῆμαι παρειμέναι δὲ πρεσβύτου, εὐθυδόλως κινεῖσθε Χριστοῦ πρὸς ὑπαντήν, χορείαν σὺν ἀσωμάτοις στήσαντες [c]· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Συνέσει ταθέντες οὐρανοί, εὐφράνθητε· ἀγάλλου δὲ, ἡ γῆ· ὑπερθέων γὰρ ἐκ κόλπων ὁ τεχνίτης φοιτήσας Χριστὸς, ὑπὸ μητρὸς Παρθένου Θεῷ Πατρὶ προσάγεται νήπιος, ὁ πρὸ πάντων· Ἐνδόξως γὰρ δεδόξασται.

Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον, Κύριε, τὴν Ἐκκλησίαν, ἣν ἐκτίσω [d] τῷ τιμίῳ σου αἵματι.

Ὁ πρωτότοκος ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων, πρωτότοκος νήπιος κόρης ἀφθόρου τῷ Ἀδὰμ χεῖρα προτείνων ἐπέφανε.

Νηπιόφρονα τὸν γεγονότα ἀπάτῃ πρωτόπλαστον, ἐμπαλὶν ἐπανορθώσων Θεὸς Λόγος νηπιάζων [e] ἐπέφανε.

Γῆς ἀπόγονον παλινδρομήσασα [f] ταύτην θεότητος σύμμορφον φύσιν ὁ πλάστης ὡς ἀτρέπτως νηπιάσας ἀνέδειξεν.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ. Τῆς κιβωτοῦ γὰρ προελθὼν τοῦ ἁγιάσματός σου τῆς ἀφθόρου μητρὸς, ἐν τῷ ναῷ τῆς δόξης σου ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος· καὶ ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Γηθόμενος Συμεών, τῶν ἀποῤῥήτων μῦστα, ἡ Θεοτόκος ἐβόα, ὃν ὑφ' ἁγίου πάλαι κεχρημάτισαι Πνεύματος, νηπιάσαντα Λόγον Χριστὸν ἐναγκαλίζου, κράζων αὐτῷ· Ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Ἣν ἤλπισας, Συμεών, ἡλικιώτην βρεφῶν χαίρων, ὑπόδεξαι Χριστὸν, τοῦ Ἰσραὴλ τοῦ θείου τὴν παράκλησιν, τοῦ νόμου ποιητὴν καὶ Δεσπότην, πληροῦντα νόμου τάξιν, κράζων αὐτῷ· Ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

XIII.

IN OCCURSUM.

Sive in præsentationem secundum carnem Domini et Salvatoris nostri Jesu Christi.

Acrostichis :

Christum lætabundus senex in ulnis accipit.

Aridum effectum solum in quo gignuntur abyssi, sol quondam permeavit; tanquam murus enim compacta est utrinque aqua populo pedibus per mare iter facienti, Deoque placite modulanti : Cantemus Domino, gloriose enim glorificatus est.

Rorent aquam nebulæ; sol enim in nube levi invectus astitit puris ulnis Christus in templo tanquam puer. Quare fideles clamemus : Cantemus Domino, gloriose enim glorificatus est.

Roboramini, manus Simeonis senio remissæ, et crura debilia senis, recta movemini Christi in occursum, choream cum incorporeis componentes : Cantemus Domino, gloriose enim glorificatus est.

Intellectu distenti cœli, lætamini, exsultetque terra; divino etenim ex sinu opifex adveniens Christus, a matre Virgine Deo Patri offertur infans, qui ante omnia exstitit : Gloriose enim glorificatus est.

O robur in te confidentium! robora, Domine, Ecclesiam, quam acquisivisti pretioso sanguine tuo.

Primogenitus ex Patre ante sæcula, primogenitus infans puellæ incorruptæ homini manum porrigens apparuit.

Puerilia sapientem effectum seductione progenitorem, rursus sanaturus Deus Verbum puerascens apparuit.

Terræ prolem pristina repetentem hanc divinitatis conformem naturam conditor immutabiliter puerascens ostendit.

Operuit cœlos virtus tua, Christe. Ex arca enim prodiens sanctificationis tuæ intemeratæ matris, in templo gloriæ tuæ visus es ut parvulus in ulnis portatus : et omnia repleta sunt laudatione tua.

pisse autem videntur XVIII Kal. Octobr. postquam anno 335 celeberrimo episcoporum conventu, Idibus Septembribus dedicatum est Hierosolymis magnificum illud sanctæ Resurrectionis templum a Constantino exstructum, de quo tam multa Eusebius (lib. III, a c. 33, et lib. IV, a c. 43) ; peracta enim die Sabbato templi dedicatione, postridie Idus, qui fuit dies Dominicus, proposita, opinor, crux augusta populo est, factumque anniversariæ hujus celebritatis initium. Video enim in *Chronico Alexandrino* solemnia illa appellari Ἐγκαίνια τῆς Ἐκκλησίας τοῦ ἁγίου σταυροῦ · quo etiam pertinent illa Eusebii verba (*De laud. Const.* c. 9) : Κατ' αὐτὸ δὴ τὸ σωτήριον μαρτύριον, οἶκον εὐκτήριον παμμεγέθη νεών τε ἅγιον τῷ σωτηρίῳ σημείῳ πλουσίως καὶ δαψιλέσι κατεκόσμει φιλοτιμίαις. Id est, *Ad locum Dominici sepulcri basilicam immensæ amplitudinis et ædem sacram in honorem sanctæ crucis omni magnificentiæ genere exornavit.* Itaque in Menologio Sirleti card. legimus eodem die : *Exaltatio pretiosæ et vivificæ Crucis sub imperatore Constantino Magno, ut historiarum monumenta testantur.* Cæterum si Menologio Basiliano standum sit, novem annis antiquior festi hujus diei origo habenda est. Ad Helenæ enim Aug. retrahit tempus, cum inventam crucem Macarius episcopus primum ex ambone populo exposcenti ostendit : quo die ἥρξατο κράζειν ὁ λαός· Κύριε, ἐλέησον, καὶ ἐτυπώθη εἰς Ὕψωσιν. *Cœpit populus clamare : Domine, miserere, et Exaltatæ Crucis festo prælusit.* Hanc enim esse vim puto illius verbi ἐτυπώθη ; rem eamdem codicis pictura declarat (t. I, p. 37). Vide etiam Evagrium *Hist. eccl.* l. IV, c. 26.

Porro in Occidente, postquam Romæ ædificata est basilica Sessoriana, quis dubitet, num ibidem dies festus exaltatæ Crucis agi cœptus fuerit ? Desunt quidem ejus ætatis monumenta, quæ id evincant ; sed tamen in Martyrologiis, quæ Gregorii nostri temporibus antiquiora videntur, postridie Idus Septembres scriptum est, *Exaltatio sanctæ Crucis.* Sic in Lucensi Florentinii, in Corbeiensi, in codice reginæ Sueciæ, in aliis etiam, qui vetustissimi habentur (*V.* Soller. ad Mart. Usuar.), in ipso Sacramentario Gregoriano idem legas : nec in precationibus quidquam inest, quod ad Heraclii Aug. factum referri possit.

(52) Cum episcopi hujus ecclesiam Leontius non prodiderit, suspicari liceat, eum fuisse sine ecclesia, vastata scilicet a barbaris urbe, cui præerat : præsertim cum ad sex menses in Sicilia versatus sit nullam ob causam, quæ gravis videretur, eumque legitime ab Ecclesia sua abesse declararet. Tales vero fuere etiam qui concilio Matisconensi 2, anno 585 ultimi subscripserunt, *Fronimius, Promotus, Faustinianus episcopi*, ut ibidem legimus, *non habentes sedes* (Hard. t. III, p. 466). Atque hic Felix episcopus idem ille fortasse est, quem Gregorius Magnus paulo post in Sardiniam misit *ad convertendos Barbaricinos :* cujus quidem sæpe meminit, nec tamen unquam cujus urbis episcopus esset, ascribit, *fratrem et coepiscopum* appellasse contentus. (Lib. IV, epp. 23, 24, 25, 26.)

Comitem porro datum Gregorio nostro Felicem duxerim, ætatis ejus cohonestandæ causa : annum enim tum agebat tricesimum primum, quo nempe, Innocentii I pont. max. lege, quam in Agathensi concilio habemus (can. 17), creari quis episcopus poterat ; et quo synodus Neocæsariensis (can. 11) presbyteros ipsos, nec citius omnino, designari volebat.

(53) Συντάξασθαι Hesychio est ἀσπάσασθαι.

Digitized by Google

pietate, et moribus ac factis illis persimiles, Smaragdus, Philadelphus et Platonicus. Hi tres præclara vitæ ejus instituta æmulati sunt, et ex assidua prodigiorum contemplatione magno virtutis studio exarserunt.

A καὶ Πλατωνικόν. Οὗτοι οἱ τρεῖς παῖδες ἐζήλωσαν τὴν ἐνάρετον αὐτοῦ πολιτείαν, προσχαρτεροῦντες κατὰ πᾶσαν ὥραν τὰ παρ' αὐτοῦ γινόμενα θαύματα.

LII. Post dies aliquot lustrare urbem cœpit, et qui in ea essent, ægrotos ac pauperes atque viduas invisere. Cumque urbem mediam obiret, quicunque ægros domi habebant, eos propter viam exponebant, qua beatus Gregorius transire deberet. Ipse vero manus iis imponebat, et quocunque detinerentur morbo, in Domini Jesu nomine curabantur. Habebat Sabinus presbyter filiolam formosissimam, sed cujus membra Satanas ante annos novem resolverat; quæ cum in lectulo jaceret, in neutram se partem movere poterat, atque aliorum ope semel per diem latus mutabat. Hujus mater, quæ patrata prodigia audierat, ipsa etiam filiam aliorum manibus sublatam in publicum egit (54), eamque ante domus vestibulum collocandam curavit : illac enim beatus Gregorius erat transiturus. Ut vero hic ad Sabini ostium appropinquavit, uxor ejus egressa, ad beati viri procidit pedes et flens et clamans : Dei serve, miserere mei, et incredulitatem meam adjuva. Ad quam ille : Quid tibi est, filia? Ea rursum ad pedes ejus provoluta : Miserere, inquit, mei, o Dei serve : filiola mea paralytica est, nec se ullo modo movere potest. Ille vero : Quocum, ait, ipsa vivis? Tum Sabinus progressus ad Gregorii pedes se abjecit, atque hæc addidit : Serva tua, mi domine, uxor mea est. Cui Gregorius : Quantum, inquit, temporis est, ex quo id illi contigit? Sabinus autem novem esse annos respondit. At sanctus vir genibus humi flexis, in hunc modum precatus est : Domine mi Jesu Christe Deus, qui cœlum et terram, qui mare et omnia, quæ in iis sunt, condidisti, respice preces servi tui, meque audi nequam licet ac miserum, itaque puellam hanc sancti Spiritus tui virtute invisito. Nec plura effatus surrexit, ac puella signo salutari lustrata, In nomine, inquit, Domini nostri Jesu Christi, excita te, ac pedibus tuis insiste. Illico autem puella surrexit, et ad sancti beatique Gregorii pedes se abjiciens. Per te, inquit, domine, ago Deo gratias, qui ob sinceram illam, qua Deum colis, religionem a [LXIX] mea me infirmitate liberavit. Aderant vero cives, qui eum sequebantur, magna frequentia, ac prodigiorum novitate stupebant. Ubi omnem urbem peragravit, et singulis, quæ opus erant, distribuit; ad templum reversus est hora nona clero populoque omni comitante. Ibi divinis mysteriis peractis, mensam apposuit universo populo, sacro ordini in primis et clero ac plebi, nec minus viduis et mendicis suam : aderatque ipse linteo præcinctus, et una cum tribus diaconis Erasmo, Philadelpho et Platonico plebi universæ

NB'. Μεθ' ἡμέρας δέ τινας ἐξῆλθεν ὁ μακάριος θεάσασθαι τὴν πόλιν καὶ τοὺς ἐν αὐτῇ ἀσθενεῖς, πτωχούς τε καὶ χήρας ἐπισκέψασθαι. Διερχόμενός τε ἀνὰ μέσον τῆς πόλεως, ὅσοι εἶχον ἀσθενεῖς, προετίθουν αὐτοὺς ἐν τῇ πλατείᾳ τῆς πόλεως, ὅθεν ἔμελλεν ἐξέρχεσθαι ὁ μακάριος Γρηγόριος. Καὶ ἐπετίθη αὐτοῖς τὰς χεῖρας, καὶ ἐθεραπεύοντο, οἱῳ ἂν κατεῖχοντο νοσήματι, ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. Ἦν δὲ Σαβῖνος ὁ πρεσβύτερος ἔχων θυγάτριον πάνυ ὡραῖον, ὃ παρέλυσεν ὁ Σατανᾶς πρὸ ἐτῶν ἐννέα· καὶ B αὐτὴ κατέκειτο, μηδὲν δυναμένη ὅλως κινηθῆναι, εἰ μὴ παρ' ἄλλων περιεστρέφετο ἅπαξ τῆς ἡμέρας. Ἀκούσασα δὲ ἡ μήτηρ αὐτῆς τὰ γινόμενα θαύματα, ἐξήγαγεν καὶ αὐτὴ τὴν θυγατέρα αὐτῆς βασταζομένην ὑπὸ ἄλλων· καὶ ἔθηκαν αὐτὴν ἔξωθεν τοῦ πυλαιῶνος· αὐτόθεν γὰρ ἔμελλεν διέρχεσθαι ὁ μακάριος Γρηγόριος. Εἶτα ἐγγίσας τῇ πύλῃ τοῦ Σαβίνου ὁ μακάριος, καὶ ἐξελθοῦσα ἡ γυνὴ αὐτοῦ ἔπεσεν παρὰ τοὺς πόδας τοῦ μακαρίου κλαίουσα καὶ λέγουσα· Ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ, καὶ βοήθει τῇ ἀπιστίᾳ μου. Ὁ δὲ πρὸς αὐτήν· Τί ἐστίν σοι, θύγατερ; Ἡ δὲ πάλιν πεσοῦσα παρὰ τοὺς πόδας αὐτοῦ λέγει αὐτῷ· Ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ· τὸ θυγάτριόν μου παρελύθη, καὶ οὐ δύναται ὅλως σαλευθῆναι. Ὁ δέ φησιν· Τίνος ἐστὶν σύμβιος αὕτη; Ὁ δὲ Σαβῖνος ἐξελθὼν C ἔπεσεν παρὰ τοὺς πόδας τοῦ Γρηγορίου, καὶ εἶπεν· Δούλη σου, κύριέ μου, γυνή μού ἐστιν. Ὁ δὲ λέγει αὐτῷ· Πόσος χρόνος ἐστὶν, ἀφ' οὗ αὐτῇ συνέβη τοῦτο; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἐννέα χρόνοι εἰσὶν, δέσποτα, ἀφ' οὗ τοῦτο γέγονεν αὐτῇ. Ὁ δὲ ἅγιος θεὶς τὰ γόνατα προσεύξατο λέγων· Κύριέ μου Ἰησοῦ Χριστὲ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἔπιδε ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου, καὶ ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ταπεινοῦ, καὶ ἐπίσκεψαι τὴν παῖδα ταύτην τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος. Καὶ ταῦτα εἰπὼν, ἀναστὰς περιεσφράγισεν τὴν κόρην, καὶ εἶπεν· Ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. Εὐθέως D δὲ καὶ παραχρῆμα ἐξανέστη ἡ κόρη, καὶ ἔπεσεν παρὰ τοὺς πόδας τοῦ ἁγίου καὶ μακαρίου Γρηγορίου λέγουσα· Εὐχαριστῶ τῷ Θεῷ διὰ σοῦ, δέσποτα, ὅτι διὰ τῆς σῆς καθαρᾶς λατρείας, ἧς κέκτησαι πρὸς τὸν Θεὸν, ἔσωσέν με ἐκ τῆς ἀσθενείας μου. Ἦν δὲ τὸ πλῆθος τῆς πόλεως ἀκολουθοῦν αὐτῷ, καὶ θαυμάζοντες ἐπὶ τὰ παράδοξα τὰ γενόμενα ὑπ' αὐτοῦ. Πᾶσαν δὲ τὴν πόλιν διελθὼν, καὶ πᾶσιν τὰ πρὸς τὴν χρείαν διανέμων, ὑπέστρεψεν ἐν τῇ ἐκκλησίᾳ τὴν ἐννάτην ὥραν μετὰ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, καὶ τὴν θείαν ἐπιτελέσας μυσταγωγίαν, παρέθηκεν τράπεζαν παντὶ τῷ λαῷ, τοῖς τε ἱερατικοῖς, καὶ τῷ κλήρῳ, καὶ τῷ κοινῷ τοῦ λαοῦ, λοιπὸν δὲ καὶ τῶν χηρῶν καὶ τῶν πτωχῶν ἰδίως. Ἦν δὲ αὐτὸς διεζω-

(54) Cod. 2, βασταζομένην καὶ αἰρομένην ὑπὸ τεσσάρων· καὶ ἔθηκαν.

Digitized by Google

σμένος ῥάκος καὶ διακονῶν παντὶ τῷ λαῷ ἅμα τοῖς τρισὶν διακόνοις, Ἐράσμῳ, Φιλαδέλφῳ καὶ Πλατωνικῷ. Ἡ δὲ μήτηρ αὐτοῦ μετὰ τῶν αὐτῆς θεραπαινίδων ἦν ἐξυπηρετοῦσα ἀδιαλείπτως εἰς τὰς χῆρας καὶ πᾶσαν πτωχίαν, ἰδίαις χερσὶν νίπτουσα ἑνὸς ἑκάστου αὐτῶν τοὺς πόδας. Ὁ δὲ Χαρίτων ὁ πατὴρ αὐτοῦ οὐκ ἀφίστατο τῆς ἐκκλησίας, νηστείαις καὶ προσευχαῖς, νυκτός τε καὶ ἡμέρας λατρεύων τῷ Θεῷ, ἐνδεδυμένος ῥακώδη, ἀναγινώσκων καὶ διερχόμενος τὰς Βίβλους· καὶ ἑρμηνεύων ὁ μακάριος τῷ πατρὶ ὁμοστίχως πρὸς ἕκαστον. Ἦν δὲ ὁ μακάριος παιδεύων τοὺς διακόνους ἐν τῇ ἀναγνώσει καὶ τῇ ψαλμῳδίᾳ καὶ ἑρμηνείαις τῶν θείων Γραφῶν Παλαιᾶς τε καὶ Νέας. Ἐδόθη δὲ καὶ χάρις ἐπὶ τὰ παιδάρια, ὥστε προσέχειν αὐτῷ πᾶσι τοῖς λεγομένοις μετὰ πάσης ἀκριβείας, καὶ θαυμάζεσθαι αὐτοὺς ὑπὸ πάντων τῶν ὄντων ἐν τῇ πόλει, ἀλλὰ καὶ πάσης τῆς νήσου. Ταῦτα δὲ ἐποίουν πάσας τὰς ἡμέρας.

ΝΓ'. Ἰδὼν δὲ ὁ ἀρχέκακος διάβολος τὴν τοῦ ἀνδρὸς καθαρὰν καὶ ἀκηλίδωτον πολιτείαν, οὐχ ὑπήνεγκεν φθόνῳ φερόμενος· ἐκίνησεν δὲ πόλεμον κατὰ τοῦ δικαίου, ὅπως αὐτὸν ἀπὸ τοῦ θρόνου αὐτοῦ κατεάξῃ. Καὶ προσυπῆρχον ἐν ἔχθρᾳ ὅ τε Σαβῖνος ὁ πρεσβύτερος, καὶ Κρησκεντῖνος διάκονος. Κατὰ δὲ τὰς ἡμέρας ἐκείνας ἐφιλίασαν πρὸς ἀλλήλους, καὶ τοῦτο ἐκ τοῦ ἀρχεκάκου Σατανᾶ αὐτοῖς παρασκευασθέντος. Καὶ συμβουλευσάμενοι μετ' ἀλλήλων εἶπον πρὸς ἑαυτούς· Ἕως πότε ἡμεῖς ἔχωμεν εἶναι ὑποχείριοι τοῦ ἀνθρώπου τούτου ἐν τῷ εἶναι αὐτὸν γοήτην καὶ φαρμακὸν, καὶ διὰ τῶν μαγειῶν αὐτοῦ ποιεῖν τὰ ψευδῆ, ἃ ποιεῖ τοῖς ἀγνώστοις ἀνθρώποις τῆς πόλεως ταύτης; καὶ οὐκ ἐπιστάμεθα τὸ πῶς ἔφυγεν ἐκ τῶν ἔνθεν, καὶ διεπέρασεν εἰς τὰ ἔθνη, κἀκεῖσε, ὡς ἠκούσαμεν, παρέμεινεν ἔν τινι φαρμακῷ καὶ μάγῳ· κἀκεῖθεν ἤντλησεν πᾶσαν μαγικὴν κακότεχνον ἐπίνοιαν, καὶ ἐπιπλανᾷ τοὺς ἀνθρώπους, λέγων ὡς Σίμων ὁ μάγος, ὅτι Ἄνθρωπός εἰμι τοῦ Θεοῦ, καὶ γέγονεν δαίμων; ὁρᾷς, ὅτι οὔτε ἐσθίει οὔτε πίνει, πάντως ὅτι καὶ οἱ δαίμονες οὔτε ἐσθίουσιν οὔτε πίνουσιν; Ἐρευνήσαντες δὲ ἐν ὅλῃ τῇ πόλει, εὗρον ἐκ τοῦ λαοῦ παντὸς, ἐκ μὲν τῶν κληρικῶν τὸν ἀριθμὸν ἀνδρῶν τριάκοντα, καὶ τούτους ἀγνώστους καὶ ἀγραμμάτους, μὴ εἰδότας δεξιὰν αὐτῶν ἢ ἀριστερὰν· καὶ λαϊκοὺς τὸν ἀριθμὸν εἴκοσι πέντε. Οὗτοι συνωμοσίας μετ' ἀλλήλων διέθεντο κατὰ τοῦ δικαίου, ὥστε ἐκδιῶξαι αὐτὸν ἐκ τῆς πόλεως, καὶ χειροτονῆσαι ἑαυτοῖς Λεύκιόν τινα αἱρετικὸν, ἀποπρεσβύτερον, ξένον ἐκεῖσε παραγενόμενον, ἀναθεματισθέντα

ministrabat. Mater autem ejus cum ancillis suis assidue viduas et omne egentium genus curabat, pedes quoque singulorum manibus suis lavare solita. Nec Charito Gregorii pater a templo discedebat : jejuniis atque obsecrationibus nocte ac die diligentem Deo cultum tribuens, lacera contentus veste, sacrorum Librorum lectioni deditus, quos etiam beatus vir per singulos articulos patri interpretabatur. Quanquam idem præcipuam diaconis suis instituendis operam navabat, ut et bene legerent, et psalmos canerent, et divinas Veteris Novique Testamenti litteras interpretarentur. Neque iis incitamenta defuere, quominus diligenter iis attenderent, quæ ab eo tradebantur : adeo ut non civibus solum, sed insulariis omnibus admirationi essent. Atque hæc erat eorum occupatio quotidiana.

LIII. Vitam vero sancti viri tam puram atque illibatam intuitus malorum ille auctor diabolus, invidia actus non tulit; ac bellum adversus justum excitavit, ut eum a throno deturbaret. Inimicitiæ erant inter Sabinum presbyterum et Crescentinum diaconum. At post eos dies, Satana adnitente eosque conciliante, amicitiam inter se inierunt. Itaque ad deliberandum congressi, dicere cœperunt : Quousque tandem hominis nos hujus imperium feremus, qui præstigiis ac veneficiis delectatur, et falsa magicis artibus obtrudit, imperitisque hujus urbis hominibus imponit? Nec vero viam inveniemus, quo pacto ille solum vertat, atque eo gentium trajiciat, ubi, ut audivimus, cum homine venefico et mago versatus est, et malam omnem magorum hausit scientiam : qua nunc homines decipit (55), Dei se hominem esse, ut Simon ille magus, dictitans, cum dæmon sit? videsne, ut neque quid edat, neque bibat, omnino ut dæmones neque edunt quidquam, neque bibunt? Totam autem urbem scrutati, ex universo populo invenere clericos quidem numero triginta eosque rudes plane atque illitteratos, quæ dextra ipsorum, quæ sinistra esset, nescientes; plebeios vero homines quinque et viginti. Hi contra justum [LXX] conspiraverunt ad eum ex urbe expellendum et ejus loco creandum sibi Leucium quemdam hæreticum ac sacerdotio spoliatum, qui hospes in Siciliam advenerat, postquam eum sancta synodus (56) ex finitimis Laodiceam coacta, anathe-

(55) Cod. 2, καὶ ἀποπλανᾷ τοὺς ἀνθρώπους.

(56) Unde iste Leucius fuerit, quam hæresim foverit, quæ illum synodus damnaverit, omnia ignota sunt. In Decreto concilii Romani, in quo recensentur *libri apocryphi, qui non recipiuntur*, notati quoque sunt *libri omnes, quos fecit Leucius discipulus diaboli* (Hard. t. II, p. 941). Verum plerique sub Gelasio prodiisse decretum illud censent, anno 494; quidam antiquius etiam esse volunt. Sunt præterea, qui Leucium illum esse putent, qui *Charinus* cognominatus est, de quo Photius cod. 114; is autem multo antiquior Gelasio fuit, cum librum ejus appellet Photius πάσης αἱρέσεως πηγήν. Unus est Pfaffius, qui illum sæculo VI vixisse contendat (in *Inst. Hist. eccl.* p. 273). Synodus porro Laodicena, cujus ad nos Acta pervenere, una fuit, eaque in Phrygia Pacatiana celebrata est anno 372 a Patribus 22, quorum canones omnes de moribus deque Ecclesiarum regundarum ratione sunt. Aliæ Laodiceæ synodi non memorantur; nec qui reliquias id genus racemando perquisiverunt, novum, quod sciam, aliquid adhuc in rem nostram nacti, Leontii auctoritati fulciendæ prodesse possunt.

Digitized by Google

mate notaverat. Hic nempe, quanquam nihil de eo senserat Gregorius, latebat apud Theodorum quemdam Eulostrium (57) in loco, quem Modiolum appellant, tertium jam mensem tanquam serpens abstrusus : atque idem invidiam justo conflavit.

LIV. Ili omnes in consilium cum Sabino et Crescentino convenerunt : qui satis grandem eis pecuniam dederunt, ut sanctum Gregorium accusarent. Porro beatus vir Leucium in Oriente viderat, ejusque sententia circa divinam inhumanationem tentata, notaverat atque in exsilium pellendum curarat. Exinde, ut dixi, consilium illi inierunt acerbum sane atque crudelitatis et furoris, et sceleris impietatisque plenissimum. Puella erat in urbe meretricula, nomine Evodia (58), eaque specie pulcherrima. Hanc impii homines cum præoccupassent, sic alloquuntur : Fidem habe nobis, et quod tibi committere volumus, arcanum servato : magnam tibi pecuniæ vim dabimus, et urbis te primam faciemus. Quibus illa : Quid est, inquit, quod significare mihi vultis? Hi vero : Hoc volumus, dixerunt, ut coram episcopo affirmes illum tecum fuisse. At puella : Timeo hominem, inquit, ac vereor, ut quisquam mihi credat, neve me cives occidant; eum enim tanquam angelum e cœlo lapsum venerantur. Cui illi : Non ita, inquiunt; dummodo fidem præstes, nos illæsam te custodiemus. Ergo coacta a perversis hominibus, se ea dicturam recepit, quæ ipsi vellent. Enimvero ex eo die occasionem illi quærere cœperunt, si qua daretur, ad puellam in episcopi ædes immittendam. Porro quadam nocte beatus vir in templum descendit cum Euplo archidiacono et junioribus diaconis Erasmo, Philadelpho et Platonico, ac duobus præterea monachis [LXXI] admodum piis, ut ex more nocturnas preces absolverent. Aderant quidem ad domus pontificalis portas assidui custodes tribunus (59) et danatzanus : at hos impii perversique homines Sabinus ac Crescentinus auro ipsis etiam dato corruperant : itaque portas aperuerunt, et aditum in cubiculum, ubi sanctus vir quiescere solebat. Illuc meretriculam introducunt, eamque in diætæ angulo collocant.

ἐκ τῆς ἁγίας τοπικῆς συνόδου γενομένης ἐν Λαοδικείᾳ. Μὴ εἰδὼς αὐτὸν ὁ μακάριος, ὅτι ἐκεῖσε παρεγένετο· ἦν δὲ κεκρυμμένος ἐν οἴκῳ τινὸς Θεοδώρου Εὐλοστρίου, πλησίον τοῦ τόπου τοῦ λεγομένου Μοδιόλου, ἔχων ἐκεῖσε ἐμφωλεύων ὡς δράκων μῆνας τρεῖς· καὶ αὐτὸς διήγειρεν αὐτοὺς εἰς φθόνον τοῦ δικαίου.

ΝΔ'. Οὗτοι πάντες συνεβουλεύσαντο ἅμα Σαβίνῳ καὶ Κρησκεντίνῳ, χρήματά τε αὐτοῖς κατεβάλοντο ἱκανά, ὅπως αὐτὸν κατηγορήσωσιν. Ἦν δὲ ὁ ἅγιος Γρηγόριος θεασάμενος τὸν Λεύκιον ἐν τῇ Ἀνατολῇ, καὶ προσβαλὼν αὐτῷ περὶ τῆς ἐνσάρκου οἰκονομίας, ἐφίμωσεν αὐτὸν ὁ μακάριος Γρηγόριος, καὶ φυγάδα αὐτὸν κατέστησεν. Εἶτα, ὡς ἔφην, συμβούλιον πικρὸν συνεστήσαντο ὅλον ἀνελεῆ καὶ ἀπάνθρωπον, ὅλον δεινὸν καὶ πικρότατον καὶ ἄθεον. Ἦν δέ τις ἐν τῇ πόλει κόρη ἑταιριζομένη Εὐωδία τοὔνομα, καλὴ τῷ εἴδει σφόδρα. Ταύτην προχειρισάμενοι οἱ ἄθεοι, εἶπον αὐτῇ· Πείσθητι ἡμῖν καὶ συγκατάθου ἡμῖν, ὅπερ σοι ἔχομεν θαῤῥῆσαι μυστήριον· καὶ παρέχωμέν σοι χρήματα πολλά, καὶ ποιῶμέν σε πρώτην τῆς πόλεως. Ἡ δὲ πρὸς αὐτούς, Τί, φησίν, ἐστίν, ὃ βούλεσθε λέγειν πρὸς ἐμέ; Οἱ δὲ εἶπον· Ἵνα εἴπῃς ἐπὶ πρόσωπον τοῦ ἐπισκόπου, ὅτι ἐγένετο μετὰ σοῦ. Ἡ δὲ εἶπεν· Φοβοῦμαι τὸν ἄνθρωπον, μή ποτε καὶ οὐδείς μοι πιστεύσῃ, καὶ ἀποκτενοῦσίν με οἱ τῆς πόλεως· ὡς γὰρ ἄγγελον Θεοῦ σέβονται αὐτόν. Οἱ δὲ εἶπον· Οὐχί, μόνον συγκατάθου ἡμῖν, καὶ ἡμεῖς φυλάττομέν σε ἀσκυλτον. Ἡ δὲ ἀναγκασθεῖσα ὑπὸ τῶν παρανόμων συνέθετο αὐτοῖς εἰπεῖν, ὅσα βούλονται. Ἦσαν δὲ ἐκ τότε ζητοῦντες τὸ πῶς εὕρωσιν χαλάσαι αὐτὴν ἐν τῷ ἐπισκοπείῳ. Ἐν μιᾷ οὖν νυκτὶ κατῆλθεν ὁ μακάριος ἐν τῇ ἐκκλησίᾳ ἅμα Εὐπλῳ ἀρχιδιακόνῳ καὶ τῶν τριῶν παιδαρίων Ἐράσμου, Φιλαδέλφου καὶ Πλατωνικοῦ τῶν διακόνων, καὶ δύο μοναχῶν τινων εὐλαβῶν πληρῶσαι τὰς ἐξ ἔθους μεσονυκτινὰς εὐχάς. Ἦσαν δὲ πάντοτε φυλάττοντες τὰς θύρας τοῦ ἐπισκοπείου τριβοῦνος καὶ δανατζάνος, καὶ πείσαντες αὐτοὺς οἱ ἄθεοι καὶ παράνομοι Σαβῖνος καὶ Κρησκεντῖνος ἔδωκαν καὶ αὐτοῖς χρήματα, καὶ ἤνοιξαν τὰς θύρας, ἐν ᾧ ἦν ἡσυχάζων οἴκῳ ὁ μακάριος· καὶ χαλῶσι τὴν ἑταιριζομένην ἐκεῖσε, καὶ ἔστησαν αὐτὴν ἐν τῇ γωνίᾳ τοῦ οἴκου.

(57) Cod. 2, Θεοδώρου Ἐντιλλουστρίου. Cajet. Ἐνιλλοστρίου.

(58) Metaphrastes vocat Εὐδοκίαν· sed Cajetanus etiam in codicibus suis Εὐωδίαν invenit. Quid in primo codice Basiliano scriptum esset, prodere non possum; a n. 54 ad 65 chartæ avulsæ erant : ut codice uno secundo utendum fuerit. At in Martyrologio Siculo hæc ipsa Evodia appellatur item *Eudocia Agrigentina pœnitens*, quæ obiisse dicitur postridie Idus Martias, et sepulta esse in cœnobio Romano S. Cæciliæ. Eam tamen Bollandiani inter *prætermissos* numerarunt, annotaruntque, Martyrologium illud abstinere ab omni titulo *sanctæ* aut *beatæ* : ut ut Pirrus (in Not. Agrig.) *beatam* nominet.

(59) Militare vocabulum hoc loco *tribunus* videtur, non civile, ad designandum excubitorem, qui ad ædium pontificalium introitum pernoctabat : ut apud Suetonium (in Claud. c. 42, n. 6), *Excubitori tribuno signum de more poscenti, etc.* Id infra manifestius deprehendes (n. 56), ubi tribuni, id est magistratus, accurrisse dicuntur, et pro Gregorio stetisse.

At *Danatzani* nomen apud Grammaticos nusquam apparet; vestigia tamen hujus vocis in Hesychio me reperisse puto, ubi habet δηνάσας et explicat διεξελθών, id est *qui pertransiit*. Siculi enim Dorico more δανάσας pronuntiasse putandi sunt, atque hinc deduxisse δανάζανον a δανάζω, cui Leontius τ interseruit. Reddi autem potest *cubicularius*, vel potius *magister admissionis*, qui ad episcopum deduceret, et sine quo nemo illum adire posset. Ab eodem verbo esse videtur δανάκη, *portoriam Charontis* apud Suidam.

Digitized by Google

ΝΕ'. Πληρώσας οὖν ὁ ἅγιος τοῦ Θεοῦ ἅμα τῶν σὺν αὐτῷ τὰς εὐχάς, ἀνῆλθεν ἐν τῷ ἐπισκοπείῳ, καὶ καθίσαντος αὐτοῦ, ἐζήτησεν ἐπιδοθῆναι αὐτῷ βιβλίον· καὶ ἤρξατο ἀναγινώσκειν τὸν βίον καὶ τὴν ὑπομονὴν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Ἐγένετο δὲ ἐν τῷ αὐτὸν ἀναγινώσκειν τὸν βίον καὶ εὐχαριστεῖν τῷ Θεῷ, ἡ κόρη ἀφύπνωσεν, μὴ εἰδυῖα ὅτι ἀνῆλθέν τις ἐν τῷ οἴκῳ. Ἐπέτρεψεν δὲ τῷ ἀρχιδιακόνῳ κρουσθῆναι τὸ ξύλον τοῦ ὄρθρου τῶν ἐωθινῶν· εὐθέως δὲ φωνήσας τὰ παιδάρια, κατῆλθον πάλιν ἀμφότεροι εἰς τὴν ἐκκλησίαν, καὶ ποιήσας τὰς πρεπούσας εὐχὰς συνηθροίσθη πᾶς ὁ κλῆρος σὺν τῷ λοιπῷ λαῷ· οὕτως γὰρ ἦν νουθετῶν αὐτοὺς ὁ μακάριος. Πληρώσας οὖν τὸν ὄρθρον, καὶ γενομένης ἀπολύσεως, ἀνῆλθεν ἐν τῷ ἐπισκοπείῳ, καὶ πᾶς ὁ λαὸς μετ' αὐτοῦ ἀκοῦσαι τὴν διδασκαλίαν αὐτοῦ. Οὕτως γὰρ ἐποίει καθ' ἑκάστην ἡμέραν, ἀναγινώσκων τῷ λαῷ μετὰ τὴν ἀπόλυσιν τῆς ἐκκλησίας τὰ συντείνοντα εἰς ὠφέλειαν. Αὐτοὶ δὲ οἱ κάκιστοι, οἱ τῆς δολίας ἐκείνης συμβουλίας διδάσκαλοι, ἔστησαν κεχωρισμένοι ἐκ τοῦ λοιποῦ ὀρθοδόξου καὶ ὁμοψύχου λαοῦ, καὶ ἀλλήλους ἐτήρουν ὡς θῆρες ἄγριοι, τεταραγμένοι κατὰ τοῦ δικαίου, καὶ οὐκ ἐδέξαντο κατὰ τὸ ἔθος ἐπιτραπῆναι αὐτοὺς, καὶ οὕτως εἰσελθεῖν, ἔνθα ἦν ὁ μακάριος. Εἰσπηδήσαντες δὲ οἱ ἀνίεροι Σαβῖνος καὶ Κρησκεντῖνος καὶ ἕτεροι δέκα σὺν αὐτοῖς, καὶ κρατήσαντες τὴν ἑταιριζομένην κόρην, ἔστησαν ἔμπροσθεν τοῦ ἁγίου, καὶ ἔκραξαν μεγάλῃ τῇ φωνῇ· Δεῦτε, λαοὶ πάντες, ἴδετε τὸ ἀθέμιτον πρᾶγμα τὸ πραχθὲν παρὰ τοῦ ἐπισκόπου ἡμῶν, ὃν ἐλέγομεν εἶναι ἄξιον, ἀπὸ τοῦ νῦν δὲ λέγομεν αὐτὸν ἀνάξιον εἶναι τοῦ ἀποστολικοῦ θρόνου. Ἔλαβεν δὲ φόβος ἅπαντας, καὶ ἔμειναν ὡς λίθοι ἄφωνοι, μὴ δυνάμενοι φθέγξασθαι πρὸς οὐδένα ῥῆμα. Ἐπέβαλον δὲ τὰς χεῖρας ἐπὶ τὸν μακάριον, καὶ ἔσυραν αὐτὸν ἔξω ἐν τῇ αὐλῇ τοῦ ἐπισκοπείου· καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἔκλαιον τὸν δίκαιον, καὶ ἐκόπτοντο ἐπὶ τῇ γενομένῃ ἐπ' αὐτῷ συμφορᾷ.

LV. Interea Gregorius, obsecratione cum sociis peracta, in domum suam rediit, cumque assedisset, librum sibi dari postulavit: ac vitam et præclara patientiæ exempla sancti Patris nostri Joannis Chrysostomi legere instituit. Accidit vero, dum ille vitam legeret, et Deo gratias ageret, ut puella obdormisceret, nec ullum in domum venisse sentiret. Mandat subinde Gregorius archidiacono, ut tabula pulsata signum det matutinæ psalmodiæ (60): ac pueris illico vocatis, rursum ambo in templum descendunt: quo ad consuetas preces et clerus et populus frequentes convenere. De hoc enim eos beatus vir admonuerat. Fine his imposito, ac discedendi potestate facta, in ædes suas ipse reversus est, sequente cum populo universo, ut institutionem ejus audiret. Nam hunc quotidie morem servabat, ut supplicatione in templo absoluta aliquid populo legeret, unde ille juvari posset. At pessimi homines, fraudulenti illius consilii auctores, extra cœtum orthodoxi atque unanimis populi constiterunt, seque invicem tanquam agrestes feræ observabant, contra justum virum commoti; nec intus, ubi beatus Gregorius erat, se ex consuetudine deduci passi sunt. Insilientes vero sacrilegi illi duo, Sabinus et Crescentinus, et cum iis alii decem, cum meretriculam apprehendissent, coram sancto viro eam statuerunt, [LXXII] et magna voce clamantes, Agite huc, aiebant, populi omnes, atque aspicite iniquum facinus ab episcopo nostro patratum; quem quidem dignum appellabamus, sed jam indignum plane dicimus isto apostolici throni honore. Tum vero timor omnes occupavit, ac velut saxa sine voce hæsere, ut ne verbum quidem ad quemquam proferre possent. At illi manus beato viro injecere, eumque foras in ædium pontificalium aulam traxerunt, tota populi multitudine justi vicem deflente, et illatam calamitatem deplorante.

ΝϚ'. Προσελθόντες δὲ οἱ τριβοῦνοι καὶ οἱ ἄρχοντες τῆς πόλεως ἠρώτησαν τὴν ἑταιριζομένην κόρην· Ναὶ σὺ λέγε τὸ ἀληθὲς, εἰ ἐγένετο μετὰ σοῦ ὁ ἐπίσκοπος; Ἡ δὲ ἐπὶ πάντων ἀπεκρίνατο· Ναὶ, ἐγένετο μετ' ἐμοῦ τῇ νυκτὶ ταύτῃ. Ὁ δὲ ἀρχιδιάκονος καὶ οἱ μοναχοὶ ἠρώτων αὐτήν· Ποίᾳ ὥρᾳ ἐγένετο μετὰ σοῦ τῆς νυκτός; Ἡ δὲ εἶπεν· Μετὰ τὰ ἀποδείπνια· οὕτως γὰρ ἦν προδιδασθεῖσα ὑπὸ τῶν παρανόμων

LVI. Advenere autem tribuni et archontes urbis, qui meretriculam interrogantes dicere jusserunt, num revera cum episcopo ipsa fuisset. Quæ coram omnibus respondit, omnino illum ea nocte secum fuisse. At archidiaconus et monachi ab eadem petebant, qua noctis hora episcopus cum ea fuisset? Respondit autem: A cœna: nam ut sic responderet, scelesti illi præmonuerant. Ilic

(60) Gregorii nostri ætate nondum sacra templorum æra populi convocandi causa in usu esse cœperant. Quique inventum illud antiquissimum faciunt, Sabiniano pont. max. tribuunt, qui creatus est anno 604, cum Gregorius noster pontificatus sui annum ageret 14; de quo argumento legendus tibi Bona cardinalis *Rer. Liturg.* lib. I, cap. 20.

Ergo ubi populus vocandus, ubi clerus aut monachi congregandi essent, instrumento ligneo antea veteres usos esse constat, et in Oriente quidem diutius etiam, quam apud nos. In concilio Nicæno II, act. 4, in Relatione miraculorum S. Anastasii martyris, quam legit Euthymius diaconus pro episcopo Gotthiæ, hæc invenies: Ἀναστάντες, τά τε ἱερὰ ξύλα σημάναντες, συνηθροίσθησαν ἅπαντες ἐν τῷ πανσέπτῳ ναῷ τῆς Θεοτόκου· *Cum surrexissent, et sacra ligna percussissent, congregati sunt omnes in venerabili templo Genitricis Dei.* (Apud Hard. t. IV, p. 175.) Tum in *Prato* Joannis Moschi, c. 2, scriptum est, Κρούσαντος τοῦ κανονάρχου τὸ ξύλον, ἐφ' ᾧ πάντας τοὺς ἀδελφοὺς συναχθῆναι. Id est, *Canonarcha lignum pulsante ad omnes fratres congregandos.* Nec alia desunt exempla, quæ afferri possint. (*Vid.* Theod. Stud. iamb. 10, in *Canonarch.*) Græci vero sequioris ævi tabulam illam peculiari nomine donarunt, σημαντήριον aut χειροσήμαντρον appellantes: quod instrumentum describit Hieronymus Magius c. 15 ejus libri, quem *De tintinnabulis* scripsit.

Digitized by Google

vero monachi et archidiaconus et diaconi tres reliqui asseverare ac dicere : Vivit Dominus, puella hæc verum non profert. Sed manus illa hominum sceleratorum opponere, familiares eos episcopi esse, nec fidem ipsis haberi, quidquid de illo dicant. Cum vero unus e diaconis Philadelphus nomine respondisset : « Muta fiant labia dolosa, quæ loquuntur adversus justum iniquitatem in superbia et contemptione [17], » prosiliens sacrilegus Crescentinus maxillam adolescentis percussit : quod populus omnis indignatus non tulit, et in eum clamans : Quid tu, nefarie, adolescentem percutis ? impetum fecit, jamjam occisurus. At sanctus vir ad populum conversus dehortari cœpit, ac : Sinite, inquit, fratres et domini mei, ut perficiat quod vult. Nam nunc quidem patrem ille suum diabolum adjutorem habet. At postea ruinam ejus magnam videbitis. Cæterum populus omnis in dubitationem etiam metumque venit, ne vera essent, quæ ab illis dicebantur ; itaque sacrilegi illi et maligni homines prævaluerunt, et Gregorio in custodiam conjecto, ne fugeret, nervo etiam vinciendum curarunt, eo in loco, ubi clausus fuerat sanctus Gregorius episcopus Lilybætanorum (61), qui ibidem martyrium fecit, a Tyrcano tyranno capite damnatus. [LXXIII] Universa vero urbis multitudo ad carcerem congregata est, impellebamque ostium, si perfringere possent : quidam etiam ferreis vectibus allatis, carcerem labefactare conabantur.

LVII. Jamque rei fama ad finitimos quoque pervenerat : qui consilio inito, ad Sabinum et Crescentinum et omnes conjuratos e medio tollendos conspirarunt. Nisi quod sanctus Gregorius dehortari eos non destitit : Ne quid tale, inquiens, filii mihi charissimi, contra eos audeatis : Domini enim mei ultio, fratres : quandoquidem, ut dicunt, nequam homo revera sum. Cui populus universus respondens ait : Transferantur, Pater sancte, peccata tua in nos et in filios nostros. Ille rursus : Ne, quæso, filii charissimi, ne manus vestras iis injiciatis ; hoc tantum cavete, fratres, ne quando necem mihi inferant. Quod eo consilio dixit, ut certiores faceret, Christum ad ipsius tutelam advi-

[17] Psal. xxx, 18.

λέγειν. Οἱ δὲ μοναχοὶ καὶ ὁ ἀρχιδιάκονος καὶ οἱ λοιποὶ τρεῖς διάκονοι διισχυρίζοντο λέγοντες· Ζῇ Κύριος, οὐ φθέγγεται ἀληθὲς ἡ κόρη αὕτη. Λέγουσιν τὸ πονηρὸν συνέδριον τῶν παρανόμων· Ὑμεῖς οἱ οἰκιακοὶ αὐτοῦ οὐ πιστεύεσθε ὃ ἐὰν εἴπητε περὶ αὐτοῦ. Ἀποκριθεὶς δὲ εἷς ἐκ τῶν διακόνων Φιλάδελφος ὀνόματι, λέγει· « Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. » Εἰσδραμὼν δὲ ὁ ἀνίερος Κρησκεντῖνος, ἔτυψεν τὸν παῖδα ὑπὸ τὴν σιαγόνα αὐτοῦ· καὶ ἀνέστη πᾶς ὁ λαὸς ἐπὶ τὸν παράνομον τοῦ ἀποκτεῖναι αὐτὸν, λέγοντες· Μὴ τύπτε τὸν παῖδα, ἐπικατάρατε ἄνθρωπε· καὶ ὥρμησαν ἐπάνω αὐτοῦ. Καὶ στραφεὶς ὁ ἅγιος πρὸς τὸν λαὸν, παρεκάλει αὐτὸν, λέγων· Ἄφετε αὐτὸν, ἀδελφοὶ καὶ κύριοί μου, ἵνα ποιῇ ὃ βούλεται· ὁ γὰρ πατὴρ αὐτοῦ ὁ διάβολος συνεργεῖ αὐτῷ πρὸς τὸ παρόν. Μετὰ δὲ ταῦτα ἀναφανήσεται ἡ πτῶσις αὐτοῦ μεγάλη. Πάλιν δὲ ἐφοβήθη πᾶς ὁ λαὸς, διαλογιζόμενοι πρὸς ἑαυτοὺς, μή ποτε ἀληθῆ εἶναι τὰ παρ' αὐτῶν λεγόμενα. Καὶ ὑπερίσχυσαν οἱ ἀνίεροι καὶ κακόφρονες· καὶ ἔβαλον αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἠσφαλίσαντο αὐτὸν ἐν τῷ ξύλῳ, ἔνθα ἦν κεκλεισμένος ὁ ἅγιος Γρηγόριος ὁ ἐπίσκοπος τῆς Λιλυβιτῶν πόλεως, ὁ ἐκεῖσε μαρτυρήσας, καὶ ὑπὸ τοῦ ξίφους τελειωθεὶς ὑπὸ Τυρκάνου τοῦ τυράννου. Ἅπαν δὲ τὸ πλῆθος τοῦ λαοῦ τῆς πόλεως συνηθροίσθη ἔξω τῆς φυλακῆς, καὶ προσέκρουον τῇ θύρᾳ βουλόμενοι αὐτὴν συντρίψαι· ἄλλοι δὲ μοχλοὺς σιδηροῦς ἐνέγκαντες ἐζήτουν κατεάξαι τὴν φυλακήν.

ΝΖ'. Ἀκούσαντες δὲ οἱ τῆς περιοικίδος, συνῆχθησαν ἐπὶ τὸ ἀποκτεῖναι τοὺς κακίστους καὶ ἀνιέρους Σαβῖνον καὶ Κρησκεντῖνον, καὶ τὸ κατ' αὐτοὺς συνέδριον. Ὁ δὲ ἅγιος Γρηγόριος παρεκάλει αὐτοὺς, λέγων· Μὴ, τέκνα μου ἀγαπητὰ, μηδὲν τοιοῦτον πράξητε εἰς αὐτούς· τοῦ Κυρίου μου γὰρ ἡ ἐκδίκησις, ἀδελφοί· ἐπειδὴ, ὡς λέγουσιν, ἀνὴρ ἁμαρτωλός εἰμι ἀληθῶς ναί. Ἀπεκρίθησαν δὲ ἅπαν τὸ πλῆθος τοῦ λαοῦ, καὶ εἶπον αὐτῷ· Γενηθήτωσαν ἐφ' ἡμᾶς αἱ ἁμαρτίαι σου, Πάτερ ἅγιε, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Ὁ δὲ πάλιν πρὸς αὐτοὺς ἀπεκρίνατο· Μὴ, τέκνα μου ἀγαπητὰ, παρακαλῶ ὑμᾶς, μὴ ἐπιβάλητε τὰς χεῖρας ὑμῶν ἐπ' αὐτούς· πλὴν προσμείνατέ μοι, ἀδελφοὶ, μή πως ἀποκτείνωσίν με.

(61) De Gregorio martyre et episcopo Lilybætano quidquid et Cajetanus et Pirrus scripsere, Leontii nostri verbis et auctoritate totum innixum est. Nec plus aliquid Daniel Papebrochius extudit : sed ad Cajetani animadversiones, elevata Leontii fide, adjecit hæc : *Non ideo tamen ausim, passim receptum a Siculis sanctum Lilybætanum prorsus expungere ut fictitium, cum verosimile sit, isti, quam suspectam facimus, Vitæ verorum alias sanctorum nomina admisceri* (Jun. t. I, ad diem 5, p. 434).

Ego vero duo illa tantum annotabo, quæ hujuscemodi narratiunculæ nonnihil favent : primum est, Lilybæi episcopos fuisse jam ab anno Christiano 125 ; sub ea enim tempora actum in Sicilia concilium adversus Heracleonem e Valentini schola hæreticum, eique interfuisse Eustachium episcopum Lilybætanum, ex Hilarii Fragmentis ostendit Baluzius (*Nov. col. conc.* p. 3). Alterum est *Tyrcani* nomen in Actis martyrum minime novum esse, et apud Surium (t. VI, nono Kal. Jan.) exstare præclaram sancti Gregorii presbyteri Spoletini Confessionem a Tillemontio etiam laudatam (t. V. p. 133), in qua Tyrcanus quidam sæpe memoratur, qui tanquam judex cum Flacco præfecto a Maximiano Aug. Spoletum contra Christianos misso sedet pro tribunali, Gregorium interrogat, arguit, damnat : ac demum martyris corpus Abundantiæ feminæ Christianæ aureis triginta quinque vendit. Atque hæc ipsa in Adonis Martyrologio reperies IX Kal. Jan.

Digitized by Google

Τοῦτο δὲ ἔλεγεν, βουλόμενος αὐτοὺς πληροφορῆσαι περὶ τῆς τοῦ Χριστοῦ πρὸς αὐτὸν ἐπισκέψεως. Ἠβουλήθησαν γὰρ ὅ τε ἀρχιδιάκονος καὶ οἱ μοναχοὶ σὺν τῶν παιδαρίων συνεισελθεῖν αὐτῷ, καὶ οὐκ εἴασαν αὐτοὺς οἱ ἄγριοι θῆρες κλεισθῆναι σὺν αὐτῷ. Προσκαρτεροῦντος δὲ τοῦ πλήθους ἔξωθεν τῆς φυλακῆς, αὐτὸς ὁ μακάριος προσεύχετο, λέγων· Εὐχαριστῶ σοι, Κύριε Ἰησοῦ Χριστὲ, ὁ καταξιώσας με διὰ τὸ σὸν ὄνομα ἐνταῦθα εἰσαχθῆναι. Περὶ δὲ τὸ μεσονύκτιον ἰδοὺ φῶς μέγα περιέλαμψεν ἐν τῇ φυλακῇ. Ἄγγελος γὰρ Κυρίου προσελθὼν διέῤῥηξεν τὰ δεσμὰ ἐκ τῶν ποδῶν τοῦ μακαρίου Γρηγορίου, καὶ ὑποστηρίζων, ἀσπασάμενος αὐτὸν ἀπῆλθεν ἀπ' αὐτοῦ. Ἠνοίχθησαν δὲ αὐτομάτως αἱ θύραι τῆς φυλακῆς. Ἰδόντες δὲ τὸ πλῆθος τοῦ λαοῦ τὰ γενόμενα σημεῖα εἰς τὸν ἅγιον, εἰσῆλθον πάντες, καὶ προσεκύνουν τοὺς πόδας αὐτοῦ, λέγοντες· Ἀληθῶς γινώσκομεν, ὅτι Θεός ἐστιν μετὰ σοῦ. Συνεχύθη δὲ ὁ λαὸς πρὸς ἀλλήλους ἑαυτοὺς εὐτρεπίζοντες, ἢ φονευθῆναι αὐτοὺς ὑπὲρ τοῦ δικαίου, ἢ φονεῦσαι.

ΝΗ'. Ὁ δὲ ἅγιος Γρηγόριος παρεκάλει αὐτοὺς μετὰ δακρύων, λέγων· Τούς τε τριβούνους, καὶ τοὺς ἄρχοντας, καὶ τοὺς λαοὺς ἅπαντας παρακαλῶ ὑμᾶς, ἀδελφοί μου καὶ τέκνα, μὴ ἐπιβάλητε τὰς χεῖρας ὑμῶν ἐπ' ἀλλήλους, καὶ ἐκχύσητε αἷμα ἀθῶον ὑμῶν διὰ τὴν ἐμὴν ἐλεεινότητα. Συμφέρει τὸ ἐμὸν αἷμα ἐκχυθῆναι ὑπὲρ ὑμῶν, ἢ ἐξ ὑμῶν ἕνα ἄνθρωπον ἀδικηθῆναι. Ἐγὼ γὰρ ἔχω τὸν ὑπὲρ ἐμοῦ πολεμοῦντα Χριστὸν, καὶ λυτρωσάμενον πάντας τοὺς εἰς αὐτὸν ἠλπικότας· ἴσεσθε τοῦτο γινώσκοντες, ὅτι οὐ μὴ παραδῴη με Κύριος εἰς χεῖρας αὐτῶν. Καὶ ἀσπασάμενος πάντας καὶ ἐπευξάμενος, αὐτοῖς, ἀπέλυσεν αὐτοὺς τοῦ φαγεῖν ἄρτον. Ταῦτα δὲ αὐτοῦ εἰπόντος, φωνήσας τὸν ἀνίερον Σαβῖνον καὶ Κρησκεντῖνον, λέγει αὐτοῖς· Ἀκούσατε, τί ὑμῖν δοκεῖ, ἀδελφοί, περὶ ἐμοῦ; τί με ἐνταῦθα περιεκλείσατε; ἢ ἀποκτείνατέ με, ἢ ἀποστείλατέ με ὅπου βούλεσθε. Οἱ δὲ πρὸς αὐτόν· Ἀπεστείλαμεν πρὸς τὸν ἔξαρχον

gilare. Nam et archidiaconus et monachi cum adolescentibus diaconis simul ad eum ingredi volebant : quos belluæ illæ concludi cum eo noluerunt. Cum autem multitudo ad carceris fores immorari perseveraret, beatus vir has Deo preces fundebat : Gratias tibi ago, Domine Jesu Christe, quod me dignum putaveris, qui tui nominis causa in hunc locum includerer. At dimidio noctis fere exacto, ecce lux magna in carcere circumfulsit. Angelus quippe Domini advenit, et beati Gregorii compedes diffregit (62) : cumque eum excitasset, salute dicta, discessit. Fores quoque carceris sponte sua apertæ sunt. Hæc vero prodigia, quæ sancti viri gratia fiebant, simul atque populi multitudo aspexit, ingredi omnes, ac pedes ejus osculari cœperunt, fuitque omnium vox : Nunc vere agnoscimus Deum tecum esse. Tumultuabatur autem populus, et pro justo parati omnes erant ad necem vel subeundam vel inferendam.

LVIII. Sed sanctus Gregorius non sine lacrymis universos dehortari pergebat, tribunos, archontes, populum appellans his verbis : Ne, quæso, fratres mei et filii, ne vim invicem inferatis, neve miseri hominis causa [LXXIV] sanguinem innocuum effundatis. Sanguinem meum pro vobis profundi præstat, quam vestrum quemquam violari. Ego quidem Christum habeo, qui pro me pugnat, et eos omnes vindicat, qui spem in eo ponunt : atque hoc vobis confirmo, nunquam futurum, ut me Dominus in manus eorum tradat. Post quæ salutavit omnes, ac bene iis precatus dimisit, quo se cibo reficerent. Tum sacrilegos adversarios suos Sabinum et Crescentinum compellans, sic est allocutus : Aures præbete, fratres, quid de me vobis videtur? quid huc me inclusistis? vel me jam interficite, vel eo amandate, quo vobis libet. Illi vero, Litteras, inquiunt, ad pontificis maximi legatum misimus (63) :

(62) De miraculis hujusmodi, quæ, ut ea ætas ferebat, multa admodum congessit Leontius, quid sentiendum sit, ii viderint, qui legent. Equidem scriptorem hunc tanti non facio, ut ei fidem omnino habendam esse contendam. Pleraque tantum, ut acceperat, temere narrasse crediderim, nec de penu suo addidisse, nisi levia quædam et vulgaria, quæ sibi veri quam simillima viderentur. In hanc me sententiam prope adducit æquabilis ista ac minime fucata scribendi simplicitas, quæ nihil olet exquisitum, atque ab astu et calliditate quam longissime abest.

(63) Vocat Leontius ἔξαρχον qui pontificis maximi vices in Sicilia ageret : hunc ego *legatum* dixi, ut rem eamdem designarem. Sed Græca vox significationem habebat ampliorem in Ecclesia quoque, nam metropolitæ ἔξαρχοι audiebant, imo et patriarchæ, ut notum est : quanquam apud Siculos, qui tum metropolitas non habebant, usurpari recte potuit ad eum indicandum, cui quodammodo exarchi partes delatæ fuerant.

Quis porro eo tum munere fungeretur, docet nos prima Gregorii Magni epistola, quam ad universos Siciliæ episcopos misit. *Valde*, inquit, *necessarium esse perspeximus, ut sicut decessorum nostrorum fuit judicium, ita uni eidemque personæ omnia committamus; et ubi nos præsentes esse non possumus, nostra per eum, cui præcipimus, repræsentetur auctoritas. Quamobrem Petro subdiacono sedis nostræ intra provinciam Siciliam vices nostras Deo auxiliante commisimus.*

Nec minus altera ejusdem epistola declarat, quæ Leontius de navibus attingit. Nam sic Petro scripsit Gregorius magnus hoc anno 591, Julio mense aut Augusto (epist. 72. lib. I) : *Quinquaginta vero auri libris nova frumenta ab extraneis compara, et in Sicilia in locis, in quibus non pereant repone : ut mense Februario illuc naves quantas possumus dirigamus, et eadem ad nos frumenta deferantur. Sed etsi nos transmittere cessamus, ipse naves provide, et ad nos auxiliante Domino Februario mense transmitte hæc eadem frumenta, exceptis duntaxat frumentis, quæ nunc mense Septembri vel Octobri juxta consuetudinem transmitti præstolamur.*

Regionem Philosophianorum memorat Antoninus, quam ad Gelam fluvium sitam putavit Cluverius. *Item a Catana Agrigentum mansionibus nunc institutis* M. P. XCI. *Capitonianas* M. P. XXIV. *Philosophianas* M. P. XXI.

Petrum denique, acceptis accusatorum litteris, statim ad pontificem maximum de Gregorii crimine, quod fortasse indubitatum illi erat, scripsisse, infra ostendemus.

Digitized by Google

tum ille advenerit ac de te judicium egerit, ipse de te statuet, quod volet. Namque epistolam revera ad eum scripserant, qua ipsum adesse postulabant. Erat enim apud Philosophianos navigiorum instruendorum causa, quæ Romam navigare debebant. Ut Agrigentum legatus venit, postridie in forum, quod in media urbe est, convenire omnes jussit; cumque consedisset, mandavit, ut justus e custodia adduceretur: quem omnis multitudo usque ad legati tribunal secuta est. Admonuit autem tribunos et primores urbis, ut sederent, atque e sella justum interrogarent: qui sedere recusarunt, et hoc illi responsum dedere: Nos tua quidem causa neque stamus neque sedemus, verum quia hic videmus pastorem nostrum et patrem et magistrum, per quem in Domini Jesu Christi nomine hæc ipsa in urbe tot prodigia patrata sunt. Quorum quidem multa tu ipse oculis vidisti tuis. At dicat uxor Sabini hujus, quem Judam alterum Iscarioten ac proditorem jure dixeris. Tu vero cum diaconus sis (64) communis Patris nostri pontificis maximi, [LXXV] non debes in causa viri hujusmodi judicare, neque par est sine synodo hunc ante te produci, multoque minus de eo sententiam ferri.

LIX. Hæc cum ab archontibus audisset legatus, timere cœpit, ne in ipsum insurgerent, ac morte afficerent. Quare relicto loco, ubi sedebat, ipse quoque stetit, et sacrilegis hominibus Sabino et Crescentino appellatis: Producite, inquit, in medium puellam, quacum episcopum vestrum fuisse affirmatis. Virum enim hunc et pium et bonum esse nos novimus: cæterum quid de ejus causa ad dominum nostrum pontificem maximum referre debeamus, hinc cognoscemus. Producta vero puella est: quæ tremens in omnium conspectu stetit. Atque hanc legatus interrogans: Verumne, inquit, est, quod a te dicitur, episcopum hunc tecum concubuisse? Cui illa ait: Næ, domine, mecum fuit. Utque hæc respondit, portentum illico in ea magnum exstitit: quippe acerrimo a dæmone correpta, provolvi coram omnibus cœpit ac spumas in ore agere ad pedes beati viri. Tum vero expavescere omnes atque clamare, Fidem habe nobis, domine, falsum isti crimen objiciunt. Contra sacrilegi impudenter adversati aiebant, Nonne nos diximus, magum hunc esse ac veneficum? Ne vero longior sim, beatus Gregorius sic legatum affatur: Tu homo, si vis, causam ad pontificem maximum defer, et vinculis astrictum domini tui navibus

(64) Diaconum tribuni appellant legatum, qui tantum hypodiaconus erat, γενικῶς, opinor, atque ut infra episcoporum Ordinem se esse meminisset. Factum deinde diaconum scimus ab ipso Gregorio Magno, qui de eo sic scripsit ad Cyprianum diaconum (lib. v, epist. 34): *Benenatus frater et coepiscopus noster Ciceronem quemdam monachum, qui pro suis excessibus a dilectissimo filio nostro diacono Petro, tunc autem subdiacono et rectore patrimonii nostri*, etc. Atque hic idem est, quocum Gregorius in Dialogis loquitur, ubi etiam ille se in Sicilia fuisse testatur (lib. IV, c. 57). Appellatur infra *Tiberius* (n. 66): quod ejus prænomen aut cognomen fuisse dicerem, nisi tum unicam appellationem in usu fuisse constaret. Sed jam vidimus, quam parum in hac historia nominibus fidendum sit.

A τοῦ ἀποστολικοῦ· τούτου ἐρχομένου ἀνακρῖναι τὰ κατὰ σὲ, ποιῇ εἰς σὲ, ὡς βούλεται. Ἦσαν γὰρ ἀποστείλαντες πρὸς αὐτὸν γράμματα τοῦ παραγενέσθαι αὐτόν. Ἦν γὰρ ἐν τοῖς μέρεσιν Φιλοσοφιανῶν ἑτοιμαζόμενος τὴν χρείαν τῶν πλοίων· ἦσαν γὰρ ἕτοιμοι τοῦ ἀποπλεῦσαι ἐν τῇ Ῥώμῃ. Εἶτα παραγενομένου τοῦ ἐξάρχου ἐν τῇ Ἀκραγαντίνων πόλει, ἐπὶ τὴν αὔριον ἐκέλευσεν συναθροισθῆναι πάντας ἐν τῷ φόρῳ μέσον τῆς πόλεως· καὶ καθίσας, ἐκέλευσεν τὸν δίκαιον ἀχθῆναι ἐκ τῆς φυλακῆς· ἠκολούθει δὲ αὐτῷ ἅπαν τὸ πλῆθος τῆς πόλεως ἐλθόντες ἕνθα ἦν καθήμενος ὁ ἔξαρχος. Ἐπέτρεψεν δὲ τοῖς τριβούνοις καὶ τοῖς πρώτοις τῆς πόλεως καθεσθῆναι, καὶ οὕτως ἀνακριθῆναι τὸν δίκαιον. Οἱ δὲ οὐκ ἠνέσχοντο καθεσθῆναι, ἀλλ' ἀπεκρίναντο αὐτῷ λέγοντες· Ἡμεῖς B ἕνεκεν σοῦ οὔτε στήκομεν οὔτε καθεζόμεθα, ἀλλ' ὁρῶντες τὸν ποιμένα ἡμῶν, πατέρα καὶ διδάσκαλον, καὶ σημεῖα πολλὰ δείξαντα διὰ τοῦ ὀνόματος Κυρίου Ἰησοῦ Χριστοῦ ἐν τῇ πόλει ταύτῃ. Καὶ αὐτὸς τῶν πολλῶν αὐτόπτης γέγονας. Εἶποι ἡ γυνὴ τούτου τοῦ Σαβίνου καὶ δευτέρου Ἰούδα τοῦ Ἰσκαριώτου καὶ προδότου. Σὺ δὲ αὐτὸς διάκονος ὢν τοῦ κοινοῦ ἡμῶν πατρὸς τοῦ πάπα, οὐδὲ πρέπον ἐστίν σοι ἄνδρα τοιοῦτον ἀνακρῖναι, οὐδὲ πάλιν ἁρμόδιόν ἐστιν ἄνευ συνόδου τοῦτον ἔμπροσθέν σου παρίστασθαι, μᾶλλον δὲ καὶ ἀνακρίνεσθαι.

ΝΘ'. Ταῦτα ἀκούσας παρὰ τῶν ἀρχόντων ὁ ἔξαρχος ἐφοβήθη, μή πως ἐπαναστῶσιν ἐπ' αὐτὸν, καὶ ἀποκτείνωσιν αὐτόν. Καὶ ἀναστὰς ἀπὸ τοῦ τόπου, οὗ ἐκαθέζετο, ἔστη καὶ αὐτὸς, καὶ προσκαλεσάμενος ὁ C ἔξαρχος τοὺς ἀνιέρους Σαβῖνον καὶ Κρησκεντῖνον, λέγει αὐτοῖς· Ἀγάγετε εἰς μέσον τὴν κόρην, ἣν λέγετε, ὅτι ἐγένετο ὁ ἐπίσκοπος ὑμῶν. Ἡμεῖς γὰρ γινώσκομεν ἄνδρα εὐλαβῆ αὐτὸν εἶναι καὶ χρήσιμον· ἵνα δὲ λοιπὸν γνώσω τὸ πῶς ἀναγάγω τῷ κυρίῳ μου τῷ πάπᾳ τὰ κατὰ ἄνθρωπον. Ἤγαγον δὲ εἰς μέσον τὴν κόρην· ἡ δὲ ἔστη τρέμουσα ἐνώπιον πάντων. Εἶτα λέγει αὐτῇ ὁ ἔξαρχος· Ἀληθές ἐστιν τὸ παρὰ σοῦ λεγόμενον, ὅτι ἐκοιμήθη μετὰ σοῦ ὁ ἐπίσκοπος οὗτος; Ἡ δὲ εἶπεν· Ναὶ, δέσποτα, ἐγένετο μετ' ἐμοῦ. Ἐν δὲ τῷ ἀποκριθῆναι αὐτὴν ταῦτα, αἰφνης ἐγένετο εἰς αὐτὴν θαῦμα μέγα· ἐκυριεύθη ὑπὸ δαίμονος χαλεποῦ, καὶ ἤρξατο ἐνώπιον πάντων κυλίεσθαι καὶ ἀφρίζειν ὑπὸ τοὺς πόδας τοῦ μακαρίου. Ἔλαβεν D δὲ φόβος πάντας, καὶ ἔκραζον λέγοντες· Πείθομέν σε, δέσποτα, ὅτι ψευδῆ αὐτοῦ κατηγοροῦσιν. Οἱ δὲ ἀνίεροι ἀναισχυντοῦντες ἔλεγον· Οὐκ εἴπομεν ἡμεῖς, ὅτι μάγος ἐστὶν καὶ φαρμακός; Καὶ ἁπλῶς, ἵνα τὸν λόγον σύντομον εἴπω, λέγει ὁ μακάριος Γρηγόριος πρὸς τὸν ἔξαρχον· Ἄνθρωπε, σὺ, εἰ βούλῃ, ἀνάγαγε τὰ κατ' ἐμὲ τῷ πάπᾳ, καὶ δεσμήσας ἀπόστειλόν με

Digitized by Google

μετὰ τῶν δεσποτικῶν πλοίων, ἵνα, ὡς καιρός ἐστιν, διασωθῶμεν· ἀδύνατον γάρ ἐστιν ἡμῖν στῆναι ἐνταῦθα, ἕως οὗ τὸ χρεωστούμενον εἰς ἡμᾶς πληρῶται. Ἡ δὲ γυνὴ τοῦ Σαβίνου ἅμα τῆς αὐτῆς θυγατρίῳ, καὶ ἄλλοι πολλοί, καὶ ὁ ποτὲ ἄλαλος καὶ κωφὸς ἔπιπτον παρὰ τοὺς πόδας τοῦ μακαρίου κλαίοντες καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, δοῦλε τοῦ Θεοῦ, καὶ μὴ μνησικακήσῃς εἰς ἡμᾶς, μηδὲ μνησθῇς τῶν κακῶν, ὡς ἔπραξαν εἰς σὲ οἱ ἀνίερoι οὗτοι. Στραφεῖσα δὲ ἡ γυνὴ τοῦ Σαβίνου λέγει αὐτῷ· Ἀπόστα ἐκ τοῦ οἴκου μου ἀπὸ τῆς σήμερον ἡμέρας, ἵνα τί ἐβουλεύσω πονηρὸν κατὰ τοῦ δικαίου τούτου, τοῦ ἰασαμένου διὰ μόνης προσευχῆς αὐτοῦ ἐνώπιον παντὸς τοῦ λαοῦ τούτου τὸ θυγάτριον ἡμῶν; Ἀπόστα ἀπ' ἐμοῦ, ἢ ἐμαυτὴν διαχειρίζομαι. Συνέπεσεν δὲ ὁ Σαβῖνος τῷ προσώπῳ, καὶ ἔμεινεν ὡς λίθος ἄφωνος. Εἶπεν δὲ ὁ ἅγιος Γρηγόριος τῷ ἐξάρχῳ· Ἐπειδὴ αὐτὸς, ἄνθρωπε, μηδενός σε καταστήσαντος κριτὴν καὶ δικαστὴν κατ' ἐμὲ, ἐπιτρέψαι ἀπελθεῖν με ἐν τῇ φυλακῇ, καὶ ἀσφαλισθῆναί με ἐν τῷ ξύλῳ, ἕως οὗ σκέψησαι τὰ περὶ ἐμοῦ, καθὼς ἐποίουν οἱ ἀπ' ἀρχῆς τύραννοι. Τότε λέγει αὐτῷ ὁ ἔξαρχος· Οὐκ ἐγὼ ἐπιτρέπω ἀσφαλισθῆναί σε· ἀλλ' οἱ διαβάλλοντές σε, αὐτοί σε ἀσφαλίζονται. Ἐκίνησεν δὲ ὁ μακάριος ἀφ' ἑαυτοῦ, καὶ ἄπιε ἐν τῇ φυλακῇ· πᾶσαν δὲ τὴν νύκτα ἄϋπνος διετέλει ὁ μακάριος ἅμα τοῦ ἀρχιδιακόνου καὶ τῶν λοιπῶν διακόνων Ἐράσμου, Φιλαδέλφου καὶ Πλατωνικοῦ ψάλλοντες, καὶ ἀναγινώσκων αὐτὸς, φέρων ἄνευ βίβλου· οὐκ εἴασαν γὰρ αὐτὸν ἐκβάλαι ἐκ τοῦ ἐπισκοπίου οὐδέν.

Ξ'. Μετὰ δὲ ταῦτα μετεστείλατο ὁ ἅγιος Γρηγόριος τὸν ἔξαρχον ἐν τῇ φυλακῇ, καὶ λέγει αὐτῷ· Ὃ βουλήσῃ εἰς ἡμᾶς ποιῆσαι, ἐν τάχει ποίησον. Ὁ δὲ ἔξαρχος λέγει αὐτῷ· Ἐγὼ βούλομαί σε ἅμα τῶν σῶν κατηγόρων ἀποστεῖλαι ἐν Ῥώμῃ πρὸς τὸν κύριόν μου τὸν πάπαν, τὸν ἀποστολικὸν ἐπέχοντα θρόνον. Ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· Ναὶ κἀγὼ τοῦτο αἰτῶ ποιῆσαι, καὶ ἀποστεῖλαί με ἔνθεν ἐν τάχει. Γενομένης δὲ ἑσπέρας, παρεκάλεσεν ὁ ἅγιος Γρηγόριος τὸν ἔξαρχον, ἐν ὅσῳ ὁ λαὸς ἠρέμησεν ὀλίγον, ἐκβάλαι αὐτὸν διὰ τῆς πλαγίας πύλης τῆς βλεπούσης ἐπὶ τὴν θάλασσαν, καὶ παραδοῦναι αὐτὸν εἰς τὰ πλοῖα τοῦ πάπα. Ἔμελλον γὰρ ἀποκτεῖνεν ἐν αὐτῇ τῇ νυκτὶ ἐκ τοῦ ποταμοῦ. Ἐξήγαγέν τε αὐτὸν ὁ ἔξαρχος σὺν τῶν κατηγόρων αὐτοῦ Σαβίνου καὶ Κρησκεντίνου, καὶ ἑτέρων δέκα σὺν αὐτῷ. Καὶ κατῆλθον εἰς τὸν αἰγιαλὸν, ἔνθα τὰ πλοῖα ἦσαν βουλό-

A transmitte, ut dum tempus propitium est, eo salvi perveniamus. Neque enim fieri potest, ut hic nos tandiu immoremur, dum negotium hoc nostrum transactum sit. Uxor vero Sabini cum filiola sua et alii multi, in primis ille, qui mutus fuerat et surdus, ad beati viri pedes procidebant flentes, eumque sic alloquebantur : Misereat te nostri, Dei serve, ne tibi injuriæ nostræ animo obversentur, neve malorum memineris, quæ tibi sacrilegi isti intulerunt. Mox Sabinum intuita uxor : Domo, inquit, mea ab hoc die extorris esto : quid tu pessimum inire consilium ausus es adversus hunc justum, qui filiolam nostram unis precibus coram omni populo valetudini restituit? Discede a me, aut ego mihi manus infero. Enimvero Sabinus vultu concidit, et B saxi instar obmutuit; et sanctus Gregorius sic legatum affatur : Quoniam te, homo, arbitrum causæ meæ judicemve nemo constituit, jube me hinc in custodiam redire, [LXXVI] nervoque constringi, donec de causa cognoscas : qui olim tyrannorum mos fuit (65). Cui legatus : Non ego, inquit, constringi te jubeo; sed qui te criminantur, ipsi te custodiendum curant. Ab eo igitur digressus beatus vir in carcerem abiit, atque ibi totam noctem traduxit insomnis cum archidiacono et reliquis diaconis Erasmo, Philadelpho et Platonico, quibuscum psalmos cecinit, aut lectionis loco multa memoriter pronuntiavit sine libro. Neque enim ex ædibus efferri ab eo quidquam passi sunt.

C LX. Legatum deinde arcessivit sanctus Gregorius ad carcerem, rogavitque, ut quod de ipso faciendum sibi statuisset, quamprimum faceret. Ego vero, inquit ille, deliberatum habeo, Romam te (66) cum accusatoribus tuis ad dominum meum pontificem maximum throni apostolici hæredem mittere. Cui sanctus vir respondit : Id ipsum profecto ut facias peto, meque hinc cito dimittas. Sub vesperam vero legatum hortatus est, quandoquidem populus paululum conquieverat, ut eum per posticum emitteret, quod mare respiciebat, et pontificis maximi navibus imponeret. Nam ea ipsa nocte a flumine solvere debebant. Eduxit autem eum legatus cum accusatoribus ejus Sabino et Crescentino D ac decem aliis : qui ad littus descenderunt, ubi naves erant, quamprimum vela facturæ. At Gregorium parentes ejus sequebantur plorantes; quorum

(65) Dictum hoc satis aculeatum est, ut Leontii potius, quam Gregorii nomine prolatum malim. Neque vero legatus reprehendi poterat, quod alienis se negotiis immisceret. Hæc enim a pontifice maximo mandata habebat : ut Gregorii Magni epistolæ testantur. *Pergenti*, inquit, *tibi ad Siciliam Capitulare, quod dedi, assidue relegendum est, ut cura maxima esse de episcopis debeat* (lib. I, epist. 56). Rursus : *De lapsis sacerdotibus vel quolibet ex clero observare te volumus, ut in rebus eorum nulla contaminatione miscearis* (lib. I, epist. 44). In alia : *Præterea hoc tibi indagandum mandare curavimus, veteri, quæ jam inoleverat, consuetudine postposita, ut si quæ civitates in provincia Siciliæ pro peccatis per sacerdotum lapsus a pastorali regimine vacare noscuntur, de clero Ecclesiarum ipsarum, vel ex monasteriis, si qui digni ad sacerdotalem locum possunt inveniri, perspicias* (lib. I, epist. 18).

(66) Num litteras Petrus a pontifice maximo jam accepisset, quibus Gregorium Agrigentinum ac duos alios episcopos Romam mittere jubebatur, affirmare non audeo. Angustiæ enim temporis excludere videntur. Sed Gregorius Magnus Julio aut Augusto anni 591 sic ad eum scripsit : *Gregorium vero Agrigentinum et Leonem Catanensem et Victorem Panormitanum per omnia nos volumus ad nos ante hiemem proficisci* (lib. I, epist. 72).

Digitized by Google

ΞΘ'. Ἀναστάντες οὖν οἱ τῆς Ἀνατολῆς ἐπίσκοποι, οἱ παραγενόμενοι μετὰ τοῦ Μαρκιανοῦ, ἀπῆλθον ἐν τῷ οἴκῳ, ἐν ᾧ ἦν ὁ σπαθάριος· καὶ μὴ εὑρόντες αὐτὸν, ἤρξαντο τύπτειν τὰ πρόσωπα ἑαυτῶν λέγοντες· Τί γέγονεν ἡμῖν, ποῦ ὁ σὺν ἡμῖν κατελθών; τί ἀπολογησόμεθα τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ περὶ τοῦ ἀνδρὸς τοῦ ὄντος αὐτοῦ ἀγαπητοῦ; Καὶ ἰδοὺ εἷς τῶν παιδαρίων παρεγένετο ἐκ τῆς φυλακῆς, καὶ ἀποκριθεὶς λέγει τοῖς ἐπισκόποις· Μὴ λυπηθῆτε, κύριοί μου, ὅτι διὰ τοῦ Θεοῦ ὁ κύριός μου διὰ τῶν ἁγίων εὐχῶν τοῦ ἁγίου ἐπισκόπου ἐκείνου τοῦ ὄντος ἐν τῇ φυλακῇ τοῦ ξένου, δι' ὃν παρεγένεσθε ἐνταῦθα τοῦ κρίναι αὐτὸν, ὑγιὴς γέγονεν, καὶ σὺν αὐτῷ μένει ἐν τῇ φυλακῇ, καὶ οὐ βούλεται ἐάσαι αὐτόν. Ταῦτα δὲ ἀκούσαντες οἱ ἐπίσκοποι εὐχαρίστησαν τῷ Θεῷ· καὶ διαδραμόντες σὺν τῷ παιδαρίῳ, ἦλθον ἕως τῆς φυλακῆς· καὶ εἰσελθόντες ἐν τῇ φυλακῇ εὗρον τὸν ἅγιον Γρηγόριον καὶ τὸν Μαρκιανὸν σὺν τῶν παιδαρίων αὐτοῦ, καὶ τὸν ποτὲ δαιμονιζόμενον ἰαθέντα. Καὶ ἰδόντες ἐπέγνωσαν αὐτὸν, καὶ δραμόντες ἔπεσον παρὰ τοὺς πόδας αὐτοῦ, λέγοντες αὐτῷ· Εὐλογημένος εἶ σὺ τῷ Κυρίῳ, ὅτι διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος θεραπεύειν δυνάμενος πάθη ἀνίατα. Ὁ δὲ πρὸς αὐτοὺς ἀπεκρίνατο· Χαίρετε καὶ ὑμεῖς ἐν Κυρίῳ πάντες οἱ στύλοι καὶ ἑδραίωμα τῆς καθολικῆς καὶ μόνης τοῦ Θεοῦ Ἐκκλησίας. Τί ἐσκύλθητε πρὸς

(82) Præter sacrificii tempus, thuris adolendi consuetudinem obtinuisse etiam dum psalmodia perageretur, indicat quoque Cyrillus Scythopolitanus in Vita Sabæ (n. 43, Apud Cotel. t. III) : Καὶ γνοὺς πόθεν ὁ τῆς ψαλμῳδίας ἦχος, ἐξυπνίζει τὸν κανονάρχην, καὶ ποιεῖ αὐτὸν κροῦσαι· καὶ ἀπέρχεται μετὰ θυμιάματος.... *Et intelligens unde oriretur psalmodiæ sonus, canonarcham expergefacit, ac pulsare jubet; tum abit cum suffimento.* Quin et Latinorum ritus hic fuit, quamquam varius quam apud Græcos usurpatus. Liber Pontificalis in Stephano V (n. 10), hæc habet : *Cum in basilica beati Petri apostolorum principis, ubi sacro ipse corpore requiescit, cerneret nocturnis laudibus vix semel thymiamatis incensum offerri, instituit, ut per singulas lectiones et responsoria adoleatur.* Porro Stephanus pontificatum maximum cepit anno 885, at ritus ille jamdiu aliquatenus in usu erat.

(83) Cod. 1, θαυμάζοντος τοῦ ἁγίου.

Digitized by Google

τὴν ἡμετέραν μετριότητα; ἡμῖν, δεσπόται, ἥρκει καὶ ἡ κρίσις τοῦ κυρίου μου τοῦ τὸν ἀποστολικὸν ἐπέχοντος θρόνον, ἢ δικαιοῦντος, ἢ κατακρίνοντός με. Ἀποκριθέντες δὲ οἱ ἐπίσκοποι, εἶπον· Γένοιτο ἡμῖν ἐν σοὶ κατακριθῆναι ἐν ἡμέρᾳ κρίσεως, Πάτερ ἅγιε. Ὁ δὲ πάλιν πρὸς αὐτοὺς ἀπεκρίνατο· Συγχωρήσατέ μοι, Πάτρες ἅγιοι, τῷ ἁμαρτωλῷ. Ταῦτα δὲ αὐτῶν εἰπόντων, ἐκαθέσθησαν, καὶ ἐθαύμασαν καὶ αὐτοὶ τὸν δεινὸν τόπον ἐκεῖνον τοῦ δεσμωτηρίου, καὶ εἶπον· Πόσος χρόνος ἐστὶν, ἀφ' οὗ ἐνθάδε ἐδεσμεύθης, δέσποτα; Ὁ δὲ εἶπεν· Διετῆ χρόνον ἐνταῦθα ἐπληρώσαμεν καὶ τέσσαρας μῆνας. Οἱ δὲ ἠγανάκτησαν κατὰ τοῦ πάπα, ὅτι τοσοῦτον χρόνον οὐκ ἐπεσκέψατο τὸν ἄνθρωπον τοῦ Θεοῦ, οὐδὲ πάλιν ἠβουλήθη τὸ ἀσφαλὲς περὶ αὐτοῦ ἐρευνῆσαι. Ἠβουλήθησαν δὲ οἱ ἐπίσκοποι καὶ ὁ Μαρκιανὸς ἐκβάλαι αὐτὸν ἐκ τῆς φυλακῆς. Ὁ δὲ οὐκ ἠνέσχετο ὑπ' αὐτῶν, ἀλλ' εἶπεν αὐτοῖς· Ἕως οὗ καταλάβωσιν οἱ κατήγοροί μου, καὶ ἴδητε τὰ κατ' ἐμὲ, πῶς δυνατόν ἐστιν ἐξελθεῖν, πάλιν δὲ καὶ ἄνευ ἐπιτροπῆς τοῦ πάπα;

Ο'. Ἀπῆλθον δὲ πάντες εἰς τὸν πάπαν, καὶ διηγήσατο αὐτῷ ὁ Μαρκιανὸς, τὸ πῶς αὐτὸν παραχρῆμα ἰάσατο ὁ μακάριος, αὐτοῦ μὴ εἰδότος· τὸ πῶς ἀπῆλθεν ἐν τῷ δεσμωτηρίῳ βασταζόμενος ἐν τῇ κλίνῃ· καὶ προσκαλεσάμενος ἕνα τῶν παιδαρίων αὐτοῦ, λέγει αὐτῷ· Εἰπὲ τὸ πῶς ἐμοὶ ἐξηγήσω περὶ τῆς γυναικός. Τὸ δὲ παιδάριον διηγήσατο τὸ πῶς αὐτοῖς ἡ γυνὴ ἐλάλησεν, καὶ ἠκολούθησαν αὐτῇ ἕως τοῦ δεσμωτηρίου, καὶ ἐπέθηκεν αὐτῷ τὰς χεῖρας· καὶ ὁ μὴ ὑπνώσας πέντε καὶ εἴκοσι ἡμέρας, ἀπέψυγεν ἡ βαρεῖα νόσος, ἣν εἶχεν. Καὶ ταῦτα ἀκούσας ὁ πάπας καὶ ἐν ἐκστάσει γενόμενος, συνέπεσεν τῇ καρδίᾳ ἀκούσας τὰ παράδοξα τὰ παρὰ τοῦ ἀνδρὸς γενόμενα· πᾶσα γὰρ ἡ πόλις σέβοντο αὐτὸν ὡς ἕνα τῶν ἁγίων. Κατὰ δὲ τὰς ἡμέρας ἐκείνας εἰσῆλθον ξύλα διὰ τοῦ ποταμοῦ τὸν ἀριθμὸν δέκα πάνυ ὡραῖα σφόδρα, ὀφείλοντα ἀποκομισθῆναι εἰς τοὺς ἁγίους καὶ σεβασμίους οἴκους τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Ἀνῆλθον δὲ τὰ ξύλα ἕως μέσον τοῦ ποταμοῦ, καὶ ἐρρίζωσαν ἐν ἑνὶ τόπῳ, καὶ ὥσπερ τινὸς σιδήρου ἢ μολίβδου αὐτὰ ἑδραιώσαντος, ἐκράτησαν ἀπὸ τοῦ μέρους τούτου, καὶ ἕως τοῦ μέρους ἐκείνου, ὥστε μὴ δύνασθαι τὰ πλοῖα εἰσέρχεσθαι, μήτε ἐξέρχεσθαι. Καὶ θλῖψις πολλὴ ἦν ἐν τῇ Ῥώμῃ ἕνεκεν τούτου· πολλάκις γὰρ κατῆλθον ἅμα τῷ πάπᾳ μετὰ λιτῆς, καὶ οὐκ ἴσχυσαν κινῆσαι αὐτά. Ἔλεγον δὲ οἱ τῆς πόλεως, Δεῦτε παρακαλέσωμεν τὸν ἄνδρα τοῦτον τὸν δίκαιον, ἵνα διὰ τῆς εὐχῆς αὐτοῦ δυνηθῶ-

qui apostolicum hic obtinet thronum, sive ille absoluturus me esset, sive damnaturus. Cumque episcopi respondissent optare se, ut in judicii die parem, atque ipse, sententiam subirent, hic contra rogasset, ut sibi homini scelesto ignoscerent, una omnes consederunt. Tum illi, carceris ejus squalore non parum commoti, interrogarunt, quandiu ibidem in vinculis fuisset? quibus Gregorius, Biennium, inquit, et menses quatuor hic implevimus. Illi vero indignari, quod pontifex maximus tam pium hominem tandiu neglexisset, nec de perscrutanda veritate quidquam laborasset. Cum autem et episcopi et Marcianus ipsum e carcere educere statuissent, non tulit (84) Gregorius, eosque sic allocutus est: Num par est, antequam accusatores mei advenerint, et causa vobis mea cognita sit, me hinc exire, præsertim cum pontificis maximi permissu caream?

[LXXXVII] LXX. Omnes igitur pontificem maximum adierunt: cui Marcianus exposuit, quo pacto ipse a beato viro, cum nihil nosset, extemplo sanatus esset: utque in carcerem suo in lectulo delatus venisset. Vocatoque uno e servis, narrare jussit, quæ ipsi de muliere retulerat. Qui exposuit, quomodo eos mulier allocuta esset, eamque ipsi usque ad carcerem essent secuti: utque manibus ei a beato viro impositis, post viginti quinque dierum vigiliam, gravis ille, quo premebatur, morbus Marcianum reliquisset. At pontifex maximus his auditis obstupefactus animo concidit, tanta scilicet prodigia reputans a viro patrata, ob quæ jam urbs tota in sanctorum virorum numero eum habebat. Per eos autem dies flumine advectæ sunt trabes numero decem pulcherrima specie (85), quæ inferendæ erant in veneranda templa sanctorum principum apostolorum Petri et Pauli. Hæ trabes cum medium iter diu tenuissent, quodam in loco hæserunt, ac velut ferro aut plumbo deprimerentur, hinc inde ripam utramque tenuere, ut, aditu intercluso, neque ingredi neque egredi navigia possent. Cujus rei causa non mediocris Romæ consternatio erat. Nam sæpe quidem supplicatione instituta cum pontifice maximo processerant, sed trabes commovere non potuerant. Aiebant vero cives: Quidni advocemus virum hunc justum, ut ad ejus preces dimoveri trabes istæ possint? Nec mi-

(84) Cod. 2, ὁ δὲ οὐκ ἐβουλήθη ὑπ' αὐτῶν.

(85) Quidquid de trabium harum prodigio, quod infra Leontius narrat, sentiendum sit, adnotare hic juvat, mentionem de his esse in epistolis Gregorii Magni. Sic enim ad Arogem ducem Beneventanorum scripsit (lib. XII, epist. 21): *Indicamus autem propter Ecclesias beatorum Petri et Pauli aliquantas nobis trabes necessarias esse: et ideo Savino subdiacono nostro injunximus de partibus Brutiorum aliquantas incidere, et usque ad mare in locum aptum trahere debeat.* Rursum *Gregorio* cuidam *expræfecto* (ibid. epist. 22): *Et ideo quia in prædictis Ecclesiis trabes omnino sunt necessariæ, atque Savino subdiacono, ut interim usque ad viginti incidere festinet, et ad mare trahere debeat, injunximus; paterno salutantes affectu petimus, ut gloria vestra de possessionibus, quas illic in emphyteosim habet, hac in re homines cum bobus suis faciat præbere solatia.* Demum et a Stephano episcopo eamdem opem petit (ibid. epist. 25): enimvero tres hæ epistolæ in libro duodecimo leguntur, qui præfert indictionem 5, atque adeo ad annum Gregoriani pontificatus duodecimum spectare videntur: sed tamen nullam habent temporis illius notam: ut, quemadmodum tot aliæ a Maurinis loco motæ sunt, sic istæ etiam in annum 2 transferendæ videantur.

Digitized by Google

nus ob eamdem rem pontifex maximus angebatur, et cum Orientis episcopis de ea sermonem habuerat : quippe qui sancti Spiritus gratia ornati erant. Nec parum ipsi etiam narratione audita mirabantur. Cæterum non multo post comites, quos pontifex maximus in Siciliam miserat, redierunt, episcopi accusatoribus puellaque deductis. Cum his vero venere et duo urbis tribuni et archidiaconus et diaconi Erasmus ac Philadelphus et de plebe urbana multi.

LXXI. Horum adventu cognito, pontifex maximus episcopos Orientis et Marcianum arcessit, qui apud beatum Gregorium assidue in carcere versabantur, ubi et Marcus abbas aderat. [LXXXVIII] Ut ad pontificem maximum venere, eosque ille certiores fecit, Gregorii episcopi accusatores venisse ; respondent, se quoque de illorum adventu ab aliis accepisse. Pervenerant autem ipso Parasceves die. Tum hæc addidere : Episcopos omnes congregari jube, ac, si Deo placet, diem his alterum e Paschalibus præscribe (86), quo nempe consideamus, et de hominis causa deliberemus. Subjecit vero abbas Marcus : Væ accusatoribus illis et in hac vita, et in futura. Cui pontifex maximus : Pace, inquit, tua dixerim, tu hoc solus affirmas, Pater. At episcopi et Marcianus : Quin, domine, responderunt, hoc scias, et nos sex et urbem hanc totam de viro præclare sentire : ut nobis admirationi sit, unum te hic esse, qui illi adversetur. Itaque exiere e conspectu pontificis maximi conturbato animo, inter se questi, pontificem maximum invidentia raptum, vera, quæ afferrentur, de viro testimonia non recipere. Ille vero episcopos omnes finitimos (87) convocavit : et accusatores summa diligentia custodiri jussit (88).

LXXII. At tribuni ac diaconi cæterique e Sicilia

σιν ἐλκυσθῆναι τὰ ξύλα ταῦτα. Ἦν δὲ καὶ ὁ πάπας ταλανίζων ἑαυτὸν περὶ τούτου· καὶ διηγούμενος τοῖς ἐπισκόποις τῆς Ἀνατολῆς· ἦσαν γὰρ καὶ αὐτοὶ χάριτος τοῦ ἁγίου Πνεύματος ἠξιωμένοι, ἐθαύμαζόν τε καὶ αὐτοὶ ἐπὶ τῷ διηγήματι τοῦ πάπα. Μετὰ οὖν ὀλίγον χρόνον, κατέλαβον καὶ οἱ κόμητες, οὓς ἀπέστειλεν ὁ πάπας ἐν Σικελίᾳ, φέροντες τοὺς κατηγόρους τοῦ ἐπισκόπου, καὶ τὴν κόρην. Ἦλθον δὲ μετ' αὐτῶν καὶ δύο τριβοῦνοι τῆς πόλεως καὶ ὁ ἀρχιδιάκονος, καὶ Ἔρασμος καὶ Φιλάδελφος οἱ διάκονοι, καὶ λαοὶ τῆς πόλεως σὺν αὐτοῖς.

ΟΑ'. Γνοὺς δὲ ὁ πάπας, ὅτι κατέλαβον, ἀποστείλας μετεστείλατο τοὺς τῆς Ἀνατολῆς ἐπισκόπους καὶ τὸν Μαρκιανόν· ἦσαν γὰρ ἀδιαλείπτως ἐν τῇ φυλακῇ διάγοντες μετὰ τοῦ μακαρίου Γρηγορίου· καὶ ὁ ἀββᾶς Μάρκος σὺν αὐτοῖς. Παραγενόμενοι δὲ πρὸς τὸν πάπαν, λέγει αὐτοῖς· Ἤκασιν οἱ κατήγοροι τοῦ ἐπισκόπου Γρηγορίου. Λέγουσιν αὐτῷ· Ναὶ, δέσποτα, ἀκηκόαμεν, ὅτι κατήντησαν ἐνθάδε. Ἦν δὲ Παρασκευὴ ὅτε ἔφθασαν. Καὶ εἶπον οἱ ἐπίσκοποι τῷ πάπᾳ· Κέλευσον συναθροισθῆναι τοὺς ἐπισκόπους πάντας, καὶ ἐὰν θέλημα Θεοῦ ἐστιν, τῇ δευτέρᾳ ὅρισον, καὶ καθεσθῶμεν καὶ ζητήσωμεν τὰ κατὰ τὸν ἄνθρωπον. Ἀποκριθεὶς δὲ ὁ ἀββᾶς Μάρκος, εἶπεν· Οὐαὶ τοῖς κατηγόροις ἐκείνοις καὶ ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἐν τῷ μέλλοντι. Ἀποκριθεὶς δὲ ὁ πάπας λέγει αὐτῷ· Σὺ μόνος τοῦτο λέγεις, Πάτερ, συγχώρησον. Οἱ δὲ ἐπίσκοποι καὶ ὁ Μαρκιανὸς ἀποκριθέντες, εἶπον· Ἄκουσον, δέσποτα, καὶ αὐτοὶ ἐξ ἡμεῖς καὶ πᾶσα ἡ πόλις αὕτη τὸν ἄνδρα μακαρίζομεν, καὶ ἡμεῖς θαυμάζομεν, ὅτι μόνος σὺ ἐνθάδε ἠνέχθης αὐτῷ. Ἐξῆλθον δὲ ἀπὸ προσώπου τοῦ πάπα τεταραγμένοι καὶ λέγοντες πρὸς ἑαυτούς· Φθόνῳ φερόμενος ὁ πάπας, οὐκ εἰσδέχεται τὰς τοῦ ἀνδρὸς ἀληθεῖς προσαγομένας μαρτυρίας. Ἦν γὰρ ὁ πάπας τοὺς ἐπισκόπους πάντας τῶν μερῶν ἐκείνων συναθροίσας· τοὺς δὲ κατηγόρους ἐκέλευσεν ὁ πάπας ἀσφαλισθῆναι μετὰ πολλῆς ἀκριβείας.

ΟΒ'. Οἱ δὲ τριβοῦνοι καὶ οἱ διάκονοι καὶ οἱ λοιποὶ

(86) Pascha hoc anno, qui fuit 594, actum est in Idus Apriles. Cum autem episcopi synodum τῇ δευτέρᾳ cogi posse dicunt, indicari visus est dies primus post Pascha, sive, ut nos quoque appellamus, feria secunda, quæ proxima esset. Id Laconico quidem more dictum, sed non obscure, quod hujusmodi formulæ familiares essent.

(87) Concilium a Gregorio Magno indictum, ut de Gregorii nostri causa cognosceret, mirari non debemus· hoc idem majores fecerant, hoc ipse faciendum ducebat, cum episcopi nomen delatum erat. Cum exarchus Italiæ Blandum episcopum Hortensem Ravennæ detineret, sic ad eum scripserat anno 1 pontificatus sui (lib. 1, epist. 33) : *Et rursus, quia non credimus, quod eum Excellentia Vestra, nisi pro aliqua probabilis excessus causa tenuerit, oportet, ut habita synodo palam fiat, si quod in eum crimen intenditur.* Quin etiam, quadriennio post, ipsam Joannis presbyteri Chalcedonensis causam in synodo agi voluit : de quo Narsi comiti scripsit (lib. VI, epist. 14) : *De Joanne vero presbytero cognoscite, quia illius causa per synodum decisa est, in qua aperte cognovi, quia ejus adversarii eum facere hæreticum voluerunt, et diu conati sunt, sed minime potuerunt.* Similia item Joanni episcopo Constantinopolitano (ibid. epist. 15), et Mauritio Aug. (ibid. epist. 16), et Theoctisto cognato imperatoris (ibid. epist. 17), significasse reperies. (V. etiam epist. 16, lib. 1.)

Cæterum in id concilium convenisse episcopos centum quinquaginta, vix credibile est. Neque enim tot invenire in Romanis finibus intra triduum fas erat ; nisi existimare velimus, casu tum factum, ut multi jam ex Italia et provinciis alias ob causas in urbe essent. In synodo, quam Gregorius habuisse dicitur (Hard. *Conc.* t. III, p. 496) : *Regnante in perpetuum Domino nostro Jesu Christo, temporibus piissimi ac serenissimi domini Mauricii et Tiberii et Theodosii Augustorum ; ejusdem domini Mauricii imperii anno tertio decimo, indictione tertia decima, quinto die mensis Julii*, id est anno 595, qui Gregorii nostri absolutionem proxime est consecutus ; subscripserunt concilii Actis episcopi viginti tres, ac presbyteri aut diaconi numero triginta tres. In altera autem synodo, quæ ab eodem acta est sexennio post (apud Hard. ibid. p. 540), subscripsisse reperio episcopos item viginti tres, presbyteros sedecim.

(88) Cod. 1. μετὰ πολλῆς ἀσφαλείας.

Digitized by Google

γνόντες τὸ ποῦ ἦν ὁ ἅγιος Γρηγόριος, ἀπῆλθον πρὸς αὐτὸν ἐν τῇ φυλακῇ· ἦσαν δὲ ἐκεῖ καὶ οἱ τῆς Ἀνατολῆς ἐπίσκοποι καὶ ὁ σπαθάριος. Καὶ προσελθόντες ἐκράτησαν αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας κλαίοντες καὶ λέγοντες· Εὐλογητὸς ὁ Θεὸς ὁ μὴ συγχωρήσας ἀπορφανισθῆναι τοῦ ἡγαπημένου ἡμῶν Πατρός· διὸ ἡμεῖς πάντες ἕτοιμοι μετὰ σοῦ καὶ εἰς ζωὴν καὶ εἰς θάνατον· ὑπὲρ σοῦ τὸ αἷμα ἡμῶν ἐκχέομεν τοῦ ὑπερμαχοῦντος ὑπὲρ τῆς ἀληθείας μόνου. Πολὺς θρῆνός ἐστιν ἐν τῇ πόλει σου, Πάτερ, περὶ σοῦ. Ταῦτα καὶ τὰ τοιαῦτα μετὰ δακρύων ἀπεφήναντο· ἀκούοντες δὲ οἱ ἐπίσκοποι καὶ ὁ Μαρκιανὸς δακρύοντες ἐθαύμαζον. Τῇ δευτέρᾳ δὲ ἐκέλευσεν ὁ πάπας καθεσθῆναι τὴν σύνοδον ἐν τῷ μικρῷ τριδουναλίῳ ἐν τῷ ναῷ τοῦ ἁγίου Ἱππολύτου πλησίον τοῦ δεσμωτηρίου, ἔνθα ἦν ὁ ἅγιος Γρηγόριος. Κατῆλθον δὲ πάντες οἱ ἐπίσκοποι ἅμα τῷ πάπᾳ μετὰ λιτῆς, ἦσαν γὰρ τὸν ἀριθμὸν ἑκατὸν πεντήκοντα, καὶ οἱ τῆς Ἀνατολῆς καὶ ὁ χαρτοφύλαξ· λοιπὸν δὲ καὶ τὰ μοναστήρια τῆς Ῥωμαίων πόλεως πάντα, καὶ τὸ ἱερατικὸν, καὶ λαὸς πολὺς σφόδρα, ὥστε μὴ χωρηθῆναι ἐν τοῖς ἐκεῖσε.

ΟΓ'. Εἰσελθόντος δὲ καὶ κατασφραγίσαντος τοῦ πάπα, ἐκαθέσθησαν· καὶ ἐκέλευσεν παραγενέσθαι τοὺς κατηγόρους τοῦ ἁγίου Γρηγορίου. Παραγενομένων δὲ αὐτῶν τὸν ἀριθμὸν ἑκατὸν δέκα, ἔστησαν ἐν μεσόθεν τῆς ἁγίας συνόδου. Ἦν δὲ ὁ διάκονος ὁ πατριαρχικὸς ὁ καὶ χαρτοφύλαξ ἀποσώζων τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιεπισκόπου θρόνον. Ἐκέλευσαν δὲ ἀποστεῖλαι ἐπισκόπους τρεῖς καὶ πρεσβυτέρους πέντε καὶ τὸν ἀββᾶν Μάρκον τοῦ ἀγάγαι τὸν δίκαιον πρὸς αὐτοὺς ἐκ τῆς φυλακῆς. Οἱ δὲ ἀπελθόντες εὗρον αὐτὸν ἀναγινώσκοντα· ἦν γὰρ ὥρα δευτέρα τῆς ἡμέρας· καὶ προσεκύνησαν αὐτὸν, καὶ αὐτὸς αὐτούς· καὶ εἶπον αὐτῷ· Κέλευσον, Πάτερ, εἰσελθεῖν εἰς τὴν ἁγίαν σύνοδον. Λέγει αὐτῷ ὁ ἅγιος Μάρκος· Χαίροις ἐν Κυρίῳ, ἀθλητά, « τύπτου καὶ νίκα, » ὡς καί που ἄλλῃ γέγραπται. Ἐξελθόντες δὲ ἀπῆλθον ἔνθα ἦν ἡ σύνοδος· καὶ εἰσελθὼν ὁ μακάριος προσεκύνησεν αὐτοὺς τρίτον ἐπὶ τὴν γῆν, καὶ ἀναστὰς ἔστη ἔμπροσθεν τῶν ἐπισκόπων, ἐν ἡσυχίᾳ καὶ ἐν φόβῳ πολλῷ παριστaμένου αὐτοῖς. Οἱ δὲ τῆς Ἀνατολῆς ἐπίσκοποι καὶ ὁ ἀρχιδιάκονος ἐξέχεον δάκρυα πολλὰ ὁρῶντες παραστήκοντα τὸν ἅγιον. Προσκαλεσάμενος δὲ τοὺς ἀνιέρους Σαβῖνον καὶ Κρησκεν-

advenæ cum novissent, quo loco sanctus Gregorius versaretur, eum in carcerem convenerunt, ubi et Orientis episcopi et spatharius erat. Ingressi manus ejus pedesque amplexari ac flere cœperunt, tum sic eum affari : Bene Deo dicamus, qui orbitatem nostram miseratus, charissimum Patrem nostrum servavit. Tua nos causa in vitam mortemque parati tecum sumus, pro te sanguinem effundimus nostrum, qui solus pro veritate dimicas. Est vero [LXXXIX] in urbe quoque tua, Pater, magnus ob te luctus. Hæc illi et similia cum lacrymis retulerunt : quæ episcopi et Marcianus audientes et flebant et mirabantur. Ut vero indictus illuxit dies, pontifex maximus synodum ad tribunal parvum (89) in sancti Hippolyti templum vocavit, quod carceri proximum erat, in quo sanctus Gregorius degebat. Supplicatione autem instituta convenere cum pontifice maximo omnes episcopi numero centum quinquaginta, cumque his episcopi Orientis et chartophylax, atque urbis etiam monasteria omnia et ordo sacerdotum, ac multi etiam e populo, ut eos locus ille non caperet.

LXXIII. Postquam pontifex maximus ingressus salutari eos signo lustravit, consedere. Ille vero sancti Gregorii accusatores introduci jussit numero centum et decem : qui in medio sanctæ synodi constiterunt. Diacono autem chartophylaci sedes archiepiscopi Constantinopolitani attributa fuerat, cujus locum tenebat. Exinde episcopos tres ac presbyteros quinque cum Marco abbate mittendos censuerunt, qui sanctum virum e carcere adducerent. Qui cum eo profecti essent, legentem invenerunt. Erat enim hora diei secunda. Post mutua officia, sic eum alloquuntur : Ad sanctam synodum accedere, Pater, ne graveris. Adjecitque sanctus Marcus : Salve Deo propitio, athleta, « vapula et vince (90), » ut jam alias scriptum est. Inde vero egressi ad synodum veniunt : quo introductus beatus vir ter omnes ad terram usque adoravit, tum surgens coram episcopis constitit, pacatum animum ac reverentem præ se ferens. At Orientis episcopi et archidiaconus ubertim flebant, quod sanctum virum stantem viderent. Appellatis vero sacrilegis viris Sabino et Crescentino, sic eos e throno suo pontifex maximus rogat : Quænam est

(89) Erat quidem Romæ locus *Tribunal* dictus, quem Philostorgius memorans (*H. eccl.*, l. XI, c. 3) eodem modo appellat : Ἐν τῷ λεγομένῳ Τριδουναλίῳ· de quo multa Valesius ad Ammianum (p. 316). Verum hic sermonem esse puto de templi parte, quam et *absidem* vocabant, in qua nempe tribunal pontificis maximi exstaret, ut Romæ adhuc antiquis quibusdam in templis videre licet : et quia aliis in templis amplior erat consessus, idcirco tribunal hoc a Leontio μικρόν esse dictum. At illud obscurius, ubinam S. Hippolyti templum esset, in quod synodus convenisse perhibetur. Nam de eo loqui Leontium, quod in campo Verano erat, et a Prudentio versibus celebratum est (*Peristeph.* in Pass. S. Hippol.), omnino admitti non debet. Cum enim extra urbem esset, ac prope insignem illam S. Laurentii ædem, ibidem et carcerem fuisse fatendum esset, quem extra urbem fuisse nemo credet. Fuit tamen aliquando intra urbem ædes alia S. Hippolyto sacra sub Quirinali prope Alumnorum Maronitarum domum, quam anno 1587 dirutam esse scribit Marangonius (*delle Cose Gentil. trasport. ad uso sacro*, c. 81, p. 443). Cæterum de illius ædis antiquitate nihil mihi exploratum est.

(90) Unde hoc dictum hauserit Marcus, non reperio. Fortasse locum illum libri Sapientiæ (x, 12) indicare voluit : *Certamen forte dedit illi, ut vinceret, et sciret, quoniam omnium potentior est sapientia.* Illa enim formula ὡς καί που ἄλλῃ γέγραπται, usurpari fere solet, cum locus aliquis divinarum Litterarum significatur, quod Leontio ipsi familiare esse, superius vidimus.

Digitized by Google

criminatio, quam contra episcopum vestrum affertis? Cui sacrilegi illi responderunt : Hunc, domine, cum puella concumbentem invenimus. Ille rursum : Vosne ipsum vidistis, an puella vobis nuntiavit? Hi vero majore impudentia respondentes : [xc] Ingressi, inquiunt, domine, ut consuetum illi honorem haberemus, ipsum et puellam in eodem cubiculo dormientes (91) invenimus; cumque puellam apprehendissemus, hæc verum nobis fassa est, ac vetiti concubitus crimen confessione sua coram legato tuo et frequenti populo confirmavit : eademque ob admissum scelus ab eo die ad hanc diem in dæmonis mancipio est. Tum episcopi Orientis ipsos interpellant, et Protus Ancyranus (92) sic interrogat : O scelesti Deoque exosi Judæ imitatores, idne crimen malitia vestra confinxit, an viri hujus justi pietas admisit? Contra sacrilegi illi : Omnino, inquiunt, puellam, o domini, in medium producite, utcunque ea labet ac spumas agat, ut vobis videntibus istum coarguat. Missis igitur qui puellam adducerent, coram sancta synodo producta est, duobus de grege calumniatorum eam coercentibus : quæ stetit mutato vultu, nec ubi esset agnovit. Sed pontifex maximus accusatoribus ait : Verum vos edite; nam huic non credimus, nec de dæmoniaco ac furioso judicium fit. Addunt sacrilegi illi : Ipsum etiam criminis auctorem interrogate, quomodo se defendat. Gregorius vero oculis circumlatis, ita eos affatus est : « Surgentes testes iniqui, quæ ignorabam interrogabant me, retribuebant mihi mala pro bonis (93). » Verum Deus, fratres, hoc vobis facinus remittat. Hæc eo dicente, mulier spumans ac flens ante beati viri pedes in altum a dæmone sublata est. Ille vero oculis ad cœlum erectis, tacitus ad horam supplicavit, omnibus aciem in eum intendentibus : absolutaque precatione silentium abrupit : Et in nomine, inquit, Domini Dei Servatoris nostri Jesu Christi, et coram sanctis maximisque apostolis atque ob preces sanctorum, qui hic adsunt, Patrum, exi, immunde spiritus, e figmento Dei, ut hæc mentis sana verum de me eloquatur.

LXXIV. Illico autem spiritus eam male vexans reliquit, jacuitque puella tanquam mortua. Sed eam Gregorius manu apprehensa excitavit; itaque coram omnibus constitit. Ipsam igitur interrogarunt, quo nomine appellaretur; quæ ait : Evodia vocor. Tum chartophylax : Num, inquit, o mulier,

τίνον καὶ τοὺς περὶ αὐτοὺς, λέγει ὁ τὸν ἀποστολικὸν ἐπέχων θρόνον· Τίς ἡ κατηγορία, ἣν ποιεῖτε κατὰ τοῦ ἐπισκόπου ὑμῶν; Οἱ δὲ ἀνίεροι ἀπεκρίθησαν, λέγοντες· Δέσποτα, εὕρομεν αὐτὸν μετὰ τῆς κόρης συγγινόμενον. Λέγει αὐτοῖς· Ὑμεῖς αὐτὸν εἴδετε, ἢ ἡ κόρη ὑμῖν ἐλάλησεν; Οἱ δὲ πάλιν ἀναισχυντοῦντες εἶπον· Εἰσήλθομεν, δέσποτα, κατὰ τὴν συνήθη προσκύνησιν πρὸς αὐτὸν, καὶ εὕρομεν αὐτὸν σὺν τῇ κόρῃ κοιμωμένους ἐν τῷ κοιτῶνι αὐτοῦ· καὶ κρατήσαντες αὐτὴν ὁμολόγησεν ἡμῖν τὸ ἀληθὲς, ποιήσασα συγκατάθεσιν τῆς παρανόμου αὐτῶν μίξεως, ἐπὶ τοῦ ἐξάρχου καὶ λαῶν πολλῶν· καὶ διὰ τὴν παράνομον αὐτῆς πρᾶξιν ἐκ τότε καὶ νῦν ὑπὸ δαίμονος ἐκυριεύθη. Λέγουσιν αὐτοῖς οἱ τῆς Ἀνατολῆς ἐπίσκοποι, Πρῶτος ὁ τῆς Ἀγκύρας· Παράνομοι καὶ θεοκατάρατοι, οἱ Ἰουδαϊκὸν ἔχοντες φρόνημα· ἡ ὑμῶν παρανομία τοῦτο ἐποίησεν, ἢ ἡ τοῦ δικαίου ἀνδρὸς τούτου εὐσέβεια; Λέγουσιν αὐτοῖς οἱ ἀνίεροι· Ὅλως φέρετε αὐτὴν εἰς μέσον, δεσπόται, πῶς πίπτει καὶ ἀφρίζει, ἵνα ἴδητε ὅπως αὐτὸν ἐλέγξῃ. Ἀποστείλαντες δὲ ἤγαγον τὴν κόρην ἐνώπιον τῆς ἁγίας συνόδου, κρατουμένην ὑπὸ δύο ἐκ τοῦ πονηροῦ συνεδρίου· καὶ ἑστάθη ἀλλοιωμένῳ τῷ προσώπῳ, μὴ γνοῦσα τὸ ποῦ εἱστήκῃ. Λέγει αὐτοῖς ὁ πάπας· Εἴπατε τὸ ἀληθές· ταύτης γὰρ ἡμεῖς οὐ πιστεύομεν· δαιμονιζόμενος γὰρ καὶ μαινόμενος οὐκ ἀνακρίνεται. Λέγουσιν οἱ ἀνίεροι· Ἐρωτήσατε καὶ τὸν τὸ πονηρὸν ποιήσαντα, ὅπως εἴπῃ τὰ κατ' αὐτόν; Ὁ δὲ περιβλεψάμενος λέγει αὐτοῖς· « Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με, ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν. » Πλὴν, ἀδελφοὶ, ὁ Θεὸς ὑμῖν συγχωρήσῃ τὸ δρᾶμα τοῦτο. Ταῦτα δὲ αὐτοῦ εἰπόντος, ἐπεδάρη ὑπὸ τοῦ δαίμονος ἡ γυνὴ ἀφρίζουσα καὶ κλαίουσα παρὰ τοὺς πόδας τοῦ μακαρίου. Τότε ὁ μακάριος καὶ ἅγιος τοῦ Θεοῦ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπάρας, ἐν ἑαυτῷ προσεύξατο ἐπὶ ὥραν μίαν, πάντων αὐτὸν ἀτενιζόντων· καὶ πληρώσας ἐν ἑαυτῷ, λέγει· Ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ παρουσίᾳ τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων, καὶ διὰ τῶν εὐχῶν τῶν ἁγίων τῶν Πατέρων πάντων, δαίμων ἀκάθαρτε, ἔξελθε ἀπὸ τοῦ πλάσματος τοῦ Θεοῦ, ἵνα σωφρονοῦσα φθέγξηται τὸ ἀληθὲς περὶ ἐμοῦ.

Οὐθέως δὲ καὶ παραχρῆμα σπαράξαν αὐτὴν τὸ πνεῦμα ἐξῆλθεν ἀπ' αὐτῆς· ἔμεινεν δὲ ἡ κόρη ἐκείνη ὡς νεκρά. Καὶ κρατήσας αὐτὴν τῆς χειρὸς, ἤγειρεν αὐτὴν, καὶ σταθεῖσα ἡ κόρη ἔμπροσθεν πάντων, ἠρώτησαν αὐτὴν, τί τὸ ὄνομά σου; Ἡ δὲ ἔφη, Εὐωδία καλοῦμαι. Λέγει αὐτῇ ὁ χαρτοφύλαξ,

(91) Cod. 2. καὶ εὕρομεν αὐτὴν κοιμωμένην ἐν τῷ κοιτῶνι αὐτοῦ.

(92) Hunc Protum frustra alibi quæras. Indices Harduini nullum habent Protum episcopum, nedum Ancyranum. Locus tamen huic est apud Quienum (*Orient. Chr.* t. I, p. 468) inter Paulum et Platonem : nam ille sub Tiberio Constantino floruit, hic sub Constantino Pogonato : ut inter utrumque bini saltem episcopi Ancyranæ Ecclesiæ præfuisse putandi sint. Mortuus enim est Tiberius anno 580, imperium cepit Pogonatus anno 668; Platonem tamen fuisse, qui huic synodo Romanæ interfuit, nonnihil hæsitans, opinatus est Quienus. Gregorium nostrum Monotheletarum ætate vixisse ratus, quam apud Surium indicari viderat.

(93) Psalm. xxxiv, 11. 12. Sed apud LXX scriptum est, Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἐπηρώτων με· ἀνταπεδίδοσαν μοι πονηρὰ ἀντὶ καλῶν. Cæterum in Aldi codice non deest μοι, et in Alexandrino exemplari legitur ἠρώτων et ἀντὶ ἀγαθῶν, ut Leontius noster habet.

Digitized by Google

Ἀρά γε, γύναι, ἐπίστασαι τὸν ἐπίσκοπον τῆς πόλεώς σου; Λέγει αὐτῷ ἡ κόρη· Ναὶ, δέσποτα, καὶ πάνυ αὐτὸν ἐπίσταμαι· πολλάκις γὰρ ἐθεώρουν αὐτὸν διερχόμενον καὶ ἐπισκεπτόμενον πάντας τοὺς πτωχοὺς τῆς πόλεως, καὶ ταῖς χήραις καὶ ὀρφανοῖς παρέχων τὰ πρὸς τὴν χρείαν. Κἀγὼ αὐτὴ ἡ ἀθλία πάντοτε παρ' αὐτοῦ ἐδεχόμην ἐλεημοσύνην παρὰ τοῦ τεταγμένου εἰς τὸ διακονεῖν. Λέγουσιν αὐτῇ πάλιν τάδε· Σὺ, γύναι, ἔγνως τὸν ἄνδρα ἐπιμίξεως σωματικῆς γενόμενον μετὰ σοῦ; Ἡ δὲ στενάξασα ἐκ βάθους καὶ δακρύσασα, ἄρασα τὴν φωνὴν εἰς ὕψος, εἶπεν· Ζῇ Κύριος τῶν δυνάμεων, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον, τίς ἐστιν, καθὼς αὐτοὶ εἰρήκατε γενόμενον μετ' ἐμοῦ· ἀλλὰ Σαβῖνος καὶ Κρησκεντῖνος οὗτοι οἱ παρεστηκότες ἔμπροσθεν ὑμῶν, αὐτοί με ἠνάγκασαν κατηγορῆσαι τὸν δίκαιον τοῦτον· χρήματα γάρ μοι κατεβάλοντο ἱκανὰ, ἵνα, ὡς εἶπον, κατελέγξω αὐτὸν, ἀδίκως παρανομήσασα, ἀπατηθεῖσα ὑπὸ τῶν παρανόμων ἀνδρῶν τούτων. Ἀνταποδώσει αὐτοῖς Κύριος ὁ Θεὸς τὴν ἁμαρτίαν τῆς ἐμῆς ψυχῆς· εἰς γὰρ διετῆ χρόνον καὶ μῆνας ἓξ ἐβασανίσθην ὑπὸ τοῦ δαίμονος. Ταῦτα δὲ εἰποῦσα σταθεῖσα καὶ περιβλεψαμένη πάντας τοὺς ἐπισκόπους, καὶ μετ' ὀλίγον κατανοήσασα τὸν ἅγιον Γρηγόριον, ἐπέγνω αὐτόν· καὶ δραμοῦσα παρὰ τοὺς πόδας αὐτοῦ, κλαίουσα ἔλεγεν ἐν ἰσχύει· Ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ, καὶ συγχώρησόν μοι τῇ ταπεινῇ τὸ παράνομον καὶ ἀθέμιτον συμβούλιον, ὃ ἐποίησα εἰς σέ. Ζῇ Κύριος ὁ Θεός μου, οὐ μὴ ἀναστῶ ἐκ τῶν ποδῶν σου, ἕως οὗ τὴν συγχώρησίν μοι ἀπαγγείλῃς τῆς παρανόμης μου πράξεως. Διὸ μὴ ἐννοήσῃς, μηδὲ μνησθῇς τῶν παρ' ἐμοῦ πραχθέντων εἰς σὲ κακῶν, Πάτερ ἅγιε.

A urbis tuæ episcopum nosti? Cui illa : Profecto, domine, probe illum [xci] novi : sæpe enim ipsum videbam, cum urbem obiret, et omnes urbis egenos inviseret, ac viduis pupillisque quidquid opus esset suppeditaret; quin et ego misera per curatorem ejus stipem ab eo quotidie accepi. Eam vero rursum interrogant : At enim tu, mulier, virum hunc congressu corporis una tecum fuisse nosti? Hic illa ab imo pectore suspirans ac lacrymans ingenti voce clamavit : Vivit Dominus virtutum, hominem ego hunc, quis sit, quatenus mecum fuisse vos dixistis, non vidi; verum Sabinus et Crescentinus, qui ante vos astant, illi ipsi me ut justum hunc accusarem adegerunt : pecuniam enim mihi satis grandem dedere, quo, ut dixi, eum redarguerem (94), injustum ausa facinus, ut me hominum istorum iniquitas in fraudem illexit. At crimen hoc meum Dominus Deus pari illis pœna rependet. Nam ego quidem biennium et menses sex a dæmone excruciata sum. Iis dictis cum stans oculos circumtulisset ad omnes episcopos, paulo post sanctum Gregorium contemplata agnovit, atque accurrens ad pedes ejus, multis cum lacrymis et magno animi dolore sic eum est allocuta : Misereat te mei, o Dei serve, ac injustum iniquumque consilium, quod in te suscepi, mihi infelici et abjectæ remittas. Vivit Dominus Deus meus, a pedibus ego tuis non ante abscedam, quam mihi flagitii mei veniam a te datam renunties. Quamobrem ne animadvertas neve memineris, Pater sancte, quæ a me mala contra te admissa sint.

B

C

ΟΕ'. Ταῦτα δὲ ἐπὶ πλείστας ὥρας διαλεγομένη τῷ ἁγίῳ ἡ κόρη, ἀποκριθεὶς ὁ ἅγιος λέγει αὐτῇ· Ὦ γύναι, οὐκ ἔστιν ἡμῖν τὸ ἐπαγγείλασθαι, ὡς σὺ νομίζεις, εἰ μὴ μόνον τοῦ φιλοικτίρμονος καὶ φιλανθρώπου Θεοῦ ἡμῶν· αὐτὸς γὰρ ἰᾶται τὰ τραύματα τῶν ψυχῶν ἡμῶν, ὁ τὰ πάθη δι' ἡμῶν ἑκουσίως ὑπομείνας, καὶ γινώσκων τῆς σαρκὸς τὰ πάθη, ὡς πλάστης, καὶ ἐνδυσάμενος αὐτήν. Πλὴν, γύναι, δῴη ἡμῖν αὐτὸς συγχώρησιν κατὰ τὰ αἰτήματα ἡμῶν, καὶ καθαρίσαι ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, ὅτι αὐτός ἐστιν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Καὶ κρατήσας ἤγειρεν αὐτήν. Ἐγένετο δὲ φόβος ἐπὶ πάντας τοὺς ὄντας ἐν τῇ ἁγίᾳ συνόδῳ ἐκείνῃ, ὥστε λέγειν πάντας· Εὐλογητὸς ὁ Θεὸς τῶν πατρῶν ἡμῶν, ὅτι τοιοῦτον ἐργάτην ἑαυτῷ ὁ Θεὸς ἐφανέρωσεν, καὶ ἀνέδειξεν ἐν τῷ κόσμῳ ἐν ταῖς ἐσχάταις ἡμέραις ταύταις. Ταῦτα δὲ αὐτῶν εἰπόντων, ἀπεκίνησαν καὶ ἀπῆλθον ἐν τῇ ἐκκλησίᾳ, καὶ τὴν θείαν ἐπιτελέσαντες μυσταγωγίαν, καὶ μεταλαβόντες τοῦ ἀχράντου σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔφαγον ἄρτον ἐν τραπέζῃ τοῦ πάπα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οἵ τε ἐπίσκοποι τῆς Ἀνατολῆς, καὶ ὁ σπαθάριος, καὶ ὁ ἅγιος Γρηγόριος, καὶ ὁ χαρτοφύλαξ. Ἦν δὲ ὁ ἅγιος Γρηγόριος ἄρτῳ βραχυτάτῳ ἀρκούμενος, καὶ λαχάνοις ἄνευ ἐλαίου. Ἐκεῖθεν δὲ ἐξελθόντες ἔμειναν ἀμφότεροι ἐν τῷ ἅμα,

LXXV. Hæc illi etiam atque etiam edisserenti sic denique sanctus vir respondit : Nostrum, o mulier, non est, sicut tu putas, renuntiare quod cupis, sed Dei unius nostri indulgentis ac miserentis. Ipse enim animorum nostrorum vulnera sanat, qui voluntarios pro nobis subiit cruciatus, et humani generis, quod condidit idem atque induit, affectus novit. Cæterum det ipse nobis, o mulier, veniam, quam singuli petimus, nosque ab omni labe mundet; quippe ipse est, qui tollit peccata mundi. Eamque tenens excitavit. Omnes vero, qui in sancta illa synodo erant, timor cepit, fuitque omnium vox, D Deo laudes tribuendas, qui talem sibi operarium prodidisset, eumque extremis illis diebus orbi manifestasset. Dumque hæc dicerent, discedere cœperunt, atque in templum ingressi sacra mysteria peregere et immaculato corpore Domini nostri Jesu Christi refecti sunt. Eodem die pontifex maximus episcopos Orientis, spatharium, sanctum Gregorium et chartophylacem convivio accepit : quanquam sanctus Gregorius exiguo pane et oleribus sine oleo contentus fuit. Inde egressi, mansere simul apud episcopos Gregorius et spatharius et chartophylax : ac [xcii] noctem totam insomnes traduxere singuli, quos dixi, admirantes tam epi-

(94) Cod. 1, ἵνα, ὡς εἶπον, καταπλέξω αὐτόν.

Digitized by Google

scopi, quam Marcianus et chartophylax singularem illam Dei erga virum beneficentiam, in qua et divina veluti vox et sancti Spiritus lumen sese omnibus manifestassent.

A ἐν ᾧ ἦσαν οἱ ἐπίσκοποι, ὅ τε Γρηγόριος καὶ ὁ σπαθάριος, καὶ ὁ χαρτοφύλαξ. Πᾶσαν δὲ τὴν νύκτα ἄνυπνοι διετέλεσαν, ὡς ἔφην, ἀμφότεροι θαυμάζοντες οἵ τε ἐπίσκοποι, καὶ ὁ Μαρκιανὸς, καὶ ὁ χαρτοφύλαξ τὴν τοσαύτην χάριν τὴν δοθεῖσαν τῷ ἀνδρὶ δι' ἀποκαλύψεως θείας καὶ ἐλλάμψεως Πνεύματος ἁγίου.

LXXVI. Orto sole pontificem maximum omnes convenerunt in venerandum augustumque sancti principis apostolorum Petri atque Pauli templum, quo et cæteri e synodo episcopi concessere. Hic pontificem maximum venerati, in magno vestibulo, quod Sancti Andreæ (95) apostoli dicunt, consederunt. Eodemque secuti eos sunt plebs Agrigentina et duo tribuni atque archidiaconus cum sociis B Erasmo, Philadelpho et Platonico. Impii vero et iniqui accusatores sancti Gregorii in custodiam inclusi fuerant. At pleno jam consessu pontifex maximus adduci eos in medium jussit, ut Patres de eorum pœna deliberarent. Producti igitur coram sancta synodo steterunt, hisque eos verbis pontifex maximus allocutus est : Quomodo vos, pessimi homines atque infelices, virum hunc justum, ac nobis videntibus tot prodigiorum auctorem accusare potuistis? Num ignorabatis vos ipsi, quo pacto in oculis vestris gratia Dei virtusque Domini caput ejus inumbrasset? utque Dei unius voluntas fuisset, pastorem hunc esse et magistrum vestrum? An tu nesciebas, Sabine miser, ut filiolam C tuam precibus extemplo sanasset, nec vos omnes oculis vestris non videratis, quemadmodum monachum illum surdum et mutum loquendi atque audiendi facultate donarat? Tum Felicem Italicum episcopum admonuit pontifex maximus, ut ea exponeret, quæ ipse viderat prodigia a beato viro patrata, cum eum [XCIII] Agrigentum misisset, ut Gregorium in sede sua collocaret. Qui surgens narravit, quomodo ille multis jam ab annis surdum mutumque sanasset, tum cætera viri miracula, quæ ipse viderat. Quæ cum Felix episcopus synodo universæ referret, et episcopi Orientis ac diaconus chartophylax et spatharius, omnes denique audirent, stupor cunctos perculit, et narratio illa plane

Οϛ'. Γενομένης οὖν ἡμέρας, προσῆλθον πάντες εἰς τὸν τὸν ἀποστολικὸν ἐπέχοντα θρόνον ἐν τῷ σεπτῷ καὶ σεβασμίῳ ναῷ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου καὶ Παύλου, λοιπὸν δὲ καὶ οἱ τῆς συνόδου πάντες ἐπίσκοποι· καὶ προσκυνήσαντες τῷ πάπᾳ, ἐκαθέσθησαν εἰς τὸν μέγαν ἔμβολον, ἐν ᾧ λέγεται τοῦ ἁγίου Ἀνδρέου τοῦ ἀποστόλου. Πάντες δὲ οἱ λαοὶ τῆς Ἀκραγαντίνων πόλεως, οἱ δύο τριβοῦνοι καὶ ὁ ἀρχιδιάκονος μετὰ τῶν σὺν αὐτοῖς Ἐράσμου, καὶ Φιλαδέλφου, καὶ Πλατωνικοῦ, συνηκολούθησαν κἀκεῖνοι ἐκεῖσε. Οἱ δὲ ἀσεβεῖς καὶ παράνομοι κατήγοροι τοῦ ἁγίου Γρηγορίου ἦσαν κεκλεισμένοι ἐν τῇ φυλακῇ. Καθεσθέντων δὲ αὐτῶν, ἐκέλευσεν αὐτοὺς ὁ πάπας ἀχθῆναι εἰς μέσον, ἵνα διοικήσωσι τὰ κατ' αὐτούς. Προσελθόντες δὲ ἔστησαν ἔμπροσθεν τῆς ἁγίας συνόδου. Εἶτα λέγει αὐτοῖς ὁ πάπας· Ὑμεῖς, ὦ ἄνδρες πονηροὶ καὶ πανάθλιοι, ποίῳ τρόπῳ κατηγορήσατε τὸν δίκαιον ἄνδρα τοῦτον, τὸν πολλὰ σημεῖα ποιήσαντα ἐνώπιον ἡμῶν; Ἢ οὐκ ἐπίστασθε ὑμεῖς αὐτοὶ, τὸ πῶς ἡ χάρις τοῦ Θεοῦ, τῶν ὀφθαλμῶν ὑμῶν ὁρώντων, ἐπεσκίασεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἡ δύναμις τοῦ Κυρίου, καὶ αὐτοῦ μόνου γέγονεν θέλημα τοῦ εἶναι εἰς ὑμᾶς ποιμένα τε καὶ διδάσκαλον; ἢ οὐκ ἔγνως, ἄθλιε Σαβῖνε, πῶς τὸ θυγάτριόν σου ἰάσατο παραχρῆμα διὰ προσευχῆς; ἢ πάντες ὑμεῖς οὐχ ἑωράκατε ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν, πῶς τὸν μοναχὸν ἐκεῖνον τὸν κωφὸν καὶ ἄλαλον ἐποίησεν λαλῆσαι καὶ ἀκοῦσαι; Ἐκέλευσεν δὲ ὁ πάπας τῷ ἐπισκόπῳ Φήλικι τῆς Ἰταλίας διηγήσασθαι πάντα, ἃ ἐθεάσατο σημεῖα τὰ γενόμενα διὰ τοῦ μακαρίου, ὅτε αὐτὸν ἀπέστειλεν ἀποκαταστῆσαι αὐτὸν ἐν τῇ πόλει. Ὁ δὲ ἐπίσκοπος Φῆλιξ ἀναστὰς διηγήσατο, ὡς ἰάσατο τὸν κωφὸν καὶ ἄλαλον ὑπάρχοντα πρὸ ἐτῶν πολλῶν, καὶ ἕτερα, ἃ ἴδεν γενόμενα δι' αὐτοῦ σημεῖα. Ταῦτα διηγήσατο ὁ ἐπίσκοπος Φῆλιξ ἐνώπιον τῆς συνόδου. Ταῦτα δὲ ἀκούσαντες οἱ τῆς Ἀνατολῆς ἐπίσκο-

(95) Quod Græci veteres στοὰν et πρόναον appellabant, id sequiores ἔμβολον dixere ab ἐμβάλλω, *immitto*. De porticibus fori Cyrillus Scythopolitanus in Vita Sabæ (n. 62), ἐκειτο ἐν τῷ δυτικῷ ἐμβόλῳ τῆς αὐτῆς πλατείας· *Jacebat in occidentali fori illius porticu*. De vestibulo templi Joannes Moschus in *Prato* (n. 66, apud Cotel. t. II, *M. E. G.*): Καὶ οἰκοδομήσας τὸ εὐκτήριον, ἐποίησα μνημεῖον κάλλιστον εἰς τὸν δεξιὸν ἔμβολον. *Et exædificato sacrario, monumentum pulcherrimum ad dextrum vestibulum feci.* Enimvero de hoc Vaticani templi vestibulo, quod S. Andreæ vocabant, Tiberii Alfarani verba subjiciam ex libello, quem nondum editum habemus, hoc titulo : *De sacros. Basilicæ B. Petri principis apostolor. in Vaticano urbis sitæ antiquissima et nova structura;* est autem in bibliotheca Albana (*Armar. S.* VIII, 10) : *A Basilicæ*, inquit, *parietibus, quæ sunt in transcursa navi ad meridiem, usque ad S. Petronillæ templum ædes fuit S. Andreæ, quam Symmachus papa eleganter exornaverat,* D *in qua Romani pontifices solemnia quædam in sua coronatione, ut et consecratione celebrare consueverunt. Hunc locum fuisse vestibulum templi Apollinis, quod quidem templum postea S. Petronillæ nomen accepit, Masseus Vegius ostendit. Sed Petrus Mallius dicit fuisse vestiarium Neronis..... In hujus igitur vestibuli medio erat altare S. Andreæ a Symmacho erectum, sub quo S. Andreæ et Lucæ brachia Gregorius Magnus Constantinopoli translata magna veneratione recondidit.* Hæc Alfaranus : At *Liber Pontificalis* a Vignolio vulgatus hæc in Symmacho (n. 6) refert : *Hic fecit multas basilicas : basilicam Sancti Andreæ apostoli apud Beatum Petrum, ubi fecit ciborium ex argento purissimo in confessione pens. libras* CXX, *arcus argenteos* III, *pensantes libras* LX. Plura vero de hac re diligentissime expensa invenies in præclaro opere *De secretariis templi Vaticani*, quod, dum hæc scribimus, Franciscus Cancellierus vir eruditissimus, editione jam instituta, publici juris facit.

Digitized by Google

ποι. καὶ ὁ διάκονος ὁ χαρτοφύλαξ, καὶ ὁ σπαθάριος, καὶ πάντες ἐξεπλάγησαν, καὶ πάνυ ἐθαύμαζον τῇ παραδόξῳ διηγήσει τοῦ ἀνδρός. Οὐδέπω γὰρ ἦσαν ταῦτα ἀκούσαντες οἱ ἐπίσκοποι παρά τινος.

admirabilis visa. Neque enim de his quidquam episcopi ab ullo audierant.

OZ'. Ταῦτα εἰπὼν, λέγει αὐτοῖς ὁ πάπας· Τί πρὸς ταῦτα ἀποκρίνεσθε; εἴπατε ὃ βούλεσθε. Οἱ δὲ οὐδὲν ἕτερον ἀπεκρίναντο, εἰ μὴ ἔρριψαν ἑαυτοὺς ἐπὶ πρόσωπον, κλαίοντες καὶ λέγοντες τό· *Κύριε ἐλέησον*· ἡμάρτομεν καὶ ἠνομήσαμεν κατὰ τοῦ δικαίου ἀνθρώπου τούτου. Οἱ δὲ ἐπίσκοποι ἐκέλευσαν αὐτοὺς διαχωρισθῆναι, τοὺς μὲν λαϊκοὺς ἐν ἑνὶ μέρει στῆναι, τοὺς δὲ κληρικοὺς ἐν ἑτέρῳ· καὶ ἔδωκαν κατ' αὐτῶν ἀπόφασιν οἱ ἐπίσκοποι πάντες τῆς συνόδου σὺν τῷ πάπᾳ· τὸν μὲν Σαβῖνον ἐξορισθῆναι ἐν τοῖς μέρεσι τῆς Θρᾴκης, τὸν δὲ Κρησκεντῖνον ἐξορισθῆναι ἐν τοῖς μέρεσι τῆς Σπανίας· τοὺς δὲ λοιποὺς κληρικοὺς διασπαρῆναι ἐν Ῥαυέννῃ. Ἦσαν δὲ κληρικοί, ὡς προέφημεν, τριάκοντα, καὶ λαϊκοὶ ὀγδοήκοντα, καὶ ὥρισαν καὶ αὐτοὺς ἀπελθεῖν ἐν τῇ τῶν Βασκάνων χώρᾳ. Τοὺς δὲ τῶν λαϊκῶν ἐκέλευσεν ὁ σπαθάριος ἐν τῷ δεσμωτηρίῳ ἀσφαλισθῆναι, καὶ κατὰ τὸν φιλευσεβῆ νόμον ὑποπεσεῖν. Παραλαβόντες δὲ οἱ στρατιῶται τοῦ ἀπαγαγεῖν αὐτοὺς ἐν τῇ φυλακῇ, ἤρξαντο ὀλολύζειν ἐν ἰσχυρᾷ φωνῇ κράζοντες· Ἐλέησον ἡμᾶς, δοῦλε Θεοῦ, μὴ ἀποδώσῃς ἡμᾶς εἰς χεῖρας ἀλλοτρίων, παρακάλεσον τὴν ἁγίαν σύνοδον δι' ἡμᾶς καὶ τὸν φιλευσεβῆ βασιλικόν· ἡμάρτομεν εἰς σὲ, συγχώρησον ἡμῖν κἂν ὀλίγον. Ταῦτα δὲ ἀκούσας ὁ ἅγιος Γρηγόριος, ἤρξατο τύπτειν τὸ πρόσωπον αὐτοῦ κλαίων καὶ πίπτων παρὰ τοὺς πόδας τοῦ πάπα καὶ τῶν τῆς Ἀνατολῆς ἐπισκόπων καὶ πάντων, λέγων· Κύριοί μου Πάτρες καὶ συλλειτουργοὶ, ἐπακούσατέ μου τοῦ δούλου ὑμῶν, ἐπακούσητε, καὶ μὴ τὴν ἐμὴν ἐκδίκησιν ποιήσητε εἰς τοὺς ἄνδρας τούτους. Τοῦ γὰρ Κυρίου μόνου ἡ ἐκδίκησις, καθὼς γέγραπται· « Ἐμὴ ἡ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, » λέγει Κύριος. Καὶ, « Αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. » Καὶ τὰ νῦν δυσωπῶ πᾶσαν ὑμῶν τὴν θεοσύλλεκτον ὁμήγυριν, μηδὲν παθεῖν τοὺς ἄνδρας πονηρὸν ἕνεκεν τῆς ἐμῆς ἐλεεινότητος· ἄξιος γάρ εἰμι πάσης παιδεύσεως ὁ τάλας ἐγώ. Ὁ Θεὸς γὰρ ὁ πάντων ἔφορος τῇ ἰδίᾳ εὐσπλαγχνίᾳ ἐμακροθύμησεν ἐπὶ τοῖς παρ' ἐμοῦ πεπραγμένοις, καὶ ἐκάλυψέν μου τὸ ἀδίκημα. Οὕτως καὶ αὐτοὶ διαφυλάξατε τούτους ἀβλαβεῖς. Ταῦτα ἀκούσαντες οἱ τῆς συνόδου ἐπίσκο-

LXXVII. Cum ille dixisset, ad accusatores conversus pontifex maximus : Quid, inquit, ad hæc respondetis ? edite quod libet. At illi ne verbo quidem prolato, et vultu demisso, abjecerunt se flentes et inclamantes : *Domine, miserere;* peccavimus, inique egimus adversus hominem hunc justum. Episcopi vero separari eos jusserunt, et laicos quidem in locum unum, in alterum clericos deduci. Deinde perrogatione facta, omnes synodi episcopi cum pontifice maximo censuerunt, ut Sabinus exsul in Thraciam mitteretur, Crescentinus in Hispania exsularet, reliqui clerici Ravennam dispersi secederent. Erant autem clerici, ut jam diximus, triginta : laici contra octoginta ; quos item in Vasconum (96) regionem mittendos decreverunt. Sed laicos spatharius in carcerem concludi jussit, et sacris imperii legibus subesse voluit. Dum vero milites eos cogebant, ut in carcerem deducerent, magna voce lamentari et clamare cœperunt : Misereat te nostri, Dei serve, ne in alienas manus nos dederis, tu sanctam synodum et piissimum imperatoris administrum nobis placato : flagitium in te admisimus, parumper etiamnum ignosce nobis. Quæ ut audivit sanctus Gregorius, faciem sibi tundere ac flere cœpit, procidensque ad pedes pontificis maximi atque episcoporum Orientis cæterorumque omnium, sic affatus est : Domini mei Patres et sacrorum socii, date hoc mihi servo vestro, date, quæso, ut nullam ab hisce hominibus ultionem mea causa exigatis. Nam Domini unius ultio [XCIV] est, ut scriptum nostis: « Mea ultio, ego retribuam (97), » dicit Dominus. « Et ipsi curvabitur omne genu cœlestium, terrestrium et infernorum (98). » Quamobrem totum hunc cœtum vestrum a Deo coactum rogo atque obsecro, ne viros istos tam miseri hominis causa mali quidquam subire velit. Nam ego quidem infelix omnis egeo disciplinæ : Deus vero, qui omnia videt, clementiæ suæ obsecutus, admissa mea patienter pertulit, et scelera obtexit. Sic et vos noxam ab his prohibete. His auditis illacrymarunt synodi episcopi et pontifex maximus, eique respon-

(96) Vascones esse, qui Βασκάνες hic dicuntur, putavit Cajetanus, quem secutus sum : neque enim melior mihi interpretatio in promptu erat. Quia tamen Crescentino, exsilii causa, Hispania assignata est, in qua et Vascones censebantur, partem potius Aquitaniæ designatam hic puto, quam per hæc tempora Vascones, superatis Pyrenæis, jam occupaverunt : a quibus postea *Vasconia* sive *Guasconia* dicta est. De illis Gregorius Turonensis (lib. IX, c. 7) : *Vascones de montibus prorumpentes in plana descenduni, vineas agrosque depopulantes.* Porro calumniatorum pœna Gregorii Magni ætate exsilium fere erat, quam et clerici quandoque subiere, nedum laici. Audi enim, quid ille ad Anthemium subdiaconum Campaniæ scripserit in causa Hilari hypodiaconi Neapolitani, qui Joannem diaconum apud Paschasium episcopum calumniatus fuerat : *Quia ergo,* inquit, *tantæ nequitiæ malum sine digna non debet ultione transire, suprascriptum fratrem nostrum Paschasium volumus admoneri, ut eumdem Hilarum prius subdiaconatus, quo indignus fungitur, privet officio, atque verberibus publice castigatum, faciat in exsilium deportari* (lib. XI, epistola 71). Affert hæc ipsa Joannes Diaconus in Vita Gregorii (lib. IV, n. 31), quibus alia severitatis ejus contra falsos delatores exempla subnectit.

(97) Deuter. XXXII, 35; at LXX habent : Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω.

(98) Ex Paulo ad Philipp. II, 10, qui scripsit : Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. Cui præiverat Isaias, qui ait, c. XLV, v. 24 : Ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν Θεόν.

Digitized by Google

sum hoc dederunt : Si cum his tu quoque petis, ne quid patiantur, nihil jam ad nos pertinet. Nam illud quidem vere scriptum est, Domini unius ultionem esse. Igitur jussi milites dimittere eos, quo rursus eodem omnes convenirent. Accidit vero, dum uno in loco omnes essent, ut procella improviso erumperet, et locus ille, in quo accusatores erant, obscuraretur. Ventus porro e terra exiit, et adeo densa caligo omnes texit, ut terra dehiscere, eosque in voraginem abreptura esse videretur : quare omnis quoque synodus commota, sublatis ad cœlum manibus inclamavit : *Domine, miserere.* At rei exitus hic fuit. Paulo post caligo, quæ illis incubuerat, dissipata est, at vultus eorum nigrantes apparuerunt ; quorumdam vero tota facies omnino nigruerat (99) : Sabini in primis et Crescentini aliorumque multorum, quibus præterea labia quoque adeo diducta sunt, ut vix ea tantum adducere possent, quantum ad loquendum opus esset. Ultimo hoc prodigio divina in accusatores ira conquievit. Quare synodus universa clamavit : Nunc denique Dominus christum (1) suum servasse, nunc e cœlo sancto suo preces ejus exaudiisse visus est. Magnus Dominus noster, et magna virtus ejus; et non est investigatio consilii ejus. Vere magnus et laudabilis nimis, et magnitudinis ejus non est finis. Bene Domino dicamus Deo nostro, qui omnia utilitatis nostræ causa facit; ipse enim noscit qui eum amant, quique voluntati ejus obsequuntur, ac servat eos, et de inimicorum manu atque ex omni afflictione liberat. Ipse justitiam impertit, ipse mysteria revelat, ipse metuentibus eum salutem affert; semper enim prope est invocantibus eum in veritate, et eos [xcv] celeriter ulciscitur, quod sine intermissione clamant ad eum die ac nocte.

LXXVIII. Atque his prolatis, accessere ad eum, et ad pedes provoluti dixerunt : Preces adhibe, Pater sancte, pro nobis, qui unus extremis hisce temporibus invictæ patientiæ virum te prodis, et Christi ac discipulorum ejus imitatorem : age, te obsecramus, precibus nos tuis habe commendatos. Ille vero humi prostratus, pedes singulorum osculabatur, ac, Vos, aiebat, ignoscite mihi, Patres sancti : ego enim sum vermis, et non homo, opprobrium hominum et abjectio omnium. Vos potius tenuitatem meam precibus vestris sustentate. Jamque omnes sancto illum osculo salutabant : quippe tota ex urbe viri feminæque cum lactentibus pueris convenerant, accusatorum prodigio exciti : et ora eorum nigrantia obstupefacti intuebantur. Rursum deinde episcopi ad sedes suas

(99) Quidni Agrigentinum aliquem, amœnum hominem, Leontio nostro imposuisse, et fabellam hanc venditasse existimemus? Agrigenti fortasse, ut fit, familiæ aliquot ex Africa extorres sedem fixerant ; ex iisque prognati fusca facie, labris immodicis parentes atque avos referebant. Hos planus ille, ut coloris et formæ causam redderet, ex eorum genere esse dixit, qui Gregorium nostrum accusassent, ac simul ostentum istud commentus est, quod homo minime malus, et historiæ suæ producendæ atque ornandæ cupidus, facile hausit, utque audierat, exposuit.

(1) Ex psal. xix, 7 ; et ex aliis carptim.

A ποι σὺν τῷ πάπᾳ ἐδάκρυσαν καὶ εἶπον· Εἰ αὐτὸς σὺν αὐτοῖς αἰτεῖς τὴν ἀπάθειαν αὐτῶν, ἡμεῖς πρᾶγμα οὐκ ἔχομεν· τοῦτο γὰρ ἀληθῶς γέγραπται, ὅτι τοῦ Κυρίου ἡ ἐκδίκησις μόνου. Καὶ ἐκέλευσεν αὐτοὺς ἀφιέναι τοὺς στρατιώτας, καὶ πάλιν ἐν τῷ ἅμα συναθροισθῆναι ἅπαντας. Ἐγένετο δὲ ἐν τῷ αὐτοὺς εἶναι ἐν ἑνὶ τόπῳ, γέγονεν αἴφνης λαῖλαψ ἀνέμου, καὶ ἐσκότασεν ὁ τόπος, ἐν ᾧ ἵσταντο οἱ κατήγοροι· καὶ ἰδοὺ ἄνεμος ἐξῆλθεν ἐκ τῆς γῆς, καὶ ἐκάλυψεν αὐτοὺς πάντας γνόφος σκοτινὸς, ὥστε πάντας λέγειν, ὅτι ἡ γῆ ἔχανεν καὶ κατέπιεν αὐτούς. Καὶ πᾶσα ἡ σύνοδος εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἅραντες ἔκραζον, λέγοντες τό· *Κύριε ἐλέησον.* Καὶ τὸ δὴ πέρας, μετ' ὀλίγον διεσχίσθη ὁ γνόφος ἐπάνωθεν αὐτῶν· καὶ ἐφάνησαν τὰ πρόσωπα αὐτῶν μεμελανωμένα, τῶν δὲ καὶ ὁλόB κληρα τὰ πρόσωπα αὐτῶν ἐμελανώθησαν. Σαβίνου δὲ, καὶ Κρησκεντίνου, καὶ ἑτέρων πολλῶν οὐ μόνον τὰ πρόσωπα αὐτῶν ἐμελανώθησαν, ἀλλὰ καὶ τὰ χείλη αὐτῶν κατηνέχθησαν, ὥστε μόλις αὐτοὺς δύνασθαι περισφίγξαι αὐτὰ εἰς τὸ λαλῆσαι. Τούτου δὲ γενομένου τοῦ σημείου ἐτελειώθη ὀργὴ εἰς τοὺς κατηγόρους. Ἔκραξεν πᾶσα ἡ σύνοδος λέγουσα· Νῦν ἐγνώκαμεν, ὅτι ἔσωσεν Κύριος τὸν χριστὸν αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ οὐκ ἔστιν ἐξερεύνησις τῆς φρονήσεως αὐτοῦ· ἀληθῶς μέγας καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν πέρας. Εὐλογητὸς Κύριος ὁ Θεὸς ἡμῶν ὁ πάντα πρὸς τὸ συμφέρον ἐργαζόμενος. Αὐτὸς γὰρ C γινώσκει τοὺς ἀγαπῶντας αὐτὸν, καὶ τοὺς ποιοῦντας τὸ θέλημα αὐτοῦ, καὶ σώζει αὐτοὺς, καὶ ῥύεται αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν αὐτῶν καὶ ἐκ πάσης θλίψεως. Αὐτὸς δικαιοῖ, αὐτὸς ἀποκαλύπτει μυστήρια, καὶ ποιεῖ σωτηρίαν τοῖς φοβουμένοις αὐτόν. Ἐγγὺς γάρ ἐστιν πάντοτε τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, καὶ τὴν ἐκδίκησιν αὐτῶν ποιεῖ ἐν τάχει, ὅτι ἀνενδότως βοῶσι πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός.

ΟΗ'. Καὶ ταῦτα αὐτῶν εἰπόντων, προσελθόντες ἔπιπτον παρὰ τοὺς πόδας αὐτοῦ, λέγοντες· Εὔξαι ὑπὲρ ἡμῶν, Πάτερ ἅγιε, ὅτι ἐν ταῖς ἡμέραις ταύταις ταῖς ἐσχάταις σὺ μόνος ἐδείχθης ἐργάτης τῆς ὑπομονῆς, καὶ δοῦλος Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ. Παρακαλοῦμεν δέ σε, εὔχου ὑπὲρ ἡμῶν, εὔχου. Ὁ δὲ πεσὼν ἐπὶ πρόσωπον αὐτοῦ, προσεκύνησεν ἑνὸς ἑκάD στου αὐτῶν τοὺς πόδας, λέγων· Συγχωρήσατέ μοι, Πάτρες ἅγιοι· ἐγὼ γάρ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα πάντων· αὐτοὶ μᾶλλον εὔχεσθε ὑπὲρ τῆς ἐμῆς μετριότητος. Ἠσπάσαντο δὲ αὐτὸν πάντες τῷ ἁγίῳ φιλήματι. Πᾶσα γὰρ ἡ πόλις ἦν συνηθροισμένη ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἕως μικροῦ θηλάζοντος ἐπὶ τῷ γεγονότι σημείῳ εἰς τοὺς κατηγόρους. Καὶ ἦσαν θαυμάζοντες, ὡς ἐθεώρουν μεμελανωμένα αὐτῶν τὰ πρόσωπα.

Digitized by Google

Εἶτα πάλιν ἐκαθέσθησαν οἱ ἐπίσκοποι, καὶ προσκαλεσάμενοι τοὺς κατηγόρους, ἔστησαν ἔμπροσθεν τῆς συνόδου, καὶ λέγει αὐτοῖς ὁ πάπας· Ἀκούσατε, πανάθλιοι, ἰδοὺ γεγόνατε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου, τοῦ γενομένου ὑμῶν ὁδηγοῦ ἐπὶ τῇ παρανόμῳ ὑμῶν κατηγορίᾳ, ἣν ἐποιήσατε κατὰ τοῦ δικαίου ἀνδρὸς τούτου. Ἰδοὺ ἔσεσθε δοῦλοι ἀπὸ τῆς σήμερον ἡμέρας καὶ ὑμεῖς καὶ τὸ σπέρμα ὑμῶν πάσας τὰς ἡμέρας τοῦ αἰῶνος, ὅσοι τῷ σημείῳ τούτῳ ὃ ὥρισεν ἐν ὑμῖν τοῦ ἔσεσθαι ὁ Θεὸς, καὶ ὅσοι γεννηθῶσιν ἐν τῇ πόλει ἐξ ὑμῶν, ἔσονται οἰκέται τῶν μελλόντων προχειρισθῆναι ἐπισκόπων ἐν τῇ ἐκεῖσε οὔσῃ καθολικῇ καὶ ἀποστολικῇ μεγάλῃ Ἐκκλησίᾳ. Πᾶς δὲ ἐπίσκοπος, ὅστις ἐκ τοῦ σπέρματος ὑμῶν εἰς ἱερωσύνην προχειρίσηται, ἐπιγνόντος αὐτοῦ τὸ τί ὑμεῖς ἐπράξατε, ἔστω αὐτῷ ἀνάθεμα τῶν ἁγίων ἀποστολικῶν καὶ τῶν ἁγίων Πατρῶν τῶν ἐν ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς συνελθόντων συνόδοις. Ὅστις δὲ τῶν μεθ' ἡμᾶς ἐκ τῶν μελλόντων χειροτονεῖσθαι ἐπισκόπων ἐν τῇ τῶν Ἀκραγαντίνων Ἐκκλησίᾳ τῆς Σικελῶν ἐπαρχίας, τὸν παρ' ἡμῶν ὁρισθέντα εἰς αὐτοὺς ὅρον παρέλθῃ, καὶ μὴ φυλάξῃ, καὶ χειροτονήσει τῆς κατ' αὐτῶν γενεᾶς πρεσβύτερον ἢ διάκονον ἢ κληρικὸν, ἢ λαϊκῷ ἐξ αὐτῶν πιστεύσει τι τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἔστω αὐτῷ ἀνάθεμα. Καὶ ἀπεκρίθη πᾶσα ἡ σύνοδος· Ἀνάθεμα, ἀνάθεμα, ἀνάθεμα. Εἶπον δὲ τῷ ἁγίῳ Γρηγορίῳ· Ἔντειλαι περὶ αὐτῶν, καὶ ἀπόστειλον αὐτοὺς ἐντεῦθεν. Καὶ προσκαλεσάμενος ὁ ἅγιος Γρηγόριος τοὺς δύο τριβούνους καὶ τοὺς ἄρχοντας τῆς πόλεως, παρέδωκεν αὐτοῖς τοὺς κατηγόρους, λέγων· Τούτους τοὺς ἀνθρώπους ἄρατε ἐν τῇ πόλει ὑμῶν, καὶ ἀπόδοτε εἰς τοὺς οἴκους αὐτῶν, ἕως τοῦ Θεοῦ κελεύοντος καὶ ἡμεῖς καταλάβωμεν ἕως ἐκεῖσε. Παραλαβόντες δὲ αὐτοὺς οἱ τριβοῦνοι καὶ οἱ ἄρχοντες τῆς πόλεως ἀπήγαγον ἐν τῷ τόπῳ, οὗ ἦσαν συνηγμένοι.

(26) Carpit hic Nyssenum prolatis ejus verbis, quæ paulo superius ascripsi (§ 2, p. 10); displicent nempe Gregorio nostro illæ voces τὰ ἐν τοῖς οὖσι φαινόμενα : quod vanitatem in pravis hominum studiis, non in rebus ipsis agnoscat. Cæterum Nyssenus post illa sententiam suam hoc modo explicavit : Καὶ μηδεὶς ὑπολάβοι κατηγορίαν εἶναι τῆς κτίσεως τὰ λεγόμενα· καὶ γὰρ ἂν εἰς τὸν πεποιηκότα πάντα διαβαίνοι τὸ ἔγκλημα, εἰ τούτων ἡμῖν δημιουργὸς ἀναφανείη, ὁ συστησάμενος ἐξ οὐκ ὄντων τὰ πάντα, εἴπερ ματαιότητος εἶη τὰ πάντα. Ἀλλ' ἐπειδὴ διπλῆ μέν ἐστιν ἡ τοῦ ἀνθρώπου κατασκευὴ, ψυχῆς σώματι συνδραμούσης· μεμέρισται δὲ κατηλλήλως ἑκατέρῳ τῶν ἐν ἡμῖν θεωρουμένων καὶ τῆς ζωῆς εἶδος· ἄλλη γὰρ ψυχῆς καὶ ἑτέρα σώματός ἐστι ζωή· ἡ μὲν γὰρ θνητὴ καὶ ἐπίκηρος· ὁ δὲ ἀπαθὴς καὶ ἀκήρατος· καὶ αὕτη μὲν εἰς τὸ παρὸν βλέπει μόνον, τῆς δὲ ὁ σκοπὸς εἰς τὸ διηνεκὲς παρατείνεται· ἐκεῖ οὖν πολλὴ διαφορὰ τοῦ θνητοῦ πρὸς τὸ ἀΐδιον, πρὸς τοῦτο φέρει τοῦ Ἐκκλησιαστοῦ ἡ φωνὴ, τὸ μὴ δεῖν πρὸς τὴν αἰσθητὴν ταύτην βλέπειν ζωήν· ἥτις συγκρινομένη πρὸς τὴν ὄντως ζωὴν, ἀνύπαρκτός τις καὶ ἀνυπόστατός ἐστιν. Id est : *Neque existimet quispiam ea quæ dicuntur, rerum conditarum accusationem esse. Revera enim in eum, qui omnia fecit, transiret criminatio, si eorum auctor is proderetur, qui ex iis, quæ non erant, condidit omnia; siquidem essent omnia vanitatis. Sed quoniam duplex est hominis constructio, cum anima concurrat cum corpore : convenienter autem utrique eorum, quæ in nobis considerantur, dispertitum est vitæ genus; alia enim est animæ, alia vita corporis : nam hæc quidem est mortalis, et in eam cadit interitus; illa autem impatibilis atque expers interitus : et hæc quidem aspicit tantum quod adest, illius autem scopus tendit ad æternitatem : quoniam igitur multum differt immortale a mortali, et æternum a temporario, eo spectat vox Ecclesiastæ, non oportere ad hanc sensilem intueri vitam : quæ si conferatur cum ea, quæ vere est vita, non est nec potest consistere.* (Hom. 1 in Eccl.) Porro ex hoc loco ostendit Montfauconius, falsum esse titulum codicis Coisliniani, qui opus hoc tribuit Gregorio Nysseno. (*Bib. Coisl.* p. 120.)

(27) Ascriptum erat in Codice ad marginem Διονυσ. Ἀλεξ. Dionysii scilicet Alexandrini eam fuisse interpretationem, quæ hic a Gregorio nostro rejicitur. At jam Dionysianum commentarium in Ecclesiasten inter ea numeravimus, quæ deperdita sunt.

Digitized by Google

valde pulchra reperta esse, divino testimonio docemur. Neque vero aut divinarum Litterarum sententiæ adversari fas est, aut cognitam manifestamque utilitatem et pulchritudinem et ordinem ipsum naturæ in iis, quæ sunt quæque visuntur, quomodocunque redargui par erat. Quin et homines priscos re centesque, qui rei rusticæ dediti terræ cultores, operumque studiosi fuerunt, sacris in Litteris commendari videmus, contraque qui negligentes et ignavi et desides sint, multis reprehendi : quandoquidem et initio, cum Deus generis nostri principem finxit, in paradiso collocavit : « Ut operaretur et custodiret illum [21]. » Et de Isaaco scriptum est : « Sevit in terra illa, et anno eodem hordeum invenit centuplicato (28). » Longum vero esset et grave, quæ de his exstant testimonia, vel evolvere vel referre. Novere enim omnes ea etiam, quæ e contrario ad reprehensionem otiosorum et segnium prolata sunt, quorum causa dicitur, « Viæ inertium stratæ spinis (29). » Ac rursum : « Vade ad formicam, o piger, atque æmulare vias ejus, et esto illa sapientior ; nam cum ei non sit agellus, neque habeat qui cogat, neque sub domino sit, parat æstate alimentum et multam in messe facit acervationem. Aut vade ad apem, et disce, quomodo operaria est, atque opus suum quam speciosum facit, cujus laboribus reges privatique ad sanitatem utuntur (30). » Magnus vero Paulus, os illud aureum, ne in esu quidem cessare quemquam et otiosum esse permittit [22]. Quomodo igitur cogitare **16** liceat, quæ in rerum natura videmus, ea vanitatem esse vanitatum? aut sententiam illam, quæ adducta est, « Quid habet amplius homo de universo labore suo, quo laborat sub sole ? » terræ opera significare ? Propter quæ potius honestus et industrius et Deo charus homo sit inventus, illud scilicet cura ejusmodi et laboris assiduitate consecutus, ut et egenos aleret, et hospites benigne acciperet, et alia Deo jucunda faceret.

Nam nisi sit, qui sudoribus suis et laboribus copiam sibi paret, ut et ipse abundet, et indigentibus commodare possit, qui comprobabitur, aut ad quem pertinere putabimus dictum illud : « Dispersit, dedit pauperibus : justitia ejus manet in sæculum sæculi [23] ? » Quare nihil ejusmodi designabat Ecclesiastes, sed illud in animo habuisse videtur, ut clare præciperet, ne quis unquam iis exuberare operibus vellet, quæ in detestata voluptate, atque in corruptelarum illecebris et in obscœnis corporis libidinibus versantur : aut in cupiditatibus iis et curis et servitute et ærumnis, quas homines inani gloriæ studio tolerant ; ex quibus non modo nullum omnino cepere fructum, sed sæpe, ingruente morborum cohorte, naturæ quoque vires amise-

A γονότα πάντα καλὰ λίαν ἐμαρτυρήθησαν · καὶ οὔτε τῷ λόγῳ τῆς θείας Γραφῆς οἷόν τέ ἐστι ἀντιφάσκειν, οὔτε τὴν διεγνωσμένην καὶ κατειλημμένην χρησιμότητα καὶ καλλονὴν καὶ τάξιν τῆς φύσεως τῶν ὄντων καὶ φαινομένων ὁπωσοῦν ἐνδιαβάλλειν προσῆκεν. Ἀλλὰ καὶ τοὺς τὰς γεωργικὰς ἐπιμελείας καὶ γηπονίας καὶ φιλεργίας ἐσχηκότας ἀνθρώπους παλαιούς τε καὶ νέους κατασεμνυνομένους εὑρίσκομεν ὑπὸ τῆς θείας Γραφῆς · ὡς ἔμπαλιν τοὺς ἀμελεῖς καὶ ἀργοὺς καὶ ῥαθύμους μέμψεσι πολλαῖς καθυποβεβλημένους. Ἐπειδὴ καὶ κατ' ἀρχὰς ἡνίκα τὸν γεννάρχην ἔπλασεν ὁ Θεὸς, ἐν τῷ παραδείσῳ ἔθετο, « Ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. » Γέγραπται δὲ καὶ περὶ τοῦ Ἰσαὰκ, ὡς « Ἔσπειρεν ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρε τῷ ἑνιαυτῷ ἐκείνῳ ἑκαστοστεύουσαν
B κριθήν · » καὶ μακρὸν ἂν εἴη καὶ φορτικὸν τὰς περὶ τῶν τοιούτων μαρτυρίας ἀνελίττειν καὶ φάσκειν. Δῆλον γάρ ἐστι πᾶσι καὶ τὰ κατ' ἐναντίωσιν εἰς μέμψιν εἰρημένα τῶν ἀέργων καὶ ὀκνηρῶν, δι' ὧν φησι · « Ὁδοὶ ἀέργων ἐστρωμέναι ἀκάνθαις · » καὶ πάλιν, « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος · ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, ὑπὸ δεσπότην ὢν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, πολλὴν δὲ ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστὶ, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται, ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται. » Ὁ δὲ μέγας καὶ χρυσόστομος Παῦλος παρακελεύεται, μηδὲ τὸ
C σύνολον τοὺς ἀργοὺς καὶ ῥαθύμους ἐσθίειν. Πῶς οὖν δυνάμεθα νοεῖν ἢ τὰ ἐν τοῖς οὖσι φαινόμενα ματαιότητα ματαιοτήτων, ἢ τὸ ἐπαγόμενον ῥητὸν καὶ φάσκον, « Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον, » τὰς περὶ τὴν γῆν ἐργασίας δηλοῦν ; ἐξ ὧν εὑρηται μᾶλλον ὁ φιλόκαλος καὶ σπουδαῖος καὶ θεοφιλὴς ἄνθρωπος διὰ τῆς τοιαύτης ἐπιμελείας καὶ φιλοπονίας, καὶ πτωχοὺς διατρέφων, καὶ ξένους φιλοφρονούμενος, καὶ τὰ ἄλλα τὰ ἀνδάνοντα τῷ Θεῷ δρῶν.

Εἰ γὰρ μὴ διὰ τῶν ἰδίων ἱδρώτων καὶ μόχθων πορίσοιτό τις ἑαυτῷ τὴν αὐτάρκειαν, ὡς εὐπορεῖν καὶ τοῖς ἐνδεέσι κιχρᾶν, ποῦ πληρωθήσεται, καὶ περὶ τίνος ῥηθήσεται τὸ φάσκον ῥητὸν, « Ἐσκόρπισεν, ἔδωκε τοῖς
D πένησιν · ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ; » Τοιγαροῦν οὐδὲν τῷ Ἐκκλησιαστῇ πρόκειται τοιοῦτον εἰπεῖν · ἀλλὰ μηδεμίαν περίσσειαν ἔχειν τὸν ἄνθρωπον λέγειν σαφῶς ὑποληπτέον ἐπὶ πάσαις ταῖς καθ' ἡδονὴν διαβεβλημένην πράξεσι, καὶ σωματικὴν καὶ σαρκικὴν εὐπάθειαν καὶ πονηρὰν ἀπόλαυσιν, καὶ τὰς ἐπὶ ταῖς ἀνθρωπίναις καὶ παρερχομέναις δόξαις ἐπιθυμίας, καὶ μερίμνας καὶ θητείας καὶ κακουχίας · ὧν οὐ μόνον οὐδὲν ἀπώναντο τὸ παράπαν, ἀλλὰ πολλάκις καὶ νοσημάτων ἐσμὸν, καὶ φυσικῆς ἀλκῆς στέρησιν εὗρον · καὶ πρὸς πέρας

[21] Gen. II, 15. [22] I Cor. x, 31. [23] Psal. CXI, 9.

(28) Gen. XXVI, 12. Latina nostra non reddunt κριθήν.

(29) Prov. XV, 19. In Latinis sic redditur : *Iter pigrorum quasi sepes spinarum.*

(30) Prov. VI, 6. Sed apud LXX legitur, Καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ.

Digitized by Google

ἐναντιον τῆς ἰδίας ἐφέσεως εἰς ἀπορίαν καὶ πτωχίαν ἐκ περιουσίας κατήντησαν. Τοιοῦτοι γάρ εἰσιν οἱ μοχθοῦντες διὰ μόνην τὴν ὑπὸ τοῦτον τὸν ἥλιον ἀπόλαυσιν καὶ τρυφὴν καὶ δόξαν καὶ δυναστείαν· οἱ δὲ μοχθοῦντές τε καὶ κοπιῶντες διὰ τὰς ὑπὲρ τὸν ἥλιον ἐλπιζομένας ἀμοιβὰς οὐρανίας καὶ θείας, πολλὴν ἔχουσι περίσσειαν ἐν τοῖς ἰδίοις μόχθοις· οἵους ἴσμεν τοὺς πανευφήμους ἀποστόλους, τοὺς ἁγίους προφήτας, τοὺς τῆς ἀληθείας καὶ τῆς πίστεως μάρτυρας, καὶ τοὺς παραπλησίως τούτοις τὴν ἀρετὴν ἐξασκήσαντας, καὶ πᾶσαν τὴν κατὰ τὸ δυνατὸν δικαιοσύνην ἐργασαμένους, ὧν ἕκαστος ἔλεγεν ἔργοις αὐτοῖς· « Αἱ χεῖρες αὗται καὶ ἐμοὶ καὶ ἄλλοις διηκόνησαν· » καὶ πάλιν, « Ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. »

A runt : atque alio plane, quam optarent, exitu, ad inopiam et paupertatem ex rerum omnium affluentia reciderunt. Tales nimirum sunt, quorum labores una illa, quæ sub sole hoc habentur, oblectamenta et delicias et gloriam et dominationem spectant. Verum qui laborem et operam ponunt in iis quæ supra solem speramus cœlestia Dei præmia, large in ipsis ærumnis abundant : quemadmodum contigisse scimus celeberrimis apostolis, sanctis prophetis, ipsis veritatis et fidei martyribus, cæterisque illis, qui virtutem æque coluerunt, et justitiæ partes omnes pro viribus egere : quorum singuli operibus ipsis dicebant, « Manus hæ et mihi et aliis ministraverunt (31). » Et rursum : « Operantes manibus propriis [34]. »

Τοὺς οὖν τὸν ἴδιον μόχθον ἐν τῇ παρούσῃ ζωῇ καταβαλλομένους διὰ τὴν κτῆσιν τῶν ἀγαθῶν τῶν ὑπὲρ τὸν ἥλιον, καὶ τὴν ἀκήρατον κληρονομίαν ἐν οὐρανοῖς, πολλὴν περίσσειαν ἔχειν εἰδὼς ἐν τῷ μόχθῳ αὐτῶν, δηλονότι τὴν ἀνεκλάλητον καὶ μακαρίαν τῶν ἁγίων ἀγγέλων χαρὰν καὶ τῆς θείας δόξης τὴν ἀγαλλίασιν, ἐξελέγχει κατὰ ἀντιδιαστολὴν τούτων τοὺς τὸν μοχθηρὸν μόχθον μοχθοῦντας καὶ κοπιῶντας μέχρι τῆς παρούσης ζωῆς τῆς ἐπικήρου καὶ φθειρομένης καὶ τελούσης ὑπὸ μόνον τοῦτον τὸν ἥλιον. Ἀμέλει τοίνυν ἐμπεδῶν τὴν ἡμετέραν ὑπόληψιν ὁ Ἐκκλησιαστής, καὶ δεικνὺς, ὡς οὐδὲν τῶν ὄντων καὶ φαινομένων ἐστὶ μάταιον, ἀμέσως ἐπήγαγε·

B Itaque quia noverat, quicunque laborem suum in præsenti vita impendunt, bonorum, quæ supra solem sunt, acquirendorum, et immortalis illius hæreditatis **17** adeundæ causa, eosdem magnum ferre laboris sui fructum, ineffabilem scilicet beatamque sanctorum angelorum lætitiam et divinæ gloriæ gaudia, idcirco, istis ex adverso propositis, eos redarguit, qui perverso studio pravoque labore vires insumunt suas vitæ hujus causa, quæ fluxa est et corruptibilis, ac finem hoc sub sole habet. Tum sibi utique constans Ecclesiastes, et opinionis assertor nostræ, quo ostenderet, eorum, quæ sunt, quæque visuntur, nihil vanum esse, subjecit protinus,

§ IV.

Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε.

C VERS. 4. *Generatio præterit et generatio advenit, terra autem in sæculum stat* (32).

Μονονουχὶ γάρ φησι· Κατέλαβες, ἄνθρωπε, καὶ διέγνως τῶν ἰδίων μοχθηρῶν σπουδασμάτων καὶ τῶν φαύλων ἔργων καὶ πονηρῶν ἐπιτηδευμάτων τὴν ματαιότητα, δι' ὧν εὗρες τοὺς γεγεννηκότας σε, καὶ τοὺς ἐκείνους ἔτι τεκόντας, παροιχηκότας, καὶ σὲ πρὸς τὸ στάδιον τῆς παρούσης ζωῆς ἀντ' ἐκείνων μετακληθέντα διὰ τῆς ἐξ ἐκείνων γενέσεως. Οὐκοῦν συνήσεις καὶ καθομολογήσεις ἀληθῆ τὴν δόξαν τῶν παρ' ἐμοῦ λεγομένων καὶ φασκόντων, ὡς « Ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης; » Εἰ γὰρ οἱ κατ' οὐσίαν καὶ φυσικὴν ὕπαρξιν γεγονότες καὶ ὄντες, ἀπῴχοντο τῆς παρούσης ζωῆς, καὶ πρὸς τὸν χοῦν καὶ τὴν γῆν, ἐξ ἧς ἐλήφθησαν, ἀνελύθησαν, καὶ γεγόνασιν ὡς οὐδαμῶς ὑπάρξαντες, ὅσον ἦκεν εἰς τὴν πρόχειρον καὶ φαινομένην ὑπόληψιν, σχολῇ γ' ἂν ὑπολαμβάνειν δέον ἔτι περιφυλάττεσθαι καὶ διαμένειν τὰς σαρκικὰς καὶ βδελυκτὰς ἡδονὰς, καὶ τὰς καπνοῦ δίκην παρερχομένας ἀνθρωπίνας δόξας καὶ καταδυναστείας, αἳ συμβεβηκότως ὑφίστανται κατὰ τὴν αὐτεξούσιον ῥοπὴν καὶ βούλησιν τῶν μισοκάλων γνωμῶν, καὶ θᾶττον ἀπογίνονται πάλιν, καθὼς ὁ ὑπὸ λαίλαπος ἐλαυνόμενος χοῦς, καὶ πτῆσις ἱπταμένων ὀρνέων, καὶ ἴχνη ποντοπορούσης νηός.

D Perinde ac si diceret : Nosti jam, o mortalis, et assecutus es, flagitiosorum studiorum pravorumque operum atque improbæ contentionis tuæ quanta sit vanitas : cum et eos qui te genuerunt, et horum item parentes jam præteriisse deprehenderis, et ex illis prognatus ad præsentis vitæ stadium eorum te loco vocatum videas. Nonne igitur intelliges, ac vera illa fatebere, quæ a me dicta sunt in eam sententiam, « Vanitatem esse vanitatum, et omnia vanitatem? » nam si quos olim re et natura exstitisse constat, jam ex hac vita abiere, atque in pulverem terramque, unde exordium habuerant, conversi, quantum ex iis, quæ apparent, opinari obvium est, ita esse desierunt, quasi nunquam exstiterint; nullo modo existimare quis possit, bene constitutas ac stabiles esse fœdas corporis voluptates, aut fumi instar evanescentes humanos fastus et tyrannicos dominatus : in quibus nihil solidi insit, nihil diuturni, et in voluntatis arbitrio totum atque in perversi animi consilio sit : ut omnia rursum quasi pulvis turbine agitatus, aut sicut præterlabentium avium volatus, aut navis mare tranantis vestigia, cito dispereant (33).

[34] I Cor. IV, 12.

(31) Act. XX, 34. Sed Lucæ hæc sunt verba : Αὐτοὶ δὲ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.

(32) Olympiodorus habet, ἡ δὲ γῆ.

(33) Liceat mihi hoc loco particulam orationis proferre, quam habuit in festum Kalendarum discer-

Digitized by Google

18 « Enimvero terra in sæculum stat: » eadem quippe esse perseverat, et qualis majorum ætate fuit, talem se oculis ostendit tuis (34); quæ ex ejus, qui condidit libravitque, consilio atque præscripto fructiferas quotannis stirpes et germina in humanæ vitæ alimenta emittit: tum postquam ad mortem prope enecta posteritatem simul suam hiemali glacie atque algore enecavit, reviviscit iterum, iterumque virescit, et singula parit effunditque, quæcunque ei Conditoris et effectoris consilio ab ipsis primordiis designata sunt. Quare hanc tu quoque, quatenus nempe par erat, imitari si voluisses, ut ratione præditus rationis expertem sequerere, animoque pollens sensu carentem, atque ad Dei imaginem similitudinemque factus eam, quæ tua causa condita est; profecto naturæ tu etiam limites nunquam esses transgressus: idemque voluntatem et leges Conditoris tui servares; nec solum quæ nulla te utilitate juvent, prætermitteres, sed etiam ea unice sectarere, quæ ad Dei gloriam deducunt, viamque ad hæreditatem illam muniunt, quam ultra solem speramus. Itaque stare tu quoque in sæculum videreris, non secus ac terra; vel potius jam supra terram: quod ea quidem aliquando præteritura sit, te vero beata atque æterna supernarum virtutum vita maneat (35). Addit deinde:

A « Ἡ μέντοι γῆ εἰς τὸν αἰῶνα ἕστηκεν. » Ἡ αὐτὴ γὰρ διαμένει καὶ καθοράται, καθὼς ἐπὶ τῶν προγόνων, οὕτω καὶ τοῖς σοῖς ὀφθαλμοῖς κατὰ τὴν βουλὴν καὶ τὸν ὅρον τοῦ κτίσαντος καὶ ἀπαιωρήσαντος αὐτὴν, ἐτησίως ὠδίνουσα τὰς καρπογόνους φυὰς καὶ βλάστας πρὸς σύστασιν τῆς ἀνθρωπίνης ζωῆς· εἶτα καὶ τρόπον τινὰ νεκρουμένη καὶ θνήσκουσα, καὶ τὰ ἔκγονα συννεκροῦσα διὰ τοῦ χειμωνικοῦ κρυμοῦ καὶ τῆς ψύξεως, καὶ πάλιν ἀναβιοῦσα καὶ ἀναθάλλουσα καὶ φύουσα καὶ βλαστάνουσα τὰ διορισθέντα πρότερον αὐτῇ καὶ καταρχὰς παρὰ τῆς ποιητικῆς βουλῆς τοῦ δημιουργήσαντος. Ἐὰν οὖν ἠβουλήθης καὶ σὺ μιμήσασθαι κατὰ τὴν πρέπουσαν μίμησιν ὁ λογικὸς τὴν ἄλογον, ὁ ἔμψυχος τὴν ἄψυχον, ὁ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγονὼς τὴν διὰ σὲ

B γεγονυῖαν, εὑρέθης ἂν καὶ τοὺς ὅρους φυλάττων τῆς φύσεως, καὶ τὴν βουλὴν καὶ τοὺς νόμους συντηρῶν τοῦ Ποιήσαντος, καὶ τὰ πρὸς μηδεμίαν ὄνησιν συντελοῦντα τὸ παράπαν οὐκ ἔπραττες· ἀλλὰ μόνα τὰ συμφέροντα καὶ συντείνοντα πρὸς τὴν τοῦ Θεοῦ δόξαν, καὶ τὴν ὑπὲρ ἥλιον ἐλπιζομένην κληρονομίαν· οὕτω γὰρ ἂν ἱστάμενος εἰς τὸν αἰῶνα καὶ σὺ παραπλησίως εὑρέθης τῇ γῇ· μᾶλλον δὲ καὶ ὑπὲρ τὴν γῆν, ὡς ταύτης μέν ποτε καὶ παρελευσομένης, σοῦ δὲ συμπαραθησομένου τῇ μακαρίᾳ καὶ ἀϊδίῳ ζωῇ τῶν ἄνω δυνάμεων· εἶτά φησιν·

§ V.

19 Vers. 5. *Oritur sol et occidit sol, et ad locum suum ducit* (36).

C *Ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει.*

Quasi dicat: Nec vero sola tellus præscriptos sibi a Deo terminos servat, mirabili plane constituta statu; quæ uno Conditoris nutu cum medio orbium cœlestium spatio suspensa, nulla ex parte

Μονονουχὶ φάσκων· Οὐκ ἔστι δὲ μόνη τους ὅρους τοὺς δεδομένους αὐτῇ θεόθεν ἡ γῆ συντηροῦσα, καὶ τὴν παράδοξον ἔχουσα στάσιν, ἀπηωρημένη μέσον τῆς οὐρανίας καὶ κυκλοφορουμένης κινήσεως, μό-

tissimus Amaseæ episcopus Asterius: præclara enim continet, et quæ Gregorii nostri sententiæ respondeant: Καὶ οἱ τῆς κορυφῆς τῶν ἀξιωμάτων ἀνθρωπικῶν ἐπιβάντες, οἱ πολυθρύλλητοι ὕπατοι τῇ ματαιότητι δαπανῶσι τὸν πλοῦτον σωροὺς χρημάτων σκορπίζοντες, εἰς ἀκαρπίαν δικαιοσύνης, καὶ καρπὸν ἁμαρτίας· ὧν τοσοῦτον περιφανὴς ἡ ἀφροσύνη, ὅσον ὑψηλὸς ὁ θρόνος . . . . καὶ τί τὸ τέλος; ματαιότης. Μετὰ πάντα τάφος μικρὸς, ἐσθῆς ὀλίγων ὀβολῶν τὸ σωμάτιον περιστέλλουσα, λήθη μετ' ὀλίγον, τὸ ἀναγκαῖον πάθος τοῦ χρόνου, πάντα τὰ σπουδασθέντα καλύπτουσα· κρίσις ἐπὶ τούτοις Θεοῦ, καὶ τῆς κακῆς προαιρέσεως κόλασις ἀπαραίτητος. Ποῦ οἱ ὕπατοι; . . . . ἆρα οὖν, κατὰ τὸν σοφὸν Ἐκκλησιαστὴν, οὐ πάντα ὅσα τοιαῦτα, ματαιότης ματαιοτήτων, καὶ φάσματά ἐστιν τὰ ἀξιώματα ἀνυποστάτων ὀνείρων, τέρψαντα πρὸς ὀλίγον εἶτα παραδραμόντα, ἀνθήσαντα καὶ μαραν-

D θέντα. Id est: *Consules etiam ipsi fama inclyti, et ad fastigium humanarum dignitatum evecti, per vanitatem opes exhauriunt, acervos nummorum dispergunt, non modo sine fructu, sed etiam cum peccato: ut eorum quam sublimis est thronus, tam insignis dementia videatur. . . . et quis, quæso, finis? vanitas. Post omnia tumulus exiguus, paucorum obolorum vestis corpusculum ambiens: ac paulo post, necessarium temporis malum, oblivio, quæ cuncta, circa quæ sudaveris, tenebris involvat. Sed et judicium postea divinum, et indeprecabilis mali propositi vindicta atque pœna. Ubinam consules?. . . . non igitur vere juxta sapientem Ecclesiasten hæc talia cuncta vanitas vanitatum? ac vel amplissimæ dignitates inania quædam visa et ostenta somniorum? quæ, cum ad breve tempus oblectarunt, deinde diffluunt, et cum aliquantum floruerint, subito marcescunt.* (*Bibl. PP.* Ducei tom. II, p. 586). Vide etiam Chrysostomi homiliam in Eutropium, t. III Oper. p. 381.)

(34) Non ingrata, opinor, mathematicis futura est hæc de terræ stabilitate explicatio, quam sane quidam, quibus commentarius hic noster ignotus erat, naviter occuparunt. Nam Drusius externus theologus ad eumdem Ecclesiastæ locum hæc olim adnotavit: « Hujus loci est Psal. CXIX, 90: *Firmasti terram et perstat.* Quidam, *stat immota:* dubito an bene. Nam moveri quandoque terram docent nos et S. Litteræ, et ipsa quoque experientia. Puto rectum *stat*, non abit, non recedit, nempe ut homines, ut sæcula solent. » (*Crit. Sacr.* t. III, p. 70.)

(35) Totum hunc locum sic est interpretatus Hieronymus: « Prima recedit generatio Judæorum, et succedit generatio de gentibus congregata; terra autem tandiu stat, quandiu Synagoga recedente, Ecclesia omnis introeat. Cum enim prædicatum fuerit Evangelium in toto orbe, tunc erit finis. Imminente vero consummatione, cœlum et terra pertransibunt. Et signanter non ait: *Terra in sæculis stat*, sed *in sæculum*. Porro laudamus Dominum non in uno sæculo, sed in sæculis sæculorum. »

(36) Apud LXX leges καὶ ἀνατέλλει . . . in Latinis illud ἕλκει redditum est *revertitur*; Aquila pro ἕλκει posuit εἱσπνεῖ, idque Symmachus et Theodotio interpretati sunt, *recurrit*. Hieronymus in antiquis exemplaribus Latinis invenit *ducit*, aut *trahit*.

Digitized by Google

νῃ τῇ βουλῇ τοῦ Ποιήσαντος, καὶ μηδαμόθεν ἐχουσα τὸ προσάπτον· ἀλλὰ πανταχόθεν τῶν οὐρανίων διαστημάτων ἐξ ἴσου σαφῶς ἀφισταμένη, καὶ τὴν ὡρισμένην ἀποπληροῦσα θητείαν. Ἀλλ' ἴδε καὶ τὸν ἥλιον, ἄνθρωπε, συνεχῶς ἀνατέλλοντα καὶ πάλιν δύνοντα, καὶ πρὸς τὸν τόπον αὐτοῦ, τουτέστι πρὸς ἑαυτόν, ἕλκοντα πάσας τὰς ὄψεις τῶν κατοικούντων τὴν γῆν. Ὅπου γὰρ ὁ ἥλιος ὑπάρχων εὑρεθῇ, κἂν τε κατὰ ἀνατολὰς, κἂν τε κατὰ δυσμὰς, ἐκεῖ καὶ τὰς ἰδίας αἴγλας καὶ λάμψεις ἐπιφερόμενος εὕρηται, πρὸς ἃς ἐφέλκονται καὶ τῶν ζώων πάντων αἱ ὄψεις ἐρασμίως ἔχουσαι πρὸς τὸ φῶς αὐτῶν· οὐδὲ γὰρ ὁ ἥλιος τὴν περιφάνειαν καὶ τὴν δόξαν τῆς ὑπὲρ γῆν λάμψεως ἀεὶ φιλονεικῶν ἔχειν, οὔτε τὰς ὑπὸ γῆν καταδύσεις αὐτοῦ καὶ τῶν ἰδίων ἀκτίνων ποτὲ παραιτούμενος καὶ διαναβαλλόμενος, διὰ τὴν ἐντεῦθεν αὐτῷ προσγινομένην ἀφάνειαν καὶ συχνὴν ἀδοξίαν, εἰς τὸ καθ' ἡμᾶς ἡμισφαίριον λάμπει· ἀλλὰ τοῦ Ποιητοῦ τοῖς ὅροις πειθόμενος θητεύει τὴν τοσαύτην θητείαν ὡς εὐγνώμων οἰκέτης. Σὺ δὲ καὶ τοὺς φυσικοὺς ὅρους ἀμείψας (τὰ γὰρ ἄνω σε φρονεῖν καὶ ζητεῖν εἰσηγοῦνται, καὶ τὰ ἐν τῷ νοητῷ δηλαδὴ κόσμῳ φαντάζεσθαι καὶ διώκειν διὰ τῶν νοητῶν δυνάμεων τῆς νοερᾶς σου ψυχῆς), χείρων εὕρησαι καὶ τῆς γῆς καὶ τοῦ ἡλίου τῶν ἀψύχων καὶ μηδεμίαν ἐχόντων λογικότητος ἔμφασιν. Πῶς οὖν οὐ ματαιότης ματαιοτήτων μετὰ τῶν μοχθηρῶν σου καὶ φαύλων ἐνθυμημάτων καὶ λόγων καὶ πράξεων καὶ σὺ αὐτὸς νομισθήσῃ; κατὰ ἀλήθειαν μὲν ἐκείνων ὄντων ματαιοτήτων, σοῦ δὲ ταῖς ἐκείνων ἀνυπαρξίαις ἀπεικασμένου.

Διὰ τοῦτό φησιν Δαβὶδ ὁ προφήτης· « Ἄνθρωπος ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. » Παράδοξον τῷ ὄντι τὴν ἀκριβολογίαν τῆς λέξεως περὶ τῆς ἀνθρώπου φύσεως ὁ προφητικὸς ἐποιήσατο λόγος. Καὶ γὰρ ἐπειδὴ τῶν παρὰ Θεοῦ γεγονότων καὶ κατ' οὐσίαν καὶ φυσικὴν τὴν ὕπαρξιν λαβόντων οὐδὲν εὕρηται γεγονὸς μάτην· καὶ τούτου χάριν οὐδὲ ματαιότης ὠνόμασται κατὰ τὸ ἀκόλουθον· διὰ τοῦτο καὶ τὸν ἄνθρωπον οὐχὶ ματαιότητα προσηγόρευσεν· ἀλλὰ ματαιότητι προσηκόντως ἀπείκασε διὰ τὰς κατὰ συμβεβηκὸς αὐτῷ προσπαρεισεκκριμένας ἔξωθεν, καὶ συμπαρυφισταμένας πρὸς βραχὺ πονηρὰς πράξεις ἐξ ἀβουλίας. Ὁ γὰρ μηδαμῶς τοὺς φυσικοὺς ὅρους ἀλωβήτους φυλάξας, ἀλλ' ἐξεστηκὼς τούτων πάντη, καὶ παρατραπεὶς ὅλως εἰς τὰς παρὰ φύσιν ἐνεργείας καὶ πονηροπραξίας, ματαιότης μὲν οὐκ ὀνομασθήσεται κατὰ τὸν ποιητικὸν σκοπὸν τοῦ διαπλάσαντος αὐτὸν καὶ δημιουργήσαντος καὶ τὴν κατ' οὐσίαν καὶ φυσικὴν ὕπαρξιν ἐξεταζόμενος καὶ κρινόμενος. Διὰ δὲ τὸ μηδὲν ἔχειν παρεπόμενον ταῖς φυσικαῖς καταστάσεσι καὶ τῇ βουλῇ τοῦ Ποιήσαντος ἔργον σύμφωνον καὶ κατάλληλον, ὁμοιοῦσθαι λέγεται δικαίως τῇ ματαιότητι, οὐχ ὡς γεγονὼς μάτην, ἀλλ' ὡς ζήσας ματαίως, καὶ μηδεμίαν ἀγαθῆς μνήμης ἔμφασιν τῷ βίῳ καταλιπών· « Μνήμη γὰρ δικαίου μετ' ἐγκωμίων, » φησί· καὶ

A sustentetur, cœlestibus undique intervallis æqualiter perspicueque distat, et definita sibi servitute defungitur. Quin solem etiam intuere, o mortalis, quotidie exorientem atque occidentem, qui ad locum suum, id est ad se ipsum, omnium, quicunque terram incolunt, oculos adducit. Nam sol quidem sive ad ortum versetur, sive ad occasum, semper fulgorem inde suum et radios effundere visus est: ad quos animantium omnium convertunt se oculi, lucis illius amore illecti. Sol nempe dum hemisphærium hoc nostrum illustrat, neque ut splendorem pulchritudinemque luminis sui supra terram perpetuo ostentet, contentione ulla nititur; neque occasus sui obscuritatem erepta sibi specie illatam aversatus, statas radiorum declinationes evitat unquam aut differt: sed Conditoris

B præscriptis sic obtemperat, ut servitutem tantam quasi benevoli animi verna servire videatur. Tu vero naturæ terminos transgressus (nam superna ut cogites et inquiras, utque animi vi et intelligentia quidquid mundus ille spiritalis habet mediteris ac persequaris, tibi suadent), tu, inquam, et terra et sole pejor inventus es, inanimes licet illi sint, nullumque rationis indicium præ se ferant. Quidni igitur vanitas vanitatum tu quoque una cum flagitiosis pravisque cogitationibus et dictis atque factis tuis habearis? esto hæc quidem revera vanitates sint, tu levitatem eorum similitudine referas.

C **20** Quamobrem dixit David propheta: « Homo vanitati similis factus est: dies ejus sicut umbra prætereunt (57). Cujus quidem in verbis mira plane atque exquisita inest de humana natura locutio: nam cum in iis, quæ divinitus condita et ad stabiles naturæ leges constituta sunt, nihil a Deo sine consilio factum, eaque de causa nihil, quod vanitas jure appelletur, inveniri possit; propterea hominem nequaquam vanitatem dixit: sed tamen pravorum operum ergo, quæ extrinsecus ascita, simul cum ipso ex imprudentia ad breve tempus exsistunt, vanitati recte comparavit. Qui enim naturæ fines non modo læsit, sed etiam longe transgressus est, atque ad agendi rationem naturæ

D contrariam et ad prava quæque opera deflexit, non is quidem vanitas denominabitur, siquidem consilii ejus et facti, qui formavit perfecitque, ratio habeatur, et hujus ipsius natura et constitutio ad amussim examinetur: at, quatenus opere caret, quod et naturæ respondeat suæ, et Conditoris voluntati consonum ac consentaneum sit, jure vanitati similis fieri dicitur, non quasi temere factus, sed tanquam temere vivens, ut nullum bonæ memoriæ indicium posteritati relinquat. Nam, ut scriptum est: « Memoria enim justi cum laudibus (58): » et rursus: « In memoria æterna erit

(57) Psal. CXLIV, 4, qui in Latinis est centesimus quadragesimus tertius. Theodotio habet ἀτμίδι pro ματαιότητι, nempe *vapori*.

(58) Prov. X, 7. Apud LXX legimus Μνήμη δικαίων μετ' ἐγκωμίων.

Digitized by Google

justus [38] ; » quorum (39) plane expers cum sit, qui perverse flagitioseque vitam egerit, vanitati merito comparatus est. Jam addit :

A πάλιν, « Εἰς μνημοσύνην αἰώνιον ἔσται δίκαιος · » ἅπερ οὐκ ἔχων ὁ φαύλως καὶ μοχθηρῶς ἐνταῦθα πολιτευσάμενος τῇ ματαιότητι προσηκόντως ἀπείκασται. Εἶτά φησιν·

§ VI.

VERS. 6. *Oriens ipse ibi vadit ad austrum, et gyrat ad aquilonem.*

Jam obiter Ecclesiastes elementorum sensu carentium obsequium enuntiat et famulatum, quæ ex ejus præscripto, qui condita ordinavit atque distinxit, eodem gyro eamdem ineunt ac redeunt viam : atque hinc ut coerceret comprimeretque elationem humanæ mentis, atque ab operibus naturæ oppositis ad justa et naturæ consentanea deduceret ; nihil amplius quam quæ oculis usurpamus, commemoravit : quod nempe, ut jam diximus, **21** ad tirones etiamtum et nondum satis eruditos sermonem haberet ; ejusque rei causa immensum tantummodo atque interminatum solis iter describit, dicendo : « Et gyrat ad aquilonem. »

Nec tamen diserte dixit, utrum, ut quidam ex opinione sua tradiderunt, infra terram commeans ad horizontem redeat orientalem, et quantum orbis terrarum infra nos est, radiis illustret ; an, ut alii arbitrantur, eodem oblique revertatur? Nihil, inquam, hujusmodi aperte indicavit : quippe illud *gyrat* utroque modo accipere quis possit, et in utramque sententiam, ut libet, explicare atque pertrahere (40). Cæterum solem per inferius hemisphærium discurrere, et ad horizontem iterum remeare verissime demonstratur argumento a cæterorum astrorum, quæ fixa, quæque errantia sunt, concitatioribus motibus et ordinibus ad rem confirmandam desumpto. Addidit sane :

Ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται πρὸς νότον, καὶ κυκλοῖ πρὸς βορρᾶν.

Τὴν τῶν ἀψύχων στοιχείων εὐγνώμονα θητείαν, καὶ τὴν αὐτὴν πρὸς τὰ αὐτὰ περιτροπὴν καὶ παλινδρόμησιν διὰ τὴν τοῦ κτίσαντος καὶ τάξαντος καὶ διορίσαντος βουλὴν διεξοδικῶς ὁ Ἐκκλησιαστὴς ἐξαγγέλλει · κἀντεῦθεν ἐκδειματῶσαι καὶ συστεῖλαι τὸ φρύαγμα τῆς ἀνθρωπίνης γνώμης ἀπὸ τῶν ἀλλοτρίων ἔργων τῆς φύσεως, καὶ πρὸς τὰς κατὰ φύσιν δικαίας B πράξεις ἀνθελκῦσαι βουλόμενος · οὐδὲν δὲ πλέον τῶν φαινομένων ἐξεῖπεν · ἄτε δὴ, καθὼς ἔφθην εἰπὼν, πρὸς εἰσαγομένους καὶ τοὺς ἀτελεστέρους τὸν λόγον ποιούμενος · ἀλλὰ μόνον τὴν ἁπλετον καὶ παντελῶς ἀπέραντον διαγράφων τοῦ ἡλίου πορείαν διὰ τοῦ φάναι· « Καὶ κυκλοῖ πρὸς βορρᾶν. »

Οὐ μὴν ἐναργῶς εἶπε, πότερον, ὥς τινες ὑπειλήφασιν καὶ κατήγγειλαν, ὑπὸ τὴν γῆν διάττων οὕτως ἐπάνεισι πρὸς τὸν ἀνατολικὸν ὁρίζοντα, καὶ παντὶ τῷ καθ' ἡμᾶς κόσμῳ τὰς αἴγλας ἀφίησιν · ἢ, καθὼς ἄλλοι δοξάζουσιν, ἐγκαρσίως ποιεῖται τὴν παλινδρόμησιν ; Οὐδὲν τοιοῦτον ἐπεσημήνατο φανερῶς · τὸ γὰρ, *Κυκλοῖ*, τὴν ἑκατέραν ὑπόληψιν τοῖς βουλομένοις παρίστησι · διαιρεῖται γὰρ καὶ μερίζεται καὶ πρὸς ταύτην καὶ πρὸς ἐκείνην τοῖς βουC λομένοις. Κἂν ὁ τῆς ἀληθείας λόγος τὸ ὑπὸ γῆν ἡμισφαίριον διατρέχοντα καὶ πρὸς τὸν ὁρίζοντα πάλιν ἀποκαθιστάμενον διαδείκνυσι ταῖς τῶν ἄλλων ἀστέρων τῶν ἀπλανῶν καὶ πλανωμένων ἐναργεστέραις κινήσεσι καὶ καταστάσεσιν εἰς βεβαίωσιν κεχριμένος. Ἀμέλει τοίνυν ἐπήγαγε ·

§ VII.

Gyrat gyrans, vadit spiritus, et in circulos suos revertitur spiritus (41)

Universum hunc mundum ad circuli rationem

Κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.

Κυκλικῶς ἡμᾶς ὁ σοφὸς Ἐκκλησιαστὴς εἰσηγεῖ-

[38] Psal. III, 6.

(39) Apud LXX, ordo verborum est, Αὐτὸς ἀνατέλλων ἐκεῖ.. . .

(40) Erant ea quoque ætate astronomi aliquot, qui de mundo deque planetarum orbitis ac de telluris forma si minus vera, at veris tamen propiora traderent. Sed iis, ut fit, adversabantur non pauci, qui aniles fabellas, quas imberbes didicerant, religiose retinendas putabant ; quorum facile princeps fuit Cosmas Indicopleustes, proximus eorum temporum : scribebat enim circa annum 540, aut serius aliquanto. Is porro, cum de plagis dixisset quæ habitantur, ac de iis quæ incolas nullos habere ferebantur, hæc de solis cursu adjecit : Τούτων οὖν οὕτως ἐχόντων, ἐροῦμεν, λαμβάνοντες μὲν κατὰ τὴν θείαν Γραφὴν, ἐξ ἀνατολῶν τὸν ἥλιον πορευόμενον διὰ τοῦ ἀέρος τὰ νότια μέρη, ὑφούμενον καὶ φαίνοντα ἐπὶ τὸν βορρᾶν πάσῃ τῇ οἰκουμένῃ· τὸ δὲ ὕψος τῆς γῆς τὸ βόρειον καὶ δυτικὸν μεσολαβοῦν, ποιεῖ νύκτα περαιτέρω τῆς γῆς ταύτης κατὰ τὸν Ὠκεανὸν καὶ τὴν γῆν τὴν πέραν τοῦ Ὠκεανοῦ κατ' αὐτὰ μέρη · εἶτα λοιπὸν ἐπὶ δυσμάσι γινόμενος ὁ ἥλιος ὑπὸ τὸ ὕψος τῆς γῆς καὶ διατρέχων ἐπάνω τοῦ Ὠκεανοῦ διὰ τῶν βορείων μερῶν, ποιεῖ ἐνταῦθα νύκτα, ἄχρι κυκλεύων ἔλθῃ πάλιν εἰς ἀνατολὰς, καὶ ὑψούμενος πάλιν κατὰ τὸ νότιον μέρος καταλάμψει ταύτην τὴν οἰκουμένην, καθὰ καὶ ἡ θεία Γραφὴ λέγει διὰ τοῦ θείου Σολομῶντος · « Ἀνατέλλει » etc. Id est : *Hæc cum ita se habeant, re secundum divinas Litteras accepta, dicimus, solem ab ortu per aerem decurrere meridionales partes, ascendereque versus septentrionem, ac universæ terræ apparere : septentrionale autem et occidentale terræ cacumen cum intermedium ponitur, noctem efficit ultra terram hanc nostram ad Oceanum, indeque ad terram ultra Oceanum sitam : postea ubi ad occidentem pervenit, sub terræ cacumine absconditus ultra Oceanum in septentrionalibus partibus percurrens hic noctem efficit, donec circumiens rursus ad orientem accesserit, atque iterum ad meridionales partes ascendens hanc terram illustret : quemadmodum sacræ Litteræ per divinum Salomonem aiunt.* Oritur, etc. (lib. II *De mundo*, p. 134, ed. Montfauc.)

(41) In exemplari Vaticano Xysti V, non est comma post κυκλῶν, quippe totum versiculum quidam de sole interpretantur, ut adnotavit Amama.

Digitized by Google

ται διακεῖσθαι καὶ συνίστασθαι πάντα τόνδε κόσμον· εἰ γὰρ, « Γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται, » τῶν ἀνθρώπων ἐπανιόντων κατὰ γενεὰν καὶ γενεὰν εἰς τὸν αὐτὸν χοῦν, ἐξ οὗπερ ἐλήφθησαν· πρόδηλον, ὅτι ὁ ἀπό τινος κέντρου τοῦ σημείου κύκλος περιηγμένος, πρὸς τὴν ἐπ' ἀρχὴν ἐπάνεισι κίνησιν· οὕτω καὶ πᾶς ἄνθρωπος μετὰ πολλὰς περιστροφὰς καὶ περιόδους αὖθις ἐπαναλύει πρὸς τὰ ἐξ ὧν συνετέθη στοιχεῖα καὶ τὴν γένεσιν ἔσχεν. Ἀλλὰ καὶ ἡ γῆ, κἂν εἰς τὸν αἰῶνα ἕστηκε, πλὴν ἀλλὰ γὰρ διὰ τῆς φθίσεως καὶ τῆς ἐν τῷ κρυμῷ τοῦ χειμῶνος τρόπον τινὰ προσγινομένης αὐτῇ θνήξεως καὶ πάλιν ἀναβιώσεως ἐτησίου κυκλικὴν ἔχει τὴν σύστασιν. Ὡσαύτως γε μὴν καὶ ὁ ἥλιος ἀνατέλλων εἰς τὸ αὐτὸ τοῦ ὁρίζοντος σημεῖον καὶ πρὸς τὸν δυτικὸν ὁρίζοντα διαστείχων· καὶ πάλιν εἰς τὸ αὐτὸ σημεῖον τοῦ ἀνατολικοῦ ὁρίζοντος εὑρισκόμενος καὶ τοῦ δύνοντος, κυκλικὴν κατείληπται πεποιημένος τὴν κίνησιν.

Τὸ αὐτὸ δὲ τοῦτο πάσχειν καὶ τῶν ἀνέμων ἕκαστον παρίστησι νῦν φάσκων· « Κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. » Πρόδηλον γὰρ, ὡς ὁπουπερ ἂν ὁ βορρᾶς πνεύσῃ καὶ νότος, εἰς τὸν ἴδιον τόπον αὖθις ἐπάνεισι κυκλικῶς, ἐξ οὗ καὶ τὴν γένεσιν ἔσχε, ποίαν, ἡμῖν ἐντεῦθεν προμνώμενος ὄνησιν; πεῖσαι βούλεται πολυμερῶς καὶ πολυτρόπως ἡμᾶς, ὡς οὐδὲν τῶν ἐν ἀνθρώποις διοικουμένων καὶ πολιτευομένων τὸ στάσιμον ἔχει καὶ βέβαιον· ἀλλὰ καὶ αὐτὰ τὰ τὴν διαμονὴν ἔχοντα καὶ τὴν στάσιν ἀκήρατον, ἄχρι τῆς ὁρισθείσης παντελοῦς ἀποπερατώσεως διὰ τῆς τοπικῆς μεταβολῆς καὶ κυκλικῆς ἀλλοιώσεως καὶ κινήσεως τὴν διαμονὴν καὶ τὴν σύστασιν ἔχουσιν· ἅτε δὴ πειθαρχοῦντα καὶ θητεύοντα τοῖς ὅροις καὶ νόμοις τοῦ Κτίσαντος καὶ τάξαντος καὶ ταύτῃ συντηροῦντος καὶ σώζοντος· ἵνα κἀντεῦθεν ἡμεῖς τὴν πρὸς τὸ αὐτὸ τῆς γενέσεως ἡμῶν κέντρον ἐπάνοδον καὶ παλινδρόμησιν ἀεὶ προσδοκῶντες σπουδάσωμεν ἐμμένειν τοῖς νόμοις τοῦ Κτίσαντος, τοῖς ἀψύχοις παραπλησίως· καὶ μὴ χείρους εὑρεθῶμεν ἐκείνων, ἀθετοῦντες καὶ παραβαίνοντες τὴν βούλησιν τοῦ Ποιήσαντος, « Ὃς ἐξάγει καὶ τοὺς ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ, » καὶ παλινδρομεῖν αὖθις κατασκευάζει κυκλικῶς ἕκαστον εἰς τὸν ἴδιον τόπον, καὶ τοὺς ἀνθρώπους εἰς τὸ τοῦ παρόντος βίου στάδιον εἰσάγει καὶ τίθησι· καὶ πάλιν ἐξάγει μετὰ τὴν ἀποπεράτωσιν τῆς ὁρισθείσης ἑκάστῳ διαβιώσεως καὶ πρὸς τὴν αὐτὴν τιθηνὸν ἐπιστρέφει.

Τάχα δέ τινα καὶ μυστικωτέραν θεωρίαν ἐν τούτοις ἡμῖν προβάλλεται, πάνυ συντελοῦσαν πρὸς

conditum ac constitutum esse, sapiens Ecclesiastes nos addocet. Nam si « Generatio præterit, et generatio advenit, » hominesque per generationum vices **22** in eum redeunt pulverem, unde exstiterunt; manifestum est, ab aliquo puncto signi circumactum orbem ad motus sui exordium reverti, itaque omnem hominem post multas conversiones atque circuitus in ea iterum elementa resolvi, ex quibus compositus est, genusque duxit. Nec minus terra, quanquam in æternum stat, ex corruptione tamen quasique morte per hiemis frigora superveniente, atque ex iterata quotannis vita periodicam habet constitutionem. Enimvero et solem pari modo, cum ab eodem horizontis exortus signo in occidentem procedat, tum remeans rursum orientis et occidentis eadem percurrat signa, curriculum suum ad circuli rationem absolvere deprehendimus.

Jam et ventorum quemlibet eodem pacto moveri nunc indicat, dum ait: « Gyrat gyrans, vadit spiritus, et in circulos suos revertitur spiritus. » Perspicuum enim est, quandocunque aquilo et notus spiraverit, eodem rursus per circulum redire, in eum scilicet locum unde ortum habuit (42). At quam ille nobis utilitatem hinc afferre studet? nempe multis ille et variis persuadere exemplis vult eorum, quæ inter homines geruntur atque administrantur, nihil esse firmum, nihil stabile: quin ea ipsa, quæ firmitatem et stabilitatem habent immortalem, intra præscriptos fines ita stare perpetuo atque consistere, ut et locum tamen mutent, et orbem suum vicibus peragant, definitos profecto limites servantia, et Conditoris per quem conservantur ac vigent, legibus obsequentia: quibus nos animadversis sic reditum illum recursumque ad idem generationis nostræ punctum semper præstolemur, ut ad inanimatorum normam naturæ terminis et Conditoris præscriptis studiose insistentes, in deteriora lapsi ne videamur, abrogata scilicet violataque Auctoris nostri voluntate, « Qui producit de thesauris suis et ventos (43), » **23** atque per circulum rursus redire singulos docet in proprium locum; idemque homines in præsentis vitæ stadium inducit ac mittit, atque iterum eductos, elapso quod cuique definivit vitæ spatio, ad eamdem nutricem revocat.

Fortasse vero et aliam in his magis mysticam notationem nobis ob oculos ponit: quæ plurimum

(42) Mira hæc omnino, quæ de Aquilone et Noto traduntur, nec physicis nota nostris: qui tamen, si de subsolano dicerentur, minus repugnarent. Is enim ventus in Oceano navigantibus solis plagam tenere videtur, atque adeo circulum sic obire, ut postquam cum sole in occidentem flaverit, idem quodammodo cum sole rursum ab ortu spiret. Cæterum ea Ecclesiastæ verba de spiritu hominis Nyssenus accépit; ait enim: Κυκλοῖ γὰρ, φησὶ, κυκλῶν· οὕτω τοίνυν καὶ τὸ σὸν πορεύεται πνεῦμα· ἀπὸ μέρους ἅπαν ὀνομάζων τὸ ἀνθρώπινον πνεῦμα· τὴν ἐγκύκλιον ταύτην τὴν διὰ τῶν ὁμοίων περιτρέχων φοράν· Πορεύεται γὰρ, φησὶ, τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. Id est: *Gyrat, inquit, in orbem. Sic igitur tuus quoque ingreditur spiritus, a parte totum nominans spiritum hominis, hunc in orbem motum per similia peragens. Pergit enim, inquit, spiritus, et ad circulos suos revertitur.* (Ibid.) Recte autem Nyssenus prima illa verba Κυκλοῖ κυκλῶν ad solem refert; nam si ad Πνεῦμα pertinerent, scribendum esset Κυκλοῖ κυκλοῦν.

(43) Psal. cxxxv, 7. At sententiam apud LXX a sic redditam invenies: Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.

Digitized by Google

ad emendationem conformationemque vitæ, atque ad animorum nostrorum salutem conferre possit: velut si diceret : Cum animadvertas, o mortalis, quæcunque in cœlo sunt atque in terris, omnia ita esse, ut circumactione renovanda sint, et conversa ad epochen, quam mathematici (44) motionem periodicam tertiam esse dicunt, in melius immutentur; immutare tu quoque, deteriora converso cursu aversatus, vitæque rationem præstantiora sectando innova : ut quasi orbem relegens ad Conditorem et Dominum tuum revertare; quemadmodum sol ad horizontem, terra ad vitam, venti ipsi ad præscripta sibi divinitus loca redeunt. Ita fiet, ut pulchre admodum renovatus perennitatem ac consistentiam immortalem præclara apud posteros memoria adeptus videare. Jam vero hæc protinus subnectit, atque ait :

διόρθωσιν τῆς ζωῆς ἡμῶν καὶ βελτίωσιν καὶ ψυχικὴν σωτηρίαν. Μονονουχὶ γάρ φησιν· Εἰ κατανοεῖς, ἄνθρωπε, κυκλικῶς ἀνακαινίζεσθαι καὶ συνίστασθαι τὰ κατ' οὐρανὸν καὶ τὴν γῆν, καὶ διὰ τῆς ἐπιστροφῆς πρὸς τὴν ἐποχήν, ἣν τρίτην οἱ μαθηματικοὶ φασι περιοδικὴν εἶναι κίνησιν, ἀλλοιοῦσθαι πρὸς τὸ βέλτιον· ἀλλοιώθητι καὶ σὺ τῆς ἐπὶ τὰ χείρω παρατροπῆς καὶ κινήσεως, καὶ τὴν ἰδίαν ζωὴν διὰ τῆς ἐπιστροφῆς τῆς ἐπὶ τὰ κρείττω πάλιν ἀνακαίνισον καὶ τρόπον τινὰ κυκλικῶς ἀνάκαμψον πρὸς τὸν ἴδιον Ποιητὴν καὶ Δεσπότην· καθὼς ὁ ἥλιος πρὸς τὸν ὁρίζοντα, καὶ ἡ γῆ πρὸς τὴν ἀναβίωσιν, καὶ τῶν ἀνέμων ἕκαστος πρὸς τοὺς ἀφορισμένους αὐτῷ τόπους θεόθεν. Οὕτω γὰρ ἂν τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος εὑρεθήσῃ καὶ τὴν διαμονὴν καὶ τὴν σύστασιν ἀκήρατον φυλάττων διὰ τῆς ἀγαθῆς μνήμης. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγε, καί φησι·

§ VIII.

VERS. 7. **24** *Omnes torrentes vadunt in mare, et mare non erit impletum* (45).

Πάντες οἱ χειμάρροι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιπλαμένη.

Animadverte, quicunque ista curas, quomodo ineluctabile rerum conditarum obsequium atque irrequietum Conditoris Dominique sui causa famulatum sapiens Ecclesiastes perstringat. Nam cum omnes torrentes mare ingredi dicit, hoc vero nunquam redundare, quidnam inde demonstrat, nisi prodigium profecto opinione omni atque fide majus, de quo nemo satis miretur ac stupeat? Si enim torrentibus et tot tantisque fluminibus per omnes terræ plagas, ut nemo ignorat, in mare confluentibus, nullo id tempore auctum prolatumque deprehendimus; manetque idem, sibique perpetuo quam simillimum, ut neque ulterius porrigatur, neque inferius decrescat; undenam hoc illi obtigit, aut quam ob causam incrementi æque et decrementi expers visum est? sane liquet idcirco esse, quod præscriptis paret, et verba reveretur Conditoris sui, qui ei edixit: « Huc usque venies, nec transgredieris, at in te confringentur fluctus tui (46). » Divinum enim ejusmodi præceptum quasi frenum quoddam inanimi elemento fuit : ut imminensarum quidem aquarum vim capiat, et quas nempe

Παρατηρεῖ πᾶς ὁ βουλόμενος, πῶς τῶν κτισμάτων τὴν ἀπαραίτητον ὑποταγὴν καὶ τὴν ἄπαυστον θητείαν πρὸς τὸν ἴδιον Ποιητὴν καὶ Δεσπότην διέξεισιν ὁ σοφὸς Ἐκκλησιαστής· πάντας γάρ φησι τοὺς χειμάρρους εἰς τὴν θάλασσαν εἰσπορεύεσθαι, καὶ ταύτην ἐμπίπλασθαι μηδαμῶς, τί παρεμφαίνων ἐντεῦθεν; παράδοξον τῷ ὄντι καὶ πλῆρες πάσης ἐκπλήξεως. Εἰ γὰρ τῶν χειμάρρων καὶ τῶν τοσούτων καὶ τηλικούτων ποταμῶν ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν εἰσρεόντων ἐν τῇ θαλάσσῃ, καθὼς ἅπαντες ἴσασιν, αὐτὴ κατ' οὐδένα καιρὸν αὔξησιν εὕρηται καὶ προσθήκην εἰσδεδεγμένη, μένει δὲ μᾶλλον ἡ αὐτὴ καὶ ἴση καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως, μήτε πρὸς τὸ πλεῖον παρατεινομένη, μήτε πρὸς τὸ ἔλαττον μειουμένη, πόθεν αὐτῇ τοῦτο πρόσεστι, καὶ δι' ἣν αἰτίαν ἀπαράδεκτος εὕρηται καὶ τῆς αὐξήσεως καὶ τῆς ἐλαττώσεως; ἢ δῆλον ἐκ τοῦ πειθαρχεῖν καὶ διαμένειν τοῖς ὅροις καὶ λόγοις τοῦ Κτίσαντος καὶ πρὸς αὐτὴν εἰρηκότος· « Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐκ ὑπερβήσῃ, ἀλλ' ἐν ἑαυτῇ συντριβήσονταί σου τὰ κύματα. » Τὸ γὰρ πρόσταγμα τοῦτο τὸ θεῖον οἷόν τις χαλινὸς γέγονε τῇ ἀψύχῳ, καὶ γίνεται μὲν χωρητικὴ τῶν ἀφάτων ὑδάτων

(44) Epochen Suidas quamdam cœlestem memorat, quam sic definit: Ἐποχή ἐστιν ἡ μοῖρα, ἐν ᾗ καταλαμβάνεται ὅ τε ἥλιος καὶ ἡ σελήνη καὶ ἕκαστος τῶν πλανητῶν· id est : *Epoche pars illa est, quæ et solem et lunam et singulas erraticas stellas comprehendit.* At hic novus orbitarum ordo designatur, qui post certos annos ab eodem puncto inchoari putabatur. De sole hæc Tatius: Ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν ὀκτωκαιδεκαετηρίδι... κατὰ δέ τινας ἐν ἓξ καὶ ἑβδομήκοντα ἔτεσιν· ἧς δόξης ἐστὶ καὶ Κάλιππος· κατὰ δὲ Μέτωνα δι' ἐννεακαιδεκαετηρίδος. Nempe, *Ad idem vero punctum octodecim annis vertentibus redit. . . ut autem quidam putant, intra annum sexagesimum sextum, quæ Calippi etiam opinio fuit. E Metonis autem sententia annis novemdecim.* (Isag. ad Phæn. n. 19.) Horum annorum spatium veteres *Annum magnum* appellabant, ut videre licet apud Censorinum (*De die nat.* cap. 6), qui hæc quoque, apposite ad rem istam, refert: « Est præterea annus, quem Aristoteles *Maximum* potius, quam *Magnum* appellat : quem solis et lunæ vagarumque quinque stellarum orbes conficiunt, cum ad idem signum, ubi quondam simul fuerunt, una referuntur. » Hæc, opinor, est et Gregorii nostri et Suidæ Epoche, quanquam hic minus accurate locutus videtur. Pergit vero Censorinus: « Cujus anni hiems summa est κατακλυσμός, quam nostri *Diluvionem* vocant : æstas autem ἐκπύρωσις, quod est *mundi incendium*. Nam in his alternis temporibus mundus tum exigescere, tum exaquescere videtur. » Habes hic motiones binas periodicas; tertia autem erit anni illius maximi ver, quo scilicet omnia in melius immutentur.

(45) Apud LXX leges, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη.

(46) Job xxxviii, 11, sed postrema apud LXX ita se habent, ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.

Digitized by Google

μετὰ τῶν ἀρχῆθεν αὐτῇ προαποκληρωθέντων, καὶ τῶν ἔξωθεν ἀεννάως παρεισκεκριμένων ἀναριθμήτων, καὶ κατ' οὐδεμίαν αὐξήσεως ἔμφασιν εὑρηται πλημμυροῦσα καὶ τὴν ἀμμώδη καὶ γείτονα χέρσον παρερχομένη ἂν πρὸς μικρόν. Τοῦτο ἄρ' αἰνιττόμενος, μᾶλλον δὲ παρεμφαίνων καὶ ὁ προφήτης Δαβὶδ ἔλεγε πρὸς τὸν τῶν ὅλων Θεὸν, « Ὅριον ἔθου ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. » Εἶτά φησι·

A initio accepit, et quæ aliunde perpetuo confluunt innumerabiles; nec tamen ullo augmenti indicio redundet, aut ultra arenas littoris et continentes terras vel minimum excurrat. Quod et David propheta attigit, vel potius ostendit, cum auctorem rerum omnium sic est allocutus: « Terminum posuisti, quem non transgredientur, neque revertentur operire terram [26]. » Tum ait:

§ IX.

Εἰς τόπον, οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι.

Καὶ νῦν αὖθις ἕτερον θαῦμα παρίστησιν, ὃ λανθάνει μὲν τοὺς πολλοὺς τῶν ἀνθρώπων· οὐ γὰρ ἴσασιν αὐτὸ πάντες· μόνοις δὲ τοῖς ναυτιλλομένοις διέγνωσται τοῖς τὰ μέγιστα πελάγη τῶν θαλασσῶν διαπλέουσιν· ἔτι δὲ καὶ τοῖς τὴν θείαν μεμνημένοις Γραφὴν καὶ τοῦ προφήτου λέγοντος Ἀμμώς· « Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, » σημαίνοντος διὰ τῶν εἰρημένων τὴν ἀπὸ τῶν θαλαττίων ὑδάτων τῷ παντοδυνάμῳ βουλήματι τοῦ Θεοῦ γινομένην ἄνοδον πρὸς τὰς νεφέλας πολλάκις. Τὴν τοιαύτην οὖν μετάκλησιν τῶν θαλαττίων ὑδάτων αἰνιττόμενος καὶ ὁ σοφὸς Ἐκκλησιαστὴς ἔφησεν· « Εἰς τόπον οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι. » Πορεύονται μὲν γὰρ οἱ χείμαρροι καὶ πάντες οἱ ποταμοὶ, καὶ συρρέουσιν εἰς τὴν θάλασσαν· ἐκ δὲ τῶν ἀμυθήτων τῆς θαλάσσης ὑδάτων, διατῆς εἰρημένης προσκλήσεως αὐτῶν, οὐρανόθεν πλημμυροῦσι ταῖς βροχαῖς καὶ τοῖς ὄμβροις, καὶ πάλιν ἐπιστρέφουσιν εἰς τὴν θάλασσαν τὸ ληφθὲν ἐξ αὐτῶν ὕδωρ. Καὶ τοῦτό ἐστιν ἄρα σαφῶς ὃ φησιν ὁ σοφὸς Ἐκκλησιαστής· « Εἰς τόπον, οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι· » κἂν δοκῇ πως ἔχειν ταυτολογίαν· φάναι γὰρ ἐχρῆν· « Εἰς τόπον, ὅθεν οἱ χείμαρροι δέχονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι· » τοιῶσδε γὰρ εἰρημένον ἐκδηλότερον ἂν καὶ σαφέστερον εἶχε τοῦ ῥητοῦ τὸν νοῦν κατὰ τὸ ἀκόλουθον. Ἀπὸ γὰρ τῆς θαλάσσης προσλαμβάνουσιν αἱ νεφέλαι τὸ ὕδωρ· ὕουσι δ' αὐτοῖς ποταμοῖς καὶ χειμάρροις· οὗτοι δὲ παλινδρομοῦσιν αὐτοὶ πρὸς τὴν θάλασσαν. Ἀλλ' οὐχ οὕτως αὐτὸ σαφῶς ὁ Ἐκκλησιαστὴς εἶπεν· ἀλλὰ τῷ ποιητικῷ τρόπῳ κατὰ συνέκδοχὴν ἠβουλήθη δι' ἑτέρου σημᾶναι τὸ ἕτερον, ἵνα ἐστὶ τὸ εἰρημένον τοιοῦτον, ὡς ἔφθημεν εἰπόντες· « Εἰς τὸν τόπον, ὅθεν οἱ χείμαρροι κιχρῶνται καὶ δέχονται διὰ τῶν νεφελῶν τὸ ὕδωρ, καὶ πλημμυροῦσιν, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι. » Δείκνυσι γὰρ οὕτως ἀναγινωσκόμενον τὸ ῥητὸν, ὡς οἱ μὲν χείμαρροι καὶ οἱ ποταμοὶ διὰ τῶν νεφελῶν ἐκ τῆς θαλάσσης δεχόμενοι ὕδωρ, αὔξονται καὶ πλημμυροῦσιν· ἀντιπαρέχουσι δὲ πάλιν τῇ δανεισάσῃ τὸ

Ad locum, quo torrentes eunt, illuc ipsi revertuntur ad eundum (47).

Et nunc aliud rursus miraculum repræsentat, quod quidem plerosque **25** hominum latet: quippe B cæteris ignorantibus, ii solum norunt, qui maxima Oceani æquora navigando permeant, et qui sacrarum Litterarum meminere atque Amos prophetæ dicentis: « Qui vocat aquam maris, et effundit eam super faciem terræ totius [26'] (48); » quibus hoc verbis frequentem aquarum e mari ad nubes reditum designavit, ad quas Dei omnipotentis voluntate ascendunt. Hanc porro aquarum marinarum convocationem ipse etiam indicans sapiens Ecclesiastes dixit: « Ad locum, quo torrentes eunt, illuc ipsi revertuntur ad eumdem. » Nam pergunt sane torrentes amnesque omnes, et in mare confluunt: tum vero e cœlo, quo vim illam aquarum inexplicabilem convocari dixi, exundant pluviis atque C imbribus, marique iterum, quas ab eo acceperunt, aquas refundunt. Atque hoc ipsum sine controversia est, quod sapiens Ecclesiastes enuntiat: « Ad locum, quo torrentes eunt, illuc ipsi revertuntur ad eundum; » quanquam in his verbis rem ille eamdem iterare quodammodo videtur. Oportebat enim dicere: « Ad locum, unde torrentes derivantur, eodem ipsi redeunt ut denuo fluant; » nam dicti sententiam hoc pacto manifestiorem deinceps atque clariorem reddidisset. A mari siquidem aquam nubes hauriunt, eædemque, cum pluit, torrentibus eam ac fluviis reddunt: hi demum iterato illam recursu ad mare deferunt. Sed hoc minus aperte dixit Ecclesiastes, et poetarum more per D intellectionem alterum altero significare voluit, ut ea in verbis sententia insit, quam modo exposuimus: « Ad locum *nempe*, unde torrentes mutuantur desumuntque per nubes aquam, atque exundant, eo iidem revertuntur, ut iterum fluant. » Sic enim accipi dictum ostendit, ut torrentes fluviique, aqua a mari per nubes hausta, augeantur atque redundent; ac debitum feneranti rursus retribuant: non quod omnipotenti Domino ad terram irrigandam aliæ sint opus aquæ; sed quo ineffabilem in hoc quoque potentiam demonstret

[26] Psal. CIII, 9. [26'] Amos V, VIII et IX, 6.

(47) Apud LXX scriptum εἰς τὸν τόπον . . . totam autem sententiam sic reddidit Symmachus: Εἰς τὸν τόπον, ἀφ' οὗ οἱ ποταμοὶ πορεύονται, καὶ ἐκεῖ αὐτοὶ ἀναστρέφουσιν· quæ optime respondent verbis Latinorum exemplarium, quæ vidit Hieronymus; sunt enim hujusmodi: *De quo torrentes exeunt, illuc ipsi revertuntur, ut introeant.*

(48) Amos V, 9. Apud LXX deest πάσης, nec minus apud Olympiodorum, qui eodem utitur testimonio.

Digitized by Google

mortalibus suam, qui non solum suspensis a nubibus inclusum insidensque aquarum pondus in pluvias resolvit, utque terræ incolas beneficiis afficiat, naturali modo, qua gravitate ipsa fertur, in inferiora mundi demittit; sed ex imo etiam, contraria naturæ ratione convocare idem potest, **26** atque ad nubium altitudines attollere.

A χρεος, οὐχ ὡς ἀπορούμενος δὲ τὸ παράπαν ἄλλων ὑδάτων τοῦ πανσθενοῦς Δεσπότου πρὸς τὸ βρέχειν ἐπὶ τὴν γῆν, ἀλλὰ τὴν ἄφατον αὐτοῦ κἀν τούτῳ δύναμιν τοῖς ἀνθρώποις δεικνύντος· ὡς οὐ μόνον διὰ τῶν ἀπῳωρημένων νεφελῶν τὸ ἐναπειλημμένον αὐταῖς καὶ προσεφιζάνον βαρὺ καὶ κατωφερὲς σῶμα τῶν ὑδάτων δύναται φυσικῶς ὕειν ἄνωθεν πρὸς τὰ κάτω, καὶ ταύτῃ τοὺς τὴν γῆν κατοικοῦντας εὐεργετεῖν· ἀλλὰ καὶ κάτωθεν μετακαλεῖσθαι καὶ προσαναβιβάζειν πρὸς τὰ ὕψη τῶν νεφελῶν ἐναντίως τῷ λόγῳ τῆς φύσεως.

Porro quia ineluctabile illud rerum a Deo conditarum obsequium, et irrequietum Conditoris et Domini sui causa famulatum accuratius pleniusque indicare sapienti Ecclesiastæ in animo erat, ob eam rem de his singulis disseruit: minime vero, ut quidam, qui ante nos fuerunt, interpretes opinati sunt, quæ de mari dixit, ad avarorum, et qui insatiabili animo sunt, reprehensionem referre voluit (49). Nam hoc sibi unum Ecclesiastes propositum habebat, ut ineffabilem Dei sapientiam et infinitam illam potentiam enuntiaret: per quam ipse et secundum quam ea, quæ non erant, ut essent, utque oculis usurparentur, effecit; inque naturalem redegit ordinem, et ad superiorem quoque extulit: quem et custodiunt et servant illæsum plane atque immutabilem: itaque fit, ut qui hæc percipiunt, omnes admirentur atque obstupescant; iidemque Dei gloriam et animo et lingua prosequantur. Idcirco hæc protinus sapiens Ecclesiastes adjecit.

« Τὴν οὖν ἀπαραίτητον ὑποταγὴν, καὶ τὴν ἄπαυστον θητείαν τῶν ποιημάτων τοῦ Θεοῦ πρὸς τὸν ἴδιον Δημιουργὸν καὶ Δεσπότην διεξοδικωτέρως σημάναι βουλόμενος ὁ σοφὸς Ἐκκλησιαστὴς περὶ τῶν τοιούτων πάντων διείληφεν· ἀλλ' οὐχ, ὥς τινες ᾠήθησαν B τῶν προγενεστέρων ἐξηγητῶν, τοὺς πλεονέκτας καὶ τὴν γνώμην ἀκόρεστον ἔχοντας ἐξελέγχων, τὸ περὶ τῆς θαλάσσης εἰρημένον ἐξεῖπε. Σκοπὸς γάρ ἐστι τῷ Ἐκκλησιαστῇ μόνην διαγγεῖλαι τὴν ἄφατον τοῦ Θεοῦ σοφίαν καὶ τὴν ἀνεξιχνίαστον δύναμιν, δι' ἧς καὶ καθ' ἣν ἐξ οὐκ ὄντων ἕκαστον τῶν ὄντων καὶ φαινομένων παρήγαγε· καὶ τάξιν δὲ φυσικὴν, καὶ πολλῷ μᾶλλον ὑπερφυῆ, πᾶσιν ἐνέθηκεν· ἣν καὶ φυλάττουσι καὶ συντηροῦσιν ἀλώβητον καὶ παντελῶς ἀμετάβλητον· ὡς ἐκθαμβεῖσθαι καὶ κσταπλήττεσθαι πάντας τοὺς συνιέντας, καὶ ταύτῃτοι πρὸς τὴν τοῦ Θεοῦ δόξαν καὶ τὴν καρδίαν, καὶ τὴν γλῶσσαν ἀνακινεῖν. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγεν ὁ σοφὸς Ἐκκλησιαστής·

§ X.

VERS. 8. *Omnes sermones laboriosi: non poterit C vir loqui; et non satiabitur oculus videndo: et non implebitur auris ex auditu* (50).

Πάντες οἱ λόγοι ἔγκοποι· οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν· καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν· καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως.

Quales hic sermones commemorat? liquet plane non alios, quam qui **27** versantur in describenda designandaque immensa bonitate et infinita potentia ejus, a quo tanta rerum visibilium pulchritudine, utilitate, concordia, ordine sapientissime omnia et validissime constituta sunt. Qualiacunque enim et quantacunque ad ea, quæ singulis in rebus contemplari ac deprehendere liceat, declaranda

Ποίους λόγους φησίν; Ἀλλ' εὔδηλον, ὡς τοὺς ἐπιχειροῦντας καθυπογράφειν καὶ χαρακτηρίζειν τὴν ἄπειρον ἀγαθότητα, καὶ τὴν ἀνεξιχνίαστον δύναμιν τοῦ πάντα πανσόφως καὶ πανσθενῶς ὑποστήσαντος διὰ τῆς τῶν ὄντων καὶ τῶν φαινομένων καλλονῆς, καὶ χρησιμότητος, καὶ συμφωνίας, καὶ τάξεως. Οἷα γὰρ ἄν τις καὶ ὅσα λαλήσει πρὸς διασάφησιν τῆς ἐφ' ἑκάστῳ τῶν ὄντων θεωρίας καὶ καταλήψεως, ἥκιστα πρὸς

(49) Rursum perstringit Nyssenum, qui ad hunc Ecclesiastæ locum hæc adnotarat: Εἰ δέ τις κεχηνὼς πρὸς τὴν πλεονεξίαν, καὶ καθάπερ τινὰ θάλασσαν τὴν ἀμετρίαν τῆς ἐπιθυμίας ἁπλώσας πρὸς τὰ πανταχόθεν εἰσρέοντα κέρδη ἀπλήστως ἔχοι· οὗτος πρὸς τὴν ὄντως θάλασσαν βλέπων θεραπευέσθω τὴν νόσον· ὡς γὰρ ἐκείνη τὸ ἑαυτῆς οὐ παρέρχεται μέτρον ἐν ταῖς μυρίαις τῶν ὑδάτων ἐπιῤῥοαῖς, ἀλλ' ἐν τῷ ἴσῳ διαμένει πληρώματι, καθάπερ οὐδεμιᾶς αὐτῇ ἐξ ὑδάτων γινομένης προσθήκης, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἰδίοις μέτροις ἐν τῇ ἀπολαύσει τῶν προσόντων διειλημμένη, συμπλατύναι τῷ πλήθει τῶν προσόδων τὴν ἀπολαυστικὴν λαιμάργως οὐ δύναται, ἀλλὰ τὸ μὲν εἰσρέον παύεται, ἡ δὲ τῆς ἀπολαύσεως δύναμις ἐν τῷ ἰδίῳ ὅρῳ φυλάσσεται· εἰ οὖν ἡ ἀπόλαυσις πλεονάσαι οὐ δύναται παρὰ τὸ μέτρον τῆς φύσεως, εἰς τί τὰς τῶν προσόδων ἐπιῤῥοὰς ἐφελκόμεθα, οὐδέποτε πρὸς εὐποιΐαν ἄλλων ὑπὲρ τῶν ἐπεισιόντων ὑπερχεόμενοι; Id est: *Si quis autem avaritia laborans pluribus divitiis inhiat, et veluti quoddam mare immensam attendens cupiditatem, undique affluentibus lucris non potest satiari, is ad mare quod est hic, aspiciens, morbum curet. Quomodo enim illud in innumerabilibus aquarum influxionibus suum non transgreditur modum, sed æque plenum semper remanet, perinde atque si ex aquis nulla fiat accessio; ita etiam humana natura in iis, quæ adsunt, fruendis, suis modulis comprehensa, per proventuum multitudinem non potest simul dilatare avidam præter naturæ modum fruendi cupiditatem, sed cessat quidem id, quod influit; vis autem fruendi servatur in proprio termino. Si ergo in fruendo non potest redundare copia præter naturæ modum, cur vectigalium attrahimus influxus, pro iis, quæ ingrediuntur, nunquam effusi ad benefaciendum aliis?* (Ibid.).

(50) Apud LXX leges, Καὶ οὐ πλησθήσεται ὀφθαλμὸς... Olympiodorus vero habet: Οὐ δυνήσεται ἀνὴρ τούτους λαλεῖν.

Digitized by Google

τὴν κατάλληλον ἀφίκοιτο δόξαν· ἀλλ' ἰλιγγιάσει καὶ κατοκλάσει· λέγων μὲν πολλάκις, οὐκ ἐξισχύων δὲ τὴν παντελῆ καὶ τελείαν διάγνωσιν καὶ κατάληψιν ἐξειπεῖν· κἂν εἰς τὸ ἀκρότατον ἔφθασε τῆς σοφίας καὶ τῆς γνώσεως, καὶ τῆς ἀνδρικῆς ὑπολήψεως πλήρης ἐστίν. Οὐκ ἐμπλησθήσεται μὲν γὰρ ὁ ὀφθαλμὸς τοῦ ὁρᾶν τὰ κάλλη καὶ τὰς τερπνότητας τῶν μεγάλων θαυμάτων τῶν κατ' οὐρανὸν βλεπομένων καὶ τὴν γῆν καὶ τὴν θάλασσαν· οὐδὲ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως τῶν περὶ τὰ τοιαῦτα διηγουμένων. Πάντες μὲν γὰρ οἱ φιλόκαλον ἔχοντες καὶ φιλοθεάμονα γνώμην, τὰς ἐρωτικὰς διαθέσεις καὶ δυνάμεις τοῦ ἐντὸς καὶ τοῦ ἐκτὸς ἀνθρώπου κεκινημένας καὶ παρασκευασμένας ἕξουσι πρὸς ἀκρόασιν τῶν κηρυττόντων τὴν ἄῤῥητον μεγαλοσύνην τῆς θείας καὶ παναλκοῦς δυνάμεως, καὶ σοφίας τῆς τόδε τὸ πᾶν ὑποστησαμένης, καὶ διεξαγούσης, καὶ συντηρούσης· καὶ τὸ παράπαν οὐ λήψονται κόρον ἐπαΐειν τῶν περὶ τὰ τοιαῦτα λόγων. Ἀλλ' ὁ ἐξηγητὴς συντετάχθαι τῇ παραδόξῳ συμφωνίᾳ καὶ τάξει τῶν ὑποκειμένων πραγμάτων οὐχ οἷός τε ὢν, τοῦ λαλεῖν μᾶλλον αἱρετώτερον ἡγήσατο τὸ σιγᾷν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

A quis proferat; minime tamen opinione sua rerum magnitudinem assequetur: quin vertigine attonitus succumbet; nec sæpe dicendo absolutam harum perfectamque cognitionem comprehensionemque explicare unquam poterit: esto, ad summum is sapientiæ intelligentiæque fastigium pervenerit, et acerrimi ingenii vi polleat. Neque enim exsaturetur oculus, pulchritudines jucunditatesque dum videt magnorum miraculorum, quæ cœlo, quæque terra et mari cernuntur: neque auris impleatur, de hisce disserentes dum audit. Nam quicunque honesto sunt animo et spectandi cupido, ii utique semper studio affectuque omni et mentis et corporis ferantur comparatique sint ad eos audiendos, qui ineffabilem divinæ invictæque potentiæ atque sapientiæ majestatem prædicant, cujus omnia numine B et condita sunt et reguntur ac conservantur: iidemque nunquam audiendi satietate sermones tantis de rebus fastidiant. Cæterum interpres, cum admirandæ illi rerum subditarum concordiæ atque ordini par esse non posset, silendum sibi potius, quam loquendum existimavit. Jam addit Ecclesiastes:

§ XI.

Τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον. Καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον. Καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον. Ὃς λαλήσει καὶ ἐρεῖ· Ἴδου τοῦτο καινόν ἐστιν; ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γεγενημένοις ἀπὸ ἔμπροσθεν.

VERS. 9, 10. *Quid est quod fuit? ipsum quod futurum est. Et quid est quod factum est? ipsum quod faciendum est. Et non est omne recens sub sole. Quis loquetur ac dicet: Ecce hoc novum est; jam fuit in sæculis, quæ fuerunt ante nos* (51).

C

Προϊὼν ὁ σοφὸς Ἐκκλησιαστὴς αὔξει καὶ πρὸς ἐπιτατικωτέραν ὑπόληψιν, καὶ τὴν μεγαλωσύνην προάγει τῆς ἀπείρου σοφίας καὶ θείας δυνάμεως, καὶ τὴν τῶν κτισμάτων ὑποταγὴν καὶ θητείαν· παρίστησι γὰρ διὰ τῶν νῦν προκειμένων, ὡς οὐχὶ μόνον τῶν γεγονότων καὶ φαινομένων ἕκαστον τὴν δουλικὴν ὀνομασίαν καὶ σχέσιν καὶ θητείαν πρὸς τὸν ἴδιον ποιητὴν ἐπιδείκνυσιν· ἀλλὰ καὶ τὰ μήπω γεγονότα, γενησόμενα δὲ καὶ ποιηθησόμενα τοῖς προϋπάρξασιν ἐφέψεται καὶ συμπαρομαρτήσει, καὶ τῷ λόγῳ τῆς τάξεως, καὶ μέντοι καὶ τῆς ὑποταγῆς τῆς πρὸς τὸν ἴδιον Ποιητὴν καὶ Δεσπότην ὡς μηδὲν τῶν γενησομένων καὶ ποιηθησομένων ἀλλοῖον εὑρεθῆναι καὶ ἕτερον πρὸς τὰ προγενεστέρως ὑπάρξαντα. Κατὰ δὲ τὴν ἀκολουθίαν τὴν ἐντεθειμένην τοῖς προτέροις παρὰ τῆς ποιητικῆς τῶν ὅλων καὶ προνοητικῆς ἐξουσίας καὶ δεσποτείας, οὕτω καὶ τὴν γένεσιν ἕξουσι καὶ τὴν κίνησιν καὶ συντήρησιν μέχρι τῆς ὁρισθείσης παντελοῦς ἀποπερατώσεως. Καὶ τὸ παράπαν οὐδὲν εὑρεθήσεται ἑτέραν γένεσιν ἔχον, ἢ τάξιν καὶ κίνησιν· ὡς λαβεῖν τινα πρόφασιν λαλῆσαι καὶ εἰπεῖν· Ἴδὲ τοῦτο καινόν ἐστιν. Εἴ τι γὰρ κατ' οὐρανὸν θεωρήσει τις παράδοξον καὶ ξένον ἐν ταῖς τῶν μεγάλων φωστήρων ἀνατολαῖς καὶ δυσμαῖς καὶ ταῖς ἐκλείψεσιν, ἢ τῶν ἄλλων ἀστέρων τῶν ἀπλανῶν καὶ

Progreditur sapiens Ecclesiastes majore gradu ad ampliorem quoque comprehensionem; simul infinitæ sapientiæ potentiæque divinæ majestatem, ac rerum conditarum obsequium et famulatum producit. Nam his, quæ modo proposuit, declarat, non solum ea, quæ jam **28** sunt et visuntur, singula servilem appellationem et habitum et famulatum erga auctorem suum præ se ferre; sed illa etiam, quæ nondum fuere, quæque futura et facienda sunt, iis, quæ jam exstiterunt, accessura esse eamdemque initura viam, cum ratione ordinis, tum vero Conditoris et Domini sui causa, cui parere debent: itaque quidquid futurum et faciendum D est, nulla ex parte dissimile alterumve ab iis fore, quæ ætate majorum exstitere. Atque etiam ad eum tenorem, qui cæteris rebus, quæ jam præcesserunt, ab universorum effectore et Domino providentissimo præscriptus est, originem singula eamdem et motum et statum tandiu habebunt, dum definitos sibi terminos attingant. Nihil nempe inveniri usquam poterit, cui alia origo, alius ordo, alius sit motus; nullaque se cuiquam occasio offeret loquendi dicendique: Ecce hoc recens est. Nam si quid in cœlo quis viderit inopinatum ac novum in magnorum luminum aut in cæterarum stellarum, et quæ fixæ

(51) Apud LXX, est Ἴδε τοῦτο καινόν ἐστιν. Olympiodorus legit ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν, ut est in excmpl. edit. Vatic.

Digitized by Google

et quæ errantes sunt, ortu, occasu, defectu; vel si quid ejusmodi in terra aut in mari deprehenderit tot inter animantium genera, tamque varias plantarum stirpes et pratorum amœnitates; multo id antea fuit, et nihil omnino diversum, sive ortum spectes, sive naturam, sive ordinem, sive motum; quippe res omnes, vel jam exsistant, vel futuræ sint, divinæ voluntati præscriptisque initio legibus necessario obsequuntur. Quapropter Oseas prophetæ Conditorem ipsum, qui sæculorum auctor est, idemque universorum constitutor, sic loquentem induxit: « Ego Dominus Deus tuus, firmans cœlum, et terram condens (52); » quibus verbis divinam significat potentiam, quæ provide utrumque fovet atque tuetur, ostenditque, qui cœlum ab initio firmavit fundavitque terram, per eum nunc etiam manere utrumque, et una ejus divina atque omnipotenti voluntate constare. Nihil igitur sub sole recens, nihil plane novum natum est: quandoquidem præsentia æque et futura eamdem omnia originem et motum habent: itaque et cœli sine intermissione gloriam Dei enarrant, ac dies diei, noxque nocti effectricis providæque sapientiæ infinitam potestatem enuntiat, **29** nec vero minus terra et mare terminationibus illis suis et ordinibus et mortis vitæque vicissitudine et concitatiore motu et summa quiete, tanquam vocibus quibusdam ineffabilibus Dominum suum celebrat: nihil ut posteritati nostræ relictum sit, quod novum ac recens videri debeat. Idcirco sapiens Ecclesiastes adjecit: « Jam fuit in sæculis, quæ fuerunt ante nos. » Quidquid enim faciendum sit, jam factum omnino repertum est, ait subinde:

A τῶν πλανητῶν· ἔτι δὲ καὶ κατὰ τὴν γῆν καὶ κατὰ τὴν θάλασσαν ἐν τοῖς ποικίλοις καὶ παντοδαποῖς ζώοις τε καὶ φυτοῖς καὶ λειμῶσι· τοῦτο πολλῷ πρώην ὑπῆρξε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως καὶ τὴν γένεσιν ἐσχηκὸς, καὶ τὴν οὐσίωσιν, καὶ τὴν τάξιν καὶ κίνησιν, πάντων τῷ θείῳ βουλήματι καὶ ψηφίσματι τὸ καταρχὰς ἐκτεθέντι πειθαρχούντων ἀπαραιτήτως καὶ τῶν ὄντων ἤδη καὶ τῶν γενησομένων. Διὰ τοῦτό φησιν Ὥσηὲ ὁ προφήτης ἐξ αὐτοῦ προσώπου τοῦ κτίσαντος τοὺς αἰῶνας καὶ τὰ πάντα κατασκευάσαντος· « Ἐγὼ Κύριος ὁ Θεός σου, στερεῶν οὐρανὸν καὶ κτίζων γῆν· » τὴν συνεκτικὴν καὶ προνοητικὴν καὶ σωστικὴν ἑκατέρων θείαν δύναμιν ἐντεῦθεν παραινιττόμενος καὶ δεικνὺς, ὡς στερεώσας τὸν οὐρανὸν, καὶ θεμελιώσας τὴν γῆν καταρχὰς, καὶ νῦν B δίδωσι τοῖς ἀμφοτέροις μόνῳ τῷ θείῳ καὶ παντοδυνάμῳ βουλήματι τὴν διαμονὴν καὶ συντήρησιν. Οὐδὲν οὖν πρόσφατον ὑπὸ τὸν ἥλιον, ἢ καινὸν τὸ σύνολον πέφυκε· πάντα γὰρ τὰ ὄντα καὶ τὰ γενησόμενα τῆς αὐτῆς ἔχονται καὶ γενέσεως, καὶ τάξεως, καὶ κινήσεως· καὶ διηγοῦνται μὲν οἱ οὐρανοὶ τοῦ Θεοῦ τὴν δόξαν ἀπαύστως, καὶ ἡμέρα τῇ ἡμέρᾳ καὶ νὺξ τῇ νυκτὶ διαγγέλλει τῆς ποιητικῆς αὐτοῦ καὶ προνοητικῆς σοφίας τὴν ἄπειρον δύναμιν. Παρεπλησίως μέντοι καὶ ἡ γῆ καὶ ἡ θάλασσα ταῖς ἰδίαις ὁροθεσίαις, καὶ τάξεσι, καὶ θνήξεσι, καὶ πάλιν ἀναδιώσεσι, καὶ σφοδροτέραις κινήσεσι, καὶ παντελέσιν ἠρεμίαις διεγνωσμένη κατ' οὐδὲν ἧττον ἀλαλήτοις φωναῖς ἀνυμνεῖ τὸν ἴδιον Δεσπότην· ὡς μηδὲ ὑπολελεῖφθαι τοῖς μεταγενεστέρως γενησομένοις καινόν τε C καὶ πρόσφατον. Τούτου χάριν ἐπήγαγεν ὁ σοφὸς Ἐκκλησιαστής· « Ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γεγενημένοις ἀπὸ ἔμπροσθεν ἡμῶν. » Πᾶν γὰρ τὸ γενησόμενον ἤδη γεγονὸς εὕρηται πάντως. Εἶτά φησιν·

§ XII.

VERS. 11. *Non est memoria primis, et quidem novissimis, cum facta fuerint, non erit ipsis memoria cum eis, qui futuri sunt in novissimo* (53).

Circularis temporis cursus in medio sui ipsius omnia complectens ac circumscribens, quasi rota quædam perpetuo acta motu, sic eos, qui modo utiles et clari, quique molesti atque inglorii sunt, manifestat, ut quæ primum contigerunt, oblivioni det: vel quod humana mens præteritorum facta tanquam prava et mala, inter ea, quæ commemoratione digna sunt, recensere ac ponere nolit; sive quod ægre eorum, quæ transierunt, memoriam consociare cum præsentibus possit. Verum non ita memoria eorum intermoritur, qui virtutem omni studio amplexi sic ad summum justitiæ fastigium pervenere, ut idonea vitæ documenta et salutaria sanctæ institutionis exempla posteritati relinquerent. Soli enim laborum suorum uberem fructum ceperunt, bonam scilicet memoriam: quemadmodum scriptum est: « Memoria justi cum laudi-

Οὐκ ἔστι μνήμη τοις πρώτοις, καὶ γε τοῖς ἐσχάτοις γενομένοις οὐκ ἔσται αὐτοῖς μνήμη μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην.

Κυκλικὸς δρόμος τοῦ χρόνου μέσον ἑαυτοῦ παντα διαλαμβάνων καὶ περιγράφων, οἷόν τις τροχὸς ἄπαυστον ἔχων τὴν κίνησιν ἐν τῇ φανερώσει τῶν νῦν χρηστῶν καὶ ἐνδόξων, ἢ λυπηρῶν καὶ ἀδόξων τῇ λήθῃ τὰ πρώην παρέπεμψεν· ἢ ὡς μηδαμῶς ἀξιούσης τῆς ἀνθρωπίνης διανοίας ἐν τοῖς ἀξίοις μνήμης D τιθέναι τῶν παρῳχηκότων τὴν πρᾶξιν ὡς μοχθηρὰν καὶ φαύλην· ἢ ὡς οὐκ ἐφικνουμένης μετὰ τῶν ἐνεστώτων συμπαρακατέχειν καὶ τὴν μνήμην τῶν παρεληλυθότων. Πλὴν τῆς μνήμης τῶν τὴν ἀρετὴν ὁλικῶς ἀσκησάντων, καὶ πρὸς τὸ τῆς δικαιοσύνης ἄκρον ἀφικομένων· καὶ προγράμματα πρακτικὰ καὶ παραδείγματα ψυχωφελῆ καὶ σωτήρια τοῖς μεταγενεστέροις καταλιπόντων. Οὗτοι γὰρ μόνοι καὶ περίσσειαν ἔσχον ἐν παντὶ μόχθῳ αὐτῶν, τὴν ἀγαθὴν δηλαδὴ μνήμην· καθὼς γέγραπται· « Μνήμη δικαίου μετ' ἐγκωμίου· » καὶ πάλιν, « Εἰς μνημόσυνον

(52) Osee XIII, 4, quæ tamen desunt in ed. Compl.
(53) LXX habent... Οὐκ ἔσται αὐτῶν μνήμη. Cæterum et Hieronymus αὐτοῖς alicubi legisse videtur, ut Nobilius adnotavit. Olympiod. εἰς τὰ ἔσχατα.

Digitized by Google

αἰώνιον ἔσται δίκαιος· » οἱ καὶ ζῶσιν εἰς τὸν αἰῶνα κατὰ τὸ γεγραμμένον, « Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν καιρῷ ἐστιν ὁ μισθὸς αὐτῶν, » τὰς ὑπερουρανίους καὶ θείας ἀνταμείψεις μισθὸν ἐκ μεταφορᾶς τῶν ἐν ἀνθρώποις ἐργαζομένων ὀνομασάσης τῆς θείας Γραφῆς. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

A bus (54), » et rursum . « In memoria æterna erit justus ; » qui etiam in sæculum vivunt, ut traditum legimus : « Justi in sæculum vivunt, et in tempore est merces ipsorum (55); divina quippe cœlestium præmia sacris in Litteris merces appellantur metaphora ab operis sumpta, quæ apud homines exercerentur. Addit deinde Ecclesiastes :

§ XIII.

Ἐγενόμην βασιλεὺς ἐν Ἰσραὴλ ἐπὶ Ἰερουσαλήμ, καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γιγομένων ὑπὸ τὸν οὐρανόν.

30 VERS. 12. *Fui rex in Israel super Jerusalem, et dedi cor meum ad inquirendum et considerandum in sapientia de omnibus, quæ fiunt sub cælo* (56).

Ἀπολαμβάνει καὶ πάλιν, καὶ προστίθησι τὰς ὀνομασίας, αἷς ἐχρήσατο καὶ καταρχὰς, καί φησιν ὁ Ἐκκλησιαστής· « Ἐγενόμην βασιλεὺς ἐν Ἰσραὴλ ἐπὶ Ἰερουσαλήμ. » Πρὸς ὃν ἐρεῖ τις οὐκ ἀπεικότως· Καὶ τίς σε κατέστησεν Ἐκκλησιαστήν; ὅτι μὲν γὰρ βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἰερουσαλὴμ γέγονας, τοῦτο τοῖς πᾶσι καταφανές· κλῆρον γὰρ πατρῷον ἔσχες τὴν ἐν Ἰερουσαλὴμ βασιλείαν· οὐκ ἔτι δὲ καὶ πατρῴαν κληρονομίαν εἴληφας τὸ Ἐκκλησιαστὴς ὑπάρχειν. Πῶς οὖν ὠνόμασας ἑαυτὸν Ἐκκλησιαστήν; Ἀλλ' ἀποκριθήσεται θᾶττον ἀντ' αὐτοῦ τῆς ἀληθείας ὁ λόγος, καὶ φήσειεν, ὡς ἡ θεία Σοφία, παρ' ἧς ἐκεκίνητο καθυπογράψαι καὶ διορίσασθαι τῶν φαύλως καὶ μοχθηρῶς πεπολιτευμένων ἀνθρώπων τὰς ματαιότητας καὶ πονηροπραξίας, καὶ μέντοι τὴν διαιωνίζουσαν ὑποταγὴν ἀπαραίτητον καὶ θητείαν ἑκάστου τῶν ὄντων καὶ φαινομένων· καὶ τοὺς ἀνὰ πᾶσαν τὴν ὑπὸ τὸν οὐρανὸν συναγείρειν πρὸς τὴν τῶν ἰδίων ῥημάτων ἀκρόασιν, καὶ τοῦ Ἐκκλησιαστοῦ τὴν ὀνομασίαν αὐτῷ παρέσχεν, ὡς ἀξίωμα καινὸν καὶ μεῖζον τῆς βασιλείας. Βασιλεῖς μὲν γὰρ καὶ πρὸ αὐτοῦ πολλοὶ διεγνώσθησαν ἀνὰ πάντα τὰ ἔθνη, μεθ' ὧν κἀν τῷ Ἰσραὴλ ἐπὶ Ἰερουσαλήμ. Ἐκκλησιαστὴς δὲ οὐδεὶς ἐγνωρίσθη τὸ σύνολον, οὐδὲ τῆς ὑφ' ἥλιον διδάσκαλος. Οὐκοῦν ἄρα διὰ τῆς καινοτέρας ἀξίας καὶ προσηγορίας ἀξιολογωτέραν καὶ πιστικωτέραν ᾠήθη δράσαι τοῖς ἐντευξομένοις τὴν ἰδίαν εἰσήγησιν.

B Resumit denuo etiam, sibique apponit appellationes, quibus et initio usus est, aitque Ecclesiastes : « Fui rex in Israel super Jerusalem. » Cui haud inepte quis dixerit : Ecquis te Ecclesiasten constituit ? nam te quidem regem Israel in Jerusalem fuisse, notum id omnibus; paternum enim Jerusalem regnum tibi hæreditate obvenit : at non etiam paterno tibi jure datum est, ut Ecclesiastes dicerere. Qui ergo tibi nomen Ecclesiastæ imposuisti ? verum ipsius loco oraculum veritatis extemplo responsum dabit, ac dixerit : Divinam Sapientiam, cujus ille impulsu facinorosorum hominum vanitates et improba facta describere ac definire aggressus est, nec minus perpetuum atque immutabile rerum omnium, quæ sunt quæque visuntur, obsequium ac C famulatum ; atque idem, quotquot universum ordinem terrarum incolunt, omnes ad sermonem ejus audiendum convocare : eam, inquam, sapientiam nomen huic dedisse Ecclesiastæ, novam veluti dignitatem, atque regno potiorem. Nam reges quidem vel ante ipsum multi per omnes nationes inclaruerunt, quos inter et qui rex Israel super Jerusalem. At neque Ecclesiastes quisquam omnino, neque orbis terrarum magister usquam auditus est. Quare ascita novæ dignitatis appellatione luculentam magis institutionem suam, magisque ad persuadendum idoneam fore existimavit.

Ἀλλ' ἀνακύπτει πάλιν ἐντεῦθεν ἕτερος ἀπορῶν λόγος, καὶ φάσκων· Καὶ εἰ καινὸν αὐτὸς ὄνομα τὸ Ἐκκλησιαστὴς εἴληφε, πῶς φησιν οὐδὲν πρόσφατον, οὐδὲν καινὸν ὑπὸ τὸν ἥλιον; Ἔχει δὲ τοῦτο σύντομον αὐτόθεν τὴν λύσιν· οὐ γὰρ περὶ προαιρετικῶν σπουδασμάτων ἢ γνωμικῶν προτερημάτων τὸ « πρόσφατον » ἢ τὸ « καινὸν » ἔφασκε πρώην· ἀλλὰ περὶ τῶν φυσικῶν κινήσεων καὶ παρακολουθήσεων τῶν ἐν τοῖς οὖσι θεωρουμένων, ἐν οἷς οὐκ ἔστιν εὑρεῖν ἐπίτασιν ἢ προσθήκην, ἢ μείωσιν καὶ ἀφαίρεσιν. Τί οὖν φησιν; « Ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι καὶ τοῦ κατασκέψασθαι· » δηλονότι σχολάσαι πρός τινα καιρὸν πρὸς θεωρίαν τῶν ὄντων· καὶ κα-

D Cæterum alia hinc rursum dubitandi exoritur causa, rogandique, cum novum Ecclesiastes ipse nomen duxerit, quonam pacto affirmarit, nihil esse recens, nihil sub sole novum ? at hoc brevem ex eodem loco solutionem habet. Neque enim ille superius de voluntariis studiis aut de mentis progressibus *recens* et *novum* usurpavit; sed ad naturales hæc retulit motus et successiones eorum, quæ exstant atque spectantur : in quibus nec incrementi quidquam aut decrementi, nec quod additum aut ablatum sit, invenire **31** liceat. Jam quid addit ? « Dedi cor meum ad inquirendum et considerandum ; » id est rerum contemplationi aliquandiu in-

[27] Psal. cxii, 6.

(54) Prov. x, 7; sed apud LXX invenies, Μνήμη δικαίων μετ' ἐγκωμίων.

(55) Sap. v, 16. Verum LXX habent : Καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, quemadmodum in Latinis est : *Et apud Dominum est merces eorum*, et ut infra habes lib. II, § 7.

(56) Sed apud LXX, initium ejus articuli est : Ἐγὼ Ἐκκλησιαστὴς ἐγενόμην βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἰερουσαλήμ. Olymp. Βασιλεὺς Ἰσραὴλ ἐν Ἰερουσαλήμ.

Digitized by Google

cumbere institui, quo invenirem, quantum fieri potest, ac deprehenderem quinam sit rerum conditarum, quas intuemur, motus atque ordo, quæ item desidum ac voluptariorum hominum facinora atque probra. Enimvero et didici et enuntiavi de sole ac terra, deque fluminibus et torrentibus et mari, quæ quidem ex parte exponens ad res universas referebam, nihil nempe ex iis esse, quod non pareat subditumque sit Conditori ac Domino suo, et naturales, quos ille præscripsit, terminos, vel si naturæ adversentur, sancte non servet : cum homines contra insania amentiaque acti vel designatos sibi naturæ fines transgressi sint, atque iis, quæ divina liberalitate atque indulgentia acceperant, in vias vanitatis delapsi, exciderint. De quibus etiam illa a me dicta sunt, « Vanitas vanitatum et omnia vanitas. » Nunc vero, postquam sapientia duce omnia, quæ sub cœlo fiunt, consideravi, ea nimirum, quæ ab hominibus geruntur, quicunque in hoc terrarum, quantus sub sole est, orbe versantur, deprehendi jam et cognovi.

A θὼς οἷόν τέ ἐστιν, ἐξευρεῖν καὶ καταλαβεῖν τὴν κίνησιν καὶ τάξιν τῶν ὄντων καὶ φαινομένων, καὶ μέντοι καὶ τὰς κακοπραγίας καὶ τὰς φαυλότητας τῶν ῥᾳστώνῃ διαζῆν ἐθελόντων ἀνθρώπων. Καὶ μέντοι καὶ διέγνων καὶ διήγγειλα περὶ ἡλίου καὶ γῆς καὶ ποταμῶν καὶ χειμάῤῥων καὶ τῆς θαλάσσης, ἅπερ ἐξεῖπον ἀπὸ μέρους περὶ πάντων κατασημαίνων τῶν ὄντων· ὡς ἕκαστον αὐτῶν πειθαρχεῖ καὶ καθυποτάττεται τῷ ἰδίῳ Ποιητῇ καὶ Δεσπότῃ· καὶ τοὺς τεθειμένους ὅρους παρ' αὐτοῦ φυσικοὺς ἀλωβήτους διαφυλάττει, κἂν εἰσιν ἐναντίοι τῆς φύσεως. Οἱ δὲ παραπλῆγες καὶ παράφρονες ἄνθρωποι καὶ τοὺς δεδομένους αὐτοῖς φυσικοὺς παρεσπόνδησαν ὅρους, καὶ τῶν ἄνωθεν διὰ πολλὴν φιλοτιμίαν καὶ φιλανθρωπίαν χορηγηθέντων αὐτοῖς παρεξέκλιναν, καὶ πρὸς τὰς τῆς ματαιότητος ὁδοὺς κατωλίσθησαν· περὶ ὧν καὶ εἶπον, B « Ματαιότης ματαιοτήτων καὶ πάντα ματαιότης. » Καὶ νῦν δὲ κατασκεψάμενος ἐν τῇ σοφίᾳ περὶ πάντων τῶν γενομένων ὑπὸ τὸν οὐρανὸν, δηλονότι τῶν πραττομένων παρὰ τῶν ἀνὰ πᾶσαν τὴν ὑφ' ἥλιον πολιτευομένων ἀνθρώπων, κατείληφα καὶ διέγνων.

§ XIV.

Vers. 13. *Quoniam distentionem malam dedit Deus filiis hominum ut distendantur in ea.*

Ὅτι περισπυσμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ.

Studia hominum et supervacuos conatus, ac varias multiplicesque vigilias atque concursationes, quorum nihil, principandi dominandique cupiditate, aut parandæ sibi gloriæ, et pecuniæ male partæ atque opum cogendarum causa, defugiunt; simul adeo quidquid ob detestandas corporis voluptates, C et vetita libidinum stuprorumque commercia aggrediuntur, hæc omnia « Distentionem malam » appellavit : quippe quæ mala revera sunt, nec ullo in numero bonorum haberi possunt. Addit autem, « Dedit Deus filiis hominum, » non quasi simpliciter distentio ejusmodi a Deo sit, sed quod ille, liberæ mentis arbitriique eorum ratione habita, quidquid mallet, agere quemque permisit : ne si, quod in potestate **32** nostra est, eripuisset, illud quoque dignum ejus bonitate consilium subverteret, quo juris sui hominem fingens ita ratione atque intelligentia præditum esse voluit, ut ei, quod pejus quodque melius, ad eligendum dijudicandumque proposito, si bonum præoptaret, bonam utique mercedem ferret; sin vero malum amplecteretur, malam, ut par D est, sive pœnam haberet (57).

Τὰς ἐπὶ ταῖς ἀνθρωπίναις ἀρχαῖς, καὶ δόξαις, καὶ, καταδυναστείαις, καὶ συναθροίσεσι τῶν ἀδίκων κτημάτων καὶ χρημάτων φιλοπονίας καὶ περιεργίας, καὶ ποικίλας καὶ πολυτρόπους ἀγρυπνίας καὶ περιπολήσεις· καὶ μέντοι κατὰ τὸ ἀκόλουθον τὰς ἐπὶ ταῖς σαρκικαῖς καὶ βδελυκταῖς ἡδοναῖς καὶ παρανόμοις συνουσίαις καὶ μίξεσι, « περισπασμὸν » ὠνόμασε « πονηρὸν, » ὡς πονηρὰς τῷ ὄντι καὶ πάσης ἀπεστερημένας ἀγαθῆς ὑπολήψεως. Ὃ δέ φησιν, « Ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, » οὐχ ὡς ἁπλῶς τοῦ Θεοῦ τὸν τοιοῦτον περισπασμὸν δεδωκότος, ἀλλὰ τῷ λόγῳ τῆς αὐτεξουσίου γνώμης καὶ προαιρέσεως, συγχωρήσαντος πράττειν αὐτοὺς, ὅπερ ἂν βουληθεῖεν· ἵνα μήτε τὸ ἐφ' ἡμῖν ἀναιρῶν, ἀνατρέψῃ καὶ τὴν ἀγαθοπρεπῆ βουλὴν, καθ' ἣν διέπλασε τὸν ἄνθρωπον αὐτεξούσιον, καὶ δέδωκεν αὐτῷ ψυχὴν λογικήν τε καὶ νοερὰν πρὸς τὸ ταῖς ἰδίαις ἐκλογαῖς καὶ διακρίσεσι τοῦ χείρονος καὶ τοῦ κρείττονος πράττοντα τὸ ἀγαθὸν, εὑρεῖν καὶ τὰς ἀμοιβὰς ἀγαθάς· ὡς ἔμπαλιν πράττοντα τὸ πονηρὸν, εὑρεῖν κατὰ τὸ ἀκόλουθον πονηρὰς ἤτοι κολαστικάς.

(57) Egregia illa sunt in hanc rem Basilii Magni dicta : Ἀλλὰ καὶ διὰ τί οὐκ ἐν τῇ κατασκευῇ τὸ ἀναμάρτητον ἔσχομεν, φησὶν, ὥστε μηδὲ βουλομένοις ἡμῖν ὑπάρχειν τὸ ἁμαρτάνειν; ὅτι καὶ σὺ τοὺς οἰκέτας, οὐχ ὅταν δεσμίους ἔχῃς, εὔνους ὑπολαμβάνεις· ἀλλ' ὅταν ἑκουσίως ἴδῃς ἀποπληροῦντάς σοι τὰ καθήκοντα. Καὶ Θεῷ τοίνυν οὐ τὸ ἠναγκασμένον φίλον, ἀλλὰ τὸ ἐξ ἀρετῆς κατορθούμενον. Ἀρετὴ δὲ ἐκ προαιρέσεως, καὶ οὐκ ἐξ ἀνάγκης γίνεται. Προαίρεσις δὲ τῶν ἐφ' ἡμῖν ἧρτηται· τὸ δὲ ἐφ' ἡμῖν ἐστι, τὸ αὐτεξούσιον. Ὁ τοίνυν μεμφόμενος τὸν ποιητὴν ὡς μὴ φυσικῶς κατασκευάσαντα ἡμᾶς ἀναμαρτήτους, οὐδὲν ἕτερον, ἢ τὴν ἄλογον φύσιν τῆς λογικῆς προτιμᾷ· καὶ τὴν ἀκίνητον καὶ ἀνόρμητον τῆς προαιρετικῆς καὶ ἐμπράκτου. Id est : *At cur, inquit, quispiam, non ita conditi comparatique sumus, ut peccare non possa mus, atque adeo ne volentibus quidem delinquere fas esset? quia, inquam, tu quoque servos non quando vinctos in custodia retines, benevolos tibi esse existimas; sed cum sponte officia erga te sua implere videri. Ergo et Deo gratum est non id, quod necessitate expressum sit, sed quod a virtute perfectum. Virtus vero a voluntate oritur, non a necessitate, voluntas autem ab illis pendet, quæ in nobis sunt. Quod vero in nobis situm est, idem liberum arbitrii est potestatis. Qui igitur de Conditore queritur, quod non tales natura nos fecerit, ut peccare nequeamus, is omnino naturæ ratione carens [illegible] rationis particeps est nec se incit[illegible]*

Digitized by Google

Τὸ οὖν, « Ἔδωκεν ὁ Θεὸς, » ἀντὶ τοῦ, « συνεχώρησεν, ἀφῆκε, » τέθεικεν ὁμολογουμένως ὁ σοφὸς Ἐκκλησιαστής· καθὼς καὶ Παῦλος ὁ μέγας ἀπόστολος ἔφησε περὶ τῶν ἐξοκειλάντων εἰς πᾶσαν ἀθεμιτοπραγίαν καὶ πονηροπραξίαν· φησὶ γάρ· « Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι

A **33** Itaque illud « Dedit Deus » sapiens Ecclesiastes pro, « concessit, permisit, » sine controversia usurpavit; quemadmodum magnus quoque apostolus Paulus de iis est locutus, qui in nefarium quodque opus improbumque facinus prolapsi sunt : ait enim : « Propter quod tradidit illos Deus in desideria cordis eorum, in immunditiam, ut contume-

vim habet. (Hom. 9, e divers. *Quod Deus non est auctor malorum.*

Cæterum Gregorius quoque noster catholicam de hominis libertate sententiam multis in locis sic exposuit, nihil ut planius aut luculentius optare possis. Cujus ego verba, præsertim quod post damnatum Pelagium scripserit, semel omnia repræsentanda ob oculos censeo, in eorum solatium, qui veterem Ecclesiæ doctrinam labefactari dolent, eamque quo licet studio ac summa fide tuentur. Enimvero paulo inferius (§ 15) ad illa Ecclesiastæ verba : *Et præsumptio spiritus*, sic disserit : « Quasi diceret : Hæc omnia optio animi sunt arbitrio utentis, qui ad utrumque, bonum nempe et malum, inclinandi facultate manifesto præditus est. » Et lib. II, § 13, prolata Moysis sententia : « Posuit Deus ante conspectum tuum vitam et mortem; bonum et malum, » addit : « Nam unicuique hominum auctor nostri generis et naturalibus et scriptis legibus dedit, ut quæ bona quæque meliora, et mala item quæ essent quæque pejora, cognoscere posset. Ac quemadmodum unam quisque rationalem intelligentemque sortitus est animam, ita unam pariter affectionem haberet bonam honestique studiosam, seligeretque bona factu et potiora, unde vitam hauriret; contrariorum vero optionem et delectum tanquam mortiferum respueret, atque a vita procul detestaretur. At homines, quanquam naturam nacti cum intrinsecus vi, potentia, affectibus, tum extrinsecus conformatione habituque unam atque eamdem, magna ex ignorantia honestatis et ex pravitate consilii in naturam, quæ una esset, divisionem induxerunt absurdam, ut variam diversamque mentis humanæ voluntatem demonstrarent. »

Jam lib. IV, § 9, postquam mirandum non esse ait, multa ab hominibus contra jus et fas passim admitti, hæc subnectit : « Liberum enim suique juris animal super terram solus homo est, qui se in utramque partem flectere potest : ut qualem vivere vitam voluerit, sive bonam nempe sive malam, tales a Deo remunerationes ac præmia sit relaturus. »

Idem vero lib. VI, § 13, præfatus, tempora et dies nullam cuiquam afferre vim posse : « At nequitiæ, inquit, et improbitatis pravitatisque effector dies nullus omnino est : sed hominum voluntates ut hæc quoque exsisterent, negligentia sua ac desidia effecerunt. » Et § 14, ostendens, quæ proborum virorum doctrina esse debeat, « Simul et doceant, ait, et virtutem et vitium ab humano arbitrio pendere, ac propterea tam pacatam serenamque hominum vitam, quam turbulentam eorumdem ac tumultuosam conditionem. » Rursum ut declaret, nihil homini obesse, ne vitæ suæ exitum habeat faustum atque beatum, § 17, sic loquitur : « Condidit Deus intelligentis ac ratiocinantis animæ potestatem, deditque homini, quo deducere et emendare in bonum omnia posset, ea etiam, quæ naturam afferre contrariam viderentur : ut incomprehensibiles divinæ bonitatis atque sapientiæ thesauros enuntiando, et gratias Deo in omnibus cum laude agendo, aliam homines causam invenirent nullam, cur quisque, bonam retinens mentem, ac quod bonum est præstans, melior fieret, quam unam propriam voluntatem, quæ a Deo potestatem libertatemque accepit, ut se in quam vellet partem

B inclinaret, hujus rei causa hominem conditor talem constituit, ut præter voluntarii consilii ac propensionis terminum et rationem et destinationem nulla alia reperiretur causa, quæ vel perseverantiæ in melius, vel mutationis in pejus socia esset ac comes. » Qua vero ratione homo in peccatum labatur, lib. VII, § 11, sic explicat : « Quippe rationalis intelligentisque animæ libertate in re mala abusus, potestatem suam exercet, voluntatis momentum inclinando, id est indulget, ut mentiatur, et calumnietur et vexet et ditescat alienis, et proximum multis et variis modis pessime afficiat. »

Simillima hæc, opinor, ac gemina iis, quæ in Historia Maffeiana a Patrum scriptis decerpta legimus. Ne vero quispiam illud objicere possit, dum Gregorius noster hominis libertatem extollit, suspicionis ansam præbere, ne Pelagianæ labis immunem eum habeamus, utque divini auxilii necessitatem vix agnoscere existimemus; præclara illa sunt, quæ hoc ipso in libro habet § 16, exposita enim illa Ecclesiastæ sententia : « Perversum non poterit adornari, et imminutio non poterit numerari; » hæc subjicit : « Ita plane humana voluntas, simul atque subversa sit, et ad pejora devenerit, non jam suis ipsa v ribus emendet sese meliorem-

C que faciat, nisi alter providentia ejus curaque susceptа, gratiæ suæ ope et potentia medeatur, idemque ad virtutem atque ad absolutam perfectamque melioris vitæ rationem et viam sanando revocet. Id vero ille omnino præstabit, qui eam finxit, et ad suam ipsius expressit imaginem, cuncta ipse commutans in melius atque transformans : Dei scilicet Verbi, per divinam et bonitate ejus dignam naturæ nostræ assumptionem, omnium potente gratia. » Vide et lib IV, § 1.

Nec vero divino auxilio egere minus hominem censet, ne delinquat : nam lib. VII, § 1, illa Ecclesiastæ verba : *Quia homo non est justus in terra, qui faciet bonum, et non peccabit*, sic interpretatur· « Id eo spectat, ut auditores ad animi demissionem adducat, et ad cœlestem sapientiam atque opem impensius inquirendam; cum peccati labem nequaquam in hac vita effugere homo valeat, nisi subsidium illi auxiliumque divinitus præsto sit. » Et lib. VIII. § 9 : « Nos vero, inquit, operam demus, ut sobriam semper et vigilantem et attentam vitam agamus, imploremusque supernam gratiam et opem

D in agendo adjutricem, qua insidiatorum et furum latronumque laqueos et dolos omnes et furorem effugere possimus : et virtute præstantiores facti, spiritali quodam sanctioris ac perfectioris vitæ nexu Deo plane conjungamur. » Vide etiam lib. IX, § 16.

Denique ipsum etiam omnium recte factorum initium a Deo item esse, diserte profitetur. Nam ad illa Ecclesiastæ verba : « Beata tu terra, cujus rex tuus filius liberi; lib. IX, § 15 adnotata reperies : « Quidni etiam intellectum modo filium liberi significet, id est sancti divinique Spiritus, qui intellectum effingit sapientem ac purum, idemque obsignat et parit sanctum et omnino ingenuum ac nobilem? sui quippe juris Spiritus veritatis planeque liber, ubi vult spirat, atque ut voluerit, intellectum sui participem facit : qui virtute accepta sancti Spiritus, ordinat, regit, in officio continet principes suos, cæteras nempe rationalis animæ facultates. »

Digitized by Google

liis afficiant corpora sua in semetipsis [28]. » Et rursus : « Et sicut non probaverunt Deum habere in notitia, tradidit illos Deus in reprobum sensum, ut faciant ea quæ non conveniunt [29]; » arbitrio quemque suo, quod liberi sint, facere passus, quæ non conveniant, addit deinde sapiens Ecclesiastes :

A τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς· » καὶ πάλιν· « Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα. » Τῇ σφῶν προαιρέσει, διὰ τὸ αὐτεξούσιον εἶναι, συγχωρήσας τὰ μη καθήκοντα δρᾷν. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ XV.

VERS 14. *Vidi universa opera, quæ facta sunt sub sole; et ecce omnia vanitas et præsumptio spiritus.*

Εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον· καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.

Non quæ in mundi fabrica ab eo sunt facta, qui omnia valde pulchra **34** construxit; nam cui hoc B aut quomodo in mentem veniat, cum absurdum plane sit? Sed ea, quæ ab hominibus malis improbisque et gesta sunt et geruntur, quemadmodum paulo ante diximus. Id enim adjecta illa sententia confirmat dicentis : « Et præsumptio spiritus (58), » quasi diceret : Hæc omnia optio animi sunt arbitrio utentis, qui ad utrumque bonum nempe et malum, inclinandi facultate manifesto præditus est. Eum quippe nunc aperte *spiritum* appellavit. Humani porro animi præsumptioni non utique rerum natura subjecta est, ut de his ea verba prolata esse putare possis; sed ea sunt, quæ plerique hominum naturæ adversati facere solent. Nam quod in hominibus mala hæc distentio et pravorum operum vanitates minime secundum naturam sint, cum olim C multi ostendere, qui Deo chari virtutum omnium splendore nituerunt; tum vero ii nunc etiam declarant, qui nobiscum ita versantur ac vivunt, ut eorum semper vestigiis insistant. Jam subdit :

Οὐχὶ τὰ γεγονότα κατὰ τὴν κτίσιν ὑπὸ τοῦ κατασκευάσαντος τὰ πάντα καλὰ λίαν· μηδαμῶς οἰήσοιτο τοῦτό τις, κἂν ὁπωσοῦν· ἄτοπον γάρ· ἀλλὰ τὰ παρὰ τῶν φαύλων καὶ πονηρῶν ἀνθρώπων πεποιημένα καὶ δρώμενα, καθὼς ἔφημεν προσεχῶς. Τοῦτο γὰρ ἐμπεδοῖ διὰ τῆς ἀποδόσεως τοῦ ῥητοῦ, φήσας, « καὶ προαίρεσις πνεύματος, » ἀντὶ τοῦ ταῦτα πάντα βούλησίς εἰσι τῆς ψυχῆς, τῆς ἐν τῇ αὐτεξουσιότητι τὴν ἐφ' ἑκάτερα ῥοπὴν, ἐπί τε τὸ ἀγαθὸν, ἐπί τε τὸ πονηρὸν, ἀριδήλως ἐχούσης. Ταύτην γὰρ *πνεῦμα* νῦν ὠνόμασε προφανῶς. Οὐ τοίνυν ἡ προαίρεσις τῆς ἀνθρωπίνης ψυχῆς τὴν τῶν ὄντων φύσιν ὑπέστησεν· ἵνα τις περὶ αὐτῶν οἰηθείη τὰ εἰρημένα λελέχθαι· περὶ δὲ ὧν ὁ πολὺς ἄνθρωπος παρὰ φύσιν κεκινημένος εἴωθε πράττειν. Ὅτι γὰρ οὐ κατὰ φύσιν ἐστὶν ὁ πονηρὸς περισπασμὸς καὶ τῶν φαύλων ἔργων αἱ ματαιότητες τοῖς ἀνθρώποις, ἔδειξαν καὶ πάλαι ποτὲ πολλοὶ τῶν εὐαρεστησάντων τῷ Θεῷ καὶ διαλαμψάντων ταῖς αἴγλαις τῶν ἀρετῶν ἁπασῶν· καὶ νῦν δὲ οἱ κατὰ μίμησιν ἐκείνων πολιτεύεσθαι καὶ βιοῦν ἐσπουδακότες. Εἶτά φησιν·

§ XVI.

VERS. 15. *Perversum non poterit adornari, et imminutio non poterit numerari* (59).

Διεστραμμένον οὐ δυνήσεται τοῦ ἐπικοσμηθῆναι· καὶ ὑστέρημα οὐ δυνήσεται τοῦ ἀριθμηθῆναι.

Naturalia nobis exempla in mentem revocat, quibus illud demonstrare vult, liberam hominis voluntatem, quæ semel a veritatis justitiæque semita aberraverit atque deflexerit, corrigi jam atque ad meliorem frugem redire non posse. Nam quemadmodum, inquit, quæ arbor, aut res alia hujusmodi, distorta atque **35** in dexteram deflexa sit partem, D ipsa per se vique sua attollere se, eamque induere nequit formam, quam recta cum aliis parem habebat; neque item imminutio numerari unquam potest, ut qui numerus decem erat, uno imminutus, et novem factus, decem dici queat; nisi nempe et peritissimus quispiam plantarum cultor arborem medendo reducat, atque

Φυσικῶν παραδειγμάτων ἡμῖν εἰσάγει τὴν ἔννοιαν, δι' ὧν ἀποδεῖξαι βούλεται τὴν ἀνθρωπίνην προαίρεσιν ἅπαξ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης παρεκτραπεῖσαν καὶ παρεκκλίνασαν, ἀμηχανεῖν πρὸς τὴν διόρθωσιν καὶ βελτίωσιν. Ὡς πᾶν γὰρ, φησὶ, τὸ διεστραμμένον καὶ παρεκκλίναν ἐπὶ θάτερον μέρος φυτὸν, ἤ τι τῶν παραπλησίων οὐ δυνήσεται παρ' ἑαυτοῦ καὶ οἴκοθεν τὴν ἐπανόρθωσιν εὑρεῖν καὶ τὴν κοσμιότητα τὴν ἐπ' εὐθείας τοῖς ἄλλοις θεωρουμένην· οὔτε μὴν ὑστέρημα δυνήσεται τοῦ ἀριθμηθῆναι· τοῦ γὰρ ἀριθμοῦ τῶν δέκα λείποντος ἑνὸς αὐτῶν, καθ' ἑαυτὸν τὸν ἔννατον ἀριθμὸν οὐχ οἷόν τέ ἐστι καλεῖν δέκατον· εἰ μή τις ἐπιστημονικώτατος φυτοκόμος καὶ τὸ φυτὸν ἀνθελκύσει, καὶ πρὸς τὴν ἰθυτενῆ στάσιν καὶ θέαν

[28] Rom. I, 24. [29] ibid. 28.

(58) « Septuaginta interpretes, » inquit Hieronymus, « non Hebræum sermonem expressere, sed Syrum, dicentes προαίρεσιν. » Nimirum Hebraice scriptum est רעות, quod Aquila et Theodotio νομὴν, Symmachus reddidit βόσκησιν· quare et a veteri scholiaste, ut auctor est Nobilius, explicatur νομὴ ἀνέμου, sive *pastio venti*. Neutra tamen interpretatio admodum Hieronymo probabatur. Addit enim : « Dicebat mihi Hebræus, quo Scripturas sanctas instituente perlegi, quod suprascriptum רעות verbum magis in hoc loco *afflictionem* et *malitiam*, quam *pastionem* et *voluntatem* significaret; non a *malo* quod est contrarium *bono*, sed ab eo, quod in Evangelio scribitur : *Sufficit diei malitia sua*, quam Græci significantius κακουχίαν vocant. » (*In Com. in Eccl.* c. I.)

(59) Olymp. οὐ δυνήσεται τοῦ κοσμηθῆναι. Nyssen. omittit τοῦ.

Digitized by Google

ἀποκαταστήσει διὰ τῆς ἐμπειρίας· καὶ μέντοι τοῖς ἐννέα νομίσμασιν ἄλλος τις ἑτέρου ποιήσοιτο προσθήκην νομίσματος· οὕτως οὐδὲ τῆς ἀνθρωπίνης προαιρέσεως ἅπαξ παρεκτραπείσης καὶ πρὸς τὰ χείρω διαστραφείσης δυνατὸν αὐτὴν παρ' ἑαυτῇ καὶ οἴκοθεν ἀναλαβεῖν τὴν διόρθωσιν καὶ βελτίωσιν, εἰ μή τις ἄλλος προμηθούμενος αὐτῆς καὶ κηδόμενος διὰ τῆς ἰδίας χάριτος καὶ δυνάμεως ἰάσοιτο, καὶ πρὸς τὴν ἀρετὴν ἀνθελκύσῃ καὶ τὴν παντελῆ καὶ τελείαν διόρθωσιν καὶ βελτίωσιν. Τοῦτο δὲ δράσει πάντως ὁ διαπλάσας αὐτὴν καὶ ποιήσας κατ' εἰκόνα ἰδίαν, καὶ μεταποιῶν πάντα καὶ μετασκευάζων πρὸς τὸ βέλτιον· ἀπειροδύναμος τοῦ Θεοῦ Λόγου χάρις διὰ τῆς ἀγαθοπρεποῦς αὐτοῦ καὶ θείας ἐνσωματώσεως.

A rectum in statum aspectumque arte restituat et novem quoque nummis alius quis alterum superaddat nummum (60); ita plane humana voluntas simul atque subversa sit, et ad pejora devenerit, non jam suis ipsa viribus emendet sese, meliorem-que faciat, nisi alter providentia ejus curaque suscepta, gratiæ suæ ope et potentia medeatur, idemque ad virtutem atque ad absolutam perfectamque melioris vitæ rationem et viam sanando revocet. Id vero ille omnino præstabit, qui eam finxit, et ad suam ipsius expressit imaginem, cuncta ipse commutans in melius atque transformans : Dei scilicet Verbi per divinam et bonitate ejus dignam naturæ nostræ assumptionem omnium potente gratia.

Καὶ μηδεὶς παρέλκον ἡμᾶς καὶ περιττόν τι λέγειν οἰέσθω, ἅτε δὴ τὸ μὴ λελεγμένον τῷ Ἐκκλησιαστῇ κατὰ προσθήκην τῷ λόγῳ συμπαρεισκρίναντας. Πολλὰ γὰρ ἐν τῇ θείᾳ Γραφῇ τῷ λόγῳ τῆς ἐλλείψεως εὕρηνται κατὰ τὸν ποιητικὸν τρόπον, ἃ προσυπακουόμενα δέχονται τὴν ἀναπλήρωσιν παρὰ τῶν εὐγνωμόνων ἐξηγητῶν· καὶ μάλιστα τῆς τῶν πραγμάτων ἐκβάσεως τὴν ἡμετέραν ἐκδοχὴν ἐμπεδούσης. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

B Neque hic quispiam superfluum aliquid et redundans a nobis induci existimet, quasi nos, quod ab Ecclesiaste dictum non est, sermoni ejus addendo adjudicemus. Multa enim divinis in Litteris, poetico quodam more, per præteritionem omissa invenimus, quæ æquitate interpretum, si subintellecta sint, sententiam apprime complent : ac tum maxime, cum explicatio **36** nostra ipso rerum exercitu comprobatur. Jam addit Ecclesiastes :

§ XVII.

Ἐλάλησα ἐγὼ ἐν τῇ καρδίᾳ μου τῷ λέγειν· Ἰδοὺ ἐγὼ ἐμεγαλύνθην, καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν, οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ· καὶ καρδία μου εἶδε πολλὰ σοφίαν καὶ γνῶσιν· καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην· ἔγνων ὅτι καὶ γε τοῦτό ἐστι προαίρεσις πνεύματος.

Τῷ ἐνδιαθέτῳ λόγῳ ποιήσασθαι τὴν διάλεξιν αἰνίττεται καθ' ἑαυτὸν, ἥκιστα προφορικῷ λόγῳ χρησάμενος, ἀλλ' ἐν τοῖς διαβουλίοις ἐλάλησεν, ὡς Ἰδοὺ μεγαλοσύνην ἔχω βασιλικὴν ὑπὲρ τοὺς ἔμπροσθέν μου, δηλονότι τοὺς προβεβασιλευκότας ἐν Ἰερουσαλὴμ, καὶ σοφίας καὶ γνώσεως ἐπίτασιν. Καὶ γὰρ ἐπ' αὐτὸ τοῦτο κατέσπευσα τὴν καρδίαν μου τὸ πρὸς τὸ ἀκρότατον ἀφικέσθαι σοφίας καὶ γνώσεως, καὶ τῇ περιλήψει τῆς ἐμαυτοῦ διανοίας παραβολὰς καὶ πᾶ-

Vers. 17, 18. *Locutus sum ego in corde meo dicens : Ecce ego magnificatus sum, et adjeci sapientiam super omnes, qui fuerunt ante me in Jerusalem : et cor meum vidit multa, sapientiam et scientiam : et dedi cor meum, ut noscerem sapientiam et scientiam, parabolas et scientiam; cognovi, et hoc esse præsumptionem spiritus* (61).

Interno hæc sermone apud se disserere significat, C cum oratione ad neminem conversa, cum animo ipse suo in hunc veluti modum consultet : Ecce majestatem habeo regiam, quanta in majoribus non fuit, qui nempe ante me Jerosolymis regnaverunt : sapientiæ item et scientiæ plurimum; nam huc animo contendi, ut ad summum sapientiæ scientiæque fastigium evectus, parabolas assequerer, et omnia scitu digna intellectu et cognitione compre-

(60) Delibata hæc e Nysseno, qui rem eamdem elegantius expressit atque amplificavit. Sic enim ille disserit : Τὸ οὖν ὑστέρημα, φησὶν, οὐ δυνήσεται τοῦ ἀριθμηθῆναι. Τί τοῦτο σημαίνει διὰ τοῦ λόγου; ὅτι ἦν ποτε καὶ τὸ καθ' ἡμᾶς τῷ παντὶ ἐναρίθμιον. Συντελοῦμεν γὰρ καὶ ἡμεῖς εἰς τὴν ἱερὰν τῶν λογικῶν προβάτων ἑκατοντάδα. Ἐπειδὴ δὲ ἀπεβουκολήθη τῆς ὀρείου διαγωγῆς τὸ ἓν πρόβατον, ἡ ἡμετέρα φύσις, διὰ κακίας πρὸς τὸν ἀλμῶντα τοῦτον καὶ πύχμηρὸν τόπον κατασπασθεῖσα, οὐκέτι ὁ αὐτὸς ἀριθμὸς ἐπὶ τοῦ ποιμνίου τῶν ἀπλανῶν μνημονεύεται, ἀλλ' ἐνενήκοντα καὶ ἐννέα κατονομάζονται. Τὸ γὰρ μάταιον ἔξω τοῦ ἀριθμοῦ τῶν ὑφεστώτων γίνεται· διότι ὑστέρημα οὐ δυνήσεται τοῦ ἀριθμηθῆναι. Ἦλθεν οὖν ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, καὶ ἐπὶ τῶν ὤμων ἀναλαβὼν ἀποκαταστῆσαι τοῖς οὖσι τὸ τῇ ματαιότητι τῶν ἀνυπάρκτων ἐναπολλύμενον, ἵνα πάλιν ἄρτιος γένηται ὁ τῆς κτίσεως τοῦ Θεοῦ ἀριθμὸς, ἀποσωθέντος τοῦ ἀπολωλότος τοῖς μὴ ἀπολλυμένοις. Id est : *Defectus igitur, inquit, non poterit numerari. Ecquid dicto hujusmodi significatur? fuisse scilicet tempus, quo nos quoque omnino ad numerum pertinebamus : nam et nos in sacro illo numero centenario rationalium ovium censebamur. Postquam autem a montanis pascuis aberravit ovis una, nempe nostra natura, vitio suo ad hunc aridum et incultum locum abstracta, non amplius commemoratur idem numerus in grege earum, quæ non aberrarunt, sed nominantur nonaginta et novem. Vanum enim est, quod extra numerum subsistentium sit : quia defectus non poterit numerari. Venit ergo ad quærendum et servandum quod perierat, et cum in humeros sustulisset, ad restituendum iis, quæ sunt, id quod peribat in vanitate eorum, quæ non sunt, ut rursus fieret integer divinorum operum numerus, conservato eo, quod perierat iis, quæ non pereunt.* (Hom. 2 in Eccl.)

(61) Apud LXX, alio hæc verborum ordine scripta legimus, quæ ita se habent : Ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου..., καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν. Καὶ καρδία μου εἶδε πολλὰ, σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην. Ἔγνων ἐγὼ, ὅτι καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος. Olymp. non habet, καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν. Idem legit, καὶ καρδία μου εἶδε πολλὴν σοφίαν, etc.

Digitized by Google

henderem. Hisce omnibus postquam potitus sum, ultimosque humanæ felicitatis attigi fines ; tum vero humanam magis vitam commiseratus sum, quæ nullam omnino utilitatem ex his omnibus referre possit. Qua demum de causa ? Propterea, inquit, quod hoc etiam est præsumptio spiritus ; tanquam si diceret : Animi quidem volentis negotium hæc sunt omnia ; nam animum hic quoque spiritus appellatione designavit : at nihil profecto ad commodum salutemque animi iis prosunt, qui minus de virtutis adeptione laborantes, omne in eo studium ponunt, ut populo placeant, inanique gloria elati et fastum amant et plausus hominum aucupantur. Atque illud etiam accedit incommodi, ut qui ob animum ab intelligibilium bonorum cognitione alienum nullam inde utilitatem capiunt, iidem in his occupati defatigationem præterea et laborum molestias atque inutiles quoque vigilias vanasque curas subire debeant. Hoc namque iis confirmat, quæ protinus subnectit.

A σαν ἐπιστήμην συσχεῖν. Τούτων ἁπάντων ἐπειδὴ πλήρης γέγονα, καὶ πρὸς τὴν ἀκροτάτην ἐν ἀνθρώποις ἦλθον εὐετηρίαν · τότε μᾶλλον ἐταλάνισα τὴν ἀνθρωπίνην ζωὴν, ὡς μηδὲν ἀπόνασθαι τούτων πάντων δυναμένην τὸ σύνολον. Τί δή ποτε ; Διότι, φησὶ, καίγε τοῦτό ἐστι προαίρεσις πνεύματος. Ἀντὶ τοῦ, ψυχικῆς μὲν βουλήσεως ἔργον ταῦτα πάντα πεφύκασι. Πνεῦμα γὰρ κάνταῦθα τὴν ψυχὴν προσηγόρευσεν. Οὐ μέντοι δὲ πρὸς τὴν ὠφέλειαν καὶ σωτηρίαν τῆς ψυχῆς συντελοῦσι τοῖς μὴ περὶ πολλοῦ τὴν κτῆσιν τῆς ἀρετῆς τιθεμένοις, ἀλλὰ πρὸς μόνην ἀνθρωπαρέσκειαν καὶ τὴν φυσίωσιν τῆς κενῆς δόξης, καὶ πρὸς τὸν τύφον καὶ τὸν ἀνθρώπινον ἀποβλέπουσιν ἔπαινον. Πρὸς δὲ τῷ μηδὲν ἀπόνασθαι τῶν τοιούτων τοὺς μηδαμῶς ἔχοντας νοῦν πρὸς τὴν τῶν νοητῶν B ἀγαθῶν ἀνατεινόμενον ἔφεσιν, καὶ περιπόνησιν, καὶ κόπον, καὶ πόνον τοῖς περὶ τὰ τοιαῦτα σχολάζουσι πεφύκασι προξενεῖν, καὶ περιττὰς ἀγρυπνίας καὶ ματαίας φροντίδας. Τοῦτο γὰρ παρεμπεδοῖ διὰ τῶν ἀμέσως ἐπαγομένων ·

§ XVIII.

37 Vers. 18. *Quia in multitudine sapientiæ multitudo cognitionis, et qui apponit scientiam apponit dolorem* (62).

Ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, καὶ ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα.

Quibus manifesto declarat, quantum quis sapientiæ modum supergressus, animum suum uberiore doctrina compleverit, tantum huic ægritudinis accessurum et anxietatis, atque curarum, ut sublimiorem sapientiam majoremque rerum cognitionem C assequatur. Nam animadverte, quæso, qua hæc ratione Ecclesiastes exponat. Quo, inquit, pacto multitudinem sapientiæ multitudo cognitionis consequitur, eodem scientiæ additamentum additio dolorum pone comitatur. Quare externam illam et superfluam multarum disciplinarum scientiam sectati, postquam eam, quæ annexa est, humanam sibi sapientiam et summam rerum cognitionem vigiliis et laboribus pepererunt, non modo diuturno ii studio necessarium nihil et utile, vitæque æternæ viam muniens auferre solent, sed dolorum etiam magnam sibi rursus factam accessionem esse sentiunt. Quando illud melius, si nos, his omnibus valere jussis, in Conditoris nostri et Dei et Domini laudibus, in precibus, in obsecrationibus occupati vigilias agamus ! Si hæc colere, his operam dare incipiamus : atque per hæc animum ac mentem ad incomprehensibilem illam divinæ majestatis altitudinem attollentes, in ejus, qui gloriæ Sol est, pulchritudine oculos defigamus : ea ut luce perfusi ac ditati et quod intra in homine et quod extra est, illustrare possimus, cœlestiaque, quantum fieri potest, meditantibus contemplantibusque arcana frui gloria, et ineffabili plane divinoque gaudio compleri liceat. Minime jam erit metuendum, ne opera vanis in rebus posita, nos

Δεικνὺς ἐμφανῶς, ὡς καθ' ὅσον ἄν τις ὑπεραρθείη τῆς σοφίας τοῖς μέτροις, καὶ τῷ πλήθει τῆς γνώσεως, ἐνδαψιλευομένην ἕξει τὴν ἑαυτοῦ καρδίαν, κατὰ τοσοῦτον τοῖς ἀλγήμασιν αὐτὴν περιβάλλει τῶν φροντίδων καὶ μερίμνων τῆς ὑψηλοτέρας καὶ μείζονος σοφίας καὶ γνώσεως. Ὅρα γὰρ τὴν συλλογιστικὴν ἀπόδοσιν τοῦ Ἐκκλησιαστοῦ. Πῶς, φησὶ, τῷ πλήθει τῆς σοφίας ἀκολουθεῖ τὸ πλῆθος τῆς γνώσεως, καὶ τῇ προσθήκῃ τῆς γνώσεως ἡ προσθήκη τῶν ἀλγημάτων συμπαρομαρτεῖ κατὰ τὸ ἀκόλουθον · ὥστε πρὸς τὸ μηδὲν ἀναγκαῖον καὶ λυσιτελὲς καὶ πρόξενον τῆς αἰωνίου ζωῆς ἐκ τῆς ἀναλήψεως τῶν θύραθεν πολλῶν καὶ περιττῶν μαθημάτων, καὶ τῆς ἐν ἀγρυπνίαις καὶ κόποις προσγινομένης ἀνθρωπίνης σοφίας καὶ γνώσεως ἀκροτάτης ἀκολουθεῖν τοῖς περὶ τὰ τοιαῦτα λίαν ἐσπουδακόσιν, ἔμπαλιν καὶ ἡ ἐπίτασις συμβαίνει τῶν ἀλγημάτων · δέον, τούτοις πᾶσι χαίρειν εἰπόντας, διαγρυπνεῖν ἐν ὑμνῳδίαις καὶ προσευχαῖς καὶ δεήσεσι ταῖς πρὸς τὸν ἴδιον Ποιητὴν καὶ D Θεὸν καὶ Δεσπότην · καὶ τούτοις ἐγκαρτερεῖν, τούτοις σχολάζειν, διὰ τῶν τοιούτων ἀνυψοῦν τὴν καρδίαν καὶ τὸν νοῦν πρὸς τὸ ἀκατάληπτον ὕψος τῆς θείας μεγαλωσύνης, καὶ τῷ κάλλει τοῦ Ἡλίου τῆς δόξης προσατενίζειν, καὶ ταῖς ἐκεῖθεν μεθέξεσι καὶ μετουσίαις καταλαμπρύνεσθαι καὶ τὸν ἐντὸς καὶ τὸν ἐκτὸς ἄνθρωπον, καὶ τῆς ἀῤῥήτου δόξης κατατρυφᾷν ἐν ταῖς κατὰ τὸ δυνατὸν πρὸς αὐτὴν θεωρίαις καὶ φαντασίαις, καὶ πληροῦσθαι τῆς ὄντως ἀνεκλαλήτου καὶ θείας ἀγαλλιάσεως · ἵνα μὴ τῷ Ἐκκλησιαστῇ παραπλησίως τοῖς ἀσυμφόροις σχολάζοντες, εἰς κατάγνωσιν ἔλθωμεν μικρὸν ὕστερον τῆς ἀγονήτου σχολῆς,

(62) Sed LXX habent προστίθησι ἄλγημα.

Digitized by Google

δ πεπονθέναι φάσκει καὶ δι᾽ ὰ τῶν ἑπομένων αὐτός· ἐπάγει γὰρ καί φησιν·

A etiam, quemadmodum Ecclesiastes, non multo post tempore inutile otium damnare debeamus : quod sibi ille contigisse, iis etiam, quæ sequuntur, affirmat. Addit enim atque ait .

§ XIX.

Εἶπον ἐγὼ ἐν τῇ καρδίᾳ μου· Δεῦρο δὴ, πειράσω σε ἐν εὐφροσύνῃ, καὶ ἴδε ἐν ἀγαθῷ· καὶ ἰδοὺ καὶ γε τοῦτο ματαιότης.

Πᾶσαν γάρ τις ἐν ἑαυτῷ συναθροίσας καὶ περιλαβὼν εὐφροσύνης ὑπόθεσιν, καὶ διημερεύσας ἐν τοῖς νομιζομένοις ἀγαθοῖς ἀνθρωπίνοις, ἤγουν ἐν βρώμασι καὶ πόμασι τοῖς κεκαρυκευμένοις καὶ θελκτικοῖς, καὶ κλίναις λελαμπρυσμέναις καὶ περιηνθισμέναις, καὶ ταῖς κιναίδοις καὶ βδελυκταῖς τῆς σαρκὸς ἡδοναῖς, καὶ περιδόξοις καταστολαῖς· ὅταν εἰς τὸ πέρας ἔλθῃ B τοῦ χρονικοῦ διαστήματος τῆς ἡμέρας, τηνικαῦτα πάντα τὸν κατάλογον τῆς ποικίλης καὶ παντοδαποῦς εὐφροσύνης ἐκείνης εὑρήσει φροῦδον γενόμενον· ὡς μηδὲν ὑπολελεῖφθαι τὸ σύνολον ἴνδαλμα καὶ λείψανον

38 CAP. II. VERS. .. *Dixi ego in corde meo: Veni, nunc tentabo te in lætitia, et vide in bono. Et ecce etiam hoc vanitas* (63).

Nam si quis lætitiæ occasionem unde arripiat ac complectatur, inque **39** iis, quæ humana putantur bona, diem terat, exquisita quæque et suavia edendo ac potando, lectis purpura fulgentibus accubans, obscenis idem ac detestantis corporis voluptatibus deditus, et splendido cultu luxurians : jam is exacto diei spatio cum ad finem pervenerit, totum illum tam variæ multiplicisque lætitiæ elenchum sic evanuisse inveniet, nulla ut species omnino aut vestigium voluptatis relictum sit. Quin etiam homines hujusmodi morborum

§ XII.

Οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ πλὴν ὃ φάγεται καὶ πίεται, καὶ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ. Καί γε τοῦτο εἶδον ἐγὼ, ὅτι ἀπὸ χειρὸς τοῦ Θεοῦ ἐστιν, ὅτι τίς φάγεται καὶ πίεται παρ᾽ ἐξ αὐτοῦ ;

B VERS. 24. *Non est bonum homini præterquam quod comedet et bibet, et ostendet animæ suæ bonum in labore suo, et quidem hoc vidi ego, quia de manu Dei est : quis enim comedet et bibet sine ipso* (95)?

Οἱ τῶν αἰωνίων καὶ μελλόντων ἀγαθῶν καὶ τῶν ὑπερουρανίων καὶ θείων ἀμοιβῶν παντελῶς ἀλογήσαντες, καὶ διὰ τοῦτο πρὸς μόνην ζητὴν ἀπολαυστικὴν τῆς παρούσης ζωῆς σφᾶς αὐτοὺς ἐκδεδωκότες τρυφὴν, ταύτην μόνην οἴονται καὶ νομίζουσιν ἀγαθὸν ἐν τοῖς ἰδίοις μόχθοις καὶ κόποις· οὓς αἰνιττόμενος καὶ χαρακτηρίζων τὰ εἰρημένα φησὶν ὁ σοφὸς Ἐκκλησιαστής. Εἰπὼν δὲ, « Καί γε τοῦτο εἶδον ἐγὼ, ὅτι ἀπὸ χειρὸς τοῦ Θεοῦ ἐστιν, » ἔδειξεν ἀριδήλως, ὅτι καὶ τῆς σωματικῆς αὐταρκείας ἡ χρεία καὶ ἡ πρόσφορος τροφὴ καὶ κατάλληλος ἥκιστα παρεμποδίζει τὸν σπουδαῖον πρὸς τὴν ἀποτελεσματικὴν ἐνέργειαν τῶν ἄλλων ἔργων κρειττόνων, δι' ὧν εὐαρεστεῖται Θεὸς καὶ δοξάζεται παρὰ τῶν εὐφρόνως καὶ σοφῶς μεταχειριζομένων τὴν βρῶσιν καὶ τὴν πόσιν· « Εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε, » φησί που Παῦλος ὁ μέγας ἀπόστολος, καὶ πολλῷ δὲ πρώην ὁ προφήτης Δαβὶδ πρὸς τὸν τῶν ὅλων Θεόν· « Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας· » καὶ πάλιν, « Ὁ δι-

Qui æterna ævi futuri bona et divina cœlestis patriæ præmia nullo in pretio habent, eaque de causa soli vitæ hujus voluptati totos se dediderunt, hanc unam in omni labore ac contentione sua bonum ducunt ac censent. Ex horum ingenio sigillatim sapiens Ecclesiastes pronuntiat quæ dicta sunt (96). Cum vero ait : « Et quidem hoc vidi ego, quia de manu Dei est, » manifesto declarat, justam victus rationem et tempestivum congruumque alimentum nunquam honesto **63** viro impedimento esse, ne C cætera potioris ordinis opera absolvat, quibus placare Deum et honore prosequi illi solent, qui cibo et potu sobrie et sapienter utuntur : « Sive enim manducabitis sive bibetis, omnia in gloriam Dei facite (97), » ait alicubi Paulus magnus apostolus ; multoque prius David propheta rerum omnium Deum appellans : « Aperis tu manum tuam, et imples omne animal benedictione (98). » Ac rursum : « Qui dat escam omni carni, et pullis corvorum invocantibus ipsum [43]. Nam cum fluxam hominum naturam au-

[43] Psal. CXLVII, 9.

(95) Apud LXX non legimus πλήν· sed tamen jam adnotavit Nobilius, minus cohærere illud : *Quod comedet* ; nam est, inquit, Hebraismus, et volunt suppleri, *Nisi quod comedit*. Olymp. habet, Εἰ μὴ ὁ φάγεται.

(96) Eodem modo interpretatus hæc est Nyssenus : Ταῦτα, inquit, ὁ τῆς λαιμαργίας συνήγορος ἀνθυποφέρει τῷ διδασκάλῳ· nempe, *Hæc quispiam gulæ patrocinator objicit præceptori*. (Hom. 6 in Eccl.)

At quæ sequuntur, scripta a Gregorio videntur, cum ob oculos haberet *Constitutiones apostolicas* ; eæ enim ab ipsis Eusebii temporibus exstabant et legebantur. In his (lib. IV, c. 5) scriptum est : Παραινοῦμεν οὖν ταῖς χήραις καὶ τοῖς ὀρφανοῖς κατὰ παντὸς φόβου καὶ πάσης εὐλαβείας μεταλαμβάνειν τῶν αὐτοῖς χορηγουμένων, καὶ εὐχαριστεῖν θεῷ τῷ διδόντι τοῖς πεινῶσι τροφὴν, καὶ ἐπ' αὐτῷ τοὺς ὀφθαλμοὺς ἐκτείνειν. Τίς γὰρ, φησὶν, ὑμῶν φάγεται, ἢ τίς πίεται παρ᾽ ἐξ αὐτοῦ ; Αὐτὸς γὰρ ἀνοίγει τὴν χεῖρα αὐτοῦ, καὶ ἐμπιπλᾷ πᾶν ζῶον εὐδοκίας· σῖτον νεανίσκοις καὶ οἶνον παρθένοις καὶ ἔλαιον εἰς εὐφροσύνην τῶν ζώντων· χόρτον τοῖς κτήνεσι καὶ χλόαν τῇ δουλείᾳ τῶν ἀνθρώπων· κρέα τοῖς θηρίοις, σπέρματα τοῖς ὀρνέοις, καὶ πᾶσι τὴν πρόσφορον τροφήν. Nempe : *Consilium igitur damus viduis et pupillis, ut cum summo metu et summa reverentia capiant quæ eis suppeditantur, utque Deo escam danti esurientibus gratias agant, et in eum oculos intendant. Quis enim, inquit, vestrum comedet, aut quis bibet sine ipso ? Ipse enim aperit manum suam, et implet omne animal benedictione ; tribuit frumentum juvenibus et vinum virginibus et oleum ad viventium hilaritatem ; fenum jumentis et herbam servituti hominum, carnes belluis, semina avibus, et omnibus alimentum conveniens.*

(97) I Cor. X, 31. Sed verba ipsa Pauli sunt : Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

(98) Psal. CXLV, 16, sed LXX habent τὰς χεῖράς σου.

Digitized by Google

ctor ejus sic formaverit ac constituerit, ut nisi alimentorum subsidio sustentari non possit, merito et Ecclesiastes a manu Dei esse dixit, quod manducemus, quodque bibamus.

Supremo igitur consilio, et singulari Dei erga homines providentia id nobis delatum est. At comessationibus, præter quam opus sit, indulgere, et naturæ plus concedere quam petat, seque in exquisitas omnis generis epulas ac potationes ingurgitare; consilium est insatiabilis voracisque cupiditatis : quemadmodum sordide avareque se gerere, et coactas omnis generis opes ita servare, ut pro portione copiæ, quæ domino suppetit, in eorum commoda non refundantur, quos necessitas premit, a Deo non est : utrumque enim ab una hominis voluntate atque perverso consilio ortum habet; quare cum id, quod in homine præcipuum est, mens atque ratio, tanquam in servitutem adducta, misere ob crapulam hebescit, nec renovari divinitus et cognitionibus ac ministeriis par esse potest ; tum divitiæ in malorum et flagitiosorum hominum commoda sepositæ æterna supplicia possessoribus parant. Ut enim aliorum miserti non sunt, ita nulla ipsis misericordia tribuetur : quique nihil ulli commodaverunt, pari ratione a Deo, qui donata egenis sibi data putat, nullam mercedem ferent.

Sobrie ergo certoque tempore manducare 64 ac bibere, atque ea agere, quæ natura tanquam necessaria omnino requirit, et quibus si careat, nec incolumem vivere vitam, nec Conditori tuo, quæ debes, ministeria diurnis nocturnisque precibus præstare possis, divinæ utique dexteræ sive bonitatis et consilii opus est. At ultra modum et præter naturæ necessitatem hisce indulgere, rabidi insanique ventris et perversæ voluntatis, non divinæ dexteræ aut divini consilii opus dixeris. Atque hoc idem merito quis de divitiis pronuntiaverit. Ut enim eæ, quas sibi homines multo labore ac sudore, at tenaces veritatis et justitiæ pepererint, siquidem spe Dominum respiciant, et egenis illas pro sua quisque facultate distribuant, bona res sunt, et bona afferunt incorrupta atque perpetua; ita opes illæ, quas homines, quacunque ratione potuerint, congestas in sua commoda absumunt, neque in egentium ac mendicorum subsidium derivant, de quibus dixit Dominus : « Quandiu fecistis uni ex his fratribus meis minimis, mihi fecistis [44], mala res sunt, et malam plane mercedem important.

Si quis vero mystico etiam sensu verba illa *comedere* et *bibere* velit interpretari, ut hoc proprie *bonum* ab Ecclesiaste denominatum contendat; non

[44] Matth. xxv, 40.

A δοὺς τροφὴν πάσῃ σαρκὶ καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. » Τῆς γὰρ ῥευστῆς ἡμῶν φύσεως οὕτως ὑπὸ τοῦ διαπλάσαντος αὐτὴν ὁρισθείσης ἔχειν τὴν σύστασιν διὰ τῆς τῶν τροφῶν μεταλήψεως, εἰκότως ἀπὸ χειρὸς εἶναι τοῦ τὸ πιεῖν.

Τοῦτο οὖν ἐστι τῆς ἄνωθεν ἠρτημένον θείας συμβουλῆς καὶ φιλανθρώπου προνοίας· τὸ δὲ κεχρῆσθαι ταῖς παρὰ τὴν χρείαν ἀδδηφαγίαις, καὶ τῆς φύσεως τὴν αὐτάρκειαν ὑπερβαίνειν καὶ κατεμφορεῖσθαι τῶν καρυκευτικῶν καὶ παντοδαπῶν βρωμάτων καὶ πομάτων, ἐξ ἀκορέστου καὶ λαιμαργικῆς τοῦ σαρκικοῦ φρονήματος ἡδονῆς· ἢ τὸ φειδωλὸν εἶναι, καὶ φυλάττειν τὸν ποικίλον καὶ παντοδαπὸν πλοῦτον, καὶ μὴ διαδιδόναι τοῖς χρείαν ἔχουσι κατὰ τὴν ἀναλογίαν B τῆς προσούσης τῷ κεκτημένῳ περιουσίας, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Μόνης γὰρ τῆς ἀνθρωπίνης προαιρέσεως καὶ πονηροβουλίας ἐστὶν ἑκάτερον, δι' ἧς καὶ ταῖς κραιπάλαις καταδεδουλωμένος ὁ ταλαίπωρος ἄνθρωπος ἀμαυροῖ τὸ τῆς λογικῆς ψυχῆς ἡγεμονικὸν καὶ πρὸς τὰς θείας νεύσεις καὶ θεωρίας καὶ λειτουργίας καθίστησιν ἀνενέργητον. Καὶ ταμιευόμενος δὲ πρὸς ἑτέρους μοχθηροὺς καὶ φαύλους ὁ πλοῦτος προμνᾶται τοῖς ἔχουσιν αὐτὸν ἀτελευτήτους κολάσεις· ὡς γὰρ οὐκ ἠλέησαν, οὐδ' αὐτοὶ πάντως ἐλεηθήσονται· καὶ τοῖς μὴ δανείσασιν οὐκ ἀντιδοθήσεται παρὰ τοῦ λαβόντος Θεοῦ διὰ τῆς τῶν πενήτων λήψεως ἡ ἀντίδοσις.

Τὸ τοίνυν σωφρόνως καὶ τεταγμένως φαγεῖν καὶ C πιεῖν, καὶ τὰ παρὰ τῆς φύσεως ἀπαραιτήτως ἀναγκαῖα ζητούμενα δρᾷν, ὧν ἄνευ οὐχ οἷόν τέ ἐστιν ἐῤῥωμένως ζῆν πρὸς τῷ καὶ τῷ Δημιουργῷ τὰς κεχρεωστημένας ἀποδιδόναι λειτουργίας καὶ προσευχὰς ἡμερινὰς καὶ νυκτερινάς, τῆς θείας χειρὸς, ἤγουν ἀγαθότητος καὶ βουλῆς, ἔργον ἐστί· τὸ δὲ περιττὸν καὶ τῆς ἀναγκαίας χρείας πόῤῥωθεν ὄν, τῆς λυττώσης καὶ μανιώδους γαστρὸς καὶ προαιρέσεως, ἀλλ' οὐχὶ τῆς θείας χειρὸς καὶ βουλῆς. Τὸ αὐτὸ δέ τις καὶ περὶ τοῦ πλούτου φήσειε προσηκόντως· ὡς ὁ μὲν ἀπὸ μόχθου καὶ κόπου καὶ τῶν ἰδίων ἱδρώτων τῷ ἀνθρώπῳ συναθροιζόμενος πλοῦτος μετὰ τῆς πρεπούσης ἀληθείας καὶ δικαιοσύνης τοῖς ἔχουσι τὰς ἐλπίδας ἐπὶ τὸν Κύριον, καὶ διανέμουσι καὶ τοῖς ἐνD δεέσι κατὰ τὴν ἀναλογίαν τῆς ἰδίας δυνάμεως, ἀγαθόν ἐστι καὶ πρόξενος ἀγαθῶν ἀκηράτων καὶ διαιωνιζόντων· τὸ δὲ πλουτεῖν μὲν, ὡς ἄν τις καὶ δυνηθείη πλουτεῖν, εἰς ἑαυτὸν δὲ καὶ πρὸς τὰς ἰδίας χρείας τὰ τοῦ πλούτου προσαναλίσκειν· μὴ λαμβάνειν δὲ κοινωνοὺς κἂν τούτῳ τοὺς ἐνδεεῖς καὶ πτωχεύοντας περὶ ὧν εἶπεν ὁ Κύριος· « Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· » πονηρόν ἐστι καὶ πονηρῶν ἀνταποδόσεων πρόξενον.

Εἰ δέ τις βουληθείη καὶ μυστικώτερον ὑπολαβεῖν τὸ « φαγεῖν » καὶ « πιεῖν, » ἵνα τοῦτο καὶ κυρίως « ἀγαθὸν » ὀνομάζεσθαι τῷ Ἐκκλησιαστῇ καταγγείλῃ,

Digitized by Google

οὐκ ἀπεικότως ἐρεῖ τῆς μυστικῆς τραπέζης τὸν ἄρτον δηλοῦσθαι τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα, καὶ τῷ κόσμῳ διδόντα ζωήν, περὶ οὗ φησιν ὁ Κύριος, « Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· » καὶ μέντοι κατὰ τὸ ἀκόλουθον τὸ μυστικὸν ποτήριον, ἐν ᾧ κέκραται τὸ αἷμα τῆς καινῆς διαθήκης· περὶ οὗ φησιν ὁ Κύριος· « Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. » Εἰκὸς δὲ τὸν σοφὸν Ἐκκλησιαστὴν ὑπὸ τῆς ἄνωθεν ἐμπνευσθέντα χάριτος ἐν τῇ διαλέξει τῶν αἰσθητῶν καὶ σωματικῶν ὑποθέσεων καὶ πραγμάτων διαλαβεῖν καὶ περὶ τῆς εἰρημένης πνευματικῆς καὶ νοητῆς ἀπολαύσεως, ἣν ἀπὸ χειρὸς τοῦ Θεοῦ μάλιστα καὶ διαφερόντως ἴσμεν γεγενημένην. Μήποτε γὰρ καὶ τὸ εἰρημένον ἐν τῇ βίβλῳ τῶν Παροιμιῶν παρὰ τῆς ἐνυποστάτου καὶ θεαρχικῆς Σοφίας· « Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν, » τὴν τοιαύτην ἡμῖν παρίστησιν ἐκδοχήν; ἀμέλει τοίνυν ἐπήγαγε ὁ σοφὸς Ἐκκλησιαστής·

A ille immerito mysticæ mensæ panem significari dicat, qui de cœlo descendit, et mundo vitam impertit, de quo Dominus ait : « Accipite, comedite, hoc est corpus meum, quod pro vobis frangitur in remissionem peccatorum (98) ; atque adeo mysticum quoque poculum indicari, in quo commistus est sanguis novi testamenti : de quo Dominus dicit : « Bibite ex eo omnes ; hic est sanguis meus, qui pro vobis et multis effunditur in remissionem peccatorum [48]. » Veri autem simile est (99), sapientem Ecclesiastem 65 superno favore inspiratum, dum argumenta tractat rerum, quæ corporeis subjectæ sunt sensibus, hanc quoque attingere, quam diximus, spiritus et mentis voluptatem, quam a manu Dei potissime et singulari plane modo scimus

B esse profectam. Nonne enim id quoque, quod in Proverbiorum libro divina illa ac per se ipsa subsistens Sapientia protulit : « Venite, comedite panem meum, et bibite vinum, quod miscui vobis (1), » sententiam nobis ejusmodi exhibet? enimvero adjecit sapiens Ecclesiastes :

§ XIII.

Ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ πρὸ προσώπου αὐτοῦ ἔδωκε σοφίαν καὶ γνῶσιν καὶ εὐφροσύνην· καὶ τῷ ἁμαρτάνοντι ἔδωκε περισπασμὸν τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν, τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ Θεοῦ.

Vers. 26. *Quoniam homini bono coram se dedit sapientiam et scientiam et lætitiam ; et peccanti dedit sollicitudinem, ut augeat et congreget ad dandum bono ante faciem Dei.*

[48] Matth. xxvi, 28; Luc. xxii, 20.

(98) Matth. xxvi, 26 ; Lucas, xxii, 19, qui tamen C non habet κλώμενον, sed διδόμενον.

(99) Non jam hic Gregorius noster ea verba tanquam ab adversario aliquo prolata explicat, sed velut ipsius Ecclesiastæ dictum interpretatur : quod quidem non consideratissime factum videretur, nisi aliorum opinioni hoc se dare ipse ostenderet, et ab ea, quam exposuit, sententia quodammodo discedere.

Formulæ autem, quas hoc loco recitat, quæque infra etiam ter occurrent, ex veteribus Græcorum Liturgiis depromptæ sunt. In ea quippe Liturgia, quæ Basilii appellatur, ita scriptum est : Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Id est : *Dedit sanctis discipulis suis et apostolis, dicens : Accipite, comedite, hoc est corpus meum, quod pro vobis frangitur in remissionem peccatorum.* Subinde vero, Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις D εἰπών, Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Nempe *Dedit sanctis discipulis suis et apostolis, dicens : Bibite ex hoc omnes ; hic est sanguis meus novi Testamenti, qui pro vobis et multis effunditur in remissionem peccatorum.* Similia porro invenies in Liturgia, quæ Chrysostomi nomen habet, similia item in omnibus Orientalibus. Itaque Renaudotius (*Lit.* tom. I, pag. 339), Hæc, inquit, frequentissima verborum Christi pronuntiandorum forma, qualiter legitur in Gregorii Marcique Græcis Liturgiis, ut etiam Copticis ; nam nescimus, qua ratione Maronita interpres contra omnium librorum fidem verterit, *Quod pro multis tradetur, et pro multis dabitur* : cum Arabicæ versiones vocem habeant, quæ τῇ κλώμενον accurate respondet, ut etiam Coptica ; sed cujus rationem non habuit in toto interpretationis suæ decursu. » De iis autem verbis, quæ in consecratione omittuntur, hæc habet apposite Harduinus : « Quemadmodum ex traditione accepta a Christo Domino dicit Ecclesia *Mysterium fidei* in consecratione calicis ; sic ex eadem omnino traditione prætermittit in consecratione panis hæc verba, *Quod pro vobis tradetur*, vel *Quod pro vobis datur* ; tametsi prolata tunc ea fuisse a Domino, cum sacramentum institueret, testes sint Paulus et Lucas. Docente Domino nimirum post resurrectionem cum sacræ liturgiæ modum ritumque definiret, corpus ibi suum intelligi oportere esse per se venerabile, etiamsi pro nobis non traderetur : quamvis traditum illud fuisse, norint fideles, et forma ipsa consecrationis calicis aperte prodat. » (*De sacram. alt.* embol. 3, in fine.)

At unde, inquies, sunt Græcorum illa Τὸ ὑπὲρ ὑμῶν κλώμενον? Utique a Paulo apostolo ; sic enim Corinthios in prima epistola (x, 16) interrogat : Τὸν ἄρτον, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; id est, *Panis, quem frangimus, nonne participatio corporis Domini est?* quæ sic explicat Chrysostomus : (Tom. X, hom. 24, n. 2 in I Corinth.) Διὰ τί δὲ προσέθηκεν, Ὃν κλῶμεν ; τοῦτο γὰρ ἐπὶ μὲν τῆς εὐχαριστίας ἔστιν ἰδεῖν γινόμενον· ἐπὶ δὲ τοῦ σταυροῦ οὐκέτι, ἀλλὰ καὶ τοὐναντίον τούτων. Ὅστοῦν γὰρ αὐτοῦ, φησὶν, οὐ συντριβήσεται. Ἀλλ' ὅπερ οὐκ ἔπαθεν ἐπὶ τοῦ σταυροῦ, τοῦτο πάσχει ἐπὶ τῆς προσφορᾶς διὰ σέ, καὶ ἀνέχεται διακλώμενος, ἵνα πάντας ἐμπλήσῃ. Nempe, *Cur autem addidit*, Quem frangimus? *hoc enim in Eucharistia fieri videre est, in cruce vero non item, imo contrarium. Ait enim :* Os non comminuetur. *Sed quod non passus est in cruce, hoc propter te patitur in oblatione, et frangi patitur, ut omnes impleat.*

(1) Proverb. ix, 5. Verum apud LXX leges, Ἔλθατε, φάγετε τῶν ἐμῶν ἄρτων, καὶ πίετε οἶνον, ὃν ἐκέρασα ὑμῖν.

Digitized by Google

66 Congruunt inter se hoc Ecclesiastæ effatum et Moysis theologi illius magni verba dicentis : « Posuit Deus ante conspectum tuum vitam et mortem, bonum et malum (2). » Nam unicuique hominum Auctor nostri generis et naturalibus et scriptis legibus dedit, ut quæ bona quæque meliora, et mala item quæ essent quæque pejora, cognoscere posset : ac quemadmodum unam quisque rationalem intelligentemque sortitus est animam, ita unam pariter affectionem haberet bonam honestique studiosam, seligeretque bona factu et potiora, unde vitam hauriret ; contrariorum vero optionem et delectum tanquam mortiferum respueret, atque a vita procul detestaretur. At homines, quanquam naturam nacti cum intrinsecus vi, potentia, affectibus, tum extrinsecus conformatione habituque unam atque eamdem, magna ex ignorantia honestatis, et ex pravitate consilii in naturam, quæ una esset, divisionem induxerunt absurdam, ut variam diversamque mentis humanæ voluntatem demonstrarent. Alii enim (3), quia honestati veritatique student, naturæ limites reveriti, ea, quæ naturalis prudentia præscripsit, sancte servant, nec quæ ab aliis ferre nolint, ipsi cuiquam inferre audent : quinimo quod sibi ab aliis præstari dignum putant, hoc et ipsi aliis præstant : itaque divinas leges et naturæ præscripta plane inter se consentire declarant. Cæteri vero, quæ ratio in primis et omnium virtutum domina et regina prudentia inter honesta et justa et utilia numerat, cum honestatem odio prosequantur, ultro prava interpretatione pervertunt : hoc enim, ut arbitror, verba significant illa : « Ad dandum bono ante faciem Dei ; » nimirum peccati avidus homo et vanarum cogitationum plenus, cum se in omnem perversitatem improbitatemque projecit, sapientiam, inquit, et scientiam, et quam hæc animis rationi obsequentibus lætitiam affert, et divinum **67** gaudium ac jucunditatem, quæ Deus volentibus dat omnibus, ego in votis non habeo, sint utique ante conspectum tuum, quando nempe Deus tibi dederit. Idcirco adjecit : « Quoniam et hoc vanitas et præsumptio spiritus [46]. » Usitatam sententiam rursum iterans, qua eos a se damnari significat, qui falsa et mala præoptant.

A quorum imitatione omnes procul abesse studeamus : ut et eorum, quæ mala ac fugienda sunt optionem totis viribus a nobis deprecemur ; et quæ digna omnino, ut eligantur, ac salutaria sint, ea nobis ad agendum et cogitandum præsu-

A Παράλληλόν ἐστι τὸ παρὸν ῥητὸν τοῦ Ἐκκλησιαστοῦ τῷ φάσκοντι ῥητῷ τοῦ μεγάλου καὶ τοῦ θεοφάντορος Μωϋσέως· « Τέθεικεν ὁ Θεὸς πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ καλὸν καὶ τὸ κακόν. » Παντὶ γὰρ ἀνθρώπῳ τὴν διάγνωσιν τῶν ἀγαθῶν καὶ κρειττόνων, καὶ τὸ ἔμπαλιν τῶν πονηρῶν καὶ χειρόνων δέδωκεν ὁ Δημιουργὸς, καὶ διὰ τῶν ἐμφύτων νόμων, καὶ διὰ τῶν γραπτῶν, ἵνα καθὼς μιᾶς ψυχῆς λογικῆς καὶ νοερᾶς λελό[γ]χασιν ἅπαντες, μίαν καὶ διάθεσιν ἔχωσιν ἀγαθὴν καὶ φιλόκαλον, καὶ τῶν ἀγαθῶν καὶ κρειττόνων καὶ προξένων τῆς ζωῆς ἐκλέγωνται τὰς πράξεις· τῶν ἀντικειμένων δὲ τούτοις τὴν αἵρεσιν καὶ τὴν ἐκλογὴν, ὡς θανάτου ποιητικὴν ἀποδιδράσκωσι καὶ πόρρω τῆς ἰδίας ζωῆς παραπέμπωσιν.

B Ἀλλὰ τὴν αὐτὴν καὶ μίαν φύσιν λαχόντες καὶ κατὰ τὰς ἐνεργείας καὶ δυνάμεις καὶ διαθέσεις τοῦ ἔνδοθεν ἀνθρώπου, καὶ κατὰ τὴν διάπλασιν καὶ σχηματοθεσίαν τοῦ ἔξωθεν, διαίρεσιν παράλογον εἰς τὴν μίαν φύσιν παρεισεκρίκασιν ἐκ πολλῆς ἀπειροκαλίας καὶ πονηροβουλίας, ἀλλοίαν καὶ διάφορον ἐπιδεικνύμενοι τῆς λογικῆς ψυχῆς τὴν προαίρεσιν. Οἱ μὲν γὰρ τῶν τῆς φύσεως ὅρων, οἷα δὴ φιλόκαλοι καὶ φιλαλήθεις, ἐντὸς βουλόμενοι διαμένειν, τὰ κεκριμένα τῇ φυσικῇ φρονήσει φυλάττουσιν, οὐκ ἐθέλοντες ἄλλοις ποιεῖν, ὃ μὴ βούλονται πάσχειν αὐτοὶ παρ' ἑτέρων· ἀλλ' ὅπερ ἀξιοῦσιν ἄλλους δρᾶν εἰς αὐτοὺς, τοῦτο καὶ αὐτοὶ δρῶσι τοῖς ἄλλοις· καὶ ταύτῃ τοι καὶ τοὺς τοῦ Θεοῦ νόμους συμφώνως τοῖς τῆς φύσεως ὅροις ἐναποφαίνουσιν. Ἕτεροι δὲ τὰ παρὰ τῶν ἐμφύτων λογισμῶν

C καὶ τῆς κυριωτάτης καὶ βασιλίδος τῶν ἀρετῶν τῶν γενικῶν τῆς φρονήσεως, νοηθέντα καλὰ καὶ δίκαια καὶ συμφέροντα, διὰ μισόκαλον γνώμην αὐθαιρέτως παραλογίζονται. Καὶ τοῦτο γὰρ, ὡς οἶμαι, σημαίνει τὸ, « Δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ Θεοῦ· » τουτέστιν, Εἰς πᾶσαν ἐξοκείλας κακοβουλίαν καὶ πονηροπραξίαν τὴν σοφίαν καὶ τὴν γνῶσιν καὶ τὴν δι' αὐτῶν ἐγγινομένην ταῖς λογικαῖς καρδίαις εὐφροσύνην καὶ θείαν ἀγαλλίασιν καὶ χαρὰν, ἣν ἔδωκεν ὁ Θεὸς πᾶσι τοῖς βουλομένοις, ἀδούλητον ἔχω, φησὶν ὁ φιλαμαρτήμων καὶ ματαιόφρων· ἑστῶσαν δὲ πρὸ προσώπου σου, δηλαδὴ τοῦ Θεοῦ σοι δεδωκότος. Διὸ καὶ ἐπήγαγε· « Καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος· » τὸ σύνηθες ἀπόφθεγμα καὶ σημαντικὸν καταγνώσεως τῶν τὰ ψευδῆ καὶ φαῦλα

D προαιρουμένων, καὶ νῦν αὖθις εἰπών.

Ὧν τῆς μιμήσεως πόρρω γενέσθαι σπουδάσωμεν ἅπαντες, καὶ τῶν ψευκτῶν καὶ φαύλων τὴν αἵρεσιν παντὶ σθένει διαδρᾶναι προθυμηθῶμεν· τῶν αἱρετῶν δὲ τῷ ὄντι καὶ σωστικῶν προελώμεθα τὰς πράξεις καὶ τὰς ἐννοίας· ἵνα καὶ τῆς τῶν οὐρανῶν βασιλείας

[46] Eccle. II, 26.

(2) Deuter. c. XXX, n. 19, sed hæc sunt Moysis verba : Τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκα πρὸ προσώπου ὑμῶν, τὴν εὐλογίαν καὶ τὴν κατάραν.

(3) Hæc ipsa paucis Eusebius : Καὶ αὐτὸς μὲν ὁμοίως τὴν φύσιν τοὺς πάντας ὑποστησάμενος, προαιρέσει οἰκείᾳ χρῆσθαι πρὸς τὴν τῶν κρειττόνων αἵρεσιν τοῖς πᾶσιν ὁμοίως συγκεχώρηκεν. Οἱ δὲ, ἅτε κύριοι ἑαυτῶν καθεστῶτες, ἄφετοί τε καὶ ἐλεύθεροι τὴν ὁρμὴν, αὐτοπροαιρέτῳ γνώμῃ διέστησαν οἱ μὲν τὴν εὐθεῖαν ὁδεύειν, οἱ δὲ τὴν διάστροφον ἐλόμενοι. Id est : *Et ipse quidem, cum universos natura similes constituisset, voluntate propria quemque meliora deligere pariter permisit. Illi vero, utpote qui sui ipsorum domini, sui juris ac liberi quoad motum essent, arbitratu suo disjuncti sunt, aliis rectam, obliquam aliis viam præoptantibus.* (In psalm. LVII, p. 258.)

Digitized by Google

ἀξιωθῶμεν ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A mamus : quo et cœlorum regnum per ipsum Christum Dominum nostrum adipiscamur. Cui gloria et imperium cum Patre omnipotente et sancto bonoque ac vitæ auctore Spiritu nunc et semper et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

LIBER TERTIUS.

§ I.

Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν.

B **68** CAP. III, VERS. 1. *Omnibus tempus est, et tempestivitas omni rei sub cœlo* (4).

Τὰ περὶ τῆς φύσεως τῶν ὄντων ὡς ἀπὸ μέρους διεξελθών, οἷον περὶ τῆς ἀνθρώπου παρελεύσεως καὶ γνώσεως, περὶ τῆς διαιωνιζούσης ἑδραστῆς γῆς, περὶ τῆς ἡλιακῆς φορᾶς καὶ κινήσεως, περὶ χειμάρρων καὶ ποταμῶν καὶ θαλάσσης, καὶ διαγγελίας τὴν ὑποταγὴν καὶ θητείαν τῶν κτισμάτων πρὸς τὸν ἴδιον κτίστην καὶ ποιητὴν ἀπαραιτήτως ἐνεργουμένην πάντοτε καὶ κατὰ φύσιν, καὶ μέντοι καὶ κατὰ φυσικὴν ἐναντίωσιν· εἶτα διαλαλήσας περὶ τῶν παρακολουθούντων καὶ συμβαινόντων τοῖς φιληδόνοις ἀνθρώποις, καὶ περισπασμῶν μοχθηρῶν ἐξ ἀβουλίας, καὶ τῶν φαυλοτήτων καὶ κακοπραγιῶν, περὶ ὧν καὶ εἶπε, « Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης· » καὶ καταγνοὺς καὶ καταμεμψάμενος τῶν ἐν εὐφροσύνῃ C καὶ γέλωτι ζῇν τὴν ἰδίαν ἀφιέντων καρδίαν, καὶ τοῦ συναθροισθέντος αὐτοῖς πλούτου τὰ εἴδη καὶ τὰς ὀνομασίας εἰπών, καὶ στηλιτεύσας καὶ θριαμβεύσας καὶ ταῦτα πάντα ματαιότητα καλέσας καὶ προαίρεσιν πνεύματος, καὶ διὰ τοῦτο μᾶλλον ὑπερθεὶς τὴν σοφίαν τῆς ἀφροσύνης οὐκ ἀσυγκρίτως οὖσαν κρείττονα καὶ νικῶσαν ἔχουσαν ψῆφον ἐπὶ πᾶσι τοῖς κρατίστοις δηλαδὴ καὶ βελτίστοις, ὅσην ἔχει τὸ φῶς πρὸς τὸ σκότος· κἀντεῦθεν τὴν ἰδίαν καρδίαν ἐπιστρέψας πρὸς τὰ βελτίω, καὶ πείσας ἀποτάξασθαι παντὶ μοχθηρῷ μόχθῳ καὶ τῇ φιλίᾳ τοῦ κόσμου· νῦν διαλαμβάνει περὶ τοῦ χρόνου τοῦ ταῦτα πάντα περιέχοντος καὶ συνέχοντος, καί φησι, « Τοῖς πᾶσιν ὁ χρόνος καὶ καιφὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐ- D ρανόν. »

Postquam de rerum natura quasi per partes disseruit, nimirum de hominis transitu et cognitione, de perpetua terræ stabilitate, de solari gyro atque motu, de torrentibus et fluviis et mari : tum rerum conditarum obsequium illud et famulatum enuntiavit, quem auctori ac conditori suo constantissime et ad naturæ modum et præter ipsam quoque naturam semper exhibent : ac postquam verba de iis fecit, quæ voluptarios homines comitantur ac consequuntur, deque improbis et temere susceptis contentionibus ac flagitiosis pravisque factis, de quibus etiam dixit : « Vanitas vanitatum et omnia vanitas; » ac deinde eos damnavit et reprehendit, qui animum ad vitam lætitia risuque jucundam transtulerunt; designatisque divitiarum, quas illi congessere, generibus ac nominibus, suam cuique rei notam inussit, quasique triumphans vanitatem omnia et spiritus præsumptionem appellavit : idemque sapientiam propterea magnificentius extulit, eamque stultitiæ quodammodo comparatam longe excellere, atque in iis, quæ præclarissima et optima habentur, lucis instar præ tenebris omnia superare ostendit : ac denique animo ad meliora converso, omnes hortatus est, ut labori cuique præpostero et mundanæ amicitiæ renuntient; de tempore jam sermonem instituit, quo hæc omnia complexa continentur, atque ait : « Omnibus tempus est, et tempestivitas omni rei sub cœlo. »

Ἀλλὰ τὸν μὲν χρόνον ὡς γενικώτατον καὶ περιεκτικώτατον καὶ τῶν φυσικῶν πραγμάτων καὶ τῶν κατὰ σύμβασιν συμπιπτόντων· καὶ μέντοι καὶ τῶν καιρῶν, οἷς καὶ ὡς εἴδεσι τοῦ χρόνου δευτέραν τάξιν, κατὰ τὴν θέσιν τῶν ὀνομάτων ἀπένειμε, τῷ λόγῳ διέλαβε. Εἴ τι μὲν γὰρ καιρὸς, τοῦτο καὶ χρόνος· ὥσπερ εἴ τι μὲν ἄνθρωπος, τοῦτο καὶ ζῶον· οὐκ εἴ τι δὲ χρόνος, τοῦτο καὶ καιρός· ὥσπερ οὐδ' εἴ τι ζῶον, τοῦτο καὶ ἄνθρωπος. Χρόνος μὲν γάρ ἐστι τὸ

69 At tempus ita verbo distinxit quasi id, quod generatim lateque res omnes comprehendit, tam eas quæ natura fiunt, quam eas quæ eventu contingunt : atque adeo ipsas etiam tempestivitates, quibus et, tanquam formis ipsius temporis, ut ex nominum collocatione apparet, ordinem secundum attribuit. Nam quod tempestivitas sit, tempus etiam est, quemadmodum quod homo, idem et animal : at non quod sit tempus, idem et tempo-

(4) Olymp. ὑπὸ τὸν ἥλιον.

Digitized by Google

homine tumultuantium contractione nactum eam pacis visionem, quæ Deum spectat : quippe ad hoc ipsum orationis suæ vim passim convertit; cui, inquam, cordi quasi aures quædam spiritales ad audiendum datæ sint, de quo Dominus in Evangeliis, « Qui habet, inquit, aures audiendi, audiat [18] : » Illud simul significans, quæ obdurueriut corda, nunquam ad eorum aures dicta pervenire.

Quin fortasse illud, « super Jerusalem, » aliter quoque accipi conveniat. Nam cum Jerusalem, ut paulo ante dixi, idem sonet atque *Visio pacis*, commodissime quis cœlestem spiritalemque Jerusalem significari credat, quæ vere proprieque atque apprime *Visio pacis* est, sive sanctorum civium angelorumque cœlestium, concordiam, sive beatitatem ipsam consideremus ab omni prorsus vel suspicione vel pugna vel tumultu vel procella vacuam · ut mirum in modum quadret quod dicitur : « Verba Ecclesiastæ regis Israel super Jerusalem, » quæ nimirum ad supernam intelligibilemque Jerusalem omnes illos deducunt, qui hæc libenter audiant, humilesque orbis partes, et quæ in eo sunt, derelinquant humanas vicissitudines, desidias, 8 vitia, factiones, fluctus, quo ad altissima avolent tabernacula, atque ad visionem pacis ; fiantque jam sanctorum Evangeliorum vel ante tempus participes. Idcirco adjecit (18) protinus :

A τῆς πρὸς Θεὸν, διὰ τῆς συστολῆς τῶν στασιαζόντων ἐν τῷ ἀνθρώπῳ παθῶν· πρὸς ἣν προβάλλεται καὶ τὴν τῶν ῥηθησομένων διάνοιαν· ὡς ἔχουσαν ὦτα δηλαδὴ νοητὰ τοῦ ἀκούειν· καθὼς φησιν ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος, « Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, » τὰς ἀπεσκληκυίας καρδίας μηδαμῶς ἐνωτίζεσθαι τῶν λεγομένων παραινιττόμενος.

Τάχα δὲ καὶ ἄλλως τὰ, « ἐπὶ Ἱερουσαλὴμ, » ἐκδέξασθαι προσῆκεν. Ἐπεὶ γαρ Ὅρασις εἰρήνης Ἱερουσαλὴμ ἑρμηνεύεται, καθὼς ἔφθην εἰπὼν, προσφορώτερόν ἐστιν ὑπολαμβάνειν τὴν ἄνω καὶ νοητὴν δηλοῦν Ἱερουσαλὴμ, ὡς οὖσαν Ὅρασιν εἰρήνης ἀληθῶς καὶ κυρίως καὶ πρώτως διὰ τὴν συμ-
B φωνίαν τῶν ἐκεῖσε πολιτευομένων ἁγίων καὶ νοερῶν οὐσιῶν· καὶ μηδεμίαν ἔχειν τὸ σύνολον μάχης καὶ ταραχῆς καὶ ζάλης ὑπόληψιν, ὡς εἶναι τοιοῦτον σαφῶς τὸ λεγόμενον, « Ῥήματα Ἐκκλησιαστοῦ βατιλέως Ἰσραὴλ ἐπὶ Ἱερουσαλήμ· » ἤγουν ἐπὶ τὴν ἄνω καὶ νοητὴν Ἱερουσαλὴμ παραπέμποντα πάντας τοὺς εὐγνωμόνως ἀκούοντας· ἅτε δὴ κάτω που τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ πάντα καταλιπόντας, καὶ τὰς ἀνθρωπίνας περιφορὰς καὶ τύρβας καὶ μοχθηρίας καὶ ταραχὰς καὶ ζάλας· καὶ πρὸς τὰς ὑπερουρανίους σκηνὰς ἀναπτάντας ἐπὶ τὴν ὅρασιν τῆς εἰρήνης, καὶ συναυλιζομένους καὶ πρὸ καιροῦ τοῖς ἁγίοις Εὐαγγελίοις. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγε,

§ II.

Vers. 2. *Vanitas vanitatum, dixit Ecclesiastes,* C ***vanitas vanitatum, omnia vanitas.***

Si vanitas est quidquid nullam habet utilitatem, nullumque humanæ vitæ commodum affert, neque in iis quæ ad animum, neque in iis, quæ ad corpus, sive separatim sive conjunctim referuntur; ut ex utraque parte inutile omnisque 9 compendii

Ματαιότης ματαιοτήτων, εἶπεν ὁ Ἐκκλησιαστὴς, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.

Εἰ ματαιότης ἐστὶ πᾶν ὃ μηδεμίαν ἔχει λυσιτέλειαν ἢ χρησιμότητα πρὸς τὸν βίον τῆς ἀνθρωπίνης ζωῆς τῶν κατὰ ψυχὴν, καὶ μέντοι τῶν κατὰ σῶμα, κατὰ διαίρεσιν ἢ κατὰ συνάφειαν παραλαμβανομένων· ἀλλ' ἐκατέρωθεν ἀνόνητον εὕρηται καὶ μηδεμίαν

[18] Matth. XIII, 9.

nec minus de Didymo sentiendum est, cujus locus in Joannis Damasceni *Parallelis* affertur, quem infra ad § 8 lib. III ascribemus. Athanasium quoque et Acacium Cæsariensem eamdem operam navasse, in comperto est : de illo enim testis est Photius (cod. 109); de hoc Hieronymus (*De script. Eccl.* c. 98). Eustathii Antiocheni nomen et reliquias aliquot bibliotheca Oxoniensis servat; Apollinaris Laodiceni locum ex Hieronymi commentario infra afferemus (lib. IV, § 2). Si autem titulis credimus eorum voluminum, quæ *Catenæ Patrum* appellantur, alii etiam Ecclesiastæ interpretes exstiterunt : binas nempe hujusmodi *Catenas* in Ecclesiasten habet bibliotheca Bodleiana, in quibus Basilius agmen ducit (Grab. in *Spicil.* Præf. t. II) : in Ambrosiana item est, quæ eumdem Basilium cum aliis refert, ut ex Bugatti viri doctissimi litteris didici : in Marciana vero Venetiis quarta servatur, in qua præter alios Patres loca afferuntur Origenis, Evagrii et Nili.

Jam quos potissimum Gregorius hoc loco designet, tot veterum commentariis deperditis, ignoramus : nisi quod Olympiodorus ille, de quo paulo ante dicebam, eamdem plane rem initio operis sui attigit : quæ tamen apud alios quoque occurrit. Nam et Cyrillus Alexandrinus in Glaphyris (l. I *De Abr. et Melchis.*), cum Jerusalem commemorasset, adjecit ; Ὅρασις δὲ εἰρήνης καὶ τοῦτο διερμηνεύεται.

(18) Sanctorum Evangeliorum nomine designa- D tur hic vita illa cœlesti similis, quam in terris quoque ii vivunt, qui Deo dediti omnem veterem labem aboleverunt. Neque ea appellatio nova est : quippe Basilius (*De Spir. sanct.* c. 15) jam scripserat : Εἴ τις ὁριζόμενος εἴποι, τὸ Εὐαγγέλιον εἶναι τοῦ ἀναστάσεως βίου προδιατύπωσιν, οὐκ ἄν μοι δοκεῖ τοῦ προσήκοντος ἁμαρτεῖν. Id est : *Si quis definiens diceret, Evangelium esse formam vitæ, quæ est ex resurrectione, mihi nequaquam videretur a vero aberrare.*

Juvat autem hic adversus eos, qui allegoriæ usum ne in antiquis quidem Patribus, qui sacras Litteras interpretati sunt, satis probant, paucis adnotare, quam justa illi de causa mysticis ejusmodi explicationibus delectarentur. Norant utique magni plane viri magnoque ingenio ac judicio præditi, Origenes, Hilarius, Ambrosius, Chrysostomus, alii, norant, inquam, quot quantæque controversiæ de

Digitized by Google

κεκτημένον ὠφέλειαν· τί δήποτέ φησιν ὁ Ἐκκλησιαστής, « Τὰ πάντα ματαιότης; » Εἰ μὲν γάρ ἐστιν αὐτῷ περὶ τῆς φύσεως τῶν ὄντων ὁ λόγος, οὐδὲν δὲ μάτην ἐποίησεν ὁ Θεός, ἀλλὰ πάντα καλὰ λίαν μεμαρτύρηται παρὰ τοῦ λόγου τῆς ἀληθείας, ὡς καὶ δι' αὐτῆς ἴσμεν τῆς πείρας· ποῖά φησι, « Τὰ πάντα ματαιότης; » Τὰ μὲν γὰρ οὐράνια μεγέθη τε καὶ κάλλη πρὸς τὰ χρήσιμα πεφυκέναι καὶ λυσιτελῆ τοῖς ἀνθρώποις, καὶ πολλῷ μᾶλλον ἐκδιηγοῦνται καὶ κατ- A
αγγέλλουσι τοῦ πεποιηκότος τὴν μεγαλωσύνην καὶ δόξαν. Ἡ δὲ γῆ καὶ θάλασσα διὰ τῶν προσόντων αὐταῖς ἀναριθμήτων ζώων τροφίμων καὶ μέντοι καὶ πρὸς θητείαν ἐπιτηδείων· καὶ τῶν ἄλλων παντοδαπῶν φυτῶν ἐγκάρπων καὶ ἀκάρπων, καὶ τῶν ποικίλων σπορίμων, δι' ὧν ἡ ζωὴ τῶν ἀνθρώπων πορι- B
ζομένη τὸ εὔοσμον καὶ τερπνὸν καὶ τρόφιμον ἐκ περιουσίας συνίσταται καὶ περισώζεται καὶ φυλάττεται· καὶ προσκυνεῖ καὶ δοξάζει τὸν ἀγαθὸν καὶ πάνσοφον ποιητὴν τῶν ἁπάντων. Ἔοικεν οὖν μᾶλλον ὁ Ἐκκλησιαστὴς τῷ καθόλου χρησάμενος προσδιορισμῷ μάτην τοῦ ματαίου τὴν δόξαν καὶ ἐν τοῖς ἰδίοις ῥήμασιν ἔχων τοῖς ἀποφαινομένοις εἶναι ματαιότητα πάντα τὸν κόσμον. Πῶς γὰρ ἔξει χώραν ἐν τούτοις τὸ σύνολον ἡ προσηγορία τῆς ματαιότητος;

Ἀλλ' εὔδηλον, ὡς οὐχὶ περὶ τῶν ὑπὸ τοῦ ἀγαθοῦ καὶ πανσόφου καὶ ὑπερκάλου Δημιουργοῦ γεγονότων προεβάλλετο τὴν τοιαύτην ὀνομασίαν· ἀλλὰ περὶ μόνων τῶν παρὰ τῆς μοχθηρᾶς καὶ φαύλης προαιρέσεως τῶν ἀνθρώπων ἐνεργουμένων μάτην, ἢ κατὰ διάνοιαν ἢ κατὰ λόγον ἢ κατὰ πρᾶξιν· δι' ὧν ὁ C

expers inveniatur: quid tandem dicit Ecclesiastes, « Omnia vanitas? » nam si de rerum, quæ sunt, natura sermonem habet, quarum Deus nullam sine causa fecit, quasque bonas admodum esse omnes et verissimo idem testimonio affirmavit, et nos ipsi experiendo novimus; qui potuit dicere, « Omnia vanitas? » Cœlestes enim magnitudines pulchritudinesque quantas habeant utilitates, et quanta hominibus commoda importent, ipsæ declarant, multoque magis Conditoris majestatem et gloriam commendant; terra vero ac mare, cum innumerabilia nutriant animantia non modo ad esum sed etiam ad servitutem idonea; cumque tanta sit plantarum omnis generis copia, tanta fructuum satorumque varietas, quibus suffulta hominum vita large atque ad suavitatem usque jucunditatemque alitur, constituitur, conservatur, custoditur; nonne his omnibus bonum et summe sapientem rerum omnium Conditorem et agnoscunt et prædicant? Quare perperam potius Ecclesiastes definitione illa generatim complexus singula, conceptam animo vanitatis opinionem verbis quoque ad mundum universum protulisse videatur: cum nullum plane locum in his illa vanitatis appellatio habere possit.

Atqui liquet, denominationem ejusmodi non de boni et perquam sapientis præstantisque Artificis operibus inductam esse, sed de iis tantum, quæ improbo pravoque hominum frustra annitentium consilio fiunt, in quibus aut cogitatione aut verbis aut factis labuntur (19): itaque qui sublimis erat,

plerisque sacrarum Litterarum locis vel institutæ essent, vel institui etiamdum possent. At, cum populi, quem quisque regeret, bonum maxime spectarent, et hanc summam esse ducerent, si auditores eum veritatis cognitione bene vivendi studium conjungerent; controversiis illis raro delibatis, quæ melius in Scholis Christianis tractabantur ad Alexandrinæ exemplum, quæ doctorum sapientia et eruditione insignis fuit, populum rudem et penitioris doctrinæ impatientem alia ratione instituendum esse censuerunt. Sic orta illa interpretandi consuetudo per tropos et allegoriam, in vitiorum fere insectatione ac virtutum laude triumphans, quam ea impensius Patres quidam amarunt, quo populi, quem excolerent, auribus atque animis jucundior utiliorque videbatur: neque id tamen sine auctoritate fecerunt, cum hanc ipsam interpretandi rationem ostendisset Paulus apostolus, quocum D
errare non poterant (Ad Galat. IV, 24 seqq.).

Porro ne tum quidem omnes sermonem hujusmodi popularem et eruditionis expertem probabant: nec defuere, qui magnum ipsum Basilium reprehenderent, quod in Hexaemero explananda quæstiones quasdam nobiles prætermisisset: quem Gregorius frater sic defendit (sub init. libri in Hex.): Οἱ ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα προφέροντες οὔ μοι δοκοῦσιν ἐπεσκέφθαι τὸν σκοπὸν τῆς τοῦ Πατρὸς ἡμῶν διδασκαλίας, ὃς δήμῳ τοσούτῳ διαλεγόμενος ἐν Ἐκκλησίᾳ τῇ πολυανδρούσῃ, κατάλληλον ἐξ ἀνάγκης ἐποιεῖτο τοῖς δεχομένοις τὸν λόγον· ἐν γὰρ τοσούτοις τοῖς ἀκούουσι πολλοὶ μὲν ἦσαν καὶ οἱ τῶν ὑψηλοτέρων ἐπαΐοντες λόγων· πολλαπλάσιοι δὲ οἱ τῆς λεπτοτέρας ἐξετάσεως τῶν νοημάτων οὐκ ἐφικνούμενοι, ἄνδρες ἰδιῶται καὶ βάναυσοι ταῖς ἐπιδιφρίοις ἐργασίαις προσασχολούμενοι, καὶ ὁ ἐν γυναιξὶ λαὸς τῶν τοιούτων μαθημάτων ἀγύμναστος, καὶ ἡ νεολαία τῶν παίδων, καὶ οἱ παρηλικέστεροι κατὰ τὸν

χρόνον, πάντες οὗτοι τῶν τοιούτων ἐδέοντο λόγων, τῶν μετά τινος εὐλήπτου ψυχαγωγίας διὰ τῆς φαινομένης κτίσεως καὶ τῶν ἐν ταύτῃ καλῶν πρὸς τὴν τοῦ πεποιηκότος τὰ πάντα γνῶσιν χειραγωγούντων. Id est: *Qui hæc et alia ejusmodi loquuntur, hi mihi non videntur propositum patris nostri doctrinæ finem intueri, qui in amplissima Ecclesia populum frequentissimum alloquens, pro audientium intelligentia sermonem moderabatur. In tanta enim multitudine licet essent multi, qui altiores etiam disputationes intelligerent, plurimi tamen doctrinæ subtilitatem non capiebant, utpote homines imperiti atque opifices et negotiis humilibus occupati, et mulieres in ejusmodi disciplinis minime exercitatæ, et puerorum turba, ætateque provecti senes, qui omnes oratione facili instituendi recreandique erant, et per res procreatas, quæ cernuntur, earumque pulchritudinem ad rerum omnium Auctorem procreatoremque deducendi.*

(19) Ita sane hunc locum, quandocunque usurpare opus fuit, plerique Patrum interpretati sunt, quibus præivit Gregorius Neocæsariensis, dictum sic explicans: Ὡς κενὰ καὶ ἀνόνητα τὰ τῶν ἀνθρώπων πράγματά τε καὶ σπουδάσματα, ὅσα ἀνθρώπινα· οὐδὲ γὰρ ἔχει τις εἰπεῖν ὄφελός τι τούτοις προσηρτημένον, ἅπερ ἄνθρωποι περὶ γῆν ἔρποντες καὶ σώμασι καὶ ψυχαῖς ἐκτελέσαι σπεύδουσι, τῶν μὲν προσκαίρων ἠττημένοι, ἀνωτέρω δὲ τῶν ἄστρων τῷ γενναίῳ τῆς ψυχῆς ὄμματι οὐδ' ὁτιοῦν κατιδεῖν βουλόμενοι. Id est, *Quam vana et inutilia sunt omnia ea hominum negotia et studia, quæ in humanis rebus suscipiuntur! nemo enim est, qui utilitatem ullam cum iis conjunctam esse dicere possit, quæ homines humi reptantes et corporibus et animis perficere contendunt, rebus caducis et temporariis addicti, supra sidera generoso animæ oculo ne tantillum quidem aspicere volentes* (Int. Metaphr.).

Digitized by Google

humilis fit, quique ad cœlestia contemplanda natus, inferiora inhiat insipienter : tum qui in honore habebatur, stupidarum pecudum similitudinem speciemque gerit ; et qui regia dignitate auctus principari cœperat, mancipiorum prope ritu servitutem servit inglorius : **10** qui denique immortalitatis particeps ornamentorum pulchritudine renitebat, morti jam et corruptioni merito addictus est. Nam æterna quidem semperque mansura ut teneas, nullam omnino operam ponere, neque ullo bonorum divinorum desiderio moveri ; atque adeo nihil adeundæ in cœlis hæreditatis promissa attendere, nunquam ad immortalem illam et beatam gloriam lætitiamque aspirare aut ullo ineffabilis angelorum gaudii amore accendi : contraque gloriam hanc, non secus ac vernos flores deflorescentem, omni studio persequi ; et quantum adhiberi curæ potest, tantum ad divitias injustas corruptibilesque coacervandas conferre, atque ad quæstus per vim et rapinas augendos tyrannicæ potestatis furore inflammari, falsa simul contexere, calumnias mendacesque accusationes venari : tum comessationibus crapulisque ad ebrietatem usque totos se dedere, et quæ ista comitari solent, in exsecrandis voluptatibus atque in omni libidinum genere volutari ; quantæ, quæso, vanitatis vel singula quæque esse reperiuntur ? quidni igitur hæc omnia et horum similia vanitas vanitatum sint, sive ut Ecclesiastes iterata appellatione significare intentius voluit, summa vanitas (20) ? Atque idem, quia homines qui studium curamque suam in ejusmodi rebus ponunt, ad eum tendunt finem, in quo nulla utilitas sit, idcirco adjecit statim :

A ὑψηλὸς γίνεται ταπεινὸς, καὶ ὁ τὰ ἄνω πεφυκὼς βλέπειν, πρὸς τὰ κάτω κέχηνε παραφρόνως, καὶ ὁ ἐν τιμῇ ὢν, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς · καὶ ὁ ἄρχων καὶ βασιλεὺς τεταγμένος, ἀκλεὴς εὕρηται παραπλησίως τοῖς δούλοις · καὶ ὁ τῆς ἀθανασίας καθωραϊσμένος καὶ διαπρέπων τοῖς κάλλεσι, τῷ θανάτῳ καὶ τῇ φθορᾷ δικαίως καθυποκείμενος. Τὸ γὰρ μηδαμῶς πρὸς τὴν τῶν αἰωνίων καὶ διαμενόντων ἀεὶ κτῆσιν ἀφορᾷν τὸ παράπαν, μήτε μὴν τῶν θείων ἀγαθῶν ἔχειν τὴν ἐπηγγελμένην κληρονομίαν ἐν τοῖς οὐρανοῖς · μηδὲ πρὸς τὴν ἀκήρατον καὶ μακαρίαν ἐκείνην ἀναπτεροῦσθαι δόξαν καὶ χαρμονήν · μήτε μὴν πυρπολεῖσθαι τῷ ἔρωτι τῆς ἀῤῥήτου τῶν ἁγίων ἀγγέλων ἀγαλλιάσεως · ἀλλ' ἔμπαλιν τὴν ἀπανθοῦσαν δόξαν B ἴσα καὶ τοῖς ἐαρινοῖς ἄνθεσιν ἐπιμελῶς διώκειν, καὶ παντὶ σθένει σπεύδειν πρὸς ἀδίκου καὶ φθειρομένου πλούτου συνάθροισιν, καὶ μεμηνέναι πρὸς τυραννικὴν καταδυναστείαν καὶ τῶν ἁρπακτικῶν καὶ πλεονεκτικῶν δῆθεν κερδῶν τὴν ἄδικον αὔξησιν · καὶ ψεύδη ῥαψῳδεῖν, καὶ διαβολὰς καὶ συκοφαντίας θηρεύειν · καὶ σχολάζειν ἐν ἀδδηφαγίαις καὶ κραιπάλαις καὶ μέθαις, καὶ ταύταις ἀκολούθως ἐγκαλινδεῖσθαι ταῖς σαρκικαῖς καὶ βδελυκταῖς ἡδοναῖς · πόσης οὐκ ἂν εἴη τοῦτο ἕκαστον ματαιότητος ; μᾶλλον δὲ πῶς οὐχὶ ταῦτα πάντα καὶ τὰ παραπλήσια τούτοις ματαιότης ματαιοτήτων εἰσί ; τῷ ἀναδιπλασιασμῷ τῆς λέξεως ποιοῦντος τοῦ Ἐκκλησιαστοῦ τὴν ὑπόληψιν τῆς ματαιότητος ἐπιτατικωτέραν. Ἀμέλει τοίνυν ὡς πρὸς οὐδὲν πέρας ὀνησιφόρον ἀφικομένων C τῶν ἐν τοῖς εἰρημένοις ἀσχολουμένων ἀμέσως ἐπήγαγε ·

§ III.

VERS 3. *Quid habet amplius homo de universo labore suo, quo laborat sub sole ?*

Id est, edisserant vero, qualem sibi utilitatem il comparent, qui rebus **11** inhiant præsentibus, et breves corporis voluptates et delicias et populares auras studiose consectantur : quæ nempe aquæ instar, quæ per declive feratur, aut roris matutinæque nebulæ more, cito dispereunt. Ubi enim cratinus illuxerit dies, quam illi hodie honesti expertes voluptatem nequitiamque amplexi sunt, minime jam constantem inveniant, et inania eos atque vana persecutos esse, manifestissime appareat. Propterea hos ipsos Amos quoque divinus propheta objurgans accusansque, « Stare, inquit, sibi finxerunt, quæ fugerent (21), » velocissimo utique cursu

Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον ;

Ἀντὶ τοῦ, Ποίαν γάρ, εἰπάτωσαν, πορίζονται λυσιτέλειαν οἱ κεχηνότες πρὸς τὰ παρόντα, καὶ τὰς σαρκικὰς καὶ προσκαίρους ἡδονὰς καὶ τρυφὰς καὶ δόξας ἔχειν ἐσπουδακότες, θᾶττον αὐτῶν ἀποιχομένων δίκην ὕδατος ἐπὶ τὸ πρανὲς φερομένου, καὶ δρόσου καὶ νεφέλης ἑωθινῆς · ἥκιστα γὰρ εὑρισκομένης εἰς τὴν αὔριον τῆς προσούσης τοῖς ἀπειροκάλοις σήμερον εὐπαθείας καὶ μοχθηρίας, κενὰ δείκνυνται καὶ μάταια παντελῶς δεδρακότες. Διὰ τοῦτο καταμεμφόμενος καὶ κατηγορῶν τῶν τοιούτων φησὶ καὶ ὁ θεσπέσιος προφήτης Ἀμώς · « Ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα, » τὴν ὠκυτάτην παD ραδρομὴν καὶ παρέλευσιν τῶν αἰσχίστων τῆς ἀτιμίας

(20) De ista ejusdem vocabuli iteratione multa Nyssenus, qui et morem sacrarum Litterarum esse ostendit, ut quæ modum excedunt, per ejusmodi duplicationem significent : Οὕτω, inquit, καὶ ἅγιόν τι παρὰ τῇ Γραφῇ λέγεται· καὶ πάλιν ἅγιον ἁγίων, ὡς ἴσῳ τῷ μέτρῳ τοῦ τε ἐξ ἁγίου τὸ ἅγιον, ὑπερέχον ἐν ἁγιότητι, καὶ τούτου πάλιν τὸ τῶν ἁγίων ἅγιον τὸ καθ' ὑπέρθεσιν ἐν ἁγιασμῷ θεωρούμενον... λέγει γὰρ οὐχ ἁπλῶς εἶναι μάταια ἐν τοῖς οὖσι φαινόμενα, ἀλλὰ κατ' ὑπέρθεσίν τινα τῆς κατὰ τὸ μάταιον σημασίας εἶναι τοιαῦτα · ὡς εἴ τις λέγοι τοῦ νεκροῦ νεκρότερον καὶ τοῦ ἀψύχου ἀψυχότερον. Id est, *Ita etiam sanctum aliquid dicitur sacris in Litteris, et rursus sanctum sanctorum, adeo ut pari mensura et sanctum superet profanum in sanctitate, et hoc iterum sanctum sanctorum, quod per exsuperationem consideratur in sanctificatione.... Dicit enim non simpliciter esse vana quæ in rebus apparent, sed ea esse ejusmodi cum aliqua exsuperatione quoad ipsam vani significationem : perinde ac si quis dicat mortuo magis mortuum et inanimo magis inanimum.* (Hom. I in Eccl.)

(21) Amos VI, n. 5, apud LXX, legimus ὡς ἐστηκότα ἐλογίσαντο...; in nostris vero alia omnino est sententia : scriptum enim est : *Sicut David putaverunt se habere vasa cantici.*

Digitized by Google

A παθῶν, καὶ βδελυκτῶν ἡδονῶν, καὶ τῶν ἄλλων τῶν τοῖς φαύλοις ἀνθρώποις ὄντων περισπουδάστων ἀδόξων δοξῶν, καὶ τιμῶν ἀτίμων, καὶ κερδῶν ἀκερδῶν· τῶν διὰ συκοφαντίας καὶ κολακείας καὶ τῶν λοιπῶν τῆς φαυλότητος ἐπιτηδευμάτων, τῶν πρὸς μόνην ἀφορώντων τὴν ζωὴν τὴν ὑπὸ τοῦτον τὸν ἥλιον. Ἐντεῦθεν παραινιττόμενος καὶ μόνον οὐχὶ φάσκων· Πάρες, ἄνθρωπε, τοὺς ἀφικνουμένους καὶ καταντῶντας μόνον μέχρι τῆς προσβλέψεως τοῦ αἰσθητοῦ ἡλίου τοῦ πρὸς ἀνατολὰς ἀπιόντος καὶ πάλιν ἀφικνουμένου πρὸς τὰς δυσμάς· καὶ διὰ ἀδοξίαν ἐνδυομένου καὶ τὴν ἀφάνειαν· καὶ διὰ τῆς ἰδίας ἀνατολῆς τε καὶ δύσεω; σὲ προδήλως διδάσκοντος μέλλειν τεθνάναι καὶ κατὰ ταυτὰ καὶ ὡσαύτως ἀποστερεῖσθαι τῆς προσούσης σοι περιφανείας καὶ δόξης· ὅπου γε πολ- B λάκις καὶ ζῶντά σε κατείληφεν ἡ σύμβασις τῆς τοιαύτης ἀλλοιώσεως καὶ περιτροπῆς· καὶ μᾶλλον ἀνάνευσον πρὸς τὴν ζωὴν τὴν ὑπὲρ τοῦτον τὸν ἥλιον, καὶ συνανυψώθητι πρὸς τὴν ὑπερουράνιον ζωὴν καὶ κατάστασιν· καὶ παράτεινόν σου τὸν νοῦν πρὸς τὰς ἀκτῖνας τοῦ ἡλίου τῆς δόξης· ἵνα ταῖς ἐκείνου μεθέξεσι καὶ μετουσίαις φωτισθῇς καὶ λαμπρυνθῇς, καὶ τῆς ἐν Κηδὰρ παροικίας ἀνώτερος καὶ κρείττων ἀποφανθῇς.

Παραπλησίως γὰρ καὶ Μιχαίας ὁ προφήτης, καταγινώσκων σφόδρα τῶν τῆς ματαιότητος ἐραστῶν καὶ τὸν μοχθηρὸν μόχθον μοχθούντων ὑπὸ τὸν ἥλιον, οὕτω φησί· « Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἅμα C τῇ ἡμέρᾳ συνετέλουν αὐτά· διότι οὐκ ἦραν πρὸς τὸν Θεὸν χεῖρας αὐτῶν· καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον· » τοὺς πρὸς μηδὲν πέρας ἀγαθὸν καὶ λυσιτελὲς καταντῶντας κόπους ἤτοι μόχθους· ταυτὸν γάρ ἐστιν ἑκάτερον, δηλαδὴ παρεμφαίνων καὶ τὰς συμπαρομαρτούσας αὐτοῖς πονηροπραξίας καὶ ματαιοπονίας.

Μήποτε δὲ τὸ, « ὑπὸ τὸν ἥλιον, » καὶ ἄλλως ἐξειληφέναι προσῆκεν· ἐπειδὴ γὰρ ἀπέβλεψεν ὁ Ἐκκλησιαστὴς πρὸς πάντας ἀνθρώπους τοὺς κατοικοῦντας τὴν γῆν, ἣν ὁ ἥλιος ἀφ' ὑψηλοῦ καὶ μεταρσίου προσβλέπει, καὶ διὰ τῆς ἰδίας ἀνατολῆς καὶ δύσεως ἐν τῇ βουλῇ καὶ προστάξει τοῦ Κτίσαντος εὐεργετεῖ πολυτρόπως, προτείνει πρὸς τοὺς ἐν φαυ- D λότητι καὶ μοχθηρίᾳ καὶ κακοπραγίᾳ προελομένους πολιτεύεσθαί τε καὶ ζῆν ἀνὰ πᾶσαν τὴν γῆν ὑπὸ τὸν ἥλιον ἐν τῷ φάσκειν· « Τίς περίσσεια τῷ ἀν-

prætereuntia, fœdissimos et ignominiæ plenos affectus, detestandas voluptates, cæteraque pravorum hominum conquisita studiis, gloriam gloria vacuam, honorem sine honore, lucrum lucri expers: quæ accusando aut adulando, nullamque improbam curam prætermittendo ii perquirunt, qui unam istam respiciunt vitam, quæ hoc sub sole degitur. Hinc ille innuere mihi videtur, ac prope in hunc modum admonere: Labores, o mortalis, et machinationes, quotquot superveniunt occurruntque, tandiu prætermittito, dum solem hunc aspectabilem contempleris: qui ad orientem ut abiit, rursum ad occidentem commeans, splendorem subinde suum et speciem obducit: atque ortu et occasu suo illud palam te edocet moriendum tibi esse, nec dissimili te modo ea, qua nunc flores, dignitate atque gloria spoliatum iri: quanquam par sæpe rerum conversio immutatioque te viventem etiamtum occupavit. Itaque eam potius vitam suspicias, quæ supra hunc solem vivitur, altiusque assurgas ad cœlestem æterni ævi beatitatem, atque in alterius solis splendore et pulchritudine animum defigas: quo ille te propius copiosiusque lumine suo perfundat illustretque, tu jam habitatoribus Cedar sublimior et præstantior videare (22).

12 Nimirum et Michæas propheta, non aliter amatores vanitatis, et hoc sub sole perversis studiis et contentionibus rem suam urgentes vehementer improbans, sic est locutus: « In meditandis laboribus occupati, opera mala animo destinabant, eaque intra diem perficiebant: itaque non ad Deum manus suas protendere, sed agrorum cupidi pupillos spoliare, in familiis dominari soliti (23); » horum scilicet neque labores neque machinationes, nam idem utrumque est, ullum habere exitum demonstrans bonum atque utilem, unoque iis nexu et prava opera et inania studia adhærescere.

Quidni vero illud, « sub sole » in aliam quoque sententiam merito interpretemur? nam cum Ecclesiastes sermonem ad omnes homines converterit, qui terram hanc habitant, quam sol ex edito sublimique loco intuetur, atque ortu et occasu suo lustrans, Conditoris consilio et voluntate multis afficit beneficiis; jam cum ait: « Quid habet amplius homo de universo labore suo, quo laborat sub sole, » homines alloquitur, qui quacunque terra sub sole patet, dedita opera in omni scelere et ma-

(22) *Cedar*, inquit Hieronymus (in Is. c. LX, n. 7.) *regio Saracenorum est, qui in Scriptura vocantur Ismaelitæ*. Incolæ ejus regionis *Cedrei* aut *Kedareni* dicti, quos Relandus (Palæst. lib. I, c. 18), eosdem esse putat atque Arabes Scenitas, qui a tentoriis nomen habent. Verum eo hic nomine designatur hominum genus caduca et prava sectantium, a quibus Christiani virtutis ac pietatis cultores sic discrepant, quemadmodum a barbaris Cedarenis cives Israelitæ differebant. Comparationem haud dissimilem induxit Chrysostomus ad illa psalmi CXIX: *Habitavi cum tabernaculis Cedar*: hæc enim subjecit: Βάρβαρον τοῦτο τὸ γένος ἐστὶ θηριωδέστερον πρὸς τοὺς κεκρατημένους, διακειμένων σκηναῖς καὶ καλύβαις κεχρημένων, καὶ πρὸς τὴν τῶν θηρίων ἀγριότητα ἐκπεπτωκότων· ἀλλὰ τούτων πολλῷ χαλεπώτεροι οἱ ἅρπαγες, οἱ πλεονέκται, οἱ ἐν ἀσελγείαις, οἱ ἐν τρυφαῖς ζῶντες. Id est: *Barbarum hoc hominum genus est adversus eos, quos vicerunt, ferociorem animum gerentium, qui tentoriis et tuguriis utuntur, et ad immanitatem ferarum reciderunt; sed his multo sunt efferatiores raptores, avari, et qui impudice, qui libidinose in deliciis vitam agunt.* (Tom. V Expos. in Psalm. CIX, n. 3.)

(23) Mich. II, 1. Sed apud LXX scriptum est Ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν· quod et in Latinis redditum est *In cubilibus*; quanquam cætera minus respondent.

Digitized by Google

litia et improbitate versantur ac vivunt : velut si diceret, quicunque sub sole hoc est mortalis, enarret, vana ipse sectando agendoque quantum utilitatis et commodi laturus sit : cum quæ hodie sunt, cras futura non sint : nec, si quis nunc gloriæ, amplitudinis, divitiarum, dominationis causa animos extulit, et fastu tumens omnes superbe contemnit, non is brevi ad ignominiam et humilitatem extremamque inopiam recidat.

Neque vero absurde, opinor, existimet quispiam, illud, « sub sole, » usurpatum esse ad defunctorum exceptionem, qui, a sole hoc procul, infra terram sunt, quasi hæc insit in illis verbis sententia, Ecclesiasten scilicet eos alloqui, qui etiamnum superstites hanc vivunt vitam : quod **13** ii mutare mores, atque a pessima vitæ ratione ad bonam frugem redeuntes resipiscere facile possint ; illud si forte animo cogitent, sibi quoque supremum instare diem, nec se minus, quam cæteros morti esse devotos : jamque, in mortalitatis suæ cogitatione defixi, flagitiosæ denique vitæ pravisque moribus modum ponant.

Cæterum quæ hactenus dicta sunt, ansam alicui præbeant ambigendi, quærendique, quonam pacto Ecclesiastes, qui hominum improborum perversas vitæ rationes et prava facta detegere sibi proposuerit, nihil aliud pronuntiaverit, quam « Vanitas vanitatum, omnia vanitas? » nam si vanitas sunt, ut jam diximus, sive facta, sive dicta, sive cogitationes quæcunque nullam habent utilitatem : cum omne improbitatis, nequitiæque et malitiæ genus non modo nullum amatoribus suis afferat commodum, sed etiam ad æterna illos supplicia transmittat ; cur non aliud his nomen ab Ecclesiaste impositum est, nisi vanitas? optabile enim erat istis, qui diu in rapinis, in avaritia, in criminationibus, in ingluvie, in ebrietate, in crapula, in aliis omnibus flagitiis versati essent, vanitatem eorum solis operum cujusque terminis definitam ac circumscriptam esse ; ne cum iis ad illam quoque vitam transire deberent, in qua justus judex de omnium, qui vita defuncti sint, meritis est cogniturus. Quomodo igitur quæ pœnas importent intolerabiles cruciatusque perpetuos, vanitas vanitatum appellabuntur? præsertim cum vel de otioso verbo pœnas ab hominibus dandas, rationemque in judicii die reddendam esse, Christus et Deus noster in Evangeliis edixerit [19].

Planum porro hinc est, quod ad quæstionem respondeas. Sapiens enim Ecclesiastes, tanquam ad tirones verba faciens, damnatis increpatisque iis qui, naturæ fines rationesque transgressi, leges ejus a quo conditi sumus, subvertunt, et voluntariis liberi arbitrii momentis ac motibus ad res inutiles et malas abutuntur ; satis esse existimavit, si eos ab una vanitate reprehenderet notaretque :

[19] Matth. XII, 36.

A ὁρώπῳ ἐν παντὶ κόπῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον ; » ἀντὶ τοῦ, Πᾶς ἄνθρωπος τελῶν ὑπὸ τοῦτον τὸν ἥλιον εἰπάτω, ποίαν ἐκ τῶν τῆς ματαιότητος ἐπιτηδευμάτων καὶ πράξεων ὄνησιν εὑρήσει καὶ λυσιτέλειαν· ἐπ' ἂν σήμερον ἔστι, καὶ αὔριον οὐκ ἔστι· καὶ νῦν μὲν ἐν δόξῃ καὶ μεγαλωσύνῃ καὶ πλούτῳ καὶ καταδυναστείᾳ τὴν ἰδίαν γνώμην ἐξοιδαίνουσαν καὶ φλεγμαίνουσαν ἔχει, καὶ καταφρυαττομένην πάντων τῶν ἄλλων· μετὰ βραχὺ δὲ πρὸς ἀδοξίαν καὶ ταπεινότητα καὶ τὴν ἐσχάτην ἀπορίαν μετῆλθε.

Τάχα δέ τις οὐκ ἀπεικότως τὸ, « ὑπὸ τὸν ἥλιον, » οἰήσοιτο κατὰ ἀντιδιαστολὴν εἰρῆσθαι τῶν τεθνηκότων, καὶ μηδαμῶς ὄντων ὑπὸ τοῦτον τὸν ἥλιον, ἀλλ' ὑπὸ γῆν γεγονότων· ἵνα ἐστὶ τοιοῦτον τὸ εἰρημένον· ὡς τὰ ῥήματα τοῦ Ἐκκλησιαστοῦ προβέβληνται B πρὸς τοὺς ἤδη παρόντας ἐν τῷδε τῷ βίῳ καὶ ζῶντας τὴν παροῦσαν ζωήν· ἅτε δὴ καὶ πρὸς ἐπιστροφὴν καὶ μετάθεσιν τὴν ἀπὸ τῆς χειρίστης πολιτείας καὶ βελτίωσιν μεταθεῖναι ῥᾳδίως δυναμένους· ὡς ἐντεῦθεν διενθυμουμένους, ὡς καὶ αὐτοὶ τελευτήσουσι πάντως, καὶ θνήξουσι παραπλησίως ἐκείνοις· καὶ κατὰ τὸ ἀκόλουθον λαμβάνοντας ἔννοιαν τῆς θνητῆς αὐτῶν φύσεως, καὶ διορθουμένους τὴν μοχθηρὰν αὐτῶν καὶ φαύλην ζωήν.

Ἀλλὰ γὰρ ἐξ ἀκολουθίας τῶν εἰρημένων ἀναφυήσεταί τις ἀπορῶν λόγος, καὶ φήσειε· Καὶ τί δήποτε τὰς πονηρολογίας καὶ κακοπραγίας τῶν μοχθηρῶς καὶ φαύλως ἐν τῷδε τῷ βίῳ πολιτευομένων ἀνθρώπων ὁ Ἐκκλησιαστὴς δηλῶσαι βουλόμενος, « Ματαιότης, εἶπε, ματαιοτήτων, τὰ πάντα ματαιότης ; » Εἰ γὰρ ματαιότης ἐστὶν, ὡς ἔφθημεν εἰπόντες, ἡ μηδεμίαν ὠφέλειαν ἔχουσα πρᾶξις καὶ λαλιὰ καὶ ἐνθύμησις, τὰ δὲ τῆς φαυλότητος καὶ μοχθηρίας εἴδη καὶ τῆς κακίας πρὸς τῷ μηδεμίαν ὄνησιν προξενεῖν τοῖς σφῶν ἐρασταῖς, ἔτι καὶ πρὸς τὰς αἰωνιζούσας παραπέμπουσιν αὐτοὺς τιμωρίας· πῶς ὠνομάσθησαν τῷ Ἐκκλησιαστῇ ματαιότης ; ἀγαπητὸν γὰρ ἦν τοῖς ἐσπουδακόσι περὶ τὴν ἁρπαγὴν καὶ τὴν πλεονεξίαν καὶ τὴν συκοφαντίαν καὶ τὴν ἀδδηφαγίαν καὶ μέθην καὶ κραιπάλην καὶ τὴν ἄλλην πᾶσαν κακοπραγίαν περιορίσθαι καὶ περιγεγράφθαι τῶν ἰδίων ἐνεργειῶν μόνοις τοῖς πέρασιν· ἀλλὰ μὴ συναπῴχοντο τούτοις καὶ πρὸς τὴν ἐκεῖθεν ζωὴν, ἐν ᾗ τὴν τῶν βεβιωμένων ὥρισεν ὁ δίκαιος κριτὴς ἀντ- D απόδοσιν. Πῶς οὖν τὰ προξενοῦντα τιμωρίας ἀνυποίστους καὶ κολάσεις ἀτελευτήτους ὠνομασθήσονται ματαιότης ματαιοτήτων ; ὅπου γε καὶ ὑπὲρ ἀργοῦ λόγου τοῖς ἀνθρώποις εἰσπραχθήσεσθαι δίκας, καὶ λόγον ἀποδώσειν κατὰ τὴν ἡμέραν τῆς κρίσεως ἐν τοῖς Εὐαγγελίοις φησὶν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν.

Ἔστι δὲ καταφανὴς αὐτόθεν τῆς ἀπορίας ἡ λύσις. Ὁ γὰρ σοφὸς Ἐκκλησιαστὴς ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος, καὶ καταγινώσκων καὶ κατα-μεμφόμενος τῶν παραχαραττόντων τοὺς ὅρους καὶ λόγους τῆς φύσεως, καὶ τοὺς νόμους τοῦ κτίσαντος ἡμᾶς παραλογιζομένους, καὶ ταῖς προαιρετικαῖς τοῦ αὐτεξουσίου ῥοπαῖς καὶ κινήσεσι κεχρημένους ἐπὶ τοῖς ἀσυμφόροις καὶ φαύλοις, ἀποχρῆναι ἠγήσατο

Digitized by Google

διὰ μόνης αὐτοὺς ἐξελέγξαι καὶ στηλιτεῦσαι τῆς ματαιότητος· ἵνα διενθυμηθῶσι καὶ μάθωσι τέως, μηδὲν ἀπόνασθαι τῶν ἐπιτηδευμάτων τῆς πονηρίας, ἀλλ' ἀφρόνως καὶ παραλόγως οἴονται περισπούδαστον τὴν ἀνθρωπίνην δόξαν καὶ τὰς σαρκικὰς ἡδονάς. Εἰ γάρ, « Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, » πρόδηλον, ὡς οἱ περὶ τὰ σαρκικὰ πάθη τῆς αἰσχύνης ἐνασχολούμενοι πρὸς τὴν ἀπεικασθεῖσαν τῷ εὐμαράντῳ ἄνθει τοῦ χόρτου δόξαν ἀνθρωπίνην καὶ καταδυναστείαν, ἧς οὐδὲν ὠφέλιμον ἢ χρήσιμον τὸ παράπαν τὴν σφῶν ζωὴν ἀναλίσκουσι. Μόνον οὐχὶ γάρ φησι· Γνῶθι τέως, ἄνθρωπε, διὰ τῶν παρ' ἐμοῦ σοι προτεινομένων, ὡς τὰ παρὰ σοῦ λελεγμένα καὶ πεπραγμένα φαύλως καὶ μοχθηρῶς, ματαιότης ματαιοτήτων εἰσὶν, ὡς ἀλυσιτελῆ καὶ ἄχρηστα καὶ ἀσύμφορα· μετέπειτα δὲ κατὰ τὸ τέλος τοῦ βιβλίου τὴν ἐντελεστέραν διδασκαλίαν ἀκούσεις, ἀνακεφαλαιουμένου τοῦ Ἐκκλησιαστοῦ πάντα καὶ φάσκοντος· « Τέλος τοῦ λόγου τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε· ὅτι τοῦτο πᾶς ἄνθρωπος, ὅτι σύμπαν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐάν τε ἀγαθὸν ᾖ, ἐάν τε πονηρόν. »

Ἀλλὰ γὰρ τούτων οὕτως ἀποδοθέντων ὑπὸ τοῦ λόγου τῆς ἀληθείας, χρῆναι καλῶς ᾠήθημεν παρασημήνασθαι καὶ εἰπεῖν, ὡς εἰκῆ καὶ μάτην ἔνιοι τῶν προγενεστέρων ἐξηγητῶν ἐξειλήφασι τὸ, « Ματαιότης ματαιοτήτων, » καὶ περὶ τῶν ὄντων καὶ φαινομένων, λέξεσιν αὐταῖς εἰπόντες· « Λέγει γὰρ οὐχ ἁπλῶς εἶναι μάταια τὰ ἐν τοῖς οὖσι φαινόμενα, ἀλλὰ καθ' ὑπέρθεσιν τῆς κατὰ τὸ μάταιον σημασίας. » Ἄλλοι δὲ τὸ, « Ὑπὸ τὸν ἥλιον, » δηλοῦν ᾠήθησαν καὶ τὴν γεωργικὴν ἐπιμέλειαν καὶ φιλεργίαν λέξεσιν αὐταῖς εἰπόντες, « Τὰς περὶ τὴν γῆν ἐργασίας φησί· » οὐδετέραν γὰρ ἐκδοχὴν προσίεται τῆς ἀληθείας ὁ λόγος. Τὰ γὰρ ὑπὸ τοῦ Δημιουργοῦ γε-

A ut animo interea recolerent discerentque nullum ex improbitatis studiis percipi fructum; **14** sed insipienter eosdem atque temere et humanam gloriam et corporis voluptates studio dignas putare. Si enim, « Omnis caro fenum, et omnis gloria hominis quasi flos feni [20], » manifestum est, qui voluptariis hisce turpibusque indulgent cupiditatibus, vitam eos suam insumere, gloriam apud homines dominationemque consectando feni flore nihilo diuturniorem, in qua nihil utilitatis, nihil commodi sit: velut si diceret: Agnosce interea, o mortalis, ex iis, quæ a me tibi enuntiantur, quidquid improbe flagitioseque dixeris fecerisve, id omne vanitatem esse vanitatum, quippe inutilia cuncta et supervacua et incommoda. Idem postea sub libri finem B doctrinam audies absolutiorem: universa enim sic colligit Ecclesiastes, cum ait: « Finem sermonis audite omnes: Deum time, et mandata ejus observa. Hoc enim omnis homo; et cuncta, quæ fiunt, adducet Deus in judicium pro omni errato, sive bonum sive malum illud sit (24-25). »

His jam sic ex veri oraculo expositis, omnino adnotandum videtur, dicendumque, temere quosdam et frustra, ex iis, qui ante nos fuerunt, interpretes illud, « Vanitas vanitatum, » et de iis quæ sunt, et de iis quæ visuntur, accepisse: hæc namque usurpant verba: « Dicit enim, non simpliciter C esse vana quæ in rebus apparent, sed esse cum exsuperatione quoad ipsam vani significationem (26). » Alii vero illud, « sub **15** sole » designare putaverunt rei rusticæ curam et laboris sedulitatem, his nempe usi vocibus: « Opera dicit, quæ ad terram pertinent (27). » Atqui neutrum ad sententiæ veritatem accedit. Nam quæ a Conditore facta sunt, ea omnia

[20] Isa. XL, 6.

(24-25) Eccle. XII, 13. Extrema aliquid variant apud LXV; sic enim se habent: Ὅτι σύμπαν τὸ ποίημα ὁ Θεὸς ἄξει ἐν κρίσει, ἐν παντὶ παρεωραμένῳ, ἐάν ἀγαθὸν, καὶ ἐὰν πονηρόν.

(26) Carpit hic Nyssenum prolatis ejus verbis, quæ paulo superius ascripsi (§ 2, p. 10); displicent nempe Gregorio nostro illæ voces τὰ ἐν τοῖς οὖσι φαινόμενα: quod vanitatem in pravis hominum D studiis, non in rebus ipsis agnoscat. Cæterum Nyssenus post illa sententiam suam hoc modo explicavit: Καὶ μηδεὶς ὑπολάβοι κατηγορίαν εἶναι τῆς κτίσεως τὰ λεγόμενα· καὶ γὰρ ἂν εἰς τὸν πεποιηκότα πάντα διαβαίνοι τὸ ἔγκλημα, εἰ τούτων ἡμῖν δημιουργὸς ἀναφανείη, ὁ συστησάμενος ἐξ οὐκ ὄντων τὰ πάντα, εἴπερ ματαιότητος εἴη τὰ πάντα. Ἀλλ' ἐπειδὴ διπλῆ μέν ἐστιν ἡ τοῦ ἀνθρώπου κατασκευὴ, ψυχῆς σώματι συνδραμούσης· μεμέρισται δὲ κατηλλήλως ἑκατέρῳ τῶν ἐν ἡμῖν θεωρουμένων καὶ τῆς ζωῆς εἶδος· ἄλλη γὰρ ψυχῆς καὶ ἑτέρα σώματός ἐστι ζωή· ἡ μὲν γὰρ θνητὴ καὶ ἐπίκηρος· ὁ δὲ ἀπαθὴς καὶ ἀκήρατος· καὶ αὕτη μὲν εἰς τὸ παρὸν βλέπει μόνον, τῆς δὲ ὁ σκοπὸς εἰς τὸ διηνεκὲς παρατείνεται· ἐκεῖ οὖν πολλὴ διαφορὰ τοῦ θνητοῦ πρὸς τὸ ἀΐδιον, πρὸς τοῦτο φέρει τοῦ Ἐκκλησιαστοῦ ἡ φωνὴ, τὸ μὴ δεῖν πρὸς τὴν αἰσθητὴν ταύτην βλέπειν ζωήν· ἥτις συγκρινομένη πρὸς τὴν ὄντως ζωὴν, ἀνύπαρκτός τις καὶ ἀνυπόστατός ἐστιν. Id est: *Neque existimet quispiam ea quæ dicuntur, rerum conditarum accusationem esse. Revera enim in eum, qui omnia fecit, transiret criminatio, si eorum auctor is proderetur, qui ex iis, quæ non erant, condidit omnia; siquidem essent omnia vanitatis. Sed quoniam duplex est hominis constructio, cum anima concurrat cum corpore: convenienter autem utrique eorum, quæ in nobis considerantur, dispertitum est vitæ genus; alia enim est animæ, alia vita corporis: nam hæc quidem est mortalis, et in eam cadit interitus; illa autem impatibilis atque expers interitus: et hæc quidem aspicit tantum quod adest, illius autem scopus tendit ad æternitatem: quoniam igitur multum differt immortale a mortali, et æternum a temporario, eo spectat vox Ecclesiastæ, non oportere ad hanc sensilem intueri vitam: quæ si conferatur cum ea, quæ vere est vita, non est nec potest consistere.* (Hom. 1 in Eccl.) Porro ex hoc loco ostendit Montfauconius, falsum esse titulum codicis Coisliniani, qui opus hoc tribuit Gregorio Nysseno. (*Bib. Coisl.* p. 120.)

(27) Ascriptum erat in Codice ad marginem Διονυσ. Ἀλεξ. Dionysii scilicet Alexandrini eam fuisse interpretationem, quæ hic a Gregorio nostro rejicitur. At jam Dionysianum commentarium in Ecclesiasten inter ea numeravimus, quæ deperdita sunt.

Digitized by Google

valde pulchra reperta esse, divino testimonio docemur. Neque vero aut divinarum Litterarum sententiæ adversari fas est, aut cognitam manifestamque utilitatem et pulchritudinem et ordinem ipsum naturæ in iis, quæ sunt quæque visuntur, quomodocunque redargui par erat. Quin et homines priscos recentesque, qui rei rusticæ dediti terræ cultores, operumque studiosi fuerunt, sacris in Litteris commendari videmus, contraque qui negligentes et ignavi et desides sint, multis reprehendi : quandoquidem et initio, cum Deus generis nostri principem finxit, in paradiso collocavit : « Ut operaretur et custodiret illum [21]. » Et de Isaaco scriptum est : « Sevit in terra illa, et anno eodem hordeum invenit centuplicato (28). » Longum vero esset et grave, quæ de his exstant testimonia, vel evolvere vel referre. Novere enim omnes ea etiam, quæ e contrario ad reprehensionem otiosorum et segnium prolata sunt, quorum causa dicitur, « Viæ inertium stratæ spinis (29). » Ac rursum : « Vade ad formicam, o piger, atque æmulare vias ejus, et esto illa sapientior ; nam cum ei non sit agellus, neque habeat qui cogat, neque sub domino sit, parat æstate alimentum et multam in messe facit acervationem. Aut vade ad apem, et disce, quomodo operaria est, atque opus suum quam speciosum facit, cujus laboribus reges privatique ad sanitatem utuntur (30). » Magnus vero Paulus, os illud aureum, ne in esu quidem cessare quemquam et otiosum esse permittit [22]. Quomodo igitur cogitare **16** liceat, quæ in rerum natura videmus, ea vanitatem esse vanitatum? aut sententiam illam, quæ adducta est, « Quid habet amplius homo de universo labore suo, quo laborat sub sole ? » terræ opera significare ? Propter quæ potius honestus et industrius et Deo charus homo sit inventus, illud scilicet cura ejusmodi et laboris assiduitate consecutus, ut et egenos aleret, et hospites benigne acciperet, et alia Deo jucunda faceret.

Nam nisi sit, qui sudoribus suis et laboribus copiam sibi paret, ut et ipse abundet, et indigentibus commodare possit, qui comprobabitur, aut ad quem pertinere putabimus dictum illud : « Dispersit, dedit pauperibus : justitia ejus manet in sæculum sæculi [23] ? » Quare nihil ejusmodi designabat Ecclesiastes, sed illud in animo habuisse videtur, ut clare præciperet, ne quis unquam iis exuberare operibus vellet, quæ in detestata voluptate, atque in corruptelarum illecebris et in obscœnis corporis libidinibus versantur : aut in cupiditatibus iis et curis et servitute et ærumnis, quas homines inani gloriæ studio tolerant ; ex quibus non modo nullum omnino cepere fructum, sed sæpe, ingruente morborum cohorte, naturæ quoque vires amise-

γονότα πάντα καλὰ λίαν ἐμαρτυρήθησαν · καὶ οὔτε τῷ λόγῳ τῆς θείας Γραφῆς οἷόν τέ ἐστι ἀντιφάσκειν, οὔτε τὴν διεγνωσμένην καὶ κατειλημμένην χρησιμότητα καὶ καλλονὴν καὶ τάξιν τῆς φύσεως τῶν ὄντων καὶ φαινομένων ὁπωσοῦν ἐνδιαβάλλειν προσῆκεν. Ἀλλὰ καὶ τοὺς τὰς γεωργικὰς ἐπιμελείας καὶ γηπονίας καὶ φιλεργίας ἐσχηκότας ἀνθρώπους παλαιούς τε καὶ νέους κατασεμνυνομένους εὑρίσκομεν ὑπὸ τῆς θείας Γραφῆς · ὡς ἔμπαλιν τοὺς ἀμελεῖς καὶ ἀργοὺς καὶ ῥᾳθύμους μέμψεσι πολλαῖς καθυποβεβλημένους. Ἐπειδὴ καὶ κατ' ἀρχὰς ἡνίκα τὸν γεννάρχην ἔπλασεν ὁ Θεὸς, ἐν τῷ παραδείσῳ ἔθετο, « Ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. » Γέγραπται δὲ καὶ περὶ τοῦ Ἰσαὰκ, ὡς « Ἔσπειρεν ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρε τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκαστοστεύουσαν κριθήν · » καὶ μακρὸν ἂν εἴη καὶ φορτικὸν τὰς περὶ τῶν τοιούτων μαρτυρίας ἀνελίττειν καὶ φάσκειν. Δῆλον γάρ ἐστι πᾶσι καὶ τὰ κατ' ἐναντίωσιν εἰς μέμψιν εἰρημένα τῶν ἀέργων καὶ ὀκνηρῶν, δι' ὧν φησι · « Ὁδοὶ ἀέργων ἐστρωμέναι ἀκάνθαις · » καὶ πάλιν, « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος · ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, ὑπὸ δεσπότην ὢν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, πολλὴν δὲ ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστὶ, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται, ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται. » Ὁ δὲ μέγας καὶ χρυσόστομος Παῦλος παρακελεύεται, μηδὲ τὸ σύνολον τοὺς ἀργοὺς καὶ ῥᾳθύμους ἐσθίειν. Πῶς οὖν δυνάμεθα νοεῖν ἢ τὰ ἐν τοῖς οὖσι φαινόμενα ματαιότητα ματαιοτήτων, ἢ τὸ ἐπαγόμενον ῥητὸν καὶ φάσκον, « Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον, » τὰς περὶ τὴν γῆν ἐργασίας δηλοῦν ; ἐξ ὧν εὑρηται μᾶλλον ὁ φιλόκαλος καὶ σπουδαῖος καὶ θεοφιλὴς ἄνθρωπος διὰ τῆς τοιαύτης ἐπιμελείας καὶ φιλοπονίας, καὶ πτωχοὺς διατρέφων, καὶ ξένους φιλοφρονούμενος, καὶ τὰ ἄλλα τὰ ἀνδάνοντα τῷ Θεῷ ὁρῶν.

Εἰ γὰρ μὴ διὰ τῶν ἰδίων ἱδρώτων καὶ μόχθων πορίσοιτό τις ἑαυτῷ τὴν αὐτάρκειαν, ὡς εὐπορεῖν καὶ τοῖς ἐνδεέσι κιχρᾶν, ποῦ πληρωθήσεται, καὶ περὶ τίνος ῥηθήσεται τὸ φάσκον ῥητὸν, « Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν · ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ; » Τοιγαροῦν οὐδὲν τῷ Ἐκκλησιαστῇ πρόκειται τοιοῦτον εἰπεῖν · ἀλλὰ μηδεμίαν περίσσειαν ἔχειν τὸν ἄνθρωπον λέγειν σαφῶς ὑποληπτέον ἐπὶ πάσαις ταῖς καθ' ἡδονὴν διαβεβλημένην πράξεσι, καὶ σωματικὴν καὶ σαρκικὴν εὐπάθειαν καὶ πονηρὰν ἀπόλαυσιν, καὶ τὰς ἐπὶ ταῖς ἀνθρωπίναις καὶ παρερχομέναις δόξαις ἐπιθυμίας, καὶ μερίμνας καὶ θητείας καὶ κακουχίας · ὧν οὐ μόνον οὐδὲν ἀπώναντο τὸ παράπαν, ἀλλὰ πολλάκις καὶ νοσημάτων ἐσμὸν, καὶ φυσικῆς ἀλκῆς στέρησιν εὗρον · καὶ πρὸς πέρας

[21] Gen. II, 15. [22] I Cor. x, 31. [23] Psal. CXI, 9.

(28) Gen. XXVI, 12. Latina nostra non reddunt κριθήν.

(29) Prov. XV, 19. In Latinis sic redditur : *Iter pigrorum quasi sepes spinarum.*

(30) Prov. VI, 6. Sed apud LXX legitur, Καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ.

Digitized by Google

ἐναντιον τῆς ἰδίας ἐφέσεως εἰς ἀπορίαν καὶ πτωχίαν ἐκ περιουσίας κατήντησαν. Τοιοῦτοι γάρ εἰσιν οἱ μοχθοῦντες διὰ μόνην τὴν ὑπὸ τοῦτον τὸν ἥλιον ἀπόλαυσιν καὶ τρυφὴν καὶ δόξαν καὶ δυναστείαν· οἱ δὲ μοχθοῦντές τε καὶ κοπιῶντες διὰ τὰς ὑπὲρ τὸν ἥλιον ἐλπιζομένας ἀμοιβὰς οὐρανίας καὶ θείας, πολλὴν ἔχουσι περίσσειαν ἐν τοῖς ἰδίοις μόχθοις· οἵους ἴσμεν τοὺς πανευφήμους ἀποστόλους, τοὺς ἁγίους προφήτας, τοὺς τῆς ἀληθείας καὶ τῆς πίστεως μάρτυρας, καὶ τοὺς παραπλησίως τούτοις τὴν ἀρετὴν ἐξασκήσαντας, καὶ πᾶσαν τὴν κατὰ τὸ δυνατὸν δικαιοσύνην ἐργασαμένους, ὧν ἕκαστος ἔλεγεν ἔργοις αὐτοῖς· « Αἱ χεῖρες αὗται καὶ ἐμοὶ καὶ ἄλλοις διηκόνησαν· » καὶ πάλιν, « Ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. »

A runt : atque alio plane, quam optarent, exitu, ad inopiam et paupertatem ex rerum omnium affluentia reciderunt. Tales nimirum sunt, quorum labores una illa, quæ sub sole hoc habentur, oblectamenta et delicias et gloriam et dominationem spectant. Verum qui laborem et operam ponunt in iis quæ supra solem speramus cœlestia Dei præmia, large in ipsis ærumnis abundant : quemadmodum contigisse scimus celeberrimis apostolis, sanctis prophetis, ipsis veritatis et fidei martyribus, cæterisque illis, qui virtutem æque coluerunt, et justitiæ partes omnes pro viribus egere : quorum singuli operibus ipsis dicebant, « Manus hæ et mihi et aliis ministraverunt (31). » Et rursum : « Operantes manibus propriis [34]. »

Τοὺς οὖν τὸν ἴδιον μόχθον ἐν τῇ παρούσῃ ζωῇ καταβαλλομένους διὰ τὴν κτῆσιν τῶν ἀγαθῶν τῶν ὑπὲρ τὸν ἥλιον, καὶ τὴν ἀκήρατον κληρονομίαν ἐν οὐρανοῖς, πολλὴν περίσσειαν ἔχειν εἰδὼς ἐν τῷ μόχθῳ αὐτῶν, δηλονότι τὴν ἀνεκλάλητον καὶ μακαρίαν τῶν ἁγίων ἀγγέλων χαρὰν καὶ τῆς θείας δόξης τὴν ἀγαλλίασιν, ἐξελέγχει κατὰ ἀντιδιαστολὴν τούτων τοὺς τὸν μοχθηρὸν μόχθον μοχθοῦντας καὶ κοπιῶντας μέχρι τῆς παρούσης ζωῆς τῆς ἐπικήρου καὶ φθειρομένης καὶ τελούσης ὑπὸ μόνον τοῦτον τὸν ἥλιον. Ἀμέλει τοίνυν ἐμπεδῶν τὴν ἡμετέραν ὑπόληψιν ὁ Ἐκκλησιαστής, καὶ δεικνὺς, ὡς οὐδὲν τῶν ὄντων καὶ φαινομένων ἐστὶ μάταιον, ἀμέσως ἐπήγαγε·

B Itaque quia noverat, quicunque laborem suum in præsenti vita impendunt, bonorum, quæ supra solem sunt, acquirendorum, et immortalis illius hæreditatis **17** adeundæ causa, eosdem magnum ferre laboris sui fructum, ineffabilem scilicet beatamque sanctorum angelorum lætitiam et divinæ gloriæ gaudia, idcirco, istis ex adverso propositis, eos redarguit, qui perverso studio pravoque labore vires insumunt suas vitæ hujus causa, quæ fluxa est et corruptibilis, ac finem hoc sub sole habet. Tum sibi utique constans Ecclesiastes, et opinionis assertor nostræ, quo ostenderet, eorum, quæ sunt, quæque visuntur, nihil vanum esse, subjecit protinus,

§ IV.

Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε.

C Vers. 4. *Generatio præterit et generatio advenit, terra autem in sæculum stat* (32).

Μονονουχὶ γάρ φησι· Κατέλαβες, ἄνθρωπε, καὶ διέγνως τῶν ἰδίων μοχθηρῶν σπουδασμάτων καὶ τῶν φαύλων ἔργων καὶ πονηρῶν ἐπιτηδευμάτων τὴν ματαιότητα, δι' ὧν εὗρες τοὺς γεγεννηκότας σε, καὶ τοὺς ἐκείνους ἔτι τεκόντας, παροιχηκότας, καὶ σὲ πρὸς τὸ στάδιον τῆς παρούσης ζωῆς ἀντ' ἐκείνων μετακληθέντα διὰ τῆς ἐξ ἐκείνων γενέσεως. Οὐκοῦν συνήσεις καὶ καθομολογήσεις ἀληθῆ τὴν δόξαν τῶν παρ' ἐμοῦ λεγομένων καὶ φασκόντων, ὡς « Ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης; » Εἰ γὰρ οἱ κατ' οὐσίαν καὶ φυσικὴν ὕπαρξιν γεγονότες καὶ ὄντες, ἀπῴχοντο τῆς παρούσης ζωῆς, καὶ πρὸς τὸν χοῦν καὶ τὴν γῆν, ἐξ ἧς ἐλήφθησαν, ἀνελύθησαν, καὶ γεγόνασιν ὡς οὐδαμῶς ὑπάρξαντες, ὅσον ἧκεν εἰς τὴν πρόχειρον καὶ φαινομένην ὑπόληψιν, σχολῇ γ' ἂν ὑπολαμβάνειν δέον ἔτι περιφυλάττεσθαι καὶ διαμένειν τὰς σαρκικὰς καὶ βδελυκτὰς ἡδονὰς, καὶ τὰς καπνοῦ δίκην παρερχομένας ἀνθρωπίνας δόξας καὶ καταδυναστείας, αἳ συμβεβηκότως ὑφίστανται κατὰ τὴν αὐτεξούσιον ῥοπὴν καὶ βούλησιν τῶν μισοκάλων γνωμῶν, καὶ θᾶττον ἀπογίνονται πάλιν, καθὼς ὁ ὑπὸ λαίλαπος ἐλαυνόμενος χοῦς, καὶ πτῆσις ἱπταμένων ὀρνέων, καὶ ἴχνη ποντοπορούσης νηός.

D Perinde ac si diceret : Nosti jam, o mortalis, et assecutus es, flagitiosorum studiorum pravorumque operum atque improbæ contentionis tuæ quanta sit vanitas : cum et eos qui te genuerunt, et horum item parentes jam præteriisse deprehenderis, et ex illis prognatus ad præsentis vitæ stadium eorum te loco vocatum videas. Nonne igitur intelliges, ac vera illa fatebere, quæ a me dicta sunt in eam sententiam, « Vanitatem esse vanitatum, et omnia vanitatem? » nam si quos olim re et natura exstitisse constat, jam ex hac vita abiere, atque in pulverem terramque, unde exordium habuerant, conversi, quantum ex iis, quæ apparent, opinari obvium est, ita esse desierunt, quasi nunquam exstiterint; nullo modo existimare quis possit, bene constitutas ac stabiles esse fœdas corporis voluptates, aut fumi instar evanescentes humanos fastus et tyrannicos dominatus : in quibus nihil solidi insit, nihil diuturni, et in voluntatis arbitrio totum atque in perversi animi consilio sit : ut omnia rursum quasi pulvis turbine agitatus, aut sicut præterlabentium avium volatus, aut navis mare tranantis vestigia, cito dispereant (33).

[34] I Cor. IV, 12.

(31) Act. XX, 34. Sed Lucæ hæc sunt verba : Αὐτοὶ δὲ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.

(32) Olympiodorus habet, ἡ δὲ γῆ.

(33) Liceat mihi hoc loco particulam orationis proferre, quam habuit in festum Kalendarum discer-

Digitized by Google

18 « Enimvero terra in sæculum stat: » eadem quippe esse perseverat, et qualis majorum ætate fuit, talem se oculis ostendit tuis (34); quæ ex ejus, qui condidit libravitque, consilio atque præscripto fructiferas quotannis stirpes et germina in humanæ vitæ alimenta emittit: tum postquam ad mortem prope enecta posteritatem simul suam hiemali glacie atque algore enecavit, reviviscit iterum, iterumque virescit, et singula parit effunditque, quæcunque ei Conditoris et effectoris consilio ab ipsis primordiis designata sunt. Quare hanc tu quoque, quatenus nempe par erat, imitari si voluisses, ut ratione præditus rationis expertem sequerere, animoque pollens sensu carentem, atque ad Dei imaginem similitudinemque factus eam, quæ tua causa condita est; profecto naturæ tu etiam limites nunquam esses transgressus: idemque voluntatem et leges Conditoris tui servares; nec solum quæ nulla te utilitate juvent, prætermitteres, sed etiam ea unice sectarere, quæ ad Dei gloriam deducunt, viamque ad hæreditatem illam muniunt, quam ultra solem speramus. Itaque stare tu quoque in sæculum videreris, non secus ac terra; vel potius jam supra terram: quod ea quidem aliquando præteritura sit, te vero beata atque æterna supernarum virtutum vita maneat (35). Addit deinde:

A « Ἡ μέντοι γῆ εἰς τὸν αἰῶνα ἕστηκεν. » Ἡ αὐτὴ γὰρ διαμένει καὶ καθορᾶται, καθὼς ἐπὶ τῶν προγόνων, οὕτω καὶ τοῖς σοῖς ὀφθαλμοῖς κατὰ τὴν βουλὴν καὶ τὸν ὅρον τοῦ κτίσαντος καὶ ἀπαιωρήσαντος αὐτὴν, ἐτησίως ὠδίνουσα τὰς καρπογόνους φυὰς καὶ βλάστας πρὸς σύστασιν τῆς ἀνθρωπίνης ζωῆς· εἶτα καὶ τρόπον τινὰ νεκρουμένη καὶ θνήσκουσα, καὶ τὰ ἔκγονα συννεκροῦσα διὰ τοῦ χειμωνικοῦ κρυμοῦ καὶ τῆς ψύξεως, καὶ πάλιν ἀναβιοῦσα καὶ ἀναθάλλουσα καὶ φύουσα καὶ βλαστάνουσα τὰ διορισθέντα πρότερον αὐτῇ καὶ καταρχὰς παρὰ τῆς ποιητικῆς βουλῆς τοῦ δημιουργήσαντος. Ἐὰν οὖν ἠβουλήθης καὶ σὺ μιμήσασθαι κατὰ τὴν πρέπουσαν μίμησιν ὁ λογικὸς τὴν ἄλογον, ὁ ἔμψυχος τὴν ἄψυχον, ὁ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γεγονὼς τὴν διὰ σὲ

B γεγονυῖαν, εὑρέθης ἂν καὶ τοὺς ὅρους φυλάττων τῆς φύσεως, καὶ τὴν βουλὴν καὶ τοὺς νόμους συντηρῶν τοῦ Ποιήσαντος, καὶ τὰ πρὸς μηδεμίαν ὄνησιν συντελοῦντα τὸ παράπαν οὐκ ἔπραττες· ἀλλὰ μόνα τὰ συμφέροντα καὶ συντείνοντα πρὸς τὴν τοῦ Θεοῦ δόξαν, καὶ τὴν ὑπὲρ ἥλιον ἐλπιζομένην κληρονομίαν· οὕτω γὰρ ἂν ἱστάμενος εἰς τὸν αἰῶνα καὶ σὺ παραπλησίως εὑρέθης τῇ γῇ· μᾶλλον δὲ καὶ ὑπὲρ τὴν γῆν, ὡς ταύτης μέν ποτε καὶ παρελευσομένης, σοῦ δὲ συμπαραθησομένου τῇ μακαρίᾳ καὶ ἀϊδίῳ ζωῇ τῶν ἄνω δυνάμεων· εἶτά φησιν·

§ V.

19 VERS. 5. *Oritur sol et occidit sol, et ad locum* C *suum ducit* (36).

Quasi dicat: Nec vero sola tellus præscriptos sibi a Deo terminos servat, mirabili plane constituta statu; quæ uno Conditoris nutu cum medio orbium cœlestium spatio suspensa, nulla ex parte

Ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει.

Μονονουχὶ φάσκων· Οὐκ ἔστι δὲ μόνη τους ὅρους τοὺς δεδομένους αὐτῇ θεόθεν ἡ γῆ συντηροῦσα, καὶ τὴν παράδοξον ἔχουσα στάσιν, ἀπηωρημένη μέσον τῆς οὐρανίας καὶ κυκλοφορουμένης κινήσεως, μό-

tissimus Amaseæ episcopus Asterius: præclara enim continet, et quæ Gregorii nostri sententiæ respondeant: Καὶ οἱ τῆς κορυφῆς τῶν ἀξιωμάτων ἀνθρωπικῶν ἐπιβάντες, οἱ πολυθρύλλητοι ὕπατοι τῇ ματαιότητι δαπανῶσι τὸν πλοῦτον σωροὺς χρημάτων σκορπίζοντες, εἰς ἀκαρπίαν δικαιοσύνης, καὶ καρπὸν ἁμαρτίας· ὧν τοσοῦτον περιφανὴς ἡ ἀφροσύνη, ὅσον ὑψηλὸς ὁ θρόνος . . . . καὶ τί τὸ τέλος; ματαιότης. Μετὰ πάντα τάφος μικρὸς, ἐσθὴς ὀλίγων ὀβολῶν τὸ σωμάτιον περιστέλλουσα, λήθη μετ' ὀλίγον, τὸ ἀναγκαῖον πάθος τοῦ χρόνου, πάντα τὰ σπουδασθέντα καλύπτουσα· κρίσις ἐπὶ τούτοις Θεοῦ, καὶ τῆς κακῆς προαιρέσεως κόλασις ἀπαραίτητος. Ποῦ οἱ ὕπατοι; . . . . ἆρα οὖν, κατὰ τὸν σοφὸν Ἐκκλησιαστὴν, οὐ πάντα ὅσα τοιαῦτα, ματαιότης ματαιοτήτων, καὶ φάσματά ἐστιν τὰ ἀξιώματα ἀνυποστάτων ὀνείρων, τέρψαντα πρὸς ὀλίγον εἶτα παραδραμόντα, ἀνθήσαντα καὶ μαραν-

D θέντα. Id est: *Consules etiam ipsi fama inclyti, et ad fastigium humanarum dignitatum evecti, per vanitatem opes exhauriunt, acervos nummorum dispergunt, non modo sine fructu, sed etiam cum peccato: ut eorum quam sublimis est thronus, tam insignis dementia videatur. . . . et quis, quæso, finis? vanitas. Post omnia tumulus exiguus, paucorum obolorum vestis corpusculum ambiens: ac paulo post, necessarium temporis malum, oblivio, quæ cuncta, circa quæ sudaveris, tenebris involvat. Sed et judicium postea divinum, et indeprecabilis mali propositi vindicta atque pœna. Ubinam consules? . . . non igitur vere juxta sapientem Ecclesiasten hæc talia cuncta vanitas vanitatum? ac vel amplissimæ dignitates inania quædam visa et ostenta somniorum? quæ, cum ad breve tempus oblectarunt, deinde diffugiunt, et cum aliquantum floruerint, subito marcescunt.* (*Bibl. PP.* Ducei tom. II, p. 586). Vide etiam Chrysostomi homiliam in Eutropium, t. III Oper. p. 381.)

(34) Non ingrata, opinor, mathematicis futura est hæc de terræ stabilitate explicatio, quam sane quidam, quibus commentarius hic noster ignotus erat, naviter occuparunt. Nam Drusius externus theologus ad eumdem Ecclesiastæ locum hæc olim adnotavit: « Hujus loci est Psal. CXIX, 90: *Firmasti terram et perstat.* Quidam, *stat immota:* dubito an bene. Nam moveri quandoque terram docent nos et S. Litteræ, et ipsa quoque experientia. Puto rectum *stat*, non abit, non recedit, nempe ut homines, ut sæcula solent. » (*Crit. Sacr.* t. III, p. 70.)

(35) Totum hunc locum sic est interpretatus Hieronymus: « Prima recedit generatio Judæorum, et succedit generatio de gentibus congregata; terra autem tandiu stat, quandiu Synagoga recedente, Ecclesia omnis introeat. Cum enim prædicatum fuerit Evangelium in toto orbe, tunc erit finis. Imminente vero consummatione, cœlum et terra pertransibunt. Et signanter non ait: *Terra in sæculis stat*, sed *in sæculum*. Porro laudamus Dominum non in uno sæculo, sed in sæculis sæculorum. »

(36) Apud LXX leges καὶ ἀνατέλλει . . . in Latinis illud ἕλκει redditum est *revertitur*; Aquila pro ἕλκει posuit εἱσπνεῖ, idque Symmachus et Theodotio interpretati sunt, *recurrit*. Hieronymus in antiquis exemplaribus Latinis invenit *ducit*, aut *trahit*.

Digitized by Google

νῃ τῇ βουλῇ τοῦ Ποιήσαντος, καὶ μηδαμόθεν ἐχουσα τὸ προσάπτον· ἀλλὰ πανταχόθεν τῶν οὐρανίων διαστημάτων ἐξ ἴσου σαφῶς ἀφισταμένη, καὶ τὴν ὡρισμένην ἀποπληροῦσα θητείαν. Ἀλλ' ἴδε καὶ τὸν ἥλιον, ἄνθρωπε, συνεχῶς ἀνατέλλοντα καὶ πάλιν δύνοντα, καὶ πρὸς τὸν τόπον αὐτοῦ, τουτέστι πρὸς ἑαυτὸν, ἕλκοντα πάσας τὰς ὄψεις τῶν κατοικούντων τὴν γῆν. Ὅπου γὰρ ὁ ἥλιος ὑπάρχων εὑρεθῇ, κἂν τε κατὰ ἀνατολὰς, κἂν τε κατὰ δυσμὰς, ἐκεῖ καὶ τὰς ἰδίας αἴγλας καὶ λάμψεις ἐπιφερόμενος εὕρηται, πρὸς ἃς ἐφέλκονται καὶ τῶν ζώων πάντων αἱ ὄψεις ἐρασμίως ἔχουσαι πρὸς τὸ φῶς αὐτῶν· οὐδὲ γὰρ ὁ ἥλιος τὴν περιφάνειαν καὶ τὴν δόξαν τῆς ὑπὲρ γῆν λάμψεως ἀεὶ φιλονεικῶν ἔχειν, οὔτε τὰς ὑπὸ γῆν καταδύσεις αὐτοῦ καὶ τῶν ἰδίων ἀκτίνων ποτὲ παραιτούμενος καὶ διαναβαλλόμενος, διὰ τὴν ἐντεῦθεν αὐτῷ προσγινομένην ἀφάνειαν καὶ συχνὴν ἀδοξίαν, εἰς τὸ καθ' ἡμᾶς ἡμισφαίριον λάμπει· ἀλλὰ τοῦ Ποιητοῦ τοῖς ὅροις πειθόμενος θητεύει τὴν τοσαύτην θητείαν ὡς εὐγνώμων οἰκέτης. Σὺ δὲ καὶ τοὺς φυσικοὺς ὅρους ἀμείψας (τὰ γὰρ ἄνω σε φρονεῖν καὶ ζητεῖν εἰσηγοῦνται, καὶ τὰ ἐν τῷ νοητῷ δηλαδὴ κόσμῳ φαντάζεσθαι καὶ διώκειν διὰ τῶν νοητῶν δυνάμεων τῆς νοερᾶς σου ψυχῆς), χείρων εὕρησαι καὶ τῆς γῆς καὶ τοῦ ἡλίου τῶν ἀψύχων καὶ μηδεμίαν ἐχόντων λογικότητος ἔμφασιν. Πῶς οὖν οὐ ματαιότης ματαιοτήτων μετὰ τῶν μοχθηρῶν σου καὶ φαύλων ἐνθυμημάτων καὶ λόγων καὶ πράξεων καὶ σὺ αὐτὸς νομισθήσῃ; κατὰ ἀλήθειαν μὲν ἐκείνων ὄντων ματαιοτήτων, σοῦ δὲ ταῖς ἐκείνων ἀνυπαρξίαις ἀπεικασμένου.

Διὰ τοῦτό φησιν Δαβὶδ ὁ προφήτης· « Ἄνθρωπος ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. » Παράδοξον τῷ ὄντι τὴν ἀκριβολογίαν τῆς λέξεως περὶ τῆς ἀνθρώπου φύσεως ὁ προφητικὸς ἐποιήσατο λόγος. Καὶ γὰρ ἐπειδὴ τῶν παρὰ Θεοῦ γεγονότων καὶ κατ' οὐσίαν καὶ φυσικὴν τὴν ὕπαρξιν λαβόντων οὐδὲν εὕρηται γεγονὸς μάτην· καὶ τούτου χάριν οὐδὲ ματαιότης ὠνόμασται κατὰ τὸ ἀκόλουθον· διὰ τοῦτο καὶ τὸν ἄνθρωπον οὐχὶ ματαιότητα προσηγόρευσεν· ἀλλὰ ματαιότητι προσηκόντως ἀπείκασε διὰ τὰς κατὰ συμβεβηκὸς αὐτῷ προσπαρεισεκρεμένας ἔξωθεν, καὶ συμπαρυφισταμένας πρὸς βραχὺ πονηρὰς πράξεις ἐξ ἀβουλίας. Ὁ γὰρ μηδαμῶς τοὺς φυσικοὺς ὅρους ἀλωβήτους φυλάξας, ἀλλ' ἐξεστηκὼς τούτων πάντη, καὶ παρατραπεὶς ὅλως εἰς τὰς παρὰ φύσιν ἐνεργείας καὶ πονηροπραξίας, ματαιότης μὲν οὐκ ὀνομασθήσεται κατὰ τὸν ποιητικὸν σκοπὸν τοῦ διαπλάσαντος αὐτὸν καὶ δημιουργήσαντος καὶ τὴν κατ' οὐσίαν καὶ φυσικὴν ὕπαρξιν ἐξεταζόμενος καὶ κρινόμενος. Διὰ δὲ τὸ μηδὲν ἔχειν παρεπόμενον ταῖς φυσικαῖς καταστάσεσι καὶ τῇ βουλῇ τοῦ Ποιήσαντος ἔργον σύμφωνον καὶ κατάλληλον, ὁμοιοῦσθαι λέγεται δικαίως τῇ ματαιότητι, οὐχ ὡς γεγονὼς μάτην, ἀλλ' ὡς ζήσας ματαίως, καὶ μηδεμίαν ἀγαθῆς μνήμης ἔμφασιν τῷ βίῳ καταλιπών· « Μνήμη γὰρ δικαίου μετ' ἐγκωμίων, » φησί· καὶ

A sustentetur, cœlestibus undique intervallis æqualiter perspicueque distat, et definita sibi servitute defungitur. Quin solem etiam intuere, o mortalis, quotidie exorientem atque occidentem, qui ad locum suum, id est ad se ipsum, omnium, quicunque terram incolunt, oculos adducit. Nam sol quidem sive ad ortum versetur, sive ad occasum, semper fulgorem inde suum et radios effundere visus est: ad quos animantium omnium convertunt se oculi, lucis illius amore illecti. Sol nempe dum hemisphærium hoc nostrum illustrat, neque ut splendorem pulchritudinemque luminis sui supra terram perpetuo ostentet, contentione ulla nititur; neque occasus sui obscuritatem erepta sibi specie illatam aversatus, statas radiorum declina-
B tiones evitat unquam aut differt: sed Conditoris præscriptis sic obtemperat, ut servitutem tantam quasi benevoli animi verna servire videatur. Tu vero naturæ terminos transgressus (nam superna ut cogites et inquiras, utque animi vi et intelligentia quidquid mundus ille spiritalis habet mediteris ac persequaris, tibi suadent), tu, inquam, et terra et sole pejor inventus es, inanimes licet illi sint, nullumque rationis indicium præ se ferant. Quidni igitur vanitas vanitatum tu quoque una cum flagitiosis pravisque cogitationibus et dictis atque factis tuis habearis? esto hæc quidem revera vanitates sint, tu levitatem eorum similitudine referas.

C **20** Quamobrem dixit David propheta: « Homo vanitati similis factus est: dies ejus sicut umbra prætereunt (37). Cujus quidem in verbis mira plane atque exquisita inest de humana natura locutio: nam cum in iis, quæ divinitus condita et ad stabiles naturæ leges constituta sunt, nihil a Deo sine consilio factum, eaque de causa nihil, quod vanitas jure appelletur, inveniri possit; propterea hominem nequaquam vanitatem dixit: sed tamen pravorum operum ergo, quæ extrinsecus ascita, simul cum ipso ex imprudentia ad breve tempus exsistunt, vanitati recte comparavit. Qui enim naturæ fines non modo læsit, sed etiam longe transgressus est, atque ad agendi rationem naturæ
D contrariam et ad prava quæque opera deflexit, non is quidem vanitas denominabitur, siquidem consilii ejus et facti, qui formavit perfecitque, ratio habeatur, et hujus ipsius natura et constitutio ad amussim examinetur: at, quatenus opere caret, quod et naturæ respondeat suæ, et Conditoris voluntati consonum ac consentaneum sit, jure vanitati similis fieri dicitur, non quasi temere factus, sed tanquam temere vivens, ut nullum bonæ memoriæ indicium posteritati relinquat. Nam, ut scriptum est: « Memoria enim justi cum laudibus (38): » et rursus: « In memoria æterna erit

(37) Psal. CXLIV, 4, qui in Latinis est centesimus quadragesimus tertius. Theodotio habet ἀτμίδι pro ματαιότητι, nempe *vapori*.

(38) Prov. X, 7. Apud LXX legimus Μνήμη δικαίων μετ' ἐγκωμίων.

Digitized by Google

justus [25] ; » quorum (39) plane expers cum sit, qui perverse flagitioseque vitam egerit, vanitati merito comparatus est. Jam addit :

πάλιν, « Εἰς μνημοσύνην αἰώνιον ἔσται δίκαιος · » ἅπερ οὐκ ἔχων ὁ φαῦλος καὶ μοχθηρῶς ἐνταῦθα πολιτευσάμενος τῇ ματαιότητι προσηκόντως ἀπείκασται. Εἶτά φησιν·

§ VI.

VERS. 6. *Oriens ipse ibi vadit ad austrum, et gyrat ad aquilonem.*

Jam obiter Ecclesiastes elementorum sensu carentium obsequium enuntiat et famulatum, quæ ex ejus præscripto, qui condita ordinavit atque distinxit, eodem gyro eamdem ineunt ac redeunt viam : atque hinc ut coerceret comprimeretque elationem humanæ mentis, atque ab operibus naturæ oppositis ad justa et naturæ consentanea deduceret ; nihil amplius quam quæ oculis usurpamus, commemoravit : quod nempe, ut jam diximus, **21** ad tirones etiamtum et nondum satis eruditos sermonem haberet ; ejusque rei causa immensum tantummodo atque interminatum solis iter describit, dicendo : « Et gyrat ad aquilonem. »

Nec tamen diserte dixit, utrum, ut quidam ex opinione sua tradiderunt, infra terram commeans ad horizontem redeat orientalem, et quantum orbis terrarum infra nos est, radiis illustret ; an, ut alii arbitrantur, eodem oblique revertatur? Nihil, inquam, hujusmodi aperte indicavit : quippe illud *gyrat* utroque modo accipere quis possit, et in utramque sententiam, ut libet, explicare atque pertrahere (40). Cæterum solem per inferius hemisphærium discurrere, et ad horizontem iterum remeare verissime demonstratur argumento a cæterorum astrorum, quæ fixa, quæque errantia sunt, concitatioribus motibus et ordinibus ad rem confirmandam desumpto. Addidit sane :

Ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται πρὸς νότον, καὶ κυκλοῖ πρὸς βορρᾶν.

Τὴν τῶν ἀψύχων στοιχείων εὐγνώμονα θητείαν, καὶ τὴν αὐτὴν πρὸς τὰ αὐτὰ περιτροπὴν καὶ παλινδρόμησιν διὰ τὴν τοῦ κτίσαντος καὶ τάξαντος καὶ διορίσαντος βουλὴν διεξοδικῶς ὁ Ἐκκλησιαστὴς ἐξαγγέλλει · κἀντεῦθεν ἐκδειματῶσαι καὶ συστεῖλαι τὸ φρύαγμα τῆς ἀνθρωπίνης γνώμης ἀπὸ τῶν ἀλλοτρίων ἔργων τῆς φύσεως, καὶ πρὸς τὰς κατὰ φύσιν δικαίας πράξεις ἀνθελκῦσαι βουλόμενος · οὐδὲν δὲ πλέον τῶν φαινομένων ἐξεῖπεν · ἅτε δή, καθὼς ἔφθην εἰπών, πρὸς εἰσαγομένους καὶ τοὺς ἀτελεστέρους τὸν λόγον ποιούμενος · ἀλλὰ μόνον τὴν ἄπλετον καὶ παντελῶς ἀπέραντον διαγράφων τοῦ ἡλίου πορείαν διὰ τοῦ φάναι· « Καὶ κυκλοῖ πρὸς βορρᾶν. »

Οὐ μὴν ἐναργῶς εἶπε, πότερον, ὥς τινες ὑπειλήφασιν καὶ κατήγγειλαν, ὑπὸ τὴν γῆν διάττων οὕτως ἐπάνεισι πρὸς τὸν ἀνατολικὸν ὁρίζοντα, καὶ παντὶ τῷ καθ' ἡμᾶς κόσμῳ τὰς αἴγλας ἀφίησιν · ἢ, καθὼς ἄλλοι δοξάζουσιν, ἐγκαρσίως ποιεῖται τὴν παλινδρόμησιν ; Οὐδὲν τοιοῦτον ἐπεσημήνατο φανερῶς · τὸ γὰρ, *Κυκλοῖ*, τὴν ἑκατέραν ὑπόληψιν τοῖς βουλομένοις παρίστησι · διαιρεῖται γὰρ καὶ μερίζεται καὶ πρὸς ταύτην καὶ πρὸς ἐκείνην τοῖς βουλομένοις. Κἂν ὁ τῆς ἀληθείας λόγος τὸ ὑπὸ γῆν ἡμισφαίριον διατρέχοντα καὶ πρὸς τὸν ὁρίζοντα πάλιν ἀποκαθιστάμενον διαδείκνυσι ταῖς τῶν ἄλλων ἀστέρων τῶν ἀπλανῶν καὶ πλανωμένων ἐναργεστέραις κινήσεσι καὶ καταστάσεσιν εἰς βεβαίωσιν κεχριμένος. Ἀμέλει τοίνυν ἐπήγαγε ·

§ VII.

Gyrat gyrans, vadit spiritus, et in circulos suos revertitur spiritus (41)

Universum hunc mundum ad circuli rationem

Κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.

Κυκλικῶς ἡμᾶς ὁ σοφὸς Ἐκκλησιαστὴς εἰσηγεῖ-

[25] Psal. III, 6.

(39) Apud LXX, ordo verborum est, Αὐτὸς ἀνατέλλων ἐκεῖ.. . .

(40) Erant ea quoque ætate astronomi aliquot, qui de mundo deque planetarum orbitis ac de telluris forma si minus vera, at veris tamen propiora traderent. Sed iis, ut fit, adversabantur non pauci, qui aniles fabellas, quas imberbes didicerant, religiose retinendas putabant ; quorum facile princeps fuit Cosmas Indicopleustes, proximus eorum temporum : scribebat enim circa annum 540, aut serius aliquanto. Is porro, cum de plagis dixisset quæ habitantur, ac de iis quæ incolas nullos habere ferebantur, hæc de solis cursu adjecit : Τούτων οὖν οὕτως ἐχόντων, ἐροῦμεν, λαμβάνοντες μὲν κατὰ τὴν θείαν Γραφὴν, ἐξ ἀνατολῶν τὸν ἥλιον πορευόμενον διὰ τοῦ ἀέρος τὰ νότια μέρη, ὑφούμενον καὶ φαίνοντα ἐπὶ τὸν βορρᾶν πάσῃ τῇ οἰκουμένῃ· τὸ δὲ ὕψος τῆς γῆς τὸ βόρειον καὶ δυτικὸν μεσολαβοῦν, ποιεῖ νύκτα περαιτέρω τῆς γῆς ταύτης κατὰ τὸν Ὠκεανὸν καὶ τὴν γῆν τὴν πέραν τοῦ Ὠκεανοῦ κατ' αὐτὰ μέρη · εἶτα λοιπὸν ἐπὶ δυσμάσι γινόμενος ὁ ἥλιος ὑπὸ τὸ ὕψος τῆς γῆς καὶ διατρέχων ἐπάνω τοῦ Ὠκεανοῦ διὰ τῶν βορείων μερῶν, ποιεῖ ἐνταῦθα νύκτα, ἄχρι κυκλεύων ἔλθῃ πάλιν εἰς ἀνατολὰς, καὶ ὑψούμενος πάλιν κατὰ τὸ νότιον μέρος καταλάμψει ταύτην τὴν οἰκουμένην, καθὰ καὶ ἡ θεία Γραφὴ λέγει διὰ τοῦ θείου Σολομῶντος · « Ἀνατέλλει » etc. Id est : *Hæc cum ita se habeant, re secundum divinas Litteras accepta, dicimus, solem ab ortu per aerem decurrere meridionales partes, ascendereque versus septentrionem, ac universæ terræ apparere : septentrionale autem et occidentale terræ cacumen cum intermedium ponitur, noctem efficit ultra terram hanc nostram ad Oceanum, indeque ad terram ultra Oceanum sitam : postea ubi ad occidentem pervenit, sub terræ cacumine absconditus ultra Oceanum in septentrionalibus partibus percurrens hic noctem efficit, donec circumiens rursus ad orientem accesserit, atque iterum ad meridionales partes ascendens hanc terram illustret : quemadmodum sacræ Litteræ per divinum Salomonem aiunt.* Oritur, etc. (lib. II *De mundo*, p. 134, ed. Montfauc.)

(41) In exemplari Vaticano Xysti V, non est comma post κυκλῶν, quippe totum versiculum quidam de sole interpretantur, ut adnotavit Amama.

Digitized by Google

ται διακεῖσθαι καὶ συνίστασθαι πάντα τόνδε κόσμον· εἰ γὰρ, « Γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται, » τῶν ἀνθρώπων ἐπανιόντων κατὰ γενεὰν καὶ γενεὰν εἰς τὸν αὐτὸν χοῦν, ἐξ οὗπερ ἐλήφθησαν· πρόδηλον, ὅτι ὁ ἀπό τινος κέντρου τοῦ σημείου κύκλος περιηγμένος, πρὸς τὴν ἐπ' ἀρχὴν ἐπάνεισι κίνησιν· οὕτω καὶ πᾶς ἄνθρωπος μετὰ πολλὰς περιστροφὰς καὶ περιόδους αὖθις ἐπαναλύει πρὸς τὰ ἐξ ὧν συνετέθη στοιχεῖα καὶ τὴν γένεσιν ἔσχεν. Ἀλλὰ καὶ ἡ γῆ, κἂν εἰς τὸν αἰῶνα ἕστηκε, πλὴν ἀλλὰ γὰρ διὰ τῆς φθίσεως καὶ τῆς ἐν τῷ κρυμῷ τοῦ χειμῶνος τρόπον τινὰ προσγινομένης αὐτῇ θνήξεως καὶ πάλιν ἀναβιώσεως ἐτησίου κυκλικὴν ἔχει τὴν σύστασιν. Ὡσαύτως γε μὴν καὶ ὁ ἥλιος ἀνατέλλων εἰς τὸ αὐτὸ τοῦ ὁρίζοντος σημεῖον καὶ πρὸς τὸν δυτικὸν ὁρίζοντα διαστείχων· καὶ πάλιν εἰς τὸ αὐτὸ σημεῖον τοῦ ἀνατολικοῦ ὁρίζοντος εὑρισκόμενος καὶ τοῦ δύνοντος, κυκλικὴν κατείληπται πεποιημένος τὴν κίνησιν.

Τὸ αὐτὸ δὲ τοῦτο πάσχειν καὶ τῶν ἀνέμων ἕκαστον παρίστησι νῦν φάσκων· « Κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. » Πρόδηλον γὰρ, ὡς ὅπουπερ ἂν ὁ βορρᾶς πνεύσῃ καὶ νότος, εἰς τὸν ἴδιον τόπον αὖθις ἐπάνεισι κυκλικῶς, ἐξ οὗ καὶ τὴν γένεσιν ἔσχε, ποίαν ἡμῖν ἐντεῦθεν προμνώμενος ὄνησιν; πεῖσαι βούλεται πολυμερῶς καὶ πολυτρόπως ἡμᾶς, ὡς οὐδὲν τῶν ἐν ἀνθρώποις διοικουμένων καὶ πολιτευομένων τὸ στάσιμον ἔχει καὶ βέβαιον· ἀλλὰ καὶ αὐτὰ τὰ τὴν διαμονὴν ἔχοντα καὶ τὴν στάσιν ἀκήρατον, ἄχρι τῆς ὁρισθείσης παντελοῦς ἀποπερατώσεως διὰ τῆς τοπικῆς μεταβολῆς καὶ κυκλικῆς ἀλλοιώσεως καὶ κινήσεως τὴν διαμονὴν καὶ τὴν σύστασιν ἔχουσιν· ἅτε δὴ πειθαρχοῦντα καὶ θητεύοντα τοῖς ὅροις καὶ νόμοις τοῦ Κτίσαντος καὶ τάξαντος καὶ ταύτῃ συντηροῦντος καὶ σώζοντος· ἵνα κἀντεῦθεν ἡμεῖς τὴν πρὸς τὸ αὐτὸ τῆς γενέσεως ἡμῶν κέντρον ἐπάνοδον καὶ παλινδρόμησιν ἀεὶ προσδοκῶντες σπουδάσωμεν ἐμμένειν τοῖς νόμοις τοῦ Κτίσαντος, τοῖς ἀψύχοις παραπλησίως· καὶ μὴ χείρους εὑρεθῶμεν ἐκείνων, ἀθετοῦντες καὶ παραβαίνοντες τὴν βούλησιν τοῦ Ποιήσαντος, « Ὃς ἐξάγει καὶ τοὺς ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ, » καὶ παλινδρομεῖν αὖθις κατασκευάζει κυκλικῶς ἕκαστον εἰς τὸν ἴδιον τόπον, καὶ τοὺς ἀνθρώπους εἰς τὸ τοῦ παρόντος βίου στάδιον εἰσάγει καὶ τίθησι· καὶ πάλιν ἐξάγει μετὰ τὴν ἀποπεράτωσιν τῆς ὁρισθείσης ἑκάστῳ διαβιώσεως καὶ πρὸς τὴν αὐτὴν τιθηνὸν ἐπιστρέφει.

Τάχα δέ τινα καὶ μυστικωτέραν θεωρίαν ἐν τούτοις ἡμῖν προβάλλεται, πάνυ συντελοῦσαν πρὸς

conditum ac constitutum esse, sapiens Ecclesiastes nos addocet. Nam si « Generatio præterit, et generatio advenit, » hominesque per generationum vices **22** in eum redeunt pulverem, unde exstiterunt; manifestum est, ab aliquo puncto signi circumactum orbem ad motus sui exordium reverti, itaque omnem hominem post multas conversiones atque circuitus in ea iterum elementa resolvi, ex quibus compositus est, genusque duxit. Nec minus terra, quanquam in æternum stat, ex corruptione tamen quasique morte per hiemis frigora superveniente, atque ex iterata quotannis vita periodicam habet constitutionem. Enimvero et solem pari modo, cum ab eodem horizontis exortus signo in occidentem procedat, tum remeans rursum orientis et occidentis eadem percurrat signa, curriculum suum ad circuli rationem absolvere deprehendimus.

Jam et ventorum quemlibet eodem pacto moveri nunc indicat, dum ait: « Gyrat gyrans, vadit spiritus, et in circulos suos revertitur spiritus. » Perspicuum enim est, quandocunque aquilo et notus spiraverit, eodem rursus per circulum redire, in eum scilicet locum unde ortum habuit (42). At quam ille nobis utilitatem hinc afferre studet? nempe multis ille et variis persuadere exemplis vult eorum, quæ inter homines geruntur atque administrantur, nihil esse firmum, nihil stabile: quin ea ipsa, quæ firmitatem et stabilitatem habent immortalem, intra præscriptos fines ita stare perpetuo atque consistere, ut et locum tamen mutent, et orbem suum vicibus peragant, definitos profecto limites servantia, et Conditoris per quem conservantur ac vigent, legibus obsequentia: quibus nos animadversis sic reditum illum recursumque ad idem generationis nostræ punctum semper præstolemur, ut ad inanimatorum normam naturæ terminis et Conditoris præscriptis studiose insistentes, in deteriora lapsi ne videamur, abrogata scilicet violataque Auctoris nostri voluntate, « Qui producit de thesauris suis et ventos (43), » **23** atque per circulum rursus redire singulos docet in proprium locum; idemque homines in præsentis vitæ stadium inducit ac mittit, atque iterum eductos, elapso quod cuique definivit vitæ spatio, ad eamdem nutricem revocat.

Fortasse vero et aliam in his magis mysticam notationem nobis ob oculos ponit: quæ plurimum

(42) Mira hæc omnino, quæ de Aquilone et Noto traduntur, nec physicis nota nostris: qui tamen, si de subsolano dicerentur, minus repugnarent. Is enim ventus in Oceano navigantibus solis plagam tenere videtur, atque adeo circulum sic obire, ut postquam cum sole in occidentem flaverit, idem quodammodo cum sole rursum ab ortu spiret. Cæterum ea Ecclesiastæ verba de spiritu hominis Nyssenus accépit; ait enim: Κυκλοῖ γὰρ, φησὶ, κυκλῶν· οὕτω τοίνυν καὶ τὸ σὸν πορεύεται πνεῦμα· ἀπὸ μέρους ἅπαν ὀνομάζων τὸ ἀνθρώπινον πνεῦμα· τὴν ἐγκύκλιον ταύτην τὴν διὰ τῶν ὁμοίων περιτρέχων φοράν· Πορεύεται γὰρ, φησὶ, τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. Id est: *Gyrat, inquit, in orbem. Sic igitur tuus quoque ingreditur spiritus, a parte totum nominans spiritum hominis, hunc in orbem motum per similia peragens. Pergit enim, inquit, spiritus, et ad circulos suos revertitur.* (Ibid.) Recte autem Nyssenus prima illa verba Κυκλοῖ κυκλῶν ad solem refert; nam si ad Πνεῦμα pertinerent, scribendum esset Κυκλοῖ κυκλοῦν.

(43) Psal. cxxxv, 7. At sententiam apud LXX a sic redditam invenies: Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.

Digitized by Google

ad emendationem conformationemque vitæ, atque ad animorum nostrorum salutem conferre possit: velut si diceret : Cum animadvertas, o mortalis, quæcunque in cœlo sunt atque in terris, omnia ita esse, ut circumactione renovanda sint, et conversa ad epochen, quam mathematici (44) motionem periodicam tertiam esse dicunt, in melius immutentur; immutare tu quoque, deteriora converso cursu aversatus, vitæque rationem præstantiora sectando innova : ut quasi orbem relegens ad Conditorem et Dominum tuum revertare; quemadmodum sol ad horizontem, terra ad vitam, venti ipsi ad præscripta sibi divinitus loca redeunt. Ita fiet, ut pulchre admodum renovatus perennitatem ac consistentiam immortalem præclara apud posteros memoria adeptus videare. Jam vero hæc protinus subnectit, atque ait :

A διόρθωσιν τῆς ζωῆς ἡμῶν καὶ βελτίωσιν καὶ ψυχικὴν σωτηρίαν. Μονονουχὶ γάρ φησιν· Εἰ κατανοεῖς, ἄνθρωπε, κυκλικῶς ἀνακαινίζεσθαι καὶ συνίστασθαι τὰ κατ' οὐρανὸν καὶ τὴν γῆν, καὶ διὰ τῆς ἐπιστροφῆς πρὸς τὴν ἐποχήν, ἣν τρίτην οἱ μαθηματικοὶ φασι περιοδικὴν εἶναι κίνησιν, ἀλλοιοῦσθαι πρὸς τὸ βέλτιον· ἀλλοιώθητι καὶ σὺ τῆς ἐπὶ τὰ χείρω παρατροπῆς καὶ κινήσεως, καὶ τὴν ἰδίαν ζωὴν διὰ τῆς ἐπιστροφῆς τῆς ἐπὶ τὰ κρείττω πάλιν ἀνακαίνισον καὶ τρόπον τινὰ κυκλικῶς ἀνάκαμψον πρὸς τὸν ἴδιον Ποιητὴν καὶ Δεσπότην· καθὼς ὁ ἥλιος πρὸς τὸν ὁρίζοντα, καὶ ἡ γῆ πρὸς τὴν ἀναβίωσιν, καὶ τῶν ἀνέμων ἕκαστος πρὸς τοὺς ἀφορισμένους αὐτῷ τόπους θεόθεν. Οὕτω γὰρ ἂν τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος εὑρεθήσῃ καὶ τὴν διαμονὴν καὶ τὴν σύστασιν ἀκήρατον φυλάττων διὰ τῆς ἀγαθῆς μνήμης. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγε, καί φησι·

B

§ VIII.

VERS. 7. **24** *Omnes torrentes vadunt in mare, et mare non erit impletum* (45).

Πάντες οἱ χειμάρροι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιπλαμένη.

Animadverte, quicunque ista curas, quomodo ineluctabile rerum conditarum obsequium atque irrequietum Conditoris Dominique sui causa famulatum sapiens Ecclesiastes perstringat. Nam cum omnes torrentes mare ingredi dicit, hoc vero nunquam redundare, quidnam inde demonstrat, nisi prodigium profecto opinione omni atque fide majus, de quo nemo satis miretur ac stupeat? Si enim torrentibus et tot tantisque fluminibus per omnes terræ plagas, ut nemo ignorat, in mare confluentibus, nullo id tempore auctum prolatumque deprehendimus; manetque idem, sibique perpetuo quam simillimum, ut neque ulterius porrigatur, neque inferius decrescat; undenam hoc illi obtigit, aut quam ob causam incrementi æque et decrementi expers visum est? sane liquet idcirco esse, quod præscriptis paret, et verba reveretur Conditoris sui, qui ei edixit: « Huc usque venies, nec transgredieris, at in te confringentur fluctus tui (46). » Divinum enim ejusmodi præceptum quasi frenum quoddam inanimi elemento fuit : ut immensarum quidem aquarum vim capiat, et quas nempe

C

Παρατηρεῖ πᾶς ὁ βουλόμενος, πῶς τῶν κτισμάτων τὴν ἀπαραίτητον ὑποταγὴν καὶ τὴν ἄπαυστον θητείαν πρὸς τὸν ἴδιον Ποιητὴν καὶ Δεσπότην διέξεισιν ὁ σοφὸς Ἐκκλησιαστής· πάντας γάρ φησι τοὺς χειμάρρους εἰς τὴν θάλασσαν εἰσπορεύεσθαι, καὶ ταύτην ἐμπίπλασθαι μηδαμῶς, τί παρεμφαίνων ἐντεῦθεν; παράδοξον τῷ ὄντι καὶ πλῆρες πάσης ἐκπλήξεως. Εἰ γὰρ τῶν χειμάρρων καὶ τῶν τοσούτων καὶ τηλικούτων ποταμῶν ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν εἰσρεόντων ἐν τῇ θαλάσσῃ, καθὼς ἅπαντες ἴσασιν, αὐτὴ κατ' οὐδένα καιρὸν αὔξησιν εὕρηται καὶ πρόσθήκην εἰσδεδεγμένη, μένει δὲ μᾶλλον ἡ αὐτὴ καὶ ἴση καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως, μήτε πρὸς τὸ πλεῖον παρατεινομένη, μήτε πρὸς τὸ ἔλαττον μειουμένη, πόθεν αὐτῇ τοῦτο πρόσεστι, καὶ δι' ἣν αἰτίαν ἀπαράδεκτος εὕρηται καὶ τῆς αὐξήσεως καὶ τῆς ἐλαττώσεως; ἢ δῆλον ἐκ τοῦ πειθαρχεῖν καὶ διαμένειν τοῖς ὅροις καὶ λόγοις τοῦ Κτίσαντος καὶ πρὸς αὐτὴν εἰρηκότος· « Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐκ ὑπερβήσῃ, ἀλλ' ἐν ἑαυτῇ συντριβήσονταί σου τὰ κύματα. » Τὸ γὰρ πρόσταγμα τοῦτο τὸ θεῖον οἷόν τις χαλινὸς γέγονε τῇ ἀψύχῳ, καὶ γίνεται μὲν χωρητικὴ τῶν ἀφάτων ὑδάτων

D

(44) Epochen Suidas quamdam cœlestem memorat, quam sic definit: Ἐποχή ἐστιν ἡ μοῖρα, ἐν ᾗ καταλαμβάνεται ὅ τε ἥλιος καὶ ἡ σελήνη καὶ ἕκαστος τῶν πλανητῶν· id est : *Epoche pars illa est, quæ et solem et lunam et singulas erraticas stellas comprehendit.* At hic novus orbitarum ordo designatur, qui post certos annos ab eodem puncto inchoari putabatur. De sole hæc Tatius: Ἀπὸ δὲ σημείου ἐπὶ σημεῖον ἀποκαθίσταται ἐν ὀκτωκαιδεκαετηρίδι... κατὰ δέ τινας ἐν ἓξ καὶ ἑβδομήκοντα ἔτεσιν· ἧς δόξης ἐστὶ καὶ Κάλιππος· κατὰ δὲ Μέτωνα δι' ἐννεακαιδεκαετηρίδος. Nempe, *Ad idem vero punctum octodecim annis vertentibus redit. . . ut autem quidam putant, intra annum sexagesimum sextum, quæ Calippi etiam opinio fuit. E Metonis autem sententia annis novemdecim.* (Isag. ad Phæn. n. 19.) Horum annorum spatium veteres *Annum magnum* appellabant, ut videre licet apud Censorinum (*De die nat.* cap. 6), qui hæc quoque, apposite ad rem istam, refert: « Est præterea annus, quem Aristoteles *Maximum* potius, quam *Magnum* appellat : quem solis et lunæ vagarumque quinque stellarum orbes conficiunt, cum ad idem signum, ubi quondam simul fuerunt, una referuntur. » Hæc, opinor, est et Gregorii nostri et Suidæ Epoche, quanquam hic minus accurate locutus videtur. Pergit vero Censorinus: « Cujus anni hiems summa est κατακλυσμός, quam nostri *Diluvionem* vocant: æstas autem ἐκπύρωσις, quod est *mundi incendium*. Nam in his alternis temporibus mundus tum exigescere, tum exaquescere videtur. » Habes hic motiones binas periodicas; tertia autem erit anni illius maximi ver, quo scilicet omnia in melius immutentur.

(45) Apud LXX leges, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιμπλαμένη.

(46) Job xxxviii, 11, sed postrema apud LXX ita se habent, ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.

Digitized by Google

(61) Apud LXX, alio hæc verborum ordine scripta legimus, quæ ita se habent : Ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου..., καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν. Καὶ καρδία μου εἶδε πολλὰ, σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην. Ἔγνων ἐγὼ, ὅτι καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος. Olymp. non habet, καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν. Idem legit, καὶ καρδία μου εἶδε πολλὴν σοφίαν, etc.

Digitized by Google

henderem. Hisce omnibus postquam potitus sum, ultimosque humanæ felicitatis attigi fines ; tum vero humanam magis vitam commiseratus sum, quæ nullam omnino utilitatem ex his omnibus referre possit. Qua demum de causa ? Propterea, inquit, quod hoc etiam est præsumptio spiritus ; tanquam si diceret : Animi quidem volentis negotium hæc sunt omnia ; nam animum hic quoque spiritus appellatione designavit : at nihil profecto ad commodum salutemque animi iis prosunt, qui minus de virtutis adeptione laborantes, omne in eo studium ponunt, ut populo placeant, inanique gloria elati et fastum amant et plausus hominum aucupantur. Atque illud etiam accedit incommodi, ut qui ob animum ab intelligibilium bonorum cognitione alienum nullam inde utilitatem capiunt, iidem in his occupati defatigationem præterea et laborum molestias atque inutiles quoque vigilias vanasque curas subire debeant. Hoc namque iis confirmat, quæ protinus subnectit.

A σαν ἐπιστήμην συσχεῖν. Τούτων ἁπάντων ἐπειδὴ πλήρης γέγονα, καὶ πρὸς τὴν ἀκροτάτην ἐν ἀνθρώποις ἦλθον εὑετηρίαν · τότε μᾶλλον ἐταλάνισα τὴν ἀνθρωπίνην ζωὴν, ὡς μηδὲν ἀπόνασθαι τούτων πάντων δυναμένην τὸ σύνολον. Τί δή ποτε ; Διότι, φησὶ, καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος. Ἀντὶ τοῦ, ψυχικῆς μὲν βουλήσεως ἔργον ταῦτα πάντα πεφύκασι. Πνεῦμα γὰρ κἀνταῦθα τὴν ψυχὴν προσηγόρευσεν. Οὐ μέντοι δὲ πρὸς τὴν ὠφέλειαν καὶ σωτηρίαν τῆς ψυχῆς συντελοῦσι τοῖς μὴ περὶ πολλοῦ τὴν κτῆσιν τῆς ἀρετῆς τιθεμένοις, ἀλλὰ πρὸς μόνην ἀνθρωπαρέσκειαν καὶ τὴν φυσίωσιν τῆς κενῆς δόξης, καὶ πρὸς τὸν τύφον καὶ τὸν ἀνθρώπινον ἀποβλέπουσιν ἔπαινον. Πρὸς δὲ τῷ μηδὲν ἀπόνασθαι τῶν τοιούτων τοὺς μηδαμῶς ἔχοντας νοῦν πρὸς τὴν τῶν νοητῶν B ἀγαθῶν ἀνατεινόμενον ἔφεσιν, καὶ περιπόνησιν, καὶ κόπον, καὶ πόνον τοῖς περὶ τὰ τοιαῦτα σχολάζουσι πεφύκασι προξενεῖν, καὶ περιττὰς ἀγρυπνίας καὶ ματαίας φροντίδας. Τοῦτο γὰρ παρεμπεδοῖ διὰ τῶν ἀμέσως ἐπαγομένων ·

§ XVIII.

37 Vers. 18. *Quia in multitudine sapientiæ multitudo cognitionis, et qui apponit scientiam apponit dolorem* (62).

Ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως, καὶ ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα.

Quibus manifesto declarat, quantum quis sapientiæ modum supergressus, animum suum uberiore doctrina compleverit, tantum huic ægritudinis accessurum et anxietatis, atque curarum, ut sublimiorem sapientiam majoremque rerum cognitionem C assequatur. Nam animadverte, quæso, qua hæc ratione Ecclesiastes exponat. Quo, inquit, pacto multitudinem sapientiæ multitudo cognitionis consequitur, eodem scientiæ additamentum additio dolorum pone comitatur. Quare externam illam et superfluam multarum disciplinarum scientiam sectati, postquam eam, quæ annexa est, humanam sibi sapientiam et summam rerum cognitionem vigiliis et laboribus pepererunt, non modo diuturno ii studio necessarium nihil et utile, vitæque æternæ viam muniens auferre solent, sed dolorum etiam magnam sibi rursus factam accessionem esse sentiunt. Quando illud melius, si nos, his omnibus valere jussis, in Conditoris nostri et Dei et Domini laudibus, in precibus, in obsecrationibus occupati vigilias agamus ! Si hæc colere, his operam dare incipiamus : atque per hæc animum ac mentem ad incomprehensibilem illam divinæ majestatis altitudinem attollentes, in ejus, qui gloriæ Sol est, pulchritudine oculos defigamus : ea ut luce perfusi ac ditati et quod intra in homine et quod extra est, illustrare possimus, cœlestiaque, quantum fieri potest, meditantibus contemplantibusque arcana frui gloria, et ineffabili plane divinoque gaudio compleri liceat. Minime jam erit metuendum, ne opera vanis in rebus posita, nos

Δεικνὺς ἐμφανῶς, ὡς καθ' ὅσον ἄν τις ὑπεραρθείη τῆς σοφίας τοῖς μέτροις, καὶ τῷ πλήθει τῆς γνώσεως, ἐνδαψιλευομένην ἕξει τὴν ἑαυτοῦ καρδίαν, κατὰ τοσοῦτον τοῖς ἀλγήμασιν αὐτὴν περιβάλλει τῶν φροντίδων καὶ μερίμνων τῆς ὑψηλοτέρας καὶ μείζονος σοφίας καὶ γνώσεως. Ὅρα γὰρ τὴν συλλογιστικὴν ἀπόδοσιν τοῦ Ἐκκλησιαστοῦ. Πῶς, φησὶ, τῷ πλήθει τῆς σοφίας ἀκολουθεῖ τὸ πλῆθος τῆς γνώσεως, καὶ τῇ προσθήκῃ τῆς γνώσεως ἡ προσθήκη τῶν ἀλγημάτων συμπαρομαρτεῖ κατὰ τὸ ἀκόλουθον · ὥστε πρὸς τὸ μηδὲν ἀναγκαῖον καὶ λυσιτελὲς καὶ πρόξενον τῆς αἰωνίου ζωῆς ἐκ τῆς ἀναλήψεως τῶν θύραθεν πολλῶν καὶ περιττῶν μαθημάτων, καὶ τῆς ἐν ἀγρυπνίαις καὶ κόποις προσγινομένης ἀνθρωπίνης σοφίας καὶ γνώσεως ἀκροτάτης ἀκολουθεῖν τοῖς περὶ τὰ τοιαῦτα λίαν ἐσπουδακόσιν, ἔμπαλιν καὶ ἡ ἐπίτασις συμβαίνει τῶν ἀλγημάτων · δέον, τούτοις πᾶσι χαίρειν εἰπόντας, διαγρυπνεῖν ἐν ὑμνῳδίαις καὶ προσευχαῖς καὶ δεήσεσι ταῖς πρὸς τὸν ἴδιον Ποιητὴν καὶ D Θεὸν καὶ Δεσπότην · καὶ τούτοις ἐγκαρτερεῖν, τούτοις σχολάζειν, διὰ τῶν τοιούτων ἀνυψοῦν τὴν καρδίαν καὶ τὸν νοῦν πρὸς τὸ ἀκατάληπτον ὕψος τῆς θείας μεγαλωσύνης, καὶ τῷ κάλλει τοῦ Ἡλίου τῆς δόξης προσατενίζειν, καὶ ταῖς ἐκεῖθεν μεθέξεσι καὶ μετουσίαις καταλαμπρύνεσθαι καὶ τὸν ἐντὸς καὶ τὸν ἐκτὸς ἄνθρωπον, καὶ τῆς ἀῤῥήτου δόξης κατατρυφᾷν ἐν ταῖς κατὰ τὸ δυνατὸν πρὸς αὐτὴν θεωρίαις καὶ φαντασίαις, καὶ πληροῦσθαι τῆς ὄντως ἀνεκλαλήτου καὶ θείας ἀγαλλιάσεως · ἵνα μὴ τῷ Ἐκκλησιαστῇ παραπλησίως τοῖς ἀσυμφόροις σχολάζοντες, εἰς κατάγνωσιν ἔλθωμεν μικρὸν ὕστερον τῆς ἀγονήτου σχολῆς,

(62) Sed LXX habent προστίθησι ἄλγημα.

Digitized by Google

ὃ πεπονθέναι φάσκει καὶ διὰ τῶν ἑπομένων αὐτός· ἐπάγει γὰρ καί φησιν· A

etiam, quemadmodum Ecclesiastes, non multo post tempore inutile otium damnare debeamus : quod sibi ille contigisse, iis etiam, quæ sequuntur, affirmat. Addit enim atque ait .

§ XIX.

Εἶπον ἐγὼ ἐν τῇ καρδίᾳ μου· Δεῦρο δή, πειράσω σε ἐν εὐφροσύνῃ, καὶ ἴδε ἐν ἀγαθῷ· καὶ ἰδοὺ καὶ γε τοῦτο ματαιότης.

Πᾶσαν γάρ τις ἐν ἑαυτῷ συναθροίσας καὶ περιλαβὼν εὐφροσύνης ὑπόθεσιν, καὶ διημερεύσας ἐν τοῖς νομιζομένοις ἀγαθοῖς ἀνθρωπίνοις, ἤγουν ἐν βρώμασι καὶ πόμασι τοῖς κεκαρυκευμένοις καὶ θελκτικοῖς, καὶ κλίναις λελαμπρυσμέναις καὶ περιηνθισμέναις, καὶ ταῖς κιναίδοις καὶ βδελυκταῖς τῆς σαρκὸς ἡδοναῖς, καὶ περιδόξοις καταστολαῖς· ὅταν εἰς τὸ πέρας ἔλθῃ B τοῦ χρονικοῦ διαστήματος τῆς ἡμέρας, τηνικαῦτα πάντα τὸν κατάλογον τῆς ποικίλης καὶ παντοδαποῦς εὐφροσύνης ἐκείνης εὑρήσει φροῦδον γενόμενον· ὡς μηδὲν ὑπολελεῖφθαι τὸ σύνολον ἴνδαλμα καὶ λείψανον

38 CAP. II. VERS. 1. *Dixi ego in corde meo: Veni, nunc tentabo te in lætitia, et vide in bono. Et ecce etiam hoc vanitas* (63).

Nam si quis lætitiæ occasionem unde arripiat ac complectatur, inque **39** iis, quæ humana putantur bona, diem terat, exquisita quæque et suavia edendo ac potando, lectis purpura fulgentibus accubans, obscenis idem ac detestantis corporis voluptatibus deditus, et splendido cultu luxurians : jam is exacto diei spatio cum ad finem pervenerit, totum illum tam variæ multiplicisque lætitiæ elenchum sic evanuisse inveniet, nulla ut species omnino aut vestigium voluptatis relictum sit. Quin etiam homines hujusmodi morborum

(63) Olymp. καὶ ἐν ἀγαθοῖς· καὶ ἰδού, etc. Cum Gregorius noster commentarium suum, contra atque capitum Ecclesiastæ numerus poscere videbatur, in libros decem tribuerit atque adeo, ut hic vides, et infra videre item potes, divisionem capitum communem in librorum suorum distributione secutus non sit ; quærendum putavi, num liber ille apud aliquos aliquando eodem modo decem tantum habuerit partes. Verum non modo Latina exempla, quotquot in lucem emissa sunt, a vulgatis nihil differre vidi; sed in Græcis etiam omnibus, nec minus in iis, quæ Orientalium linguis scripta accepimus, Ecclesiasten passim duodecim pariter capitibus constare animadverti. Illud tamen subit, partitiones istas vetustissimæ ætatis inventum non esse : quique primi de perpetua oratione dividenda cogitarunt, eos versuum sive articulorum numeris perdiu contentos fuisse. Nam hoc satis declarat vetus illa sacrorum librorum Στοιχομετρία in Puteana bibliotheca, itemque apud monachos Germanianos inventa, quam edidit Cotelerius ad calcem præfationis sive judicii sui de Epistola Barnabæ. (*PP. App.* t. I, pag. 8.) Nihil enim est aliud, quam versuum census, quot liber quisque constaret, quemadmodum Origenes quoque apud Eusebium (*Hist.* lib. VI, c. 16) Hexapla sua partitus esse dicitur. Nec vero sententiam hanc parum confirmat, ut alios mittam, Vaticanus ille codex optimæ notæ, ad cujus exemplar Xysti V, pont. max. auctoritate Biblia LXX interpretum edita sunt. Capita enim nulla, nullos ille exhibet numeros : nisi quod in libro quatuor prophetarum, ut in Præfatione legimus : « Distinctio quædam apparet subobscura, illi pene similis, quam describit sanctus Dorotheus martyr, qui vixit sub Magno Constantino.) Ac meminit etiam, quæ de cura a se suscepta scripsit Euthalius episcopus Sulcensium, qui sæculo quinto vertente florebat : ipsum nempe, cum jam Epistolas Pauli junior in versus plurimos dispertivisset, hortatu Athanasii minoris archiepiscopi Alexandrini eamdem deinde operam navasse, ut Acta apostolorum et Epistolas catholicas eodem modo discriminaret. Sic enim ille (in *Prol. Act. Ap.* ed. Zacagn. p. 409.) Athanasium alloquitur : Ἔναγχος ἐμοί γε τήν τε τῶν Πράξεων βίβλον ἅμα καὶ καθολικῶν Ἐπιστολῶν ἀναγνῶναί τε κατὰ προσῳδίαν, καὶ πως ἀνακεφαλαιώσασθαι, καὶ διελεῖν τούτων ἑκάστης τὸν νοῦν λεπτομερῶς προσέταξας, ἀδελφὲ Ἀθανάσιε προσφιλέστατε· καὶ τοῦτο ἀόκνως ἐγὼ καὶ προθύμως πεποιηκώς, στοιχηδόν τε συνθεὶς τούτων τὸ ὕφος, κατὰ τὴν ἐμαυτοῦ συμμετρίαν, πρὸς εὔσημον ἀνάγνωσιν, διεπεμψάμην ἐν βραχεῖ τὰ ἕκαστά σοι...Id est : *Nuper mihi, Athanasi frater amicissime, mandasti, ut et Actuum apostolorum et Epistolarum Catholicarum librum in lectiones partirer, quæ cantari possent, atque in quædam capita dividerem, distingueremque sententias singularum partium : idque ego impigre atque ex animo cum fecissem, horumque contextum per versus ordinassem, ut, quantum efficere ego possem, commode legeretur, brevi singula ad te misi.* Quamobrem statui jam hoc posse visum est, C Gregorium nostrum ideo super Ecclesiastæ libros fecisse pauciores, quam ejus modo libri capita numeramus, quod nempe, cum se ille ad commentarium scribendum contulit, codicem Ecclesiastæ præ manibus habuerit, qui nondum in capita duodecim divisus esset, sed aut decem tantum constaret, aut versuum numeris tantummodo distingueretur. Numeri quippe, ut diximus, in sacros libros prius inducti, quam capitum sectiones : quin Euthalii ætate erant etiamtum libri aliquot e Novo Testamento, quibus ne numeri quidem adjecti fuerant. Οὐδένα γάρ, inquit Euthalius, που τῶν, ὅσοι τὸν θεῖον ἐπρεσβεύσαντο λόγον, εἰς δεῦρο διέγνων περὶ τοῦτο τῆς γραφῆς ταύτης εἰς ἀπουδὴν πεποιημένον τὸ σχῆμα. Id est, *Neminem enim ex iis, qui divina eloquia tractarunt, hucusque agnovi a quo scriptionis hujus genus diligenter susceptum sit.* (Ibid. pag. 404.) Quibus verbis eas, opinor, Novi Testamenti partes de- D signat, quas ipse in lectiones et capita et versus dividere aggressus est. De antiquis vero sectionibus librorum Veteris Testamenti, quæ item capitibus, quæ nunc in usu sunt, minime respondebant, quasque Hebræi in Synagoga singulas singulis Sabbatis legere consueverant, multa apud Croium invenies (*Sacr. Observ.* c. 2) : illud hic a me tantum habeto, quod ad divisiones pertinet hodiernas, earum scilicet auctorem fuisse Stephanum Langhtonum cardinalem Anglum sæculi XIII initio clarum. De hoc enim Georgius Josephus Eggs in *Purpura docta* (lib. I, n. 61) : « Primus, inquit, sacrorum auctorum totam Bibliam in capitula et numeros distinxit : ordinemque ab eo constitutum omnes Ecclesiæ, quæ usquam jam inde ab eo tempore fuerunt secutæ sunt; quæ Ciacconius ante tradiderat ex Jongelini *Purpura S. Bernardi.* Hæc Morinus ignorasse videtur, quippe qui Hugoni cardinali inventum tribuit. (*Exerc. Bibl.* l. II, n. 17, c. 3.)

Digitized by Google

quoque cohors sæpenumero invasit : quemadmodum et Osee (64) propheta significavit, cum dixit : « Et infirmabuntur in corporibus suis a multitudine fornicationis. »

Ergo damnatis utique reprehensisque occupationibus ac studiis suis, pronuntiavit sapiens Ecclesiastes : « Et ecce etiam hoc vanitas ; » nam illud : « Et ecce » usurpans aperte ostendit, post summæ illius lætitiæ copiam omnem et satietatem, cum vestigium a se nullum voluptatis repertum, tum ipsam, quæ lætitia putatur, omnis vanitatis effectricem, stabilitatisque expertem inventam esse. Itaque rursus ait :

A ἡδονῆς. Ὅπου γε πολλάκις καὶ νοσημάτων ἐσμὸς τοῖς τοιούτοις συμβέβηκεν· ὅπερ αἰνιττόμενος καὶ Ὡσηὲ ὁ προφήτης φησί· « Καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν ἀπὸ πλήθους πορνείας. »

Ἀμέλει τοίνυν κατεγνωκὼς καὶ καταμεμψάμενος τῶν ἰδίων ἐπιτηδευμάτων καὶ σπουδασμάτων ὁ σοφὸς Ἐκκλησιαστής, καὶ φήσας, « Καὶ ἰδοὺ καί γε τοῦτο ματαιότης· » τῷ γὰρ εἰπεῖν, « Καὶ ἰδού, » προδήλως ἐσήμανεν, ὡς μετὰ τὴν πλησμονὴν καὶ τὸν κόρον τῆς ἀκροτάτης εὐφροσύνης ἐκείνης οὐδὲν εὗρε λείψανον ἡδονῆς· ἀλλ' ὡς ματαιότητα πᾶσαν εἰργασμένην καὶ παρελθοῦσαν τὴν νομισθεῖσαν εὐφροσύνην κατείληφε· καὶ τοῦ χάριν αὖθίς φησι·

§ XX.

Vers. 2. *Risui dixi circumactionem ; et lætitiæ : Quid hoc facis* (65) ?

B *Τῷ γέλωτι εἶπα περιφορὰν· καὶ τῇ εὐφροσύνῃ· Τί τοῦτο ποιεῖς ;*

Assecutus sapiens Ecclesiastes, quam futilis res sit risus, vel potius quantam peccandi materiem, quantumque æternorum suppliciorum periculum importet, mutato nomine appellavit illum *circumactionem*, motum nempe inæqualem, conversionemque inordinatam, quæ a virtute revocat, bonorum contemplationi adversatur, eorum, quæ animum ridentis et deceant et juvare possint, usum intercipit (66).

Τὸ τοῦ γέλωτος ἀνόνητον, μᾶλλον δὲ ποιητικὸν ἁμαρτίας, καὶ πρόξενον διαιωνιζούσης καταδίκης καὶ κατακρίσεως συνιδὼν ὁ σοφὸς Ἐκκλησιαστής, ἀντωνόμασεν αὐτὸ *περιφορὰν*, ἤγουν κίνησιν ἀνώμαλον καὶ μεταβολὴν ἄτακτον, ἀποστεροῦσαν τοῦ κατ' ἀρετὴν καταστήματος, καὶ τῆς θεωρίας τῶν ἀγαθῶν καὶ σχολῆς τῶν καθηκόντων καὶ συμφερόντων τὴν τοῦ γελῶντος ψυχήν.

40 Tum lætitiam increpare pergit, eamque sic interpellat : « Quid hoc facis ? » tanquam si diceret : Nihil tu mihi utilitatis attulisti, nec ulla profecto me ope ad beatum exitum adjuvisti. Quin tua opera evanui, et quasi compedibus astrictus sum, C ne iis vero saluberrimoque consilio vacarem, quæ Deo placent, et homini conveniunt. Apage hinc procul, ne mecum verseris ac vivas, et ne redeas in posterum. Nunquam enim mihi in optatis adventus aspectusque erit tuus, semperque inutilis habebitur, cum malum ad exitum me compellas. Propterea subjecit :

Εἶτα καὶ κατὰ τὸ ἀκόλουθον τῇ εὐφροσύνῃ προσεπετίμησεν εἰπών· « Τί τοῦτο ποιεῖς ; » ἀντὶ τοῦ, μηδὲν ὄφελος προξενοῦσά μοι, μήτε μὴν λυσιτελοῦσα πρὸς τὸ μακάριον τέλος· ἀλλ' ἐμπαλιν διαχέουσά με καὶ παρεμποδίζουσα πρὸς τὴν ἀληθινὴν καὶ σωτηριωδεστάτην σχολὴν τῶν ἀνδανόντων τῷ Θεῷ καὶ προσοικειουμένων. Τί τοῦτο ποιεῖς ; Ἄπιθι πόρρω τῆς ἐμῆς καταστάσεως καὶ ζωῆς, μηκέτι μοι προσπελάσῃς. Ἀπροαίρετον γὰρ ἔχω καὶ παντελῶς ἀσύμφορον τὴν σὴν ἄφιξιν καὶ παρουσίαν, ὡς πρὸς πονηρὸν πέρας με συνωθοῦσαν. Διὸ καὶ ἐπήγαγε·

§ XXI.

Vers. 3. *Et consideravi, si cor meum trahet tanquam vinum carnem meam : et cor meum deduxit in*

Καὶ κατεσκεψάμην, εἰ ἡ καρδία μου ἑλκύσει ὡς οἶνον τὴν σάρκα μου, καὶ καρδία μου ὡδήγησεν

(64) Id vero μνημονικὸν ἁμάρτημα est : Nahum, opinor, dicere voluit, apud quem sententiam, quæ sequitur, leges c. III, ℣ 3, totidem plane verbis. Cæterum Oseæ illa sunt, Οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν D ἐν αὐτοῖς, c. XIV, ℣. 10 ; quæ tamen eodem trahi non possunt. Sic in Matthæi Evangelio cap. XXII, ℣. 9, pro Zachariam legimus Jeremiam, sic alia alibi immutata accepimus : quorum tamen magna pars menda librariorum habenda sunt.

(65) Olymp. τῷ γέλωτι εἶπον περιφοράν... quæ Petavius in præclara illa sua Paraphrasi sic extulit :

Τόφρα γέλως παρ' ἐμοὶ ἀπάτη κέκριτ' ἄντι-
[κρυς ἔμμεν·
Χάρματί τ' εἶπα· Τίη νῦν σε μάτην ἀπαφεῖς ;

(66) Περιφορὰ quid hoc loco significet, paulo aliter exposuit Nyssenus ; ait enim : Καὶ περιφοράν ὀνομάζει τὸ πάθος, ὅπερ ἴσον ἐστὶ κατὰ διάνοιαν τῇ παραφορᾷ τε καὶ παρανοίᾳ· εἴ τι γὰρ ἄλλο τις ὀνομάσειε κυρίως τὸν γέλωτα, ὃ μήτε λόγος ἐστὶ μήτε ἔργον ἐπί τινι σκοπῷ κατορθούμενον ; Διάλυσις δὲ στόματος ἀπρεπὴς, καὶ πνεύματος κλόνος καὶ βρασμὸς ὅλου τοῦ σώματος καὶ διαστολὴ παρειῶν, καὶ γύμνωσις ὀδόντων τε καὶ οὐλων καὶ ὑπερῴας, αὐχένος τε λυγισμοὶ, καὶ φωνῆς παράλογος θρύψις συνεπικοπτομένη τῇ κλάσει τοῦ πνεύματος, τί ἂν ἄλλο εἴη τοῦτο, φησὶ, καὶ οὐ παράνοια ; Διό φησι, Τῷ γέλωτι εἶπα παραφοράν, ὡς ἂν εἰ ἔλεγε τῷ γέλωτι, Μαίνῃ καὶ παρεξέστηκας καὶ οὐκ ἐντὸς τοῦ καθεστῶτος μένεις, ἑκουσίως ἀσχημονῶν, καὶ διαστρέφων ἐν τῷ πάθει τὸ εἶδος, ἐπ' οὐδενὶ χρησίμῳ τὴν διαστροφὴν ἐργαζόμενον. Id est, *Et circumactionem morbum illum appellat, quod sensu idem est ac delirium et amentia : siquidem nil aliud quis proprie risum appellaverit, quam rem, quæ neque oratio est, neque opus consulto susceptum. Oris autem indecorus hiatus et anhelatio atque totius corporis concussio, tum genarum diductiones et dentium gingivarumque ac palati ostensio, et colli flexus et vocis interruptio inexspectata, qua fractus spiritus colliditur, quid aliud, inquit, hoc sit, nisi amentia ? propterea ait,* Risui dixi delirium *perinde ac si diceret risui : Insanus es, et emotæ mentis, neque manes intra constitutos fines, decorum sponte non servans, ac formam in affectu pervertens, quæ immutata nullam afferat utilitatem.* (Homil. 2 in Eccle.).

Digitized by Google

ἐν σοφίᾳ, καὶ τοῦ κρατῆσαι ἐπ' εὐφροσύνῃ, ἕως οὗ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὃ ποιήσουσιν ὑπὸ τὸν ἥλιον ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν.

A *sapientia, et ut obtinerem lætitiam, donec viderem quid sit bonum filiis hominum, quod facient sub sole numero dierum vitæ suæ* (97).

Τῆς ἐν ταῖς ποικίλαις καὶ παντοδαπαῖς ἡδοναῖς τῆς σαρκὸς μεσιτευούσης καὶ χορευούσης εὐφροσύνης τοῖς ἄφροσιν, ἀντιτατταμένης καὶ πάλιν ποιουμένης πρὸς τὴν ἔφεσιν τῆς καρδίας τῆς ζητούσης τὸ θέλημα τοῦ πλάσαντος αὐτὴν, καταμάνας τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον· παρετηρησάμην, φησὶν, ὡς εἰ καθυποτάξει καὶ καταδουλώσει τὸ φρόνημα τῆς σαρκὸς ὁ σκοπὸς τῆς καρδίας· καὶ δίκην οἴνου πινομένου καὶ κατευφραίνοντος αὐτὴν, καταποθήσεται τῷ φρονήματι τοῦ πνεύματος ἡ τῶν σαρκικῶν παθῶν ἐπανάστασις. Ἀλλ' οὐδαμῶς, φησὶν, οὕτω τὴν ὑποταγὴν καὶ τὴν παρακολούθησιν πρὸς τὸ πνεῦμα τῆς σαρκὸς κατείληφα καὶ διέγνων. Πιαινομένης γὰρ αὐτῆς καὶ κατασπαταλώσης, ἐξοιδαίνειν καὶ φλεγμαίνειν καὶ κραταιοῦσθαι πέφυκεν αὐτῆς τὸ φρόνημα μᾶλλον. Διὰ τοῦτο τὴν θείαν σοφίαν κτησάμενος ὁδηγὸν, συνῆκα δι' αὐτῆς κρατῆσαι καὶ κατασχεῖν καὶ παντελῶς ἀναστεῖλαι τὰς ἐπ' εὐφροσύνῃ φαυλεπιθυμίας καὶ σωματικὰς ἡδονάς· ἵνα τὴν νικῶσαν ψῆφον βραβεύσω τῷ φρονήματι τῆς καρδίας μου, τῆς ἐφιεμένης καὶ ζητούσης τὸν ἁγνὸν καὶ σώφρονα βίον, καὶ τὴν τεταγμένην καὶ κατὰ τὸ δυνατὸν ἀναμάρτητον πολιτείαν· ἕως καταλάβωμαι καὶ διαγνῶ δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας, ὡς τοῦτο μᾶλλόν ἐστιν ἀγαθὸν τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὃ ποιήσουσιν ἐν πάσαις ταῖς ἀριθμουμέναις ἡμέραις τῆς σφῶν ζωῆς· ὃ γάρ φησιν ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν, πάντα τὸν βίον τῆς ἐνταῦθα παροικίας καὶ ζωῆς τῶν ἀνθρώπων παραδηλοῦν ὑποληπτέον.

Cum ea, quæ media inter varias multiplicesque corporis voluptates tripudiat, insipientium lætitia opponatur atque adversetur animi studio voluntatem Conditoris sui tanquam unicum bonum et jucundum et perfectum inquirentis; animadverti, inquit, si mens animi cupiditates corporis subegerit, et in servitutem adduxerit; fore, ut sequiores affectus in ipso exortu, quasi vinum haustu exhilarans, spiritus voluntate absorbeantur (67). Sed tamen non ita eas, **41** inquit, spiritui obtemperare atque obsequi, deprehendi planeque cognovi. Quippe luxuriante corpore et deliciis affluente, cupiditates ejus intumescere magis incendique et vires capere majores necesse est. Idcirco divinam sapientiam nactus viæ ducem, hujus ope subigere institui ac cohibere penitusque comprimere quæ in lætitia sunt prava desideria et corporis voluptates : ut quod animo proposui, victoriæ calculum ferrem; unum id optans atque inquirens, puram honestamque vitam, in qua nihil inordinatum, et quantum fieri potest, nihil culpabile inveniatur : quo denique assequerer, et ipsa rerum experientia intelligerem, nihil hoc filios hominum facturos esse præstantius, quandiu illi vitæ suæ dies numerare pergent. Nam quod numerum appellat dierum vitæ eorum, id ad totam ævi, quod hic homines degunt, vitam referri, præsumendum est.

Εἰσηγεῖται τοίνυν, ὡς οὐκ ἄλλως ἐστὶ δυνατὸν τοῖς ἀνθρώποις ἀρετὴν κατορθοῦν καὶ τὴν ἀναμαρτησίαν καὶ τὴν ἀπάθειαν καὶ τὴν ἁγιωσύνην, εἰ μὴ δι' ἐγκρατείας τῆς ἀποχῆς τῶν εὐηδόνων καὶ λίχνων καὶ περιττῶν βρωμάτων τῶν τῆς εὐρυχώρου καὶ πλατείας ὁδοῦ τῆς πρὸς ἀπώλειαν ἀγούσης σημαντικῶν. Εἰ γὰρ καὶ τοῦ νοὸς εἰλικρινεῖς καὶ καθαραὶ θεωρίαι, καὶ νεύσεις πρὸς τὴν τῶν νοητῶν καὶ θείων κατάστασιν, καὶ προσευχαὶ συνεχεῖς καὶ πραότης καὶ ταπεινοφροσύνη καὶ τὰ λοιπὰ προτερήματα τῶν κατ' ἀρετὴν ἰδιοτήτων μεγάλως συμβάλλονται πρὸς τὴν ἀναμαρτησίαν καὶ τὴν ἀπάθειαν· ἀλλὰ γὰρ τούτων ἁπάντων προηγεῖται τῆς κατὰ τὸ δυνατὸν ἐγκρατείας ὁ χαρακτὴρ, οἷόν τινα προδιαζωγραφῶν ἐν τῇ καρδίᾳ πνευματικῆς καὶ θεοφιλοῦς πολιτείας εἰκόνα, κατὰ τὸ ἀκόλουθον ἐπιμορφούμενος αὐτὴν, οἷόν τισιν ἀνθηροτέροις χρώμασι, ταῖς ὠνο-

Monet igitur, nulla alia ratione fieri posse, ut virtutem homines et innocentiam et constantiam et sanctitatem adipiscantur, quam si animum a voluptariis rebus, ab helluationibus, a crapulis abstinere inducant, quæ nempe viam ad interitum deducentem, amplam illis latamque demonstrant. Si enim et perspicaces ac puræ mentis meditationes, et propensa rerum divinarum studia, et preces assiduæ et mansuetudo demissioque animi et cætera, quæ virtutis propria sunt munia, ad innocentiam atque constantiam magnopere conferunt; hæc sane omnia antecedit perfectæ continentiæ vis, quæ prima quamdam veluti imaginem in animo pingit spiritalis Deoque acceptæ institutionis, et eo subinde ornatu, qui egregiam probamque vitam maxime honestat, quasi floridioribus pigmentis colorat (68). Quam utinam ut omnino **42** assequamur,

(67) Illud ὡς οἶνον ex Gregorii Neocæsariensis sententia expositum videtur. Sic enim ille interpretatus est : Λογισάμενος δὲ, ὅτι ψυχὴ δύναται στῆσαι μεθύουσαν καὶ ῥέουσαν ὥσπερ οἶνον σώματος φύσιν, ἐγκράτεια δὲ δουλοῦται ἐπιθυμίαν· προεθυμήθην κατιδεῖν, τί ποτε εἴη προκείμενον ἀνθρώποις σπουδαῖον, καὶ τῷ ὄντι καλὸν, ὃ καταπράξονται παρὰ τοῦτον τὸν βίον. Id est : *Cum autem cogitassem eam animæ vim esse, ut temulentam corporis naturam atque instar vini diffluentem sistere possit, rursusque continentia cupiditatem subjici ac servitute premi; perspiciendum mihi esse constitui, quidnam tandem hominibus propositum sit serium verequeque bonum et honestum, quod in hac vita conficiant.* Porro nec Olympiodori dissimilis interpretatio est : ut Neocæsariensem æque secutus videatur; nisi forte aut nostrum Olympiodorus, aut hunc noster imitatus sit : qua de re alio loco disseremus.

(68) Similia olim apud Methodium in Symposio Domnina virgo decuerat : Οὐδὲν οὕτως ὀνῆσαι δυνήσεται πρὸς τὸ καλὸν τὸν ἄνθρωπον, ὦ καλλιπάρθενοι, ὡς ἀγνεία. Τὸ γὰρ κάλλιστα καὶ ἄριστα διακυβερνη-

Digitized by Google

ille nobis indulgeat, qui bonorum omnium fons est Deus, a quo « Omnis donatio bona, et omne munus perfectum [30] » illis datur, qui spem in eo suam collocant : quo culpæ omnis immunes facti, gratiam ita apud eum ineamus, ut ad regni cœlestis hæreditatem vocati, cum sanctis cœlitibus eum perpetuo celebremus. Quippe ipsi omnis debetur gloria et honor et veneratio, Patri et Filio et sancto Spiritui nunc et semper et in sæcula sæculorum. Amen (69).

[30] Jac. I, 17.

μασμέναις ἰδιότησι τῆς φιλοκάλου καὶ σπουδαίας ζωῆς· ἣν κατορθοῦν ἡμᾶς ὁ τῶν ἀγαθῶν ἀλτιος πάντων Θεὸς, παρ' οὗ « πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον » δίδοται τοῖς ἐλπίζουσιν εἰς αὐτὸν διὰ παντὸς ἀξιῶσαι, πρὸς τὸ πάσης ἁμαρτίας κρείττους ἀποφανθέντας εὐαρεστεῖν αὐτῷ καὶ κληρονομῆσαι τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ δοξάζειν αὐτὸν ἀκαταλήπτως μετὰ τῶν ἐξ αἰῶνος ἁγίων· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

LIBER SECUNDUS.

§ I.

43 VERS. 4-9. *Magnificavi opus meum, ædificavi mihi domus, plantavi mihi vineas, feci mihi hortos et pomaria, et plantavi in illis lignum omne fructus. Feci mihi piscinas aquarum ad irrigandum ex eis saltum germinum. Mercatus sum servos et ancillas, et vernaculi fuerunt mihi; et quidem possessio armenti et ovium multa fuit mihi super omnes, qui fuerunt ante me in Jerusalem. Congregavi mihi etiam argentum, etiam aurum, et opes regum et provincia-*

Ἐμεγάλυνα ποιημά μου, ᾠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους καὶ παραδείσους, καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν καρποῦ, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶν. Ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενεῖς ἐγένοντό μοι, καὶ γε κτῆσις βουκολίου καὶ ποιμνίου πολλὴ ἐγένετό μοι ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐπὶ Ἰερου-

θῆναι τὴν ψυχὴν, καὶ κηλίδων καὶ μιασμάτων καθαρὰν ἀπολυθῆναι τοῦ κόσμου, μόνη ποιεῖ τοῦτο, καὶ ἐργάζεται ἀγνεία. *Nihil est, quod ad bonum comparandum sic homini conducere possit, o pulchræ virgines, ut castimonia. Nam animam præclare atque optime regi, eamque a macula omni et labe immunem ac liberam esse, sola hoc facit et præstat castimonia.* (Method. Allat. p. 258.)

(69) Clausularum hujusmodi usum in Ecclesia vetustissimum reperias, formulam tamen haud semper unam. Apostoli nempe ac prisci illi Patres, qui proximi ab apostolis floruere, epistolas suas ac cætera scripta vix aliter, quam una Jesu Christi invocatione, quem cuique propitium optarent, concludere solebant. Raro certe *Patrem*, rarius *Spiritum sanctum* appellarunt. Atque hujus quidem semel tantum mentionem in clausula intulit Paulus, in secunda scilicet epistola ad Corinthios : ter solum Ignatius martyr, nempe ad Ephesios scribens, ad Smyrnenses et ad Philadelphienses : et qui ejus Acta scripserunt, semel. Nunquam vero in epistolis suis reliqui apostoli, nunquam in scriptis suis Patres ætatis primæ, non Barnabas, non Clemens, non Hermas, non Justinus, non Irenæus, non cæteri qui ea tempora attigerunt. Nam quod epistola Ecclesiæ Smyrnensis hanc habeat clausulam, Ἵνα καὶ μὲ συναγάγῃ ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ· ᾧ ἡ δόξα σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν, posterioris ætatis additamentum hæc sunt ab eo, qui epistolam descripsit, cui nomen Pionio fuit, ut ipse testatur illis verbis : Ἐγὼ δὲ πάλιν Πιόνιος ἐκ τοῦ προγεγραμμένου ἔγραψα, nempe e Socratis nescio cujus exemplari, qui ab eo descripserat, quod Caius Irenæi æqualis ex hujus codice descriptum reliquerat. Clausula vero Ecclesiæ Smyrnensis nomine ascripta hæc est : Διὰ παιδὸς αὐτοῦ τοῦ μονογενοῦς Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα, τιμὴ, κράτος, μεγαλωσύνη εἰς αἰῶνας. Ἀμήν.

At ex quo Macedonius hæresiarches delirare cœpit, et pravam impiamque illam de Spiritu sancto doctrinam spargere, institit ; reclamantibus ubique sanctis episcopis, in consuetudinem paulatim venit, ut catholicæ professionis instar libros quisque suos et orationes homiliasque trium divinarum personarum appellatione concluderet. Athanasii formula est : Δι' οὗ καὶ μεθ' οὗ αὐτῷ τῷ Πατρὶ σὺν αὐτῷ Υἱῷ ἐν ἁγίῳ Πνεύματι τιμὴ καὶ κράτος καὶ δόξα εἰς αὐτοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ εἰς τοὺς αἰῶνας. Cyrillus Hierosolymitanus hac utitur, Τῇ δυνάμει τοῦ μονογενοῦς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ δόξα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν. (In fin, Catech. 2.) Gregorius Nazianzenus sic orationem 31 claudit : Προσκυνῶ Πατέρα, προσκυνῶ τὸν Υἱὸν, προσκυνῶ τὸ Πνεῦμα τὸ ἅγιον· μᾶλλον δὲ προσκυνοῦμεν, ἐγὼ καὶ πρὸ πάντων ὁ ταῦτα λέγων, ἐγὼ καὶ μετὰ πάντας καὶ σὺν πᾶσιν ἐν αὐτῷ τῷ Κυρίῳ τῷ Χριστῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν. Sic vero Basilius Cæsariensis homiliam 30 : Πάντα ταῦτα τῇ διανοίᾳ καταμαθὼν δόξαζε τὸν Θεὸν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Jam his similes clausulas passim leges apud cæteros Patres, qui hos consecuti sunt.

Digitized by Google

σαλήμ. Συνήγαγόν μοι καὶ γε ἀργύριον καὶ γε χρυσίον καὶ περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν, ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας καὶ ἐντρυφήματα υἱῶν τοῦ ἀνθρώπου, οἰνοχόους καὶ οἰνοχόας. Ἐμεγαλύνθην καὶ προσέθηκα παρὰ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ· καὶ γε σοφία μου ἐστάθη μοι.

Τῷ τῆς εὐφροσύνης ὡς γενικῷ χρησάμενος ὀνόματι πρότερον, πᾶσαν τὴν ἀνθρωπίνην εὐετηρίαν δι' αὐτῆς κατεσήμανε· νῦν δὲ κατ' εἶδος ἰδιαζόντως κατὰ διαίρεσιν ἕκαστον τῶν ὑπ' αὐτὴν τελούντων κατονομάζει σαφῶς καὶ διέξεισιν, ἵνα μὴ δόξῃ κόμπου χάριν ἑαυτοῦ καταψεύδεσθαι, καὶ μηδαμῶς ἐπὶ τῶν ὑποκειμένων πραγμάτων πάσης ἀπολαυστικῆς καὶ θελκτικῆς ἐπιτηδεύσεως τὴν πεῖραν λαβεῖν· ἀλλὰ λόγους προτείνειν πραγμάτων κενούς. Βούλεται γὰρ πιστώσασθαι πάντας τοὺς ἐντευξομένους τῷ παρόντι συντάγματι, διὰ πάσης ἡδονῆς καὶ ῥᾳστώνης δαψιλῶς καὶ πολυτελῶς πολιτεύσασθαι, καὶ κατατρυφῆσαι τῶν ἐμπαθῶν καὶ σαρκικῶν ἡδονῶν· ἀλλὰ μηδὲν ἀπόνασθαι τούτων, μήτε μὴν λυσιτελές τι πέρας εὑρεῖν· ἀλλ' ἐν ματαιότητι προσαναλῶσαι τὴν ἰδίαν ζωὴν, ἐφ' ᾧ χρονικῷ διαστήματι περισπούδαστον ἡγεῖτο τὰς σαρκικὰς ἡδονὰς καὶ τὸν ἀπολαυστικὸν καὶ δουλοπρεπῆ βίον· ἵνα πείσῃ καὶ πάντας τοὺς μεταγενεστέρους φευκτὴν ἡγεῖσθαι καὶ στυγητὴν τὴν ὑπ' αὐτοῦ διαγραφομένην καὶ χαρακτηριζομένην ζωὴν καὶ πολιτείαν ὡς πρόξενον πολλῆς ἀθλιότητος.

Κωμῳδήσας γὰρ καὶ διασύρας καὶ στηλιτεύσας τὴν ἰδίαν προαίρεσιν ὡς ἀπειροκαλίας εὑρεθεῖσαν ἀνάμεστον, ἐν οἷς καιροῖς περὶ τὰς φαυλοποιοὺς ἡδονὰς καὶ τρυφὰς τὸν ἑαυτοῦ κατηνάλωσε βίον, εἰσηγεῖται διαῤῥήδην, οἷόν τις μεγαλοφωνότατος κῆρυξ, τῷ καθ' ἑαυτοῦ παραδείγματι μηδαμῶς τοῖς αὐτοῖς περιπαρῆναι θελκτικοῖς τῶν ὀφθαλμῶν εἴδεσι καὶ μορφώμασι, μηδὲ κατασχεθῆναι ταῖς ἄρκυσι τῶν ἀπολαυστικῶν τῆς ἀτιμίας παθῶν. Πάντα γὰρ, φησὶ, παριππεύουσι, καὶ παρέρχονται καπνοῦ δίκην, πολλὰ μὲν δριμύξαντος τοὺς τοῦ σώματος ὀφθαλμοὺς, πολλαπλασίως δὲ ζοφώσαντος τοὺς νοεροὺς τῆς ψυχῆς, καὶ μὴ συγχωρήσαντος ἀναβλέπειν καὶ δέρκειν πρὸς τὴν ἄχραντον ἡδονὴν τῆς θείας ἀγάπης, καὶ τῶν τῆς ἀρετῆς ἀγαθῶν. Τοῦτο γὰρ αἰνίττεται φάσκων· « Καί γε σοφία μου ἐστάθη μοι. »

Μονονουχὶ γάρ φησι, Τῶν ἄλλων πάντων ἀπολαυστικῶν, καὶ θελκτικῶν, καὶ τερπνῶν, καὶ περικαλλῶν, δηλονότι τῶν ἐν ταῖς τῶν οἰκοδομημάτων κατασκευαῖς, τῶν ἐν τοῖς ἀμπελῶσι καὶ κήποις καὶ παραδείσοις καὶ τοῖς κολυμβήθραις τῶν ὑδάτων, καὶ τῷ ἐσμῷ τῶν δούλων, καὶ παιδισκῶν, καὶ τῶν ποιμνίων, καὶ

(70) Apud LXX leges... τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶντα ξύλα.... καὶ ἐντρυφήματα υἱῶν ἀνθρώπων, οἰνοχόον καὶ οἰνοχόας. Καὶ ἐμεγαλύνθην καὶ προσέθηκα παρὰ πάντας τοὺς γενομένους ἀπὸ ἔμπροσθέν μου....

(71) In scholio editionis Romanæ priora illa verba Ἐμεγάλυνα τὸ ποίημά μου his explicantur, Μεγάλα ἐποίησά μοι ἔργα, *opera* nempe *mihi exstruxi magnifica*. Ex iis porro etiam *Paradisi* fuere, de quibus quæri solet, quid revera essent. Ac primum

A *rum, feci mihi cantores et cantatrices et delicias filiorum hominis, vini ministros et ministras. Magnificatus sum et adjeci super omnes, qui fuerunt ante me in Jerusalem : et quidem sapientia mea astitit mihi* (70).

Lætitiæ nomine tanquam generali antea usus, universam hominis prosperitatem appellatione illa designavit. Jam per partes separatim singula, quæ genus complectitur, discriminando clare denominat et pertexit, ne jactantia quadam de se ipse mentiri, et nulla earum rerum, quæ ad voluptaria omnis generis studia pertinent, experientia edoctus, sermones rerum vacuos proferre videatur. Illud enim iis, qui ad librum hunc legendum se conferent, omnibus confirmare vult, se quidem in voluptate qualibet atque desidia opipare sumptuoseque esse versatum, et corporis cupiditatibus large admodum indulsisse : at nihil inde commodi 44 sibi partum, nec illum in exitu compendium oblatum : ut tandiu ætatem suam in vanitate contriverit, quandiu corporis voluptates et desidiosam servilemque vitam amore et studio dignam putarit. Quo denique et posteris omnibus persuadeat, ut quod ipse vitæ genus describit atque notat, tanquam multarum ærumnarum fontem, fuga odioque omnino dignum arbitrentur.

C Sic enim præsumptionem ille suam, quibus temporibus pravæ voluptati adhæsit, vitamque suam in deliciis consumpsit, quasi ineptiarum plenam carpit, exagitat, insectatur, ut veluti præco aliquis vocalissimus apertissime omnes admoneat, ne exemplnm ejus imitati, eadem illa formarum specie avide oculos pascant, aut iisdem se corruptelarum illecebris irretiri unquam patiantur. Omnia enim, inquit, tanquam obequitando prætereunt, aut fumi instar dilabuntur : qui non tam oculos corporis mordeat, quam mentis lumina caligine obruat, ne suspiciant scilicet, et in divinæ charitatis incontaminatam voluptatem atque in virtutis bona aciem intendant. Hoc namque ille significat, cum ait : « Et quidem sapientia mea astitit mihi. »

D Quod perinde est, ac si diceret : Cætera quæcunque mihi ad voluptatem et solutium et oblectationem et luxum fuerunt, quæ nempe et ædificiorum moles præbebant et consitæ vineæ et horti ac pomaria et piscinæ aquarum, et servorum atque ancillarum examina (71) : greges 45 item atque

vocem ipsam externam esse, putavit Pollux : Οἱ δὲ παράδεισοι βαρβαρικὸν εἶναι δοκοῦν τοὔνομα, ἧκει καὶ μετὰ συνηθειαν εἰς χρῆσιν Ἑλληνικὴν, ὡς καὶ ἄλλα πολλὰ τῶν Περσικῶν. *Paradisi autem nomen barbaricum videtur, et consuetudine in usu esse cœpisse apud Græcos, quemadmodum alia Persarum multa.* Id tamen Alberto in Hesychio non arridet, qui rem quidem a Persis, vocabulum a Græcis esse existimat. Est autem Hesychio Παράδεισος τόπος ἔνυδρος ἤτοι εὔυδρος, ἐν ᾧ περίπατοι· *locus* scili-

Digitized by Google

armenta, et auri argentique ingentes acervi; tum cantorum et pincernarum ex utroque genere deliciæ, marium utique feminarumque, hæc, inquam, omnia cum præterierint et evanuerint, una mihi solaque superest et relicta est consolatio, ea, quæ a Deo mihi data est sapientia : atque hæc animum excitavit meum, ut corruptibilia et caduca rerum oblectamenta damnarem ac detestarer; eademque impulit, unam ut virtutis possessionem respicerem, hanc optarem, hanc quærerem, in hac una consectando totis viribus exerceret (72).

Nam quæ humanæ voluntatis studio eminent, et cupidis oblata oculis magna cum jucunditate hauriuntur, ea quidem beare homines, et voluptates corpori afferre, visuque pulcherrima sensus permulcere putantur; at omnia non modo dilabuntur, et frondium more decidunt, sed etiam amatores cultoresque suos secum in perniciem raptos eo deducunt, ut penitus esse desinant. Qui enim conditionis suæ naturalisque facultatis tramite 46 deflectit, ipsa vitiorum inolescentium accessione et societate impetum quodammodo accipit, quo ultimum ad interitum feratur. Verum qui divinam sapientiam adjutricem et consiliariam habet, quandoquidem stat ipsa et perpetuo immota manet, virtutibus, tanquam columnis innixa septem, immotum eum planeque inflexibilem servat, nec quem auxilio

βουκολίων, καὶ τῇ συναγωγῇ καὶ συναθροίσει τοῦ ἀργυρίου καὶ χρυσίου, καὶ τοῖς ἐντρυφήμασι τῶν ᾀδόντων καὶ οἰνοχόων ἐξ ἑκατέρου γένους, ἀῤῥενικοῦ δηλαδὴ καὶ τοῦ θήλεως, τούτων πάντων ἀποιχομένων καὶ φρούδων γεγενημένων, μία μοι καὶ μόνη περίεστι καὶ ὑπελείφθη παράκλησις ἡ παρὰ Θεοῦ μοι δεδομένη σοφία, ἥτις καὶ πρὸς κατάγνωσιν καὶ διαβολὴν τῶν φθειρομένων καὶ προσκαίρων ἀπολαύσεων τὴν ἐμὴν καρδίαν ἐξήγειρε, καὶ διανέστησε πρὸς μόνην ἀφορᾷν τὴν κτῆσιν τῆς ἀρετῆς, καὶ ταύτην αἱρεῖσθαι, ταύτην ζητεῖν, ταύτην παντὶ σθένει διώκειν καὶ δρᾷν.

Πάντα γὰρ τὰ συστατικὰ τῆς τρυφῆς, καὶ ποιητικὰ τῶν σαρκικῶν ἡδονῶν, καὶ τῷ δοκεῖν περικαλλῆ, καὶ θελκτικὰ τῶν κατ' ἐπιτήδευσιν τῆς ἀνθρωπίνης προαιρέσεως φαινομένων, καὶ τοὺς αἰσθητοὺς ὀφθαλμοὺς ἐξωραϊζόντων καὶ σφόδρα κατατερπόντων, ἀπορρέουσιν καὶ πίπτουσι δίκην φύλλων, καὶ τοὺς ἐραστὰς αὐτῶν καὶ τοὺς ἐργάτας πρὸς τὴν ἰδίαν σύμπτωσιν ἐφέλκονται, καὶ πρὸς ἀνυπαρξίαν χωρεῖν ἀκολούθως παρασκευάζουσιν. Πᾶς γὰρ ὁ τῆς κατ' οὐσίαν ὑπάρξεως καὶ τῆς φυσικῆς ἐνεργείας παραῤῥυείς, διὰ τῆς τῶν συμβεβηκότων τῆς κακίας ἰδιοτήτων παρεισκρίσεως καὶ παρυποστάσεως, τὴν πρὸς τὸ μὴ ὄν, τρόπον τινά, δέχεται περιχώρησιν. Ὁ δὲ τὴν θείαν σοφίαν ἀῤῥωγὸν καὶ σύμβουλον ἔχων, ἐπείπερ ἐστὶν αὕτη καὶ μένει διαπαντὸς ἀκράδαντος, ἐρηρεισμένη τοῖς ἑπτὰ

cet *irriguus sive aquis abundans, ubi ambulationes sint.* Itaque a δείω nomen ductum videtur, quod idem, ac δεύω *rigo*, ut Suidæ placet. At Olympiodoro ad hunc locum Παράδεισος ὁ δένδρος διαφόροις καταπεφυτευμένος. Quare Paradisos dicere cum Horatio possumus (l. I, od. 7). *Uda mobilibus pomaria rivis.* Apud Persas tamen plus aliquid fuisse videntur : Addit enim Hesychius, Καὶ ἡ βασιλέως κατάλυσις, *Et regis diversorium*, sive ut Diodorus Siculus ait, ἐν ᾧ τὰς καταλύσεις οἱ τῶν Περσῶν βασιλεῖς εἰώθεισαν ποιεῖσθαι, *quo divertere Persarum reges soliti.* (Lib. XVI.) Idcirco latius ea appellatio patere cœpit, ut vivaria etiam et roboraria significaret, loca scilicet septa, in quibus feræ pascerentur : hæc enim esse ait Gellius, quos παραδείσους Græci appellant. (*N. A.* lib. II, c. 20.)

Ad cantores et cantatrices quod attinet, pulchrum est, quod adnotavit Bochartus (Hieroz. P. II, lib. VI, c. 13, n. 6). Hæc enim ejus verba : « Dicit nempe Salomon, se sibi comparasse *cantores et cantatrices et delicias filiorum hominis*, id est, qui recrearent homines שדה ושדות, *cantu et cantationibus*. Nam שדה est pro בשדה. Ea voce verisimile est, non quasvis cantiones, sed proprie ὑμνῳδίας significari ab inventrice sic dictas : id est *Sido* muliere apud Phœnices magni nominis, de qua vetustissimus ille scriptor Sanchoniathon, Ἀπὸ δὲ τοῦ Πόντου γίνεται Σιδών, ἡ καθ' ὑπερβολὴν εὐφωνίας πρώτη ὕμνων ᾠδὴν εὗρε. *Ex* Ponto *autem* Sido *nata est, quæ propter canoræ vocis præstantiam hymnorum cantum prima reperit.* Nempe ut *a Sappho Sapphicum* carmen *Græci* dixere, sic a *Sido* ὑμνῳδίας Phenices שדוה *sidoth* vel *siddoth* appellasse verisimile est. »

(72) Non obscure indicat hoc loco Gregorius noster, se in eorum sententia esse, qui Salomonem non modo resipuisse aliquando, sed etiam postquam ad bonam frugem rediisset, ea mente ad librum hunc scribendum se contulisse censent, ut

eumdem veluti pœnitentiæ suæ testem posteris relinqueret. Atque eodem pertinent quæ infra habet § 2, ubi damnari ab eo contendit, non aliorum, sed suam ipsius vanitatem, quam imprudens secutus, experientia demum non solum inutilem deprehenderat, sed ab infausto etiam exitu improbandam cognoverat. Quæ omnia Chrysostomi potissimum verbis mire respondent, qui ait : Ἐπεὶ καὶ ὁ Σολομὼν, ἡνίκα μὲν τῇ τῶν βιωτικῶν ἐπιθυμίᾳ πραγμάτων κατείχετο, μεγάλα τε αὐτὰ ἐνόμιζεν εἶναι καὶ θαυμαστὰ, καὶ πολλὴν περὶ αὐτὰ τὴν φιλοπονίαν ἐπεδείκνυτο, λαμπράς τε οἰκοδομούμενος οἰκίας, καὶ χρυσίον συνάγων ἄπειρον, μουσικῶν τε χορούς καὶ τραπεζοποιῶν γένη παντοδαπὰ, καὶ μαγείρων πάντοθεν συναθροίζων, καὶ τὴν τῶν κήπων χάριν, καὶ τὴν ἀπὸ τῶν λαμπρῶν σωμάτων ἡδονὴν δαψιλῶς παρασκευάζων τῇ τῆς ψυχῆς ἐπιθυμίᾳ, καὶ πᾶσαν, ὡς εἰπεῖν, ὁδὸν ψυχαγωγίας καὶ τέρψεως ἑαυτῷ τέμνων. Ἐπειδὴ δὲ μικρὸν ἐκεῖθεν ἀνήνεγκε, καὶ καθάπερ ἐξ ἀβύσσου τινὸς ζοφερᾶς, ἀναβλέψαι πρὸς τὸ τῆς φιλοσοφίας ἴσχυσε φῶς, τὸ τηνικαῦτα τὴν ὑψηλὴν ἐκείνην καὶ τὴν τῶν οὐρανῶν ἀξίαν ἀφῆκε φωνήν· *Ματαιότης ματαιοτήτων*, λέγων, *τὰ πάντα ματαιότης*. Id est : *Etenim et Solomon, cum caducarum rerum cupiditate teneretur, magnas eas et admirandas putabat, multumque in eis laboris et sollicitudinis insumebat, magnificas ædificando domos, immensum coacervando aurum, congregando cantorum choros, varia genera ministrorum mensæ et popinæ, quærendo animæ suæ voluptatem ab hortorum gratia, eorumque formosorum specie, quantam cupiditas posceret, atque omnem, ut ita dicam, solatii atque oblectationis viam sectando. At vero simul atque inde a se reversus, et quasi ex caliginosa quadam abysso ad lumen veræ sapientiæ respicere valuit, tunc sublimem illam et cœlis dignam emisit vocem :* Vanitas vanitatum, *dicens*, et omnia vanitas. (Tom. I *Orat. adversus eos, qui Synisact. habebant*, n. 12.) Lege etiam, quæ infra habet noster § 9.

Digitized by Google

στύλοις τῶν ἀρετῶν, ἀκλόνητον συντηρεῖ καὶ παντελῶς ἀπαράκλιτον· καὶ τὸν ἔχειν αὐτὴν ἀξιωθέντα συλλήπτορα μηδαμῶς ἐῶσα κατολισθῆσαι πρὸς τὰς μοχθηρὰς τῆς ματαιότητος πράξεις.

A dignata suo est, hunc ad improba vanitatis facta delabi unquam patitur (73).

Ἀλλὰ γὰρ ὁ σοφὸς Ἐκκλησιαστὴς, τὰς κατ' εἶδος ὀνομασίας τῆς εὐφροσύνης διεξελθὼν, ἐμφιλοχωρεῖ τοῖς αὐτοῖς ἔτι, καὶ διατείνεται μὴ μάτην τῶν ἀπαριθμηθέντων ἐσχηκέναι τὴν κτῆσιν· ἀλλὰ πρὸς τὸ καταθέλγεσθαι καὶ καθωραΐζεσθαι ταῖς τούτων τερπνότησι, καὶ καταπολαύειν καὶ κατατρυφᾷν τῆς ἀπ' αὐτῶν προσγινομένης ἡδονῆς τοῖς ἐθέλουσιν. Ἐπάγει γὰρ ἀμέσως, καί φησι·

Enimvero sapiens Ecclesiastes, lætitiæ nominibus sigillatim enuntiatis, libens in iisdem etiamnum immoratur, et illud inculcat, minime se ab eorum, quæ enumeravit, possessione frustratum esse : sed abunde omnia sibi præsto fuisse ad fruendum atque lætandum ; et quam inde voluptatem, si velit, capere quisque possit, ea se usque ad delicias oblectari potuisse. Hæc enim protinus subnectit :

§ II.

Καὶ πᾶν, ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου, οὐκ ἀφεῖλον ἀπ' αὐτῶν. Οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης· ὅτι καρδία μου εὐφράνθη ἐν παντὶ μόχθῳ μου. Καὶ τοῦτο ἐγένετο μερὶς μου ἀπὸ παντὸς μόχθου. Καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποιήμασί μου, οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ, ᾧ ἐμόχθησα τοῦ ποιῆσαι. Καὶ ἰδοὺ τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύματος· καὶ οὐκ ἔστι περίσσεια ὑπὸ τὸν ἥλιον.

Ταῦτα φάσκων διατείνεται καὶ διαβεβαιοῦται σαφῶς, δι' αὐτῆς ἐλθεῖν τῶν πραγμάτων τῆς πείρας, καὶ μήτε τοὺς ὀφθαλμοὺς ἀποκωλῦσαι τῶν καταθελγόντων αὐτοὺς εὐηδόνων καὶ τερπνῶν θεαμάτων, μήτε τὴν καρδίαν ἀπεῖρξαι τῶν διὰ τῶν αἰσθητῶν ὀφθαλμῶν παραπεμπομένων εἰς αὐτὴν καὶ παρεισκρινομένων σαρκικῶν ἐπιθυμιῶν· ἵνα καὶ πᾶσιν ἄλλοις ἀνθρώποις ἀληθεύων λογισθείη καὶ πιστὸς ἐν τῷ φάσκειν, « Καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος· καὶ οὐκ ἔστι περίσσεια ὑπὸ τὸν ἥλιον. »

Οὐκοῦν ἄρα μάτην τινὲς ᾠήθησαν καὶ κατήγγειλαν τῶν προγενεστέρων ἐξηγητῶν, ὡς οὐχὶ καταγινώσκων ἑαυτοῦ ταῦτα διέξεισιν ὁ σοφὸς Ἐκκλησιαστὴς, ἀλλ' ἁπλῶς τὴν ματαιότητα διασύρων, ὅπερ οὐκ ἔστι. Τὴν μὲν γὰρ ματαιότητα κωμῳδεῖ καὶ διασύρει διαῤῥήδην, ἀλλὰ τὴν δι' αὐτοῦ πεπραγμένην, καὶ δι' αὐτῆς τῆς πείρας κατεγνωσμένην ὡς ἀσύμφορον, καὶ πρὸς μηδὲν πέρας χρηστὸν ἀπαντῶσαν· ἀλλ' ἔμπαλιν καὶ τοὺς αἱρουμένους αὐτὴν συνωθοῦσαν εἰς πέταυρον ἀπωλείας. Εἶτά φησι·

Vers. 10, 11. *Et omne, quod postulaverunt oculi mei, non abstuli ab eis : non prohibui cor meum ab* B *omni lætitia; quia cor meum lætatum est in omni labore meo. Et hoc fuit portio mea ex omni labore. Et respexi ego ad omnia opera mea, quæ fecerunt manus meæ, et in laborem, quo laboraveram faciendo. Et ecce omnia vanitas et præsumptio spiritus ; et non est abundantia sub sole* (74).

Quæ cum dicit, illud urget aperteque confirmat, se res ipsa experientia explorasse, neque oculos cohibuisse, ne blandis jocundisque, quibus inhiabant, spectaculis fruerentur, neque animum continuisse voluptariis a desideriis, quæ per oculorum sensus immissa, usque ad ipsum se insinuant : quo et a cæteris omnibus mortalibus veridicus et fide dignus habeatur, cum ait : « Et ecce [47] omnia C vanitas, et præsumptio spiritus ; et non est abundantia sub sole. »

Quare eorum, qui ante nos fuerunt, interpretum quidam non bene, opinor, existimarunt ac pronuntiarunt, quæ hic profert sapiens Ecclesiastes, non eo pertinere, ut seipsum damnet, sed ut vanitatem tantummodo insectetur (75) : quod non ita est. Nam vanitatem quidem manifesto objurgat et carpit, at eam, quam ipse secutus erat, quamque experientia edoctus ab inutilitate atque ab infausto exitu improbaverat, cum et amatores denique suos in laqueos interitus compellat. Addit deinde :

§ III.

Καὶ ἐπέβλεψα ἐγὼ τοῦ ἰδεῖν σοφίαν καὶ περιφορὰν καὶ ἀφροσύνην· ὅτι τίς ἄνθρωπος, ὃς ἐλεύσεται ὀπίσω τῆς βουλῆς ; σύν τε ὅσα ἐποίησεν αὐτῇ ;

Vers. 12. *Et respexi ego, ut viderem sapientiam* D *et errorem et stultitiam : quia quis est homo, qui ingredietur post consilium? et cum hoc singula fecerit* (76) ?

(73) *Columnæ*, quas hic noster memorat, illæ sunt, de quibus sermo est in Proverbiis : (IX, 1) Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά· *Sapientia ædificavit sibi domum, et columnas septem firmamento supposuit.* Latinus interpres habet, *Excidit columnas septem*, ut Aquila et Symmachus, ἐλατόμησε· noster vero LXX secutus est. Porro interpretes in illa *domo* Ecclesiam, in *columnis* apostolos maxime agnoscunt : quanquam et alia quidam significata putaverunt.

(74) Apud LXX leges... Ἀπὸ πάσης εὐφροσύνης μου. Ὅτι καρδία.... Olymp. Ὃ ἐμόχθησα τοῦ ποιεῖν Καὶ ἰδοὺ....

(75) In codicis margine ascriptum erat Νῖλος. At nihil in eam sententiam invenias apud Ascetam, in iis scilicet operibus, quæ Suaresius et Allatius edidere. Nam alia quædam ejusdem Nili opuscula latitare in bibliothecis, adnotum est. Nec vero liquet, num hoc loco Nilus asceta, an alius quispiam designetur : cum in Allatii diatriba de Nilis (ad calc. tom. II) clari viri hoc nomine viginti numerentur, quorum plerique in scriptorum censu locum habent, quidam vero sine controversia Gregorio nostro antiquiores sunt.

(76) At extrema verba apud LXX ita se habent, Τὰ ὅσα ἐποίησεν αὐτήν· ad quæ Nobilius, *In uno*,

Digitized by Google

Ad rerum copiam eamque magnificentiam progressus, quæ summo studio in voluptatibus parandis expromitur, cum in his Ecclesiastes nihil homine, nihil animo ratione prædito dignum invenisset; contraque omnem vitam improbam et pravis in rebus exactam ipso ab exordio et celeriter aufugientem et ad interitum festinantem deprehendisset, illa pronuntiavit : « Et respexi ego ad omnia opera mea, quæ fecerunt manus meæ, et in laborem, quo laboraveram faciendo. Et ecce omnia vanitas et præsumptio spiritus; et non est abundantia sub sole, » quod levitate sua omne nequitiæ genus dispereat. Jam sobriam moderatamque sapientiæ vitam nunc confert, ejus scilicet, quam a Deo acceperat, ad priorem sanctæ institutionis formam revocantis; et ob bonitatis præstantiam tantum interesse discriminis reperit cognovitque, quantum est inter sapientiam sive prudentiam, et errorem ipsum **48** sive stultitiam. Nam idem utraque sonant atque designant : cum error mutabilitatem et transitum ad hoc et illud aperte significet, cujusmodi profecto sunt insipientiæ proprietates, ut illud divinarum Litterarum nos docet oraculum : « Stultus ut luna mutatur [31], » quo conversio ejus ad pejora aberrantis indicatur.

His igitur inter se collatis comparatisque, quanquam ejusmodi sunt, ut propter generis diversitatem componi vix possint; cum illud didicerit, in sapientia sive prudentia maximam inesse utilitatem, errorem vero sive insipientiam cum plane futilem et ineptiarum plenum, tum ad beatam probamque vitam nihil omnino conferre : quasi in magnam animi ægritudinem adductus, quod plerique hominum flagitiosam pravamque vitam optabiliorem putent, illa ob summam rei indignitatem subjecit : « Quia quis est homo, qui ingredietur post consilium? » Velut si diceret : Solus ille dignus est, ut homo appelletur, et hominum in numero habeatur, qui prius tanquam e specula aliqua atque edito sublimique loco rerum naturam clare ac distincte contemplatus, quæ eligenda sint et quæ relinquenda, quæ utilia et quæ inutilia, quæ salutem afferant et quæ ad interitum deducant, unus dijudicat : initoque consilio sic meliora præoptat, ut ea aversetur, quæ non solum utilitatis nihil habent, sed etiam æterna ad supplicia transmittunt.

Nam homo hujusmodi, qui mature vitam optimam amplectatur atque cognoscat, eamque sequiori anteponens, præterita quoque, sapientiæ prudentiæque opportuno usus consilio, egregie restituat perficiatque; is, inquam, felix ac revera beatus est : quippe qui studium suum in eorum bonorum possessione collocet impendatque, quæ vera et man-

A Ἀφικόμενος ὁ Ἐκκλησιαστὴς πρὸς τὴν δαψίλειαν καὶ πολυτέλειαν τῶν καθ' ἡδονὴν ἐπιτηδευμάτων καὶ σπουδασμάτων καὶ μηδὲν ἄξιον τῆς ἀνθρωπίνης καὶ νοερᾶς ψυχῆς ἐντεῦθεν εὑρὼν, ἀλλὰ πᾶσαν τὴν μοχθηρὰν ζωὴν καὶ φαύλην πολιτείαν ἅμα τῷ γενέσθαι καὶ θᾶττον ἀπογινομένην, καὶ πρὸς ἀνυπαρξίαν χωροῦσαν κατειληφὼς καὶ φήσας, « Καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποιήμασί μου, οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ, ᾧ ἐμόχθησα τοῦ ποιῆσαι· καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος· καὶ οὐκ ἔστι περίσσεια ὑπὸ τὸν ἥλιον, » φρούδων γενομένων πάντων τῆς κακίας εἰδῶν· νῦν συγκρίνει τὴν σώφρονα καὶ τεταγμένην τὴν σοφίας ζωὴν, τῆς παρὰ τοῦ Θεοῦ δηλονότι δεδομένης αὐτῷ, καὶ πρὸς τοὺς χαρακτῆρας ἀνθελκυσάσης τῆς προ-
B τέρας πνευματικῆς καταστάσεως· καὶ πολὺ τὸ διάφορον καθ' ὑπεροχὴν τὴν πρὸς τὸ βέλτιον εὑρὼν καὶ κατειληφὼς τῆς σοφίας ἤτοι φρονήσεως, καὶ μέντοι καὶ τῆς περιφορᾶς ἧγουν ἀφροσύνης. Ταυτὸν γὰρ ἑκάτερα δηλοῖ καὶ παρίστησιν. Ἥ τε γὰρ περιφορὰ μετακίνησιν καὶ μεταβολὴν πρὸς τοῦτο κἀκεῖνο διασημαίνει σαφῶς· ἃ δὴ τῆς ἀφροσύνης εἰσὶν ἰδιώματα, καθὼς φησι τὸ λόγιον τῆς θείας Γραφῆς· « Ὁ ἄφρων ὡς σελήνη ἀλλοιοῦται, » τὴν ἐπὶ τὰ
C χείρω περιφορὰν αὐτοῦ καὶ παρατροπὴν αἰνιττόμενον.

Ταῦτα τοίνυν ἀλλήλοις παραθεὶς καὶ συγκρίνας, καίτοι γε συγκρίνεσθαι μὴ πεφυκότα διὰ τὸ σφῶν ἑτερογενὲς, καὶ σφόδρα τὴν σοφίαν ἤτοι φρόνησιν ὀνησιφόρον εὑρὼν καὶ λυσιτελεστάτην· τὴν περιφορὰν, ἤγουν ἀφροσύνην, ἀνόνητον καὶ παντελῶς ἀσύμφορον, καὶ μηδαμῶς συμβαλλομένην πρὸς τὸν μακάριον καὶ σπουδαῖον βίον· ὥσπερ εἰς μεγάλην ἀθυμίαν ἐλθὼν διὰ τὸ τοὺς πολλοὺς ἀνθρώπους αἱρετωτέραν ἡγεῖσθαι τὴν μοχθηρὰν καὶ φαύλην ζωὴν, ἐκ πολλῆς ἀμηχανίας ἐπήγαγεν, « Ὅτι τίς ἄνθρωπος
D ἐλεύσεται ὀπίσω τῆς βουλῆς; » ἀντὶ τοῦ, Μόνος ἐκεῖνός ἐστιν ἄξιος ἄνθρωπος καλεῖσθαι, καὶ τὴν τοιαύτην ἔχειν ὀνομασίαν, ὃς πρότερον ἀπό τινος σκοπιᾶς καὶ τόπου περιόπτου καὶ μεταρσίου τὴν φύσιν τῶν πραγμάτων διαβλέψας τρανῶς καὶ σκοπήσας διακρίνει τὰ αἱρετὰ καὶ οὐχ αἱρετὰ, καὶ τὰ συμφέροντα καὶ ἀσύμφορα, καὶ τὰ πρόξενα σωτηρίας, καὶ τὰ πρὸς ἀπώλειαν συνωθοῦντα· καὶ βουλευσάμενος ἕλοιτο τὴν αἵρεσιν τῶν κρειττόνων, καὶ φεύξοιτο τὰ μὴ μόνον ὠφελοῦντα μηδὲν, ἀλλὰ καὶ παραπέμποντα πρὸς κολάσεις ἀτελευτήτους.

Ὁ γὰρ τοιοῦτος ἄνθρωπος, ὁ πρότερον βουλόμενος καὶ διαγινώσκων τὴν βελτίστην ζωὴν, καὶ προκρίνων ταύτην τῆς χείρονος, καὶ μέντοι καὶ κατὰ τὸ ἀκόλουθον πράττων τὰ παραλειφθέντα κρείττω καὶ βελτίω παρὰ τῆς ἐν σοφίᾳ καὶ φρονήσει γεγενημένης βουλῆς, εὐδαίμων ἐστὶ καὶ τῷ ὄντι μακάριος· ὡς περὶ τὴν κτῆσιν τῶν ὄντων καὶ τῶν ἀληθῶς ἀγαθῶν θέμενος τὴν ἰδίαν

[31] Eccli. xxvii, 11.

inquit, *libro pro τά est* σύν, *et utrumque nihil videtur ad sententiam facere, sed tantum respondere articulo Hebræo.* Tum in plerisque libris scriptum esse addit, Πάντα ὅσα ἐποίησεν ἐν αὐτῇ· quæ item satis obscura : ut Gregoriana lectio cæteris præstet, sententiamque absolvere videatur : velut si scriptum esset : Καὶ σὺν αὐτῇ βουλῇ, ὅσα ἐποίησεν; esto, tmesis illa poeticam sapiat licentiam. Olymp. legit : Ὃς ἐπελεύσεται ὀπίσω τῆς βουλῆς, ὅσα ἐποίησεν αὐτῇ.

Digitized by Google

σπουδὴν, τῶν μήτε τῇ ματαιότητι καὶ τῇ φθορᾷ καθυποκειμένων, μήτε μὴν προξενούντων τοῖς πράττουσι ἀνυποίστους κολάσεις, ἀλλ' ἔμπαλιν ἀκηράτους ἀμοιβὰς καὶ διαιωνίζουσαν ἀγαλλίασιν. Οἱ γὰρ ἀβούλως δρῶντες τοῦτο κἀκεῖνο, μὴ προηγησαμένης τῆς ἐν φρονήσει καὶ σοφίᾳ βουλῆς, προσκόπτουσι συνεχῶς, πρὸς ἃ μὴ θέμις κατολισθήσαντες· καὶ μεταβουλεύονται μὲν μεταμεληθέντες καὶ διαγνόντες, ἀνασκευάσαι δὲ τῆς ἀβουλίας τὴν πρᾶξιν οὐκ ἐξισχύουσιν, εἰ μὴ τοιοῦτον εὑρεθείη τὸ ὑποκείμενον, ὡς δέχεσθαι διὰ τῆς μετανοίας τὴν ἴασιν καὶ πρὸς τὴν προτέραν κατάστασιν ἐπανόρθωσιν. Διὰ τοῦτό φησί που τὸ σοφώτατον λόγιον, « Δεινὸν ὑστεροβουλία μὴ δεχομένη βελτίωσιν. » Ἀμέλει τοίνυν ἐπήγαγε·

A sura, non modo nunquam evanescunt aut corrumpuntur, neque sectatoribus suis intolerandos important cruciatus, sed etiam immortalis intaminataque mercedis et perpetuorum gaudiorum spem faciunt. Nam cæteri quidem, qui hoc et illud inconsulte agunt, nec prudentiæ sapientiæque consilio reguntur, assidue offendunt, in ea prolapsi, quæ fieri nefas est : ac pœnitentia quidem et cognitione excitati consilium **49** mutant, sed temeritatis suæ supplere admissa non possunt, nisi animum ita habeant paratum, ut pœnitentiæ medicinam non respuat, seque ad pristinum statum emendatione revocari patiatur. Quo pertinet illud sapientissimi oraculi dictum : « Mala res pœnitentia, quæ emendationem excludit (77). » Jam vero addit:

§ IV.

Καὶ εἶδον ἐγὼ, ὅτι ἔστι περίσσεια τῇ σοφίᾳ B *ὑπὲρ τὴν ἀφροσύνην, ὡς περίσσεια τοῦ φωτὸς ὑπὲρ τὸ σκότος.*

Πρόδηλον ὡς τῇ σοφίᾳ τὴν ἀφροσύνην ἀντιτιθεὶς, ἀντὶ τῆς φρονήσεως τίθησι τὴν σοφίαν. Ἡ γὰρ φρόνησις κυριωτάτη καὶ βασίλισσα τῶν ἄλλων ἐστὶν ἀρετῶν ἁπασῶν· ἣν καὶ περίσσειαν πολλὴν ἔχειν ὁ σοφὸς ἔφησεν Ἐκκλησιαστὴς, ὡς τὸ φῶς πρὸς τὸ σκότος. Ὡς γὰρ ἐν τῷ φωτὶ τὴν κρίσιν τῶν πραγμάτων ἀκριβῶς διακρίνουσιν ἄνθρωποι πάντες, καὶ τὸν λίθον ὡς λίθον, καὶ τὸν ἄρτον ὡς ἄρτον νῦν προσβλέπουσιν, ἐν δὲ τῷ σκότει πολλὴν πάσχουσιν ἐξαπάτην, ἀντ' ἄλλων ἄλλα δέρκειν νομίζοντες· οὕτω καὶ τῷ φωτὶ τῆς σοφίας ἤτοι φρονήσεως καταυγαζόμενοι τὸν νοῦν ἥκιστα διαμαρτάνομεν τῶν ἀνδανόντων τῷ Θεῷ καὶ λυσιτελῶν. Ὅταν δὲ τῆς φρονήσεως ἤτοι τῆς C παρὰ Θεοῦ δεδομένης σοφίας παραρυῶμεν, τηνικαῦτα τὸν λύχνον οὐκ ἔχοντες τῆς ζωῆς, καὶ διὰ τοῦτο μὴ διακρίνοντες τῶν πραγμάτων τὴν φύσιν, ἀντὶ τῶν μαργαριτῶν καὶ τῶν τιμίων λίθων, δηλονότι τῶν ἀπεικασμένων τῷ κάλλει τῶν ἀρετῶν, τὴν δυσώδη κόπρον αἱρούμεθα καὶ τὸν πατούμενον ὑπὸ πάντων ἐν ταῖς πλατείαις πηλὸν, ἤγουν τὴν ἁμαρτίαν.

VERS. 13. *Et vidi ego, quia abundantia est sapientiæ super stultitiam, sicut abundantia lucis super tenebras.*

Cum sapientiæ opponat stultitiam, manifestum est sapientiam ab eo prudentiæ loco usurpari. Maxima enim prudentiæ vis est, ut cæterarum virtutum omnium regina videatur : quam et sapiens Ecclesiastes longe copia præstare dicit, non secus ac lucem præ tenebris. Quemadmodum enim in luce rectissime quisque de rebus judicat, et qui lapis est, lapidem esse videt, qui panis, panem, in tenebris contra sæpe decipitur, alia pro aliis sibi videre visus : ita et nos, ubi sapientiæ sive prudentiæ lux menti affulserit, minime in eorum judicio fallimur, quæ Deo placent, et nobis utilia sunt. At vero cum prudentia sive sapientia a Deo tradita excidimus, quasi vitæ amissa face, jam rerum naturam minime dignoscimus, et tanquam margarita atque gemmas, quæ nempe virtutum pulchritudinem referunt, graveolentem fimum, atque omnium pedibus tritum per vias cœnum, peccatum scilicet eligimus.

Τίς οὖν ἄνθρωπος εὑρεθείη τῆς τοιαύτης κλήσεως ἄξιος, ὃς βουλευσάμενος πρότερον καὶ κατειληφὼς τὰ δέοντα καὶ συμφέροντα, κατακολουθήσει τῇ βουλῇ, καὶ τὰ ἔργα πράξει τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης; Τὸ αὐτὸ δὲ τοῦτο καὶ Ὡσηὲ ὁ προφήτης κατὰ τὸ τέλος τῆς προφητείας ὡς ἀπορῶν εἶπε· φησὶ γάρ, « Τίς σοφὸς καὶ συνήσει ταῦτα; ἢ συνετὸς καὶ ἐπιγνώσεται D αὐτά; διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς. » Προδήλων γὰρ καὶ προφανῶν ὑπαρχόντων τῶν σωστικῶν ἐπιτηδευμάτων καὶ κατὰ λόγον καὶ κατὰ πρᾶξιν, ὡς ἔμπαλιν τῶν πρὸς ἀπώλειαν συνωθούντων τῆς ματαιότητος σπουδασμάτων· ὁρῶντες οἱ φιλόκαλοι καὶ θεοσεβεῖς τὸν πολὺν ἄνθρωπον καταφρονοῦντα μὲν τῶν κρειττόνων, ἀνθαιρούμενον δὲ

Ecquis igitur homo invenietur hac appellatione dignus, qui tempore sibi ad deliberandum sumpto, iisque perpensis, quæ deceant, quæque prosint, consilium sequatur, et quæ vera et justa sunt, in iis se exerceat? Hoc vero idem et Oseas propheta in vaticinii sui fine velut animi pendens expressit; ait enim : « Quis sapiens et intelliget ea? aut intelligens et cognoscet ea? propterea rectæ viæ Domini, et justi ambulabunt in eis : impii vero infirmabuntur in ipsis (78). » Cum enim perspicuum manifestumque sit et ex dictis **50** et ex factis, exercitationes illas salutares esse, atque e contrario vanitatis studia ad perniciem compellere; hinc probitatis pietatisque cultores, qui plerosque hominum meliora negligere, et pejorum possessioni

(77) Unde hæc sententia desumpta sit, invenire non potui. Haustam quidem Gregorius sacris e Bibliis significare videtur, sed in exemplaribus, quæ exstant, nullum vestigium est.

(78) Oseæ XIV, 9; at LXX habent ὅτι pro διότι εὐθεῖαι...

Digitized by Google

inhiare videant, quodam quasi stupore oppressi, « Quis est homo, exclamant, qui ingredietur post consilium? » et : « Quis sapiens, et intelliget ea? » Atque hunc hominem, quod ea in se uno complexus sit, quæ beatitudinis propria sunt, beatum denominant. Addit deinde Ecclesiastes : A τῶν χειρόνων τὴν κτῆσιν, κἀντεῦθεν ὡς ἐν ἀμηχανίᾳ γενόμενοι, τὸ, « Τίς ἄνθρωπος, φασὶν, ὃς ἐλεύσεται ὀπίσω τῆς βουλῆς; » καὶ, « Τίς σοφὸς συνήσει ταῦτα; » μακάριον τὸν τοιοῦτον ὡς τὰ τῆς μακαριότητος ἐκδεξάμενον ὀνομάζοντες. Εἶτά φησιν ὁ Ἐκκλησιαστής

§ V.

VERS. 14. *Sapientis oculi in capite ejus : et stultus in tenebris ambulat* (79).

Sapientia modo stultitiæ opposita, et prudentia, uti jam diximus, eo nomine designata, utramque inter se comparavit. Quanquam prudentiæ ea cum B sit excellentia atque bonitas, quacum institui comparatio nulla possit, nostra quoque opinio est, non tam comparationem hanc esse, quam rerum disjunctissimarum oppositionem : quemadmodum lux etiam et tenebræ magno utique discrimine opponuntur. Nam cum ait, qualis sit lucis copia præ tenebris, talem esse in sapientia præstantiam supra stultitiam, ita rem enuntiavit, ut non alteram cum altera conferret, sed summam utriusque oppositionem demonstraret (80). Enimvero his prolatis, eos jam aggreditur, qui nomen inde ducunt, a sapientia sapientem, a stultitia stultum, palamque contendit, sapienti quidem oculos in capite esse, at stultum et oculis et omni videndi facultate ita carere, ut perpetuis in tenebris versetur, in iis nempe, quæ a peccato sunt. C

At cur tandem hoc ille profert, et quasi cognitione dignum proponit? cum omnes homines ipsaque animantia, quæ hominis causa sunt condita, oculorum aciem in capite præ se ferant. Nam de quinque **51** illis sensibus, qui a rerum omnium auctore animantibus tributi sunt, quatuor manifesto caput ostentat, visum nempe et auditum et olfactum et gustum, ut nemo ignorat. Quod igitur omnes æque sciunt, quid, inquam, Ecclesiastes quasi præcipuum aliquid ac peregrinum proponit? Verum plane liquet, potiores rationalis intelligentisque animi hominis potentias ab eo esse oculos sapientis appellatos; quippe hi sunt, qui naturam cujusque rei dispiciunt atque intuentur. Nec vero D eos habet stultus, qui prudentiam voluntaria privatione amisit. Itaque nec mentem acriter intendens, ad eorum, quæ subjecta sunt, cognitionem, aut ad eorum, quæ edoctus fuit, intelligentiam adhibet; et nulla ratiocinandi verique inveniendi exercitatione exultus, ipsam intelligendi facultatem quo pacto expromat, non tenet (81).

Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν κεφαλῇ αὐτοῦ· καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται.

Προσεχῶς ἀντιπαραθεὶς τῇ σοφίᾳ τὴν ἀφροσύνην, διὰ τῆς σοφίας σημαίνων τὴν φρόνησιν, ὡς ἔφθημεν εἰπόντες, καὶ συγκρίνας ἑκάτερα. Καίτοιγε τῆς φρονήσεως ἀσύγκριτον τὴν πρὸς τὸ κρεῖττον ἐχούσης ὑπεροχήν· ὡς καὶ ἡμᾶς ὑπειληφέναι μὴ σύγκρισιν εἶναι τὸ εἰρημένον, ἀλλὰ τῶν ἄκρως ἐναντίων ἀντιπαράθεσιν, καθὼς πρὸς ἄλληλα πέφυκε τὸ φῶς δηλαδὴ καὶ τὸ σκότος. Εἰπὼν γὰρ, ὡς « Περίσσεια τοῦ φωτὸς ὑπὲρ τὸ σκότος, » οὕτως εἶναι περίσσειαν ὑπὲρ τὴν ἀφροσύνην τὴν σοφίαν κατήγγειλεν, οὐ συγκρίνων ἑκατέραν πρὸς ἑκατέραν, ἀλλὰ τὴν ἄκραν αὐτῶν ἐναντίωσιν ἐντεῦθεν διασημαίνων. Ταῦτα τοίνυν εἰπὼν νῦν ἀμέσως παραλαμβάνει τοὺς παρωνύμως ὀνομασθέντας, τὸν μὲν σοφὸν ἐκ τῆς σοφίας, ἀπὸ δὲ τῆς ἀφροσύνης τὸν ἄφρονα, καὶ καταγγέλλει καὶ διατείνεται τὸν μὲν σοφὸν ἐν τῇ κεφαλῇ τοὺς ὀφθαλμοὺς ἔχειν, τὸν ἄφρονα δὲ μηδαμῶς· ἀλλ' ὡς ἀόμματον καὶ πάσης ἀπεστερημένον ὁρατικῆς ὄψεως, ἐν τῷ σκότει πορεύεσθαι, δηλονότι τῆς ἁμαρτίας.

Τί δήποτε δὲ τοῦτό φησι καὶ τίθησιν ὡς ἄξιον διαγνώσεως; πάντων ἀνθρώπων ἐχόντων ἐν τῇ κεφαλῇ τὰς ὄψεις τῶν ὀφθαλμῶν, ἔτι καὶ τῶν ἄλλων ζώων τῶν πεφυκότων παρὰ τὸν ἄνθρωπον. Πέντε γὰρ οὐσῶν ἀφορισθεισῶν παρὰ τοῦ Δημιουργοῦ τοῖς ζώοις αἰσθήσεων, τὰς τέσσαρας ἡ κεφαλὴ σαφῶς ἐπιφέρεται, τήν τε ὁρατικὴν δηλονότι καὶ τὴν ἀκουστικὴν καὶ τὴν ὀσφραντικὴν καὶ τὴν γευστικὴν, ὡς ἔστιν εὔδηλον πᾶσιν. Ὅ τοίνυν ἴσασι πάντες ἐξ ἴσου, τί δήποτε τίθησιν ὁ Ἐκκλησιαστὴς ὡς ἐξαίρετόν τι καὶ ξένον; Ἀλλὰ πρόδηλόν ἐστι καὶ καταφανὲς, ὡς τὰς κυριωτέρας δυνάμεις τῆς λογικῆς καὶ νοερᾶς ψυχῆς τοῦ ἀνθρώπου, τὸν νοῦν δηλονότι καὶ τὴν διάνοιαν ὀφθαλμοὺς τοῦ σοφοῦ προσηγόρευσεν, ἅτε διορατικῶν καὶ προβλεπτικῶν τῆς ἑφ' ἑκάστῳ φύσεως τῶν πραγμάτων προδήλως ὄντων· οὓς ὁ ἄφρων οὐκ ἔχει, τὴν στέρησιν πεπονθὼς ἑκούσιος τῆς φρονήσεως, καὶ διὰ τοῦτο μηδὲ τὸν νοῦν ὀξυδορκοῦντα καὶ πρὸς τὴν διάγνωσιν τῶν ὑποκειμένων ἀμέσως ἐπιβάλλοντα, καὶ τὴν τῶν δεδεγμένων κατάληψιν· οὔτε μὴν τὴν διάνοιαν ἀπὸ τῆς τοῦ νοῦ θεωρίας συλλογιζομένην, καὶ τῆς ἀληθείας τὴν διάγνωσιν ἐξευρίσκουσαν.

(79) LXX habent, Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ....

(80) Gregorio Neocæsariensi astipulari videtur, qui presse, ut solet, locutus, sententiam eamdem verbis conclusit perpaucis : ait enim : Φρονήσεως γὰρ καὶ ἀφροσύνης πολὺ τὸ μέσον, διαφορὰ δὲ ἀμφοῖν τοσαύτη, ὅσπερ ἡμέρας πρὸς νύκτα. Id est, *Prudentia enim et dementia magno intervallo disjunctæ sunt, nec minus inter utramque est discrimi-nis, quam inter diem et noctem.* (In *Metaph. Eccl.*)

(81) Nihil ab his discrepat Basilii Neocæsariensis interpretatio, cui *sapientis oculi* sunt προορατικὴν καὶ περιεσκεμμένον τὸ κρυπτὸν τοῦ σοφοῦ, sive *providentia circumspectioque occulta sapientis.* (Homil. in ps. XXXIII.) At Chrysostomus de studio potius rerum cœlestium, quo sapiens flagrat, accipere malnit : sic enim dictum explicat : Τουτέστι, τῶν κάτω πάντων ἀπήλλακται, καὶ οὐρανοπολεῖ, καὶ με-

Digitized by Google

Παραδόξως οὖν τὸ παρὸν ῥητὸν διεμόρφωσε καὶ διεσχημάτισεν ὁ σοφὸς Ἐκκλησιαστής, εἰπών, « Τοῦ σοφοῦ ὁ ὀφθαλμοὶ ἐν κεφαλῇ αὐτοῦ, » τοὺς νοητοὺς ὀφθαλμοὺς δηλαδὴ φάσκων, ὡς ἔφθημεν εἰπόντες, οὓς οὐ μόνον τὰ λοιπὰ τῶν ἀλόγων ζώων οὐκ ἔχουσιν, ἀλλ' οὐδ' οἱ πλεῖστοι τῶν ἀνθρώπων, ὡς αὐθαιρέτως μύσαντες αὐτοὺς, καὶ πρὸς τὰς ὁδοὺς τῆς ἀπωλείας παρασυρέντες. Μόνοι δὲ σαφῶς ἔχουσιν οἱ σοφοὶ τῆς ἄνωθεν ἠξιωμένοι σοφίας, δι' ἧς τὴν φυσικὴν φρόνησιν ἀλώβητον διεφύλαξαν· ὡς καὶ δι' αὐτὸ τοῦτο καλεῖσθαι σοφοὶ, διὰ τὸ σοφῶς πολιτεύεσθαι καὶ ζῆν, καὶ μηδαμῶς προσκόπτειν ἐν ταῖς πορείαις αὐτῶν· καθὼς τοὺς τοιούτους αἰνιττόμενος Κύριος ἔφησε, « Πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ εἰσιν εἰργασμένα. » Ὁ τοίνυν τοὺς τοιούτους ὀφθαλμοὺς καθαροὺς ἔχων ἀπὸ πάσης ἐμπαθοῦς λήμης, ἀκυμάντως τὴν εὐρύχωρον ταύτην τοῦ βίου καὶ μεγάλην θάλασσαν διαπλέει, μήτε ταῖς εὐθηνίαις τοῦ βίου καὶ ταῖς εὐημερίαις καὶ ταῖς ἀνθρωπίναις εὐφημίαις καὶ τιμαῖς καὶ δόξαις ὑπεραιρόμενος καὶ καταφρυαττόμενος τῶν πλησίον, μήτε ταῖς δυστυχίαις καὶ ταῖς τῶν δεόντων ἀποστερήσεσι καὶ ταῖς δυσφημίαις καὶ τοῖς ὀνειδισμοῖς καὶ φαυλισμοῖς τῶν ἀνθρώπων ἡττώμενος, καὶ πρὸς τὰ μηδαμῶς ἀνδάνοντα τῷ Θεῷ καθελκόμενος· ἀλλ' ὁ αὐτὸς διαμένων καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως διατιθέμενος ἐν ταῖς τῶν ἀντικειμένων συμβάσεσιν, ἅτε δὴ τοὺς νοεροὺς ὀφθαλμοὺς ἀνατεινομένους ἔχων ἀεὶ πρὸς τὸν τῆς δόξης ἥλιον, καὶ ταῖς ἐκεῖθεν αἴγλαις καταυγαζομένους καὶ σοφῶς τὴν ζωὴν τοῦ σοφοῦ διιθύνοντας.

Εἰ δέ τις βουληθείη τὸ ῥητὸν ἐξειληφέναι καὶ κατ' ἄλλην ἐκδοχὴν, γλαφυροτέραν εἶναι δοκοῦσαν, οὐχ ἁμαρτήσει τῆς ἀληθείας. Εἰ γὰρ κεφαλὴ μέν ἐστι τῆς Ἐκκλησίας ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, κατὰ τὸν μέγαν Ἀπόστολον, ἔχει δέ τις ἐπ' αὐτὸν καὶ τοὺς νοητοὺς καὶ τοὺς αἰσθητοὺς ὀφθαλμοὺς διαπαντὸς ἀφορῶντας καὶ τὴν παρ' αὐτοῦ ζητοῦντας ὁδηγίαν καὶ βοήθειαν καὶ συντήρησιν· ὑπέρτερος γίνεται τῶν κοσμικῶν πειρατηρίων καὶ τῶν πολυπλόκων τοῦ διαβόλου μηχανημάτων, καὶ τὰ σκῶλα καὶ προσκόμματα παραβλέπει καὶ παρορᾷ τῆς ἀνθρωπίνης ζωῆς, ὡς ἐπ' ἀσφαλοῦς καὶ βεβαίας ἀγκύρας ἐρηρεισμένος τῆς πρὸς τὴν ἰδίαν κεφαλὴν ἀγάπης καὶ ἐλπίδος καὶ πίστεως. Ὁ δὲ ἄφρων ἐν τῷ σκότει

A Quare effatum hoc, « Sapientis oculi in capite ejus, » tanquam paradoxum aliquod sapiens Ecclesiastes expressit aptavitque, oculos scilicet mentis significans, uti superius diximus, quos non solum cætera animantia rationis expertia, sed plerique etiam hominum non habent, cum in vias interitus pertracti, ultro ipsi claudant : at uni sine dubio ii habent sapientes, quibus data divinitus sapientia est, cujus ope naturalem prudentiam illæsam servaverunt; hac ipsa de causa sapientes nuncupati, quod ævum suum sapienter agentes, nusquam in vitæ curriculo impingant. Quo pertinent quæ de hujusmodi hominibus dixit Dominus : « Omnis, qui male agit, odit lucem, et non venit ad lucem, ut non arguantur opera ejus : qui autem facit veritatem, venit ad lucem, ut manifestentur opera ejus, B quia in Deo sunt facta [33]. Ergo tales oculos qui habet, puros nempe atque ab omni cupiditatum lippitudine immunes, is vastum istud et ingens vitæ pelagus placide enavigat : non vitæ commodis et rerum prosperitate, non **52** populi favore aut honoribus aut gloria elatus sibi proximos despicit : calamitates idem, inopiam, obtrectationes, convicia, nequitiam hominum forti animo sustinet, nec ad ea se adduci patitur, quæ Deo displicent : sibi nempe perpetuo constans, et æque adversarum rerum eventibus par; quippe qui mentis oculos in sole gloriæ semper defixos habeat, et radios inde hauriat, quibus sapientis vita illustratur, sapienterque dirigitur.

C Quod si quis effatum hoc in aliam sententiam, quæ elegantior videatur, accipere voluerit, non is a veritate aberraverit. Cum enim, ut magnus Apostolus docuit [33], Christus Deus noster caput Ecclesiæ sit, si quis et mentis et corporis oculos in eum semper habeat intentos, quibus ab eo vitæ normam et auxilium et conservationem requirat; mundana is pericula et dolosas diaboli artes eludit, et offendicula atque impedimenta humanæ vitæ despicatui habet, tanquam stabili solidaque anchora firmatus, anchora utique charitatis et spei et fidei erga caput suum (82). At vero stultus in tenebras detrusus incredulitatis suæ, cum ad veram mundi lucem et ad justitiæ solem oculos, quibus

[33] Joan. III, 20. [33] Ephes. V, 23.

τέωρα φαντάζεται : *Id est, liberatus est* (sapiens) *ab omnibus infimis rebus, per cœlum vagatur, et contemplatur sublimia.* (Expos. in ps. CXX, 1.)

(82) Hæc noster a Nysseno mutuatus videtur; ait enim ille : Εἰ δὲ γνωρίσασα (τῆς ψυχῆς δύναμις) τῶν ὑποκειμένων τὸ μάταιον, ἀναγάγοι τὰς ὄψεις ἐπὶ τὴν ἑαυτῆς κεφαλήν, ἥτις ἐστὶν ὁ Χριστὸς, καθὼς διερμηνεύει ὁ Παῦλος, μακαριστὴ ἂν γένοιτο τῆς ὀξυωπίας, ἐκεῖ ἔχουσα τοὺς ὀφθαλμοὺς, ὅπου οὐκ ἔστιν ἡ τοῦ κακοῦ ἐπισκότησις. Παῦλος ὁ μέγας, καὶ εἴ τινες ἄλλοι κατ' ἐκεῖνον μεγάλοι, ἐν τῇ κεφαλῇ τοὺς ὀφθαλμοὺς εἶχον, καὶ πάντες οἱ ἐν Χριστῷ ζῶντες καὶ κινούμενοι καὶ ὄντες. Ὡς ἂν οὐκ ἔστι τὸν ἐν φωτὶ ὄντα σκότος ἰδεῖν, οὕτως οὐκ ἔστι τὸν ἐν τῷ D Χριστῷ τὸν ὀφθαλμὸν ἔχοντα, πρός τι τῶν ματαίων ἐνατενίσαι. Id est : *Sin autem objectarum rerum vanitate cognita (vis animi) sustulerit oculos ad caput suum, quod est Christus, sicut interpretatur Paulus, beatissima ob acrem oculorum aciem censenda fuerit, cum ibi oculos habeat, ubi mali non est obscuritas. Magnus ille Paulus, et si qui sunt alii, sicut ille, magni, oculos habebant in capite, habentque omnes, qui vivunt et moventur et sunt in Christo. Quemadmodum nempe fieri non potest, ut is, qui in luce versetur, videat tenebras; ita non potest fieri, ut qui oculum in Christo habet, eumdem in rem ullam vanam defigat.* (Hom. 5 in Eccl.)

Digitized by Google

respiciat, non habeat, neque in honorum ac divitiarum lætitia aut in magnificentia et dominatione, neque in illis, quæ contraria his sunt, utiliter se gerit : imo in utraque conditione æstu fertur, obruentium fluctuum procellis et tempestatibus in abyssum actus errorum et flagitiorum. Atque hac de causa sapiens Ecclesiastes subjecit protinus :

A καθειργμένος τῆς ἀπιστίας, οὐκ ἔχων ὀφθαλμοὺς ἀποβλέποντας πρὸς τὸ τοῦ κόσμου φῶς ἀληθινὸν καὶ τῆς δικαιοσύνης τὸν ἥλιον, οὔτε τὰ ἔνδοξα καὶ περιχαρῆ τοῦ πλούτου καὶ τῆς κοσμικῆς λαμπρότητος καὶ καταδυναστείας, οὔτε τὰ τούτοις ἐναντία διατίθησι συμφερόντως · ἀλλ' ἐφ' ἑκατέροις συμβάμασι κλύδωνα πάσχει καὶ σάλον καὶ τρικυμίας καὶ καταιγίδας τὰς καταβαπτιζούσας αὐτὸν καὶ παραπεμπούσας εἰς τὴν ἄβυσσον τῆς ἁμαρτίας καὶ πονηροπραξίας. Ἀμέλει τοίνυν ὁ σοφὸς Ἐκκλησιαστὴς ἀμέσως ἐπήγαγε ·

§ VI.

53 Vers. 15. *Et cognovi etiam ego, quia eventus unus omnibus eveniet ; et dixi ego in corde meo : Sicut eventus stulti, ita et mihi eveniet : et ut quid sapiens factus sum ego? tunc abundanter locutus sum in corde meo ; quoniam stultus ex abundantia loquitur : quia hoc item vanitas* (83).

Καὶ ἔγνων καί γε ἐγώ, ὅτι ἓν συνάντημα τοῖς πᾶσιν ἀνθρώποις συναντήσεται · καὶ εἶπον ἐγὼ ἐν καρδίᾳ μου· Ὡς συνάντημα τοῦ ἄφρονος καὶ γε ἐμοὶ συναντήσεται · καὶ ἵνα τί ἐσοφισάμην ἐγώ ; τότε περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου · διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ · ὅτι καὶ γε τοῦτο ματαιότης.

B

Descriptis definitisque sapientis oculis, et tanta huic ad potiorum delectum cognitione attributa, quanta lucis præ tenebris præstantia est ; jam fore prævidit, ut quæstiones exorirentur repugnantium, qui rogarent, quonam modo fieri possit, uti lux melior est tenebris, ita stulto meliorem esse sapientem, cum tamen qui stulto eventus accidunt, iidem sapientem etiam intercipiant? Videmus enim, quemadmodum stultum, sic et sapientem succumbere morbis atque inopiæ, ac sæpe vel necessariis carere, et ab extraneis spoliari, et cæteras hujus vitæ vicissitudines subire. Quidni igitur quos eædem in vita aggressiones premunt, eædemque C plane ærumnæ ac necessitates undique urgent, eodem eos numero habuisti, nec de his cum ageres, parem utrique laudem aut vituperationem es impartitus? Imo vero, quantum rerum maxime inter se pugnantium, lucis scilicet ac tenebrarum est, tantum sapientis et stulti discrimen esse dictitasti? Nam eadem certe utrique contingunt : atque adeo quo pacto demonstras, sapientis, cum stulto comparatur, in rerum meliorum præsumptione eamdem esse præstantiam, atque eam, quam præ tenebris in luce esse statuisti? Hac igitur de causa sapiens Ecclesiastes, tanquam providentissimus aliquis medicus, antevertit, et his, qui ægris sunt sensibus, et cogitatione verbisque impudentius efferuntur, salubre propinat poculum ; ait enim : « Et D cognovi etiam, quia eventus unus his omnibus eveniet ; et dixi in corde meo : Sicut eventus stulti, ita et mihi eveniet : et ut quid sapiens factus sum ego? » Quibus verbis in se ipso plerosque hominum describit, qui minime **54** quæ sapientis quæque stulti verba et facta sint, distinguunt, et de utroque ex iis tantum judicant, quæ extrinsecus nobis et præter voluntatem contingunt.

Καθυπογράψας καὶ διορισάμενος τοὺς ὀφθαλμοὺς τοῦ σοφοῦ, καὶ τοσαύτην αὐτῷ τὴν πρὸς τὸ κρεῖττον ὑπόληψιν ἀποδοὺς, ὅσην ἔχει πρὸς τὸ σκότος τὸ φῶς, εἶτα προϋπειδόμενος ἀνακαλυπτούσας ἀντιῤῥήσεις τῶν λόγων καὶ μαχομένας καὶ λεγούσας, Πῶς οἷόν τέ ἐστιν, ὥσπερ ἐστὶ βέλτιον τοῦ σκότους τὸ φῶς, οὕτως εἶναι κρεῖττονα καὶ τοῦ ἄφρονος τὸν σοφὸν, ἐπ' ἂν αἱ συμπίπτουσαι συμβάσεις τῷ ἄφρονι καὶ τοῦ σοφοῦ διειλήφασιν ; εὑρίσκεται γὰρ ὡς ἄφρων, οὕτω καὶ ὁ σοφὸς κεκρατημένος ἐν νόσοις καὶ πενίαις καὶ καθυστερήσεσι τῶν ἀναγκαίων πολλάκις καὶ ταῖς ἐξ ἀλλοφύλων ἀπαγωγαῖς καὶ ταῖς ἄλλαις ἀνωμαλίαις τῆς παρούσης ζωῆς. Πῶς οὖν τοὺς τοῖς αὐτοῖς βιωτικοῖς πειρατηρίοις κατισχημένους, καὶ ταῖς ἴσαις καὶ ταῖς αὐταῖς θλίψεσι καὶ περιστατικαῖς ἀνάγκαις συνεχομένους, οὐχὶ καὶ ταῖς αὐταῖς ὑπολήψεσι καθυπέβαλες, καὶ τῆς ἴσης εὐφημίας ἢ δυσφημίας τοῖς λόγοις διωρίσω καὶ καθυπέγραψας, ἀλλ' ὡς τῶν ἄκρων ἐναντίων, τοῦ φωτὸς δηλαδὴ καὶ τοῦ σκότους, οὕτω καὶ τοῦ σοφοῦ καὶ τοῦ ἄφρονος κατήγγειλας τὴν διαφοράν ; Καὶ μὴν τὰ αὐτὰ συμβαίνει τοῖς ἀμφοτέροις. Εἰ δὲ τοῦτο, πῶς ἀπεφήνω τοσαύτην ὑπεροχὴν εἶναι πρὸς τὸν ἄφρονα τοῦ σοφοῦ κατὰ τὰς ὑπολήψεις τὰς κρείττους, ὅσην ὑπείληφας τοῦ φωτὸς πρὸς τὸ σκότος ; Διὰ τοῦτο τοίνυν οἷόν τις προμηθέστατος ἰατρὸς ὁ σοφὸς Ἐκκλησιαστὴς προφθάνει καὶ δίδωσι τὴν ἀλεξίκακον κύλικα τοῖς τὰ τῆς ψυχῆς αἰσθητήρια πάσχουσι, καὶ διενθυμουμένοις καὶ φάσκουσιν, ἃ μὴ προσῆκε. Φησὶ γάρ · « Καὶ ἔγνων καί γε ὅτι συνάντημα ἐν τοῖς πᾶσιν αὐτοῖς συναντήσεται · καὶ εἶπον ἐν καρδίᾳ μου, Ὡς συνάντημα τοῦ ἄφρονος καί γε ἐμοὶ συναντήσεται · καὶ ἵνα τί ἐσοφισάμην ἐγώ ; » τὸν πολὺν ἄνθρωπον ἐν ἑαυτῷ καθυπογράφων, μήτε μὴν διαστέλλοντα ποίοις ὁ σοφὸς καὶ ποίοις ὁ ἄφρων χαρακτηρίζεται λόγοις καὶ ἔργοις, ἵνα δὴ καὶ μόνοις τοῖς ἐφ' ἡμῖν καὶ τοῖς παρὰ προαίρεσιν συμβάμασι καὶ συμπτώμασιν.

(83) Verum ex his quædam apud LXX ordine variant, quædam desunt : sic enim Vulgata se habent : Καὶ ἔγνων καί γε ἐγὼ, ὅτι συνάντημα ἓν συναντήσεται τοῖς πᾶσιν αὐτοῖς. Καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μου· Ὡς συνάντημα τοῦ ἄφρονος καί γε ἐμοὶ συναντήσεταί μοι, καὶ ἵνα τί ἐσοφισάμην ἐγὼ ; Περισσὸν ἐλάλησα ἐν καρδίᾳ μου, ὅτι καί γε τοῦτο ματαιότης, διότι ὁ ἄφρων ἐκ περισσεύματος λαλεῖ.

Digitized by Google

Ὁ μὲν γὰρ φρόνιμος καὶ σοφὸς πάντων τῶν ἐφ' ἡμῖν τὰ κρείττω καὶ λυσιτελῆ καὶ σωστικὰ προκρίνων καὶ διαιρούμενος δρᾷν, τὰ κατ' ἐναντίωσιν ἀντικείμενα πόρρω τῆς ἰδίας ἐξορίζει καὶ παραπέμπει ζωῆς. Οἷον τὴν ἀλήθειαν, τὴν δικαιοσύνην, τὴν ἐπιείκειαν, τὴν πραότητα, τὴν ἀοργησίαν, τὴν ἐλεημοσύνην, καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην, καὶ τῶν ἄλλων ἀρετῶν τὸν κατάλογον, καὶ πολλῷ δὲ πρώην τὴν πρὸς τὸν ἴδιον ποιητὴν καὶ Θεὸν καὶ δεσπότην εἰλικρινῆ πίστιν καὶ βεβαίαν ἐλπίδα προτιμώμενος καὶ φυλάττων, τῶν ἀντικειμένων τούτοις τὰς διαθέσεις καὶ πράξεις φευκτὰς ἡγεῖται καὶ στυγητάς. Ὁ ἄφρων δὲ πάντα τὰ τῷ σοφῷ φευκτὰ καὶ στυγητὰ λελογισμένα, παρὰ τὸν πρέποντα σκοπὸν καὶ τὸν ὅρον καὶ λόγον τῆς φρονήσεως καὶ σοφίας αἱρετώτερα μᾶλλον ἡγούμενος, καὶ τούτοις ἐνασχολούμενος καὶ θητεύων, ἀποστρέφεται καὶ φεύγει τῶν εὐρεθέντων τῷ σοφῷ λυσιτελῶν καὶ σωστικῶν τὴν αἵρεσιν καὶ τὴν πρᾶξιν. Ἐν τοῖς τοιούτοις οὖν ὁ σοφὸς χαρακτηρίζεται καὶ ὁ ἄφρων, ἀλλ' οὐκ ἐν τῷ ὑγιαίνειν ἢ νοσηλεύεσθαι, καὶ πλουτεῖν ἢ πενητεύειν, καὶ τῶν προσόντων πάσχειν τὴν στέρησιν· καὶ τῶν ἄλλων τῆς ἀνθρωπίνης εὐετηρίας καὶ πολυτελείας εἰδῶν δέχεσθαι τὰς συμβάσεις, ἢ τὸ ἔμπαλιν θλίψεων καὶ κακώσεων καὶ τῶν βιωτικῶν πειρατηρίων ἀμέτοχον εὑρίσκεσθαι παντελῶς καὶ καθύπερθεν.

Ταῦτα γὰρ τῶν οὐκ ἐφ' ἡμῖν ὄντων, κατὰ τὴν ἐν τῷ παρόντι βίῳ συγκεχωρημένην ἀνωμαλίαν, ἑκατέρῳ συμβαίνουσιν ἐξ ἴσου πολλάκις, κἂν οὐχ ἑκάτερος ὁμοίως μεταχειρίζηται τὰς τοιαύτας συμβάσεις. Ὁ γὰρ σοφὸς καὶ τὰς ὑγείας καὶ τὰς νόσους, καὶ τὸν πλοῦτον καὶ τὴν πενίαν, καὶ τὴν τιμὴν καὶ τὴν ἀτιμίαν, καὶ τὴν δόξαν καὶ τὴν ἀδοξίαν, καὶ τὰς ἐπιδρομὰς καὶ δηϊώσεις καὶ λεηλασίας τῶν ἀλλοφύλων, καὶ τὰς ἐπαγωγὰς καὶ τοὺς ἐμπρησμοὺς καὶ σεισμούς, καὶ τῆς ζωῆς τὴν εἰρηναίαν κατάστασιν, διὰ τῆς προσούσης αὐτῷ φρονήσεως καὶ σοφίας πρὸς τὸ ἄμεινον καὶ λυσιτελέστερον διατίθησιν, ἐν πᾶσιν εὐχαριστῶν τῷ Θεῷ τῷ πάντα σοφῶς οἰκονομοῦντι καὶ συμφερόντως, καὶ προσκαρτερῶν τοῖς δεινοῖς καὶ τοῖς λυπηροῖς, καὶ διὰ τῆς ὑπομονῆς ἀθλητικῷ στεφάνῳ κατακοσμούμενος. Οὔτε γὰρ ἐν ταῖς συμβάσεσι τῶν δοκούντων περιχαρῶν καὶ κρειττόνων ὑπεραίρεται καὶ διακέχυται τὴν ψυχήν, καὶ ῥᾳστώναις ἐκδίδωσιν, οὔτε ταῖς τῶν ἀνιώντων καὶ λυπούντων συναντήσεσιν ἡττᾶται καὶ κατακάμπτεται, καὶ τὸν ἡγεμόνα νοῦν εἰς ἀγεννεῖς ἐκτραπῆναι διενθυμήσεις ἀφίησιν. Ὁ δὲ ἄφρων μηδαμῶς ἔχων τὴν διακριτικὴν τῆς φρονήσεως ἐπιστήμην, ἐπὶ πάσαις ταῖς τοιαύταις συμβάσεσιν αὔξει τὰς ἀλγηδόνας καὶ πολλαπλασίους ἑαυτῷ δίδωσι τὰς θλιπτικὰς περιστάσεις διὰ τῆς ἀνυπομονησίας καὶ τῆς δυσφημίας καὶ τῆς ἀνελπιστίας.

Πῶς οὖν οὐκ ἐν πᾶσι καὶ τοῖς ἐφ' ἡμῖν καὶ τοῖς οὐκ ἐφ' ἡμῖν τὸ καθ' ὑπεροχὴν τὴν πρὸς τὸ κρεῖττον εὕρηται τῷ σοφῷ καὶ φρονίμῳ διάφορον ὑπὲρ τὸν ἄφρονα τὸν κἀν τοῖς ἐφ' ἡμῖν καὶ τοῖς οὐκ ἐφ' ἡμῖν φαύλως διακείμενον καὶ διάττοντα τῇ ζοφώσει τῆς

A Nam prudens quidem sapiensque ex iis, quæ in potestate nostra sita sunt, præstantissima quæque et utilia et salubria præoptat, sibique ad agendum comparat; cætera, quæ his adversantur, procul a vita sua eliminat atque depellit. Veritatem nimirum amplectitur, justitiam, mansuetudinem, clementiam, comitatem, misericordiam, charitatem erga proximos, cæterarum virtutum seriem: maxime vero sinceram erga Deum et Dominum conditorem suum fidem firmamque spem antefert atque tuetur: quæque oppositarum rerum curæ occupationesque sunt, eas fuga odioque dignas existimat. At vero stultus, quæcunque sapiens fugienda odioque habenda censet, præpostere omnia et contra prudentiæ sapientiæque rationes eligenda sibi præ cæteris arbitratur, in his se exercet, his servilem in modum operam navat: quæ sapiens salubria sibi atque utilia vel delectus causa vel occupationis invenit, ea aversatur ac fugit. Porro in his sapiens ac stultus se produnt, non si bene valeant aut morbo tententur, non si divites sint aut pauperes, vel partas opes amittant: non si cæteris humanæ prosperitatis et opulentiæ bonis potiantur, aut e contrario calamitates, ærumnas, reliqua vitæ pericula sic effugiant, nihil ut sensisse, nihil succubuisse videantur.

B

Nam hæc, ut alia, quæ in potestate nostra minime sunt, quantum concessa viventibus inæqualitas patitur, utrique sæpe contingunt æqualiter: C etsi iisdem in eventis haud eodem modo uterque se gerit. Nam sapiens bonam valetudinem et adversam, divitias et paupertatem, honorem et ignominiam, gloriam et infamiam, tum incursiones, vastationes, rapinas extraneorum, et hostiles impetus, incendia, terræ motus, nec minus peccata tranquillaque vitæ tempora ita duce sapientia prudentiaque complectitur, ut melior ipse fiat, et fructum aliquem capiat utilitatis: cum et Deo, quicunque sit rerum status, gratias agat sapienter omnia et utiliter gubernanti, et adversa ac tristia sic ferat, ut certaminis coronam **55** patientia adipiscatur. Neque enim vel in eventis eorum, quæ valde læta et potiora videntur, supra modum elatus, lætitiæ nimium indulget, animumque remittit; D vel ingruentium curarum et molestiarum moli succumbit oppressus, et principantem animum ad ignobiles cogitationes converti patitur. At stultus contra, cui prudentiæ scientia ad dijudicandum deest, quæcunque illi contingant hujusmodi, dolores auget, plurimasque ipse sibi ægritudinis nectit causas, impotentiæ, maledictioni, desperationi obnoxius.

Quomodo igitur, sive ea spectes, quæ nostra in potestate sunt, sive ea, quæ extrinseens obveniunt, non tibi in potiorum studio sapiens prudensque longe stulto præstare videatur, qui et in his, quæ a nobis pendent, et in reliquis omnibus improbe

Digitized by Google

affectus, in peccati caligine insanit? Enimvero sapiens Ecclesiastes, quo maturius ratiocinationes eorum sermonesque inhiberet atque refelleret, quos, ut ipse in semet expressit, talia opinaturos videbat, verba illa usurpantes : « Et dixi ego in corde meo : Sicut eventus stulti ita et mihi eveniet : et ut quid sapiens factus sum ego ? » simul ut aperte ostenderet, se contra fas ac temere locutum, adjecit protinus : « Tunc abundanter locutus sum ego in corde meo. » Tunc, inquit ; quandonam ? Eo nempe tempore, quo tales in cogitationes devenit, interiori sermone superflua, vana, a veritate aliena secum ipse meditatus atque locutus. Et quo hujusmodi cogitationes insignius notaret, subjecit statim : « Quoniam stultus ex abundantia loquitur ; et hoc item vanitas (84). »

Si ergo stultum esse pronuntiat, qui talia animo volvat, et vanitatem vocat **56** temerarium istum cogitatarum rerum motum, liquet jam, eo hæc animo ab eo prolata, ut vulgares illas et insanas plerorumque hominum altercationes compesceret. Interpretationem vero nostram iis etiam, quæ proxime sequuntur, confirmat, cum dicat :

A ἁμαρτία ; Τοὺς τοιούτους οὖν λογισμοὺς καὶ λόγους προαναστέλλων καὶ προανασκευάζων ὁ σοφὸς Ἐκκλησιαστὴς ἐξ αὐτοῦ προσώπου τῶν τὰ τοιαῦτα μελλόντων ὑπολαμβάνειν καὶ λέγειν · « Καὶ εἶπον ἐγὼ ἐν καρδίᾳ μου, Ὡς συνάντημα τοῦ ἄφρονος, καί γε ἐμοὶ συναντήσεται · καὶ ἵνα τί ἐσοφισάμην ἐγώ ; » καὶ δεικνὺς ἐναργῶς, ὡς ἀδίκως ἔφη τοῦτο καὶ παραλόγως, ἀμέσως ἐπήγαγε · « Τότε περισσὸν ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου. » Τότε, πότε ; Δηλονότι καθ' ὃν καιρὸν εἰς τὰς τοιαύτας ἦλθε διενθυμήσεις, τῷ ἐνδιαθέτῳ λόγῳ τὰ περιττὰ καὶ μάταια, καὶ μηδεμίαν ἀληθείας ἔχοντα δύναμιν ἐνθυμηθεὶς καὶ λαλήσας. Ἐκφαντικώτερον δὲ καθιστῶν τὸν ψόγον τῶν τοιούτων ἐνθυμημάτων, ἀμέσως ἐπήγαγε · « Διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ · καί γε τοῦτο ματαιότης. »

B

Εἰ τοίνυν ἄφρονα τὸν διενθυμηθέντα τὰ τοιαῦτα προσαγορεύει, καὶ ματαιότητα καλεῖ τὴν τῶν νοηθέντων παράλογον κίνησιν, πρόδηλον, ὡς προανασειράζων τῶν πολλῶν καὶ χυδαίων καὶ παραπλήγων ἀνθρώπων τὰς ἀντιῤῥήσεις ταῦτα προεῖπε. Πιστοῦται δὲ κἀν τοῖς ἀμέσως ἑπομένοις τὴν ἡμετέραν ἐκδοχὴν οὕτω φάσκων

§ VII.

VERS. 16. *Quia non est memoria sapientis cum stulto in æternum, eo quod jam, diebus supervenientibus, omnia oblivio operuit : et quomodo morietur sapiens cum stulto* (85) ?

Hæc enim in verbis sententia latet : Bene appositeque dixi : « Quoniam stultus ex abundantia loquitur, et hoc item vanitas ; » temere enim omnino atque insipienter in ejusmodi cogitationes abit, falsas et absurdas, ut unum eumdemque esse statuat sapientis et stulti eventum. Sapientis sane memoria cum apud æquales jure quodam virtutis bonorumque studiorum proprio immortalis est, tum vero æternam apud posteros nominis claritatem habet. Nam « Memoria justi cum laudibus, » sapientissimi oraculi dictum est (86) ; ut illud alterum : « Justi in æternum vivunt, et in Domino merces eorum [34] ; » item illud : « In memoria æterna erit justus [35] ; » et hoc quoque : « Gloria et divitiæ in domo ejus, et justitia ejus manet in sæculum sæculi [36] ; » item hoc : « Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum [37]. »

Ὅτι οὐκ ἔστι μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα, καθότι ἤδη ταῖς ἡμέραις ταῖς ἐπερχομέναις τὰ πάντα ἐπελήσθη · καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος ;

C Μονονουχὶ γάρ φησι · Καλῶς καὶ προσηκόντως εἶπον · « Διότι ἄφρων ἐκ περισσεύματος λαλεῖ, ὅτι καί γε τοῦτο ματαιότης · » τῷ ὄντι γὰρ μάτην καὶ παραφρόνως ἦλθε πρὸς τὰς τοιαύτας ἐνθυμήσεις ψευδεῖς καὶ παραλόγους τὰς λεγούσας, ὡς ἔν ἐστι τοῦ σοφοῦ τὸ συνάντημα καὶ τοῦ ἄφρονος. Καὶ μὴν ἡ τοῦ σοφοῦ μνήμη διὰ τῶν προτερημάτων τῆς ἀρετῆς καὶ τῶν ἀγαθῶν σπουδασμάτων, ἐπί τε τοῖς ἐφ' ἡμῖν ἀθάνατός ἐστι, καὶ διαιωνίζουσαν ἔχει τὴν εὔκλειαν. « Μνήμη γὰρ δικαίου μετ' ἐγκωμίου, » φησί που τὸ σοφώτατον λόγιον · καὶ πάλιν · « Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν · » καὶ πάλιν · « Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος · » καὶ πάλιν, « Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰωνα τοῦ αἰῶνος · » καὶ πάλιν, « Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δι- D καιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. »

[34] Sap. v, 15. [35] Psal. cxii, 6. [36] ibid. 3. [37] ibid. 9.

(84) Multa multis in locis ab Ecclesiaste proferri ex persona hominum perditorum, qui nihil de futura vita laborant, apposite admodum et magnus Gregorius adnotavit : cujus verba semel ascripsisse haud inutile fuerit : « Hic igitur liber idcirco, inquit, Concionator dicitur, quia Salomon in eo quasi tumultuantis turbæ suscepit sensum, ut ea per inquisitionem dicat, quæ fortasse per tentationem imperita mens sentiat. Nam quot sententias quasi per inquisitionem movet, quasi tot in se personas diversorum suscipit. Sed concionator verax velut extensa manu omnium tumultus sedat, eosque ad unam sententiam revocat, cum in ejusdem libri termino ait : *Finem loquendi omnes pariter audiamus : Deum time, et mandata ejus observa, hoc est enim omnis homo.* Si enim in libro eodem per locutionem suam multorum personas non susceperat, cur ad audiendum loquendi finem secum pariter omnes admonebat ? Qui igitur in fine libri dicit, *Omnes pariter audiamus*, ipse tibi testis est, quia in se multorum personas suscipiens, quasi solus locutus non est. » (*Dial.* lib. IV, c. 4.)

(85) Leges apud LXX. καθότι ἤδη αἱ ἡμέραι ἐρχόμεναι τὰ πάντα ἐπελήσθη.....

(86) Prov. c. X, n. 7. Apud LXX scriptum est, ut ad lib. I, § 6 annotavimus, Μνήμη δικαίων μετ' ἐγκωμίων.

Digitized by Google

Περὶ δὲ τοῦ ἄφρονος ἀκουσον αὖθις τί φησιν ὁ Προφήτης· « Καὶ ἔτι ὀλίγον, καὶ μὴ ὑπάρξει ὁ ἁμαρτωλὸς, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς· » καὶ πάλιν, « Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ· » καὶ πάλιν, « Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου· καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει. » Τὴν οὖν τοσαύτην τοῦ σοφοῦ πρὸς τὸν ἄφρονα διαφορὰν γινώσκων ὁ σοφὸς Ἐκκλησιαστὴς, διατείνεται μηδαμῶς εἶναι τοῦ σοφοῦ τὴν μνήμην μετὰ τοῦ ἄφρονος· « Καθότι, φησὶ, ἤδη ταῖς ἡμέραις ταῖς ἐπερχομέναις τὰ πάντα ἐπελήσθη, » δηλαδὴ τὰ τοῦ ἄφρονος· καὶ τούτου χάριν ἐπήγαγε· « Καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τοῦ ἄφρονος; » τὸ « ἀποθανεῖται » φήσας ἀντὶ τοῦ, πῶς ἐπιλησθήσεται καὶ ὁ σοφὸς ὡς ἄφρων, μηδεμιᾶς παρακολουθούσης αὐτῷ μνήμης ἐπ' εὐκλείᾳ καὶ δόξῃ, καθὼς οὐδὲ τῷ ἄφρονι παρακολουθεῖ τὸ παράπαν. Ὁ μὲν γὰρ σοφὸς, « Εἰς μνημόσυνον αἰώνιον, » κατὰ τὸ γεγραμμένον « ἐστὶν, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ· τὰ δὲ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται, » καθὼς φησιν ὁ Προφήτης. Καὶ πάλιν, « Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων· καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. » Τὰς γὰρ πράξεις τῶν σπουδαίων τῇ διαιωνιζούσῃ γνώσει τοῦ Θεοῦ σαφῶς ἀνατίθησι, τὰς δὲ τῶν μοχθηρῶν καὶ φαύλων πρὸς ἀπώλειαν παραπέμπει.

Τοιγαροῦν μεγαλωσύνην καὶ διαιωνίζουσαν δόξαν τῷ σοφῷ προσμαρτυρήσας, τῷ δὲ ἄφρονι διὰ τῆς ὀνομασίας τοῦ θανάτου τὴν ἀνυπαρξίαν καὶ τὸν ἀφανισμὸν, ὅσον ἦκεν εἰς κλέος μνήμης, ἐμφιλοχωρεῖ τῇ στήλῃ τῶν ἀφρόνων, καὶ κατασκευάζει καὶ δείκνυσιν αὐτῶν τὴν ζωὴν στυγητὴν καὶ φευκτήν· φησὶ γάρ·

A Jam vero de stulto audi rursus, quid dicat Propheta : « Et adhuc modicum, et non erit peccator, et inquires locum ejus, et non invenies (87). » Et iterum : « Vidi impium superexaltatum et elevatum sicut cedros Libani ; et transivi, et ecce non erat : et quæsivi ipsum, et non inventus est locus ejus [38]. » Et rursum : « Periit memoria ejus cum sonitu ; et Dominus in æternum manet [39]. » Cum igitur tantum esse discrimen cognoverit sapientem inter et stultum, hoc sapiens Ecclesiastes contendit, memoriam sapientis minime cum stulti memoria sociari : « Eo quod, inquit, jam **57** diebus supervenientibus oblivio omnia operuit, » stulti scilicet; itaque adjecit : « Et quomodo morietur sapiens cum stulto? » Quomodo, inquit, *morietur*, B id est, quomodo ignorabitur sapiens, sicut stultus, quasi, non secus ac stultum, nulla eum quoque memoria, nulla nominis fama sequeretur? Nam sapiens quidem, quemadmodum sacræ habent Litteræ : « In memoria æterna est; quoniam sunt reliquiæ homini pacifico ; reliquiæ vero impiorum exterminabuntur, » uti Propheta denuntiavit [40]. Et iterum : « Quia cognoscit Dominus viam justorum ; et via impiorum peribit [41]. » Proborum quippe hominum facta æternæ Dei cognitioni diserte assignat, improborum contra et flagitiosorum destinat morti

Ergo amplitudinem atque immortalem gloriam sapienti futuram esse testatus, stulto autem mortis C nomine, quantum ad memoriæ attinet decus, interitum et excessum ; pergit proscribere stultos, vitamque eorum depingens, odio et fuga dignam ostendere; ait enim :

§ VIII.

Καὶ ἐμίσησα σὺν τὴν ζωὴν, ὅτι πονηρὸν ἐπ' ἐμὲ τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον· ὅτι τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος. Καὶ ἐμίσησα ἐγὼ σύμπαντα τὸν μόχθον μου, ὃν ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον· ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γενομένῳ μετ' ἐμέ· καὶ τίς οἶδεν, εἰ σοφὸς ἔσται ἢ ἄφρων; καὶ εἰ ἐξουσιάσεται ἐν παντὶ μόχθῳ μου, ᾧ ἐμόχθησα, καὶ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον; καὶ γε τοῦτο ματαιότης.

VERS. 17-19. *Et odivi vitam*, (88) *quia malum super me opus, quod factum est sub sole : quia omnia vanitas et præsumptio spiritus. Et odivi ego omnem laborem meum, quem ego laboro sub sole : quia dimitto illum homini, qui factus post me. Et quis novit, utrum sapiens fuerit, an stultus ? et an potestatem habuerit in omni labore meo, quo laboravi ; atque sapiens factus sum sub sole ? etiam hoc vanitas* (89).

D

Τὸν πολὺν ἄνθρωπον κἀνταῦθα χαρακτηρίζων τὰ λελεγμένα φησί. « Πονηρόν γε ἐπ' ἐμὲ τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον » ἔφησεν· οὐχὶ τὴν ὑπὸ Θεοῦ γεγενημένην κτίσιν ἐνδιαβάλλων, ἀλλὰ τὴν μοχθηρὰν πρᾶξιν τοῦ ἄφρονος τοῦ κατοικοῦντος ἐπὶ πᾶσαν τὴν γῆν τελοῦσαν ὑπὸ τὸν ἥλιον· διὰ τὸ μὴ

Plerosque hominum hic quoque, dicta iterans, describit. « Malum enim, inquit, super me opus, quod factum est sub sole : » quæ non eo pertinent, ut opus a Deo conditum, sed ut improba stulti facta redarguat, quicunque universam **58** hanc, quam sol ambit, terram habitat : quippe qui neque voluntа-

[38] Psal. xxxvii, 36. [39] Psal. ix, 6. [40] Psal. xxxvii, 37. [41] Psal. i, 6.

(87) Psal. xxxvii, 10. LXX habent καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλὸς....

(88) Illud σὺν ante τὴν ζωὴν ab Aquila est, qui particulam Hebraicam את notam accusativi casus sic designare ac reddere solebat : hæc, quanquam Origenes asterisco, quoties occurreret, indicaverat secluseratque, tamen in communem quoque editionem τῶν Ο' identidem irrepsit. Verum quia vacat omnino, nec sententiam juvat aut auget, recte, opinor, in translatione omittitur : ut Hieronymo etiam placuit.

(89) Apud LXX leges... Ὃν ἐγὼ κοπιῶ ὑπὸ τὸν ἥλιον.... item ἀνθρώπῳ τῷ γινομένῳ, ει ἐξουσιάζεται, ει καὶ ᾧ ἐσοφισάμην...

Digitized by Google

tis arbitrio neque naturæ motibus ad recta rationis præscripta usus, temere imprudenterque pejora melioribus mutat, et quæ ad perniciem compelluut, salutaribus anteponit. Nam hujusmodi hominibus « Bonum utique fuisset, si nec geniti omnino essent, » quemadmodum Dominus in Evangeliis locutus est [49]; illis nempe, qui in hanc vitam ingressi, vitam morte detestabiliorem vixerunt, quæ illos post tempus in mortem amandaret, cui nulla omnino allatura sit finem ætas. Propterea stultorum res omnes vanitas et præsumptio spiritus sunt, sive voluntaria animi temeritas atque impetus, quo in perpetua supplicia aguntur: cum autem dicat: « Et odivi ego omnem laborem, quem ego laboro hoc sub sole: quia dimitto illum homini, qui fiet post me, et quis novit, utrum sapiens fuerit, an stultus? » eos quoque perstringit, qui sapientes quidem videntur, at cum pernoverint vitæ cursum esse quam brevissimum, et magnam simul hominum partem vitiis adhærescere, opes tamen, quas mercaturis sive agrorum cultione aut via et solertia sibi peperere, in tenuiorum et pauperum commoda minime distribunnt: studiumque in eo suum collocant, ut divitias ad extremum vitæ diem ipsamque mortem servatas ac custoditas aliis denique hominibus, sive velint sive nolint, transmittant, nec prudenter eas nec sapienter administraturis: quibus integrum quidem erit, de iis, quæ nacti fuerint, inanima atque animata in egentium atque inopum subsidium erogare, et ex libero humani consilii judiciique arbitrio thesauros in cœlestem patriam præmittere; illud tamen continget, ut et vi ac tyrannide divitiarum in servitutem ipsi redigantur, et nullam iidem largiendo miserendoque utilitatem iis afferant, in quorum opes et copias successerunt (99).

[49] Matth. xxvi, 24.

(90) Parum hæc, opinor, Calvinianis arrideant. Diserte enim constantem catholicæ Ecclesiæ sententiam designat docentis, viventium recte factis defunctorum animas allevari. Quod tamen Patres alii jam confirmant, Chrysostomus in primis, cujus ille potissimum insignis est locus, ubi rationem tradit, qua defuncto, qui crimina sua vivens non expiaverit, opitulari fas sit: Ἔστι γάρ, ἔστιν, inquit, ἐὰν θέλωμεν, κούφην αὐτῷ γενέσθαι τὴν κόλασιν· ἂν οὖν εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν· ἂν ἐλεημοσύνην διδῶμεν· κἂν ἐκεῖνος ἀνάξιος ᾖ, ἡμᾶς ὁ Θεὸς δυσωπήσεται. Εἰ διὰ Παῦλον ἑτέρους διέσωσε, καὶ δι' ἄλλων φείδεται· πῶς οὐχὶ καὶ δι' ἡμᾶς τὸ αὐτὸ τοῦτο ἐργάσεται; ἐκ τῶν ἐκείνου χρημάτων, ἐκ τῶν σῶν, ὅθεν ἂν θέλῃς, βοήθησον· ἐπίσταξον ἔλαιον, μᾶλλον δὲ ὕδωρ. Οὐκ ἔχει ἐλεημοσύνας οἰκείας ἐπιδείξασθαι; κἂν συγγενικάς. Οὐκ ἔχει τὰς ὑπ' αὐτοῦ γεγενημένας; κἂν τὰς ὑπὲρ αὐτοῦ. Οὕτω μετὰ παῤῥησίας αὐτὸν παραιτήσεται τότε ἡ γυνὴ, λύτρον ὑπὲρ αὐτοῦ καταθεμένη. Ὅσῳ πλειόνων γέγονεν ἁμαρτημάτων ὑπεύθυνος, τοσούτῳ μείζονος αὐτῷ δεῖ τῆς ἐλεημοσύνης· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι οὐδὲ ἴσην ἔχει τὴν ἰσχὺν νῦν, ἀλλ' ἐλάττω πολλῷ· οὐ γάρ ἐστιν ἴσον, αὐτόν τινα ποιῆσαι, καὶ ἕτερον ὑπὲρ αὐτοῦ. Ὡς οὖν ἐλάττονος οὔσης, οὕτω τῷ πλήθει μείζονα ποιῶμεν αὐτήν. Μὴ περὶ σήματα, μὴ περὶ ἐντάφια ἀσχολώμεθα. Περίστησον χήρας· τοῦτο ἐνταφίων μέγιστον· εἰπὲ τοὔνομα· πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ τὰς ἱκετηρίας· δυσωπήσει τοῦτο τὸν Θεὸν, εἰ καὶ μὴ ὑπ' αὐτοῦ, ἀλλὰ δι' αὐτὸν ἕτερος αἴτιος γίνεται τῆς ἐλεημοσύνης. Id est: *Possumus, certe possumus, si velimus, ejus supplicium levius efficere. Si preces frequenter pro illo fundamus, si quid ex misericordia largiamur: etiamsi non sit ille dignus, nos Deus exoratus audiet. Si propter Paulum alios servavit, et propter alios parcit, cur non id ipsum faciet? ex illius pecuniis, ex tuis, unde volueris juvato, instilla oleum, imo aquam. Non potest eleemosynas proprias exhibere? saltem cognatorum exhibeat: non potest a se factas? saltem pro se factas. Sic cum fiducia ipsum tunc deprecabilur uxor pretium redemptionis pro illo deponens. Quo pluribus fuit peccatis obnoxius, eo magis opus habet eleemosyna; nec propter hoc tantum, sed quia non parem nunc vim habet, imo multo minorem. Non par enim res est ipsum quædam facere, et alium pro ipso. Cum igitur minor sit, per copiam faciamus illam majorem. Ne circa monumenta, ne circa sepulcralia operam insumamus; patrocinare viduis, hoc sepulcrale officium est maximum: Dic nomen, omnes illas jube pro ipso preces et supplicationes peragere; hoc Deum placabit, etiamsi non per illum, at propter illum alius sit auctor eleemosynæ.* (In Act. Ap. hom. 21, n. 3.)

A κεχρῆσθαι μήτε τοῖς προαιρετικοῖς βουλήμασι, μήτε ταῖς φυσικαῖς κινήσεσι λογικῶς καὶ πρεπόντως, ἀλλ' ἐξ ἀβουλίας πολλῆς καὶ ματαιοφροσύνης ἀνθαιρεῖσθαι τὰ χείρω τῶν κρειττόνων, καὶ τὰ πρὸς ἀπώλειαν συνωθοῦντα τῶν σωστικῶν. Τοῖς γὰρ τοιούτοις « Καλὸν ἦν, εἰ μηδὲ τὸ σύνολον ἐγεννήθησαν, » ὡς ὁ Κύριός φησιν ἐν τοῖς Εὐαγγελίοις· οἳ πρὸς τὴν παροῦσαν ζωὴν εἰσελθόντες ἔζησαν θανάτου φευκτοτέραν ζωὴν, ἣ πρὸς θάνατον αὐτοὺς παραπέμψει μετὰ βραχὺ τὸν αἰώνιον καὶ τέλος οὐκ ἔχοντα τὸ παράπαν. Διὰ τοῦτο πάντα τὰ τῶν ἀφρόνων ματαιότης πέφυκε καὶ προαίρεσις πνεύματος, ἤτοι προαιρετικὴ τῆς ψυχῆς ἀβουλία καὶ κίνησις συνωθοῦσα πρὸς κολάσεις ἀτελευτήτους· εἰπὼν δὲ, « Καὶ ἐμίσησα ἐγὼ σύμπαντα τὸν μόχθον, ὃν ἐγὼ μοχθῶ ὑπὸ B τοῦτον τὸν ἥλιον· ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γενησομένῳ μετ' ἐμέ· καὶ τίς οἶδεν, εἰ σοφὸς ἔσται, ἢ ἄφρων; » καὶ τῶν σοφῶν μὲν εἶναι δοκούντων καθάπτεται, διεγνωκότων δὲ τὸ τῆς ζωῆς ὠκύμορον καὶ τῶν πολλῶν ἀνθρώπων τὴν πρὸς τὰ φαῦλα ῥοπὴν, καὶ μὴ διανεμόντων καὶ κιχρώντων τοῖς ἐνδεέσι καὶ πένησι τὸν συναθροισθέντα πλοῦτον αὐτοῖς δι' ἐμπορικῶν ὑποθέσεων, ἢ διὰ κόπων γηπονικῶν, ἢ φιλεργίας ἑτέρας· ἀλλὰ συντηρούντων αὐτὸν καὶ φυλαττόντων μέχρι τῆς τελευταίας ἡμέρας καὶ τοῦ θανάτου, καὶ παραπεμπόντων ἑκουσίως καὶ ἀκουσίως εἰς ἄλλους ἀνθρώπους τοὺς ἥκιστα φρονίμως καὶ σοφῶς αὐτὸν διοικήσοντας, καὶ τὴν ἐξουσίαν ἔξοντας κατὰ τῶν προσόντων τῷ πλούτῳ πραγ- C μάτων ἀψύχων καὶ ἐμψύχων τοῦ διαδιδόναι τῆς δεομένοις καὶ πενητεύουσι καὶ πρὸς αὐτάρκειαν χρείας, καὶ θησαυρίζειν ἐν οὐρανοῖς, κατὰ τὸ αὐτεξούσιον τῆς ἀνθρωπίνης βουλῆς τε καὶ κρίσεως· ἀλλ' ἐμπαλιν ἐξουσιασθησομένους ὑπὸ τῆς τοῦ πλούτου δεσποτείας καὶ τυραννίδος, καὶ μηδὲν ὄφελος προξενήσοντας διὰ τῆς μεταδόσεως καὶ τῆς ἐλεημοσύνης ἐκείνοις, ὧν διεδέξαντο τὴν τοῦ πλούτου περιουσίαν.

D

Digitized by Google

Καὶ τοῦτο γὰρ ματαιότης ἐστίν· εἴτε γὰρ ἄφρων ἐστὶν, εἴτε δοκεῖ σοφὸς ὑπάρχειν ὁ τὸν πλοῦτον κατέχων καὶ μὴ διανέμων τοῖς δεομένοις, ἀλλὰ ταμιευόμενος αὐτὸν τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν, ὡς πολλάκις συμβέβηκεν, ἄφρων εὕρηται τῷ ὄντι καὶ μάταιος, καὶ δικαίως ἀκούσει λέγοντος τοῦ Θεοῦ πρὸς αὐτόν· « Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; » τὸ γάρ, « Τίνι ἔσται; » τὴν εἰς ἐχθροὺς αἰνίττεται τῆς τοῦ πλούτου δεσποτείας μετάπτωσιν, ὡς γέγονε πολλάκις. Διὰ τοῦτο καὶ Δαβὶδ προφήτης φησί· « Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτὰ, » τῷ Ἐκκλησιαστῇ λέγων συμφώνως, ὡς ἀντίπαλοι καὶ μισοῦντες τὸν τοῦ κεκοπιακότος καὶ διὰ πολλῶν ἱδρώτων καὶ περισπασμῶν καὶ μεριμνῶν καὶ φροντίδων συναθροισθέντα πλοῦτον ἕξουσι, καὶ τῶν ἐκείνου καμάτων καταπολαύσουσι. Τούτου χάριν ὁ Ἐκκλησιαστὴς καταγινώσκων καὶ καταμεμφόμενος τῶν τοιούτων ἐπήγαγε·

A

B

59 Nimirum et hoc vanitas est : sive enim stultus sit, sive sapiens videatur esse, qui pecuniam recondit neglectisque egenis, eam inimicis, ut plerumque fit, atque adversariis reservat; stultus revera ac demens inventus est : qui et merito Deum audiet sibi inclamantem : « Stulte, hac nocte animam tuam repetunt a te; quæ autem parasti, cujus erunt? » Nam illud, *Cujus erunt?* divitiarum et dominatus, quod sæpe contingit, translationem ad inimicos designat; itaque et David propheta dicit : « Thesauros parat, nec cognoscit, cui eos sit congregaturus, » idem cum Ecclesiaste affirmans, quas nempe is opes labore multo et sudore, atque contentione et angoribus et curis cumulaverit, ad inimicos eas et adversarios esse perventuras, ut illi hujus laboribus perfruantur. Idcirco Ecclesiastes ad hujusmodi hominum condemnationem reprehensionemque adjecit :

§ IX.

Καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ μου ἐν παντὶ μόχθῳ, ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, ὅτι ἔστιν ἄνθρωπος, ὅτι μόχθος αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρείᾳ· καὶ ἄνθρωπος, ὃς οὐκ ἐμόχθησεν ἐν αὐτῷ, δώσει αὐτῷ μερίδα αὐτοῦ.

Vers. 20, 21. *Et conversus sum ego, ut renuntiarem cordi meo in omni labore, quo laboravi sub sole, quia est homo, quia labor ejus in sapientia et in cognitione et in virtute; et homo, qui non laboravit in eo, dabit illi partem suam* (91).

Τῶν πολιτευομένων τοῖς ἀνθρώποις καὶ συμβαινόντων πραγμάτων, ἀπειροκάλοις δηλαδὴ καὶ σπουδαίοις πολλάκις παρεξετάσας τὴν φύσιν, καὶ τὴν ἄτακτον καὶ κατ' οὐδεμίαν ἀκολουθίαν τοῦ πλούτου παραπομπὴν τὴν πρὸς ἑτέρους χρυσομανεῖς καὶ φειδωλοὺς, εἰ καὶ κιναίδους καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις δεδουλωμένους τῇ διανοίᾳ κατοπτεύσας καὶ διαγνοὺς, ἀγαθὸν παράδειγμα τίθησιν ἑαυτὸν τοῖς μεταγενεστέροις ἀλλοιώσεως τῆς πρὸς τὰ κρείττω καὶ μεταβολῆς βελτίστης καὶ λυσιτελεστάτης· ἵνα τῇ πρὸς αὐτὸν μιμήσει καὶ πάντες ἄλλοι τῆς ἰδίας ἀβουλίας καὶ πονηροπραξίας κατεγνωκότες, ἐπιστρέψωσιν ἀπὸ τῆς πρὸς τὰ χείρω κατολισθήσεως, καὶ τὴν ἰδίαν ζωὴν ἀνακαλέσωνται τῆς πρὸς τὰ χείρω ῥοπῆς· φησὶ γάρ· « Καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ μου ἐπὶ παντὶ μόχθῳ, ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, ὅτι ἔστιν ἄνθρωπος, ὅτι ὁ μόχθος αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἀνδρείᾳ, καὶ ἄνθρωπος, ὃς οὐκ ἐμόχθησεν αὐτῷ, δώσει αὐτῷ μερίδα αὐτοῦ. » Ἀπὸ καρδίας καὶ διαθέσεως ἀληθοῦς ἐπέστρεψα, φησὶ, παντὶ τῷ προσγεγονότι μοι πλούτῳ διὰ πολλῶν μόχθων καὶ κόπων καὶ περισπασμῶν καὶ φροντίδων χαίρειν εἰπεῖν καὶ διασκορπίσαι καὶ διανεῖμαι τοῖς ἐνδεέσι. Δι' ἣν αἰτίαν; Ὅτι πᾶς ἄνθρωπος, φησὶν, ὁ βουληθεὶς καὶ μοχθήσας συναθροῖσαι πλούτου περιουσίαν, ὡς θαυμαστωθεὶς ἢ διὰ πλῆθος σοφίας, ἤτοι μεταρσίων θεωρημάτων ἀκρότητα καὶ γνῶσιν θείων καὶ ἀνθρωπίνων πραγμάτων, ἢ διὰ πολεμικὴν ἀνδρείαν, ἢ τὴν κατὰ τῶν ἀλλοφύλων καὶ σωματικῶν ἀντιπάλων, ἢ μᾶλλον εἰπεῖν τὴν κατὰ

C

D

Diaconum autem factum esse Olympiodorum a Joanne Niciota archiepiscopo Alexandrino post annum Christianum 506 et ante annum 518, disce ex subscriptione codicis 5 Barberiniani, in quo (pag. 224) hæc leguntur : Ἐπληρώθη σὺν Θεῷ τῶν κατὰ κεφάλαιον σχολίων εἰς τὸν μακάριον Ἱερεμίαν τὸ πονημάτιον τοῦ μακαρίου Ὀλυμπιοδώρου διακόνου Ἀλεξανδρείας, χειροτονίας Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας Νικιώτου. Nempe, *Absolutum est, Deo favente, Commentariorum in singula capita beati Jeremiæ opusculum Olympiodori diaconi Alexandriæ ex ordinatis a Joanne Niciota archiepiscopo Alexandriæ.* Hic enim pontificatum gessit annos 11, ac decessit XI Kal. Jun. anni Christiani 517, ut ex Theophane adnotatum a Sollerio reperias in *Hist. chron. patriarch. Alexandr.*, n. 325.

Digitized by Google

pareas sapientis Ecclesiastæ, admonentis scilicet tempestivitatem esse amandi, et tempestivitaem odio habendi. In uno enim eodemque homine, qui bonis adhæreat, et veritatem justitiamque colat, ac rursum inversus traductusque sit ad oppositas opiniones atque sententias, propria et distincta amandi atque odio habendi eminet tempestivitas. Addit deinde :

σιαστοῦ τὴν σοφὴν παραίνεσιν, δηλονότι τὴν λέγουσαν, « Καιρὸς τοῦ φιλῆσαι, καὶ καιρὸς τοῦ μισῆσαι. Πρὸς γὰρ τὸν ἕνα καὶ τὸν αὐτὸν ἱστάμενον ἐν τοῖς ἀγαθοῖς καὶ φρονοῦντα τὰ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης, καὶ πάλιν ἀλλοιωθέντα καὶ μεταβληθέντα πρὸς τὰς ἀντικειμένας ὑπολήψεις καὶ δόξας, ἔχεις καὶ τοῦ φιλεῖν καὶ τοῦ μισεῖν διῃρημένον καὶ πρόσφορον τὸν καιρόν. Εἶτά φησιν·

§ XIII.

Tempestivitas belli, tempestivitas pacis (29).

Hoc quoque sententiam habet eamdem. Obluctari enim nos, bellumque gerere cum adversariis atque hostibus pietatis par fuerit. At ubi resipiscere, piisque sermonibus aures præbere cœperint, jamque professionis nostræ præclara nota insignes, in vera doctrina et Dei supremi cultu nobiscum sentiant; tum pacem recte cum his et concordiam ineamus. Ecce vero hic etiam tempestivitas pacis et tempestivitas belli, pacis scilicet ac belli erga unam eamdemque personam. Innata quippe prudentia et divinarum legum præscripta ac multo magis gratia illa, quam singulari Dei benignitate ii accipiunt, a quibus « voluntas Dei bona et bene placens et perfecta [86] » inquiritur, opportune semper nos edocent, quales exhibere nos debeamus, et qua ratione meliora a pejoribus secernentes, salutaria Deoque accepta præoptare, contemptis iis, quæ quantum a Deo avertunt, tantum 86 ad perniciem compellunt. Addit subinde Ecclesiastes :

Καιρὸς πολέμου, καιρὸς εἰρήνης.

Καὶ τοῦτο τῆς αὐτῆς ἔχεται διανοίας· ἀνταγωνίζεσθαι γὰρ προσῆκε καὶ πολεμεῖν τοῖς ἀντιπάλοις καὶ πολεμίοις τῆς εὐσεβείας. Ἐὰν δὲ συνήσωσι καὶ παραδέξωνται τῆς εὐσεβείας τὸν λόγον, καὶ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως μεταμορφωθῶσι τοῖς χαρακτῆρσι, καὶ συμφωνήσωσιν ἡμῖν εἰς τὰς ἀληθεῖς ὑπολήψεις τὰς πρὸς τὸν ἐπὶ πάντων Θεόν· τηνικαῦτα καὶ τὴν εἰρήνην ἀσπασώμεθα καὶ τὴν ἀγάπην τὴν πρὸς αὐτούς. Ἰδοὺ κάνταῦθα καιρὸς εἰρήνης καὶ καιρὸς πολέμου, δηλονότι καὶ τῆς εἰρήνης καὶ τοῦ πολέμου πρὸς τὸ αὐτὸ καὶ ἓν ὑποκείμενον πρόσωπον. Ἡ γὰρ ἔμφυτος φρόνησις καὶ τῶν θείων νόμων αἱ ὑποθῆκαι, καὶ πολλῷ δὲ μᾶλλον ἡ παρὰ τῆς θεοπρεποῦς ἀγαθότητος δεδομένη χάρις τοῖς ἀπὸ καρδίας ἐκζητοῦσι « τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον, » ἐκδιδάσκουσιν ἡμᾶς ἐφ' ἑκάστῳ καιρῷ ποίαις ὀφείλομεν κεχρῆσθαι γνωμικαῖς διαθέσεσι ταῖς διαστελλούσαις τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, καὶ τὸ σωστικὸν καὶ πρόξενον τῆς πρὸς Θεὸν οἰκειότητος ἀπὸ τοῦ μακρύνοντος ἐκ Θεοῦ, καὶ πρὸς ἀπώλειαν συνωθοῦντος. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

§ XIV.

Vers. 9-10. *Quæ abundantia est facientis, in quibus ipse laborat? Vidi omnem distentionem, quam dedit Deus filiis hominum, ut distendantur in ea. Universa quæ fecit bona in tempestivitate ipsius* (30).

Erit fortasse, qui hæc reputans hæreat, et a sapiente Ecclesiaste iterari hoc loco dicat, quæ jam enuntiata sunt. Nam si hujusmodi effatis superius quoque usus est, cum ait : « Quid habet amplius homo de universo labore suo, quo laborat sub sole [89]?» et rursum : « Quoniam distentionem malam dedit Deus filiis hominum, ut distendantur in ea [90]; » quid nunc demum eadem usurpat? At nos judicii ejus defensione susceptа, dicemus apposite, iterata non videri, quæ eisdem appellationibus ac formulis rem plane diversam considerandam exhibeant. Tum si sententia etiam, quæ ipsis in verbis inest, vim quodammodo et significationem eamdem habere rursum videatur; non id absurdum esse, siquidem illis tum utarjs, cum res, quæ tractantur et personæ requirunt; quemadmodum hoc loco factum est. Nam si superius etiam, cum similia his perpendenda proponeret, dictiones usurpavit easdem; iis nunc ipsis potis-

Τίς περισσεία τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ; Εἶδον σὺν τὸν περισπασμὸν, ὃν ἔδωκεν ὁ Θεὸς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ. Σύμπανταἃ ἐποίησε καλὰ ἐν καιρῷ αὐτοῦ.

Τάχα τις ἀπορῶν λόγους οἰηθείη, καὶ φήσειε ταυτολογεῖν ἐν τοῖς ῥητοῖς τούτοις τὸν σοφὸν Ἐκκλησιαστήν. Εἰ γὰρ τοῖς παροῦσι ῥητοῖς ἐχρήσατο καὶ πρότερον, ὅταν ἔλεγε, « Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; καὶ πάλιν, « Ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ· » τί δήποτε νῦν ἐχρήσατο τοῖς αὐτοῖς; Ἀλλ' ἡμεῖς ὑπεραπολογούμενοι τῆς ὑπολήψεως αὐτοῦ, φαίημεν ἂν τοῦτο χρεωστικῶς, ὡς οὐκ ἔστι ταυτολογία τὸ κεχρῆσθαι ταῖς αὐταῖς ὀνομασίαις καὶ λέξεσιν, ὅταν εὑρίσκηται διάφορος ἡ ἔννοια τῶν ῥητῶν. Εἰ δὲ καὶ τῆς αὐτῆς ἐννοίας ἐνυπαρχούσης τοῖς ῥητοῖς δόξει πως ἡ τῆς ταυτολογίας ὀνομασία τὸ κῦρος ἔχειν, ἀλλ' οὐδὲν ἄτοπον, εἰ γένηται χρεία πρὸς τὴν τῶν ὑποκειμένων πραγμάτων καὶ προσώπων ὑπόθεσιν, χρήσασθαι τοῖς αὐτοῖς, ὅπερ κάνταῦθα συμβέβηκεν. Εἰ γὰρ καὶ πρότερον διὰ τὰς αὐτὰς ἐννοίας καὶ ταῖς αὐταῖς ἐχρήσατο λέξεσιν, ἀλλὰ νῦν

[86] Rom. XII, 2. [89] Eccle. II, 22. [90] ibid. 26.

(29) Apud LXX, καὶ καιρὸς εἰρήνης.

(30) Apud LXX, τὰ σύμπαντα ἃ ἐποίησε...Olymp. τοῦ ποιοῦντος ἐν αὐτοῖς οἷς αὐτὸς μοχθεῖ;

Digitized by Google

μάλιστα τούτων ἐδεήθη καὶ χρείαν ἔσχε τῶν ἐννοιῶν καὶ τῶν λέξεων. Περὶ γὰρ τοῦ χρόνου διειληφὼς καὶ τῶν κατὰ συζυγίαν καιρῶν ἀντικειμένως παραληφθέντων, καὶ θεασάμενος τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, ὡς οὐκ ἐξικνουμένης τὸν τοσοῦτον κόπον δῆθεν ἀναλαμβάνειν, καὶ περισκοπεῖν ἑκάστου πράγματος τοῦ καλοῦ καὶ συμφέροντος ἀντιθέτως λαμβανομένου καὶ ζητεῖν τὸν καιρὸν, ἀλλ' ὀλιγωρίας πρὸς τὰς γεγονυίας διαιρέσεις παρὰ τοῦ Ἐκκλησιαστοῦ τῶν ἀντικειμένων καιρῶν, χρῆναι καλῶς ᾠήθη συντόμως ἄγαν καὶ νῦν αὖθις συστεῖλαι τὸ φρύαγμα τῆς οἰήσεως τῆς περισπωμένης περὶ τὴν κτῆσιν τῶν ματαίων καὶ φθειρομένων ψυχῆς πρὸς ἀπράγμονα καὶ παντελῶς ἀπερίσπαστον ζωὴν καὶ γαληνιῶσαν κατάστασιν συνωθῆσαι τὴν φιλόπλουτον γνώμην.

A simum et sententiis et formulis opus fuit. Postquam enim de tempore ac de comparatis oppositarum rerum tempestivitatibus disseruit, humanæ naturæ imbecillitatem contemplatus, quæ tantum sibi laborem assumere non pergat, ut in illa oppositione cujusque rei bonæ atque utilis tempestivitatem distinguat atque perquirat, eademque ad contrarias potius tempestivitates, quas Ecclesiastes designavit, quasi vertigine delabatur; operæ pretium duxit, si vel obiter hic etiam insolentiam eorum rursus comprimeret, quorum cura in rebus vanis et animo perniciosis tota versatur, et simul eosdem a divitiarum cupiditate ad quietam vitam ac tutum **87** plane tranquillumque statum traduceret.

B

Διὰ τοῦτό φησιν, « Τίς περίσσεια τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ; » μονονουχὶ γάρ φησιν, Εἰ δὲ περὶ πάντων τῶν κατὰ τὸν βίον ἀγαθῶν καὶ καλῶν καὶ λυσιτελῶν ἴδιον ἐγὼ καιρὸν ἔφην ὑπάρχειν· ὁ δὲ πολὺς ἄνθρωπος, κατοκλάσας περὶ τὴν τούτων μελέτην, οὐ βούλεται τιθέναι σπουδὴν ἐν τοῖς τοιούτοις, ἀλλὰ μόνον ἐκεῖνον ἔχειν ἐθέλει τὸν περισπασμὸν καὶ τὸν μόχθον, δι' οὗ συναθροίσει καὶ συνάξει πολλαπλασίονα καὶ παντοδαπὸν τὸν φθειρόμενον πλοῦτον, καὶ μηδεμίαν ὄνησιν προξενοῦντα τοῖς κτησαμένοις, πλὴν τοῦ φαγεῖν καὶ πιεῖν· εἰπάτω ποίαν περίσσειαν ἐπελπίζων, καὶ πρὸς ποῖον ἀποβλέπων κέρδος ὀνησιφόρον, οἷς αὐτὸς εὑρεθῇ μοχθῶν καὶ ταλαιπωρούμενος, αἱρετώτερον οἴεται τοῦτον τὸν μόχθον καὶ τὸν περισπασμὸν καὶ τὸν κόπον τῆς ἐπὶ τῇ εὑρέσει τῶν προσφόρων καιρῶν ἐπιμελείας καὶ ζητήσεως καὶ νήψεως εὐτρεχοῦς καὶ νηφαλιότητος, ἵνα μηδέποτε διαμαρτήσῃ τῆς ἀγαθῆς καὶ λυσιτελοῦς πράξεως;

Idcirco ait: « Quæ abundantia facientis in quibus ipse laborat? » velut si diceret: Rerum equidem omnium quæ in vita sunt bona aut pulchra aut utilia, propriam esse tempestivitatem indicavi; cum tamen plerique hominum in eorum cura labantur, nec diligentiam ob ea ullam adhibere velint; atque unum illum magnæ sollicitudinis laborem subire ament, quo multas sibi omnis generis opes caducasque divitias comparent, unde, cum adepti fuerint, nullam præter cibum et potum utilitatem auferre possint; dicant, qua abundantiæ spe, quove sibi compendio iis e rebus proposito, quas duro miseroque studio prosecuti sunt, laborem istum et molestiam et curam potiorem C putant, quam eam diligentiam, quæ in opportunitate rerum investiganda ponatur, aut quam illam sobrietatem ac solertem temperantiam, quæ perpetuo nos intra recti et utilis fines contineat?

Ἀλλ' εὔδηλον, ὡς οὐδεμίαν περίσσειαν ἐλπίζει λυσιτελοῦσαν καὶ σωστικὴν, οὐδὲ κέρδος ὀνησιφόρον. Ὡς γὰρ ἐπίπαν ἡ φθονηθεὶς διὰ τὸν πλοῦτον ὁ κατέχων αὐτὸν παρ' ἑτέρων ἐπεβουλεύθη, καὶ διαβολαῖς ἐβλήθη καὶ συκοφαντίαις χαλεπωτάταις· καὶ μετὰ τοῦ πλούτου καὶ τῆς ἰδίας ζωῆς ἐζημιώθη τὴν ὕπαρξιν· ἢ πολλὰ μογήσας καὶ κακοπαθήσας καὶ τλῆπαθήσας διὰ τὴν τοῦ πλούτου συνάθροισιν τὸν ἐξαπίνης ἀπροσδοκήτως ἐπελθόντα θάνατον ἔσχε, καὶ κατέπεμπε τὸν πλοῦτον τοῖς ἐχθροῖς καὶ μισοῦσιν. Εἰ D δὲ μηδὲν περισσὸν καὶ σωστικὸν εὑρίσκεις, ἄνθρωπε, διὰ τοῦ τοιούτου περισπασμοῦ καὶ μόχθου, τί δήποτε μὴ διαῤῥήξας καὶ καταλιπὼν τὰς ἄρκεις τὰς κατεχούσας σε πρὸς τὴν τοῦ κόσμου φιλίαν καὶ τὴν τοῦ πλούτου προσπάθειαν, μεταβαλεῖς καὶ μεταθήσεις τὴν ἐπιμέλειαν καὶ τὸν μόχθον ἐν τῇ ἀνευρέσει τῶν ἀγαθῶν καὶ λυσιτελῶν τε καὶ σωστικῶν καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος; « Πάντα γὰρ καλὰ ἐν καιρῷ αὐτῶν. » Καὶ δεῖ σε τὸν καιρὸν ἑκάστου πράγματος ζητεῖν, καὶ μηδενὶ τὸ παράπαν ἀκαίρως κεχρῆσθαι, μηδὲ τῷ φαγεῖν μηδὲ τῷ πιεῖν, μήτε τῷ κλαίειν

Atqui liquet profecto, nullam his utilem copiam ac salutarem, nullum esse commodum aut compendium, quod sperent. Nam qui divitiis potitus fuerit, livori omnino et invidiæ obnoxius, et insidiis oppressus, et calumniis atque conviciis gravissimis appetitus est, ut divitiarum etiam cum ipsa vita substantiam amitteret: itaque multis opum congerendarum causa laboribus et ærumnis ægre exantlatis, mortem improviso ingruentem sensit, et divitias inimicis adversariisque suis transmisit. Quod si nihil, o mortalis, quod redundet, nihil quod salutem ferat, in labore curaque inest, quam divitiis parandis impenderis; cur aliquando retia ista, quæ te mundana amicitia et divitiarum amore captum impediunt, non conscindis ac deseris? cur, mutato studio, diligentiam atque laborem ad bonarum atque utilium rerum, quæ corpori et animæ prosint, investigationem non transfers? « Universa enim bona in tempestivitate sua (31). » Et oportet, ut cujusque rei tempestivitatem ipse inquiras, et nulla omnino utaris

(31) Superius quidem legimus, ἐν καιρῷ αὐτοῦ· at hic scriptum, ἐν καιρῷ αὐτῶν· ad Symmachi, opinor, sententiam, qui ea verba sic reddidit: Καλὸν ἕκαστον ἐν καιρῷ ἰδίῳ.

Digitized by Google

re intempestive, non cibo aut potu, non fletu aut risu, non somno aut 88 vigilia, non re alia quacunque earum simili, quas homines in hac vita præstare debeant.

Numquid Davidem non audisti, quibus verbis beatum hominem nobis designet atque depingat? « Sed in lege, inquit, Domini voluntas ejus; et in lege ejus meditabitur die ac nocte : et erit tanquam lignum quod plantatum est secus decursus aquarum, quod fructum suum dabit tempestivitate sua; et folium ejus non defluet [61]. » Cum arbor ipsa fructus tempestate sua proferat, age tu multo magis rei cujusque, o mortalis, tempestivitatem inquire : nihil ab eo quod decet, unquam aberrabis. Addit deinde Ecclesiastes :

A μήτε τῷ γελᾷν, μήτε τῷ καθεύδειν μήτε τῷ ἀγρυπνεῖν, μήτε τινὶ τῶν παραπλησίως τούτοις καὶ τοῖς ἐν τῷ βίῳ πράττεσθαι κεχρεωστημένων παρὰ ἀνθρώπου.

Ἢ οὐκ ἤκουσας τοῦ προφήτου Δαβὶδ τὸν μακάριον ἄνθρωπον χαρακτηρίζοντος καὶ καθυπογράφοντός τε καὶ φάσκοντος ; « Ἀλλ' ἐν τῷ νόμῳ Κυρίου θέλημα αὐτοῦ · καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. » Καθὼς τὸ αὐτὸ φυτὸν ἐν καιρῷ δίδωσι τὸν καρπόν, οὕτω πολλῷ μᾶλλον, ἄνθρωπε, σὺ καιρὸν ἑκάστου πράγματος ἴδιον ἐπιζήτει · καὶ τὸ παράπαν οὐ διαμαρτήσεις τοῦ πρέποντος. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

B

§ XV.

Vers. 11. *Et quidem sæculum tradidit secundum cor eorum, ut non inveniat homo opus, quod fecit Deus ab initio, et usque in finem* (32).

Vim horum verborum in eos profert, qui tanquam vertigine laborantes, in oppositarum rerum opportunitate investiganda atque invenienda diligentiam et studium defugiunt : ut quæ nempe bellandi aut firmandæ pacis tempestivitas sit, quæ amandi aut odio habendi, quæ avellendi aut consuendi, quæ custodiendi aut emittendi, quæ acquirendi aut perdendi, quæ flendi aut ridendi, quæ destruendi aut ædificandi, et hujusmodi, minime assequantur. Nam cum operam, quam ad res quaslibet opportune agendas in propria cujusque tempestivitate inquirenda ponere debebant, in flagitiosis laboribus perdiderint, et intempestivas potius occupationes ac perturbatam atque præposteram vitam adamarint, quæ in deliciis ac pudendis corporis voluptatibus conteritur; eos etiamnum condemnat, et honestatis expertes coarguit : nec jam fore unquam sperans, ut mutatis moribus ad bonam redeant frugem, adjecit : « Et quidem sæculum tradidit in corde eorum, ut non inveniat homo opus, quod fecit Deus ab initio et usque in finem; » pro 89 *permisit* usus verbo *tradidit*, ut sacræ fere loquuntur Litteræ, et ut superius [62] alius nobis exemplum divina oracula suppeditarunt. Permisit igitur, ut haberent in corde suo, quemadmodum liberi arbitrii ratio poscebat, voluntatis ad utraque propensionem (33). porro hac ratione si quis ipsum illud *tradidit* per se acceperit, apposite usurpari deprehendat atque pernoscat. Homines nempe voluntatis arbitrio usi,

Καί γε σὺν τὸν αἰῶνα δέδωκε τὴν καρδίαν αὐτῶν · ὅπως μὴ εὕροι ἄνθρωπος τὸ ποίημα, ὃ ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς καὶ μέχρι τέλους.

Πρὸς τοὺς ἰλιγγιῶντας καὶ κατοκλάζοντας πρὸς τὴν ἐπιμέλειαν καὶ σπουδὴν τῆς ζητήσεως καὶ τῆς ἐξευρέσεως τῶν ἀντιθέτως καιρῶν τῶν ἐφ' ἑκάστῳ πράγματι παραλαμβανομένων ἀντικειμένως, ἤτοι τοῦ πολεμεῖν ἢ πάλιν ἔχειν εἰρήνην, τοῦ φιλεῖν καὶ μισεῖν, τοῦ ῥηγνύειν καὶ ῥάπτειν, τοῦ φυλάττειν καὶ τοῦ ἐκβάλλειν, τοῦ ζητεῖν καὶ τοῦ ἀπολλεῖν, τοῦ κλαίειν καὶ τοῦ γελᾷν, τοῦ καθελεῖν καὶ τοῦ οἰκοδομεῖν, καὶ τὰ παραπλήσια τούτοις, προτείνει τῶν ῥητῶν τούτων τὴν δύναμιν. Καὶ γὰρ ἐπειδὴ τὴν ἐπὶ τῇ καταλήψει τῶν προσφόρων καιρῶν σπουδὴν παρῃτήσαντο πρὸς τὸ ποιεῖν ἕκαστον ἐν καιρῷ αὐτοῦ, καὶ μᾶλλον ᾑρετίσαντο τοὺς μοχθηροὺς μόχθους καὶ τοὺς ἀκαίρους περισπασμοὺς καὶ τὴν συγκεχυμένην καὶ πεφυρμένην ζωὴν, τὴν καταναλισκομένην ἐπὶ ταῖς τρυφαῖς καὶ κιναίδοις τῆς σαρκὸς ἡδοναῖς · καταγινώσκων ἔτι τούτων καὶ καταμεμφόμενος τῆς ἀπειροκαλίας, καὶ παντελῶς ἀπογνοὺς τῆς πρὸς διόρθωσιν καὶ βελτίωσιν ἀλλοιώσεως καὶ μεταβολῆς, ἐπήγαγε, « Καί γε σὺν τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν · ὅπως μὴ εὕροι ἄνθρωπος τὸ ποίημα, ὃ ἐποίησεν ὁ Θεὸς ἀπ' ἀρχῆς καὶ μέχρι τέλους · » ἀντὶ τοῦ, *συνεχώρησε* φήσας τὸ *ἔδωκε*, κατὰ τὸ ἰδίωμα τῆς θείας Γραφῆς, ὡς κἂν τοῖς ἀνόπιν ἀπέδωκε τῆς ἀληθείας ὁ λόγος. Συνεχώρησεν οὖν ἔχειν ἐν τῇ καρδίᾳ αὐτῶν τῷ λόγῳ τῆς αὐτεξουσιότητος, τῆς ἐφ' ἑκάτερα προαιρέσεως τὴν ῥοπήν. Τῷ δὲ τοιούτῳ λόγῳ καὶ τὸ *ἔδωκε* καθαυτό τις ἐξειληφὼς, προσηκόντως εἰρῆσθαι καταλήψοιτο καὶ διαγνοίη. Τῷ γὰρ αὐτεξουσίῳ τῆς προαιρέσεως

C

D

[61] Psal. 1, 2, 3. [62] Lib. 1, § 14.

(32) Apud LXX invenies : Καί γε σύμπαντα τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν · ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος... Porro illud σύμπαντα in exemplaribus Hebraicis desideratur, nec ab Hieronymo redditum est : cætera ipse Gregorius infra immutat. Olymp. vero, τὸ σὺν, inquit, ἰδίωμα Ἑβραϊκὸν, παρερρίμμενος κείμενον ἐν τῇ Ἑβραϊκῇ φωνῇ.

(33) Non hic noster αἰῶνα et ῥοπὴν idem putat : sed unum idemque habet « tradere sæculum secundum cor » aut « in corde eorum, et permittere, ut quisque voluntatis suæ arbitrio utatur, et cupiditates vel respuat vel sequatur. » Nec vero a dicti sententia discedit; nam alii quoque, quod adnotavit Munsterus, illud αἰῶνα sive, *sæculum* exposuere *concupiscentiam sæculi*, sive, ut ait Drusius, *curas sæculares et mundanas*; vel interpretati sunt, ut Vatablus, *cupiditatem cognoscendi res hujus mundi*; quod his magis respondet quæ sequuntur.

Digitized by Google

πρὸς τοὺς ἀκαίρους περισπασμοὺς καὶ τὰς φαύλας καὶ μοχθηρὰς πράξεις σφᾶς αὐτοὺς ὁλοσχερῶς ἐκδόντες, εὑρεῖν ἐσπούδασαν τὴν διαίρεσιν τῶν καιρῶν τῶν ἐν τοῖς ποιήμασι τοῦ Θεοῦ· τοῦ ἔαρος δηλαδὴ καὶ τοῦ θέρους καὶ τοῦ μετοπώρου καὶ τοῦ χειμῶνος ὧν ἕκαστος πάντα καλὰ παρίστησι καὶ δείκνυσι τὰ ποιήματα τοῦ Θεοῦ, βλεπόμενα καὶ παραλαμβανόμενα προσφόρως καὶ προσφυῶς· ἵνα κἀκ τούτων ὁ νοῦς κατὰ μίμησιν τῆς θείας καὶ ποιητικῆς τῶν ἁπάντων βουλῆς κἀν τοῖς ἰδίοις ἔργοις διαστέλλων τὸν πρόσφορον ἑκάστῳ πράγματι πρὸς τὴν πρᾶξιν καιρόν. Ἀλλ' ὡς ἔοικε, φησὶν, ὡς ἀπ' ἀρχῆς, οὕτω καὶ μέχρι τέλους οἱ ἄνθρωποι διὰ πολλὴν ἀβουλίαν ἐπὶ τὰ πονηρὰ παρεκκλίνοντες ἐκ νεότητος τῷ ἐξ ἀγνοίας ζόφῳ κατέχονται, καὶ καθάπερ ἐν νυκτομαχίᾳ, κατὰ τῆς ἰδίας σωτηρίας παραπέμπουσι τὰς βολίδας τῆς ἁμαρτίας. Ἀμέλει τοίνυν ἐπήγαγεν·

A intempestivis occupationibus et pravis laboriosisque factis totos se dediderunt, ut tempestatum discrimina in Dei operibus invenirent : veris nimirum et æstatis, autumni atque hiemis, quarum singulæ pulchra omnia repræsentant ostenduntque Dei opera, siquidem scite illa atque idonea ratione et spectentur et assumantur; ut inde ad divinæ et omnia efficientis voluntatis imitationem humana mens congruam cujusque rei tempestivitatem ad agendum in suis quoque operibus distinguat. Cæterum ut apparet, inquit, quemadmodum ab initio, ita et usque in finem homines ob nimiam temeritatem ab ipsa adolescentia ad improba deflectentes, ignorantiæ tenebris obruuntur, et quasi nocturna in pugna, peccatorum tela B in propriam perniciem convertunt. Idcirco utique adjecit :

§ XVI.

Ἔγνων, ὅτι οὐκ ἔστιν ἀγαθὸν ἐν αὐτοῖς, εἰ μὴ τὸ εὐφραθῆναι καὶ τὸ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐτοῦ. Καὶ γε πᾶς ἄνθρωπος, ὃς φάγεται καὶ πίεται, καὶ ἴδοι ἀγαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ, τοῦτο δόμα Θεοῦ ἐστιν.

VERS. 12, 13. *Cognovi quia non est bonum in eis, nisi lætari, et facere bonum in vita sua. Et quidem omnis homo, qui comedit et bibit, et videat bonum in omni labore suo, hoc donum Dei est* (34).

Πολλὰ, φησὶ, τῶν νομιζομένων ἀγαθῶν, οὐκ ὄντων δὲ τοιούτων, κυρίως δρῶντες οἱ ἄνθρωποι, μάτην εὑρίσκονται ταῦτα ποιοῦντες· εἰς τέλος γὰρ ἄθλιον αὐτοὺς παραπέμπουσιν. Ἐκ δὲ πάντων, ὧν ἐκεῖνοι τὴν αἵρεσιν καὶ τὴν πρᾶξιν περισπούδαστον ἔχουσιν, οὐδὲν ἀγαθὸν ἔγνων ἐγὼ, φησὶ, πλὴν τῆς ἐξ ἀνάγκης κεχρεωστημένης δίδοσθαι τῇ φύσει τροφῆς, τοῦ φαγεῖν δηλονότι καὶ τοῦ πιεῖν, καὶ τῆς ἐντεῦθεν γινομένης εὐφροσύνης τοῖς ζῶσιν ἐν τῇ ζωῇ αὐτῶν. Τοῦτο γὰρ δὴ μόνον ὡς δώρημα Θεοῦ παρείληπται τοῖς ἀνθρώποις ἀκατακρίτως, διὰ τὸ ῥοώδες τῆς φύσεως. « Πάντα γὰρ, φησὶν ὁ προφήτης Δαβὶδ, πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὐκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν· ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. » Καὶ πάλιν· « Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. »

Multa, inquit, eorum, quæ putantur bona, cum talia non sint, postquam magno homines studio aggressi fuerint, frustra operam in ea suam contulisse reperiuntur : quippe ad miserum illos exitum deducunt. Enimvero ex omnibus, quæ isti maxime optanda atque amplectenda censent : Nihil mihi, inquit, bonum 90 visum est præter alimenta quæ naturæ debentur, id est præter cibum et potum, et quam hæc afferunt in ista vitæ conditione lætitiam. Id enim unum homines tanquam Dei munus citra reprehensionem ob fluxas naturæ vires assumunt. « Omnia enim, inquit David propheta, a te exspectant, ut des escam ipsorum in tempore : dante te illis colligent; aperiente te manum, omnia implebuntur bonitate (35). » Et rursum : « Oculi omnium in te sperant, et tu das escam illorum in tempore opportuno : aperis tu manum tuam et imples omne D animal benedictione (36). »

Διὰ τοῦτο καὶ νῦν ὁ σοφὸς Ἐκκλησιαστὴς τοῦτο μόνον δόμα Θεοῦ κατήγγειλε, δηλονότι τὸ φαγεῖν καὶ πιεῖν σωφρόνως καὶ τεταγμένως. Τὰ δὲ λοιπὰ τῶν νομιζομένων τοῖς ἀνθρώποις περισπουδάστων τῆς ὑπολήψεως τοῦ ἀγαθοῦ πόῤῥω διώρισεν, ὡς θᾶττον ἀλλοιούμενα καὶ φθειρόμενα, καὶ πρὸς ἀνυπαρξίαν περιστάμενα παντελῶς, καὶ μηδεμίαν προξενοῦντα

Propterea et hic sapiens Ecclesiastes hoc unum Dei munus appellavit, ut sobrie scilicet ac destinatis temporibus edamus atque bibamus : cætera vero quæ homines studio digna arbitrantur, a suspicione ipsa boni procul sejunxit (37); quippe quæ cito mutentur atque contabescant, cumque interitum undique metuant, nullam penitus utilitatem suppe-

(34) Olymp. καὶ ἴδῃ.

(35) Psal. CIV, 27, 28. At LXX habent δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον.

(36) Psal. CXLV, 15. Leges apud LXX : Ἀνοίγεις σὺ τὰς χεῖράς σου....

(37) Sententiam Ecclesiastæ totam, opinor, nec per ambages, paucis complexus fuerat Gregorius Neocæsariensis : Πέπεισμαι τοίνυν τὰ μέγιστα ἀγαθὰ ἀνθρώπῳ εὐθυμίαν καὶ εὐποιΐαν ὑπάρχειν, καὶ μέντοι καὶ τὴν πρόσκαιρον ταύτην ἀπόλαυσιν ἐκ Θεοῦ παραγέννεσθαι μόνον, εἰ δικαιοσύνη τῶν πράξεων ἡγοῖτο. Id est : *Persuasum igitur habeo, animi hilaritatem et beneficentiam maxima homini bona esse, atque adeo brevem hanc solam voluptatem divinitus obvenire, si rebus gerendis justitia præeat.* (In Metaphr. Eccles.)

Digitized by Google

ditent. Porro interpretationem hujusmodi iis etiam confirmat, quæ statim subjecit. Ait enim :

τὸ παράπαν ὠφέλειαν. Πιστοῦται δὲ τὴν τοιαύτην ἐκδοχὴν καὶ δι' ὧν ἀμέσως ἐπήγαγε. Φησὶ γάρ·

§ XVII.

VERS. 14. *Cognovi, quia omnia, quæ fecit Deus, ipsa erunt in æternum. Ad illa fas non est addere, et ab illis fas non est demere. Et Deus fecit, ut timeant a facie sua* (38).

Ἔγνων, ὅτι πάντα, ὅσα ἐποίησεν ὁ Θεὸς, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα. Ἐπ' αὐτῶν οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Καὶ ὁ Θεὸς ἐποίησεν, ἵνα φοβηθῶσιν ἀπὸ προσώπου αὐτοῦ.

Quæ a flagitiosis pravisque hominibus geruntur ac fiunt, quorum nihil illico non disperit atque evanescit, ab iis distinguens, quæ ab universæ naturæ auctore et conditore Deo prodiere, illud proponit omnibus atque ostendit, cuncta hæc, nulli obnoxia varietati, permanere perpetuo statu, nec finem suum atque interitum præstolari, nisi postquam dies advenerit, quo extrema mundi hujus immutatio terminatioque peragatur. Atque hæc **91** ejusmodi esse affirmat, ut neque addi quidquam, neque demi ullo modo possit, ne ab eo quidem ipso, unde omnia esse cœperunt. Omnia enim ille jam fecit valde bona : ut quæ apto integroque numero atque ordine ab eo condita fuerint, detractionem singula atque additionem omnem æque respuant. Nam quæ Deus judicio suo definivit et valde bona pronuntiavit, quonam modo quasi aut defectu aut superfluitate laborantia vel tollendo ille minuat vel addendo augeat ? Id nimirum a prudentia alienum est et potentia et sapientia, quæ Deum decent : cum in prudenti etiam cordatoque viro dissentaneum plane atque absurdum videatur mutare consilium, et secundis curis ea corrigere, quæ jam inchoata fuerint.

Hæc vero omnia, quæ in cœlis scilicet et in terra et in mari sunt, ita Deus condidit, ut in tam miro corum ordine ac conversione contemplantes homines immensum magnitudinum spectaculum et consonum illum motum ac statum, Conditorem rerum omnium animo cogitent, eumque veteri incipientes, potentiæ majestatisque ejus imperio se submittant. At hi contra obsequium et famulatum ejus tota mente aversati, fluxas potius res et caducas serviliter consectantur, atque abdomini suo et corporis voluptatibus indulgent ; non utique omnipotenti Deo : « Extendenti cœlum sicut pellem, et, fundanti terram super stabilitatem suam, et abyssus atque immensam maris plenitudinem refrenanti (39), dominantique in virtute sua in æternum [92]. » Utique ergo adjecit statim :

Ἀντιδιαστέλλων τοῖς ὑπὸ τῶν μοχθηρῶν καὶ φαύλων ἀνθρώπων γινομένοις καὶ πεπραγμένοις, ἃ δὴ παραυτίκα διόλλυνται, καὶ φροῦδα γίνονται παντελῶς, τὰ παρὰ τοῦ πάντων γενεσιάρχου καὶ ποιητοῦ Θεοῦ προτίθησι τοῖς ἀνθρώποις, καὶ διαδείκνυσιν, ὡς πάντα διαμένουσιν ἀναλλοίωτα καὶ διαιωνίζοντα, καὶ μηδεμίαν ὑπομένοντα πρὸς τὸ μὴ ὂν περιχώρησιν, μέχρις ἂν ὁ καιρὸς ἔλθοι τῆς κοσμικῆς ἀλλοιώσεως καὶ παντελοῦς ἀποπερατώσεως. Ἐν οἷς, φησὶν, οὔτε τινὰ προσθήκην οὔτε μὴν ἀφαίρεσιν ποιήσασθαι δυνατόν ἐστιν, οὐδ' αὐτὸν ἐκεῖνον τὸν πάντων ὑποστήσαντα τὴν οὐσίωσιν. Ἤδη γὰρ πάντα καλὰ πεποίηκε λίαν· καὶ τῶν ἀμηχάνων ἐστὶ τοῖς ῥυθμῷ καὶ τάξει τῇ πρεπούσῃ καὶ σωστικῇ παρ' αὐτοῦ γεγονόσιν, ἀφαίρεσίν τινα ὑποστῆναι τὸ σύνολον, ἢ προσθήκην τὸ ἔμπαλιν. Ἃ γὰρ ἤδη κέκρικεν ὁ Θεὸς καὶ διώρισε καὶ καλὰ λίαν ὠνόμασε, πῶς ὡς ἐλλιπῶς ἢ περιττῶς ἔχοντα δι' ἀφαιρέσεως ἐλαττώσει, ἢ προσθήκης αὐξήσει ; Τοῦτο γὰρ ἀλλότριόν ἐστι τῆς θεοπρεποῦς συνέσεως καὶ δυνάμεως καὶ σοφίας. Ὅπου γε κἀπὶ τῶν ἐμφρόνων καὶ συνετῶν ἀνθρώπων ἀπεοικὸς εὕρηται καὶ παντελῶς ἀπεμφαῖνον τὸ μεταβουλεύεσθαι, καὶ πρὸς τὸ βέλτιον τὴν ἰδίαν πρᾶξιν ἐπανάγειν ὑστέρως.

Οὕτω δὲ ταῦτα πάντα πεποίηκεν ὁ Θεὸς τὰ κατ' οὐρανὸν δηλονότι καὶ τὴν γῆν καὶ τὴν θάλατταν, ἵνα διὰ τῆς παναρμονίου τάξεως αὐτῶν καὶ κινήσεως βλέποντες οἱ ἄνθρωποι τῶν μεγεθῶν τὴν ἄπλετον θέαν καὶ τὴν συμπεφωνημένην κίνησιν καὶ διαμονὴν, ἐννοῶσι τὸν ποιητὴν αὐτῶν, καὶ τὸν φόβον αὐτοῦ διαπαντὸς ἐν ταῖς σφῶν καρδίαις ἀναλαμβάνωσι, καὶ καθυποτάττωνται μετὰ φόβου τῷ κράτει τῆς ἰσχύος αὐτοῦ καὶ μεγαλειότητος. Οἱ δὲ πόῤῥω διατιθέντες τὴν καρδίαν τῆς πρὸς αὐτὸν ὑποταγῆς καὶ θητείας, τοῖς παρερχομένοις καὶ φθειρομένοις ὑποτάττονται μᾶλλον, καὶ τῇ κοιλίᾳ καὶ ταῖς σαρκικαῖς δουλεύουσιν ἡδοναῖς, ἀλλ' οὐχὶ τῷ παναλκεῖ Θεῷ « Τῷ ἐκτείναντι τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, καὶ θεμελιώσαντι τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, καὶ τὰς ἀβύσσους καὶ τὴν ἄμετρον πληθὺν χαλινώσαντι τῆς θαλάσσης, καὶ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. » Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγε ·

[92] Lib. I, § 14.

(38) Apud LXX invenies : Ἐπ' αὐτῷ οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν. . . . Olymp. Καὶ ὁ Θεὸς ἐποίησεν αὐτὰ, ἵνα φοβηθῶσιν.

(39) Psal. CIV, 2, verbis carptim delibatis.

Digitized by Google

§ XVIII.

Τὸ γενόμενον, ἤδη ἔστι· καὶ ὅσα τοῦ γενέσθαι ἤδη γέγονε· καὶ ὁ Θεὸς ζητήσει τὸν διωκόμενον.

Μονονουχὶ γάρ φησιν· Ἀΐδιος μέν ἐστιν ὁ Θεὸς μόνος, μήτ' ἀρχὴν ἔχων μήτε μὴν τέλος· ἀλλὰ καὶ κατὰ τὸ ἀκόλουθον ἀναλλοίωτος ἀεὶ διαμένων κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως, ὡς μόνος καὶ πάσης τροπῆς καὶ μεταβολῆς ἀπαράδεκτος. Σὺ δὲ θνητὸς ὑπάρχεις, ἄνθρωπε, καὶ παρατροπαῖς μυρίαις καθυποκείμενος, καὶ θητεύων πάντοτε καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν προφανῶς. Ταῦτα δέ σοι προσγίνονται διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν, καὶ τὸ τῆς προαιρέσεως πρὸς τὴν τῶν χειρίστων πρᾶξιν μετακίνητον. Οὐδὲ γὰρ ἐξ ἴσου κἂν τοῖς ὑπὸ Θεοῦ γεγονόσιν ἀψύχοις τὴν διαμονὴν καὶ τὴν ἀμετάβλητον κίνησιν καὶ κατάστασιν ἀναλλοίωτον ἠδυνήθης ἔχειν, διὰ τὴν ἐθελούσιον τῶν φυσικῶν καταστάσεων μετακίνησιν καὶ παρέγκλισιν καὶ παρέκτασιν· τῶν γὰρ ὑπὸ Θεοῦ γενομένων ἕκαστον ἤδη ἔστι· καὶ ὅσα γίνεσθαι προέβλεψεν ὁ Δημιουργὸς εἰς τὴν τοῦδε τοῦ κόσμου σύστασιν καὶ διαμονὴν καὶ συντήρησιν, ἤδη γέγονε. Σὺ δὲ τούτων ἁπάντων αὐθαιρέτως εὑρίσκῃ χείρων ὁ κατ' εἰκόνα τῆς θείας ἀϊδιότητος γεγονὼς, οὐδὲ ταῖς φυσικαῖς ἐμμένων κινήσεσιν, οὐδὲ ταῖς ἐντολαῖς τοῦ Θεοῦ πειθαρχῶν, καὶ τὰ καλὰ καὶ δίκαια καὶ πρέποντα καὶ σωστικὰ φυλάττων ἀμεταβλήτως. Διὰ τοῦτο τοίνυν παρερρύης τῆς ζωῆς, καὶ τῷ θανάτῳ καὶ τῇ φθορᾷ παρεπέμφθης. Κἂν ὁ Θεὸς ὁ ποιήσας σε καὶ διὰ σὲ καὶ πάντα τὸν ὁρώμενον κόσμον ὡς ἀγαθὸς ὑποστήσας, ἀναζητήσῃ σε πάλιν τὸν ὑπὸ τοῦ φθονεροῦ καὶ μισανθρώπου διαβόλου πρὶν φθονηθέντα καὶ διωχθέντα, καὶ πρὸς τὴν τοῦ θανάτου καὶ τῆς φθορᾶς παραπεμφθῆναι παρασκευάσαντα κατοχήν.

Τοῦτο δὲ προφητικῆς ἐστι χάριτος τῆς τῷ Ἐκκλησιαστῇ δεδομένης θεόθεν, τὸ φάναι τὸ παρὰ τοῦ θεαρχικοῦ Λόγου καὶ Ποιητοῦ τῶν ἁπάντων γενησόμενον διὰ τῆς ἀγαθοπρεποῦς αὐτοῦ καὶ φιλανθρώπου συγκαταβάσεως· αὐτὸς γάρ φησιν, « Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός. » Πιστοῦται γὰρ τὴν τοιαύτην ἐκδοχὴν καὶ διὰ τῶν ἀμέσως ἑπομένων. Φησὶ γάρ·

A VERS. 15. *Quod fuit, jam est; et quæ futura sunt, jam fuerunt: et Deus quæret eum, qui persecutione premitur* (40).

Velut si dicat : Æternus quidem est solus Deus, principii æque et finis expers : atque adeo immutabilis semper in omnibus, ac sibi plane constans, ut conversionem et varietatem unus omnem excludat. At tu, homo, et mortalis es, et **92** variationi passim mutationique obnoxius : nec minus corpore quam animo semper addictus planeì in servitutem. Porro hæc tu subis propter lubricam istam mentis ac voluntatis tuæ ad pessima quæque facilitatem. Quippe qui eorum, quæ inanima a Deo condita sunt, perseverantiam constantemque motum aut immutabilem statum ob voluntariam naturalium constitutionum transmutationem et deflexum et productionem æquare non potueris. Nam rerum a Deo conditarum singulæ jam sunt, et quæcunque summus ille artifex ad mundi hujus compositionem et incolumitatem et tutelam faciendæ esse prævidit, jam exstitere. Tu vero hisce omnibus tua sponte pejorem te prodis, tu, inquam, ad divinæ æternitatis similitudinem conditus, qui neque naturalibus obsecundes motibus, neque divinis pareas mandatis, neque honesta quæ sint et justa et convenienția et salutaria constanter tuearis. Idcirco igitur vita amissa ad mortem corruptionemque deductus es : quanquam Deus, qui te condidit, et pro bonitate sua mundum hunc, quem intuemur, universum tua causa constituit, te iterum requirit, invidia jam et insectatione communis hostis subactum, diaboli, inquam, qui æternum tibi exitium perniciemque molitur (41).

At vero prophetica in eo facultas eminet, quæ divinitus Ecclesiastæ data est, quod ea enuntiarit, quæ a summo divinoque Verbo et omnium Conditore per dignum illum bonitate ejus atque humanitate descensum faciendæ erant : ipse enim ait : *Venit Filius hominis quærere et salvum facere quod perierat* [62]. » Et fidem interpretationi huic afferunt, quæ protinus subjiciuntur. Ait enim :

93 § XIX.

Καὶ ἔτι εἶδον ὑπὸ τὸν ἥλιον τόπον τῆς κρίσεως· ἐκεῖ ὁ ἀσεβὴς· καὶ τόπον τοῦ δικαίου· ἐκεῖ ὁ εὐσεβής.

Μυστικὰς ἡμῖν δύο θεωρίας εἰσάγει καὶ προτίθησιν νῦν ὁ σοφὸς Ἐκκλησιαστής· προκαταγγέλλει γὰρ προφητικῶς τὴν ὑπὸ τοῦτον τὸν ἥλιον γενησομένην τοῦ Ἐμμανουὴλ καὶ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν

D VERS. 16. *Et adhuc vidi sub sole locum judicii; illic impius : et locum justi; illic pius.*

Mysticas nunc considerationes adducit binas, easque nobis proponit sapiens Ecclesiastes; prænuntiat enim vaticinans, quæ hoc sub sole fieri debebat, Emmanuelis et Christi ac Servatoris nostri

[62] Psal. LXVI, 7. [63] Luc XIX, 10.

(40) Olymp. καὶ ὅσα τοῦ γίνεσθαι.

(41) In alia abit Symmachus; hæc enim est ejus interpretatio : Ὁ δὲ Θεὸς ἐπιζητήσει ὑπὲρ τῶν ἐκδιωκομένων. Nempe, *Deus autem inquiret pro eis, qui persecutionem patiuntur.* Nec ab eo dissentit Neocæsariensis Gregorius, qui locum hunc sic explanat : Θεῷ δὲ κέχρηται ὁ ἀδικούμενος βοηθῷ. Id est, *Deum vero is, qui injuste læsus est, auxiliatorem habet.* (Ibid.)

Digitized by Google

inhumanationem (42) : quemadmodum et David propheta prædixit, cum ait : « In sole posuit tabernaculum suum ; » illud declarans justitiæ Solem, qui in summis divinisque cœlestium altitudinum sedibus æternum sedet, natura humana assumpta, tabernaculum sibi hoc sub sole, quem oculis usurpamus, electurum, quomodo etiam Joannes evangelistes dicit : » Et habitavit in nobis [66], » ac simul judicium designat, quod is deinde subire necessario debebat, qui primus impium maxime se præbuit, diabolus, inquam, de quo Dominus ipse in Evangeliis ait : « De judicio autem, quia princeps hujus mundi jam judicatus est : » Et multo antea David propheta : « Increpasti gentes, et periit impius ; nomen ejus delevisti in æternum et in sæculum sæculi (43). »

A

Judicium igitur prænuntiat, quod adversus Satanam factum est, qui primus summæ impietatis reus, et contra Deum omnipotentem superbia elatus dixit : « Ponam thronum meum super nubes, et ero similis Altissimo (44) ; » tum etiam judicium **94** cæterorum omnium, qui comites ejus fuerunt et honestatis hostes dæmonum, atque hominum quoque malorum, qui Deum ac pietatem repudiaverunt, ut iterum Propheta memorat : « Paravit in judicio thronum suum, et ipse judicabit orbem terræ in æquitate, judicabit populos in justitia [67]. » Jam vero locum, ubi diaboli et cæterorum, quos sub hoc sole esse aiebat, judicium peractum est, videre contendit, et Hierosolyma, ut opinor, potissimum indicat. Illic enim patibulo affixus auctor vitæ nostræ, salutiferis cruciatibus sponte toleratis, desertorem et hostem humani generis Satanam sociosque ejus transfugas cruce ipsa et dolorum perpessione judicavit et condemnavit. Consequitur autem, ut et terram universam, quæ sub hoc sole est, judicii locum appellet ; quippe omnipotenti præcepto ejus et oraculo divinæ potestatis edicenti : « Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti [68], » cum paruissent sanctissimi ac laudatissimi discipuli ejus et apostoli, ita per totum orbem divisi sunt, ut ex Domini doctrina atque sermonibus impios omnes judicarent condemnarentque, atque idololatriam,

B

C

ἐνανθρώπησιν· καθὼς καὶ Δαβὶδ ὁ προφήτης προεἰρηκε φάσκων, « Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· » τῆς δικαιοσύνης τὸν ἥλιον τὸν ἐν τοῖς ὑπερουρανίοις καὶ θείοις ὑψώμασι καὶ θώκοις ἀϊδίως καθήμενον, ὑπὸ τὸν ἥλιον τοῦτον τὸν αἰσθητὸν προελέσθαι διὰ τῆς προσληφθείσης αὐτῷ φύσεως ἀνθρωπίνης τὴν κατασκήνωσιν προδηλῶν, καθώς φησι καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης· « Καὶ ἐσκήνωσεν ἐν ἡμῖν· » κἀντεῦθεν τὴν ἐξ ἀνάγκης δι' αὐτῆς ἐπομένην κρίσιν τῷ ἀσεβεῖ γεγονότι προηγουμένως καὶ καταρχὰς, δηλονότι τῷ διαβόλῳ, περὶ οὗ φησιν αὐτὸς ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις, « Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. » Καὶ πολλῷ δὲ πρώην ὁ προφήτης Δαβίδ· « Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

Τὴν κρίσιν οὖν προκαταγγέλλει τὴν γεγονυῖαν τῷ πρώτως καὶ κυρίως ἀσεβεῖ φανέντι Σατᾶν, καὶ τραχηλιάσαντι κατὰ Θεοῦ παντοκράτορος καὶ εἰπόντι· « Θήσω θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. » Ἔπειτα δὲ καὶ τῶν ἄλλων ἁπάντων συνοπαδῶν αὐτοῦ καὶ μισοκάλων δαιμόνων, καὶ μέντοι καὶ τῶν ἀθέων καὶ δυσσεβῶν ἀνθρώπων καὶ φαύλων, καθὼς αὖθις ὁ προφήτης φησί· « Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι. » Τὸν τόπον οὖν τῆς κρίσεως ταύτης τῆς γεγονυίας τῷ διαβόλῳ καὶ τοῖς ἄλλοις, περὶ ὧν εἶπεν ὁ λόγος ὑπὸ τοῦτον τελεῖν τὸν ἥλιον, ἰδεῖν διατείνεται, δηλῶν, ὡς οἶμαι, προηγουμένως τὴν Ἱερουσαλήμ· ἐκεῖ γὰρ ἐν τῷ Ἰκρίῳ προσηλωθεὶς, καὶ τὸ ζωηφόρον ἀνατλὰς πάθος ἐθελουσίως ὁ τῆς ζωῆς ἀρχηγὸς, διὰ τοῦ σταυροῦ καὶ τοῦ πάθους κέκρικε καὶ κατέκρινε τὸν ἀποστάτην καὶ μισάνθρωπον Σατανᾶν καὶ τοὺς συναποστάτας αὐτοῦ καὶ συνοπαδούς. Ἀκολούθως δὲ καὶ πᾶσαν τὴν γῆν τὴν οὖσαν ὑπὸ τοῦτον τὸν ἥλιον, τόπον ὀνομάζει τῆς κρίσεως· τῷ γὰρ παντοδυνάμῳ προστάγματι καὶ λόγῳ τῆς θεοπρεποῦς αὐτοῦ δυνάμεως (τῷ φάσκοντι· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ») πειθαρχήσαντες οἱ θεσπέσιοι καὶ πανεύφημοι μαθηταὶ καὶ ἀπόστολοι διῃρέθησαν εἰς πᾶσαν τὴν γῆν ἐν τοῖς τοῦ Κυρίου δόγμασι καὶ λόγοις κρίνοντες καὶ

[66] Psal. xix, 4. [67] Joan. i, 14. [68] Joan. xvi, 11. [67] Psal. ix, 7. [68] Matth. xxviii, 19.

(42) Ἐνανθρώπησιν, quam vocem Græci Patres a concilii Nicæni temporibus passim usurparunt, reddidi *inhumanationem* : id quippe vocabulum Græco apprime respondet, nec novum est, cum bis libro I Codicis legamus, l. v et vi, tit. 1. Cæterum Græcæ dictionis vim et significationem eludere olim conabantur Apollinarii sectatores, de quibus Gregorius Nazianzenus sic scribit : Τὸ δὲ αὐτὸ καὶ περὶ τὴν τῆς « ἐνανθρωπήσεως » κακουργοῦσι φωνὴν, τὸ Ἐνηνθρώπησεν, οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ὃν ἑαυτῷ περιέπηξεν ἐξηγούμενοι κατὰ τὸ εἰρημένον· « Αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ, » ἀλλ' ἀνθρώποις ὡμίλησε, καὶ συνεπολιτεύσατο λέγοντες καὶ διδάσκοντες, καὶ πρὸς ἐκείνην καταφεύγοντες τὴν φωνὴν, τὴν, « Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, » λέγουσαν. Nempe, *Idem autem etiam circa* ἐνανθρωπήσεως *vocem improbe ac versute usurpant, hoc verbum* ἐνηνθρώπησεν *haud ita explicantes, ut idem sit, atque* « *In homine, quem sibi affixit, exstitit,* » *quemadmodum scriptum est,* « *Ipse enim sciebat quid esset in homine* » (*Evang. Joan.* II, 25) : *verum idem esse dicentes ac docentes, atque :* « *Cum hominibus consuetudinem habuit et versatus est,* » *et his se verbis tutantes :* « *Post hæc in terra visus est, et cum hominibus conversatus est* » (*Baruch* III, 38). Vide, si lubet, reliqua orat. lib. LII, n. 9.

(43) At LXX habent : Τὸ ὄνομα αὐτῶν ἐξήλειψας....

(44) Isaias, XIV, 14. Sed apud LXX leges, Ἀναβήσομαι ἐπάνω τῶν νεφῶν, ἔσομαι ὅμοιος....

Digitized by Google

κατακρίνοντες πάντας τοὺς ἀσεβεῖς καὶ τὴν κορυφωθεῖσαν εἰδωλολατρείαν καταράσσοντες εἰς τὴν γῆν καὶ φροῦδον ἀποδεικνύντες.

Εἰς τὸν τόπον οὖν τῆς κρίσεως εἶδεν ὁ σοφὸς Ἐκκλησιαστὴς τὸν ἀσεβῆ καταδεδικασμένον, καὶ κατακεκριμένον, ὡς ἔφθημεν εἰπόντες, τὸν διάβολον, καὶ πάντας τοὺς τῇ πονηρίᾳ καὶ δυσσεβείᾳ τῆς ἐκείνου λύττης κατηκολουθηκότας. Εἶδε δὲ καὶ τόπον τοῦ δικαίου, τουτέστι τοῦ μέλλοντος δικαιοῦσθαι παρὰ τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν διὰ τῆς πρὸς αὐτὸν κατακολουθήσεως καὶ τῆς πρὸς τὸν Θεὸν καὶ Πατέρα πίστεως ἀκραιφνοῦς. Διὰ τοῦτό φησιν, « Ἐκεῖ ὁ εὐσεβής. » Εἰ γὰρ εὐσεβής ἐστιν ὁ τὰς ὑπολήψεις ἀγαθὰς ἔχων πρὸς τὸν ἐπὶ πάντων Θεὸν, καὶ τῶν ὀρθοδόξων δογμάτων τὴν ἀσφάλειαν φυλάττων καὶ συντηρῶν, δῆλον, ὅτι καὶ πάντες οἱ πεπιστευκότες εἰς Χριστὸν τὸν Σωτῆρα τοῦ κόσμου καὶ Λυτρωτὴν, καὶ διὰ τοῦτο παρ' αὐτοῦ δικαιωθέντες ἐκ πίστεως, τῇ προσηγορίᾳ τοῦ προκαταγγελθέντος *δικαίου* παρὰ τοῦ Ἐκκλησιαστοῦ παραληφθήσονται προσηκόντως.

Μία μὲν οὖν αὕτη τῶν εἰρημένων ἡμῖν θεωριῶν πέφυκεν· ἑτέρα δὲ κατὰ τὸ ἀκόλουθον αὐτῇ καταγγελθήσεται. Δῆλον γὰρ, ὡς τῆς ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν γενησομένης κρίσεως καὶ τῆς τῶν βεβιωμένων ἀνταποδόσεως, διατείνεται τὸν τόπον ἰδεῖν ὁ σοφὸς Ἐκκλησιαστής. Ἔσται δὲ κἀκείνη πάντως ἐπὶ τῆς γῆς, ὡς ἐλπίζομεν καὶ πιστεύομεν, πρὸς ἣν ὁ κρίνων πᾶσαν τὴν γῆν καὶ δίκαιος κριτὴς ἐν δόξῃ τῇ πατρικῇ καταβὰς κρινεῖ πάντας ἀνθρώπους, καὶ τοὺς προσηκαμένους τὸ τῆς σωτηρίας ἡμῶν Εὐαγγέλιον, καὶ τοὺς ἥκιστα τοῦ εὐαγγελικοῦ κηρύγματος τῇ σωτηρίῳ ζεύγλῃ καθυποταγέντας διὰ πολλὴν ἀβουλίαν· περὶ ὧν φησι καὶ Δαβὶδ ὁ προφήτης· « Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ. » Εἴτε τοίνυν ἀμφοτέρας ὀνομάζει τὰς κρίσεις, ὡς ἡμεῖς ὑπειλήφαμεν, εἴτε θατέραν· τέως, ἄνθρωπε, σὺ γνῶθι κρίσιν ὀνομάζεσθαι καὶ προκαταγγέλλεσθαι παρὰ τοῦ σοφοῦ προφανῶς Ἐκκλησιαστοῦ, καὶ διάκρισιν καὶ διαστολὴν τόπου καὶ τόπου, καὶ ἀσεβοῦς καὶ εὐσεβοῦς πρὸς τὸ, κατὰ τὴν διαφορὰν τῶν ὑπολήψεων ἑκατέρου καὶ τῆς ζωῆς καὶ πολιτείας, ἑκατέρῳ καὶ τὸν τόπον κληρώσασθαι παρὰ τῶν θεοπρεπῶν καὶ θεοκρίτων ζυγῶν.

Ἐντεῦθεν οὖν ἀποδέδεικται κατὰ τὸ μᾶλλον καὶ καταφανεστέρως μηδὲν ἐν ἀποδοχῆς μέρει τῶν ἀνόπιν αὐτῷ λελεγμένων, ἢ κατόπιν λεχθησομένων περὶ τῶν μοχθηρῶν μόχθων καὶ κόπων καὶ τῶν ἄλλων τῆς πονηρίας καὶ φαυλότητος ἐπιτηδευμάτων

quæ ad summum sese fastigium extulerat, dejectam et humi afflictam, plane inanem demonstrarent.

Porro ad judicii locum vidit sapiens Ecclesiastes condemnatum impium, atque, ut modo diximus, perculsum diabolum, et omnes, qui improbitatem perversitatemque furoris illius consectati fuerunt. Vidit autem et locum justi, sive ejus, qui justi sanctimoniam a Christo et Servatore nostro hausturus erat, siquidem ipsi adhæreret, et Deum Patremque ejus sincera professione veneraretur. Itaque dicit : « Illic pius ; » si enim pius est, qui rectas de Deo universi opiniones habet, quique doctrinæ orthodoxæ sanctitatem custodit atque tuetur, profecto omnes quoque, qui Christum Servatorem mundi Liberatoremque agnoverunt, et ob hanc professionem ab eo justitiæ sanctimoniam accepere, merito ab Ecclesiaste *Justi* appellatione designati censeantur (45).

95 Habes jam primam earum considerationum, quas initio memoravimus. Altera nunc, ut par est, proferetur. Liquet nimirum, sapientem Ecclesiasten contendere, ut locum videat judicii, quod in altero Christi et Dei ac Servatoris nostri adventu, non sine eorum quæ in vita peracta fuerint remuneratione, faciendum est. Erit vero et illud omnino in terra, uti speramus atque credimus : cujus causa, qui orbem universum judicat, justus judex paterna cum gloria delapsus, omnes homines in judicium vocabit, tam eos qui salutis nostræ Evangelium admisere, quam illos, qui salutare evangelicæ prædicationis jugum temere inconsulteque detrectaverunt : de quibus et David propheta dicit : « Convertantur peccatores in infernum, omnes gentes, quæ obliviscuntur Deum [69]. » Sive igitur utrumque ille judicium appellat, uti nos opinamur, sive alterutrum ; illud tu interea agnosce, o mortalis, judicium a sapiente Ecclesiaste nominari, manifestoque prædici, ac secretionem simul distinctionemque loci a loco et impii a pio, ut pro ratione suscepti consilii et actæ vitæ eum habeat uterque locum, quem æquissimæ justissimæque Dei lances utrique attribuerint.

Quæ cum ita sint, si potiorem manifestationemque sensum sequamur, jam in comperto est, nihil eorum quæ superius dicta sunt, quæve infra dicentur de flagitiosis laboribus et defatigationibus cæterisque pravitatis improbitatisque professionibus et

[69] Psal. IX, 17.

(45) Hæc quadrant, si cum LXX legimus καὶ τόπον τοῦ δικαίου, ἐκεῖ ὁ εὐσεβής, quemadmodum et in codice Vaticano scriptum est, et aliis quibusdam in libris, ut in editione Romana adnotatur ; quin et ita legit Lucifer Caralit. lib. I pro sancto Athanasio : *Et locum justi ; illic pius :* nec aliter legisse videtur Gregorius Neocæs. ; sic enim hunc locum explanavit : Εἶδον ἐν τοῖς κάτω μέρεσι κολάσεως μὲν βάραθρον τοὺς δυσσεβεῖς δεχόμενον, εὐσεβέαι δὲ χῶρον ἕτερον ἀνειμένον. Nempe, *Vidi porro in inferis partibus supplicii barathrum impios excipiens : piis contra sedem alteram patefactam.* At qui editionem Romanam curarunt, candide ascripsere : *In plerisque vero libris est,* Καὶ τόπον τοῦ δικαίου, ἐκεῖ ὁ ἀσεβής· tum et Hieronymum legisse, *Et locum justitiæ, ubi iniquitas,* quæ verior lectio videtur Drusio.

Digitized by Google

studiis, nihil, inquam, comprobandi gratia, sed obtrectandi potius et deprimendi et castigandi condemnandique causa prolatum esse, ut omnes ille homines, quantum ad desiderium ejus et studium pertinebat, instituerent hoc pacto erudiretque, atque ad rectam potioris vitæ rationem traduceret. Propterea utique ait rursum :

A καὶ σπουδασμάτων ποιήσασθαι τὴν ἐξήγησιν· ἀλλ' ἐν διαβολῇ καὶ θριάμβῳ καὶ στήλῃ καὶ καταγνώσει, πρὸς τὸ πάντας ἀνθρώπους, ὅσον ἦκεν εἰς τὴν ἰδίαν ἔφεσιν καὶ σπουδήν, παρασκευάσαι διατεθῆναι καὶ κατὰ [τ]αὐτὰ καὶ ὡσαύτως, καὶ πρὸς ἐπιστροφὴν ἐπανάξαι καὶ διόρθωσιν καὶ βελτίωσιν. Ἀμέλει τοίνυν αὖθίς φησιν·

§ XX.

96 Vers. 18. *Dixi ego in corde meo : Justum et impium judicabit Deus; quia tempestivitas omni rei, et super omne factum. Dixi ego in corde meo de loquela filiorum hominis, quia separabit illos Deus, et ut ostendat, quia ipsi jumenta sunt. Et quidem ipsis, quia eventus filiorum hominis, et eventus pecoris, eventus unus ipsis omnibus. Sicut mors hujus, ita mors illius ; et spiritus unus omnibus* (46).

Εἶπα ἐγὼ ἐν τῇ καρδίᾳ μου· Σὺν τὸν δίκαιον καὶ τὸν ἀσεβῆ κρινεῖ ὁ Θεός· ὅτι καιρὸς τῷ παντὶ πράγματι καὶ ἐπὶ παντὶ ποιήματι. Εἶπα ἐγὼ ἐν καρδίᾳ μου περὶ λαλιᾶς υἱῶν ἀνθρώπου, ὅτι B *διακρινεῖ αὐτοὺς ὁ Θεὸς, καὶ τοῦ δεῖξαι, ὅτι αὐτοὶ κτήνη εἰσί. Καί γε αὐτοῖς, ὅτι συνάντημα υἱῶν τοῦ ἀνθρώπου, καὶ συνάντημα τοῦ κτήνους, συνάντημα ἐν αὐτοῖς πᾶσιν. Ὡς ὁ θάνατος τούτου, οὕτως ὁ θάνατος τούτου· καὶ πνεῦμα ἐν τοῖς πᾶσιν.*

Locutus modo de judicii loco, sive illius, quod a primo eoque benevolo summi ac divini Verbi Christi Servatoris nostri descensu peractum est; sive ejus, quod deinceps secundo adventu ipsius magno illustrique fieri debet : vel etiam de utroque, quemadmodum nos opinati sumus; tum impio quidem in judicii sive punitionis locum ablegato, contra vero sede justi sive sanctimoniæ attributa pio, cum nempe de utriusque loco ait : « Illic impius, » ac rursum ; « illic pius ; » ampliorem jam et planiorem de hisce enarrationem instituit, illudque contendit, cum justo impium quoque a Deo universi in judicium vocatum iri, eo utique tempore, quod jam et divinæ inhumanationis ergo, et gloriosi adventus alterius causa definitum constitutumque esset : quo et cœlestium angelorum ad sanctos laudatosque apostolos verba pertinent, cum Emmanuele et Christo ac Servatore nostro cœlis recepto, dixere : « Viri Galilæi, quid statis aspicientes in cœlum ? Hic Jesus, qui assumpsus est a vobis in cœlum, sic veniet, quemadmodum vidistis eum euntem in cœlum [10]. »

Εἰπὼν προσεχῶς περὶ τόπου τῆς κρίσεως, εἴτε τῆς κατὰ τὴν προτέραν καὶ φιλάνθρωπον συγκατάβασιν καὶ καταφοίτησιν τοῦ θεαρχικοῦ Λόγου καὶ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν γεγενημένης, εἴτε περὶ τῆς ἔτι κατὰ τὴν δευτέραν ἔνδοξον παρουσίαν γενησομένης, εἴτε καὶ περὶ τῶν ἀμφοτέρων, ὡς ἡμεῖς ὑπειλήφαμεν· καὶ τῷ μὲν τόπῳ τῆς κρίσεως, ἤτοι κολάσεως, ἀποκληρώσας τὸν ἀσεβῆ, τῷ δὲ τόπῳ τοῦ δικαίου, τουτέστι τῆς δικαιώσεως, ἀποκληρώσας ἔμ- C παλιν τὸν εὐσεβῆ, διὰ τοῦ ἐφ' ἑκατέρων τόπων εἰπεῖν· « Ἐκεῖ ὁ ἀσεβής, » καὶ πάλιν, « Ἐκεῖ ὁ εὐσεβής· » διεξοδικωτέραν ἔτι ποιεῖται τὴν περὶ τῶν τοιούτων ἐξήγησιν, καὶ διατείνεται κριθήσεσθαι μετὰ τοῦ δικαίου καὶ τὸν ἀσεβῆ παρὰ τοῦ Θεοῦ τῶν ἁπάντων ἐν προδιωρισμένῳ καὶ τεταγμένῳ καιρῷ, δηλονότι καὶ τῷ κατὰ τὴν θείαν ἐνσωμάτωσιν παραλαμβανομένῳ· καὶ μέντοι καὶ τῷ κατὰ τὴν ἔνδοξον δευτέραν παρουσίαν· οὕτω καὶ τῶν οὐρανίων ἀγγέλων γέγονεν ἡ φωνὴ πρὸς τοὺς ἁγίους καὶ πανευφήμους ἀποστόλους ἐν τῷ καιρῷ τῆς εἰς οὐρανοὺς ἀναλήψεως τοῦ Ἐμμανουὴλ καὶ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν, εἰπόντων, « Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναλη φθεὶς ἀφ' ὑμῶν εἰς τοὺς οὐρανοὺς, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. »

Definitum igitur erat divinæ quoque inhumanationis tempus, per quam ille impium ac superbientem Satanam condemnavit : quem, cum propter defectionem impius exstitisset primus, et tenebras jam luce mutasset, cruce etiam et morte sepulturaque ac vivifica resurrectione, quasi novo quodam justoque judicio reum peregit. Nec vero minus definitum est **97** tempus, quo ad judicium coget quotquot condidit rationis et intellectus participes, arbitriique libertate divinitus honestatos; non utique et rationis expertes animantes, multoque minus vel plantas vel lapides : neque enim eorum quæ in mundo universo sunt, aliud quidquam præter hominem

Ὡρισμένος οὖν ἦν ὁ καιρὸς καὶ τῆς θείας ἐνανθρωπήσεως, δι' ἧς τὸν εὐσεβῆ καὶ μεγάλαυχον κατέκρινε Σατανᾶν, τὸν διὰ τῆς ἀποστασίας ἀσεβῆ πρῶτον φανέντα, καὶ διὰ τοῦτο γεγονότα σκότος ἀντὶ φωτὸς, ἐν κρίσει καὶ δικαιοσύνῃ τὴν κατ' αὐτοῦ κατάκρισιν ποιησάμενος διὰ σταυροῦ καὶ θανάτου καὶ ταφῆς, καὶ τῆς ζωαρχικῆς ἀναστάσεως. Καὶ πάλιν ὡρισμένος ἐστὶν ὁ καιρὸς καθ' ὃν εἰς κρίσιν ἄξει πᾶν τὸ ποίημα, δηλονότι τὸ λογικὴν καὶ νοερὰν λαβὸν ψυχὴν, ὡς αὐτεξουσιότητι παρὰ τοῦ Δημιουργοῦ τιμηθέν· οὐχὶ δὲ καὶ τῶν ἀλόγων ζώων ἕκαστον, ἢ πολλῷ μᾶλλον τῶν φυτῶν καὶ τῶν λίθων. Οὐδὲν γὰρ ἄλλο τῶν παρὰ τὸν ἄνθρωπον ἀνὰ πάντα τόνδε τὸν

[10] Act. I, 11.

(46) At LXX habent καὶ ἐπὶ παντὶ ποιήματι ἐκεῖ. Εἶπα.... et contra non habent ὅτι post καί γε αὐτοῖς, nec πᾶσιν post ἐν αὐτοῖς. Vid. inferius, lib. X, § 8.

Digitized by Google

κόσμον αὐτεξουσιότητι ψυχῆς λογικῆς καὶ νοερᾶς ἐτιμήθη, οὔτε πρὸς κρίσιν ἀχθήσεται τὸ παράπαν, οὐδ' ἀνταμείψεις ἕξει πράξεων ἀγαθῶν ἢ φαύλων. Οὐκοῦν ὃ φησιν ὁ Ἐκκλησιαστής, « Ὅτι καιρὸς τῷ παντὶ πράγματι καὶ ἐπὶ παντὶ ποιήματι, » δηλοῖ προφανῶς τὴν ὡρισμένην ἐν τῷδε τῷ βίῳ ζωὴν καὶ διαγωγὴν καὶ διαμονὴν καὶ τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἁπάντων· ἔτι δὲ καὶ τῆς οὐρανίας καὶ κυκλοφορουμένης κινήσεως καὶ τῆς γῆς δὲ καὶ τῆς θαλάσσης; Ὅταν δὲ πέρας δέξηται καὶ παῦλαν ἡ σύστασις τῆς ἐνεστώσης ζωῆς· τηνικαῦτα κρίσις δικαία γενήσεται καὶ κατάλληλος ἀνταπόδοσις, μόνοις δηλαδὴ τοῖς λαχοῦσι παρὰ τοῦ Δημιουργοῦ ψυχὴν λογικήν τε καὶ νοεράν, ὡς τὴν ἐφ' ἑκάτερα κεκτημένοις προαίρεσιν. Τοῦτο γὰρ ἐμπεδοῖ φάσκων, « Σὺν τὸν δίκαιον καὶ τὸν ἀσεβῆ κρινεῖ ὁ Θεός. » Ἀσεβὴς γὰρ καὶ δίκαιος οὐδεὶς ἄλλος εὕρηται τὸ παράπαν, ἢ προσαγορεύεται τῶν πεφυκότων παρὰ τὸν ἄνθρωπον. Τοῦτο γὰρ αἰνίττεται κἀν τοῖς ἑπομένοις εἰπών, « Εἶπα ἐγὼ ἐν καρδίᾳ μου περὶ λαλιᾶς υἱῶν ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεός, » ἀνθρώπους εἰσάγων πανταχοῦ τοὺς εἰσπραχθησομένους τὰς δίκας, καὶ κριθησομένους περὶ ὧν διεπράξαντο κατὰ τῆς γνώμης αὐθαίρετον.

Ὃ δέ φησι, « Περὶ λαλιᾶς, » τοῦ Κυρίου προδιαγράφει τὸν λόγον τὸν ἀποφαινόμενον, καὶ περὶ ἀργοῦ λόγου δοῦναι λόγον ἐν ἡμέρᾳ τῆς κρίσεως τοὺς ἀνθρώπους. Ὁ μέντοι προφήτης Δαβὶδ ἐν πνεύματι ἁγίῳ καὶ πλεῖον εἶπε τῶν εἰρημένων· φησὶ γὰρ πρὸς τὸν τῶν ὅλων Θεόν, « Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι. » Παρίστησί γε μὴν καὶ τὰς περὶ λαλιᾶς τῶν υἱῶν τοῦ ἀνθρώπου καταδίκας καὶ κατακρίσεις κἀν τοῖς Εὐαγγελίοις φάσκων ὁ Κύριος· « Ἐκ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ. » Τὸ δὲ, « Διακρινεῖ αὐτοὺς ὁ Θεὸς, » κατὰ μὲν τὸν καιρὸν τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν, δείκνυσι καὶ ὁ Βαπτιστὴς Ἰωάννης περὶ αὐτοῦ λέγων, « Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. » Κατὰ δὲ τὸν καιρὸν τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας δείκνυσιν αὐτὸς ἐκεῖνος ὁ θεαρχικώτατος Λόγος καὶ Χριστὸς καὶ Σωτὴρ ἡμῶν οὕτω φάσκων· « Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ· καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν

Quasi aliud jam commodæ admonitionis caput instituere velit, hortatur nos sapiens Ecclesiastes, ut quæ quis promiserit vel ingruente morbo, vel alio periculo sive mari sive terra impendente, vel etiam ob prosperitatem quæ jam supervenerit, ut multis sæpe contingere solet, ea impleamus Deoque reddamus, ipsa illico offerentes, quemadmodum vovimus, nullo ut intervallo debitum distulisse videamur. Quin et cum Davide dicere libeat : « Reddam tibi vota mea, quæ distinxerunt labia mea, et locutum est **134** os meum in tribulatione mea [5]. » Cunctari enim in his vetat Deus : ne qua alia obveniente causa impediamur quominus voti liberemur, atque adeo Deum universi fraudasse ac fefellisse existimemur. Fieri enim facile potest, ut qui segnem se præbeat, et in voto reddendo moras nectat, hunc mors nec opinantem ac meliora sperantem occupet, vel certe alia premat calamitas, quæ votum ab eo solvi non patiatur. Ac tum porro votum antea susceptum multo gravioris condemnationis causa non reddentibus fit, quippe quia crimen nondum admissum in eos tamen rejicitur, ipsisque adhæret. Tu vero, inquit, o mortalis, ne similem te insipientibus fieri patiare, qui neque Deo votum vovent et faciunt libenter, neque, postquam voverint, de ipso voto reddendo quidquam laborant. Quin operam quamprimum dare velis,

Ὡς ἐφ' ἑτέραν ἀρχὴν ἀγαθῆς εἰσηγήσεως μετελθεῖν δόξας ὁ σοφὸς Ἐκκλησιαστής, παρεγγυᾶται, τὰς γινομένας παρ' ἡμῶν ὑποσχέσεις, ἡνίκα τις ἡμᾶς περιστοιχίζει νόσος, ἢ τις ἄλλος περιστατικὸς πειρασμὸς κατὰ τὴν θάλασσαν ἢ τὴν ξηρὰν εὑρεθέντας, ἢ καὶ διά τινα συμβᾶσαν εὐημερίαν ὡς πολλοῖς πολλάκις γίνεσθαι πέφυκεν, ἀποπληροῦν καὶ διδόναι τῷ Θεῷ καὶ προσφέρειν, ἅπερ ἐπηγγειλάμεθα θᾶττον· ἀλλὰ μὴ διά τινος ἀναβολῆς ὑπερτίθεσθαι τὰ τῆς ἀποδόσεως· λέγειν δὲ μετὰ τοῦ προφήτου Δαβίδ, « Ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. »

C Τὸ γὰρ χρονίζειν ἐν τοῖς τοιούτοις ἀπαγορεύει· ἵνα μή τινος ἄλλης αἰτίας συμβάσης παρεμποδισθῶμεν ἀποπληρῶσαι τὰ τῆς εὐχῆς, καὶ λογισθῶμεν ἠπατηκέναι καὶ διαψεύσασθαι τὸν ἐπὶ πάντων Θεόν. Εἰκὸς γὰρ μέλλησιν ἐπιδεικνύμενον καὶ βραδύτητα πρὸς τὴν ἀπόδοσιν θάνατον ἀθρόως καὶ παρ' ἐλπίδα καταλαβεῖν, ἢ τινα βιωτικὴν συμφορὰν ἄλλην ἥκιστα παραχωροῦσαν ἀποπερατῶσαι τὰ τῆς ἐπαγγελίας. Καὶ τηνικαῦτα γίνεται μᾶλλον τοῖς ἀνθρώποις εἰς βαθυτέραν κατάκρισιν ἡ προεπηγγελμένη εὐχή, ἅτε δὴ τὴν μήπω πεπραγμένην ἁμαρτίαν αὐτοῖς ὑποστησαμένη καὶ προξενήσασα. Σὺ δὲ, φησὶν, ἄνθρωπε, μὴ τοῖς ἄφροσιν ὁμοιωθῆναι θελήσῃς, οἵτινες οὔτε τῷ Θεῷ τὴν εὐχὴν εὔχονται καὶ ποιοῦνται προφρόνως, οὔτε δὲ μετὰ τὸ εὔξασθαι προαιροῦνται ποιῆσα-

[4] Prov. x, 19. [5] Psal. LXV, 13, 14.

(11) Τὸ γὰρ, inquit Chrysostomus, ἐπὶ τῶν τοιούτων περιεργάζεσθαι τὰς αἰτίας, καὶ ἀπαιτεῖν τὰς εὐθύνας, καὶ τὸν τρόπον ἐπιζητεῖν, τολμηροτάτης καὶ ῥιψοκινδύνου ψυχῆς. Id est : *De hujusmodi enim rebus curiose perquirere, et rationes exposcere, modumque sciscitari, audacissimi et temerarii animi est.* (Ser. 2 contra Anomœos, 2, tom. I.)

Formulam autem ipsam, quæ a doctoribus Ecclesiæ tradita est, retinendam, nec quidquam mutandum esse, admonebat olim magnus quoque Athanasius ad Jovianum Aug. περὶ πίστεως scribens : Nicænæ enim professionis formulæ hæc subjecta legimus : Ταύτῃ τῇ πίστει, Αὔγουστε, πάντας ἐπιμένειν ἀναγκαῖον, ὡς θείᾳ καὶ ἀποστολικῇ, καὶ μηδὲν μετακινεῖν αὐτὴν πιθανολογίαις καὶ λογομαχίας. Nempe : *In hac fide, Auguste, omnes oportet manere utpote divina et apostolica, neque quidquam inde transmutare artificiis contentionibusque verborum.*

Enimvero totum hunc locum explicare Noster

D videtur vel ex Hieronymi sententia, vel certe ex eorum interpretatione, quos Hieronymus secutus est; hæc enim hujus sunt verba : « Alii vero melius intelligentes hoc præcipi affirmant, ne aut loquentes aut cogitantes plus de Deo, quam possumus, opinemur; sed sciamus imbecillitatem nostram, quod quantum distat cœlum a terra, tantum nostra opinatio a natura illius separetur : et idcirco debere verba nostra esse moderata. Sicut enim qui in multis cogitationibus est, ea somniat frequenter, de quibus cogitat; ita qui plura voluerit de divinitate disserere, incidit in stultitiam. Vel certe sic : Verba nostra pauca ideo esse debere, quod etiam ea, quæ nosse nos arbitramur, per speculum videmus et in ænigmate, et velut somnium comprehendimus, quod tenere nos æstimamus Cumque plura, ut visum nobis fuerit, dixerimus finem disputationis nostræ esse stultitiam; ex multiloquio enim nos non effugere peccatum. »

Digitized by Google

σθαι τὴν ἀπόδοσιν· ἀλλὰ ταχεῖαν βουλήθητι ποιήσασθαι τὴν ἀπόδοσιν τῆς εὐχῆς· τοῦτο γὰρ ἐσήμανεν εἰπών, « Ὅτι οὐκ ἔστι θέλημα ἐν ἄφροσι, » τὸ καὶ πρὸς τὴν εὐχὴν ἐλθεῖν ἀβούλητον αὐτὸν καθυπογράφων καὶ πρὸς τὸ τὴν εὐχὴν ἀποδοῦναι, παντελῶς ἀθέλητον καὶ ἀπρόθυμον.

Διὰ τοῦτό φησιν ὁ προφήτης Δαβίδ· « Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. » Καὶ πάλιν, « Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ ἐν αὐλαῖς οἴκου Κυρίου ἐν μέσῳ σου Ἱερουσαλήμ· » δι' ὧν εἰσηγεῖται σαφῶς, ἄμεινον εἶναι μηδαμῶς εὔξασθαι καὶ καθυποσχέσθαι τι τῷ Θεῷ δοῦναι καθ' οἱονδήποτε καιρὸν ἢ τρόπον, ἢ εὐξαμένους καὶ καθυποσχομένους μὴ ἐκπληρῶσαι τὰ τῆς εὐχῆς καὶ τὰ τῆς ὑποσχέσεως. Ὅπερ ἐναργεστέρως καὶ καταφανεστέρως δείκνυσι καὶ ὁ σοφὸς Ἐκκλησιαστής· ἐπάγει γὰρ καί φησιν·

A ut te voto exsolvas. Id enim ille significavit, cum dixit: « Quia non est voluntas in insipientibus, » et in suscipiendo scilicet et in reddendo voto istos demonstrans et consilio et voluntate et diligentia carere (12).

Propterea David propheta: « Vovete, ait, et reddite Domino Deo vestro [6]. » Et rursum: « Vota mea Domino reddam coram omni populo ejus, in atriis domus Domini, in medio tui, Jerusalem [7]. » Quibus luculenter declarat melius esse nihil vovisse Deoque promisisse, quocunque id tempore aut modo dandum sit, quam eos, qui voverint aliquid ac promiserint, votum non solvere et promissi fidem non præstare. Quod clarius atque apertius
B sapiens quoque Ecclesiastes indicat, cum protinus addat:

§ VII.

Ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.

Τὰ γὰρ αὐθαιρέτου γνώμης καὶ καθ' ἑκούσιον βούλησιν γινόμενα παρ' ἡμῶν καὶ κατὰ πᾶσαν ἄλλην ὑπόθεσιν ἀποδοχῆς τῆς πρεπούσης ὁ Θεὸς ἀξιοῖ· κἂν νηστείαν εἴπῃς, κἂν προσευχήν, κἂν ἀγρυπνίαν, κἂν ἐλεημοσύνην, κἂν δεξίωσιν καὶ φιλοφροσύνην τῶν ἐπιξενουμένων, ἀλλ' οὐκ ἀθελήτως καὶ παρὰ γνώμην καὶ βούλησιν ἡμετέραν. Οὕτω κἀπὶ τῷ λόγῳ τῆς εὐχῆς καὶ τῆς ὑποσχέσεως, τοὺς ἑκουσίως εὐξαμένους, καὶ προθύμως τὰ τῆς εὐχῆς ἀποπληροῦντας ἀξιοῖ δηλονότι καὶ τῆς ἀποδοχῆς. Τοὺς μέντοι μηδαμῶς τὰ τῆς εὐχῆς ἀποδόντας, ὡς ψευσαμένους τῷ Θεῷ καὶ οὐκ ἀνθρώποις, μεγάλαις κατακρίσεσιν ὑποδίκους εὑρίσκων, τῷ αἰωνίῳ παραπέμπει θανάτῳ, ὡς πάλαι
C τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν διὰ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων.

135 Vers. 5. *Bonum est non vovere te, quam vovere te et non reddere* (13).

Nam quæ ultro a nobis et voluntario quodam studio quamcunque aliam ob causam fiunt, ea Deus, ut merentur, et probat et recipit, sive jejunium dicas, sive preces, sive vigilias, sive largitiones, sive hospitalitatem; minime vero, si hæc sine voluntate fiant, ac præter mentem consensumque nostrum. Eodem modo, cum de voto et promissione agitur, qui libere aliquid vovent, et alacri animo, quæ voverint, solvunt, eos utique Deus etiam commendatione dignatur. At qui vota non reddunt, tanquam Deo et non hominibus mentientes, cum gravissimis dignos suppliciis reperiat, eos, ut olim
C Ananiam et Sapphiram per apostolorum principem Petrum, ad æternam mortem transmittit (14).

[6] Psal. LXXV, 12. [7] Psal. CXV, 18, 19.

(12) Εὐχὴν δὲ, inquit Eusebius (in psal. LXIV, 3), σύνηθες τῇ θείᾳ Γραφῇ καλεῖν τὴν ἐπαγγελίαν, ἣν ἂν ἐπαγγέλληταί τις τῷ Θεῷ. Id est: *Votum autem divinæ Litteræ vocare promissa solent, quæ quis Deo dederit.* Olympiodorus vero ad hunc ipsum locum (apud Duc. p. 634. E): Προσευχή ἐστιν αἴτησις ἀγαθῶν παρὰ Θεοῦ· εὐχὴ δὲ ἡ ἐπαγγελία. Ἐπαγγέλλεταί τις Θεῷ οὐ μόνον χρήματα, ἀλλὰ καὶ νηστείαν καὶ ἁγνείαν καὶ ὅσα τοιαῦτα. Ἐπεὶ οὖν οἱ ἄφρονες μετὰ τὸ ἐπαγγείλασθαι μεταμέλονται, οὐ θέλοντες πληρῶσαι τὴν εὐχήν, παραινεῖ μετὰ πολλοῦ τοῦ τάχους ἐκπληροῦν τὰς ἐπαγγελίας. Nempe: *Proseuche est bonorum a Deo petitio, euche vero promissio. Promittit quis Deo non solum pecuniam, sed etiam jejuniam, et castitatem, et quæ sunt hujusmodi; quia vero stulti post promissa tergiversantur, quod votum implere nolint, hortatur, ut quæ polliciti simus, magna celeritate præstemus.* Enimvero Christianorum veterum in votis reddendis pietatem ac diligentiam quædam ostendunt eorum tabellæ votivæ quæ vetustatem pertulerunt; nec pauca ex historia exempla peti possunt.

(13) Apud LXX leges. . . τὸ μὴ εὔξασθαί σε, ἢ τὸ εὔξασθαί σε, καὶ. . .

(14) Mitiora de his sentire Olympiodorus videtur qui nihil de æterna eorum pœna locutus, hæc tantummodo ad hunc ipsum Ecclesiastæ locum ascripsit: Ὅσον δὲ τὸ ἐπιτίμιον τῶν μὴ πληρωσάντων τὰς εὐχάς, δῆλωσιν Ἀνανίας καὶ Σάπφειρα θανάτῳ καταδικασθέντες. Id est, *Quanta vero eorum pœna sit, qui promissa non impleverint, declarant Ananias et Sapphira morte multati.* (ibid. p. 635 B). At criminis genus alii designant apertius: Asterius, cum avaritiæ scelera recenseret, et Giezi pueri fraudem, perduellionem Absalonis, Judæ proditionem commemorasset, adjecit: Ἀνανίαν καὶ Σάπφειραν διὰ τί τραγῳδοῦσιν τῶν ἀποστόλων Πράξεις; οὐκ ἐπειδὰν τῶν ἰδίων ἐγένοντο κλέπται, καὶ τῶν οἰκείων ἀναθημάτων ἱερόσυλοι; Id est: *Unde Ananiæ et Sapphiræ tragicus ille in Actis apostolorum fuit exitus? nonne quia suarum furto rerum, et propriorum donariorum sacrilegio se contaminarunt?* (In Auct. Duc. tom. II, p. 581 B.) Similia etiam apud Chrysostomum invenies (hom. 12 in Act. ap., tom. VIII).

Quid autem Patres significare vellent, cum Petrum τὸν κορυφαῖον τῶν ἀποστόλων appellabant
D Gregorii nostri ætati proximus Martinus I pont. max. declaravit in concilio Lateranensi coram centum et quinque episcopis, actione sive secretario 2. (Hard. t. III, p. 758.) Nam lecta Victoris episcopi Carthaginiensium synodica, subjecit, in causa illa Pauli patriarchæ Constantinopolitani non minus Victoris zelum enituisse, quam humilitatem, quod non præsumpsisset abrogatum eumdem Paulum habere, sed consacerdotem appellasset, « Donec, inquit, judicium de eo nostræ apostolicæ auctoritatis, hoc est principis apostolorum Petri co-

Digitized by Google

Melius igitur est, inquit, non vovere, at non simpliciter; est enim hoc quoque superna condemnatione pœnaque dignum, cum vovere Deo possis, et hanc etiam amoris tui atque cultus significationem dare queas. At cum opponitur et comparatur cum voto suscepto nec reddito, tum **136** utique melius est omnino non vovisse. Propterea dicit Ecclesiastes : « Bonum est non vovere te, quam vovere et non reddere ; » cum enim, inquit, utrumque incommodum sit ac prorsus fugiendum, existimare debemus, præ malo graviore quod levius est, rectius atque utilius eligi. Addit deinde:

A Ἄμεινον οὖν τὸ μὴ εὔξασθαί φησιν, οὐχ ἁπλῶς· ἔστι γὰρ καὶ τοῦτο καταγνώσεως τῆς ἀνωτάτω καὶ κατακρίσεως ἄξιον τοῖς δυναμένοις εὔχεσθαι τῷ Θεῷ, καὶ τὰ σημαντικὰ τῆς πρὸς αὐτὸν ἀγάπης καὶ λατρείας προσφέρειν. Κατὰ πρόθεσιν δὲ καὶ σύγκρισιν τοῦ εὔξασθαι, καὶ μηδαμῶς ἀποδοῦναι, βέλτιόν ἐστι τὸ μηδαμῶς εὔξασθαι τὸ παράπαν. Διὰ τοῦτό φησιν ὁ Ἐκκλησιαστής, « Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. » Τῶν ἀμφοτέρων φησὶν ἀλυσιτελῶν πεφυκότων καὶ πάντη φευκτῶν, αἱρετώτερον δὲ καὶ λυσιτελέστερον οἰητέον τοῦ βαρυτέρου κακοῦ τὸ κουφότερον. Εἶτά φησι,

§ VIII.

VERS. 6. *Ne des os tuum, ut peccare facias carnem tuam; et ne dixeris in conspectu Dei, quia ignorantia est; ne irascatur Deus super vocem tuam; et disperdat opera manuum tuarum. Quia in multitudine somniorum et vanitatum et verborum plurimorum : quare tu Deum time* (15).

B *Μὴ δὸς τὸ στόμα σου τοῦ ἐξαμαρτεῖν τὴν σάρκα σου· καὶ μὴ εἴπῃς πρὸς πρόσωπον τοῦ Θεοῦ, ὅτι ἄγνοιά ἐστιν· ἵνα μὴ ὀργισθῇ ὁ Θεὸς ἐπὶ φωνῇ σου, καὶ διαφθείρῃ τὰ ποιήματα χειρῶν σου. Ὅτι ἐν πλήθει ἐνυπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν· ὅτι σὺ τὸν Θεὸν φοβοῦ.*

Quod varia diversique generis peccata sunt, quæ ab ore proficiscuntur; nam et qui adversus Dei majestatem blasphemias loquuntur, aut falsas de eo opiniones disseminant, et qui ad iram et petulantiam celeres pronique sunt, ac proximos conviciis impudentibus petunt, et qui calumniis innocentes traducunt, et qui bene de se meritos per contemptum proscindunt, utique peccatum ore perficiunt. Quod et magnus Jacobus Dei frater illis verbis expressit: « Sic et lingua modicum quidem membrum est, et magna exaltat, ecce quantus ignis quam magnam silvam incendit, et lingua ignis est universitas iniquitatis [8]. » Quare ad procaces ejusmodi linguas cohibendas coercendasque ait: « Sit omnis homo velox ad audiendum, tardus autem ad loquendum, et tardus ad iram [9]. » Idcirco Ecclesiastes multorum maleficiorum causam os fecit. Verum cum idem hic addat : « Ut peccare facias carnem tuam, » amatoria hic colloquia quæ ore fiunt, et congressus cum alienis uxoribus inhibere mihi videtur. Facile omnino indulgent feminæ blandis sermonibus cum viris. Tu vero os tuum ab ejusmodi nefariis jocis et significationibus coerceto, tam iis, quæ per interpretem, quam iis, quæ recta et coram fiunt. Neque enim apud Deum excusare te poteris, quod talem in culpam ex ignorantia incideris. Audisti enim illum Mosaicis in legibus sine ambage dicentem: **137** « Non mœchaberis, non fornicaberis (16), » et peccatum utrum-

C διὰ τοῦ στόματος ἐκτελοῦσι τὴν ἁμαρτίαν. Ὅπερ αἰνιττόμενος καὶ ὁ ἀδελφόθεος καὶ μέγας Ἰάκωβος ὧδέ πού φησιν· « Οὕτως καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ, καὶ μεγαλαυχεῖ· ἰδοὺ ὀλίγον πῦρ ἡλίκην φλόγα ἅναπτει· καὶ ἡ γλῶσσα πῦρ ὁ κόσμος τῆς ἀδικίας. » Διὸ καὶ τὰς τοιαύτας προπετεῖς γλώσσας ἀναχαιτίζων καὶ ἀναστέλλων φησίν· « Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· » πολλῶν μὲν οὖν ἁμαρτημάτων τὸ στόμα καθέστηκεν αἴτιον. Πλὴν ἀλλὰ γὰρ νῦν εἰπὼν ὁ Ἐκκλησιαστής· « Τοῦ ἐξαμαρτεῖν τὴν σάρκα σου, » οἶμαι τὰς διὰ τοῦ στόματος φιλικὰς ὁμιλίας καὶ συντυχίας πρὸς τὰς ἀλλοτρίας γυναῖκας ἀπείργειν. Εὐόλισθον καὶ τὸ θῆλυ πέφυκε ταῖς θελκτικαῖς προσφωνήσεσι τῶν ἀῤῥένων.

D Σὺ δὲ τὸ στόμα κώλυσον ἀπὸ τοιαύτης ἀθεμίτου δηλώσεως καὶ παρεμφάσεως ἐν μέσῳ γινομένης, ἢ πάλιν ἀμέσως καὶ κατὰ πρόσωπον. Οὐ γὰρ ἔχεις χώραν λέγειν πρὸς τὸν Θεὸν, ὅτι τοῦτο τὸ ἔργον ἐξ ἀγνοίας μοι γέγονεν. Ἤκουσας γὰρ αὐτοῦ τοῖς Μωσαϊκοῖς νόμοις φάσκοντος διαῤῥήδην, « Οὐ μοιχεύσεις, οὐ

[8] Jac. III, 5. [9] Jac. I, 19.

gnosceret : utpote quoniam solus atque præ omnibus creditus est atque accipere meruit a rege regum Christo Deo claves regni cœlorum, ad aperiendum recte credentibus in eumdem Dominum nostrum, et claudendum infidelibus hæreticis. » Quibus Græca plane respondent : Ταὐτὸν δὲ λέγειν Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων, ὡς μόνου πιστευθῆναί τε καὶ λαβεῖν ὑπὲρ πάντας ἀξιωθέντος παρὰ τοῦ βασιλέως τῶν βασιλευόντων Χριστοῦ τοῦ Θεοῦ τὰς κλεῖς τῆς τῶν οὐρανῶν βασιλείας; εἰς τὸ ἀνοίγειν αὐτὴν δικαίως τοῖς εἰς αὐτὸν τὸν Κύριον ὀρθοδόξως πιστεύουσιν, ἀποκλείειν δὲ πᾶσι τοῖς κακοδόξοις αἱρετικοῖς τῇ αὐτῶν αἱρέσει προσμένουσιν.

(15) Sed apud LXX scriptum est, Μὴ δῷς τὸ στόμα σου τοῦ ἐξαμαρτῆσαι τὴν σάρκα σου, καὶ μὴ εἴπῃς πρὸ προσώπου τοῦ Θεοῦ ὅτι . . . Olymp. Μὴ δῷς τὸ στόμα σου ἐξαμαρτάνειν τὴν σάρκα σου . . .

(16) Exod. xx, 13. At LXX non habent οὐ πορνεύσεις.

Digitized by Google

πορνεύσεις, » καὶ τοσοῦτον ἑκατέραν ἁμαρτίαν κατα- A
δικάσαντος, ὥστε προστάξαι καὶ λιθοβολεῖσθαι μὲν
τὴν προπορνευκυῖαν ὑπὸ πάντων τῶν ἰδίων συμπο-
λιτῶν· τὸν δὲ μοιχὸν θανατοῦσθαι μετὰ τῆς μοιχαλί-
δος. Εἰ τοίνυν οὐ δύνασαι φάναι, Τοῦτο τὸ ἔργον ἐξ
ἀγνοίας μοι γέγονε, δηλονότι τὸ τῆς μοιχείας ἢ πορ-
νείας· ἐπίστασαι γὰρ ἀπηγορευμένην ἑκατέραν ὑπὸ
Θεοῦ διὰ τοῦ Μωσέως, τί δήποτε πρὸς τὴν γινωσκο-
μένην ἁμαρτίαν κατολισθαίνεις, ὅτι πανταχόθεν ἀ-
απολόγητος εἶ, καὶ συγγνώμης ἀνάξιος; Εἰ γὰρ ἐν
γνώσει ποιεῖς τὴν ἁμαρτίαν, ἐπομένην ἔχεις πάντως
καὶ τὴν κατάκρισιν. Εἰ δὲ φάναι τολμήσεις πρὸς τὸν
Θεὸν, ὅτι Τοῦτό μοι γέγονεν ἐξ ἀγνοίας, ὁ Θεὸς,
« τῶν γνώσεων Κύριος ὤν, » διπλῆν σοι τὴν ὀργὴν
ἐπάξει καὶ τὴν κατάκρισιν, ὅτι τὴν ἁμαρτίαν πε-
ποίηκας, καὶ ὅτι ψευδῆ φωνὴν ἀφῆκας πρὸς τὸν B
Θεὸν τὸν γινώσκοντα καὶ τὰ ἀπόῤῥητα τῆς σῆς καρ-
δίας. Τοῦτο γὰρ σημαίνει σαφῶς ὃ φησιν, « Ἵνα μὴ
ὀργισθῇ ὁ Θεὸς ἐπὶ φωνῇ σου, καὶ διαφθείρῃ τὰ ποιή-
ματα τῶν χειρῶν σου· » δηλονότι τὰ λήϊα, τὰ οἰκή-
ματα, τοὺς παραδείσους, τοὺς ἀμπελῶνας δι' ἀνο-
μβρίας καὶ ἐπομβρίας ὑπερβαλλούσης, ἢ δηώσεως
καὶ ληΐσεως ἀλλοφύλων. Οὕτω γὰρ καὶ διὰ φωνῆς
Ἡσαΐου φησὶν ὁ τῶν ὅλων Θεός· « Ἐὰν θέλητε καὶ
εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ
μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς
κατέδεται. »

C

Τὰς δὲ κιναίδους πράξεις καὶ τὰς ἁμαρτικὰς καὶ
παρανόμους τῶν ἀνδρῶν μετὰ τῶν γυναικῶν συνου-
σίας, καὶ τὰς θελκτικὰς ὁμιλίας καὶ συντυχίας
ἐνυπνίων ἐσμῷ καὶ ματαιοτήτων ἀπείκασεν ὁ σοφὸς
Ἐκκλησιαστὴς ἐν τῷ εἰπεῖν, « Ὅτι ἐν πλήθει ἐν-
υπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν· » ἀν-
τὶ τοῦ, Δίκην ἐνυπνίων συμπιπτόντων ταῖς νυκτερι-
ναῖς φαντασίαις, καὶ μηδεμίαν ἐχόντων ὕπαρξιν ἐν
τοῖς πράγμασιν, ἔτι δὲ καὶ τῶν ἄλλων ματαιοτήτων
καὶ τῶν σῶν λόγων, ἄνθρωπε, τῶν πολλῶν καὶ θελ-
κτικῶν πρὸς τὰς κιναίδους μίξεις καὶ παρανόμους
συνουσίας, ἡ δοκοῦσά σε καὶ νομιζομένη παρελεύ-
σεται θᾶττον ἀπόλαυσις, ἔρημόν σε καταλιποῦσα
πάσης νομιζομένης ἡδονῆς τῆς ἐν τοῖς ἐνυπνίοις
σοι φαντασθείσης. Ἅμα γὰρ τῷ γεγονέναι καὶ παρ- D
ῆλθε, καταλιποῦσα μόνην τὴν ἁμαρτίαν ἐκκεντοῦ-
σαν καὶ καταδαπανῶσαν τὴν ψυχήν σου καὶ τὴν
καρδίαν, ὡς μάχαιραν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

que adeo damnantem, ut feminam se prostituentem ab omnibus civibus ejus obrui lapidibus jusserit: mœchum vero cum adultera multandum morte sanxerit (17). Cum igitur nequeas dicere: Hoc a me facinus ex ignorantia admissum est, adulterium nempe aut fornicatio; quippe qui utrumque a Deo per Moysen vetitum fuisse scias: quomodo in scelus prolaberis, quod tibi plane cognitum est, ut excusationem habeas nullam, et venia indignus omnino sis? Si enim peccatum sciens facis, condemnationem tecum ipse plane adducis. Quod si Deum alloqui audeas, et rem tibi ex ignorantia contigisse prætexas; Deus, qui « omnis scientiæ Dominus est [10], » iram adversus te suam duplicabit ac pœnam, quod et peccatum patraveris, et mendacem ad eum vocem miseris, qui et secreta animi tui novit. Nam hoc diserte significant quæ subjecit: « Ne irascatur Deus super vocem tuam, et disperdat opera manuum tuarum, » segetes scilicet, domos, viridaria, vineta vel siccitate vel imbrium copia superveniente, aut hostili aliqua vastatione atque clade. Sic namque Isaiæ voce Deus universi effatur: « Si volueritis et audieritis me, bona terræ comedetis: sin vero nolueritis neque audieritis me, gladius vos devorabit [11]. »

Obscenas autem actiones et lethalia ac vetita virorum cum feminis commercia, voluptariosque ad confabulandum congressus somniorum et vanitatum examini comparavit sapiens Ecclesiastes, cum ait: « Quia in multitudine somniorum et vanitatum et verborum plurimorum; » id est, Instar somniorum, quæ per noctem visuntur inania plane et rerum omnium vacua, et vanitatum cæterarum, ac tuorum quoque verborum, o mortalis, quæ multa et blanda adhibes turpium commerciorum et vetitæ consuetudinis causa, quidquid inesse voluptatis tibi videtur, totum celeriter præteribit, teque deseret, omni **138** illa voluptate carentem, quam somniando conceperas, et veram putabas. Simul enim atque nata est, evanuit, et unum relinquit crimen, quod animum et cor quasi cuspis pungat atque exedat. Addit deinde Ecclesiastes:

§ IX.

Ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δικαιοσύνης εἴδῃς ἐν χώρᾳ, μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι· ὅτι ὑψηλὸς ἐπάνω τοῦ ὑψηλοῦ φυλάσσῃ, καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς· καὶ περίσσεια γῆς. Ἐπὶ παντὶ αὐτός ἐστι βασιλεὺς τῇ χώρᾳ εἰργασμένῃ.

Vers. 7-9. *Si calumniam pauperis et direptionem judicii et justitiæ videris in regione, ne mireris super ea re: quia excelsus super excelsum custodiam agit, et excelsi super eos: et præstantia terræ. Super omne ipse est rex regioni cultæ* (18).

[10] I Reg. II, 3. [11] Isa. I, 19.

(17) Huc revoca, quæ superius ad § 6, lib. III dicta sunt. De sententiæ autem interpretatione consentit Olympiodorus. Sed alii illa verba, *Ut peccare facias carnem tuam*, sic, inquit Isidorus Clarius civis meus, interpretantur: « Ut non solum super te, verum et super filios tuos, qui sunt tua caro, ultionem divinam provoces. » Ipse hoc modo explicat: *Cave, ne linguæ futilitas totum te peccato involvat.*

(18) Apud LXX legimus... Τοῦ ὑψηλοῦ φυλάξαι... et Καὶ περίσσεια γῆς ἐπὶ παντὶ ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου. Olymp. Ἐπάνω ὑψηλοῦ φυλάσσει... Athan. in Apol. ad Constant. Καὶ ὑψηλοὶ ἐπ' αὐτῆς.

Digitized by Google

Hortatur, ne attoniti perturbemur, neve detestandas cogitationes animo volvamus, cum pauperem videre contingat divitis ac potentis calumniis subverti, justasque de eo sententias prolatas supprimi, et legum jura vel ob accepta dona, vel ob principum virorum dignitatem, vel ob amicorum preces aut violentiam perfringi : vineas vero et agros et cætera hominum bona pessum ire : quæ vir admirabilis Habacum designabat, cum ait : « Contra me factum est judicium, et judex accipit. Propter hoc lacerata est lex, et non pervenit usque ad finem judicium : quia impius prævalet adversus justum. Propterea egredietur judicium perversum [12]. » Et rursum alter propheta, cum dixit : « Et rapina pauperis in domibus vestris [13]. » Cum igitur hæc, inquit, in regione videris, ne obstupescas, neve absurdum quidquam aut prudenti et cordato viro indignum animo cogites. Liberum enim suique juris animal super terram (19) solus homo est, qui se in utramque partem flectere potest : ut qualem vivere vitam voluerit, sive bonam nempe sive malam, tales a Deo remunerationes ac præmia sit relaturus.

139 Non igitur mirandum, si homines, cum sint arbitrio prædíti libero, alii quidem injustitiam avaritiamque amplectantur, alii justitiam et æquitatem. Futurum enim est tempus, quo injustum hominem ac judicium pauperis pervertentem sublimior alter condemnet, et de pravis quibusque factis justas exigat pœnas. Id nimirum significavit, cum dixit : « Quia excelsus super excelsum custodiam agit (20). » Quod sane passim contingere videmus. Nam qui aliena rapiunt, et sententias ferunt iniquas, et alios calumniis circumveniunt, sæpe infaustam sectantes lucrum, ab iis, qui altiore sunt gradu, et potestatem habent majorem ac præstantiorem, examen judiciumque subire coguntur, et gravioribus affecti suppliciis pœnas luunt. Quanquam et illi rursum, nisi pro justitiæ ratione se gesserint, similem ferant sententiam : cum alii rursum, qui altiori atque excellentiori sunt potestate, cognituri de his ac sententiam laturi sint. Quod si ne pœnam quidem hujusmodi rependi ullam vide-

A Παραινεῖ μηδαμῶς ἐκθαμβεῖσθαι καὶ καταπλήττεσθαι καὶ ἐνδιενθυμεῖσθαί τινας λογισμοὺς ἀπευκταίους, ἡνίκα βλέπομεν συκοφαντούμενον πένητα παρὰ τοῦ πλουτοῦντος καὶ δυναστεύοντος, καὶ τὸ δίκαιον κρῖμα τοῦ κρινομένου καλύπτοντος, καὶ τὴν δικαιοσύνην τῶν νόμων διασκεδάζοντος διὰ δωροληψίαν, ἢ δυναστῶν ἀξίωσιν, ἢ φίλων παράκλησιν, καὶ τὴν ἁρπαγὴν, εἰς οὐδὲν τιθεμένου τῆς ἀμπέλου καὶ τῆς ἀρούρας καὶ τῶν ἄλλων τῶν τοῖς ἀνθρώποις προσόντων· ἅπερ αἰνιττόμενος καὶ ὁ θαυμάσιος Ἀββακοὺμ οὕτω φησί· « Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα· ὅτι ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. Ἕνεκεν τούτου ἐξελεύσεται κρῖμα διεστραμμένον. » Καὶ πάλιν ἄλ-
B λος προφήτης φησίν· « Καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν. » Ὅταν οὖν ταῦτα, φησὶν, ἴδῃς ἐν χώρᾳ, μηδὲν ξενισθῇς, μηδ' ἄτοπον διενθυμηθῇς καὶ τῆς πρεπούσης ἐννοίας λογικοῖς ἀνθρώποις ἀνάξιον. Αὐτεξούσιον γὰρ καὶ αὐτοδέσποτον ζῶον ἐπὶ τῆς γῆς μόνος ὁ ἄνθρωπος πέφυκε, τὴν ἐφ' ἑκάτερα ῥοπὴν ἔχων, ἵνα καθὼς ἂν βουληθείη ζῆσαι καὶ πολιτεύσασθαι, δηλονότι σπουδαίως ἢ φαύλως, οὕτως εὕρῃ καὶ τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις θεόθεν.

Οὐδὲν οὖν ξένον, εἰ τῶν ἀνθρώπων ὄντων αὐτεξουσίων, οἱ μὲν αἱροῦνται τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν, οἱ δὲ τὴν δικαιοσύνην καὶ τὴν ἀληθῆ κρίσιν. Ἔστι γὰρ ὅτε, καὶ τὸν ἀδικήσαντα καὶ διαστρέψαντα τὸ κρῖμα τοῦ πένητος ὑψηλότερος ἄλλος καταδικάσει, καὶ δίκας εἰσπράξεται τῶν κακοπραγημάτων.
C Τοῦτο γὰρ ἐδήλωσεν εἰπών, « Ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάσσει· » καθὼς ὁρῶμεν τοῦτο γινόμενον συνεχῶς. Οἱ γὰρ ἁρπάζοντες τὰ ἀλλότρια, καὶ κρίσεις ἀδίκους ἐξενεγκόντες καὶ συκοφαντήσαντες ἄλλους, πολλάκις πρὸς κερδᾶναί τι κέρδος ἀσύμφορον ὑπὸ τῶν ἐχόντων ὑψηλοτέραν καὶ μείζονα καὶ κραταιοτέραν τὴν ἐξουσίαν, εὐθυνθέντες καὶ δίκας εἰσπραχθέντες, χαλεπωτέραις τιμωρίαις καθυπεβλήθησαν· ἀλλὰ καὶ τούτους αὐτοὺς αὖθις εἰ μὴ κατὰ λόγον δικαιοσύνης, ἀνάλογον ἐκείνοις ὑποίσουσι τὴν κατάκρισιν· ἄλλοι πάλιν ὑψηλοτέραν καὶ κραταιοτέραν ἔχοντες δυναστείαν δίκας εἰσπράξονται καὶ καταδικάζουσιν. Εἰ δὲ καὶ μηδὲν τοιοῦτον ἀνταποδόσεως ἔργον θεάσῃ, μηδ' οὕτως καταπέσῃς εἰς

D

[12] Habac. I, 3, 4. [13] Isa. III, 14.

(19) Facit ad hæc quod ait Philo in *Cosmopoeticis*, tract. 12 (p. 202, edit. Turneb.) : Τῶν μὲν γὰρ ἄλλων φυτῶν τε καὶ ζώων οὔτε αἱ εὐπορίαι ἐπαινεταὶ, οὔτε αἱ κακοπραγίαι ψεκταί· τὰς γὰρ ἐφ' ἑκάτερα κινήσεις καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον. Id est : *Cæterorum enim, sive stirpium sive animalium, neque ubertas laudatur, neque vitium reprehenditur : quippe quæ motus in utramque partem et mutationes patiuntur nec quæsitas nec voluntarias.* Similia etiam illa apud Justinum (Apol. II, p. 81, ed. Sonn.) : Οὐ γὰρ ὥσπερ τὰ ἄλλα, οἷον δένδρα καὶ τετράποδα, μηδὲν δυνάμενα προαιρέσει πράττειν, ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. Nempe : *Non enim sicut alia, arbores videlicet et quadrupedes, quæ nihil cum delectu et judicio facere possunt, hominem Deus condidit.* Quibus e locis apparet, quid veteres de vera germanaque hominis libertate sentirent.

(20) Hæc Salomonem a patre edoctum dicit Athanasius (*Apol.* ad Constant. tom. I, p. 715, ed Sonn.) : Εἶχε, inquit, τὸν πατέρα ἑαυτοῦ τὸν Δαβὶδ, πεῖρα καὶ αὐτὸν μαθόντα τὰ ἐν τοῖς διωγμοῖς, καὶ ἀσφαλιζόμενον τοὺς πάσχοντας ἐν τῷ λέγειν· Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. Τοῖς γὰρ οὕτως ὑπομένουσιν, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς, φησὶ, Κύριος βοηθήσει, καὶ ῥύσεται αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. Nempe : *Habebat parentem suum David, qui hæc in ærumnis suis ipsa etium experientia didicerat, atque similia tolerantibus animos addebat, dicens :* Viriliter agite, et corroboretur cor vestrum, omnes, qui speratis in Dominum. *Sic enim sustinentibus, non homo, ait, sed Dominus ipse opitulabitur.*

Digitized by Google

ἀθυμίαν, ὡς ἀνωμάλου καὶ συγκεχυμένης οὔσης τῆς ζωῆς τῶν ἀνθρώπων, καὶ μηδενὸς ὄντος τοῦ ἐφορῶντος ταῦτα καὶ κρίνοντος. Ἔστι γὰρ, ἔστιν ἁπάντων ἐπέκεινα καὶ πάντων ὁρατὴς τῶν ἀνθρωπίνων ἔργον καὶ πράξεων καὶ διοικήσεων, ὁ ἀΐδιος δηλαδὴ βασιλεὺς ἐπὶ παντὶ προσώπῳ τῷ δρῶντι τὸ καλὸν ἢ τὸ κακὸν, παρὼν καὶ βλέπων, καὶ μηδὲν παρορῶν μηδ' ἀτημέλητον ἀφιείς· ἀλλ' ἢ κατὰ τὸν παρόντα βίον ποιούμενος τὴν ἐκδίκησιν, ἅτε δὴ καὶ « τῶν ἐκδικήσεων Κύριος ὤν, » ἢ κατὰ τὴν μέλλουσαν ζωὴν ἀνταποδιδοὺς « Τοῖς καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς δὲ ἐξ ἐριθείας καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθαμένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ, θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν. »

Ὁ δέ φησιν ὁ Ἐκκλησιαστὴς, « Καὶ περισσεία γῆς, » τὸ κατὰ τὸ μᾶλλον εἶναι τοὺς ὑψηλοτέρους ἐν ἐξουσίᾳ καὶ δυναστείᾳ τῶν προτέρως ἠδικηκότων καὶ συκοφαντησάντων τὸν πένητα, πρὸς τὴν κατ' αὐτῶν ἀνταπόδοσιν ὀργιλοτέρους, καὶ τὴν προαίρεσιν ἐξοιδαίνοντας καὶ τὴν καρδίαν φλεγμαίνοντας, ὡς γῆς ἐξογκωμένης, δι' ἣν ἔχει περισσείαν, πρὸς τοὺς χθαμαλωτέρους δηλαδὴ τόπους. *Εἰργασμένην δὲ χώραν* τόνδε τὸν κόσμον ὠνόμασε, ποίημα δεικνὺς αὐτὸν τῆς ἀγαθοπρεποῦς ἀγαθότητος καὶ βουλῆς, μονονουχὶ λέγων· ὡς ὁ ποίησας τὸν κόσμον ἀΐδιος καὶ παντοδύναμος βασιλεὺς πεφυκὼς, οὐ παρόψεται τὰς ἐν αὐτῷ γινομένας κακοπραγίας ἢ δικαιοπραγίας· ἀλλ' ἑκάστῳ κατὰ τὸ ἴδιον ἔργον ποιήσεται καὶ τὰς ἀμοιβάς· ᾧ λατρεύειν ἡμεῖς εἰλικρινῶς καὶ γνησίως σπουδάσωμεν, καὶ τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιεῖν διαπαντὸς βουληθῶμεν· ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἀξιωθῶμεν, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[14] Psal. xciii, 1. [15] Rom. ii, 7, 8.

ris, ne tum quidem ita animo concidas, ut in tanta vitæ hominum inæqualitate ac confusione neminem esse putes, qui hæc inspiciat atque dijudicet. Est enim præterea omnium quoque humanorum operum et factorum rerumque gestarum inspector, sempiternus scilicet rex, qui homini cuique vel bonum vel malum patranti adest, ipsumque intuetur, nec quidquam inobservatum neglectumve prætermittit; verum aut in hac vita ultionem ex eo petit; ipse enim est « ultionum Dominus [14]; » aut in futura mercedem reddit: « Iis, qui secundum patientiam boni operis gloriam et honorem et incorruptionem quærunt, vitam æternam: iis autem, qui sunt ex contentione, et qui non acquiescunt veritati, credunt autem iniquitati, ira et indignatio, tribulatio et angustia in omnem animam hominis operantis malum [15]. »

140 Quod autem dicit Ecclesiastes: « Et præstantia terræ, » id significat, qui auctoritate et potestate sublimiores sunt iis, qui prius injuriam pauperi intulerunt calumniamque instruxerunt, in sumenda de his pœna multo iracundiores esse, ut animum tumefaciant, et corde excandescant, instar terræ intumescentis, quæ nempe ubi tractus depressior est, altius turgescit (21). *Excultam* vero *regionem* mundum hunc appellavit, ipsum summæ bonitatis et maximi consilii opus esse declarans, velut si diceret, qui mundum fecit, æternus atque omnipotens rex cum sit, minime illum quæ hic fiant mala vel bona, neglecturum; at unicuique ex æquo quæ meruerit, redditurum (22): quem nos puriter sincereque colere studeamus, demusque operam, ut quæ illi jucunda sunt, perpetua voluntate præstemus; ut æternis dignati bonis, cœlestis regni hæreditatem adeamus cum ipso Christo Deo nostro. Cui gloria et imperium cum omnipotente Patre et sancto bonoque ac vitæ auctore Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

(21) Verba illa καὶ περίσσεια γῆς conjungit Noster cum præcedentibus, itaque interpretationem comminiscitur, quæ in magno interpretum dissensu probabilis plane est: præsertim quod orationem non abrumpat, ac sequentem sententiam adjuvet et connectat. Nam alii quidem sic explicarunt: *Nemo non abundanter vivere potest ex cultura terræ, etiamsi rex sit;* vel, *Eximia dignitas terræ super omnia est. Rex agro servit;* aut, *Rex propter agrum factus est;* et hujusmodi, quæ nimium profecto a proximo argumento abeunt.

(22) Hæc vero ex Olympiodori sententia dicta sunt, qui ait: Ὥσπερ τινὰ παράδεισον τὸν ἑαυτοῦ κόσμον ὁ Θεὸς καλλιτεχνήσας, τοῦ ἑαυτοῦ ἀγροῦ βασιλεύει καὶ προνοεῖ: Id est, *Quasi viridarium quoddam mundum suum Deus cum perfecerit, agri sui dominum agit et curam gerit.* (Ibid. p. 656 C.)

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

LIBER QUINTUS.

§ I.

Ἀγαπῶν ἀργύριον οὐ πλησθήσεται ἀργυρίου· καὶ τίς ἠγάπησεν ἐν πλήθει αὐτοῦ γέννημα, καὶ

141 Vers. 10, 11. *Qui diligit argentum non implebitur argento: et quis dilexit in multitudine ejus*

Digitized by Google

fructum, et saturabitur fructu? sed et hoc vanitas. In multitudine bonitatis multiplicati sunt qui comedunt eam. Et quæ fortitudo ei, qui ab ea? num alia quam videre oculis suis (23)?

Sententia hæc geminam omnino interpretationem habere videtur: vel nempe argentum ab eo, qui amat, prorsus non inveniri, vel ab eo, qui inveniat, tantum non inveniri, quantum et cupit et quærit: sed cum insatiabili ditescendi cupiditate teneatur, quo magis pecuniam auget ac cumulat, eo longius avaritiæ suæ fines proferre.

Jam et illa: « Quis dilexit in multitudine ejus fructum? » eadem fere ratione explicantur. Vel enim qui amat, non invenit, ut egentibus contingit; vel qui invenit, minus invenit quam cupiditas conquisiverat. Inexplebile enim habebat desiderium fructuum magno numero congerendorum, non ut famelicorum satiaret ventres, neque ut hospites liberaliter acciperet, neque ut pupillis ac viduis divisionem daret; verum ut copiam nactus, quantam concupiverat, cum divite illo, cujus ager exuberaverat, dicere posset: « Destruam horrea mea, et majora ædificabo, et congregabo illic omnes fructus meos et bona mea: et dicam animæ meæ: Anima, habes multa bona reposita in annos multos, quiesce, comede, bibe, lætare. » Cui Deus, qui omnia dignoscit, **142** etiam dixit: « Stulte, hac nocte animam tuam repetunt a te; quæ autem parasti, cujus erunt [16]? » Talem porro hic quoque designat sapiens Ecclesiastes, itaque ait: « Et quis dilexit in multitudine ejus fructus? » Id est inexplebili animo atque insaturabili cupiditate fructibus comparandis intentus, eaque de causa nunquam satur. Nam si ad hospites accipiendos fovendosque atque ad egenos et pauperes largitione juvandos pecuniam aut fructus amaret, et hos atque illam conjunctim aut separatim perquireret, multos utique haberet, qui secum utroque fruerentur. Quod indicans Ecclesiastes ait: « In multitudine bonitatis multiplicati sunt qui comedunt eam. » Amoris enim et charitatis ratio, cum multos ejusdem participes faciat, et quasi socios habeat, et pecuniæ et fructibus propitium Deum efficit atque munificum (24). Nunc vero avaritiæ morbus et habendi cupido, cum parcimoniam propositam habeat atque tenacitatem perpetuam, illos omnes, qui sic affecti sunt, in hoc duntaxat virtutis positam putare gloriam confirmat, ut pecuniæ tantum-

[16] Luc. XII, 18, 19.

A κορεσθήσεται γεννήματος; καὶ γε τοῦτο ματαιότης. Ἐν πλήθει ἀγαθοσύνης ἐπληθύνθησαν οἱ ἐσθίοντες αὐτήν. Καὶ τίς ἀνδρεία τῷ παρ' αὐτῆς; ὅτι ἄλλ', ἢ τὸ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ;

Τὸ ῥητὸν τοῦτο διττὴν ἔοικεν ἔχειν προδήλως τὴν ἐκδοχήν· ἢ ὅτι ἀγαπῶν οὐχ εὑρίσκει τὸ παράπαν ἀργύριον, ἢ εὑρίσκων οὐχ εὑρίσκει τοσοῦτον, ὅσον καὶ βούλεται κατὰ τὴν ἰδίαν ἐπιθυμίαν καὶ ζήτησιν· ἀλλ' ἀκόρεστον ἔφεσιν ἔχων πρὸς τὴν φιλαργυρίαν, ὅσον ἂν αὔξῃ καὶ προστίθετο τὸ ἀργύριον, τοσοῦτον ὑπερανξάνει καὶ τῆς φιλαργυρίας τὸ πάθος.

Παραπλησίαν μέντοι δέχεται διασάφησιν καὶ τὸ, « Τίς ἠγάπησεν ἐν πλήθει αὐτοῦ γέννημα; ἢ γὰρ ἀγαπῶν οὐχ εὑρίσκει, καθὼς συμβαίνει τοῖς πένησιν· ἢ εὑρίσκων οὐχ ὅσον ἡ τῆς ἐπιθυμίας ἀπῄτει ζήτησις, εὗρεν· ἀκόρεστον γὰρ εἶχεν ἔφεσιν ἐπὶ τῇ συναθροίσει τοῦ κατὰ γεννήματα πλήθους, οὐχ ἵνα χορτάσῃ τὰς τῶν πεινώντων κοιλίας, οὐδὲ πρὸς τὸ φιλοφρονεῖν τοὺς ἐπιξενουμένους, οὐδὲ πρὸς τὸ διανέμειν τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις· ἀλλ' ἐν πλήθει τῆς ἰδίας ἐπιθυμίας λέγειν κατὰ τὸν πλούσιον ἐκεῖνον, οὕτινος εὐφόρησεν ἡ χώρα· « Καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου· καὶ ἐρῶ τῇ ψυχῇ μου, Ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά, ἀναπαύου, φάγε, πίε, εὐφραίνου· » πρὸς ὃν καὶ εἶπεν ὁ πάντα διαγινώσκων Θεός· « Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; » Τοιοῦτον αἰνίττεται καὶ νῦν ὁ σοφὸς Ἐκκλησιαστὴς, καὶ διὰ τοῦτό φησι· « Καὶ τίς ἠγάπησεν ἐν πλήθει αὐτοῦ γεννήματα; » τουτέστιν, ἐν τῇ ἀκορέστῳ γνώμῃ καὶ τῇ ἀπλήστῳ ἐπιθυμίᾳ ποιούμενος τὴν τοῦ γεννήματος ζήτησιν, καὶ τούτου χάριν ἥκιστα κατεμφορούμενος. Εἰ μὲν γὰρ ἐπὶ δεξιώσει καὶ φιλοφροσύνῃ τῶν ἐπιξενουμένων, καὶ διανομῇ τῇ πρὸς τοὺς ἐνδεεῖς καὶ πτωχοὺς ὁ ἀγαπῶν τὸ ἀργύριον ἢ τὸ γέννημα, τὴν ζήτησιν εἶχε τούτου κἀκείνου συνημμένως ἢ διηρημένως, πολλοὺς ἂν εἶχε τοὺς ἑκατέρου προσαπολαύοντας· ὅπερ αἰνιττόμενος ὁ Ἐκκλησιαστὴς ἔφησεν, « Ἐν πλήθει ἀγαθωσύνης ἐπληθύνθησαν ἐσθίοντες αὐτήν. » Ὁ γὰρ τῆς ἀγάπης λόγος καὶ τῆς ἀγαθωσύνης πολλοὺς αὐτῆς παραλαμβάνων κοινωνοὺς καὶ μετόχους, εὐλογίας γίνεται πρόξενος τῆς παρὰ Θεοῦ καὶ τῷ ἀργυρίῳ καὶ τοῖς γεννήμασι. Νῦν δὲ τῆς φιλαργυρίας καὶ τῆς φιλοκτημοσύνης ἡ νόσος τὸ φειδωλὸν προβαλλομένη καὶ παντελῶς ἀμετάδοτον, ἐν τούτῳ μόνως προσμαρτυρεῖ

(23) Apud LXX scriptum est... Ἐν πλήθει αὐτῶν γέννημα· desiderantur vero, quæ hic subnexa videles, καὶ κορεσθήσεται γεννήματος. Postrema demum illic sunt, Ὅτι ἀρχὴ τοῦ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ. Eadem porro in Olymp. quæ apud LXX sed quæ in Vulgatis nostris legimus, Gregorii lectioni apprime respondent, nempe: *Et qui amat divitias, fructum non capiet ex eis*; cui non minus congruunt quæ sunt in codice Bibl. Marc. Venet. Καὶ ὃς φιλεῖ ἐν ὄχλῳ, οὐκ εἰσορᾷ, ἔτι τόδε ματαιότης.

(24) Illud, opinor, docere nos voluit interpres noster, hanc esse Ecclesiastæ doctrinam, non congerendis, sed dividendis opibus fieri, ut voluptas animo et saturitas afferatur: quod nempe quantum aliorum subsidio impenditur, tantumdem partis accrescat; ut sit semper, quod largius etiam distribui erogarique possit. Amat quippe Deus misericordiam, et eum copiosius in dies locupletat, qui erga alios benignus est.

Digitized by Google

πᾶσι τοῖς κεκτημένοις ἔχειν τῆς ἀνδρείας τὴν καύχησιν, ἐν τῷ μόνον δέρκειν τοῖς ὀφθαλμοῖς αὐτῶν τὸ πλῆθος τοῦ ἀργυρίου καὶ τοῦ γεννήματος· τοῦτο γὰρ ἐδήλωσεν εἰπών· « Καὶ τίς ἀνδρεία παρ' αὐτῆς, ὅτι ἀλλ' ἢ τὸ ὁρᾷν ὀφθαλμοῖς αὐτοῦ; »

Τὴν δὲ τοιαύτην ἐκδοχὴν παρεμπεδοῖ κατὰ τὸ μᾶλλον ὁ Σύμμαχος εἰπών, « Τί γὰρ ἀνδραγάθημα τῷ ἔχοντι αὐτὸν, εἰ μὴ μόνον θεωρία ὀφθαλμῶν αὐτῶν; τὴν ἐκ τοῦ τὰ τοιαῦτα βλέπειν τέρψιν ἔχειν οἰόμενος εἰς καύχησιν καὶ παράκλησιν τῆς ἀνηλεοῦς ψυχῆς αὐτοῦ καὶ φειδωλοῦ καρδίας· ἐκεῖ καὶ μόνος εὑρισκόμενος ἔχων τὴν ἀσχολίαν, ὅπου τῶν χρημάτων καὶ τῶν γεννημάτων ἐστὶν ὁ θησαυρὸς ἀποκείμενος, ὡς μηδὲ καθεύδειν χωρὶς ἀδολεσχίας τὸν λογισμὸν καὶ μοχθηρᾶς μερίμνης· καθὼς ἐν τοῖς Εὐαγγελίοις κατήγγειλεν ὁ Κύριος φήσας· « Ὅπου γὰρ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν. » Διὰ τοῦτό φησιν ὁ Ἐκκλησιαστής· « Καὶ γε τοῦτο ματαιότης· » τὴν ἀνόνητον διάθεσιν καὶ μηδεμίαν λυσιτέλειαν ἔχουσαν παρεμφήνας διὰ τῆς ματαιότητός. Εἶτά φησιν·

A modo atque fructuum copiam oculis suis contemplentur. Id enim ostendit subjiciens: « Et quæ fortitudo ei, qui ab ea? num alia quam videre oculis suis? »

Talem vero interpretationem magis comprobat Symmachus, qui ait: « Ecquod enim virtutis specimen in eo, qui ista possidet, præterquam ut oculis suis spectet? » Cum is talia spectando hanc sibi paratam voluptatem putet, ut gloriari secum et immitem animum suum avarumque ingenium recreare possit: idemque occupationem nusquam habere videatur, nisi ubi sepositus est opum et proventuum thesaurus ut ne per somnum quidem quiescere mens possit sine sollicitudine malaque B cura; quemadmodum in Evangeliis Dominus enuntiavit, cum dixit: « Ubi enim thesaurus vester, ibi et cor vestrum erit [17]. » Propterea ait Ecclesiastes: « Sed et hoc vanitas; » inanem ejusmodi propensionem et omnis utilitatis **143** expertem appellatione vanitatis designans. Addit deinde:

§ II.

Γλυκὺς ὕπνος τοῦ δούλου, εἰ ὀλίγον, καὶ εἰ πολὺ φάγεται· καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι, οὐκ ἔστιν ὁ ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι.

Ἐξελέγχει καὶ νῦν αὖθις, διὰ τῆς ὀνομασίας τοῦ δούλου καὶ τῆς συγκρίσεως, τῶν ἀγαπώντων τὸ ἀργύριον καὶ τὸ γέννημα κατ' ἐπιθυμίαν ἀκόρεστον, C καὶ διὰ τοῦτο μηδαμῶς ἐμφορουμένων· ὡς τοῦ δούλου, κἂν βραχύ τι λάβῃ τροφῆς, κἂν εἰς πλησμονὴν κατά τινα σύμβασιν, ἡδέος ὄντος τοῦ ὕπνου· ἅτε δὴ πάσης ἀδολεσχίας ἀπηλλαγμένου καὶ περιττῆς φροντίδος. Οὐ γὰρ εἰς τοὺς ἐναποκειμένους ἐν τοῖς ταμιείοις τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου θησαυροὺς καὶ τῶν ἄλλων τῶν πολυειδῶν κτήσεων τὴν ποσότητα καὶ πληθὺν ἀποβλέπει, ἵνα συμπιεζομένην ἐπιφερόμενος τὴν καρδίαν ταῖς τοιαύταις ἐνθυμήσεσι καὶ μερίμναις, ἐναγώνιός ἐστι, καὶ τοῦ ὕπνου παντελῶς ἀπαράδεκτος, τῷ πλουσίῳ παραπλησίως, ὃν χαρακτηρίζει καὶ Δαβὶδ ὁ προφήτης εἰπών· « Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου, προκατελάβοντο φύλακας οἱ ὀφθαλμοί μου. » Καὶ πάλιν· « Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ D ἐσκαλλον τὸ πνεῦμά μου, » ταῖς περὶ τῶν ἀποκειμένων παντοδαπῶν καὶ ποικίλων εἰδῶν φροντίσι περιστοιχούμενος. Τοῦτο γὰρ ἐσήμανε καὶ νῦν ὁ σοφὸς Ἐκκλησιαστὴς εἰπών· « Καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι οὐκ ἔστι ὁ ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι. » Ἡ γὰρ τῆς καρδίας ἀδολεσχία καὶ τῶν διαλογισμῶν αἱ φροντίδες οὐ συγχωροῦσιν αὐτὸν καθεύδειν μετὰ τῆς πρεπούσης ἐλευθερίας. Ὥστε μᾶλλον τῶν δούλων οἱ τοιοῦτοι θητεύοντες εὑρηνται καὶ χείρους ὄντες ἐκείνων.

Vers. 12. ***Dulcis somnus servi, sive paululum, sive multum comederit: et ei, qui saturatus est ditescendo, non est qui sinat ipsum dormire*** (25).

Nunc quoque servi nomine et comparatione usus, reprehendit rursum qui cupiditate inexplebili pecuniam et fructus amant, atque adeo nunquam C satiantur: cum servus, sive raptim cibi aliquid sumpserit, sive quandoque ad satietatem, placide omnino dormiat, quippe qui sollicitudine omni ac superflua cura sit liber. Neque enim repositos in conclavibus argenti atque auri thesauros et cæterorum varii generis bonorum vim magnam et copiam tuetur, cujus rei causa animum gerat cogitationibus hujusmodi atque curis oppressum, et ob contentionem somnum capere nullum possit, diviti illi similis, quem et David propheta describit, ubi ait: « Exercitatus sum, et defecit spiritus meus: anticipaverunt vigilias oculi mei [18]. » Et iterum: « Nocte cum corde meo exercebar, et fodiebam spiritum meum [19]; curis circumseptus rerum omnige- D narum, quas magna varietate sepositas habebam. Hoc enim significavit nunc etiam sapiens Ecclesiastes illis verbis: « Et ei, qui saturatus est ditescendo, non est qui sinat ipsum dormire. » Animi namque exercitationes, et meditationum curæ minime patiuntur, ut somno, quantum oporteat et velit, indulgeat. Quare deteriores hi sunt, quam servi ipsi, et servitutem serviunt miseriorem (26).

[17] Matth. VI, 21. [18] Psal. LXXVI, 5. [19] ibid. 7.

(25) Olymp. ὁ ἀφιεὶς τοῦ ὑπνῶσαι αὐτόν.

(26) Utitur eodem Ecclesiastæ dicto Chrysostomus, sed ad sobrietatem commendandam, atque ut divites servis miseriores ostendat, quibus scilicet, quia modum in rebus non servant, ipsa humanæ vitæ commoda nulli oblectamento sunt. Διὰ τί γὰρ, εἰπέ μοι, καὶ ὁ Σολομὼν τὸν ὕπνον τοῦ δούλου φησὶν εἶναι ἡδύν; ἆρα διὰ τὴν στρωμνὴν τὴν ἁπαλήν;

Digitized by Google

144 Si quis vero per anagogen explicare ista volueril, servum esse putaverit, qui suavi Domini jugo animum suum supposuerit, et leve onus ferens mandatorum ejus, omnes virtutis impleat partes, et vigiliis et precibus et supplicationibus operam det : quique, quantum vires patiuntur, temperantia atque jejuniis terrena omnia enecet membra ; nec jam sibi vivens, Christum potius in seipso habeat et viventem et divina jam charitate perfectum : itaque cum iis, qui eadem et sentiunt et urgent, evangelicam usurpet sententiam : « Servi inutiles sumus : quod debuimus facere, fecimus [20]. » Nam hic quidem, sive parcum sumpserit cibum, sive multum, dulci fruatur somno, cum animum habeat a mundana omni perturbatione et perpetua divitum anxietate liberum, quippe qui sine civitate, sine domo sit, nullo inanis gloriæ studio, nulla cupiditate teneatur, non opes, non pecuniam appetat, et vitam ipsam quodammodo in cœlis agat. Quin et ad ævi sui metam cum venerit, beatum plane somnum dormiet, uti scriptum est : « In memoria æterna erit justus, ab auditione mala non timebit [21]. »

Sic igitur, si anagogen sequaris, servus quoque designatur. Similiter vero et dives, quem oblectamentis refertum mundanis et detestandis corporis voluptatibus saturum tela scelerum confodiunt ac sauciant, ut neque in præsenti vita liberiorem unquam somnum capere possit, neque ubi ad exitum ejus pervenerit, dulcem usquam somnum sive mortem sit reperturus : sed præsenti vita abjecto afflictoque atque invito animo relicta, occursum mortis acerbissimum ac difficillimum habere debeat. Quippe, ut scriptum est : « Mors peccatorum pessima [22]. » Ait deinde Ecclesiastes :

Εἰ δέ τις καὶ τῷ λόγῳ τῆς ἀναγωγῆς θελήσοι τὸ εἰρημένον διασαφῆσαι, δοῦλον μὲν ἡγήσαιτο τὸν ὑποζεύξαντα τὴν ἑαυτοῦ καρδίαν τῷ χρηστῷ ζυγῷ τοῦ Κυρίου, καὶ τὸ ἐλαφρὸν φορτίον ἀναλαβόντα τῶν ἐντολῶν αὐτοῦ, καὶ πᾶσαν ἐκπληροῦντα τῆς ἀρετῆς ἰδέαν, καὶ σχολάζοντα ταῖς ἀγρυπνίαις καὶ προσευχαῖς καὶ δεήσεσι· καὶ διὰ τῆς κατὰ τὸ δυνατὸν ἐγκρατείας καὶ νηστείας νεκρώσαντα πάντα τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· καὶ ζῶντα μὲν οὐδαμῶς ἑαυτῷ, Χριστὸν δὲ μᾶλλον ἔχοντα ἐν ἑαυτῷ καὶ ζῶντα καὶ τελειωθέντα πρὸς τὴν θείαν ἀγάπησιν· ὡς καὶ λέγειν μετὰ τῶν ὁμοφρόνων καὶ συνεργῶν τὰ τῆς Εὐαγγελικῆς ὑποθήκης· « Ἀχρεῖοι δοῦλοί ἐσμεν, ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. » Ὁ γὰρ τοιοῦτος, κἂν βραχεῖαν λάβῃ τροφὴν, κἂν πολλὴν, γλυκὺν εὑρίσκῃ τὸν ὕπνον, ἐλευθέραν ἔχων τὴν ἰδίαν καρδίαν ἀπὸ πάσης παρενοχλήσεως κοσμικῆς, καὶ τῆς πρὸς οὐσίαν τοῖς πλουσίοις ἀδολεσχίας, οἱάπερ ἄπολις καὶ ἄοικος, ἀκενόδοξος, ἀπροσπαθὴς, ἀφιλοκτήμων ἀφιλάργυρος, καὶ τὸ πολίτευμα ἔχων ἐν οὐρανοῖς. Ἀλλὰ καὶ κατὰ τὸ πέρας τῆς παρούσης ζωῆς ὕπνον ὑπνοῖ τὸν μακάριον ἀληθῶς κατὰ τὸ γεγραμμένον· « Εἰς μνημόσυνον αἰώνιον ἔσται ὁ δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. »

Οὕτω μὲν οὖν χαρακτηρίζεται καὶ δοῦλος τοῖς ἀναγωγῆς λόγοις. Ὡσαύτως γε μὲν καὶ πλούσιος ὁ κατεμπλησθεὶς καὶ κατεμφορηθεὶς τῶν τοῦ κόσμου τρυφῶν καὶ τῶν σαρκικῶν καὶ βδελυκτῶν ἡδονῶν καὶ διὰ τοῦτο κατακεντούμενος καὶ τιτρωσκόμενος ὑπὸ τῶν τῆς ἁμαρτίας βελῶν, καὶ μὴ συγχωρούμενος μήτε κατὰ τὴν παροῦσαν ζωὴν καθευδῆσαι μετὰ ἐλευθερίας, μήτε πρὸς τὴν τελευτὴν ἀφικόμενος, γλυκὺν δεχόμενος ὕπνον, ἤτοι τὸν θάνατον· ἀλλ' ἐν ἀθυμίᾳ καὶ θλίψει καὶ μὴ θέλων τὴν παροῦσαν ζωὴν ἀφιεὶς, πικροτάτην καὶ χαλεπωτάτην ἡγεῖται τοῦ θανάτου τὴν ἄφιξιν. Διότι, καθὼς γέγραπται, « Θάνατος ἁμαρτωλῶν πονηρός. » Εἰτά φησιν ὁ Ἐκκλησιαστής·

§ III

145 Vers. 17. *Est languor, quem vidi ego sub sole, divitias custoditas in ejus malum, a quo custodiuntur : et peribunt divitiæ illæ in tentatione pessima. Et genuit filium, et non est in manu ejus quidquam : sicut exivit de utero matris suæ, nudus item revertetur, ut eat, quemadmodum venit, et nihil accipiet in labore suo, ut eat in manu sua. Sed et hoc languor pessimus. Sicut enim advenit, ita et abibit. Et quæ abundantia ejus, qua laborat in ventum ? Et quidem om-*

Ἔστιν ἀρρωστία, ἣν εἶδον ἐγὼ ὑπὸ τὸν ἥλιον· πλοῦτον φυλασσόμενον παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ· καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν πειρασμῷ τῷ πονηρῷ. Καὶ ἐγέννησεν υἱὸν, καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ οὐδέν· καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ, καὶ γυμνὸς ἐπιστρέψει τοῦ πορευθῆναι, ὡς εἰκῇ, καὶ οὐδὲν λήψεται ἐν μόχθῳ αὐτοῦ, ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ. Καὶ γε τοῦτο πονηρὰ ἀρρωστία. Ὥσπερ γὰρ παρεγέ-

[20] Luc. VII, 10. [21] Psal. CXII, 7. [22] Psal. XXXIII, 22.

καὶ μὴν ἐπὶ ἐδάφους, ἢ ἐπὶ στιβάδος οἱ πλείους καθεύδουσιν. Ἀλλὰ διὰ τὴν ἄδειαν ; ἀλλ' οὐδὲ μικρᾶς καιροῦ ῥοπῆς εἰσι κύριοι. Ἀλλὰ διὰ τὴν ῥᾳστώνην ; ἀλλ' οὐ διαλιμπάνουσι μόχθοις κοπτόμενοι καὶ ταλαιπωρίαις. Τί ποτ' οὖν ἐστι τὸ ποιοῦν τὸν ὕπνον ἡδὺν, ἢ τὸ πρότερον εἰς χρείαν καταστάντας οὕτως αὐτοῦ μεταλαμβάνειν ; τοὺς δὲ πλουτοῦντας ἂν μὴ μέθῃ βαπτισθέντας ἡ νὺξ καταλάβῃ, ἀνάγκη διαπαντὸς ἀγρυπνεῖν καὶ ἐπιστρέφεσθαι καὶ ἀλύειν ἐπὶ τῶν μαλακῶν κειμένους στρωμάτων. Id est : *Nam aic, quæso, cur ipse Solomon servi somnum dulcem esse affirmat ? an propter molle stratum ? Atqui humi plerique aut super cespite dormiunt. An propter libertatem ? At nec minimum temporis momentum habent liberum. An propter otium ? At laboribus et ærumnis assidue afflictantur. Quid est igitur, quod somnum dulcem reddat, nisi tum denique somnum eos capere, cum necessitas urget. Porro divitibus, nisi ebriis nox ingruat, pervigilandum est, et in mollibus stragulis cum jaceant, æstuandum tamen atque indignandum.* (*De Virgin.* n. 70, tom. I.)

Digitized by Google

νετο, οὕτως καὶ παρελεύσεται. Καὶ τίς ἡ περισσεία αὐτοῦ, ἢ μοχθεῖ εἰς ἄνεμον; καὶ γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει καὶ ἐν πένθει καὶ ἐν θυμῷ πολλῷ καὶ ἀῤῥωστίᾳ καὶ χόλῳ.

A *nes dies ejus in tenebris et in luctu et iracundia multa et languore et insania* (27).

Τὴν ἀνθρωπίνην παραφροσύνην καὶ δυσβουλίαν, δι' ἧς οἱ πλείους πρὸς ἃ μὴ θέμις ἐκτρέπονται, καὶ μόχθους μοχθηροὺς ἀναδέχονται, καὶ κόπους ἀνατλῶσι παντελῶς ἀνονήτους, καὶ τληπαθοῦσιν ἀσυμφόρως καὶ περιττῶς πρὸς οὐδεμίαν ἀποβλέποντες λυσιτέλειαν, ἀῤῥωστίαν ἤτοι νόσον ψυχῆς προσαγόρευσεν. Ὥσπερ γὰρ τὸ σῶμα τὸ ἀνθρώπινον ἀπό τινος ὑπερβολῆς ἢ ἐλλείψεως τῶν συνιστώντων αὐτῷ χυμῶν χαλεποῖς περιπίπτει νοσήμασι, καὶ διὰ τοῦτο κέχρηται τηνικαῦτα καὶ τροφαῖς ἀκαταλλήλοις· ἅτε δὴ τὰς συνήθεις καὶ λυσιτελεῖς τροφὰς διὰ τὴν μεταβολὴν τῆς φυσικῆς ἕξεως ἥκιστα προσιέμενον, κἀντεῦθεν προσαύξει μᾶλλον καὶ προστίθησι τὰς αἰτίας τῶν νοσημάτων· οὕτω καὶ ψυχὴ παρεκτραπεῖσα καὶ παραῤῥυεῖσα τῶν καθεστηκυιῶν φρενῶν, ἀβούλως πράττει τοῦτο κἀκεῖνο πρὸς οὐδὲν ἀποβλέπουσα τέλος ὀνησιφόρον. Εἰ γὰρ, φησὶν, ἀποθησαυρίζεται μὲν ὁ πλοῦτος ὑπὸ τοῦ συναθροίσαντος αὐτὸν, διὰ μυρίων μόχθων καὶ κόπων καὶ πολλῆς φειδωλίας, εὑρίσκεται δὲ ταμιευόμενος πολλάκις εἰς κάκωσιν τοῦ φυλάσσοντος (κακίαν γὰρ τὴν κάκωσιν προδήλως ὠνόμασεν)· εἶτα πειρασμοῦ τινος συμβάντος, ἀπώλετο δεξάμενος τὴν εἰς ἄλλους μετάπτωσιν, καὶ γυμνὸν τὸν κεκτημένον καταλιπὼν καὶ πάσης ἀπεστερημένον παραμυθίας. Ἡ γὰρ ἐκείνου φθορηθέντος καὶ συκοφαντηθέντος διὰ τὸν πλοῦτον, καὶ τὴν ἐσχάτην τιμωρίαν κατακριθέντος, ἐδημεύθη καὶ τοῖς βασιλικοῖς ἐνεβλήθη ταμείοις ὁ προσὼν αὐτῷ πλοῦτος· ἢ πειρατῶν καὶ λῃστῶν ἐφόδοις καὶ λεηλασίαις κατηντηκότος, καὶ γεγονότος ἢ ἔργου αἰχμῆς ἢ θανάτου φευκτοτέρας ἀπαγωγῆς καὶ δουλείας, τῷ συμβάντι πειρασμῷ καὶ τῇ τοιαύτῃ συμφορᾷ καὶ τὸ τοῦ πλούτου πλεῖστον συναπῆλθε καὶ συμμετῆλθεν εἰς τὰς ἐκείνων χεῖρας. Τάχα δὲ καὶ κατά τινα σύμβασιν γεγονότος ἐμπρησμοῦ, κατ' οὐδὲν ἧττον ἀπώλετο συμφλεχθεὶς ἢ συληθεὶς, καὶ ὁ πλοῦτος πεφυλαγμένος εἰς κάκωσιν καὶ θλῖψιν τοῦ κτησαμένου καὶ ἔχοντος κατὰ τὴν ἀῤῥωστίαν, ἣν εἶπεν ἰδεῖν ὑπὸ τὸν ἥλιον ὁ σοφὸς Ἐκκλησιαστής.

temporis spatium ad majorem reprehensionem sit, ob pertinacem et saxo duriorem animum, qui vitæ cursu tandiu prolato, bonitatis exercendæ curam non susceperit. Nam etsi « omnis, » inquit, « labor hominis, » ejus scilicet, qui non ex sanctitatis Spiritu, sed juxta hominem tantum se gerit, « ob os ipsius (41), » nihilo tamen **157** minus oportebat, ut multo etiam magis, vel certe pari studio, vel saltem secundo loco interiorem hominem, animam nempe, cura et providentia dignaretur, et egenis ab inopia defensis, bonitate omni compleret. Sic enim abundantiam habere aliquam visus esset, veluti sapiens super stultum (42), in laboribus utique curisque suis. Nunc autem, omnibus laborum fructibus in os suum inditis atque conjectis, nec interiore homine in ullam salutaris bonitatis partem vocato, pejor inventus est, quam egenus quisque ac mendicus, cum nihil ille habeat, quod aliis dividat et largiatur, ac propterea nulla hic damnatione dignus fiat. Quod indicare sapiens Ecclesiastes cum vellet, ait : « Eo quod pauper novit ire ad faciem vitæ. » Quid vero id est? Non aliud plane, quam quod pauper iis edoctus, quæ ipse patitur, egentium ac mendicorum ærumnas et angustias et necessitates quasi proprias ducit, eosdemque sæpe ad frugales et inopes mensas accipit socios, aut paupertatis incommoda sic ferens, ut etiam Deo universi gratias agat, futuram respicit vitam, illic a Domino optimo atque amantissimo se auditurum sperans (43), quæ in Evangeliis diviti illi dicta legimus : « Recepisti bona tua in vita tua, nunc vero cruciaris : similiter et Lazarus mala, nunc autem **158** hic consolatur (44). »

Hanc enim interpretationem iis tuetur, quæ pro-

ἀγαθωσύνης ἐπιδεξαμένου, διὰ τὸ καὶ τὸ δόλιχον τοῦ χρόνου διάστημα μᾶλλον ἔχειν εἰς ἔλεγχον πλείονα τῆς ἀντιτύπου καρδίας καὶ σκληροτέρας λίθου, καθ' ὃ καθ' ὑπερβολὴν τῆς ζωῆς αὐτοῦ παραταθείσης, ἀγαθωσύνην οὐκ ἔγνω ποιεῖν. Εἰ γὰρ καὶ « πᾶς, φησὶ, μόχθος τοῦ ἀνθρώπου, » δηλονότι τοῦ κατὰ ἄνθρωπον ἁπλῶς περιπατοῦντος, ἀλλ' οὐχὶ κατὰ πνεῦμα ἁγιωσύνης, « εἰς τὸ στόμα αὐτοῦ, » πλὴν ἀλλὰ γὰρ ἐχρῆν καὶ πολλῷ μᾶλλον, ἢ κἂν ἐπ' ἴσης, ἢ καὶ δευτέρως, ἀξιῶσαι κηδεμονίας καὶ προμηθείας τὸν ἔνδοθεν ἄνθρωπον, δηλαδὴ τὴν ψυχὴν, καὶ πληρῶσαι πάσης ἀγαθωσύνης διὰ τῆς πρὸς τοὺς πένητας μεταδόσεως καὶ διανομῆς. Οὕτω γὰρ ἂν εὑρέθη τινὰ περίσσειαν ἔχων, οἷα σοφὸς ὑπὲρ τὸν ἄφρονα κατὰ τοὺς μόχθους αὐτοῦ καὶ τοὺς κόπους. Νῦν δὲ πάντας τοὺς καρποὺς τῶν μόχθων εἰς τὸ στόμα αὐτοῦ δοὺς καὶ καταβαλόμενος, καὶ μηδεμιᾶς ἀξιώσας σωστικῆς ἀγαθωσύνης τὸν ἔνδοθεν ἄνθρωπον, χείρων εὕρηται καὶ τοῦ πενητεύοντος καὶ πτωχεύοντος, ὡς τούτου μὲν οὐδὲν ἔχοντος πρὸς διανομὴν καὶ διάδοσιν, καὶ διὰ τοῦτο μηδὲ τὴν ἐντεῦθεν κατάκρισιν ἔχοντος. Ὅπερ αἰνιττόμενος ὁ σοφὸς Ἐκκλησιαστὴς ἔφησε, « Διότι ὁ πένης οἶδε πορευθῆναι κατέναντι τῆς ζωῆς. » Τί δὲ τοῦτό ἐστιν; Ἀλλ' εὔδηλον, ὅτι ἐξ ὧν πάσχει πειραζόμενος, συνίστησι τὰ πάθη καὶ τὴν θλῖψιν καὶ τὴν ἀνάγκην τῶν πενητευόντων καὶ πτωχευόντων, καὶ κοινωνοὺς αὐτοὺς λαμβάνει πολλάκις ἐπὶ ταῖς ἀπόροις καὶ πενιχραῖς τραπέζαις, ἢ μετ' εὐχαριστίας τῆς πρὸς τὸν ἐπὶ πάντων Θεὸν ὑπομένων τὰ τῆς πενίας, πρὸς τὴν μέλλουσαν ἀποβλέπει ζωὴν, ἐκεῖ πυθέσθαι καραδοκῶν παρὰ τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου Δεσπότου τὸ πρὸς τὸν πλούσιον ἐκεῖνον εἰρημένον ἐν Εὐαγγελίοις· « Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, νῦν δὲ ὁδυνᾶσαι· ὁμοίως καὶ Λάζαρος τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται. »

Παρίστησι γὰρ τὴν τοιαύτην ἐκδοχὴν δι' ὧν ἀμέ-

(41) Nilus asceta ita hæc accepisse videtur, tanquam si homini præscriptum tradant, ne majorem humanis rebus curam impendat, quam quæ corpori alendo tuendoque sufficiat. Ait enim : Τί γὰρ ἡμῖν εἰς τὴν ζωὴν ἐκ τῆς περὶ ταῦτα ματαιοπονίας ἐπιγίνεται; « Οὐχ ἅπας μόχθος ἀνθρώπου, » κατὰ τὸν Ἐκκλησιαστὴν, « εἰς τὸ στόμα αὐτοῦ; » διατροφὴ δὲ καὶ σκεπάσματα, κατὰ τὸν Ἀπόστολον, ἱκανὰ πρὸς τὴν σύστασιν τῆς δυστήνου σαρκός; Τί οὖν ἀπέραντα πονοῦμεν καὶ μοχθοῦμεν εἰς ἄνεμον, ὡς φησι Σολομὼν, ἐκ τῆς περὶ τὰ γήϊνα σπουδῆς ἐμποδίζοντες τὴν ψυχὴν πρὸς τὴν τῶν θείων ἀγαθῶν ἀπόλαυσιν, καὶ τὴν σάρκα περιέποντες, καὶ θάλποντες πλέον, ἢ καλῶς ἔχοι; Id est : *Quid enim nobis ad vitam e tam stulto labore circa hæc provenit?* nonne omnis labor hominis, *secundum Ecclesiasten*, propter os ejus? *victus autem et vestimenta, juxta Apostolum, satis sunt ad miseræ hujus carnis sustentationem? cur igitur infinitis laboribus et ærumnis, ut loquitur Solomon, incumbimus ad ventum, rerum terrenarum studio animam præpedientes, ne bonis divinis perfruatur, et carnem curantes et foventes, plusquam honestum est?* (*De Monast. exercit.* c. 16.)

(42) De eo Ecclesiastæ loco, quem hic noster attingit, hæc a Drusio adnotata inveni : LXX, Ὅτι περισσεία τῷ σοφῷ, Quoniam præstantia est sapienti. *Omittunt particulam* מן, *quæ apud Hebræos interrogat, idem significans, quod apud Latinos* quid? *hinc emergit sensus contrarius. Symm. propius se ad Hebraicam veritatem vertit,* Τί οὖν περισσόν; Quid igitur amplius? *Ne quid celem, fefellit me Rom. editio, in qua errore operarum* ὅτι περίσσεια, *cum legi debeat* ὅτι τίς περίσσεια. *Nihil adeo verum.* Jure porro Drusius de mendo suspicatus est. Nam in fine capitis, ubi lectiones variæ designantur, ad Symmachi interpretationem indicandam scriptum leges, δ (ὅτι τίς περίσσεια) S. τί οὖν περισσόν; ut illud τις superius in contextu negligentia operarum excidisse videatur. Cæterum lectionem ejusmodi, quam et Olympiodorus sequitur, noster, ut vides, non agnoscit, cum non solum omiserit illud τις in verbis Ecclesiastæ, verum etiam sic eam sententiam explicaverit, velut si hoc tradi pro certo haberet, sapientem scilicet abundare magis quam stultum.

(43) Divino nempe judicio se adfuturum pauperculus ille Lazari similis pro certo habet, in quo dives luxuriosus æternis suppliciis damnetur; ipse contra ad beatorum sedes transmissus, omnes denique anteactæ vitæ molestias abstergeat.

(44) Luc. xvi, 25, sed paulo aliter : sic enim in nostris exemplaribus scriptum est : Εἶπε δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι.

Digitized by Google

σως διέξεισιν εἰπών· « Ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπὲρ πορευόμενον ψυχῇ, καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος· » τὴν ἐν ἐλπίσι τῆς μελλούσης ζωῆς πρόβλεψιν τῶν νοερῶν ὀφθαλμῶν ἐντεῦθεν παραινιττόμενος, καθ' ἣν καὶ πρὸς ἣν πάντες « οἱ ἐξ αἰῶνος τὸν Κύριον ὑπομείναντες, » ἐν πολυτρόποις κακουχίαις καὶ θλίψεσι διήνυσαν τὸ στάδιον τῆς παρούσης ζωῆς· οἳ καὶ βελτίους εὑρέθησαν ἀριδήλως τῶν πορευομένων ἐν ταῖς ὁρμαῖς τῶν ψυχικῶν αὐτῶν βουλημάτων πρὸς μόνα τὰ παρόντα καὶ φθειρόμενα κεχηνότες, καὶ μηδεμίαν ὀπτικὴν κτησάμενοι τῶν νοερῶν ὀφθαλμῶν δύναμιν διὰ πίστεως πρὸς τὴν τῶν ἐλπιζομένων ἀγαθῶν πραγμάτων ὑπόστασιν· ἀλλ' οἷα δὴ ψυχικοὶ μὴ δεξαμένοι τὰ τοῦ πνεύματος, ταῖς βιωτικαῖς καὶ κοσμικαῖς τύρβαις καὶ τέρψεσι καὶ ῥαστώναις παρὰ πάντα τὸν ἑαυτῶν βίον ἀθλίως ἐξησαν, ἐν ματαιότητι καταναλώσαντες τὸ δολιχὸν τοῦ χρόνου διάστημα. Τοῦτο γὰρ αἰνιττόμενος ὁ σοφὸς Ἐκκλησιαστὴς αὖθις φησι, » Καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. » Ὧν ἡμεῖς ἐκφυγόντες τὴν μίμησιν, τὴν προβλεπτικὴν τῶν νοερῶν ὀφθαλμῶν ἡμῶν ὀξυδερκίαν κατέναντι τῆς μελλούσης ζωῆς ἀνατείνωμεν, πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ πορευόμενοι, καὶ τοὺς πτωχοὺς οἰκτείροντες καὶ κιχρῶντες τοῖς πένησιν, ὅση δύναμις, ἵνα πολλαπλασίους ἀντιδεξώμεθα Χριστόθεν τὰς ἀμοιβάς· « Ὁ γὰρ ἐλεῶν πτωχὸν δανείζει Θεῷ, » φησί που τὸ λόγιον τῆς θείας Γραφῆς· καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσομεν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

tinus sic edisserit : « Bonum est aspectus oculorum super ambulantem anima, hoc etiam vanitas et præsumptio spiritus; » prospectum his designans spiritalium oculorum, dum futuram vitam speramus, propter quam et ad quam omnes, qui « a sæculo Dominum sustinuere [32], » per ærumnas multas atque angustias præsentis vitæ stadium absolverunt (45) : qui et præstantiores sine dubio inventi sunt, quam ii, qui appetitui et cupiditatibus suis perpetuo indulgentes, ac præsentia solum et caduca inhiantes, tum nulla præditi facultate ad videndum spiritalibus oculis per fidem vera illa, quæ speramus bona, sed veluti plane animales quæ spiritus sunt, minime perceptis, vitam omnem suam in quotidiano mundi tumultu atque in voluptatibus et desidiis misere exegerunt, diuturno temporis spatio in vanitate consumpto. Nam hoc ut significaret, sapiens Ecclesiastes iterum ait : « Hoc etiam vanitas et præsumptio spiritus. » Quorum nos imitationem aversati, perspicacem mentis aciem et totam spiritalium oculorum vim ad futuram vitam intendamus, victoriæ præmium, ad quod Deus nos vocat, petentes, et quantum quisque potest, misericordia et largitate mendicis atque egentibus opitulantes : quo amplissimas a Christo remunerationes referamus : « Qui enim pauperis miseretur, feneratur Deo [33], » ut est in oraculis divinarum Litterarum : et regni cœlestis hæreditatem adeamus cum ipso Christo Deo nostro, cui gloria et imperium cum omnipotente Patre et sancto bonoque ac vitæ auctore Spiritu nunc et semper et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

LIBER SEXTUS.

§ 1.

Εἴ τι ἐγένετο, ἤδη κέκληται ὄνομα αὐτοῦ, καὶ ἐγνώσθη ὅ ἐστιν ἄνθρωπος, καὶ οὐ δυνήσεται τοῦ κριθῆναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτόν, ὅτι εἰσὶ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.

Καθυπογράψας καὶ κωμῳδήσας τὸν ἀνελεήμονα καὶ φειδωλὸν πλούσιον παντοδαπῶς καὶ ποικίλως, καὶ μέντοι τὸν πορευόμενον ἁπλῶς ταῖς ὁρμαῖς τῶν ψυχικῶν βουλημάτων, καὶ μηδαμῶς στοιχειοῦντα

159 Vers. 10. *Si quid fuit, jam vocatum est nomen ejus, et cognitum quod est homo, et non poterit contendere cum fortiore super se, quia sunt verba multa multiplicantia vanitatem* (46).

Divite jam, qui et immisericors sit et avarus, omnifariam multisque modis descripto ac notato, nec minus eo, qui non alium vitæ ducem habet, quam appetitum animalesque cupiditates, ac nihil

[32] Psal. xxxv, 3. [33] Prov. xix, 17.

(45) Symmachum sine dubio noster hic sequitur, quippe hæc ille sic reddidit : Βέλτιον προβλέπειν, ἢ ὁδεύειν αὐταρεσκία. Id est, *Præstat providere, quam ambulare prout libet*, sive secundum vana animi desideria. Nam ψυχὴ etiam est τὸ ἐπιθυμητικόν· ut cum ait Psalmista sanctus, Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με· id est, *Ne tradideris me in animas tribulantium me.* (*Psal.* xxvii, 12.)

(46) Apud LXX.... καὶ οὐ δυνήσεται κριθῆναι.

Digitized by Google

de morum suorum emendatione animique cultura laborat; transit nunc ad alterum argumentum, in eoque versatur atque ait, nihil in iis, quæ facta sunt, relictum usquam, quod sine appellatione sit: et quidquid factum sit aut esse cœperit, aptum nomen propriumque vocabulum accepisse; quippe omnia rerum Conditor ante novit, et futurum sciebat, ut homines dividerentur, et pluribus variisque linguarum ac dialectorum differentiis distinguerentur. Itaque vel si quis rem aliquam pro linguarum ac dialectorum discrimine aliter diverseque denominare conetur; non ideo ipsam non esse eamdem, aut non talem manere atque agnosci, qualis a Conditore facta est: ut subjectum quidem ipsum appellationibus denominetur pluribus, at immutabile, ob dialectorum varietatem nihil variet, et una ejus eademque natura sit, quæ nomina plura et vocabula multis e linguis inter se diversis admittat, ad rem unam designandam pertinentia: quemadmodum in auro et in igne atque in similibus videre licet (47). Nec vero, si quis hominum **160** aliquid eorum, quæ facta sunt, contrario nomine appellare audeat, idcirco quam Conditor ab origine indidit nomenclaturam mutare is possit, tanquam si melius aliquid excogitasset. Novit enim Conditor, quam gloriæ avidum, quam contentiosum animal homo futurus erat, et quantum certare inter se debebant de inventione nominum recentiorum. At « Non poterit, inquit, contendere cum fortiore super se, » id est, nequaquam is poterit certando cum sapientissimo atque omnipotente rerum omnium Conditore melius quidquam extundere et magis accommodatum: sed unum profecto illud multis diversisque in sermonibus variarum omnis generis cogitationum, qui hoc faciunt, assecuti videantur, ut vanitatem suam augeant, et a veritate ac natura rerum aberrent: quod sapiens Ecclesiastes declaravit, cum dixit: « Quia sunt verba multa multiplicantia vanitatem. »

Dum enim multi inter se contendunt, et linguas litigiosa disputatione exacuunt, ut appellationem aliquam magis novam imponant rebus, sequitur necessario, ut a convenienti veritate deflectentes, vim magnam inducant falsarum opinionum vanorumque commentorum, et in peccatum prolabantur. Quod designans externorum quoque philosophorum princeps sic ait: « Definire autem et peccata oportet, quæ in problematis admittuntur, et gemina sunt; cum nempe quis mentitur: vel cum a recepto vocabulo discedit: tam enim ii peccant, qui mentiuntur: et quod non est, esse

καὶ ῥυθμίζοντα τὴν ζωὴν ταῖς πνευματικαῖς καταστάσεσι· νῦν ἐφ' ἑτέραν ὑπόθεσιν μέτεισι καὶ διατείνεται καί φησι, μηδὲν ἐν τοῖς γεγονόσιν ἀκατονόμαστον ἐαθῆναι τὸ σύνολον· ἀλλὰ πᾶν, ὃ γέγονε, καὶ πρὸς τὸ εἶναι παρήχθη, τὴν πρόσφορον καὶ κατάλληλον λαβεῖν ὀνομασίαν καὶ κλῆσιν· ὡς προεγνωκότος τοῦ Κτίσαντος τὰ πάντα καὶ τὸν ἄνθρωπον, ὡς διαιρεθήσεται καὶ μερισθήσεται μυρίαις καὶ ποικίλαις γλωσσῶν καὶ διαλέκτων διαφοραῖς. Καὶ διὰ τοῦτο κἂν πειραθείη τις καὶ τῶν πραγμάτων ἕκαστον κατονομάζειν ἀλλοίως καὶ ἑτεροίως κατὰ τὴν γλωσσῶν καὶ διαλέκτων διαφοράν· πλὴν ἀλλὰ γὰρ εἶναι καὶ διαμένειν καὶ διεγνῶσθαι τὸ πρᾶγμα τοιοῦτον, οἷον καὶ γέγονε παρὰ τοῦ Ποιήσαντος· ὡς τὸ αὐτὸ ὑποκείμενον ὀνομάζεσθαι μὲν μυρίαις προσηγορίαις, μὴ συναλλοιοῦσθαι δὲ καὶ συνεξαλλάττεσθαι ταῖς τῶν διαλέκτων ἑτερότησι καὶ διαφοραῖς· ἀλλ' εἶναι μὲν αὐτοῦ τὴν φύσιν μίαν καὶ τὴν αὐτήν, πολλὰς δὲ καὶ διαφόρους δέχεσθαι τὰς παρὰ τῶν πολλῶν καὶ διαφόρων γλωσσῶν προσηγορίας καὶ κλήσεις πρὸς τὸ αὐτὸ σημαινόμενον συνιούσας, ὡς ἐπὶ τοῦ χρυσοῦ καὶ τοῦ πυρὸς καὶ τῶν παραπλησίων ῥᾴδιόν ἐστι κατιδεῖν. Καὶ κἂν πειράσοιτό τις ἀνθρώπων ἀντονομάσαι τι τῶν γεγονότων, ἥκιστα δυνήσεται μεταβαλεῖν τὴν ἀρχῆθεν αὐτῷ παρὰ τοῦ Δημιουργοῦ δεδομένην ὀνομασίαν, ὡς βέλτιόν τι δῆθεν ἐπινοήσας. Ἔγνω γὰρ ὁ Δημιουργός, ὡς φιλόδοξον καὶ φιλόνεικον ζῶον ὁ ἄνθρωπος ἔσται, καὶ πολλὴν ἁμιλλαν ἕξουσι πρὸς ἀλλήλους ἐπὶ καινοτέρων ὀνομάτων εὑρέσεσιν. Ἀλλ' « οὐδὲ δυνήσεται φησὶ, τοῦ κριθῆναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτὸν, » τουτέστι, οὐδαμῶς ἐξισχύσει τῷ πανσόφῳ καὶ πανσθενεῖ Δημιουργῷ τῶν ἁπάντων ἁμιλλώμενος ἄμεινόν τι νοῆσαι καὶ προσφυέστερον· ἀλλ' ἢ μόνον ἐν τοῖς πολλοῖς καὶ διαφόροις λόγοις τῶν ποικίλων καὶ παντοδαπῶν νοημάτων, οἱ τοῦτο δρῶντες ματαιότητα πληθύνοντες εὑρεθήσονται, καταψευδόμενοι τῆς ἀληθείας καὶ τῆς φύσεως τῶν πραγμάτων· ὅπερ ὁ σοφὸς ἐδήλωσεν Ἐκκλησιαστὴς εἰπών· « Ὅτι εἰσὶ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα. »

Πολλῶν γὰρ ἁμιλλωμένων ἀλλήλοις καὶ τὰς γλώττας ἐριστικῶς παραθηγόντων πρὸς ἐξεύρεσιν καινοτέρας τινὸς ὀνομασίας ἐπὶ τοῖς πράγμασιν, ἐξ ἀνάγκης ἕπεται τῆς προσφυοῦς ἀληθείας παρεγκλινόντων ψευδῶν ὑπολήψεων καὶ ματαιολογιῶν συνάγειν αὐτοὺς τὸν ἐσμὸν, καὶ κατολισθαίνειν εἰς ἁμαρτίαν· ὅπερ σημαίνων καὶ τῶν θύραθεν φιλοσόφων ὁ κορυφαῖος οὕτω φησί· « Διορίσασθαι δὲ δεῖ καὶ τὰς ἁμαρτίας τὰς ἐν τοῖς προβλήμασιν, ὅτι εἰσὶ δίτταὶ, ἢ τῷ ψεύδεσθαι, ἢ τῷ παραβαίνειν κειμένην λέξιν. Οἵ τε γὰρ ψευδόμενοι καὶ τὸ μὴ ὑπάρχον ὑπάρχειν τινὶ λέγοντες ἁμαρτάνουσι, καὶ οἱ τοῖς

(47) Placet Amamæ interpretatio: « Quodcunque est, jam vocatum est nomen ejus, et constat quod sit homo, et non poterit contendere cum eo, qui fortior est se; » quam subinde sic explicat. « Vult ostendere vanitatem hominis ab ipsa notatione vocis. Ac præmittit generale quid, quidquid est in rerum natura, habet suum nomen, et quidem tale nomen, quod ejus naturam exprimit. Ac talia sunt nomina Hebraica bestiis et rebus singulis ab Adamo instinctu Dei indita. (*Gen.* II, 19.) Si omnia suis vocibus sunt insignita, etiam homo suam habebit; jam notum est illud nomen esse אדם, *quod sit ex luto, et non Deus*, ait Salomo Jarhi. »

Digitized by Google

ἀλλοτρίοις ὀνόμασι τὰ πράγματα προσαγορεύοντες, οἷον οἱ τὴν πλάτανον ἄνθρωπον, παραβαίνουσι τὴν κειμένην ὀνομασίαν. » Παρεμπεδοῖ δὲ τὴν τοιαύτην ἐκδοχὴν καὶ διὰ τῶν ἀμέσως ἑπομένων ὁ σοφὸς Ἐκκλησιαστής· φησὶ γάρ·

A alicui confirmant, quam qui alienis nominibus res appellantes, velut qui platanum hominis appellatione designent, consuetam denominationem transgrediuntur [24]. » Talem vero interpretationem iis etiam quæ protinus sequuntur, sapiens Ecclesiastes confirmat; ait enim :

§ II.

Τί περισσὸν τῷ ἀνθρώπῳ; ὅτι τίς οἶδε τί ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ αὐτοῦ ἀριθμὸν ἡμερῶν ζωῆς ματαιότητος αὐτοῦ; καὶ ἐποίησεν αὐτὰ ἐν σκιᾷ· ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ, τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον;

Μονονουχὶ γάρ φησιν· Εἰ γὰρ τοσοῦτον ἀπολειπόμενος σοφίας καὶ φρονήσεως ὁ ἄνθρωπος εὕρηται πρὸς τὴν ἰδίαν γνῶσιν, ὡς μηδὲ τὰ κατ' αὐτὸν διατιθέναι πρεπόντως καὶ συμφερόντως, ἀγνοεῖν δὲ καὶ τὸ κυρίως ἀγαθὸν, καὶ διὰ τοῦτο τὸ κακὸν καὶ φαῦλον ἀνθαιρεῖσθαι καὶ πράττειν· πῶς μηδέν τι πλέον ἔχων καὶ περισσὸν πρὸς διάγνωσιν τῶν ὑψηλοτέρων καὶ μειζόνων καὶ βελτιόνων, ἐριστικὴν ἅμιλλαν ἐξισχύσει ποιεῖσθαι πρὸς τὸν πάντων ἐπέκεινα καὶ μόνον ἀπειροδύναμον Κύριον, τὸν καὶ μόνῃ βουλήσει τῶν γεγονότων ἕκαστον οὐσιώσαντα καὶ παραγαγόντα πρὸς ὕπαρξιν, καὶ ταῖς προσφυέσι καὶ προσφόροις ὀνομασίαις χαρακτηρίσαντα παρευθύς; Τοῦτο δὲ σημαίνων καὶ ὁ προφήτης Ἡσαΐας φησίν· « Ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν κόσμον αὐτοῦ, καὶ πάντα καλῶν ἐξ ὀνόματος, » δηλῶν ἐντεῦθεν, ὡς ἅμα τῷ γεγονέναι καὶ τὴν πρόσφορον ἔλαχεν ἕκαστον προσηγορίαν παρὰ τοῦ Κτίσαντος, ἣν οὐδεὶς ἀνθρώπων ἀλλοιῶσαι τὸ παράπαν ἰσχύσειεν· ἀλλ' ὥσπερ ἕκαστον τῶν γεγονότων εὕρηται διαμένον κατὰ τὴν φύσιν ἀμετάβλητον, μηδεμίαν παραλλαγὴν προσιέμενον ἔν τε τοῖς ἀψύχοις καὶ τοῖς ἐμψύχοις· καὶ τὸ παράπαν οὐδεὶς ἀνθρώπων εὕρηται δυνηθεὶς ἐναλλάξαι τινὰ καὶ μεταβαλεῖν φύσιν πρὸς ὅπερ οὐ γέγονε· τοῦτο γὰρ ἐσήμανε καὶ τοῖς ἀνόπιν λόγοις εἰπών, « Τί τὸ γεγονός; Αὐτὸ τὸ γενησόμενον· » οὕτως οὐδέ τινος τῶν ὄντων ἀλλοιῶσαί τινα δυνηθείη πρασηγορίαν. Πάντα γὰρ, φησὶν, ὅσα ἐποίησεν ὁ Θεὸς, αὐτά ἐστιν εἰς τὸν αἰῶνα· ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Νῦν οὖν φησι, « Τίς οἶδε τί ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ αὐτοῦ ἀριθμὸν ἡμερῶν ζωῆς ματαιότητος αὐτοῦ; καὶ ἐποίησεν αὐτὰ ἐν σκιᾷ· » τουτέστιν, ἀγνοοῦντι τῷ ἀνθρώπῳ τοῦ κυρίως ἀγαθοῦ τὴν κτῆσιν, καὶ διὰ τοῦτο πορευομένῳ ταῖς ματαιοπραξίαις παρὰ πάντα τὸν ἑαυτοῦ βίον, αἳ καὶ παρελεύσονται δίκην σκιᾶς, τίς αὐτῷ διαγγελεῖ τὰς συμβησομένας βιωτικὰς περιπετείας καὶ συμφορὰς ὑπὸ τοῦτον τὸν ἥλιον; » Μηδὲν γὰρ ἀπευκταῖον ἐλπίζων ἀπὸ τοῦ εἶναι περίβλεπτος καὶ περιφανὴς, καὶ μυρίαις περιστοιχεῖσθαι τῆς προσούσης αὐτῷ καταδυναστείας λαμπρότησιν,

Vers. 11. **161** *Quid plus homini? quis namque cognovit, quid sit bonum homini in vita ipsius secundum numerum dierum vitæ vanitatis ejus? Et fecit ea in umbra : quia quis annuntiabit homini, quid erit post eum sub sole* (48)?

B Tanquam si hunc in modum loqueretur : Nam si adeo sapientiæ prudentiæque expers inventus est homo in iis, quæ ad cognitionem ipsius pertinerent, ut nec res suas recte atque utiliter ordinaret, et quod præcipue bonum esset, nesciret, itaque malum atque inhonestum præferret ac sectaretur : quomodo is plus aliquid valeat instructusque sit ad ea cognoscenda, quæ altiora sunt et majora atque potiora, inque certamen cum eo venire possit, qui summus omnium Dominus est et unus omnipotens, qui sola voluntate, quæ facta sunt, ut essent exsisterentque, perfecit, et aptis ac convenientibus appellationibus statim designavit? Hoc vero et Isaias propheta indicans ait : C « Qui educit in numero mundum ejus, et omnia vocat ex nomine (49). » Quibus ostendit, singula, quo tempore condita sunt, eodem et nomen a Conditore congruum nacta esse, quod nemo hominum commutare ulla ratione posset : ut quemadmodum singula, quæ facta sunt, eadem natura atque immutata manere vides, varietate omni, sive inanima sint, sive animam habeant, rejecta; ac nemo hominum inventus unquam est, qui vel unius rei mutare naturam posset, atque ad id transferre, ad quod facta non esset; hoc enim et superius significavit, cum dixit : « Quid est quod fuit? Ipsum quod futurum est [25]; » sic nullam rei ullius appellationem invertere potuerit. Omnia enim, inquit, quæ fecit Deus, ea sunt in D sæculum, nec de his demere quidquam licet. Nunc igitur addit : « Quis cognovit, quid sit bonum homini in vita ipsius secundum numerum dierum vitæ vanitatis ipsius? et fecit ea in umbra; » id est, homini, qui boni præcipui adipiscendi rationem ignorat, ac propterea totam impendit vitam **162** vanis in rebus, quæ umbræ instar pertransibunt, quis futuras hoc sub sole vicissitudines vitæque ærumnas prænuntiabit? Cum enim funesti nihil sibi metueret, quod conspicuus esset atque spectabilis, multoque dominationis

[24] Arist. *Topic.* lib. II, 1. [25] Eccles. I, 9.

(48) Olymp..... Τῷ ἀνθρώπῳ; τί ἔσται αὐτῷ; καὶ ἐποίησε αὐτὰ ἐν σκιᾷ..... omissis, quæ intermedia sunt. In edit. Vatic. inde incipit caput VII.

(49) Isa. XL, 26. Sed apud LXX legimus, Ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν κόσμον αὐτοῦ, πάντας ἐπ' ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος αὐτοῦ.

Digitized by Google

suæ splendore ornatus incederet, in ultimam recidit ignominiam, ac ludibrio esse cœpit et omnibus in miseriis versari. Quod si eorum, quæ sibi impendent, nihil prænoscit, nec quæ secutura sit conversio rerum atque ruina, quomodo certamen inibit cum virtutum Domino, qui et rerum exsistentium naturas produxit, et scite his apteque nomina imposuit?

Notato igitur improbatoque etiam illo, qui superbia elatus multa, ad conditarum rerum denominationes melius aliquid comminisci sibi videatur, quod reliquum est, hortatur atque suadet, ut honestis recteque factis partam appellationem pluris æstimemus, argutasque et leves de novorum nominum inventionibus, quæ rebus magis conveniant, cavillationes relinquamus: unam vero hanc, ut decet, curam suscipiendam arbitremur, ut honesta vitæ ratione illud nobis nomen adipiscamur, quod laudabiles ac beatos facere potest; ait enim:

A εἰς τὴν ἐσχάτην ἀδοξίαν παρερρύη, καὶ καταγέλαστος ὤφθη καὶ πάσης ἀθλιότητος πλήρης. Εἰ δὲ μηδὲν τῶν ἐπομένων αὐτῷ προγινώσκει καὶ συμβησομένων πρὸς τὴν ἐπὶ τὰ χείρω μεταβολὴν καὶ μετάπτωσιν, πῶς ἀμιλληθήσεται τῷ Κυρίῳ τῶν δυνάμεων, τῷ καὶ τὰς φύσεις παράγοντι τῶν γεγονότων, καὶ τεθεικότι καὶ τὰς σφῶν ὀνομασίας προσφυῶς καὶ προσφόρως;

Κωμῳδήσας οὖν καὶ φαυλίσας καὶ τὸν διὰ πολλὴν ὑπερῳ̈ίαν οἰόμενον βέλτιόν τι ταῖς τῶν γεγονότων ὀνομασίαις ἐπινοεῖν, εἰσηγεῖται λοιπὸν καὶ παρέγγυᾷ τὴν διὰ τῶν πράξεων τῶν ἀγαθῶν καὶ σπουδαίων προσηγορίαν περὶ πολλοῦ ποιεῖσθαι, καὶ τὰς μὲν ἐρεσχελίας καὶ λέσχας τὰς ἐν ταῖς καινοτέραις B ἐξευρέσεσι τῶν ὀνομάτων τῶν ἐν τοῖς γεγονόσι καταλιπεῖν· μίαν δὲ ταύτην φροντίδα προσηκόντως ἀναλαβεῖν τοῦ διὰ τῶν σπουδαίων πράξεων ὀνομασίαν ἑαυτῷ περιποιήσασθαι τὸ ἐπαινετὸν καὶ μακάριον κεκτημένην· φησὶ γάρ·

§ III.

Cap. VII. Vers. 1. *Bonum est nomen super oleum bonum, et dies mortis super diem nativitatis ejus* (50).

Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν· καὶ ἡμέρα θανάτου ὑπὲρ ἡμέραν γεννήσεως αὐτοῦ.

Olei proprium est exhilarare ac lenire, et doloribus, qui ex inæqualitate aliqua obveniant, hominum naturam liberare: olei utique, quod externo plane careat vitio, nec ob vetustatem productionemque temporis, naturalem sinceritatem puritatemque qualitatis suæ propriam immutarit, aut aliqua deterioris permistione corruptum vitiatumque sit; quodque et odorem servet suum, et propriam puramque in ipso gustu suavitatem exhibeat. Enimvero hujusmodi oleo, quod ad excellentiæ significationem bonum nuncupatur, melius multo atque præstantius **163** bonum nomen est, quod ex recte factis atque ex virtute, tanquam ex oleis, exprimitur ac generatur. Nam oleum quidem, cum eduliis inspersum fuerit, ea esui jucundiora facit ac suaviora. Quo illud Davidis prophetæ pertinet dictum: « Exhilaret faciem in oleo[36]; » pinguefacit nempe ac lætificat quodammodo naturam, quod ciborum humores diluat ac temperet. Bonum autem nomen, quod arbor veluti misericordiæ et temperantiæ et patientiæ et mansuetudinis, atque pudicitiæ etiam ac virginitatis producere solet, non eum solum, qui adeptus est, hilarem efficit et omnibus plane amabilem; sed etiam ad alios omnes bonæ qualitatis suæ odorem ac suavitatem diffundit, ac eos etiam et exhilarat et tranquillat, superbis acerbisque moribus exuens, atque immitibus et illiberalibus animi affectionibus,

Τὸ ἔλαιον ἱλαρύνειν πέφυκε καὶ προσημεροῦν, καὶ τῶν παρεμπιπτουσῶν ἀχθηδόνων ἔκ τινος ἀνωμαλίας τὴν φύσιν τῶν ἀνθρώπων ἐλευθεροῦν· ἔλαιον δηλαδὴ τὸ πάσης ἀπηλλαγμένον κακίας τῆς ἔξωθεν· καὶ μήθ' ὑπὸ παλαιότητος καὶ χρονικῆς παρατάσεως παρεκτραπὲν τῆς κατὰ τὴν ἰδίαν ποιότητα φυσικῆς C εἰλικρινείας καὶ καθαρότητος, μήθ' ὑπό τινος ἐπιμιξίας χείρονος προσδιαφθαρὲν καὶ παραβλαβέν· ἀλλὰ διασῴζον τὸ εὐῶδες καὶ τὸ ἡδὺ τῆς γευστικῆς ποιότητος ἄκρατον. Τούτου τοίνυν τοῦ κατ' ἐξαίρετον ἀγαθοῦ παραληφθέντος ἐλαίου πολλῷ μᾶλλον τὸ ἀγαθὸν ὄνομα τὸ ἐκ τῶν ἀγαθῶν ἔργων καὶ τῶν κατ' ἀρετὴν ἐλαίων ἐκπιεζόμενον καὶ γεννώμενον, ἄμεινόν ἐστι καὶ κρεῖττον. Τὸ μὲν γὰρ προσεπιβεβλημένον τοῖς ἐδωδίμοις ἱλαρωτέραν καὶ προσφυεστέραν αὐτῶν καθίστησι τὴν μετάληψιν· ὅπερ αἰνιττόμενος ὁ προφήτης Δαβὶδ ἔφησε· « Τοῦ ἱλαρύναι πρόσωπον ἐν ἐλαίῳ· » παίνει καὶ προσιλαρύνει πως τὴν φύσιν, ἅτε δὴ τοὺς χυμοὺς τῶν βρωμάτων πρὸς τὸ βέλτιον καθιστῶν. Τὸ δὲ ἀγαθὸν ὄνομα, ὃ γεννᾷν οἶδε τὸ δένδρον τῆς ἐλεημοσύνης καὶ τῆς σωφροσύνης καὶ D τῆς μακροθυμίας καὶ τῆς πραότητος, ἢ καὶ τῆς ἁγνείας καὶ παρθενίας, οὐ τὸν ἔχοντα μόνον αὐτὸ δείκνυσιν ἱλαρὸν καὶ πᾶσιν ἐπέραστον· ἀλλὰ καὶ πρὸς ἄλλους πάντας ἀφίησι τὸ εὐῶδες καὶ τὸ ἡδὺ τῆς ἀγαθῆς ποιότητος, καὶ προσιλαρύνει καὶ προσημεροῖ κἀκείνους, καὶ τῶν ὑπεροπτικῶν καὶ πικρῶν ἠθῶν καὶ τῶν ἀνελεημόνων καὶ φειδωλῶν διαθέσεων,

[36] Psal. CIV, 15.

(50) Ne nic quidem noster discedit a Symmacho, qui τὸ ἀγαθὸν reddidit ὃ συμφέρει· ait enim: Τίς γὰρ οἶδεν ὃ συμφέρει; *Quis enim novit, quid expediat?* at quæ sequuntur: *Et fecit ea in umbra*, in Vulgatis ad vitæ dies referuntur: *Numero dierum peregrinationis suæ, et tempore, quod velut umbra præterit.* Isidorus vero nostras sic explicavit: *Fecit enim dies hominis Deus similes umbræ.*

(51) Sed apud LXX desideratur αὐτοῦ.

Digitized by Google

καὶ τῶν ἄλλων ἰδιωμάτων τῆς ἀγριωτέρας καὶ θηριωδεστέρας ζωῆς ἀπαλλάττει, διὰ τῆς ἀγαθῆς φήμης πρὸς τὴν ἰδίαν ζήτησιν καὶ κτῆσιν προσεφελκόμενον.

A cæterisque feræ atque agrestis vitæ vitiis; simul et, bona fama proposita, ad sui ipsius pervestigationem atque adeptionem perducit.

Παρεμπεδοῖ δὲ τὴν τοιαύτην ἐκδοχὴν μᾶλλον ὁ Σύμμαχος εἰπών, « Ἀμεινον ὄνομα ἀγαθὸν μύρου εὐώδους, » δεικνὺς ἐμφανῶς, ὡς τὸ κατασκευαζόμενον μύρον ἐκ πολλῶν καὶ διαφόρων εἰδῶν ἀρωματικῶν οὐ τοὺς πλησιάζοντας μόνον εὐωδιάζει καὶ πληροῖ τῆς ἰδίας τερπνότητος, ἀλλὰ καὶ πρὸς τοὺς πόῤῥω παραπέμπει τῆς εὐωδίας τὴν ὀσφρασίαν· οὕτω καὶ συντιθέμενον ἐκ τῶν κατ' ἀρετὴν ἰδιοτήτων ὄνομα ἀγαθὸν, οἷον ὀχήματί τινι τῷ ἀέρι χρησάμενον, διὰ τῆς ἀγαθῆς φήμης καὶ πρὸς τοὺς πορῥωτέρω παραπέμπει τὴν εὐωδίαν· καθὼς φησι καὶ Παῦλος ὁ μέγας ἀπόστολος· « Χριστοῦ εὐωδία ἐσμὲν ἐν τῷ Θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωὴν, οἷς δὲ ὀσμὴ θανάτου εἰς θάνατον. »

Porro interpretationem hujusmodi Symmachus potissimum confirmat, qui ait : « Melius nomen bonum unguento fragrante (52), » non obscure declarans, quemadmodum unguentum, quod e multis variisque aromatis componitur, non vicinos tantum odore perfundit ac suavitate complet sua, verum etiam ad longinquos non minus gratam fragrantiam transmittit; sic nomen bonum, quod ex virtutis proprietatibus constat, tanquam aeris ope ad vehendum utatur bona utique fama ad remotiores etiam diffundere odorem suum. Quare et Paulus magnus Apostolus; « Christi, inquit, bonus odor sumus in Deo in iis, qui salvi fiunt, et in iis, qui pereunt, aliis quidem odor vitæ in vitam, aliis autem odor mortis in mortem (53).

Εἶτά φησι· « Καὶ ἡμέρα θανάτου ὑπὲρ ἡμέραν γεννήσεως αὐτοῦ. » Τίνος; Δηλαδὴ τοῦ σπουδαίου καὶ κατ' ἀρετὴν διαζῶντος, καὶ τὸ ἀγαθὸν ὄνομα κατασκευάσαντος ἑαυτῷ καὶ συνθέντος ἐκ τῶν ποικίλων καὶ παντοδαπῶν ἔργων τῆς εὐαγγελικῆς καὶ πνευματικῆς πολιτείας καὶ καταστάσεως. Ὁ γὰρ θάνατος τοῦ τοιούτου τῶν ὑπὲρ ἀρετῆς ἀγώνων καὶ πόνων πέρας ἐστὶ, καὶ διὰ τοῦτο καὶ πρὸς τὸ μακάριον τέλος αὐτὸν παραπέμπον, τιμιωτέραν καὶ προσφιλεστέραν δείκνυσι τῆς τελευτῆς τὴν ἡμέραν, τῆς κατὰ τὴν γέννησιν καὶ τὴν εἰς τὸν βίον πάροδον παραληφθείσης ἡμέρας. Ἐκείνη μὲν γὰρ πολλῶν πειρατηρίων καὶ δεινῶν καὶ θλίψεων καὶ περιστάσεων εὑρίσκεται πρόξενος· οὐ μόνον τῶν ἀπὸ τῶν ἔξωθεν παρεισκεκριμένων συμφορῶν ἀδοκήτων, ἀλλὰ καὶ πολλῷ πρώην ἐκ τῶν κατὰ τὴν φύσιν εἰωθότων γίνεσθαι συμπτωμάτων. Νόσοι γὰρ ἀλλεπάλληλοι καὶ διαφόρων καὶ ποικίλων παθῶν ἐπαναστάσεις περιστοιχοῦσαι τὴν ἀνθρωπίνην ζωὴν, καὶ τοῦ θανάτου φευκτοτέραν πολλάκις ἀπέδειξαν, καθὼς αἰνίττεται καὶ τὸ λόγιον τῆς γραφῆς τοῦ Ἰὼβ τὸ φάσκον· « Ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; Οἱ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσιν. » Ἡ δὲ τῆς τελευτῆς ἡμέρα τοῦ σπουδαίου καὶ κατ' ἀρετὴν διαλάμψαντος ἀπολυτροῦται μὲν κἀκείνων ἁπάντων, ἅτε δὴ τῶν βιωτικῶν πειρατηρίων ἐπιφερομένη τὴν παῦλαν· ἀρχὴν δὲ δίδωσι τῷ καλῶς ἀγωνισαμένῳ, καὶ τὸν κατ' ἀρετὴν τελειώσαντι δρόμον, καὶ τὴν πίστιν τηρήσαντι, τῶν μακαρίων ἐπάθλων καὶ τῶν τῆς δικαιοσύνης στεφάνων.

Ait deinde Ecclesiastes : « Et dies mortis super diem nativitatis ejus. » Cujusnam? Probi omnino et ad virtutis normam viventis, bonumque sibi nomen adepti, ac multis **164** variisque evangelicæ et spiritualis institutionis operibus promeriti. Hujus enim mors susceptorum pro virtute certaminum laborumque terminus est, qui cum eum ad beatum transferat finem, pretio atque amore dignum magis ostendit mortis diem, quam eum, qui genitis aditum in hanc vitam patefecit (54). Nam ille quidem periculorum multorum et ærumnarum et dolorum et necessitatum vim nobis ingentem attulit; nec solum calamitatibus objecit, quæ præter opinionem adrepunt extrinsecus, sed etiam casibus iis, qui jamdiu natura incidere consueverunt. Morbi enim ita alternant, et tot animi affectiones ac motus humanam obsident vitam, ut sæpe morte tristiorem ostendant : quod et divino Jobi oraculo designatur, ubi ait : « Quare misero data est lux, et vita his, qui in amaritudine animæ sunt? qui exspectant mortem, et non venit[37]? » Dies autem mortis ejus, qui probe vixit et virtute enituit, illis quidem omnibus liberat, cum periculorum vitæ finem afferat, et ei, qui bonum certamen certavit, et cum virtute cursum consummavit, fidemque servavit, exordium adducat beatorum præmiorum, et justitiæ coronam imponat[38].

[37] Job III, 20. [38] II Tim. IV, 7.

(52) Id ipsum ex Symmacho protulerat Olympiodorus (p. 644 E in *Auct.* Duc.). Cæterum et ipsa vox *oleum* sæpe pro unguento usurpatur : ut apud Lucam, *Oleo caput meum non unxisti* (c. VII, v. 46). Atque id Latinis familiare fuit : *Nemon' oleum feret ocius?* dixit Horatius (*Sat.* VII, l. II, v. 34), de oleo ad unctionem in balneis : et *oleum gratuitum* in thermis datum sæpe exhibent inscriptiones antiquæ, ut alias adnotavimus (*De ss. inscr.* p. 91), quod Apuleius *oleum balsamum* appellavit.

(53) II ad Cor. II, 15. In Vulgatis legimus.... ἐσμὲν τῷ Θεῷ..... et οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον· οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν.

(54) Hunc Ecclesiastæ locum Christiani veteres ob oculos habuisse videntur Mazochio, quando transitum ex hac vita vocarunt *Natalem* aut Γενέθλια seu Γενέσια (*Spic. Bibl.* t. II, p 224). Velut cum ait Augustinus : « *Digne Natalem istorum colimus quos beatius æternæ vitæ mundus edidit, quam mundo maternorum viscerum partus effudit.* » (Serm. 10 *De Sanctis.*)

Digitized by Google

Plus igitur honoris et commodi dies mortis ejus, A qui probus fuit, et virtute inclaruit, quam dies nativitatis habet. Nam illud profecto omnes norunt, nunquam contingere, ut dies nativitatis diem mortis honore afficiat. At contra dies mortis, vitæque supremus innumerabilium hominum natalem diem illustravit : quemadmodum ex iis perfacile est cognoscere, qui per omnes ætates sanctitate floruerunt : de quibus ait Propheta : « Dinumerabo eos, et super arenam multiplicabuntur [59]. » Quippe beatus horum omnium exitus ortum quoque beatum declaravit. Ait deinde Ecclesiastes :

Πλεῖον οὖν τὸ τίμιον ἔχει καὶ προφερέστερον ἡ τῆς τελευτῆς ἡμέρα τοῦ σπουδαίου καὶ κατ' ἀρετὴν διαλάμψαντος τῆς κατὰ τὴν γέννησιν παραλαμβανομένης ἡμέρας· ἴσασι γὰρ ἅπαντες ἀληθῶς, ὡς ἡμέρα γεννήσεως οὐδέποτε πέφυκε τοῦ θανάτου τὴν ἡμέραν τιμᾷν· ἀλλ' ἔμπαλιν τοῦ θανάτου καὶ τῆς τελευτῆς ἡ ἡμέρα τὰς τῆς γεννήσεως ἡμέρας ἐτίμησεν ἀναριθμήτων ἀνθρώπων· ὡς ἐπὶ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀποφανθέντων ἁγίων κατιδεῖν ἐστιν εὐπετὲς, περὶ ὧν φησιν ὁ Προφήτης, « Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. » Τῶν γὰρ τοιούτων ἁπάντων τὸ μακάριον τέλος μακαρίας καὶ τὰς γεννήσεις ἀπέφηνεν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

§ IV.

VERS. 3. *Bonum ire ad domum luctus, quam ire ad domum convivii : eo quod hic est finis omnis hominis.* B

Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου· καθ' ὅτι τοῦτο τέλος παντὸς ἀνθρώπου.

Finem rerum quarumque contemplatus sapiens Ecclesiastes, cujus quidem exitum laudabilem agnoscit atque beatum, hanc et utiliorem ac honore digniorem scite denominat, et contrariis ad comparationem opponit. Etenim postquam in domo luctus dolorem versari vidit et fletum et caducæ hujus hominum vitæ, tanquam multis fere acerbisque lacrymis et planctibus plenissimæ condemnationem : quæ hoc nempe homini præstant, ut ad futuræ vitæ æternitatem considerandam, vel si animo obduruerit, excitetur, atque adeo contracto fastu compressoque superbarum cogitationum fremitu, se a corporis voluptatibus atque a pravis obscenisque factis contineat (55) : contra vero convivii domus ei visa sit homines ad rerum potiorum oblivionem deducere, et ad pejora atque temporaria plane et caduca amplectenda pellicere : idcirco ait : « Bonum ire ad domum luctus magis quam ad domum convivii. » Quam ob causam? Quia illic quidem argumentum invenit et fontem beatitatis : « Beati enim, dictum est, qui lugent, quia ipsi consolabuntur [60] ; » hic vero miseriarum : « Væ enim ridentibus [61], » evangelica interminatur sententia. Domum autem luctus appellavit vel ab iis, qui defunctum plorant : « Super mortuo enim educ lacrymas [62], » sacris alicubi in Litteris legimus : vel ab iis, qui peccata sua lugent, et confessione (56) D

Πρὸς τὸ τέλος ἀποβλέπων ἑκάστου τῶν πραγμάτων ὁ σοφὸς Ἐκκλησιαστὴς, οὗ μὲν βλέπει τὸ τέλος ἐπαινετὸν καὶ μακαριστὸν, τοῦτο καὶ προφερέστερον καὶ τιμιώτερον προσφυῶς ὀνομάζει, καὶ τίθησιν ἐν τῇ συγκρίσει τῶν ἀντιθέτων. Καὶ γὰρ ἐπειδὴ τὸν μὲν οἶκον τοῦ πένθους εἶδεν ἔχοντα κατάνυξιν καὶ κλαυθμὸν καὶ τῆς παρούσης καὶ φθειρομένης τῶν ἀνθρώπων ζωῆς κατάγνωσιν, ὡς ἀναμέστου πεφυκυίας πολυσχεδῶν λυπηρῶν καὶ δακρύων καὶ κοπετῶν, δι' ὧν εἰς ἔννοιαν ἔρχεται τῆς ἀκηράτου καὶ μελλούσης ζωῆς ὁ καὶ λιθώδη καρδίαν ἐπιφερόμενος ἄνθρωπος, κάντεῦθεν συστέλλεται καὶ κατασπᾷ καὶ καθυφίησιν ἀπὸ τοῦ φυσήματος καὶ φρυάγματος C τῶν ἀλαζονικῶν ἐνθυμήσεων καὶ τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ τῶν φαύλων καὶ κιναίδων ἀναστέλλεται πράξεων· ὁ οἶκος δὲ τοῦ πότου τοὐναντίον παρασκευάζει τῶν κρειττόνων λήθην λαμβάνειν, τοῖς δὲ χείροσι προσαρμόττειν καὶ τοῖς προσκαίροις καὶ φθειρομένοις· τούτου χάριν φησὶν, « Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ εἰς οἶκον πότου. » Δι' ἣν αἰτίαν; Ὅτι ἐκεῖ μὲν ὑπόθεσιν εὑρίσκει μακαριότητος πρόξενον· « Μακάριοι » γὰρ, φησὶν, « οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· » ἐνταῦθα δὲ ἀθλιότητος· « Οὐαὶ » γὰρ « τοῖς γελῶσιν, » ἐπήρτηται παρὰ τῆς εὐαγγελικῆς ἀποφάσεως. Οἶκον δὲ πένθους ὠνόμασεν ἢ τῶν ἐπὶ τῇ τελευτῇ τοῦ τεθνηκότος πενθούντων· « Ἐπὶ » γὰρ « τῷ νεκρῷ

[59] Psal. CXXXIX, 18. [60] Matth. V, 5. [61] Luc. VI, 25. [62] Eccl. XXXVIII, 16.

(55) Eodem pertinent, quæ habet Chrysostomus, eadem Ecclesiastæ verba explicans : Ἅμα γάρ τις ἐπιβῇ τῶν προθύρων τῆς οἰκίας τῆς τὸν νεκρὸν ἐχούσης, καὶ τὸν τετελευτηκότα εἶδεν ἄφωνον κείμενον, καὶ τὴν γυναῖκα τὰς τρίχας τίλλουσαν, τὰς παρειὰς καταξαίνουσαν, τοὺς βραχίονας κατατέμνουσαν, καταστέλλεται, σκυθρωπάζει· καὶ τῶν συγκαθημένων ἕκαστος πρὸς τὸν πλησίον οὐδὲν ἕτερον φθέγγεται, ἀλλ' ἢ ὅτι Οὐδέν ἐσμεν, καὶ ἡ κακία ἡμῶν ἄφατος. Τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων γένοιτ' ἄν, ὅταν καὶ τῆς φύσεως τὴν εὐτέλειαν ἐπιγινώσκωμεν, καὶ τὴν πονηρίαν διαβάλλωμεν, καὶ μηδὲν εἶναι τὰ παρόντα νομίζωμεν; Id est : *Simul enim ac quispiam domus mortuum habentis vestibulum ascenderit, defunctum intuitus mutum jacentem, et uxorem vellentem crines, lacerantem genas, brachia tundentem, componitur, vultum dejicit; et confidentium quisque ad proximum nihil aliud loquitur, quam illa, nihil nos esse, et ineffabilem nostram esse malitiam. Quid his verbis sapientius esse possit, cum et naturæ vilitatem agnoscamus, et nostram accusemus improbitatem, et præsentia nihil esse cogitemus.* (N. 2, hom. 15, ad pop. Antioch.)

(56) Non hic solum, sed infra etiam confessionem sive ἐξαγόρευσιν memorat noster : ait enim, (§ 5 hujus libri), qui in domum luctus venerit, in illud consilium sensim venturum, « *ut peccata quæ admiserit, pœnitentia plane detestetur, veniamque*

Digitized by Google

κατάγαγε δάκρυα, » φησί που τὸ λόγιον τῆς θείας Γραφῆς· ἢ τῶν ἐπὶ ταῖς ἰδίαις ἁμαρτίαις θρηνούντων, καὶ διὰ τῆς ἐξαγορεύσεως καὶ τῆς μετανοίας τὴν συγχώρησιν αὐτῶν ἐξαιτούντων· ἀλλ' οὐχὶ τῶν ἐπὶ ταῖς δυστυχίαις τῶν ἐμπορικῶν ὑποθέσεων, ἢ ταῖς ἀποτεύξεσι τῶν ἀνθρωπίνων ἀρχῶν καὶ δυναστειῶν καὶ δοξῶν. Τῶν γὰρ τοιούτων ὁ οἶκος οὐκ ἀγαθὸς, κἂν πλήρης ὁλοφυρμῶν εὑρεθείη καὶ πένθους· ἄτε δὴ τὸ πένθος καὶ τὸ θρῆνος οὐκ ἐπὶ ταῖς ἐννοίαις καὶ ταῖς ἐφέσεσι τῶν κρειττόνων καὶ τῶν ἐλπιζομένων ἀγαθῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ποιουμένων, ἀλλ' ἔμπαλιν ἐν τῇ ζητήσει τῶν ἀνθρωπίνων καὶ προσκαίρων καὶ φθειρομένων, καὶ τῆς ἁμαρτίας ὡς ἐπίπαν ποιητικῶν.

Τοῦτο γὰρ ἐμπεδοῖ δι' ὧν εἶπεν ἀμέσως· φησὶ γάρ, « Καθ' ὅτι τοῦτο τέλος παντὸς ἀνθρώπου. » Τοῦτο, ποῖον; Ἡ δηλονότι τὸ τελευτᾷν καὶ θνήσκειν· ἐφ' ᾧ καὶ τὴν μελέτην τῆς καρδίας ἔχειν ὀφείλομεν ἅπαντες, θανάτου μελέτην τὸν ἴδιον ἐπιδεικνύμενοι βίον· ἢ τὸ μεταγινώσκειν καὶ μετανοεῖν καὶ κλαίειν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν. Διὰ γὰρ τῶν συνεχῶν καὶ ψαψιλῶν δακρύων, ὡς ἐν λουτρῷ τὸν σαρκικὸν ἀποκαθαίρομεν ῥύπον, οὕτως ἀπολουόμεθα καὶ τὰς ψυχικὰς ἀποπλύνομεν κηλίδας καὶ βεβηλώσεις. Ἐκ δὲ τοῦ προσφοιτᾷν εἰς τὸν οἶκον τοῦ πένθους προσγίνεται τῷ προσφοιτῶντι κατανύξεως ὀφορμὴ καὶ πρόφασις μετανοίας, ἐφ' οἷς ἐπλημμέλησε· κἀντεῦθεν παρεκκλίνει μὲν τῶν χειρόνων, καὶ μεταβέβληται πρὸς τὴν πρᾶξιν τῶν ἀγαθῶν καὶ κρειττόνων. Τούτου χάριν ἐπήγαγε·

ac pœnitentia veniam **166** eorum efflagitant, nequaquam vero ab iis, qui de adversa fortuna et mercium jactura queruntur, aut de interversis magistratibus et dominatione atque gloria subrepta. Horum enim domus non bona, lamentorum quamvis plena inveniatur atque luctus : quippe quod luctus ille et lamenta non eorum sunt, qui cogitent et desiderent potiora ea bona, quæ in cœlorum regno sperantibus obveniunt, sed eorum potius, qui humana quærunt et temporaria et caduca, unde originem plerumque peccatum ducit.

Nam hoc ille confirmat iis, quæ protinus subjecit; ait enim : « Eo quod hic est finis omnis hominis [43]. » Hic, inquit; at quis? nimirum excessus et mors : in qua utique reputanda curam animi ponere debemus, et hanc vitæ nostræ summam putare, ut resipiscentes admissorum pœnitentiam agamus, et peccata nostra ploremus. Perpetuis enim uberibusque lacrymis, sicut in lavacro fœditates abluimus corporis, ita maculas animæ sordesque detergimus. Adeunti porro domum luctus in ipso accessu resipiscendi ansa præbetur et pœnitentiæ occasio se offert super iis, quæ deliquerit : itaque se a noxiis avertitur, et ad ea præstanda, quæ bona ac potiora sunt, traducitur. Hac de causa adjecit :

§ V.

Καὶ ὁ ζῶν δώσει ἀγαθὸν εἰς καρδίαν αὐτοῦ.

Μονονουχὶ γάρ φησιν· Ὅταν εἰς τὸν οἶκον τοῦ πένθους πορευθῇ καὶ τῶν ὁλοφυρμῶν καὶ κοπετῶν ὁ ζῶν ἄνθρωπος ἀκούσῃ τῶν συγγενῶν καὶ φίλων, συνδιατεθήσεται πάντως ταῖς σφῶν διαθέσεσι, καὶ πρὸς κλαυθμὸν καὶ δάκρυα κινηθεὶς εἰς ἀγαθὰς ἐννοίας προελθεῖν παρασκευάσει τὴν ἰδίαν καρδίαν· καὶ κἂν ἁμαρτίας εὑρεθείη πεποιηκὼς, μετανοήσει πάντως, καὶ δι' ἐξαγορεύσεως καὶ δαψιλοῦς ἐλεημοσύνης τὴν συγχώρησιν αὐτῶν λαβεῖν ἐπιζητήσει, λέγων μετὰ τοῦ προφήτου Δαβίδ, « Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. » Κἂν ἐξοιδαίνων ἐστὶ καὶ φλεγμαίνων τὴν καρδίαν, καὶ πεφυσιωμένος τοὺς λογισμοὺς τῷ πάθει τῆς ὑπερηφανείας καὶ τῆς ἀλα-

Et qui vivit, dabit bonum ad cor suum.

Nam hic verborum horum sensus est, cum in domum luctus vivens etiamnum homo pervenerit, ibique cognatorum **167** atque amicorum fletus gemitusque audierit, fore omnino, ut eorum induat affectus, et ad mœrorem ac lacrymas commotus, seria tandem ac recta meditari animum inducat : atque ut peccata, quæ admiserit, pœnitentia plane detestetur, veniamque eorum confessione et largis inopum subsidiis impetrare contendat, Davidis prophetæ usurpans verba : « Quoniam iniquitatem meam ego annuntiabo, et cogitabo pro peccato meo [44]. » Idem vel si tumidus sit et animo elatus, superbisque assuetam cogitationibus mentem gerat, et fastu insolenter se jactet, ad pudorem ac de-

[43] Eccle. VII, 3. [44] Psal. XXXVIII, 18.

eorum confessione et largis inopum subsidiis impetrare contendat. » Est autem ἐξαγόρευσις indicium rei arcanæ, ut grammatici explicant, quo vocabulo veteres Patres salutarem criminum confessionem, quæ sacerdoti secreto fit, designare soliti : quanquam eamdem passim ἐξομολόγησιν quoque appellant. Cæterum quia utraque voce usi quandoque Patres sunt ad pœnitentiæ etiam significationem, quam Deo in obsecrationibus profiteri testarique debemus; nec minus ad arcanam et privatam, quam manifestam ac publicam confessionem, quæ aliquandiu in Ecclesia celebrata est, indicandam : mirum est quantum allaborent hæretici ætatum nostrarum cum suo illo Kemnitio et Dallæo, ut Patrum auctoritates alio trahant, nec ullam ex iis ad arcanam unquam et privatam confessionem pertinere concedant. In quorum quidem manus, quando alia contemnunt, maxime velim perveniant egregiæ Jacobi Scheffmacheri epistolæ, ut quartam potissimum partis primæ attente legant.

Digitized by Google

missas affectiones pertrahetur, humanæ vitæ brevitatem reputabit, præclara mutatione alius esse incipiet : jamque potiora amplexus consilia, ad optima quæque facinora animum referet, ac vias salutis inibit. Hoc igitur illa designant verba : « Et qui vivit dabit bonum ad cor sunm ; » pessimæ quippe vitæ damnatio, et deliberatio susceptioque melioris animum hominis ad bonum beatumque finem deducunt. Ait deinde :

A ζονείας ἐξογκώμενος, ἀνθελκυσθήσεται πρὸς ταπεινὰς διαθέσεις, καὶ τῆς ἀνθρωπίνης ζωῆς διενθυμηθήσεται τὸ ὠκύμορον, καὶ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιωθήσεται· καὶ βελτίους ἀναλαβὼν ἐννοίας, εἰς ἀγαθὰς ἐκδώσει πράξεις τὴν ἰδίαν γνώμην, καὶ πορεύσεται τῆς σωτηρίας τὰς τρίβους. Τοῦτο οὖν φησι, « Καὶ ὁ ζῶν δώσει ἀγαθὸν εἰς καρδίαν αὐτοῦ. » Τῆς γὰρ χειρίστης ζωῆς ἡ κατάγνωσις, καὶ τῆς κρείττονος αἱ διενθυμήσεις καὶ ἀναλήψεις πρὸς τὸ ἀγαθὸν καὶ μακάριον τέλος ἐφέλκονται τὴν ἀνθρωπίνην καρδίαν. Εἶτά φησιν·

§ VI.

VERS. 4. *Bonum est ira super risum ; quia in malo vultus fiet bonum cor.*

B *Ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα· ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία.*

Iram decentem ac justam omni risu meliorem esse pronuntiat. Nam divinis quidem in Litteris locum reperies nullum, ubi risus tanquam res bona commendatus, et aliqua ex causa probabilis habitus sit : cum ira e contrario, quæ deccat, et indignatio justa ac tempestiva ad delinquentium emendationem et improborum utilitatem, in laude ponatur, et magno favore celebretur. Itaque et Deo sæpe ira tribuitur, atque etiam furor. Nam de gentibus adversus Hierosolymam frementibus ait Deus universi : « Quoniam ira magna ego irascor super gentes, quæ superimpositæ sunt ei : propterea quod ego quidem iratus sum parum, illi vero superimpositi multum (56*). » Et longe antea : C « Et iratus furore Dominus in Moysen, ait : Nonne ecce frater tuus Levites [55] ? » Et multa alia hujusmodi de Deo quis Deique famulis scripta **168** inveniet, quemadmodum et de Moyse relatum est : « Et iratus indignatione Moyses projecit de manibus suis tabulas ambas, et confregit eas sub monte [56]. » Quapropter optabilior atque utilior esse justa ira videtur, tanquam bona adversus improbitatem et improbos homines, quam risus ridentium, id est, quam incuria et dissimulatio et lenitas minime tempestiva.

Τὸν προσήκοντα καὶ δίκαιον θυμὸν ἀποφαίνεται κρείττονα παντὸς γέλωτος πεφυκέναι· γέλως μὲν γὰρ οὐχ εὕρηταί που παρὰ τῇ θείᾳ Γραφῇ μεμαρτυρημένος ὡς ἀγαθόν, ἢ τινος ἀποδοχῆς ἀξιούμενος· ὀργὴ μέντοι πρέπουσα καὶ θυμὸς κατάλληλος καὶ προσήκων πρὸς διόρθωσιν τῶν πλημμελούντων καὶ τῶν ἁμαρτανόντων βελτίωσιν, ἐπαινετός ἐστι καὶ μεγάλης ἄξιος εὐφημίας. Διὰ τοῦτο καὶ ἐπὶ Θεοῦ λαμβάνεται πολλάκις ἡ ὀργὴ καὶ μέντοι καὶ ὁ θυμός· φησὶ γὰρ ἐπὶ τῶν κατὰ τῆς Ἱερουσαλὴμ λυττώντων ἐθνῶν ὁ τῶν ὅλων Θεός· « Διότι ὀργῇ μεγάλῃ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα αὐτῇ· ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην εἰς ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς πολλά. » Καὶ πολλῷ πρώην, « Καὶ θυμωθεὶς ὀργῇ Κύριος ἐπὶ Μωϋσῆν, εἶπεν· Οὐκ ἰδοὺ ὁ ἀδελφός σου ὁ Λευΐτης; » καὶ πολλὰ τοιαῦτά τις εὑρήσει γεγραμμένα περὶ Θεοῦ καὶ τῶν τοῦ Θεοῦ θεραπόντων, ὡς γέγραπται καὶ περὶ τοῦ Μωϋσέως· « Καὶ ὀργισθεὶς θυμῷ Μωϋσῆς ἔρριψεν ἀπὸ τῶν χειρῶν αὐτοῦ τὰς δύο πλάκας, καὶ συνέτριψεν αὐτὰς εἰς τὸ ὄρος. » Τοιγαροῦν αἱρετώτερος εὑρηται καὶ λυσιτελέστερος ὡς ἀγαθὸς ὁ προσήκων θυμὸς ὁ κατὰ τῆς πονηρίας καὶ τῶν πονηρευομένων ἀνθρώπων ὑπὲρ τοὺς γέλωτας τῶν γελώντων, ἤγουν ὑπὲρ τὴν ἀνοχὴν καὶ παρασιώπησιν καὶ τὴν μὴ πρέπουσαν μακροθυμίαν.

Quanam de causa ? « Quia, inquit, in malo vultus fiet bonum cor. » Severum scilicet obtutum D et truculentiorem aspectum appellavit *malum*. Nam et qui in ludo discunt, si semper placidum magistrorum vultum aspiciant, in præceptis addiscendis negligentius se gerunt, nec de penso suo quidquam ac præcipuis exercitationibus laborant. At cum acerbitatem torvitatemque vultus intuiti fuerint, excussa remissi animi ac negligentis segnitie, ad ea studiose recolenda, quæ in magistrorum institutionibus proposita habent, alacrius se conferunt ; jamque animo a perversis studiis revocato, bonam vitæ rationem præferunt, et mores suos emendare nituntur (57). Hoc igitur est, quod Ec-

Τί δήποτε ; « Ὅτι, » φησὶ, « [ἐν] κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία. » Τὴν γὰρ αὐστηρὰν καὶ βλοσυρωτέραν τῆς ὄψεως ἐπιφάνειαν *κακίαν* ὠνόμασε. Τῶν γὰρ διδασκάλων οἱ μαθητευόμενοι τὴν εὐμένειαν ἀεὶ καθορῶντες, καταφρονητικότερον διατίθενται πρὸς τὰς ἀναλήψεις τῶν μαθημάτων, καὶ τῶν βελτίστων διατριβῶν καὶ πράξεων τὰς αἱρέσεις καὶ διαθέσεις· ὅταν δὲ πικρίαν καὶ βλοσυρότητα προσώπου θεάσωνται, τῆς διακεχυμένης καὶ προσημελημένης ἠλευθέρωνται γνώμης καὶ διαθέσεως, καὶ πρὸς ἐπιμέλειαν καὶ σπουδὴν τὴν ἐπὶ τοῖς προκειμένοις ταῖς εἰσηγήσεσι τῶν προεστώτων διανίστανται προθυμότερον, καὶ τῶν πονηρῶν ἐπιτηδευμάτων ἀπαλλατόμενοι, τὴν ἀγαθὴν ἀνθαιροῦνται

[55] Exod. IV, 14. [56] Exod. XXXII, 19.

(56*) Zachar. I, 15. Sed apud LXX leges : .... αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. Nec habent αὐτῇ aut διότι.

(57) Paucis hæc eadem expresserat Olympiodorus : Ἐν γὰρ τῇ τοῦ προσώπου αὐστηρίᾳ, ἣν δὴ κακίαν φησὶ, αὐτός τε ἀγαθυνθήσεται, καὶ τοὺς ὑπὸ χεῖρα ἀγαθοὺς ἀπεργάσεται. Id est : *Qui praest*, sive magister sive dominus, *severitate vultus, quam nempe*

Digitized by Google

πολιτείαν, καὶ τὴν σπουδαίαν κατορθοῦσι κατάστασιν. Τοῦτο οὖν ἐστιν ὃ φησιν, « Ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία. » Τῇ γὰρ πικρίᾳ τῆς θέας καὶ τῇ βλοσυρότητι τοῦ προσώπου μᾶλλον ἡ καρδία τῶν ἀρχομένων αἰσθητικώτερον καὶ νηφαλιώτερον ἀναλαμβάνουσα λογισμὸν, τῆς κατ' ἀρετὴν ἀγαθωσύνης γίνεται πλήρης· καὶ μᾶλλον ἀπόναται « τῆς τοῦ προσώπου κακίας, » ἢ τῆς εὐμενείας καὶ τῆς προσηνεστέρας θέας. Ἀμέλει τοίνυν τοῖς αὐτοῖς ἐμφιλοχωρῶν ὁ σοφὸς Ἐκκλησιαστὴς ἐπήγαγε·

A clesiastes ait : *Quia in malo vultus fiet bonum cor;* aspectus enim acerbitate ac torvitate vultus multo acrius percellitur subditorum animus, sobriaque cogitatione suscepta, virtutis adipiscendæ desiderio et studio completur : itaque multo majorem capit utilitatem « ex malo vultus, » quam ex benignitate et comi nimium blandoque aspectu (58). Hæc igitur ipsa retractans sapiens Ecclesiastes, utique subjecit :

§ VII.

Καρδία σοφῶν ἐν οἴκῳ πένθους· καρδία δὲ ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης.

Ἁπλῶς ἀποφηνάμενος ἀγαθὸν τοῦ προσφοιτᾷν εἰς οἶκον πένθους, ἢ εἰς οἶκον πότου, διὰ τὸ διάφορον ἑκατέρων τῶν οἴκων, νῦν προστίθησι, καὶ διεσταλμένως ὀνομάζει σοφοὺς τοὺς ἔχοντας τὴν καρδίαν ἐπὶ τὸν οἶκον τοῦ πένθους, ἄφρονας δὲ τοὺς τὴν καρδίαν ἔχοντας ἔμπαλιν εἰς τὸν οἶκον τῆς εὐφροσύνης· ἐκείνους διὰ τοῦ καλέσαι σοφοὺς κατασεμνύνων καὶ τῆς ἀνωτάτω καταξιῶν εὐφημίας· ὁ γὰρ σοφὸς ἄνθρωπος πανταχόθεν ἐπιφέρεται τὸ ἐπαινετόν· ἔμπαλιν δὲ τούτους κατακωμῳδῶν διὰ τῆς ὀνομασίας τοῦ ἄφρονος· ὁ γὰρ ἄφρων κατεγνωσμένως καὶ ψεκτῶς πάντα διανοεῖται καὶ λέγει καὶ δρᾷ, πρὸς μηδὲν λυσιτελὲς ἀποτεινόμενος πέρας.

Οὐκοῦν ἄρα τὴν εὐαγγελικὴν πολιτείαν προδιαγράφει καὶ χαρακτηρίζει σαφῶς διὰ τῶν εἰρημένων. Ὡς γὰρ τὸ τῆς σωτηρίας ἡμῶν Εὐαγγέλιον ἐπαινετοὺς ἡγεῖται καὶ μακαρίους τοὺς πενθοῦντας παρὰ πάντα τὸν ἑαυτῶν βίον καὶ κατολοφυρομένους, καὶ τὴν στενὴν καὶ τεθλιμμένην πορευομένους ὁδόν· ἔμπαλιν δὲ τοὺς κατασπαταλῶντας καὶ τὴν εὐρύχωρον καὶ πλατεῖαν τρίβον ὁδεύοντας, καὶ πρὸς μόνην τὴν παροῦσαν ζωὴν κεχηνότας, ἀθλίους· οὕτω καὶ πολλῷ πρώην ὁ σοφὸς Ἐκκλησιαστὴς κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τοὺς ἔχοντας τὴν καρδίαν εἰς πενθικὰς διατριβὰς κατασεμνύνει καὶ σοφοὺς ὀνομάζει, διὰ τὸ τῆς ἀνθρωπίνης εὐετηρίας καταφρονεῖν, καὶ τῶν σαρκικῶν ἡδονῶν καὶ τῆς ἀπολαυστικῆς ζωῆς ἀνωτέρους εὑρίσκεσθαι καὶ βελτίους· τοὺς δὲ τὴν καρδίαν ἔχοντας εἰς τοὺς οἴκους τῆς εὐφροσύνης, καταγνώσεως καὶ μέμψεως ἀποφαίνεται πλήρεις, ὡς ἀφρόνως πολιτευομένους, καὶ δίκην ἀλόγων κορεννυμένους τῶν σαρκικῶν καὶ βδελυκτῶν ἡδονῶν, καὶ τῆς ἀνθρωπίνης ἡμέρας ὅλως εὐρισκομένους, καὶ μηδεμίαν ἔχοντας φροντίδα τῆς μελλούσης ζωῆς καὶ τῆς ἁγιοπρεποῦς καταστάσεως, καὶ τῶν ἐν ἐπαγγελίαις ἀποκειμένων οὐρανίων ἀγαθῶν τοῖς ἀξίοις. Ταῦτα δὲ τῆς εὐαγγελικῆς ὁσιότητος οὐδὲν ἀποδέοντα τὸν ἴσον καὶ τὸν αὐτὸν προβάλλονται καὶ καθυπογράφονται βίον. Ἀμέλει τοίνυν αὖθις ἐπήγαγεν·

Τῆς ἀγαθωσύνης ἡμέραν τὸν καιρὸν ὀνομάζει τὸν ἐν τῇ εὐκρασίᾳ τῶν ἀέρων καὶ τῶν εἰρηνικῶν ὄμβρων καὶ συμμέτρων, καὶ πρὸς καρποφορίαν τῆς γῆς συμβαλλομένων, καὶ τῆς τῶν ἐδωδίμων τοῖς ἀνθρώποις εὐθηνίας ποιητικῶν · καὶ μέντοι τῆς δηώσεως καὶ ληΐσεως τῶν ἀλλοφύλων ἀπηλλαγμένον· *ἡμέραν* δὲ *κακίας* ἐμπαλιν τὸν καιρὸν τὸν διαγνωσθέντα τῶν τούτοις ἀντικειμένων πλήρη· οἷον ἀέρων δυσκρασίας ἢ παντελοῦς ἀνομβρίας ἢ σφοδροτάτων καὶ καθ' ὑπερβολὴν ὑετῶν, ἢ πολεμικῶν καταδρομῶν καὶ ληΐσεων, καὶ τῶν τούτοις παραπλησίων. Παρεγγυᾶται τοίνυν μήτε τοῖς προτέροις ἐπαίρεσθαι, καὶ πρὸς ῥᾳθυμίαν ὑποχαλᾶν τοὺς τῆς C ψυχῆς λογισμοὺς, καὶ καταφρονεῖν τῆς ἀγαθῆς καὶ πρεπούσης λογικῆς καταστάσεως, καὶ τῆς νηφούσης διανοίας καὶ φιλοπόνου γνώμης κατολισθαίνειν · ἀλλ' οὐδὲν ἧττον ἐν ταυτότητι διαμένειν τῶν ἀγαθῶν ἐννοιῶν καὶ τῆς πρὸς τὸν ἐπὶ πάντων Θεὸν ἐλπίδος καὶ πίστεως καὶ τελείας ἀγάπης, καὶ ἀγαθωσύνῃ τῆς πρὸς αὐτὸν εὐαρεστήσεως παντελοῦς ἢ κἂν γε τῆς κατὰ δύναμιν. Ὡσαύτως δὲ κἀν τοῖς δευτέροις τὴν ἴσην καὶ τὴν αὐτὴν διατηρεῖν καὶ φυλάττειν διάθεσιν καὶ κατάστασιν, καὶ μηδαμῶς τοῦ ἀγαθοῦ παρεξίστασθαι · μήτε μὴν δυσχεραίνειν, καὶ πρὸς ἃ μὴ θέμις ἐνθυμήματα τῆς πονηρίας καὶ τοῦ ψεύδους καταβιβάζεσθαι τὸν νοῦν συγχωρεῖν. Ἀλλ' ἐν ὑμνῳδίᾳ καὶ δοξολογίᾳ κἀν τούτοις τῇ πρὸς τὸν ἐπὶ D πάντων Θεὸν τὸ κατάστημα συντηρεῖν τῆς ψυχῆς. Εἰ γὰρ οὕτως διατεθείης ἐπὶ τοῖς ἀντικειμένοις καὶ ἀντιθέτοις, ἴδε καὶ γνῶθι σαφῶς, ὡς ἑκατέρων τῶν ἐναντίων συμβάσεων τὸ πέρας ἑκάτερον σύμφωνον εὕρηται, τουτέστιν ἀγαθὸν, διὰ τὸ τὴν καρδίαν ἐφ' ἑκατέροις διατίθεσθαι κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως, καὶ οὔτε ταῖς τῶν δοκούντων χαροποιῶν, οὔτε ταῖς τῶν λυπηρῶν συναντήσεσι τῆς ἀγαθῆς ἐννοίας καὶ δόξης καὶ καταστάσεως παρεξισταμένην τὸ σύνολον. Τοῦτο γὰρ ἐσήμανεν εἰπών· « Ἴδε καί γε τοῦτο σύμφωνον τούτῳ, » τῇ ταυτότητι τῆς ἀνθρωπίνης διαθέσεως, εἰς ταυτὸν καὶ σύμφωνον πέρας ἀγαθὸν συνιόντων καὶ τῶν κατ' ἐναντίωσιν συμβαινόντων. Εἶτά φησιν ὁ Ἐκκλησιαστής ·

(72) Apud LXX legimus.... Ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας, ἴδε. Καί γε σὺν τούτῳ συμφώνως τοῦ. το ἐποίησεν ὁ Θεὸς... Olymp. καί γε τοῦτο σύμφωνον τούτῳ ἐποίησεν ὁ Θεός, etc.

Digitized by Google

§ XVII.

Τοῦτο ἐποίησεν ὁ Θεὸς περὶ λαλιᾶς, ἵνα μὴ A *εὕρῃ ἄνθρωπος ὀπίσω τούτου μηδέν.*

Τοῦτο, ποῖον; τὸ σύμφωνον γίνεσθαι πέρας, καὶ τὸ αὐτὸ τέλος ἀγαθὸν καὶ μακάριον ἐπὶ τῶν ἐναντίων καὶ ἀντιθέτων διὰ τῆς ἀγαθῆς διαθέσεως καὶ τῆς φρονήσεως καὶ φιλοκάλου γνώμης καὶ προαιρέσεως. Ὁ Θεὸς ἐποίησεν ἐξουσίαν νοερᾶς καὶ λογικῆς ψυχῆς, δεδωκὼς τῷ ἀνθρώπῳ πρὸς τὸ πάντα καὶ τὰ δοκοῦντα τὴν ἐναντίαν ἐπιφέρεσθαι φύσιν, μετοχετεύειν καὶ μεταρυθμίζειν εἰς ἀγαθόν· ἵνα διαγγέλλοντες οἱ ἄνθρωποι τὸν ἀκατάληπτον πλοῦτον τῆς θεοπρεποῦς ἀγαθότητος καὶ σοφίας, καὶ τὴν εὐχάριστον αὐτῷ δοξολογίαν ἐν πᾶσι προσαναπέμποντες, μηδὲν εὕρωσιν ἕτερον αἴτιον τοῦ βελτίονα γίνεσθαι τὸν ἄνθρωπον διαμένοντα ταῖς ἀγαθαῖς ἐννοίαις καὶ ποιοῦντα τὸ ἀγαθόν, εἰ μὴ μόνην τὴν ἰδίαν B προαίρεσιν τὴν λαβοῦσαν ἐκ Θεοῦ τῆς ἐφ' ἑκάτερα ῥοπῆς τὴν ἐξουσίαν καὶ δεσποτείαν. Τούτου χάριν τοιοῦτον αὐτὸν ὁ Δημιουργὸς κατεσκεύασεν, ἵνα παρὰ τὸν ὅρον καὶ λόγον καὶ σκοπὸν τῆς προαιρετικῆς βουλῆς καὶ ῥοπῆς μηδὲν εὑρεθείη συμπαρομαρτοῦν καὶ παρακολουθοῦν αἴτιον ἕτερον τῆς πρὸς τὸ κρεῖττον διαμονῆς, ἢ τῆς πρὸς τὸ χεῖρον μεταβολῆς. Ταῦτ' οὖν διεξιὼν ὁ σοφὸς Ἐκκλησιαστής, καὶ συνεὶς ὡς γλαφυροτάτων νοημάτων ἡμῖν ὑφηγήσατο λόγους, ἀμέσως ἐπήγαγε·

VERS. 15. *Hoc fecit Deus ob loquelam, ut non inveniat homo post hoc quidquam.*

Hoc, inquit, at ecquam rem? nempe ut concors sit exitus, et bonus æque ac beatus rerum contrarium atque oppositarum terminus, boni utique consilii et sedulæ mentis honestæque voluntatis arbitrio (73). Condidit Deus intelligentis ac ratiocinantis animæ potestatem, deditque homini, quo deducere et emendare in bonum omnia posset, ea etiam; quæ naturam afferre contrariam viderentur: ut incomprehensibiles divinæ bonitatis atque sapientiæ thesauros enuntiando, et gratias Deo in omnibus, cum laude agendo, aliam homines causam invenirent nullam, cur quisque, bonam retinens mentem, ac quod bonum est præstans, melior fieret, quam unam propriam voluntatem, quæ a Deo potestatem libertatemque acceperit, ut se in quam vellet partem inclinaret. Hujus rei causa hominem Conditor talem constituit, ut præter voluntarii consilii ac propensionis terminum et rationem et destinationem nulla alia reperiretur causa, quæ vel perseverantiæ ejus ad melius, vel mutationis in pejus socia esset ac comes. His jam delibatis, conscius sibi sapiens Ecclesiastes, se pulcherrimarum sententiarum rationes nobis proposuisse, adjecit protinus:

§ XVIII.

Τὰ πάντα εἶδον ἐν ἡμέρᾳ ματαιότητός μου. C

Τουτέστι, καὶ τὰ πρότερον καὶ τὰ νῦν παρ' ἐμοῦ λαληθέντα τοῖς νοεροῖς ὀφθαλμοῖς ἐθεώρησα, καὶ διέγνων ἐν τῷ χρονικῷ διαστήματι τῆς ἰδίας διαβιώσεως· ματαιότητα γὰρ τὴν ἐν τῷ βίῳ τούτῳ ζωὴν προσηγόρευσεν, διὰ τὸ πολυτάραχον αὐτῆς καὶ πολυπερίσπαστον καὶ πολύθλιπτον. Εἶτά φησιν·

VERS. 16. *Omnia vidi in die vanitatis meæ* (74).

Id est, et quæ prius et quæ nunc a me prolata sunt, mentis oculis ipse spectavi, ac labente vitæ meæ tempore **183** agnovi. Vanitatem enim, quam hic homines vitam ducimus, appellavit propter multas ejus perturbationes et angores et ægritudines. Tum ait:

§ XIX.

Ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.

Τοὺς περὶ πολλοῦ ποιουμένους κατορθοῦν τὴν ἀληθῆ δικαιοσύνην αἱ τῶν θείων Γραφῶν ἐξηγήσεις κατασφαλίζονται μηδαμῶς ὑπεραίρεσθαι, καὶ κατὰ τῶν ἄλλων ὑπαυχενεῖν, καὶ δικαιοῦν ἑαυτοὺς καὶ D προσεπαινεῖν κατὰ τὸν Φαρισαῖον ἐκεῖνον τὸν εὐχαριστηρίους δῆθεν ὕμνους ἀναπέμποντα τῷ Θεῷ καὶ δοξολογίας, διὰ τὸ μηδαμῶς εἶναι καθάπερ ἕνα τῶν λοιπῶν ἀνθρώπων, ἢ καὶ παραπλήσιον ἐκείνῳ τῷ τελώνῃ· περὶ οὗ φησι τὸ τῆς σωτηρίας ἡμῶν Εὐαγγέλιον· « Κατέβη οὗτος δεδικαιωμένος, ἢπερ ἐκεῖνος. » Ἀλλὰ κἂν πάντα τὰ τῶν ἀρετῶν εἴδη διαπράξωνταί τινες, κἂν πρὸς τὸ ἄκρον ἀφίκωνται τῆς ὑπὸ Θεοῦ

Est justus periens in justo suo, et est impius manens in malitia sua (75).

Qui veram justitiam summo studio sibi comparare enituntur, his divinarum Litterarum exhortationes viam hanc esse munitissimam ostendunt, si nec fastu superbiant, nec alios despiciant, nec se justos jactent, et Pharisæi illius more commendent, qui laudes Deo tribuebat et gratias agebat, quod minime ipse esset quasi unus hominum cæterorum; ac ne publicano quidem illi similis: de quo nempe ait salutis nostræ Evangelium: « Descendit hic justificatus præ illo [57]. » Tum postquam etiam in omnibus se virtutum generibus exercuerint, et ad summum quoque justitiæ a Deo præ-

[57] Luc. XVIII, 14.

(73) In Vulgatis una est articuli hujus et præcedentis sententia hoc modo: *Sicut enim hanc, sic illam fecit Deus, ut non inveniat homo contra eum justas querimonias* (cap. VII, v. 15); quæ ad Symmachi interpretationem accedunt quam maxime: sic enim ille reddidit: Καὶ γὰρ ἀνάλογον τούτου τοῦτο ἐποίησεν ὁ Θεὸς τοῦ μὴ εὑρεῖν ἄνθρωπον κατ' αὐτοῦ μέμψιν. Nec tamen Noster multum inde abire videtur, cum et ipse humanis a rebus vim omnem tollat, et ereptam homini peccanti excusationem contendat, ne criminum suorum causam vel in dies malos vel in aliud quidpiam externum atque innocuum rejicere posset.

(74) At LXX habent, Σύμπαντα εἶδον ἐν ἡμέραις ματαιότητός μου. Olympiodorus ἐν ἡμέρᾳ.

(75) At hæc apud Olymp. desiderantur.

Digitized by Google

scriptæ fastigium pervenerint, si demisse sentiant, et ex monito item Evangelico dicant : « Servi inutiles sumus, quod debuimus facere, fecimus [48]. » Quod si quis ob recte facta superbiæ aut etiam arrogantiæ morbo correptus fuerit, et animo elatus sibi jam propter virtutem magnus atque spectabilis videatur ; is Domino non solum minime acceptus, sed etiam detestabilis futurus est, atque adeo pœnas daturus sempiternas.

Idcirco Moyses, magnus ille theologus, ait : « Juste quod justum est persequeris (76), » id est terminis atque rationibus virtutis et justitiæ servatis : quod in justitia persequenda qui præstat, merito in Dei familiaritatem venit. At si justus sine hoc esse contendit, ingrata justitia ejus ac repudianda videatur : ob eamque causam ipsum justitiæ opus perniciem illi potius afferat, quam salutem. Divinum enim oraculum est : « Dominus superbis resistit, humilibus autem dat gratiam [49], » Adde quod virtutis ac justitiæ ea ratio est, ut medium vitiorum sint atque utrinque reductum : ut si quis virtutem assequi conetur, nisi inter fines ejus incesserit, et quam ipsa servat, mediam sine ulla declinatione **184** viam triverit ; simul atque in alterutram adjacentis præcipitii partem deflexerit, in ignaviam aut in audaciam decidat, virtute, quæ medium est, relicta, ac repente se ad perniciem magis quam ad salutem compulsum esse comperiat. Propterea rursum divinæ nos Litteræ admonent : « Ne declines ad dexteram, neque ad sinistram (77) : » sed via regia incede. Dexteræ nempe atque sinistræ nomine adjacens vitium designavit. Id vero in omni virtute spectari potest.

Sic igitur : « Justus periens in justo suo » duplici modo deprehenditur, quemadmodum nos existimavimus. Cum vero ait : « Et est impius manens in malitia sua, » eum, qui infidelis et plane atheus sit, diserte indicavit ; summa divinæ bonitatis patientia atque lenitate abutentem, atque obstinato plerumque animo in impietatis opinionibus et nequitiæ factis perseverantem : quem hic impietatis ejus et nefariorum scelerum vindex pœna non premit, futuramque in vitam reservat, ut præsenti Dei patientia usus, ad veras sententias, et honestas actiones pœnitendo convertatur. Qui nisi ad meliorem frugem redierit, cum rerum in vita gestarum merces cuique sua tribuetur, defensionem profecto nullam habiturus est, ac judicio quod futurum est damnatus, jure ac merito in gehennæ ignem transmittetur. Neque enim omnes impii in hac vita scelerum suorum subeunt pœnas, neque rursus omnes judicio illi et sententiæ reservantur : verum alii quidem et hic et futuro post ævo, alii autem illic tantum pœnas persolvent, cum illa quisque eorum audierit : « Cessavit impius omnis, qui nec justitiam didicerit,

διορισθείσης δικαιοσύνης, ταπεινοφρονεῖν καὶ λέγειν κατὰ τὴν εὐαγγελικὴν αὖθις εἰσήγησιν, « Ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. » Εἰ δέ τις τὸ δίκαιον δρῶν, ὑπερηφανίας ἢ καὶ περιαυτίας πάθει κατασχεθῇ, καὶ τοῖς τῆς καρδίας ὑψώμασι λογίζοιτο μέγας τίς εἶναι κατ' ἀρετὴν καὶ περίοπτος· ἀπρόσδεκτος εὑρηται τῷ Κυρίῳ καὶ βδελυκτὸς, καὶ διὰ τοῦτο καὶ πρὸς ἀπώλειαν παραπεμπόμενος τὴν αἰώνιον.

Διὰ τοῦτό φησιν ὁ θεοφάντωρ Μωϋσῆς, « Δικαίως τὸ δίκαιον διώξεις, » τουτέστι μετὰ τῶν ὅρων καὶ λόγων τῆς ἀρετῆς καὶ τῆς δικαιοσύνης· δι' ὧν τις πράττων τὰ δίκαια, τὴν πρὸς τὸν Θεὸν εὑρίσκει δικαίως οἰκείωσιν. Εἰ δὲ χωρὶς τούτων διώκει τὸ δίκαιον, ἀπαράδεκτον αὐτοῦ τὸ δίκαιον εὑρηται καὶ ψευκτόν. Καὶ τούτου χάριν ἀπόλλυσιν ἑαυτὸν ἐν τούτῳ τὸ δικαίωμα, μᾶλλον ἢ σώζει. Φησὶ γάρ που τὸ λόγιον· « Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. » Ἢ καὶ ἄλλως· Τῆς ἀρετῆς καὶ τῆς δικαιοσύνης ὁ λόγος μεσότης ἐστὶ τὴν ἐφ' ἑκάτερα παρεκτροπὴν παρεκκλίνων· οἷον πειρᾶταί τις κατορθοῦν τὴν ἀνδρείαν, εἰ μὴ στοιχοίη τοῖς ὅροις αὐτῆς, καὶ τῆς μεσότητος τῆς κατ' αὐτὴν ἐχόμενος, ἀπαρέγκλιτος εὑρεθείη, ἀλλὰ πρὸς τὴν παρακειμένην ἑκατέρωθεν κατολισθήσει μετάπτωσιν, πρὸς δειλίαν ἢ θρασύτητα παρεμπέσῃ, τὴν ἀρετὴν, ἥτις ἐστὶν ἡ μεσότης, καταλιπὼν, καὶ διὰ τοῦτο λανθάνων εὑρεθήσεται πρὸς ἀπώλειαν μᾶλλον ἢ σωτηρίαν συνωθισθείς. Τούτου χάριν αὖθις ἡ θεία Γραφή· « Μὴ ἐκκλίνῃς δεξιᾷ ἢ ἀριστερᾷ, » ἀλλ' ὁδῷ βασιλικῇ βάδιζε. Διὰ γὰρ τοῦ ἀριστεροῦ καὶ μέντοι καὶ τοῦ δεξιοῦ τὴν παρακειμένην κακίαν ἐσήμανε. Τὸ αὐτὸ δὲ κἀπὶ πάσης ἀρετῆς θεάσοιτο πᾶς ὁ βουλόμενος.

Οὕτω μὲν οὖν, « ὁ δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ » κατείληπται διττῶς, ὡς ἡμεῖς ὑπειλήφαμεν. Εἰπὼν δὲ, « Καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ, τὸν ἄπιστον καὶ παντελῶς ἄθεον ἀριδήλως ἐσήμανεν· ὃς ἀνοχῆς καὶ μακροθυμίας πολλῆς ἀπολαύων παρὰ τῆς θεοπρεποῦς ἀγαθότητος ἐπιπλεῖον καταφρονεῖ καὶ προσμένει ταῖς ὑπολήψεσι τῆς ἀσεβείας καὶ ταῖς πράξεσιν τῆς κακίας, οὐ δίκας εἰσπραττόμενος ἐνταῦθα τῶν ἀσεβημάτων αὐτοῦ καὶ κακοπραγημάτων, ἀλλὰ ταμιευόμενος πρὸς τὴν μέλλουσαν δίκην· ἵνα καὶ διὰ τῆς ἐνταῦθα μακροθυμίας ἀλλοιωθῇ διὰ μετανοίας πρὸς τὰς ἀληθεῖς δόξας καὶ τὰς σπουδαίας πράξεις. Ὡς εἰ μὴ μεταβληθῇ πρὸς τὸ κρεῖττον, ἀναπολόγητος γένηται παντελῶς ἐν τῇ τῶν βεβιωμένων ἀνταποδόσει, καὶ διὰ τῆς πρὸς τὸ μέλλον δίκης καὶ κατακρίσεως δικαίως παραπεμφθῇ καὶ προσηκόντως εἰς τὸ πῦρ τῆς γεέννης· οὐδὲ γὰρ πάντες οἱ ἀσεβεῖς κατὰ τὸν παρόντα βίον εἰσπράττονται τὰ τῆς ἰδίας κακίας, οὐδὲ πάντες ἐκεῖ ταμιεύονται πάλιν· ἀλλ' οἱ μὲν γὰρ κἀνταῦθα καὶ πρὸς τὸ μέλλον, οἱ δὲ μόνον ἐκεῖ τίσουσι δίκην, ὅταν ἕκαστος αὐτῶν ἀκούσῃ, « Πέπαυται ὁ ἀσεβὴς πᾶς, ὃς οὐ μὴ μάθῃ δικαιοσύνην,

[48] Luc. XVII, 10. [49] Jac. IV, 6.

(76) Deuter. XVI, 20. At LXX habent διώξῃς.

(77) Prov. IV, 27. Apud LXX desunt cætera.

Digitized by Google

ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσῃ. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ἤδεισαν· γνόντες δὲ αἰσχυνθήτωσαν. » Τὸ μὲν γὰρ πεπαῦσθαι τὸν ἀσεβῆ τοῦ μὴ μαθεῖν δικαιοσύνην ἐπὶ τῆς γῆς, τὸ μένειν ἐν τῇ κακίᾳ αὐτοῦ δηλοῖ, κατὰ τὸν σοφὸν Ἐκκλησιαστήν. Τὸ δέ· « Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου, » καὶ τὰ ἑφεξῆς, τὴν ἀπόφασιν σημαίνει τὴν ἀφορίζουσαν αὐτοὺς κατὰ τὴν μέλλουσαν δίκην ἐκ τῆς τῶν πιστῶν κληρουχίας.

Ὁ μὲν οὖν δίκαιος ἐλέγχεται κάνταῦθα πολλάκις παρασιωπῶντος ἀπ' αὐτοῦ τοῦ πάντα θεοπρεπεῖ πρυτάνῃ ταλαντεύοντος, ἡνίκα, καθὼς ἔφθημεν εἰπόντες, κατασχεθῇ τῷ πάθει τῆς ὑπερηφανίας ἢ καὶ περιαυτίας, ἢ πέρα τῆς κατ' ἀρετὴν μεσότητος ὑπερβῇ· καὶ παρασιωπώμενος εἰς πειρασμοὺς παρεμπίπτων, καὶ ποικίλας καὶ παντοδαπὰς θλίψεις· εἰ μὴ συνήσει, καὶ διὰ ταπεινοφροσύνης ἐξευμενίσαιτο τὸν ἀγαθὸν Δεσπότην καὶ Κύριον, κἀν τῷ παρόντι βίῳ κἀν τῷ μέλλοντι τὴν καταδίκην εὑρίσκει καὶ τὴν ἀπώλειαν. Ὡσαύτως γε μὴν καὶ τὸ εἰρημένον περὶ τοῦ ἀσεβοῦς ἤγουν ἀπίστου διεσάφησε τῆς ἀληθείας ὁ λόγος. Παρεμπεδῶν δὲ τὴν τοιαύτην ἐκδοχὴν καὶ ὁ σοφὸς Ἐκκλησιαστὴς ἀμέσως ἐπήγαγε·

nec veritatem in terra fecerit : auferatur impius, ne videat gloriam Domini. Domine, excelsum est brachium tuum, et non cognoverunt : qui autem novere, confundantur (78). » Nam cessasse impium ne justitiam in terra disceret, idem est ac « manere in malitia sua, » ut loquitur sapiens Ecclesiastes : illud vero : « Auferatur impius, ne videat gloriam Domini, » et quæ deinceps, supremam sententiam significant, quæ in futuro judicio impios a fidelium hæreditate excludet.

Enimvero justus sæpe hic etiam coercetur, **185** silentio nempe ab eo præteritus, qui omnia lance justissima ponderat, quandocunque, ut paulo ante dicebamus, superbiæ aut arrogantiæ quoque morbo correptus fuerit, sive ultra virtutis medium processerit : utque præteritus est, in tentationes incidit et varias omnis generis ægritudines : ac nisi resipuerit, et misericordem Regem ac Dominum de missione placaverit, et in hac vita et in futura damnationem atque exitium inveniat. Eodem certe modo id etiam, quod de impio sive infideli dictum est, sermo veritatis exposuit. Atque interpretationem hujusmodi sapiens quoque Ecclesiastes confirmans, adjecit protinus :

§ XX.

Μὴ γίνου δίκαιος πολύ, καὶ μὴ σοφίζου περισσά, μή ποτε ἐκπλαγῇς. Μὴ ἀσεβήσῃς πολύ, καὶ μὴ γίνου σκληρός, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.

Ταῦτα σύμφωνα τοῖς προσεχῶς εἰρημένοις εἰσίν, ἐν οἷς ἀπηγόρευσε τῆς ἀληθείας ὁ λόγος καὶ τὴν ἀπὸ τῆς κατ' ἀρετὴν μεσότητος παρεκτροπὴν καὶ παρέγκλισιν· καὶ πολλῷ δὲ μᾶλλον τὸν κατορθοῦντα δικαιοσύνην μηδαμῶς ὑπεραίρεσθαι καὶ περιαυτίαν νοσεῖν, ἀλλὰ καὶ μετριοφρονεῖν, καὶ μᾶλλον κατηγορεῖν ἑαυτοῦ, κατὰ τὸ γεγραμμένον· « Ὅσον μέγας εἶ, τοσοῦτον ταπεινοῦ σεαυτὸν, καὶ ἐναντι Κυρίου τοῦ Θεοῦ σου εὑρήσεις χάριν· » καὶ πάλιν, « Δίκαιος ἐν πρωτολογίᾳ ἑαυτοῦ κατήγορος· » τοιγαροῦν καὶ νῦν φησι· « Μὴ γίνου δίκαιος πολύ· » παρακελεύεται γὰρ μὴ παρ' ἑτέρῳ τῶν τῆς δικαιοσύνης ὅρων τροβαίνειν, μηδὲ τῆς κατ' ἀρετὴν μεσότητος ἐκβαίνειν, μηδὲ τῆς ἐντολῆς ὑψηλότερος.

Vers. 17. *Noli esse justus multum, et noli argumentari plusquam oportet, ne quando obstupescas. Ne impie agas multum, et noli esse durus, ne moriaris in tempore non tuo.*

Hæc iis respondent quæ modo dicta sunt, in quibus sermo veritatis præscripsit ne quisquam a virtutis medio recedat atque deflectat : multoque magis ne qui justitiam profitetur, animos tollat, et arrogantiæ laboret vitio ; sed ut modestiam amet, ac se ipsum potius accuset, juxta id, quod scriptum est : « Quantum magnus es, tantum humilia te ipsum, et coram Domino Deo invenies gratiam (79). » Ac rursum : « Justus prior est accusator sui [80]. » Itaque et hic ait : « Noli esse justus multum (80). » Cohortatur enim, ne alterum e justitiæ terminis transgrediamur, neve a virtutis medio deflectentes, ad malitiam recidamus.

[80] Prov. xviii, 17.

(78) Isa. xxvi, 10. Sed apud LXX legimus, Πέπαυται γὰρ ὁ ἀσεβής. Πᾶς, ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει· γνόντες δὲ αἰσχυνθήσονται.

(79) Eccle. iii, 18. Sed apud LXX scriptum est, Ὅσῳ μέγας εἶ, τοσούτῳ ταπεινοῦ σεαυτὸν, καὶ ἐναντι Κυρίου εὑρήσεις χάριν.

(80) Pulchre Gregorius Nazianzenus ad hoc ipsum Ecclesiastæ dictum : Τὸ γὰρ αὐτὸ καὶ περὶ δικαιοσύνην καὶ περὶ σοφίαν πάθος, θερμότης περὶ πρᾶξιν καὶ λόγον, ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς δι' ὑπερβολὴν πίπτουσα, ἢ καὶ τὸ ἐνδέον καὶ τὸ ὑπερβάλλον ὁμοίως λυμαίνεται, ὥσπερ καὶ τῷ κανόνι πρόσθεσις ἢ ὑφαίρεσις. Μηδεὶς οὖν ἔστω πλέον ἢ καλῶς ἔχει σοφὸς, μηδὲ τοῦ νόμου νομιμώτερος, μηδὲ λαμπρότερος τοῦ φωτὸς, μηδὲ τοῦ κανόνος εὐθύτερος, μηδὲ τῆς ἐντολῆς ὑψηλότερος. Ἔσται δὲ τοῦτο πῶς; ἐὰν εἰδῶμεν κόσμον, καὶ ἐπαινῶμεν φύσεως νόμον, καὶ ἐπώμεθα λόγῳ, καὶ μὴ ἀτιμάζωμεν εὐταξίαν. Nempe : *Par etenim justitiæ atque sapientiæ detrimentum affert acris tam in actione quam in sermone impetus animi, a bono nempe et a virtute propter excessum excidens. Hanc enim defectus et excessus peræque labefactant, non secus ac regulam additio aliqua aut subtractio. Nemo igitur sapientior sit, quam conveniat, nec lege exactior, nec luce splendidior, nec norma rectior, nec præcepto divino sublimior. Id vero qua tandem ratione consequemur? nempe si modesti et compositi esse curemus, naturæ leges comprobemus, rationem ducem sequamur, ordinem et disciplinam non aspernemur.* (*Orat.* 26.)

Digitized by Google

Nam hoc proverbiali quoque **186** illo oraculo comprobatur, quod ait : « Comedere mel multum, non bonum est (81) : manifesto nos edocens, suavissimam rerum virtutem non sine modo et ordine appetendam.

Quod autem ait : « Et noli argumentari plus quam oportet, » vehementiores contentiones atque perquisitiones sine dubio prohibet tam de iis, quæ in mundi initio condita spectamus, quam quæ in vita contingunt, quod inutiles eæ sint et supervacaneæ, nec bonum ad exitum tendant. Nam quid homini prodest, eniti omni cura et conari, ut assequatur, quot stadiis terræ ambitus et mensura conficiatur, vel quot partes cœlestem, quæ circumvolvitur, molem distinguant, quemadmodum qui superfluam et vanam astrologiam exercent, dividere ac temere enumerare aggressi sunt. Hæc igitur investigare curiosius perinde habetur, atque hominem *argumentari plusquam oportet*, quod nihil inde utilitatis ferat ac commodi : nec minus scrutari diligentius atque perquirere, cur pietatis alumni inopia laborent, et divinæ justitiæ cultores vim alienam non effugiant, et periculis quamplurimis atque calamitatibus omnis generis objecti sint : mali autem atque impii homines opibus affluant, et vitam plerumque incolumem planeque innoxiam traducant. In his quippe omnibus gratiæ agendæ sunt bono auctori et sapienti omnium moderatori, nec investigandum quidquam ex his aut studiosius tentandum, tanquam inutile ac superfluum. Nam si hujusmodi meditationibus te, o mortalis, addixeris, ac fines virtutis transgressus fueris, cave, ne aliquando in verba malitiæ declines, atque ad vitii recidas viam.

Quod vero dicit : « Ne impie agas multum, et noli esse durus, ne moriaris in tempore non tuo, » apertam cohortationem continet, ne vitam nostram in impiis atque indecoris de Deo quæstionibus insumamus, neve obduratum animum habeamus, ac mutationis conversionisque in melius omnino impatientem, neve tempus ullum vel in rapinis vel in avaritiæ sordibus vel in pupillorum ac viduarum tyrannica vexatione impendamus : ut ne, inquit, Dominum Deum tuum acrius ad **187** iram a te incitatum exinde sentias, et angelum ille tibi tanquam præceps fulmen immittat, atque alieno plane tempore vitam auferat. Nam hoc et David propheta confirmat cum ait : « Viri sanguinum ac dolosi non dimidiabunt dies suos (82). » Ita subjecit illico :

A σότητος ἐξολισθαίνειν, καὶ πρὸς κακίαν ἐκπίπτειν. Τοῦτο γὰρ ἐμπεδοῖ καὶ τὸ παροιμιακὸν ἐκεῖνο λόγιον, δηλονότι τὸ φάσκον· « Φαγεῖν μέλι πολὺ, οὐ καλὸν, » τὴν γλυκυτάτην ἀρετὴν μεμετρημένως καὶ τεταγμένως μεταδιώκειν σαφῶς εἰσηγούμενος.

Ὃ δέ φησι· « Καὶ μὴ σοφίζου περισσὰ, » τὰς περιεργοτέρας πολυπραγμοσύνας καὶ παρεξετάσεις τῶν ἐν τῇ κτίσει θεωρουμένων, καὶ μέντοι καὶ τῶν ἐν τῷ βίῳ συμβαινόντων πραγμάτων ἀπαγορεύει προδήλως, ὡς ἀνονήτους καὶ περιττὰς καὶ πρὸς μηδὲν τέλος ἀγαθὸν καταντώσας. Τί γὰρ ὄφελός ἐστι τῷ ἀνθρώπῳ τὸ δι' ἀκριβείας πολυπραγμονεῖν καὶ πειρᾶσθαι γινώσκειν, πόσα τῆς γῆς ἐστι στάδια κατὰ τὴν περιφέρειαν αὐτῆς, ἢ τὴν περίμετρον, ἢ πόσαι μοῖραι τὸ οὐράνιον καὶ κυκλοφορούμενον διειλῆφασι B σῶμα, καθὼς οἱ τὴν περιττὴν καὶ ματαίαν ἀστρολογίαν ἀσκήσαντες διαιρεῖν, καὶ μέντοι καὶ παραλόγως ἀπαριθμεῖν ὑπειλήφασι. Τὸ τοίνυν τοιαῦτα παρεξετάζειν, « περισσὰ σοφίζεσθαι » τῷ ἀνθρώπῳ λελόγισται, διὰ τὸ μηδὲν εὑρίσκειν ἐντεῦθεν λυσιτελές. Ἀλλὰ καὶ τὸ πολυπραγμονεῖν καὶ διερωτᾷν διὰ τί τῆς εὐσεβείας οἱ τρόφιμοι πένονται, καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην οἱ κατορθοῦντες εἰς ἀλλοτρίας χεῖρας κεχήνασι, καὶ πειρασμοῖς μυρίοις καὶ παντοδαπαῖς καθυποβέβληνται θλίψεσιν· ἁμαρτωλοὶ δὲ καὶ δυσσεβεῖς εὐθηνοῦσι, καὶ τὸν παρόντα βίον ἄνοσον ὡς ἐπίπαν καὶ παντελῶς ἀπείραστον διαμείβουσι. Δέον ἐπὶ πᾶσι τούτοις εὐχαριστεῖν τῷ ἀγαθῷ ποιητῇ καὶ πανσόφῳ κυβερνήτῃ τῶν ὅλων, καὶ μηδὲν παρεξετάζειν τοιοῦτον καὶ πολυπραγμονεῖν, ὡς C ἀνόνητον ὑπάρχον καὶ περιττόν. Εἰ γὰρ τοῖς τοιούτοις ὑπενεχθῇς, ἄνθρωπε, λογισμοῖς, ἢ τοὺς τῆς ἀρετῆς ὑπερβῇς ὅρους, πρόσεχε, μή ποτε καὶ πρὸς λόγους πονηρίας ἐκκλίνῃς, καὶ πρὸς τὴν ὁδὸν τῆς κακίας ἐκπέσῃς.

Ὃ δέ φησι, « Μὴ ἀσεβήσῃς πολὺ, καὶ μὴ γίνου σκληρὸς, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου, » μὴ συμπαρατείνεσθαι τὴν ἰδίαν ζωὴν ταῖς ἀσεβέσι περὶ Θεοῦ καὶ μὴ προσηκούσαις ὑπολήψεσι, μηδὲ τὴν καρδίαν ἔχειν ἀπεσκληκυῖαν, καὶ μηδεμίαν ἀλλοίωσιν ἢ μεταβολὴν ἐπιδεχομένην τὴν πρὸς τὸ κρεῖττον, μηδὲ ταῖς ἁρπαγαῖς καὶ ταῖς πλεονεξίαις καὶ καταδυναστείαις τῶν ὀρφανῶν καὶ χήρων ἐπιμένειν χρονίως, εἰσηγεῖται σαφῶς, ἵνα μὴ, φησὶ, κάντεῦ- D θεν εὑρεθῇς ἐπὶ πολὺ παροργίζων Κύριον τὸν Θεόν σου, καὶ καθάπερ τινὰ κεραυνὸν ἀπότομον ἄγγελον ἐξαποστελεῖ σοι, καὶ παρὰ τὸν πρόσφορον καιρὸν καὶ προσήκοντα μεταστήσῃ τῆς παρούσης ζωῆς. Τοῦτο γὰρ ἐμπεδοῖ καὶ Δαβὶδ ὁ προφήτης εἰπών· « Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσουσι τὰς ἡμέρας αὐτῶν. » Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγεν·

§ XXI.

VERS. *Bonum est inhærere in hoc, et quidem ab hoc ne contamines manum tuam : quoniam qui timet Deum egredietur omnia* (83).

Ἀγαθὸν τὸ ἀντέχεσθαι ἐν τούτῳ, καὶ γε ἀπὸ τούτου μὴ μιάνῃς τὴν χεῖρά σου· ὅτι φοβούμενος τὸν Θεὸν ἐξελεύσεται τὰ πάντα.

(81) Prov. xxv, 27. At LXX pro φάγειν habent ἐσθίειν.

(82) Psal. LV, 23. At LXX habent ἡμισεύσωσι.

(83) At LXX habent Ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ.... et ὅτι φοβουμένοις τὸν Θεὸν ἐξελεύσεται τὰ πάντα. In Scholiis legitur μὴ ἀνῇς pro μὴ μιάνῃς.

Digitized by Google

« Ἀγαθὸν ἀντέχεσθαι, φησὶν, ἐν τούτῳ. » Τούτῳ, A ποίῳ; Δηλονότι τῷ μὴ συμπαρατετάσθαι τὴν προαιρετικὴν βούλησιν τῷ παντὶ χρονικῷ διαστήματι τῆς ζωῆς, τοῦ διαμένειν ἐν ἀσεδείᾳ τῶν πρὸς τὸν Θεὸν ὑπολήψεων, καὶ σκληρότητι καρδίας τῶν ἀνηλεῶν ἁρπαγῶν καὶ τῶν ἰταμῶν καὶ πλεονεκτικῶν καταδυναστειῶν· ἀλλὰ θᾶττον ἀναστεῖλαι τὴν φιλοπόνηρον ὁρμὴν ἐκ τῶν ψευδῶν ὑπολήψεων καὶ τῶν ἔργων τῆς πονηρίας, ἵνα μὴ παρεμπέσῃς ἐντεῦθεν ἀκολούθως καὶ μιαιφονίας μολύσματι. Τὸ γὰρ αὐθάδη καὶ σκληρὸν εἶναι τὸν ἄνθρωπον, καὶ καταδυναστεύειν καὶ συνθλίβειν ὀρφανὸν καὶ χήραν, καὶ τῶν ἀλλοτρίων ἁφαιρεῖσθαι τὰς κτήσεις, ἐνίοτε συνωθεῖ καὶ πρὸς μιαιφονίας μολυσμὸν καὶ βεβήλωσιν.

« Bonum est, inquit, inhærere in hoc; » in quonam? In eo utique, ut ne liberam voluntatem temporario isto totius vitæ spatio proroges ac detineas in quæstionum impietate adversus Deum, neque in duritie animi et crudelium rapinarum atque audacis avaræque dominationis: sed ocius perversum illum remittas impetum, quem falsæ opiniones et prava facta intenderunt; ne jam eo etiam devenias, ut aliena te cæde cruentes. Nam audacia et duritia et dominatio vexatioque pupilli ac viduæ et alienorum bonorum rapinæ hominem eo interdum deducunt, ut humano etiam sanguine contaminetur.

« Ὅτι, φησὶ, φοβούμενος τὸν Θεὸν ἐξελεύσεται τὰ πάντα· » τουτέστιν, ὁ δὲ τὸν φόβον τοῦ Θεοῦ πρὸ τῶν ὀφθαλμῶν ἔχων, παρελεύσεται πάντα τὰ τῆς ἀσεβείας εἴδη καὶ πονηροπραξίας, ὑπ' οὐδενὸς τῶν ἀρκύων τῆς κακίας κατασχεθείς· ἀλλ' οἷόν τι στρουθίον πετόμενον ἄνωθεν, καὶ προβλέπον τὴν προκειμένην πάγην πρὸς ἄγραν, ὑπερίπταται καὶ διαφεύγει τὸ σύμπτωμα τῆς ἀδικίας καὶ τῆς κακοπραγίας. Ἐξ ὧν ῥυσθείημεν ἅπαντες πάντοτε τῷ θείῳ στοιχειούμενοι φόβῳ, καὶ σκεπόμενοι τῇ σκιᾷ τῶν πτερύγων τῆς θεοπρεποῦς ἀγαθότητος· ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. B

« Quoniam, inquit, qui timet Deum, egredietur omnia; » id est, qui timorem Dei ob oculos habeat, omnia impietatis nequitiæque genera præteribit, nullis vitii retibus impeditus: qualis scilicet volucris ab alto irruit, et parâtum ad prædam laqueum prævidet, sic ipse supervolat, et injustitiæ ac sceleris casus evitat (84). A quibus **188** utinam omnes perpetuo liberemur, divino stipati metu, et superna bonitate quasi alarum umbra protecti: per ipsum Christum Deum nostrum, cui gloria et potestas cum omnipotente Patre et sancto bonoque ac vitæ auctore Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

LIBER SEPTIMUS.

189 § I.

Ἡ σοφία βοηθήσει τῷ σοφῷ ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ἐν τῇ πόλει· ὅτι ἄνθρωπος οὐκ ἔστι δίκαιος ἐν τῇ γῇ, ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται. C

VERS. 19, 20. *Sapientia adjuvabit sapientem super decem potestatem habentes, qui sint in civitate: quia homo non est justus in terra, qui faciet bonum, et non peccabit* (85).

(84) Non hic Noster similitudinem posuit struthionis sive passeris marini, ut Latine appellatur, sed omnino avem quamlibet ex iis quæ laqueo capiuntur, designavit. Sic et Homerus de aviculis a dracone devoratis ait, Iliad. l. II, v. 311:

Ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοὶ νήπια τέκνα,

et de carduele Hesychius, Ἀκανθυλλὶς στρουθοῦ γένος. Nec apud LXX interpretes aliud plerumque στρουθὸς aut στρουθίον, quam ὄρνις. Psal. LXXXIII, 3: Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν. Vulgata habent: *Etenim passer invenit sibi domum;* at Aquila reddidit: Καί γε ὄρνεον εὗρε. Jerem. VIII, 7: Τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἐφύλαξαν καιροὺς εἰσόδων ἑαυτῶν. In Vulgatis: *Turtur et hirundo et ciconia custodierunt tempus adventus sui.* Sed in Græcis scriptum fuisse Ἀγοῦρ pro Ἀγροῦ suspicatus est Trommius, velut si Hebraicum nomen interpretes retinuissent (*V.* Bochart. *De anim.* præf. p. 3): quod Latina translatione comprobatur; tres enim numerantur aves sive στρουθία, nec χελιδὼν ἀγροῦ recte dicitur, cum in muris et parietinis fere nidificet. in Thren. III, 52: Θηρεύοντες ἐθήρευσάν με ὡς στρουθίον πάντες οἱ ἐχθροί μου. In Vulgatis: *Venatione ceperunt me quasi avem inimici mei gratis.* Inde porro haustam a Gregorio similitudinem recte duxeris, στρουθός aut στρουθίον, quod veteres interpretes sæpe reddunt *struthocamelum* aut *struthiocamelum*, bellua potius est, quam avis: solo ingreditur, nec alis utitur, nisi ad pedum pernicitatem augendam: neque enim a terra tollitur. Plura de hac apud Bochartum in Hieroz. invenies (lib. II, a c. 14.

(85) LXX habent..... τοὺς ὄντας ἐν τῇ πόλει..... Olymp. καὶ οὐχ ἁμαρτήσει.

Digitized by Google

Clare modo præfatus, qui Deum timeat, hunc impedimenta omnia supervolare, et impiarum opinionum offendicula ac mala peccati retia effugere ; merito nunc a divino timore, qui hominem regit, et in veri justique semitas deductum, sapientiæ iter addocet ; est enim, ut ait propheta : « Initium sapientiæ timor Domini [61] : » transit ad auxilium, quod sapientia ipsa præbet, et : « Sapientia, inquit, adjuvabit sapientem super decem potestatem habentes, qui sint in civitate ; » illam designans sapientiam, quæ divinitus data est iis, qui bonæ perpetuo orbitæ institerunt, de qua magnus Jacobus Dei frater dixit : « Quæ autem desursum est sapientia, primum quidem pudica est, deinde pacifica, modesta, suadibilis, plena misericordia et fructibus bonis, non judicans, sine simulatione. Fructus autem justitiæ in pace seminatur facientibus pacem [62]. » Hanc igitur sapientiam auxilio fore ait illi, qui adeptus sit, nomenque sibi sapientis pepererit, ut vitæ pericula evadat et insidias ab occultis hostibus animæ instructas et impiarum opinionum maligna rumque sententiarum laqueos, melius quam decem, qui in civitate potestatem gerant. Nam decem illi civitatis principes, qui magistratus dignitate exornati dominantur, et rerum copia ac varietate abundant, multas quidem et diversas cogitationes atque consilia suscipient **190** et conserent et comminiscentur, quæ civitatis, in qua versantur, salutem omnia unice spectent : at si eam quandoque servabunt, et machinis ingeniose inventis et passim hosti objectis, ac ministerio atque opera incolarum et stipendiariorum adhibita, ab hostili obsidentium incursu defendent ; quandoque etiam spe omni salutis excident, obsessorum vineis turribusque oppugnati ac subacti (86), atque in servitutem et mortem abducentur. Sapientia e contrario auxilia sua mittens, nunquam patitur, quam quis teneat spiritalem animæ civitatem, ut ea ab hostibus mentem ipsius obsidentibus, aut ab infestis malignisque hominibus in captivitatem et peccati mortem dedatur : verum septem summi divinique Spiritus columnis innixa, sic tuetur, ut occultorum simul et manifestorum hostium machinamenta ac propugnacula evertat ac destruat.

Προσεχῶς ἀποφηνάμενος καὶ φήσας τὸν φοβούμενον τὸν Θεὸν ὑπερίπτασθαι καὶ διαδιδράσκειν πάντα τὰ σκῶλα καὶ προσκόμματα τῶν ἀσεβῶν ὑπολήψεων καὶ τῶν πονηρῶν ἀρκύων τῆς ἁμαρτίας, ἀκολούθως νῦν ἀπὸ τοῦ θείου φόβου τοῦ στοιχειοῦντος τὸν ἄνθρωπον καὶ ῥυθμίζοντος εἰς τὰς ἀληθεῖς ἀτραποὺς καὶ δικαίας, καὶ παρασκευάζοντος ἐν σοφίᾳ περιπατεῖν· ἐπειδὴ καὶ καθώς φησιν ὁ προφήτης, « Ἀρχὴ σοφίας φόβος Κυρίου· » πρὸς τὴν ἀπ' αὐτῆς τῆς σοφίας μέτεισιν ἀῤῥωγὴν, φάσκων· « Ἡ σοφία βοηθήσει τῷ σοφῷ ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ἐν τῇ πόλει· » σοφίαν δηλῶν τὴν ἄνωθεν δεδομένην τοῖς κατορθοῦσι πάντας ἄξονας ἀγαθοὺς, περὶ ἧς φησιν ὁ ἀδελφόθεος καὶ μέγας Ἰάκωβος· « Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικὴς, εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος, ἀνυπόκριτος· καρπὸς δὲ δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην. » Τὴν τοιαύτην οὖν σοφίαν βοηθήσειν τῷ κεκτημένῳ φησὶ καὶ παρωνύμως ὀνομασθέντι σοφῷ πρὸς τὸ τὰ πειρατήρια τοῦ βίου διεκφυγεῖν καὶ τὰς ἐκ τῶν νοητῶν ἐφέδρων ἐπιβουλὰς καὶ τὰς πάγας τῶν ἀσεβῶν ὑπολήψεων καὶ κακοδόξων δογμάτων ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ἐν τῇ πόλει. Δέκα γὰρ ἐξουσιάζοντες ἐν πόλει καὶ δυναστεύοντες ἐν ἀξιωμάτων ὑπεροχαῖς καὶ περιουσίᾳ καὶ πολυτελείᾳ τῶν ὑπαρχόντων, πολλὰ μὲν καὶ ποικίλα νοήματα καὶ βουλεύματα διενθυμηθῶσι καὶ βουλεύσονται καὶ νοήσουσι συνιέντα πάντως πρὸς ἕνα σκοπὸν σωστικὸν τῆς πόλεως, ἐν ᾗπέρ εἰσιν. Ἀλλ' ἐνίοτε μὲν σώσουσιν αὐτὴν, καὶ τῶν πολιορκούντων ἀντιπάλων καὶ δυσμενῶν ἐκλυτρώσονται καὶ διὰ τῶν ἐξευρισκομένων ὑπὸ τῆς σφῶν φρονήσεως μηχανημάτων παντοδαπῶν πρὸς ἀντιπαράταξιν, καὶ διὰ τῆς ἐξυπηρετήσεως καὶ συνεργείας τῶν τὴν πόλιν κατοικούντων ὑποχειρίων· ἐνίοτε δὲ καὶ παντελοῦς ἀποτεύξονται σωτηρίας, τῶν πολιορκούντων ταῖς ἑλεπόλεσιν ἠττηθέντες καὶ καταδυναστευθέντες, καὶ πρὸς ἀπαγωγὴν καὶ θάνατον ἐκδοθέντες. Ἡ δὲ σοφία τὴν ἰδίαν παρεχομένη βοήθειαν, οὐδέποτε συγχωρεῖ τὴν νοητὴν τῆς ψυχῆς πόλιν τοῦ ἔχοντος ὑπὸ τῶν πολιορκούντων αὐτὴν νοητῶν ἀντιπάλων ἢ δυσμενῶν καὶ κακοδόξων ἀνθρώπων εἰς ἅλωσιν ἐκδοθῆναι καὶ τῆς ἁμαρτίας τὸν θάνατον· ἀλλὰ τοῖς ἑπτὰ στύλοις ἐρηρεισμένη τοῦ θεαρχικοῦ Πνεύματος, ἀποσώζει, καὶ καταργεῖ τὰς ἑλεπόλεις καὶ πυργοβάρεις τῶν αἰσθητῶν ἐφέδρων καὶ νοητῶν.

[61] Psal. cx, 10. [62] Jac. III, 17.

(86) *Vineis turribusque* reddidi quod Græce dicitur ἑλεπόλεσιν, neque, ut arbitror, male : utrisque enim, vineis nempe et turribus constabat ἑλεπόλις, tam quæ a Vitruvio describitur (lib. x, c. 25), quam quæ ab Appiano (in Mithrid.), ut Plutarchum, Diodorum, alios mittam : ac Vitruvius quidem ejus helepolis, qua Demetrius Poliorcetes contra Rhodios usus est, altitudinem facit pedum 125 : Appianus vero ejus, qua Mithridates Cyzicum oppugnavit, ἑκατὸν πήχεων, sive centum cubitorum : atque idem addit, Ἐξ ἧς ἕτερος πύργος ἐπῆρτο, καταπέλτας καὶ λίθους καὶ βέλη ποικίλα ἀφιείς· id est, *Ex qua alia turris surgebat, catapultas, lapides et varia tela emittens.* Ipsa demum helepolis tegumenta, quæ vinearum item propria fuerunt, memorat Ammianus (lib. XXIII, c. 4) : « Testudo, inquit, compaginatur immanis, axibus roborata longissimis, ferreisque clavis aptata, et contegitur coriis bubulis virgarumque recenti textura, atque limo asperguntur ejus suprema, ut flammeos detrectet et missiles casus. » Usitata porro Latinorum ea formula est : Vineas turresque agere; vineis, turribus oppugnare. »

Digitized by Google

Οὕτω μὲν οὖν τὸ παρὸν ῥητὸν διεσάφησεν ὁ λόγος, καὶ τὴν ἀπὸ τῆς θείας σοφίας βοήθειαν ὑπερτέραν ἔδειξε τῆς ἀῤῥωγῆς καὶ τοῦ συνασπισμοῦ τῶν ἐν τῇ πόλει δέκα ἐξουσιαστῶν τέ καὶ τῶν δυναστῶν, ἁπλῶς οὕτως παραληφθέντων αἰσθητῶς κατὰ τὸν πρόχειρον τοῦ γράμματος νοῦν. Εἰ δὲ βουληθείημεν καὶ κατὰ τὸν τῆς ἀναγωγῆς λόγον διασαφῆσαι τὸ εἰρημένον, πάλιν μὲν ἐκληψόμεθα τοῦ ἀνθρώπου τὴν φύσιν καὶ τὴν ὑπόστασιν, ἐν ᾗ δέκα εἰσὶν οἱ ἐξουσιάζοντες, δηλονότι τῆς ψυχῆς αἱ πέντε δυνάμεις, νοῦς, διάνοια, φαντασία καὶ δόξα καὶ αἴσθησις, καὶ πέντε τοῦ σώματος, ὅρασις, ἀκοὴ, ὄσφρησις, γεῦσις καὶ ἁφὴ, δι' ὧν εὕρηται ζῶν καὶ πολιτευόμενος καὶ διοικούμενος ὁ ἐντὸς καὶ ἐκτὸς ἡμῶν ἄνθρωπος· ἀλλὰ τῆς ἄνωθεν σοφίας ἀπούσης, οὐδὲν ἀπόνασθαι δύναται τῶν τοιούτων ἡ παραληφθεῖσα νῦν πόλις· παντὶ γὰρ σάλῳ καὶ κλύδωνι τῶν παρὰ τῶν νοητῶν καὶ τῶν αἰσθητῶν δυσμενῶν ἀναῤῥιπιζομένων τρικυμιῶν καὶ καταιγίδων καταβαπτίζεται, καὶ τῷ βυθῷ κατολισθαίνει τῆς ἁμαρτίας. Οἷς δὲ πρόσεστιν ἡ ἄνωθεν σοφία, βοήθειαν δίδωσιν ἀλκιμωτάτην ὑπὲρ τοὺς εἰρημένους δέκα τοὺς ἐξουσιάζοντας ἐν τῇ παραληφθείσῃ πόλει, καὶ μηδαμῶς αὐτὴν διασώσαντας.

A Sic igitur sententiam hanc sermone nostro exposuimus, divinæque sapientiæ auxilium ope illa et defensione præstantius ostendimus, quam habere civitas possit a decemviris in ipsa dominantibus : verba nempe simpliciter atque, ut sonant, planissime interpretati. Si vero dictum illud etiam ad anagoges rationes explicare velimus, naturam conditionemque hominis constituemus, in qua decem sunt, qui potestatem exercent, quinque scilicet animæ facultates, intelligentia, cogitatio, imaginatio, opinio, sensus, et quinque corporis, visus, auditus, odoratus, gustus, tactus, quæ hominem intra pariter atque extra vivere et vice sua fungi declarant : at si cœlestis sapientia abfuerit, nihil inde utilitatis ea, de qua nunc agimus, civitas B percipere potest. Totius enim maris æstu ac procellis et fluctibus internorum **191** externorumque hostium furore concitatis obruitur, et in peccati gurgite demergitur. Quibus autem superna adsit sapientia, iis multo firmius auxilium præbet, quam decem illi, quos in hac civitate potestatem exercere diximus, nec tamen servare potuerunt.

Πῶς οὖν οὐχὶ τὸ πλεῖον ἔχειν ἡ σοφία δοξασθήσεται τῆς ἀντιλήψεως καὶ βοηθείας, δι' ἧς ἀπόρθητον καὶ παντελῶς ἀπρουσμάχητον τοῖς ἀντιπάλοις ἐναπέφηνε τὴν πόλιν, ἐν ᾗπέρ ἐστι; διὰ τοῦτό φησι καὶ Παῦλος ὁ μέγας ἀπόστολος, « Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξωθεν· » σοφίαν ὀνομάζων, οὐχὶ C τὴν ἐπὶ τῇ ἀναλήψει τῶν θύραθεν μαθημάτων λαμβανομένην, ἀλλὰ τὴν διὰ τῶν ἀγαθῶν καὶ σπουδαίων ἔργων χαρακτηριζομένην, ἥτις κατοικεῖ ἐν παντὶ τῷ κατορθοῦντι τὴν ἁγνείαν καὶ τὴν εἰρηναίαν κατάστασιν καὶ τὴν ἐπιείκειαν καὶ τὴν εὐπείθειαν καὶ τὴν ἐλεημοσύνην καὶ τοὺς ἄλλους τοὺς ἀγαθοὺς καρποὺς. Διὰ τοῦτο καί πού φησιν ἡ βίβλος τοῦ ἀθλητοῦ τῆς εὐσεβείας Ἰώβ· « Εἶπεν ὁ Θεὸς τῷ ἀνθρώπῳ· Ἰδοὺ ἡ θεοσέβεια ἐστὶ σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστὶν ἐπιστήμη. » Τὴν τοιαύτην οὖν ἔχειν σοφίαν καὶ ἡμεῖς πάσῃ δυνάμει σπουδάσωμεν, ἵνα περισώσωμεν ἕκαστος τὴν ἰδίαν πόλιν ἀπὸ τῶν πόλιορκούντων αὐτὴν αἰσθητῶν καὶ νοητῶν ἐφέδρων καὶ δυσμενῶν.

Quidni ergo majus in sapientia præsidium auxiliumque positum videatur, cujus ope inexpugnabilis et hostibus omnino impervia civitas fiat, in qua ipsa versetur ? propterea et Paulus magnus apostolus ait : « In sapientia ambulate ad eos, qui foris sunt [82] ; » sapientiam appellans non eam quæ C externarum disciplinarum subsidio comparatur, sed quæ virtutibus et recte factis se prodit, et in unoquoque habitat, qui pudicitiam et mansuetudinem et æquitatem et obedientiam et misericordiam et cæteros bonos fructus consectetur. Idcirco Jobi quoque athletæ pietatis liber quodam in loco hæc habet : « Dixit Deus homini : Ecce timor Domini ipsa est sapientia, et recedere a malo intelligentia [83]. » Porro sapientiam hujusmodi nos etiam omni contentione habere studeamus, ut propriam quisque civitatem ab oppugnatorum telis et hostium corporis atque animi obsidione vindicemus.

Ὃ δέ φησιν, « Ὅτι ἄνθρωπος οὐκ ἔστι δίκαιος D ἐν τῇ γῇ, ὃς ποιήσει ἀγαθὸν, καὶ οὐχ ἁμαρτήσεται, » πρὸς πλείονα ταπεινοφροσύνην ἕλκεται τοὺς ἀκούοντας, πρὸς τὸ κατὰ τὸ μᾶλλον ἐπιζητεῖν τὴν ἄνωθεν σοφίαν καὶ τὴν ἐκεῖθεν βοήθειαν, ὡς οὐδαμῶς ἐξισχύοντος τοῦ ἀνθρώπου κατορθῶσαι τὴν ἁ[να]μαρτησίαν ἐπὶ τῆς γῆς, οὐκ ἔχοντος τὴν ἄνωθεν ἀῤῥωγὴν καὶ συνεργίαν. Ποιεῖ μὲν τὸ ἀγαθὸν ἄνθρωπος, καὶ ταῖς φυσικαῖς ἐπιμένων καὶ στοιχειού-

Quod autem addit : « Quia homo non est justus in terra, qui faciet bonum, et non peccabit, » ideo spectat, ut auditores ad animi demissionem adducat, et ad cœlestem sapientiam atque opem impensius inquirendam ; cum peccati labem nequaquam in hac vita effugere homo valeat, nisi subsidium illi auxiliumque divinitus præsto sit. Bonum quidem agit homo, naturam quoque secutus ducem (87) : verum facile admodum mutatur, et ad

[82] Coloss. IV, 5. [83] Job XXVIII, 28.

(87) Quam hic Noster interpretatur Ecclesiastæ sententiam, ea est, qua Calviniani abutuntur, ut justorum etiam facta omnia non modo non bona, sed etiam peccata planè esse contendant. Quibus Gregorius adeo adversatur, ut ab eorum etiam opinione dissentiat, qui ethnico homini, et cuique etiam qui charitate divina careat, quidquid agit, culpæ vertunt. Quippe diserte affirmat, bonum agi ab eo quoque, qui vel unis naturæ præscriptis obsequitur et insistit : Καὶ ταῖς φυσικαῖς ἐπιμένων καὶ στοιχειούμενος καταστάσεσιν, quamvis divina sapientia sive cœlesti gratia nondum auctus sit, ut nempe ex iis liquet, quæ protinus sequuntur.

Digitized by Google

peccatum pronus convertitur : quippe qui ex omni parte varietatibus innumeris et vicissitudinibus subjectus sit. Quod si, animo **192** ad Deum perfecte planeque sublato, dignus fiat, qui supernam sapientiam hospitantem accipiat, quæ Christus est, de quo Paulus magnus apostolus ait : « Christus est Dei sapientia et virtus [65], » ut in Proverbiorum quoque libro ipsa dicit : « Ego sapientia inhabitavi consilium et scientiam, et cogitationem ego invocavi [66]; » tum vero aditum adversariis omnem intercludit. Ait deinde Ecclesiastes :

A μενος καταστάσεσιν· ἀλλ' εὐχερῶς ἀλλοιοῦται καὶ παρατρέπεται ῥᾳδίως πρὸς ἁμαρτίαν, ἅτε δὴ μυρίαις ἀλλοιώσεσι καὶ μεταβολαῖς καθυποκείμενος ἀμφοτέρωθεν. Εἰ δὲ καταξιωθείη διὰ τῆς τοῦ νοὸς ἐνδελεχοῦς πρὸς Θεὸν νεύσεως τὴν ἄνωθεν σοφίαν λαβεῖν ἔνοικον, ἥτις ἐστὶν ὁ Χριστὸς, περὶ οὗ φησιν Παῦλος ὁ μέγας ἀπόστολος· « Χριστός ἐστι Θεοῦ σοφία καὶ δύναμις, » ὡς κἀν τῇ τῶν Παροιμιῶν βίβλῳ φησίν· « Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· » τηνικαῦτα γίνεται παντελῶς τοῖς ὑπεναντίοις ἀπρόσιτος. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

§ II.

VERS. 21, 22. *Et quidem in omnes sermones, quos loquentur impii, ne dederis cor tuum, ut non audias servum tuum maledicentem tibi ; etenim frequenter aget tecum maligne, et multis modis male afficiet cor tuum, quia utique et tu maledixisti aliis* (88).

B *Καί γε εἰς πάντας λόγους, οὓς λαλήσουσιν ἀσεβεῖς, μὴ δὸς καρδίαν σου, ὅπως μὴ ἀκούσῃς τὸν δοῦλόν σου καταρώμενόν σε· ὅτι πλειστάκις πονηρεύσεταί σε, καὶ καθ' ὁδοὺς πολλὰς κακώσει καρδίαν σου, ὅτι καί γε ὡς σὺ κατηράσω ἑτέρους.*

Postquam ostendit eximiam atque ingentem supernæ sapientiæ vim esse ad eorum, qui ipsam adepti sint, liberationem atque salutem ; transfert sermonem ad hominem quoque ipsum sapientiæ comparandæ studio maxime incensum, excitans eumdem atque urgens, ut animos tollat, et solertem agat vitam, nec omnia in sapientiæ præsidio atque ope sic collocet, ut ipse diligentiam remittat, et securus otiosusque desidiæ se dedat atque socordiæ ; itaque impiorum sive dæmonum sive perversorum hominum suasiones facile admittat : quin imo illis succenseat, et vehementer indignetur, quotiescunque alloquentes consilium dant, ut impietatis et erroris opiniones amplectatur. « Ne dederis » enim, inquit, « cor tuum » sermonibus, quos illi inducunt. Est autem genus hoc contumaciæ et fastidii et aversationis et contemptus bonum utique ac beatum. Verum et si quidam inveniantur, qui te conviciis petant et despiciant et irrideant, non ideo animum his advertas, nec, ut illis, ita et his iram atque indignationem ostentes : mansuete potius et patienter proximorum petulantiam feras, et servorum ipsorum mussitationes ; quo flagellis ejusmodi et plagis sapientem ac fortem animum objiciens, ad meliorem eos frugem transferre facilius possis. Ne dederis igitur cor tuum, ut impios audias consiliarios, **193** sive externos sive internos, neve eos attendas, qui tibi quomodocunque conviciantur ac maledicunt : sed quasi nihil audieris, sic te cum his æque ac cum illis geras, ut neque illos ullo modo sequaris aut in eorum sententiam venias ; neque dum hos retundere conaris, ludibria eorumdem ac rabiem adversas te cumules, et contumelias multiplices, quas ab ipsis in vita reliqua perferre debeas : tanquam si sermonibus eorum, quibus te quasi jaculis confodere conati sunt, animo vulnerato concidisse

Κραταιὰν καὶ μεγάλην ἔχειν ἰσχὺν τὴν ἄνωθεν σοφίαν ἀποφηνάμενος πρὸς ἀπολύτρωσιν καὶ σωτηρίαν τῶν ἐχόντων αὐτὴν, μετοχετεύει τὸν λόγον καὶ πρὸς αὐτὸν τὸν ἄνθρωπον τὸν περὶ πολλοῦ τὴν κτῆσιν τῆς σοφίας πεποιημένον, διανιστῶν αὐτὸν καὶ παρορμῶν, θαῤῥαλεοῦσθαι καὶ προσεκτικῶς ζῇν, καὶ μὴ τὸ πᾶν εἰς τὴν ἀντίληψιν ἀνατιθέναι καὶ βοήθειαν τῆς σοφίας, αὐτὸν δὲ διατίθεσθαι ῥᾳθύμως, καὶ γνώμην ἀτημέλητον ἐπιφέρεσθαι, καὶ μετὰ ῥᾳστώνης καὶ καταφρονητικῶς ζῇν, ὥστε καὶ τὰς εἰσηγήσεις τῶν ἀσεβῶν ἤτοι δαιμόνων ἢ κακοδόξων ἀνθρώπων προσίεσθαι ῥαδίως· ἀλλ' ὀργίζεσθαι κατ' αὐτῶν καὶ χαλεπαίνειν σφοδρῶς, ἡνίκα προσλαλῶσι καὶ συμβουλεύωνται τὰς ὑπολήψεις τῆς ἀσεβείας καὶ τοῦ ψεύδους προσήκασθαι. « Μὴ δὸς » γὰρ, φησὶ, « τὴν καρδίαν σου » εἰς οὓς ἂν ἐροῦσιν ἐκεῖνοι λόγους. Τοῦτο δὲ τὸ εἶδος τῆς ἀπειθείας καὶ τῆς ἀνηκοΐας καὶ τῆς ἀποστροφῆς καὶ παρακοῆς, ἀγαθόν ἐστι καὶ μακάριον. Ἀλλὰ κἂν τινες εὑρεθῶσιν ἐπισκώπτοντές σε καὶ διαλοιδορούμενοι καὶ κατακωμῳδοῦντες, μὴ προσέξῃς αὐτοῖς, οὐχὶ καθὼς ἐκείνοις, οὕτω κἀν τούτοις ὀργὴν ἐνδεικνύμενος καὶ φλεγμονὴν καρδίας· ἀλλὰ πράως καὶ μακροθύμως φέρων τὰς παροινίας τῶν πέλας, ἢ καὶ τῶν ἐξυπηρετουμένων τοὺς γογγυσμοὺς, ἵνα τὸ φιλόσοφον τῆς ψυχῆς καὶ καρτερικὸν ἀντὶ μαστίγων καὶ πληγῶν προβαλλόμενος, μᾶλλον ἕξεις αὐτοὺς πρὸς τὸ κρεῖττον ἀλλοιουμένους. Μὴ δὸς οὖν τὴν καρδίαν σου πρὸς ὑπακοὴν τῶν ἀσεβῶν συμβούλων, αἰσθητῶν δηλονότι καὶ νοητῶν, μηδὲ πρόσχῃς τοῖς ὀπισθοῦν σε κατακερτομοῦσι καὶ δυσφημοῦσιν· ἀλλ' ὡς μηδὲν ἀκούσας, οὕτως διατέθητι πρὸς τούτους καὶ πρὸς ἐκείνους, ἵνα μήτε τὸ παράπαν ἐκείνοις ἀκολουθήσῃς καὶ συμφωνήσῃς· μήτε τούτους πειρώμενος ἀντιπλήττειν, μᾶλλον αὐξήσεις κατὰ σοῦ λοιδορίας καὶ λύττας καὶ πολλαπλασιάσῃς τὰς παρ' αὐτῶν ἐπαχθησομένας τῇ ζωῇ σου κακώσεις· ἅτε δὴ τιτρωσκόμε-

[65] I Cor. I, 24. [66] Prov. VIII, 12.

(88) LXX habent ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου καταρωμένου σε. Olymp. μὴ θῇς τὴν καρδίαν σου....

Digitized by Google

νος τὴν καρδίαν τοῖς ἐκείνων λόγοις ὡς ἐν βολίσιν ἐν τῷ πειρᾶσθαι τιτρώσκειν· ἀλλ' ἄφες αὐτοὺς, καὶ παρασιώπησον, ὡς ἐννοῶν καὶ διενθυμούμενος, ὡς καὶ σὺ κατηράσω πολλάκις ἑτέρους, ἤγουν ἐκωμῴδησας καὶ κατεκερτόμησας· ἀλλ' οὐκ ἠβούλου παρ' ἐκείνων αὖθις ἀντικωμῳδεῖσθαι καὶ δέχεσθαι τὰς ἴσας παροινίας.

A videaris (89). Mitte potius eos, et silentium serva : illud cogitans ac mente reputans, te quoque aliis sæpe conviciatum esse, sive alios derisisse, aliis maledixisse, quin velles ab illis rideri invicem, et paria ferre convicia.

Ταύτην δὲ τοῦ Ἐκκλησιαστοῦ τὴν εἰσήγησιν ἥκιστα διενηνοχέναι τῶν ἀποστολικῶν τε καὶ τῶν ἀγγελικῶν παραγγελμάτων ὑπειληφώς τις, οὐχ ἁμαρτήσει τῆς ἀληθείας. Ἐκεῖ μὲν γάρ φησι· « Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα. » Καὶ πάλιν· « Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς. » Καὶ πάλιν· « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. » Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

Hanc vero Ecclesiastæ admonitionem si quis nihil ab apostolicis et evangelicis præceptis differre duxerit, non is profecto a veritate aberrabit. Ex illis enim hæc sunt : Cum maledicimur, benedicimus ; cum persecutionem patimur, sustinemus [67]. » Et rursum : « Orate pro calumniantibus et persequentibus vos [68]. Et iterum : « Diligite inimicos vestros, benefacite his, qui oderunt vos [69]. » Ait deinde sapiens Ecclesiastes :

B

§ III.

Πάντα ταῦτα ἐπείρασα ἐν τῇ σοφίᾳ· εἶπα, Σοφισθήσομαι· καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ, μακρὰν ὑπὲρ ὃ ἦν· καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτήν ;

VERS. 23, 24. *Omnia hæc tentavi in sapientia. Dixi : Sapiens efficiar ; et ipsa procul a me discessit, longe super id quod erat ; et alta profunditas, quis inveniet eam* (90) ?

« Πάντα ταῦτα, » ποῖα; δηλονότι τῶν τοῦ Θεοῦ κτισμάτων τὴν εὔτακτον κίνησιν καὶ τὴν ὑποταγὴν καὶ θητείαν τὴν πρὸς τὸν ἴδιον ποιητὴν καὶ δεσπότην· τῶν φιληδόνων καὶ φιλαμαρτημόνων ἀνθρώπων καὶ φιλοπλούτων καὶ φειδωλῶν τὴν ματαιοπονίαν, τὴν τῶν ὑφεστηκότων καὶ γεγονότων ἀλλοίωσιν ἀναλλοίωτον καὶ μεταβολὴν ἀμετάβλητον, τὸν πονηρὸν πειρασμὸν, ὃν συνεχώρησεν ὁ Θεὸς, ἤγουν ἔδωκε τῷ λόγῳ τῆς αὐτεξουσιότητος τοῖς υἱοῖς τῶν ἀνθρώπων· τὴν περισσείαν τῆς σοφίας, ἤγουν ὑπεροχὴν, ἣν ἔχει πρὸς τὸ κρεῖττον ὑπὲρ τὴν ἀφροσύνην· τὴν ἐφ' ἑκάστῳ καιρῷ πρόσφορον ἀποκλήρωσιν τῶν ἀντιθέτων πραγμάτων· καὶ τῶν λοιπῶν τὸν κατάλογον, ὅσον διείληφεν ὁ λόγος. Ἐπεὶ τοίνυν ταῦτα πάντα διέγνων διὰ τῆς ἄνωθέν μοι δεδομένης σοφίας, ἀκολούθως ἠβουλήθην ἐξ ἀγαπητικῆς διαθέσεως τὴν καρδίαν μου πυρπολούσης, καὶ πρὸς τοιαύτην ἔφεσιν παρορμώσης, σοφισθῆναι κατὰ τὸ μᾶλλον ἔτι καὶ πολλαπλασίαν τῆς σοφίας τὴν ἐνέργειαν καὶ χάριν λαβεῖν· ὡς καὶ τὸ κάλλος αὐτῆς τῆς σοφίας καὶ τὴν λαμπρότητα τῆς φύσεως κατιδεῖν καὶ καταλαβεῖν· αὕτη δὲ πολλῷ μᾶλλον ἀπεμακρύνθη μου, καὶ τῆς ἐμῆς καταλήψεως καὶ διαγνώσεως ὑπερανέστη καὶ ὑπερήρθη. Πέφυκε

« Omnia hæc. » Quænam ? primum rerum a Deo conditarum ordinatam motionem, et quod auctori dominoque suo præstant obsequium ac famulatum : deinde inanes hominum labores, qui voluptatem et scelus amant, ac divitias appetunt **194** et recondunt : rerum etiam, quæ continua successione fuerunt, constantem vicem, mutabilitatemque immutabilem, tum tentationem malam, quam Deus permisit sive dedit hominum filiis, arbitrii quo pollent ratione habita : et excessum sapientiæ, sive præstantiam, quam præ stultitia hæc habet ad melius : et C utilem in sua cujusque tempestivitate electionem rerum oppositarum : ac reliqua omnia, quæ superius oratio complexa est. Postquam igitur hæc omnia sapientiæ illius ope, quæ mihi divinitus data est, cognovi, subinde ardore quodam amoris animum incendente atque ad ejusmodi desiderium incitante, in sapientia proficere magis ac magis volui, et multiplicem vim ejus et gratiam assequi : ut et ipsius sapientiæ pulchritudinem naturæque splendorem perspicerem ac deprehenderem. At illa multo magis a me recessit, et captum cognitionemque meam longe supergressa est (91). Est enim

[67] I Cor. IV, 12. [68] Matth. V, 44. [69] Luc. VI, 27.

(89) Quæ hic Noster explicat, ex gemina translatione coaluerunt. Verterant LXX, Ὅτι πλειστάκις πονηρεύσεταί σε καρδιά σου· alter interpres, quem Aquilam fuisse censet Montfauconius, hoc modo, Ὅτι καὶ καθόδους πολλὰς κακώσει καρδία σου. Librarii utraque conjunxerunt, et sententiam immutarunt, quæ recepta est. Latinus interpres habet : *Scit enim conscientia tua, quia et tu crebro maledixisti aliis ;* quæ Hebraicis plane respondent, nec minus Hieronymi ejusdem scholio, qui scribit : *Quomodo novit conscientia tua, quod tu de multis locutus es, et sæpe aliis detraxisti : sic et aliis debes ignoscere detrahentibus.* Eadem porro in LXX et in Aquilæ verbis sententia inerat, antequam pro καρδία scriberetur καρδίαν, et servo tribuerentur, quæ de *corde* dicta erant. Sic enim illud verti poterant : *Quia te sæpe cor tuum vexabit*, admonendo scilicet D de iis, quæ in alios ipse protuleris.

(90) Apud LXX leges, τίς εὑρήσει αὐτό;

(91) Apposite Basilius in oratione altera περὶ πίστεως cum præfatus esset, quam homini arduum sit divina investigare, subjecit : Ταύτην δὲ ἡμῖν τὴν ἔννοιαν σαφῶς παρίστησι καὶ ὁ σοφώτατος Σολομὼν λέγων· *Εἶπα, Σοφισθήσομαι, καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν·* οὐ τῷ φεύγειν, ἀλλὰ τῷ ἐκείνοις μάλιστα φανεροῦσθαι αὐτῆς τὸ ἀκατάληπτον, οἷς Θεοῦ χάριτι περισσοτέρως προσγέγονεν ἡ γνῶσις. Id est : *Hanc vero nobis sententiam sapientissimus quoque Salomon diserte exponit, cum ait :* Dixi : Sapiens efficiar, et ipsa longius recessit a me, quam erat. *Non quidem, quod illa fugeret, sed quod ii maxime intelligunt, quantum ea hominis captum exsuperet, qui Dei beneficio ampliorem quam cæteri cognitionem sunt consecuti* Hæc porro ipsa in eum-

Digitized by Google

natura incomprehensibilis, et quæ investigari non possit; habet quippe « tenebras latibulum suum [70]. » Neque illam prorsus cognitione comprehendere quisquam poterit, ne is quidem, qui ad fastigium pervenerit scientiæ ac puritatis. Nam id significavit, cum tanquam stupens dixit : « Et alta profunditas, quis inveniet eam? » incomprehensibilem naturam ejus, et a nemine investigandam designans. Ait deinde sapiens Ecclesiastes :

A γὰρ ἀκατάληπτος καὶ πᾶσιν ἀνεξιχνιάστος· ἔχει γὰρ « σκότος ἀποκρυφὴν αὐτῆς· καὶ τὸ παράπαν οὐδ' ἐν περινοίᾳ ταύτης γενέσθαι τις ἐξισχύσει, κἂν εἰς ἄκρον ἀφίκοιτο γνώσεως καὶ καθάρσεως. Τοῦτο γὰρ ἐσήμανεν ὡς μετά τινος ἐκπλήξεως εἰπών· « Καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτήν; » τὴν ἀκατάληπτον καὶ παντελῶς ἀνεξιχνίαστον φύσιν αὐτῆς αἰνιττόμενος. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ IV.

195 Vers. 25. *Circuivi ego et cor meum, ut cognoscerem et considerarem et quærerem sapientiam et calculum, et ut cognoscerem impii stultitiam et turbulentiam et circumactionem. Et invenio ego eam morte amariorem* (92).

Post investigationem considerationemque ac comprehensionem operum universi et rerum cæterarum, quæ a filiis hominum vel natura vel voluntate fiunt, cum ad sapientiæ quoque illius, qua hæc ipsa perceperat, cognitionem intelligentiamque pervenire optasset ac voluisset; nec tamen majus quidquam invenire potuisset, sed quasi vertigine correptus, quod ante majestatis ejus celsitudinem consistere non valeret, rursum et ad seipsum et ad terrestria reversus se retulisset; ob nimiam consilii inopiam, in eam venit cogitationem, ut astrologorum artem ediscceret, quo pernosceret, quibus freti rationibus ex astrorum motu profiteantur, se futurorum eventus prænuntiare, et eorum positionibus et progressibus et concentibus hominum nativitates attribuere, atque iisdem humanam virtutem ac vitia, nec minus alia omnia, quæ in mundo administrantur, transferre et ascribere : minime tamen ut secundum illos opiniones absurdas et falsas admitteret, quibus rationalis intelligentisque animæ libertas evertitur, et utraque humanæ voluntatis quoad virtutem et vitium tollitur optio, quæ optima scilicet, et quæ pessima (93).

Ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία μου τοῦ γνῶναι καὶ τοῦ κατασκέψασθαι, καὶ τοῦ ζητῆσαι σοφίαν καὶ ψῆφον, καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην καὶ ὀχλησίαν καὶ περιφοράν· καὶ εὑρίσκω ἐγὼ αὐτὴν πικροτέραν ὑπὲρ θάνατον.

Ἀπὸ τῆς ἐξετάσεως καὶ τῆς διασκέψεως καὶ καταλήψεως τῶν ἐν τῇ δημιουργίᾳ κτισμάτων καὶ τῶν ἄλλων τῶν φυσικῶς καὶ προαιρετικῶς πολιτευομένων τοῖς υἱοῖς τῶν ἀνθρώπων καὶ πρὸς αὐτῆς ἐκείνης τῆς σοφίας, παρ' ἧς ἔσχε τῶν εἰρημένων τὴν γνῶσιν, τὴν θεωρίαν καὶ κατάληψιν ἀνελθεῖν ἐπιθυμήσας καὶ βουληθείς· καὶ μηδαμῶς τι πλεῖον εὑρεῖν οἷός τε γεγονὼς, ἀλλ' ὀλιγγιάσας, ὡς ἥκιστα συντετάσθαι τῷ ὕψει τῆς μεγαλοσύνης αὐτῆς δυνηθείς, καὶ πρὸς ἑαυτὸν καὶ τὰ κάτω πάλιν ἐπιστρέψας καὶ περιενεχθείς· ἐξ ἀμηχανίας ὑπερβαλλούσης εἰς ἐνθύμησιν ἦλθε τοῦ καταμαθεῖν τῶν ἀστρολόγων τὴν τέχνην, ἵνα διαγνῷ ποίοις ἐπερειδόμενοι λόγοις ἐπαγγέλλονται διὰ τῆς τῶν ἀστέρων κινήσεως, καὶ τὰς τῶν μελλόντων ἐκβάσεις προκαταγγέλλειν, καὶ τὰς γενέσεις τῶν ἀνθρώπων ταῖς ἐκείνων διαθέσεσι καὶ φοραῖς καὶ συμφωνίαις ἀποκληροῦν, καὶ τὴν ἀνθρωπίνην ἀρετὴν αὐτοῖς καὶ κακίαν ἀνατιθέναι καὶ ἐπιγράφειν, καὶ πάντα τὰ ἄλλα τὰ διοικούμενα κατὰ τόνδε τὸν κόσμον· οὐχ ἵνα, καθάπερ ἐκεῖνοι, δοξάσῃ τὰς μὴ προσηκούσας καὶ ψευδεῖς ὑπολήψεις, δι' ὧν ἀναιρεῖται καὶ τὸ τῆς λογικῆς καὶ νοερᾶς ψυχῆς αὐτεξούσιον, καὶ τῆς ἀνθρωπίνης προαιρέσεως ἡ πρὸς ἀρετὴν καὶ κακίαν ῥοπὴ ἑκατέρα, βελτίστη δηλαδὴ καὶ χειρίστη.

[70] Psal. xvii, 12.

dem sensum magnus ipse Athanasius usurparat, cum ad solitariam vitam agentes scriberet, et de Verbi divinitate dicere instituisset : hæc et Gregorius Nazianzenus in oratione prima, cum sublimia quædam et mira attingere aggressus esset. Vide etiam, si vacat, Origenem in Jerem. hom. 9.

(92) Apud LXX invenies, Καὶ εὑρίσκω ἐγὼ αὐτὴν, καὶ ἐρῶ πικρότερον ὑπὲρ θάνατον. Olympiodorus legit, Καὶ εὑρίσκω αὐτὴν ἐγὼ πικροτέραν ὑπὲρ θάνατον τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα, etc.

(93) Eorum amentiam sic perstrinxerat Cyrillus Alexandrinus hom. 6, de fest. Paschal. : Τί γὰρ δὴ καὶ ποιοῦσιν οἱ παράφρονες; ἀποστεροῦσι τῶν καλλίστων τὸν ἄνθρωπον, καὶ τὸ μέγα τῆς φύσεως γέρας πληροῦντες ἀφανίζουσιν. Οὐ γὰρ δή φασιν, οὐδὲ βούλονται τῆς ἑαυτοῦ προαιρέσεως εἶναι κάτοχον· οὐδὲ ἐλευθέραν ἐν τοῖς πρακτέοις ποιεῖσθαι τὴν αἵρεσιν, ὡς τὴν ἐφ' ἑκάστῳ τῶν ἔργων ῥοπὴν μὴ τοῖς αὐτοῦ κεῖσθαι θελήμασιν, ἀλλὰ ταῖς ἑτέρων ἀπονενεμῆσθαι ψήφοις. Εἱμαρμένη γάρ τις καὶ γένεσις, ὥς φασι, κατὰ τὸ αὐτῇ δοκοῦν, τὸν ἑκάστου βίον ζυγοστατεῖ, καὶ ἀπονέμει μέν τισι τὰ κάλλιστα, καὶ οἷς ἂν εὐξαιτό τις δικαίως προσομιλεῖν· ἀντορέγει δὲ πάλιν ἑτέροις, ὧν οὐκ ἂν ἕλοιτό τις εἰσπαρνελθεῖν. Ὡς αὐτόκλητον μὲν ἐν μηδενὶ βαδίζειν, μήτε τὴν ἐπ' ἀγαθοῖς ἐξουσίαν ἔχοντα, μήτε μὴν τὴν ἐπὶ θάτερα· σειραῖς δὲ ὥσπερ καὶ τοῖς ἐξ ἀνάγκης, ἵν' οὕτως εἴπω, καλεῖσθαι σχοινίοις πρὸς ἄμφω· ἵνα μηδὲν ἔτι τῶν ἀλόγων διαφέρῃ ζώων ὁ πάντων ἄνωθεν τὴν ἡγεμονίαν λαχών. Id est : *Nam quid præterea insani homines aggressi sunt? quid est in homine omnium præstantissimum, id homini eripiunt, ac magnum naturæ munus vanis commentis auferunt. Voluntatis enim suæ potentem esse negant, ac libertatis suæ compotem nolunt, quæcunque agat : quippe qui ad quamcunque actionem feratur, non sua voluntate quidquam faciat, sed ex aliorum sententia præscriptum habeat. Fatum siquidem et genitura quædam, ut aiunt, vitam uniuscujusque pro arbitrio suo moderatur, ac aliis quidem optima tribuit, et quæ ad vitam recte agendam optare quis possit : aliis contra cupiditates immittit eorum, quæ nunquam attingere quisquam optasset. Itaque homo sua sponte nihil aggreditur, nulla bene vel male agendi facultate*

Digitized by Google

Δείκνυται δὲ καὶ πολλῷ δὲ πρώην ὁ ἀγαθὸς Ποιητὴς A τῶν ἁπάντων αἴτιος τῶν κακῶν, ἅτε δὴ τῶν ὑπ' αὐτοῦ γεγονότων ἀστέρων κακοποιῶν πεφυκότων, καὶ τῆς κακίας ὄντων αἰτίων. Οὐ τοίνυν τῶν ἀστρολόγων τὴν τέχνην καταμαθεῖν ἐζήτησε πρὸς τὸ τοιαῦτα δοξάζειν ἄτοπα καὶ παλίμφημα καὶ πάντως ἄξια καταγέλωτος· ἀλλ' ἵνα μᾶλλον ἔμπαλιν δι' αὐτῆς τῆς κατὰ γνῶσιν πείρας διαγνῷ τὴν ἀφροσύνην τῶν ἀσεβῶν καὶ τὴν ὀχληρίαν καὶ περιφοράν. Ὀνομάσας γὰρ « σοφίαν καὶ ψῆφον, » τὴν τῶν ἀστρολόγων τέχνην ὁμολογουμένως ἐδήλωσεν· αὕτη γὰρ μάλιστα διὰ ψηφοφορίας τὴν ἰδίαν δοκεῖ σύστασιν ἔχειν. Σημαίνεται δὲ καὶ διὰ τῶν ὀνομασιῶν, *τῆς ὀχληρίας* λέγω καὶ *τῆς περιφορᾶς*, ἡ τέχνη τῶν ἀστρολόγων, ἅτε δὴ τοῖς μετιοῦσιν αὐτὴν, ἐνδελεχῆ, μᾶλλον δὲ διηνεκῆ παρενόχλησιν ἐμποιοῦσα, καὶ τοῖς κατακολουθοῦσιν B αὐτοῖς καὶ πιστεύουσιν ἀπαγγελλομένη καὶ προκαταγγέλλουσα τοῦτο κἀκεῖνο· πρὸς τὴν ἐναντίαν δὲ καταντῶσα περιφοράν, ὡς προσδοκᾷν μὲν ἀεὶ τοὺς τὰς ἐπαγγελίας τῆς εἰσηγήσεως αὐτῶν δεδεγμένους, τὴν ἔκβασιν τῶν εὐφραινόντων, ἢ τῶν λυπούντων, καὶ διὰ τοῦτο μηδέποτε τὴν ἰδίαν καρδίαν ἀπηλλαγμένην εὑρίσκοντες λύπης, διὰ τὴν τῶν τοιούτων καραδοκίαν ἢ περιττῆς θυμηδίας, τῆς μηδεμίαν αὐτοῖς προζενούσης χαράν· ἀλλ' ὡς ἀτημελήτως δι' αὐτό γε τοῦτο διατεθέντας, ἐν ταῖς ἰδίαις ἀπροσεξίαις καὶ πρὸς χαλεπότητας περιενεχθέντας καὶ συμφοράς. Τοῦτο γὰρ ἐδήλωσεν ὁ σοφὸς Ἐκκλησιαστὴς εἰπών· « Καὶ εὑρίσκω ἐγὼ αὐτὴν πικροτέραν ὑπὲρ θάνατον. »

196 Manifestum porro est, multo prius bonum rerum omnium Conditorem, malarum quoque causam exstitisse, cum ab eo astra condita sint, quæ mala afferre et vitiorum causæ esse feruntur, non igitur astrologorum artem ediscere studuit, ut talia opinaretur, quæ importuna sunt et infamia, ac plane deridicula : sed ut potius e contrario impiorum stultitiam et turbulentiam et circumactionem ipsa scientiæ experientia detegeret. Cum enim appellarit « sapientiam et calculum, » astrologorum artem diserte designavit ; quippe quæ in calculorum rationibus ineundis maxime consistere videtur. Nec minus astrologorum artem illæ significant appellationes, *turbulentiæ*, inquam, et *circumactionis;* cum iis, qui eam colunt, assiduam, vel potius perpetuam afferat perturbationem, et sectatoribus eorum fidemque habentibus hoc et illud denuntiet ac polliceatur, eosdemque in contrariam retorqueat circumactionem, ut semper exspectent, dum promissa accipiant, quæ illi dedere, faustos scilicet exitus aut tristes : itaque nunquam animum cura vacuum inveniant, talium rerum exspectatione et vanis illecti blanditiis, quæ nullum ipsis gaudium allaturæ sint : ac propterea negligentius se gerant, et in suamet desidia undique difficultatibus ærumnisque conflictentur. Nam hoc ipsum sapiens Ecclesiastes indicavit, cum dixit : « Et invenio ego eam morte amariorem. »

C

Αὐτὴν, τίνα ; Δηλαδὴ « τὴν σοφίαν καὶ τὴν ψῆφον, » ἤτοι τέχνην τῶν ἀστρολόγων, ὡς ἀεὶ μυρίοις θανάτοις καθυποβάλλουσαν τοὺς κατακολουθεῖν αὐτῇ βουλομένους· καὶ διὰ τὴν προσδοκίαν τῶν λυπηρῶν, καὶ διὰ τὴν ἀπότευξιν τῶν χαροποιῶν. Ἅπαξ μὲν γὰρ θνήσκειν ἄνθρωπος πέφυκεν· ἅτε δὴ καὶ θνητὸς ὤν. Τὸ δὲ τοιαύταις πολλαῖς καὶ διηνεκέσι καὶ χρονίαις καθυποβεβλῆσθαι τῶν δυσχερῶν καὶ λυπηρῶν προσδοκίαις, καὶ μέντοι τῶν δῆθεν ἀγαθῶν καὶ χαροποιῶν ἀποτεύξεσι, πῶς οὐχὶ καὶ θανάτου πικροτέραν τὴν τοιαύτην δείκνυσι ψηφοφορίαν καὶ τέχνην ; Ὃ δέ φησιν ὁ Ἐκκλησιαστής· « Ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία μου· » μηδεὶς οἰηθείη δηλοῦν τὸ ἐγὼ ἄλλο, καὶ *τὴν καρδίαν* ἄλλο· ἀδιαίρετος γὰρ ἐστιν ὁ ἄνθρωπος, κἂν διήρηται ταῖς σημασίαις τῶν ὀνομάτων· ἀλλὰ D λογιζέσθω τὴν ἀπὸ καρδίας ἐπὶ τῷ πράγματι ζήτησιν τὸ εἰρημένον δηλοῦν. Παρεμπεδοῖ δὲ καὶ κατακωμῳδεῖ τῶν τοιούτων τὴν ἐξαπάτην καὶ διὰ τῶν ἀμέσως ἑπομένων εἰπών. Φησὶ γάρ·

Eam, quamnam ? nisi « Sapientiam et calculum, » sive artem astrologorum, cum hæc millies eos mori quodammodo cogat, qui se illi dediderunt : partim ob tristium formidinem, partim ob faustorum frustrationem. Semel enim homini moriendum est, ut mortalis ejus natura fert. At vero ea esse conditione, ut funesta atque tristia diuturna perpetuaque trepidatione timere debeas, bona atque læta nunquam adventare videas, quomodo supputationem **197** ejusmodi atque artem non ipsa morte amariorem declarat? Quod autem dicat Ecclesiastes : « Circuivi ego et cor meum, » nemo putet, aliud voce *Ego*, aliud voce *Cor* significari. Individuus enim est homo, nominum licet significationibus dividatur. Verum sic accipe, ut rei inquisitionem a corde pendere illis verbis significetur. Pergit porro præstigias istorum et fallacias perstringere iis etiam, quæ protinus sequuntur. Ait enim :

§ V.

Σὺν τὴν γυναῖκα, ἥτις ἐστὶ θηρεύματα, καὶ σαγῆναι καρδία αὐτῆς, δεσμὸς εἰς χεῖρας αὐτῆς. Ἀγαθὸς πρὸ προσώπου τοῦ Θεοῦ ἐξαιρεθήσεται ἀπ' αὐτῆς, καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ.

VERS. 26. *Mulierem quæ est laquei venatorum, et sagenæ cor ejus, vinculum in manibus ejus. Bonus coram Deo eruetur ab ea, et qui peccat, capietur in illa* (94).

præditus est ; sed veluti vinculis quibusdam, ac necessitatis, ut ita dicam, nexibus constrictus ad utrumque adducitur : nihil ut reliquum sit, quo a bestiis differat, qui omnium earum imperium divinitus nactus est.

(94) LXX habent θήρευμα pro θηρεύματα. At vero in *Constitutionibus apostolicis* sententia tota sic affertur (lib. 1, c. 9): Ἐμίσησα ὑπὲρ τὸν θάνατον σὺν τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδίας, δεσμοὶ δὲ χεῖρες αὐτῆς.

Digitized by Google

Amariorem morte cum dixerit calculum astrologorum, ob vanam scilicet occupationem et labores inutiles, quos secum affert, eamdem jam artem adulteræ improbæque feminæ comparat, quæ homines incautos demulcet ac fascinat, et venatorum ac piscatorum more retibus impedit, specie ejus et colloquiis captos, atque in peccati laqueos mortemque transmittit. Nam dolos animo meditata, et corruptelarum instructa illecebris, tanquam marinus polypus quasdam veluti manus, floridos ac suaveolentes explicat crines, subdolisque usa sermonibus, quasi funiculis, illigat venaturque simpliciores : qui quidem e nefariis corporis voluptatibus paulisper dulcedinem aliquam experiri sibi videntur ; subinde autem atque intra breve tempus ejusmodi dulcedinem felle amariorem, et ferro ancipiti acutiorem invenient. Enimvero simile quidpiam in astrologorum etiam arte quis aperte reperiat (95). Demulcentes enim ac pertrahentes initiatorum animum voluptate illa atque dulcedine, quam promissis aiunt sublimibus et **198** ingentibus, tanquam qui cognitionem rerum omnium habeant, et futura prævideant, et abdita quæque deprehendant, in erroris atque interitus sagenam impellunt, et inutili plane vanæque occupationi ac inanibus laboribus subjiciunt. Elabitur vero atque avolat unus certo *ab ea*, id est ab utraque (nam illud *ab ea* Ecclesiastes communi significatione usurpavit) vir nempe probus et diligens, honesti amator Deoque charus. Hoc enim indicat illis verbis « coram Deo, » Amicum veritatis designans, et qui Deo potissimum placere studeat. Quemadmodum e contrario qui pravo animo et inhonesto in ea versetur, hunc superari, ut par est, atque comprehendi dixit. Ait enim : « Et qui peccat, capietur in illa ; » id est tam ab adultera malaque femina, quam ab ipsa arte calcularia astrologorum. Nam qui spem in Domino suam non collocavit, nec ipsum unum credit ac profitetur auctorem sæculorum, et omnia, quæ sunt, et complectentem et gubernantem et conservantem ; is infidelitatis suæ ac desperationis vinculis catenisque constringitur.

At ubi nunc sunt, qui astrologiæ exercitationibus atque supputationibus, quantum est, vitæ præsentis spatium insumunt, et in sidereis motibus atque aspectibus contemplandis atque inter se comparandis occupati, humanam ab his vitam atque administrationem regi jactant, eoque impietatis morbo laborant, quem disertissime sapiens quoque Ecclesiastes demonstrare cum vellet, dixit : « Ut considerarem et quærerem sapientiam et calculum, et ut cognoscerem impii stultitiam et turbulentiam et circumactionem. » Videsne, appellationem impii a divinis Litteris astrologiæ studiosis attributam

(95) Rem eamdem Olympiodorus brevissime complexus, ait : Ὥσπερ γὰρ ἐκείνη θηρεύει τοὺς νέους λόγοις ἀπατηλοῖς· οὕτω καὶ αὕτη τοὺς ἄφρονας, συλλογισμῶν σαγήνας πλέκουσα. Nempe : *Sicut enim illa blandis sermonibus juvenes, ita hæc ars stultos venatur, syllogismorum implicans retibus.* (In Auct. Duc. p. 651 B.)

A Πικροτέραν θανάτου τὴν ψῆφον τῶν ἀστρολόγων κατονομάσας διὰ τὸ ματαίαν ἀσχολίαν ἔχειν καὶ φιλοπονίαν ἀνόνητον, ἀπείκασεν αὐτὴν νῦν μοιχαλίδι καὶ πονηρᾷ γυναικὶ καταθελγούσῃ καὶ καταγοητευούσῃ καὶ θηρευούσῃ καὶ σαγηνευούσῃ ταῖς ἄρκυσι τῶν λόγων αὐτῆς καὶ σχημάτων τοὺς ἀπροσεξίᾳ συζῶντας, καὶ πρὸς πάγην παραπεμπούσῃ τῆς ἁμαρτίας καὶ θάνατον. Μελετῶσα γὰρ ἐν τῇ καρδίᾳ καὶ διενθυμουμένη συλλογισμοὺς τῆς ἐξαπάτης καὶ βεβηλώσεως, ὥσπερ ὁ θαλάσσιος πολύπους, οἷόν τινας χεῖρας ἐφαπλώσασα τοὺς πλοκάμους τῶν ἀνθηροτέρων βαμμάτων καὶ τοὺς κάλως τῶν ἀπατηλῶν λόγων, δεσμοῖ καὶ θηρεύει τοὺς ἀκεραιοτέρους· οἳ δοκοῦσι γλυκαίνεσθαι πρὸς βραχὺ ταῖς σαρκικαῖς καὶ βδελυκταῖς ἡδοναῖς, ὕστερον δὲ καὶ μετὰ μικρὸν πικροτέραν χολῆς εὑρήσουσι τὴν B τοιαύτην γλυκύτητα, καὶ μᾶλλον διστόμου μαχαίρας ἠκονημένην. Παραπλήσιον δέ τις εὑρίσκει σαφῶς κἀπὶ τῇ τέχνῃ τῶν ἀστρολόγων. Καταθέλγοντες γὰρ καὶ παρασύροντες τῶν εἰσαγομένων τὸν νοῦν διὰ τῆς ἡδονῆς καὶ γλυκύτητος τῶν ὑψηλῶν καὶ μεγάλων ἐπαγγελιῶν τῶν ἐπὶ τῇ παντελεῖ γνώσει τῶν ὄντων, καὶ τῇ τῶν μελλόντων προῤῥήσει καὶ καταλήψει τῶν ἀφανῶν, εἰς τὴν τῆς ἐξαπάτης καὶ τὴν τῆς ἀπωλείας ἐμβάλλουσι σαγήνην, πρὸς ἀνόνητον καὶ περιττὴν ἀσχολίαν καὶ ματαιοπονίαν καθυποβάλλοντες. Ἀποδιδράσκει δὲ καὶ ὑπερίπταται μόνος σαφῶς « ἀπ' αὐτῆς, » δηλονότι τῆς ἑκατέρας· κατὰ κοινοῦ γὰρ ἐλήφθη τῷ Ἐκκλησιαστῇ δηλονότι τὸ *ἀπ' αὐτῆς*· ὁ ἀγαθὸς καὶ σπουδαῖος εὑρισκόμενος ἄνθρωπος καὶ φιλόκαλος καὶ θεοφιλής. Τοῦτο γὰρ σημαίνει, « πρὸ προσώπου τοῦ Θεοῦ, » τὸν ἐραστὴν τῆς ἀληθείας, καὶ C περὶ πολλοῦ ποιούμενον τὴν θείαν ἀρέσκειαν αἰνιττόμενος. Ὥσπερ καὶ τὸ ἔμπαλιν τὸν ἔχοντα φαύλην καὶ μισόκαλον γνώμην ἐν αὐτῇ, κεχρατῆσθαι καὶ συλλαμβάνεσθαι κατὰ τὸ ἀκόλουθον εἶπε. Φησὶ γάρ· « Καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ· » δηλονότι καὶ τῇ μοιχαλίδι καὶ πονηρᾷ γυναικὶ, καὶ μέντοι καὶ τῇ ψηφοφορίᾳ τῶν ἀστρολόγων. Ὁ γὰρ οὐκ ἔχων ἐπὶ Κύριον τὰς ἐλπίδας, καὶ μόνον αὐτὸν πιστεύων καὶ καταγγέλλων ποιητὴν τῶν αἰωνίων καὶ συνεκτικὸν πάντων τῶν ὄντων, καὶ κυβερνήτην καὶ σωστικὸν, ταῖς σειραῖς συσφίγγεται τῆς ἰδίας ἀπιστίας καὶ τῆς ἀνελπιστίας

Ἀλλὰ ποῦ νῦν εἰσιν οἱ ταῖς ἀστρολογικαῖς ἀσχο- D λίαις καὶ ψηφοφορίαις τὸ χρονικὸν διάστημα τῆς παρούσης ζωῆς ἀναλίσκοντες, καὶ ταῖς παρατηρήσεσι τῶν ἀστρώων κινήσεων καὶ σχέσεων τῶν πρὸς ἀλλήλους τὸν νοῦν ἐφιστάνοντες, καὶ τούτων ἐξηρτῆσθαι τὴν ἀνθρωπίνην ζωὴν καὶ διοίκησιν διαγγέλλοντες, καὶ τοσαύτην νοσοῦντες ἀσέβειαν, ἣν ἐκφαντικώτατα παριστῶν καὶ ὁ σοφὸς Ἐκκλησιαστὴς ἔφησε, « Κατασκέψασθαι καὶ ζητῆσαι σοφίαν καὶ ψῆφον, καὶ τοῦ γνῶναι ἀσεβοῦς ἀφροσύνην καὶ ὀχληρίαν καὶ περιφοράν. » Ὁρᾷς τὴν ὀνομασίαν τοῦ ἀσεβοῦς τοῖς ἀστρολογοῦσιν ἀποκεκληρωμένην παρὰ τῆς θείας

Digitized by Google

Γραφῆς; Καὶ πῶς οὐ θᾶττον ἀποδιδράσκεις τὸ καλεῖσθαι προφανῶς ἀσεβὴς, ἀλλ' ἔτι καὶ μᾶλλον ἐνησχόλησαι ταῖς ματαιοπονίαις, ἃς ἀφροσύνην καὶ ὀχληρίαν καὶ περιφορὰν ὠνόμασεν ὁ σοφὸς Ἐκκλησιαστής; Ἀλλὰ γὰρ ἄκουσον ἔτι καὶ τοῦ μεγαλοφωνοτάτου τῶν προφητῶν Ἡσαΐου διαγγέλλοντος καὶ μυκτηρίζοντος καὶ κωμῳδοῦντος τοὺς τῇ κινήσει τῶν ἀστέρων κομπάζοντας τὰ μέλλοντα γινώσκειν, καὶ τῆς ἀνθρωπίνης εὐετηρίας ἢ δυσπραγίας τὰς αἰτίας τούτοις ἀνατιθέντας. Φησὶ γάρ· « Ποῦ εἰσιν οἱ γραμματικοί σου; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς συστρεφομένους; λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις. »—« Ἀναστήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας, καὶ ἀπαγγειλάτωσάν σοι, τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι. Ἰδοὺ πάντες ὡς φρύγανα ἐν πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὰς ψυχὰς αὐτῶν. » Εἰ δὲ παρὰ τῆς θείας Γραφῆς οὕτως ἐξελήλεγκται καὶ κωμῳδεῖται τῶν ἀστρολόγων ἡ τέχνη, πῶς οὐχὶ παραπλῆγες εὑρηνται καὶ δυσσεβεῖς οἱ τὴν πολυάσχολον ταύτην ματαιότητα μετιόντες; Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

A esse? quid tu vero, operam quamprimum non dederis, ne impius palam appellere? sed vanis adhuc in laboribus te exerceas, quos sapiens Ecclesiastes stultitiam et turbulentiam et circumactionem nominarit? Verumenimvero vocalissimum quoque prophetarum Isaiam audito indicantem et cum irrisione perstringentem, qui gloriantur se futura nosse ex astrorum motu, et his humanæ felicitatis aut rerum adversarum causas assignant. Ait enim : « Ubi sunt litterati tui? ubi sunt consiliarii? ubi est qui numerat coactos? Populus depravatus, et non est audienti **199** intelligentia (96). Stent et servent te augures cœli, qui contemplantur sidera, et annuntient tibi quid super te venturum sit. Ecce omnes ut stipulæ in igne comburentur, nec libera B bunt animas suas (97). Quod si astrologorum ars divinis in Litteris sic reprehenditur atque notatur; quomodo non stulti omnino atque impii sint, qui tam laboriosam tamque inanem rem persequantur (98)? Ait deinde sapiens Ecclesiastes :

§ VI.

Ἰδὲ τοῦτο εὗρον, εἶπεν ὁ Ἐκκλησιαστὴς, μιᾷ τῇ μιᾷ τοῦ εὑρεῖν λογισμὸν, ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον. Καὶ ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον, καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον. Πλὴν ἴδε τοῦτο εὗρον, ὃ ἐποίησεν ὁ Θεὸς σὺν τὸν ἄνθρωπον εὐθῆ, καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς.

Vers. 27, 28. *Ecce hoc inveni, dixit Ecclesiastes, una ad unam ut invenirem rationem, quam quæsivit anima mea, et non inveni. Et hominem unum de mille inveni, et mulierem in omnibus his non inveni. Solummodo ecce hoc inveni, quod fecit Deus hominem rectum, et ipsi quæsierunt ratiocinationes multas* (99).

C

Πρὸ βραχέος εἰπών· « Ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία μου τοῦ κατασκέψασθαι καὶ τοῦ ζητῆσαι σοφίαν καὶ ψῆφον, » τὴν ἀστρολογικὴν δηλαδὴ τέχνην· οὐχ ἵνα δοξάσῃ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐκείνοις, ἀλλ' ἵνα κατακωμῳδήσῃ καὶ μᾶλλον ἐξελέγξῃ καὶ δείξῃ ματαιοπονίαν καὶ πλήρη πολλῆς ἀσεβείας. Εἶτα φήσας· « Καὶ εὑρίσκω ἐγὼ αὐτὴν πικροτέραν ὑπὲρ θάνατον· » μετὰ τὴν αὐτὴν ἀπόφασιν παρακελεύεται παντὶ τῷ ἐντευξομένῳ τῷ παρόντι βιβλίῳ συνιέναι καὶ διαγνῶναι σαφῶς, ὡς εὗρεν ὅπερ ἐζήτησε καὶ διέγνω· καὶ πρεπόντως ἐξήλεγξε τῆς ἀστρολογίας τὴν ματαιοπονίαν. Καὶ γάρ φησι· « Ἴδε τοῦτο εὗρον, εἶπεν ὁ Ἐκκλησιαστής· » ἀντὶ τοῦ, Τέως ταύτην

Cum paulo ante dixerit : « Circuivi ego et cor meum ut considerarem et quærerem sapientiam et calculum; » id est artem astrologorum : non ut in eorum sententiam veniret, sed ut derideret magis ac reprehenderet, vanumque eum laborem et multæ tantum impietatis plenum demonstraret; cumque deinde addiderit : « Et invenio ego eam morte amariorem; » hac jam prolata sententia, eos omnes, in quorum manus hic liber venturus sit, cohortatur, id ut discant probeque intelligant, se quod quæsivit, invenisse **200** atque cognosse : ac merito inanes astrologiæ labores improbasse. Namque ait : « Ecce hoc inveni, dixit Ecclesiastes, »

(96) Isa. xxxiii, 18. At LXX habent, ὁ ἀριθμῶν τοὺς τρεφομένους μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συνεβουλεύσατο, οὐδὲ ἤδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος...

(97) Idem xlviii, 13. Porro LXX reddidere, Στήτωσαν δὴ καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι, τί μέλλει...

(98) Huc pertinent quæ Cyrillus Alexandrinus habet hom. 14, de fest. Pasch. : Ἅγιοι προφῆται γεγόνασι παρ' ἡμῶν, οὐκ ἀστέρων κίνησιν καταμετρεῖν εἰωθότες, οὐ τὴν τῶν στοιχείων πολυπραγμονοῦντες χρείαν, καὶ εἰς ἃ μὴ προσῆκεν, ἐκβιαζόμενοι τῶν ἀνθρώπων τὴν φύσιν, οὐ φενακισμοῖς ἐώλοις ἐπιθαρσήσαντες· ἐξ ἀποκαλύψεως δὲ θείου Πνεύματος προαναθροοῦντες τὰ μέλλοντα, καὶ ἐκ μακρῶν ἄνωθεν ἡμῖν διηγορευκότες καιρῶν. Διημάρτηκε δὲ τῶν εἰρημένων οὐδὲν, ἀλλ' ἕρπει κατὰ καιροὺς τῶν πραγμάτων ἡ φύσις ἐπὶ τὸ λιαν ἐγγύς· μᾶλλον δὲ κατ' ἴχνος τὸ ἀκριβὲς τῶν ἤδη προηγγελμένων. Θεὸς γὰρ ἦν ὁ λαλῶν. Ἔστι τοίνυν ἐκείνων αὐτῶν ἐπαΐειν σαφῶς, ὡς ὀλέθριον ἐκκεχυκότων τὴν φιλοψευδῆ καὶ ἀργυροκάπηλον ἀστρογοητείαν. Id est : *Sancti prophetæ apud nos exstiterunt, non astrorum motus dimetiri soliti, non in elementorum usu curiose inquirendo occupati, nec ad ea, quæ minime decuit, humanam naturam pertrahentes, non præstigiis futilibus præfidentes : sed cum ex manifestatione divini Spiritus futura prænoscerent, ea nobis multo antequam fierent, indicarunt. Nihil eorum porro, quæ prædixerunt, irritum fuit; sed per temporum vices natura rerum quam proxime consequitur, vel potius iisdem plane vestigiis insistit eorum quæ prænuntiata sunt. Deus enim erat, qui loquebatur. Licet igitur, jam manifesto intelligas, quanta cum pernicie mendaces illi suas et argenti illices astrologiæ nomine præstigias effundant.*

(99) Olymp., Ἰδοὺ καὶ τοῦτο εὗρον... Cyrill. Hieros... Τὸν ἄνθρωπον εὐθύν...

Digitized by Google

velut si diceret : Hanc interea vani laboris fallaciam deprehendi. Volo autem post unam hanc quæsiti deprehensionem, subinde aliam rursum nancisci, id est : « Rationem, quam quæsivit anima mea, et non inveni. » Hæc autem est, quam eosdem docere velim, quænam utilitatis causa astrologos in tantam tamque vanam occupationem demergat, ut Conditoris sui Dei ac Domini assiduum obsequium et cultum et venerationem plane negligant. « Et non inveni, » inquit : quippe quin plerique hominum multo proniores sunt ad inutiles verborum perscrutationes atque quæstiones, et vias contemnunt veritatis atque justitiæ, quæ una similitudinem cum auctore Dominoque suo, cujus et ad imaginem conditi sunt, servare potest, et ad majestatis ejus sublimitatem provehere ; iidemque ad calles divertunt tortuosos anfractusque difficiles, ut vix de millibus unus inveniatur, qui multo studio veritati atque justitiæ addictus sit. Insuper vero et mulierem quæsivi, quæ bonis omnibus præstaret, at minime inveni (1).

Ceterum illud, o mortalis, clare agnoscas, omnes homines ab auctore nostro atque artifice rectos esse conditos, cum naturali ratione atque appetitu mininne perverso, nec prorsus a veritate alieno (2). At ipsos pessimo consilio et stulta temeritate simplicitatem naturæ in multas easque inconsideratas et perversas ratiocinationes **201** divisisse ac distraxisse, ea quærentes, quæ nefas est quærere, et iis vacantes, e quibus nullam omnino utilitatem parere sibi possent. Idcirco nempe adjecit :

A κατείληφα τῆς ματαιοπονίας τὴν ἐξαπάτην. Βούλομαι δὲ τῇ μιᾷ ταύτῃ καταλήψει τοῦ ζητηθέντος, ἀκολούθως ἄλλην πάλιν εὑρεῖν, ἤτοι « Λογισμὸν, ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον. » Οὗτος δέ ἐστιν ὁ διδάξαι μέλλων αὐτὸν διὰ ποίαν ὀνησιφόρον αἰτίαν εἰς τοσαύτην ἐξώκειλαν ματαίαν ἀσχολίαν οἱ ἀστρολόγοι καταλιπόντες τὴν πρὸς τὸν ἴδιον Κτίστην καὶ Θεὸν καὶ Δεσπότην ἐνδελεχῆ λατρείαν καὶ θεραπείαν καὶ νεῦσιν. « Καὶ οὐχ εὗρον, » φησίν· ἅτε δὴ τῶν πολλῶν ἀνθρώπων ἐπιῤῥεπῶς μᾶλλον ἐχόντων πρὸς τὰς ἀλυσιτελεῖς ἐρεύνας καὶ ζητήσεις τῶν λόγων, καὶ παρορώντων μὲν τὰς τῆς ἀληθείας τρίβους καὶ τῆς δικαιοσύνης τῆς φυλαττούσης τὴν πρὸς τὸν ἴδιον ποιητὴν καὶ Δεσπότην ἐμφέρειαν, οὗ καὶ κατ' εἰκόνα γεγόνασι, καὶ μέντοι καὶ πρὸς τὸ ὕψος ἀναγούσης B τῆς ἐκείνου μεγαλωσύνης· εἰς ἀτραποὺς δὲ παρεκλινόντων διεστραμμένας καὶ σκολιὰς, ὡς μόγις ἀπὸ χιλίων εὑρίσκεσθαι ἕνα τὸν περὶ πολλοῦ τιθέμενον τὴν ἀλήθειαν καὶ τὴν δικαιοσύνην. Ἔτι γε μὴν ἐζήτησα καὶ γυναῖκα ἐν πᾶσι τοῖς καλοῖς διαπρέπουσαν, ἀλλ' οὐχ εὗρον.

Πλὴν, ἄνθρωπε, γνῶθι σαφῶς, ὡς ὁ μὲν πλάστης ἡμῶν καὶ δημιουργὸς εὐθεῖς ἐποίησε πάντας ἀνθρώπους τῷ λόγῳ τῆς φύσεως, ἀδιάστροφον καὶ παντελῶς ἀπαρέγκλιτον ἔχοντας τὴν πρὸς τὴν ἀλήθειαν ἕφεσιν. Αὐτοὶ δὲ, διὰ πολλὴν πονηροβουλίαν καὶ ματαιοφροσύνην, τὴν ἁπλότητα τῆς φύσεως εἰς πολλοὺς καὶ πολυσχεδεῖς διεῖλον καὶ διέστρεψαν λογισμοὺς σκολιοὺς, ζητοῦντες ἃ μὴ θέμις ζητεῖν, καὶ σχολάζοντες ἐκείνοις, ἀφ' ὧν οὐδεμίαν πορίζονται τὸ παράπαν C ὠφέλειαν. Ἀμέλει τοίνυν ἐπήγαγε·

§ VII.

Cap. VIII. Vers. 1. *Quis novit sapientes, aut quis novit solutionem verbi? sapientia hominis illuminabit vultum ejus, et impudens ex vultu suo odio habebitur* (3).

Tanquam si diceret : Sic igitur homines in ratiocinationes prolapsi inconsideratas atque perversas, simplicitatem rectæ rationis, quæ homini a Deo data est, perniciose confuderunt, et ad perscrutationem inquisitionemque rerum inutilium delati sunt. At si quis voluerit retia effugere ambagum humanarum, viros quærat sapientes atque pruden-

Τίς οἶδε σοφοὺς, ἢ τίς οἶδε λύσιν ῥήματος ; σοφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ, καὶ ἀναιδὴς ἀπὸ προσώπου αὐτοῦ μισηθήσεται.

Μονονουχὶ γάρ φησιν· Οὕτω μὲν οὖν οἱ ἄνθρωποι πρὸς τοὺς πολυσχεδεῖς καὶ σκολιοὺς λογισμοὺς ἐξοκείλαντες, τὴν ἁπλότητα τῆς παρὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ δεδομένης εὐθύτητος, ἀσυμφόρως συνέχεον, καὶ πρὸς τὴν ἔρευναν καὶ ζήτησιν τῶν ἀνονήτων περιηνέχθησαν. Εἰ δέ τις βουληθείη διαδρᾶναι τῶν ἀνθρωπίνων καμπυλοτήτων τὰς ἄρκυς, ἐκζη-

(1) Cum scriptum legamus καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον, hæc quidam apte, opinor, congruenter ita sunt interpretati : *In mille mulieribus, quas mihi ascivi, nullam inveni sincere probam ;* tanquam si rex Salomon eas designare mulieres videatur, quas domi habebat, septingentas scilicet principes feminas, et concubinas trecentas : ut est in libro III Reg. XI, 3.

(2) In eamdem sententiam Cyrillus Hierosolymitanus hunc locum exposuerat his verbis : Ἐποίησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον εὐθὺν κατὰ τὸν Ἐκκλησιαστὴν, καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς. Αὐτοῦ γάρ ἐσμεν ποίημα κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς, φησὶν ὁ Ἀπόστολος. Ὁ μὲν οὖν Κτίστης ἀγαθὸς ὢν, ἐπὶ ἔργοις ἀγαθοῖς ἔκτισεν. Τὸ δὲ κτισθὲν ἐξ οἰκείας προαιρέσεως εἰς πονηρίαν ἐτράπη. Id est, *Fecit namque Deus hominem rectum juxta Ecclesiasten, et ipsi multas quæsivere ratiocinationes. Ipsius enim sumus factura, creati ad opera bona, inquit Apostolus.* (Ephes. II, 10.) *Creator igitur cum sit bonus, ad bona creavit opera : creata vero res ex proprio arbitratu in malitiam conversa est.* (Catech. D II, n. 1.)

Athanasius vero illud Εὐθῆ multo etiam felicius erat interpretatus. Ait enim, Γέγονε μὲν γὰρ εἰς τὸ ὁρᾶν τὸν Θεὸν καὶ ὑπ' αὐτοῦ φωτίζεσθαι (ἡ ψυχὴ τῶν ἀνθρώπων)· αὕτη δὲ ἀντὶ τοῦ Θεοῦ τὰ φθαρτὰ καὶ τὸ σκότος ἐζήτησεν, ὥς που καὶ τὸ Πνεῦμα ἐγγράφως φησίν· *Ὁ Θεὸς τὸν ἄνθρωπον ἐποίησεν εὐθῆ, αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς.* Nempe : *Num condita est* (mens humana), *ut Deum spectet, et ab eo illustretur : ipsa vero pro Deo mortalia et tenebras exquisivit, ut alicubi Spiritus scripto prodit :* Deus hominem rectum fecit, ipsi autem multas quæsivere ratiocinationes. (Orat. I contra gentes.)

(3) LXX habent... Καὶ ἀναιδὴς προσώπῳ αὐτοῦ.... Olymp. τιμωρηθήσεται.

Digitized by Google

τείτω σοφοὺς ἄνδρας καὶ συνετοὺς, τοὺς τὸ θεωρητικὸν τῆς ψυχῆς, καὶ τὸ πρακτικὸν ἀνεπιβούλευτον διασώσαντας, καὶ διὰ τοῦτο δυναμένους τὴν ἀλήθειαν ἀποκρίνειν τοῦ ψεύδους, καὶ τῶν ἐσφαλμένων ὑπολήψεων ἀπαλλάττειν τοὺς προσφοιτῶντας αὐτοῖς, καὶ πρὸς τὰς ἀτραποὺς τῆς σωτηρίας καθοδηγεῖν. Οἱ τοιοῦτοι γὰρ ἴσασι καὶ λύσιν ῥήματος δοῦναι παντὸς προβληθέντος ἐξ ἀπορίας, καὶ φωτίσαι τοῦ μαθητιῶντος τὸ νοητὸν πρόσωπον, ὡς καὶ πάλιν αὐτὸν διὰ τῆς ἐκεῖθεν αὐτῷ προσγεγονυίας λύσεως καὶ σοφίας ἄλλους φωτίζειν. Οἱ γὰρ ἐν μετριοφροσύνῃ καὶ πραότητι καὶ διαθέσει καρδίας ἀπεριέργως τοῖς σοφοῖς προσιόντες, καὶ διδασκόμενοι παρ' αὐτῶν τῶν ἀσυμφόρων καὶ τῶν λυσιτελῶν τὴν γνῶσιν, ἀπρόσκοπον καθιστῶσι τὴν ἰδίαν ζωήν. Ὥσπερ ὁ ἀναιδὴς καὶ ὑπερήφανος καὶ μεγάλαυχος, μηδαμῶς τῷ διδασκαλείῳ τοῦ πνεύματος προσιέναι βουλόμενος, στυγητὸς εὕρηται καὶ φευκτὸς τοῖς συνετοῖς καὶ σοφοῖς τῆς ἰδίας μεγαλαυχίας ταύτην εὑρίσκων τὴν ἀμοιβήν. Τὰ πρέποντα γὰρ καὶ συμφέροντα μαθεῖν ὑπὸ τῶν σοφῶν οὐκ ἐθελήσας, ἀλλ' ἐν πονηρολογίαις καὶ ψευδορρημοσύναις παῤῥησιαζόμενος ἀναισχύντως, αὐτὸς ἑαυτὸν καθίστησι μισητόν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

A tes, qui nativam animi ad dispiciendum agendumque facultatem intactam integramque servarint, itaque vera a falsis secernere possint, et ventitantes ad se non modo ab errore revocare, sed etiam in semitas salutis deducere. Viri enim hujusmodi dissolutionem quoque verbi cujusque ex ambiguitate propositi reddere norunt, et discendi cupido mentis vultum tanta luce perfundere, ut ipse etiam non minus, ob enodatum quæsitum et partam inde sapientiam, aliis lucem afferre possit. Nam qui moderate pacateque et animo parato ac composito ad sapientes accedunt, atque ab ipsis cognitionem hauriunt eorum, quæ noceant, quæque prosint, ii vitam suam omnis plane offensionis expertem immunemque constituant : cum e contrario impudens B et superbia fastuque elatus, qui ad animi scholam itare nolit, hunc ostentationis suæ fructum capiat, ut in prudentium sapientiumque odium et alienationem incurrat. Is enim, qui a sapientibus quæ deceant, quæque utilia sint, ediscere noluerit, et in pravis potius falsisque sermonibus libere impudenterque se exerceat, semetipse ad commune odium exponit. Addit deinde Ecclesiastes :

§ VIII.

Στόμα βασιλέως φύλαξον, καὶ περὶ λόγου ὅρκου Θεοῦ μὴ σπούδαζε· ἀπὸ προσώπου αὐτοῦ πορεύσῃ· μὴ στῇς ἐν λόγῳ πονηρῷ, ὅτι πᾶν ὃ ἐὰν θελήσῃ ποιήσει, καθὼς λαλεῖ βασιλεὺς ἐξουσιάζων· καὶ τίς ἐρεῖ αὐτῷ, Τί ἐποίησας;

202 VERS. 2-4. *Os regis custodi, et de verbo juramenti Dei ne satagas : a facie ejus ambulabis : ne stes in verbo malo, quoniam omne, quod voluerit, faciet, sicut loquitur rex potestatem habens ; et quis dicet ei : Quid facis* (4)?

C Εἰσηγησάμενος τὰς ἀληθεῖς περὶ Θεοῦ φυλάττειν ὑπολήψεις, καὶ μηδαμῶς παραχαράττειν τὴν εἰκόνα τῆς εὐσεβείας τοῖς ἀκαλλέσι καὶ ψευδοδόξοις χρώμασι τῶν ἐν ταῖς ἀστρολογικαῖς ψήφοις ἀσχολουμένων, ἀλλὰ μίαν οἴεσθαι καὶ καταγγέλλειν ἀρχικὴν φύσιν τὴν τότε τὸ πᾶν διεξάγουσαν πανσόφως καὶ συμφερόντως, καὶ τὴν ἑκάστου προαίρεσιν τῆς ἐφ' ἑκάτερα ῥοπῆς, δηλονότι τῶν ἐφ' ἡμῖν καὶ τῶν οὐκ ἐφ' ἡμῖν ἔχειν τὴν ἐξουσίαν· νῦν ἐφ' ἑτέραν εἰσήγησιν μέτεισι, καὶ κατασφαλίζεται, μηδαμῶς τὰ λελεγμένα παρὰ βασιλέως δημοσιεύειν, ἵνα μὴ πρόσκομμα καὶ σκῶλον εὕρῃ καὶ πειρασμὸν ἀνόητον ὁ τοῦτο ποιῶν. Διότι καί πού φησι τὸ λόγιον τῆς θείας Γραφῆς· « Μυστήριον βασιλέως φυλάττειν καλόν. »

Postquam admonuit, ut veras de Deo sententias tueamur, ac ne pietatis imaginem indecoris fucatisque eorum coloribus deformemus, qui se astrologiæ calculis dediderunt, utique sentiamus ac profiteamur unam esse principem naturam, quæ initio omnia sapienter atque utiliter ordinarit, et voluntati cujusque datum, ut in utramque partem inclinare se posset, tam ad ea nempe quæ in nobis sunt, quam quæ in nobis non sunt : jam ad alteram admonitionem transit, et cavendum præscribit, ne unquam regis dicta vulgemus : ne qui hoc fecerit, offendat, magnum nulla utilitate periculum subeat. Quamobrem quodam in loco divinarum Litterarum id quoque exstat oraculum : « My- D sterium regis custodire bonum est (5). »

Ἔπειτα παρεγγυᾶται, καὶ μὴ πρόχειρον εἶναι πρὸς ὅρκον, μηδὲ τὴν γλῶτταν εὐόλισθον οὖσαν συγχωρεῖν ὄνομα Θεοῦ προάγειν εἰς τὰς ὁμιλίας τὰς πρὸς τοὺς πέλας. Τοῦτο δὲ διττὴν ἔχει τὴν ἔμφασιν· ἢ τὸ μηδαμῶς ἐπ' ὀνόματι Θεοῦ διά τινα προχειμένην

Hortatur deinde, ne quisquam facilis sit ad jusjurandum, neve ferat, ut lingua in proximis alloquendis Dei nomen temere ciere assuescat (6). Id autem geminam habet significationem, ne scilicet in Dei nomine, quicunque se prætextus offerat,

(4) At LXX habent... μὴ σπουδάσῃς.... et καθὼς βασιλεὺς ἐξουσιάζων, καὶ τίς.... Adnotat vero Olympiodorus, Ἄλλα δὲ βιβλία ἔχουσι *πορευθῆναι*.

(5) Tob. XII, 7. Sed apud LXX legimus Μυστήριον βασιλέως καλὸν κρύψαι. Ephræmus in *Encom. Basil.* κρύπτειν μὲν γὰρ τὰς βουλὰς τῶν βασιλέων, καλόν. (apud Cotel. *Mon. E. Gr.* t. III, p. 54.)

(6) In Vulgatis habemus : *Ego os regis observo et præcepta juramenti Dei :* quæ melius Hebraicis respondent, et hanc sententiam continere videatur : *Equidem tam præceptum regis servandum censeo, quam quod Deo juravimus.* Vel etiam docent sancte servandum regis præceptum, cum subditorum fides jurejurando obligata regi sit. At Noster LXX interpretes sequitur, et quæ in eorum verbis eminet, sententiam exponit. Symmachus habet : Μὴ σπεύσῃς, quod eodem recidit. Sive enim legas μὴ σπουδάσῃς, sive μὴ σπεύσῃς, illud monemur, ne ad jurandum proclives simus.

Digitized by Google

jurejurando unquam utamur, neve alios ad jusjurandum adigamus, quod par in utroque sit crimen. Cum autem ait : « A facie ejus ambulabis, ne stes in verbo malo, » auctor est, ne, auditis quæ a rege prolata sint, cogitationem digrediens suscipias aliquam nec pudentem nec probam, neve tecum perniciosam rationem constituas, quæ id vulgare aliis persuadeat, quod secreto ipse audieris, velut si nemo **203** de sermonum ejusmodi enuntiatione nomen tuum sit delaturus : ne si quando rex noverit, vitam tuam, ut libuerit, vexet; cum nemo sit, qui adversari illi possit, aut qui indignationem ejus atque impetum cohibere, reumque post prolatam sententiam a pœna supplicioque valeat eripere. Ait deinde

A πρόφασιν οἴκῳ κεχρῆσθαι τὸ σύνολον, μήτε μὴν ὅρκον ἄλλοις προτείνειν ὡς ἑκατέρου τὴν ἴσην ἔχοντος ἁμαρτίαν. Ὅ δέ φησιν· « Ἀπὸ προσώπου αὐτοῦ πορεύση, μὴ στῇς ἐν λόγῳ πονηρῷ » παρεγγυᾶται μηδαμῶς μετὰ τοῦ πυθέσθαι τῶν λαληθέντων ὑπὸ τοῦ βασιλέως, ἐξιὼν οἰηθῇς τι καταφρονήσεως καὶ πονηρίας ἐνθύμημα· μηδὲ κραταιώσας ἐν σεαυτῷ λόγον ἀσύμφορον τὸν συμβουλεύοντα ποιεῖν ἔκφορα καὶ τοῖς ἄλλοις τὰ ἀκουσθέντα σοι μυστικῶς, ὡς οὐ καταφωρᾶσθαί σου μέλλοντος ἐν τῇ τοιαύτῃ τῶν λόγων ἐξαγγέλσει· μή ποτε γὰρ ῥάθῃ καὶ κακώσει σου τὴν ζωὴν, καθὼς ἂν βουληθείη, μηδένα τῶν ἀντιταττομένων ἔχων, ἢ τῆς κατὰ σοῦ παρ' αὐτοῦ κεκινημένης ὀργῆς ἀναστέλλοντα, καὶ λυτρούμενόν σε τῆς ἐξενεχθείσης ἀποφάσεως πρὸς καταδίκην καὶ

B τιμωρίαν. Εἶτά φησιν·

§ IX.

VERS. 5. *Qui custodit mandatum, non cognoscet verbum malum. Et tempus judicii cognoscit cor sapientis; quia omni negotio est tempus et judicium* (7).

Quanquam dixit indiscriminatim *mandatum*, non simplicem tamen *mandati* intulit significationem, sed multiplicem atque variam. Sive enim præceptum Dei quis custodierit, mandatum scilicet dominantis in æterno regno suo, sive ejus, qui regnum in terris nactus sit, aut naturalis patris vel matris vel magistri : quod item multimodis dividitur atque usurpatur, et qua nos de sincera fide nostra deque divinis legibus admonet, et qua puerilem institutionem doctrinamque comprehendit, et qua cognitionem spectat cæterarum omnium artium C mechanicarum; ille utique : « Non cognoscet verbum malum, » quo reus fiat, et de contempto violatoque mandato condemnetur (8). Verum si discriminis multum est in mandatis ipsis, ubi separatim singula considerentur; pœnæ quoque et animadversiones violationi eorum respondebunt.

204 Cæterum qui mandatum, quomodocunque datum ei sit, custodierit, vindictam prorsus effugiet, sicut mandati et pœnæ irrogandæ fert ratio. Sciant enim, oportet, et senex et adolescens et puer cui jam cor sapiat, id enim *sapientis* appella-

Ὁ φυλάσσων ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρόν· καὶ καιρὸν κρίσεως γινώσκει καρδία σοφοῦ· ὅτι παντὶ πράγματι ἐστι καιρὸς καὶ κρίσις.

Ἀδιαστόλως μὲν ἔφησεν *ἐντολὴν*, οὐχ ἁπλῆν δὲ τὴν *τῆς ἐντολῆς* ἔφησεν ἔννοιαν, ἀλλὰ πολυσχεδῆ καὶ ποικίλην. Εἴτε τὴν ἐντολὴν γὰρ τοῦ Θεοῦ τις φυλάξει, τὴν ἐντολὴν τοῦ δεσπόζοντος ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος· εἴτε τοῦ βασιλεύειν ἐπὶ τῆς γῆς λελοχότος, ἢ φυσικοῦ πατρὸς ἢ μητρὸς ἢ διδασκάλου· καὶ τούτου διαιρουμένου καὶ παραλαμβανομένου πολλαχῶς, εἴς τε τὴν τῆς εἰλικρινοῦς ἡμῶν πίστεως καὶ θείων δογμάτων εἰσήγησιν, εἴς τε τὴν τῶν εἰσαγωγικῶν καὶ παιδικῶν διδαγμάτων ἀνάληψιν, εἴτε τῶν ἄλλων ἁπασῶν βαναυσικῶν τεχνῶν τὴν διάγνωσιν· « Οὐ γνώσεται ῥῆμα πονηρὸν » τὸ καταδικάζον αὐτὸν καὶ κατακρίνον διὰ τὴν ἀθέτησιν τῆς ἐντολῆς καὶ παράβασιν. Ἀλλ' εἰ καὶ πολὺ τὸ διάφορον καὶ τῶν ἐν τῇ διαιρέσει ληφθεισῶν ἐντολῶν, καὶ μέντοι καὶ τῶν ἐν τῇ παραβάσει τούτων τιμωριῶν καὶ κολάσεων.

Πλὴν ἀλλὰ γὰρ ὁ φυλάξας τὴν ὀπωσοῦν αὐτῷ δεδομένην ἐντολὴν, ἀτιμώρητος εὑρεθήσεται πάντως, κατὰ τὸ ἀνάλογον τῆς ἐντολῆς καὶ τῆς τιμωρίας ἐπηρτημένης. Εἰδέναι γὰρ ὀφείλει καὶ πρεσβύτης καὶ νέος καὶ παῖς αἰσθητικὴν ἔχων καρδίαν, ἣν διὰ τῆς

(7) Symmachus habet... Ὅτι παντὶ πράγματι ἔστι καιρὸς χρείας καὶ τρόπος.

(8) Paulo aliter hæc est verba interpretatus Eusebius, cum psalmum XXXIII, 2, exponeret : prolata quippe Ecclesiastæ sententia, adjecit : Καὶ ἐνταῦθα γὰρ τό· *Οὐ γνώσεται*, οὐ πεποίηται οὐδὲ ἀνακέκραται κατὰ ῥῆμα πονηρόν. Ψεῦδος γὰρ τὸ νομίζειν μὴ ἐπίστασθαι ῥῆμα πονηρὸν τὸν φυλάττοντα τὴν θείαν ἐντολήν. Διακρισιν γὰρ ἔχων πονηροῦ καὶ ἀγαθοῦ, τ' ἄλλα πάντα ἀποστραφεὶς ῥήματα, ἐπιτηρεῖν τὴν ἐντολὴν ἦλθεν. Id est, *Namque hic etiam illud :* Non cognoscet *valet* non fecit neque pravo se operi admiscuit. *Allucinatio nempe est putare, qui divinum servat mandatum, eum malam rem haud nosse. Cum enim boni et mali discretionem habeat, cætera omnia aversatus, ad præceptum servandum accedit.*

Longius vero abiit Nilus; sic enim Thaumasio monacho scribens explicavit (lib. III, epist. 55) : Δεῖ δὲ εἰς τὴν τῶν ἁγίων ἐντολῶν τήρησιν ἀπασχολεῖσθαι, καὶ εἰς βαθεῖαν μνήμην τοῦ Κυρίου Ἰησοῦ τῆς δόξης. *Ὁ γὰρ φυλάσσων*, φησὶν, *ἐντολὴν, οὐ γνώσεται ῥῆμα πονηρὸν*, τουτέστιν, εἰς λόγους πονηροὺς καὶ φαύλους οὐκ ἐκτραπήσεται. Id est : *In sanctorum vero mandatorum observatione occupari nos oportet, atque in profunda Domini Jesu gloriæ memoria.* Qui enim, *ait*, præceptum custodit, non cognoscet verbum pravum, *ad sermones scilicet improbos et noxios non deflectet.*

Eusebio nimirum τὸ ῥῆμα est *res* sive *factum*, Nilo contra *verbum* sive *sermo*. Cæterum Eusebio favet Symmachus, qui reddidit οὐ πειρασθήσεται πράγματος πονηροῦ, nec opponitur interpres Latinus, qui transtulit : *Non experietur quidquam mali.* Nilus habere pro se videtur τοὺς Ο'. Verum illud ῥῆμα, ut Hebraicum item דבר tam *verbum* quam *rem* sive *factum* aut *negotium* significat.

Digitized by Google

τοῦ σοφοῦ δεδήλωκεν ὀνομασίας, ὡς ἡ δοθεῖσα παρά τινος ἐντολὴ καιρὸν ἴδιον ἕξει τῆς κρίσεως, ἐν ᾧ λήψεται τὰς ἐξετάσεις καὶ τὰς ἐρεύνας τῆς κατὰ τὴν ἐντολὴν δηλονότι φυλακῆς ἢ παραβάσεως. Ὅτι παντὶ πράγματι πληρουμένῳ δι' ἐντολῆς ἐξ ἀνάγκης ἀκολουθεῖ καιρὸς ἐξετάσεως καὶ κρίσεως πρὸς ἀντάληψιν ἀποδοχῆς ἢ καταδίκης.

Παρεγγυᾶται τοίνυν τὰς δεδομένας ἐντολὰς, ὅθεν ἂν εὑρεθῶσι διδόμεναι, φυλάττειν ἐξ ἅπαντος, διὰ τὸ μένειν τὴν ζωὴν τοῦ λαβόντος τὴν ἐντολὴν, ἀπείραστον καὶ πάσης λώβης καὶ τιμωρίας ἀμέτοχον. Ὁ γὰρ ἐντελλόμενός τισι μείζων εὕρηται πάντως καὶ κρείττων τῶν δεδεγμένων καὶ λαβόντων αὐτὴν, εἰ καὶ τῶν ἐντελλομένων πολὺ πρὸς ἀλλήλους εὕρηται τὸ διάφορον· καὶ πάντως εἰσπραχθήσονται δίκας εὐκαίρως ὑπὸ τῶν δεδωκότων τὰς ἐντολὰς οἱ λαβόντες. Καὶ διὰ τοῦτο σπουδάζειν χρὴ καὶ τῶν δεδωκότων ἀρχόντων καὶ βασιλέων καὶ γονέων καὶ διδασκάλων τὰ θεσπίσματα φυλάττειν ἐξ ἅπαντος, καὶ πολλῷ δὲ μᾶλλον τοῦ ποιητοῦ καὶ Θεοῦ καὶ δεσπότου τῶν ὅλων· ἵνα καὶ τὴν εὐμάρειαν τοῦ βίου σφίσιν αὐτοῖς οἱ φυλάσσοντες πρυτανεύσωσι, καὶ τεύξονται δὲ καὶ τῶν ἐπουρανίων καὶ θεοπρεπῶν ἀντιδόσεων. Ἐντολὴν δέ φησιν ὁ λόγος τὴν ἔχουσαν τὸ φῶς τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης, οὐχὶ τὴν ἐπὶ τοῖς χειρίστοις ὑπό τινων φαύλων καὶ μοχθηρῶν γινομένην. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

tione significavit : Sciant, inquam, de mandato, quod quis ab aliquo acceperit, judicium idoneo tempore futurum, in quo inquiretur atque investigabitur, quatenus mandatum custoditum violatumve fuerit. Quippe rem quamlibet ex præcepto perfectam necessario tempus consequitur quæstionis et judicii, ut præmium feratur aut pœna.

Hortatur igitur, ut accepta mandata, undecunque data sint, omnino servemus, quo vita ejus, qui mandatum acceperit, intacta maneat, et dedecoris atque pœnæ immunis sit. Nam qui aliis mandatum dat, major plane atque præstantior iis est, qui datum acceperunt : esto, inter eos quoque, qui præcipiunt, discriminis non parum inveniatur : itaque qui mandata accepere iis, qui dederunt, opportuno tempore omnino pœnas dabunt, propter-ea curæ esse debet, ut quæ a magistratibus aut regibus aut parentibus aut magistris præscripta fuerint, ad amussim servemus; multo vero magis quæ ab auctore et Deo Dominoque universi : ut iis custoditis, vitæ facilitatem nobis comparemus, et cœlestia simul ac divina præmia assequamur. Est autem hic sermo de mandato lucem habente veritatis atque justitiæ, non de eo, quod pessimarum rerum causa a malis quibusdam et improbis profectum sit. Ait deinde Ecclesiastes :

§ X.

Ὅτι γνῶσις τοῦ ἀνθρώπου πολλὴ ἐπ' αὐτόν· ὅτι οὐκ ἔστι γινώσκων τί τὸ ἐσόμενον, ὅτι καθὼς ἔσται, τίς ἀναγγελεῖ αὐτῷ;

Τὰς προφασιστικὰς αἰτίας ἀναιρεῖ τῶν λαμβανόντων τὰς ἐντολὰς, παρ' ὧν ἂν καὶ λάβωσι, καὶ μηδαμῶς τηρούντων καὶ φυλαττόντων· καὶ τῷ καιρῷ τῆς κρίσεως καὶ τῆς ἐξετάσεως τὴν ἀνάλογον κατάκρισιν δεδεγμένων, τῆς ἀθετήσεως καὶ παραβάσεως ἄγνοιαν, ἢ τῆς ἑαυτῶν διανοίας ἀφέλειαν, ἢ ἄλλο τι τῶν παραπλησίων εἰωθότων λέγειν, τῶν τὰς ἀπολογίας ἐν τῷ κατακρίνεσθαι ποιουμένων. Μὴ γὰρ προφασίσῃ, φησὶν, ἄγνοιαν ἐν τῷ μὴ φυλάξαι τὴν ἐντολὴν, ἣν παρὰ τοῦ μείζονος καὶ κρείττονος εἴληφας· εὑρεθήσῃ γὰρ τῆς ἀληθείας καταψευδόμενος. Δι' ἣν αἰτίαν; « Ὅτι γνῶσις τοῦ ἀνθρώπου πολλὴ ἐπ' αὐτὸν, » τουτέστι εἰς τὰ συμφέροντα καὶ λυσιτελῆ τῆς ἰδίας ζωῆς. Καὶ μάτην ἐρεῖ τις· Οὐκ ἤδειν, ὡς κατακριθήσομαι μὴ φυλάξας τὴν ἐντολήν. Ἐξελέγχεται γὰρ γινώσκων, ὡς πᾶς ἄνθρωπος τὴν δεδομένην αὐτῷ μὴ φυλάξας ἐντολὴν, ἀναλόγως τῇ ταύτης παραβάσει τὴν δίκην ἕξει καὶ τὴν κατάκοισιν.

VERS. 6. *Quia scientia hominis multa super eum, quia non est, qui cognoscat, quid futurum sit : quippe sicut erit, quis annuntiabit ei* (9) ?

Prætextus et excusationes evertit eorum, qui accepta mandata, quicunque ea dederint, minime servant aut custodiunt; cumque judicii et inquisitionis tempus advenerit, quo merita pœna affecti sint, neglecti violatique officii ignorantiam aut mentis suæ simplicitatem vel **205** aliud quid hujusmodi proferre solent, quo se, dum condemnantur, aliqua ratione defendant. Ne enim, inquit, ignorantiam prætexas ad patrocinium non custoditi mandati, quod a majore et præstantiore accepisti : veritatem enim minime a te stare, constabit. Quam ob causam? « Quia scientia hominis multa super eum, » id est, ad ea cognoscenda quæ vitæ suæ prosint atque conducant. Ac frustra quis dicat : Nesciebam me condemnatum iri, nisi mandatum servassem. Illud enim ipse nosse convincitur, homini cuique, qui datum sibi mandatum non custodierit, judicium et condemnationem paratam esse, quæ delicto respondeat (10).

(9) Olymp.... Ὅτι οὐκ ἔστι γινώσκων ἐσόμενον.

(10) Diversam plane sententiam exhibet Symmachus, qui locum hunc sic transtulit : Ἡ γὰρ κάκωσις τοῦ ἀνθρώπου πολλὴ κατ' αὐτοῦ· id est, *Vexatio enim hominis multa est contra ipsum;* et hanc amplexus item est Latinus interpres, qui habet : *Et multa hominis afflictio,* quanquam Theodotioni ea placuit interpretatio, quam apud LXX viros legimus; reddidit enim, Ὅτι γνῶσις τοῦ ἀνθρώπου ἐστὶ πολλὴ ἐπ αὐτόν. Horum autem discordiam, quia vocalia puncta nondum apud Hebræos recepta erant, una omnino intulit littera : Symmachus enim legit רָעָת, quod est *afflictio* sive *Rahat,* cum LXX interpretes legissent דַּעַת, quod est *cognitio* sive *Dehat,* rati scilicet esse Daleth, quod Symmacho Resch visum est; quippe utriusque litteræ una prope forma est, eaque, ut lectorem fallere sæpe possit.

Digitized by Google

Super ipsum igitur hominem, sive circa vitæ suæ rationes, multa homini scientia est : eum enim utilium latet nihil. Atque eniti quisque debet, ne quid eorum, quæ sibi præscripta atque indicta fuerint, per segnitiem aut contemptum aut animi remissionem prætergrediatur ac negligat : etsi enim ignorat, quanta damnationis suæ pœna futura sit, ac num gravis et vehemens, an levis ac mitis; illud certe novit ac bene firmeque cognitum habet, qui mandatum custodierit, ab eo, qui dedit, dignum judicatum iri, ut mercedem et præmia ferat : qui vero non custodierit, e contrario dignum, ut judicium et condemnationem et pœnam pro meritis subeat.

Quod autem ait : « Quippe sicut erit, quis annuntiabit ei? » ignorantiam similiter designat vindictæ atque judicii. Neque enim quisquam hominum modum novit iræ regis aut parentum aut magistrorum, multoque minus judiciorum consiliorumque Dei, cujus justitiam assequi nemo potest. Nam homines quidem, cum minimum se deliquisse existimarent, persæpe a judicibus plurimum peccasse convicti sunt : multo magis ab eo, qui et corda scrutatur, et hominum cogitationes novit, **206** de quo et Joannes theologus quodam in loco ait [71] : « Quoniam major est Deus corde nostro. »

Tu igitur, o mortalis, mandatum, quodcunque tibi Dominator rerum omnium Deus dederit, aut alius quisquam eorum, qui quomodocunque supereminent ac majores sunt, capessere totis viribus gestias, operamque des, ut custodias ac serves; nec ad excusationes et prætextus confugere cogites, ob eamque rem ad illud prætereundum pertraharis; sed custodiendo servandoque præmium et laudem tibi obventura certo speres. Idcirco utique adjecit protinus :

Vers. 8, 9. *Non est homo potestatem habens in spiritum, ut prohibeat spiritum. Et non est potestas in die mortis, et non est emissio in die belli : et non salvabit impietas eum qui est ab ea. Et omne hoc vidi, et dedi cor meum in omne opus, quod factum est sub sole, quæ pro potestate fecit homo in hominem, ut affligeret eum* (11).

Diligentiorem atque accuratiorem quemque ex auditoribus reddit sapiens Ecclesiastes in vita sua ad mandata bona quæ acceperit, semper ordinanda, et in moribus secundum potiorum institutiones conformandis, ratione habita eorum, quæ sæpe contingunt, nec ante apparent aut prospiciuntur : adventantis nempe diei illius supremi, quo homo ex humanæ conditionis periculis ac sede luctus, sive ex hac vita ad futuram, quam sperat, transfertur. Neque enim in spiritus humani, sive pro-

[71] Epist. 1, cap. 3, n. 20.

(11) Olympiodor. καὶ οὐκ ἔστιν ἐξουσιάζων ἐν ἡμέρᾳ.

Ἐπ' αὐτὸν οὖν τὸν ἄνθρωπον, ἤγουν εἰς τὰ τῆς ἰδίας διεξαγωγῆς καὶ ζωῆς, ἔστιν ἡ γνῶσις αὐτῷ πολλή· λανθάνει γὰρ αὐτὸν τῶν συμφερόντων οὐδέν. Καὶ δεῖ κατασφαλίζεσθαι μηδαμῶς παρεξελθεῖν καὶ παρεκκλίνειν τῶν ἐντεταλμένων αὐτῷ καὶ θεσπισθέντων ἐξ ἀπροσεξίας καὶ καταφρονήσεως καὶ γνωμικῆς ῥᾳθυμίας· ὅτι κἂν οὐκ ἔστι γινώσκων, ὁπηλίκον ἔσται τὸ δοθησόμενον αὐτῷ κρῖμα τῆς καταδίκης, εἴτε χαλεπὸν καὶ σφοδρὸν, εἴτε ῥᾴδιον καὶ κοῦφον· πλὴν ἀλλὰ γὰρ οἶδεν ἀσφαλῶς καὶ βεβαίως, ὡς ὁ φυλάττων ἐντολὴν, ἀποδοχῆς ἄξιος κρίνεται καὶ γερῶν παρὰ τοῦ δεδωκότος· ὁ δὲ μὴ φυλάττων, ἐμπαλιν μέμψεως καὶ τῆς ἀναλόγου καταδίκης καὶ κατακρίσεως.

Ὃ δέ φησιν· « Ὅτι καθὼς ἔσται, τίς ἀναγγελεῖ αὐτῷ; » ὡσαύτως τὴν ἄγνοιαν σημαίνει τῆς καταληψομένης αὐτὸν δίκης καὶ κρίσεως. Οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων οὔτε μέτρον βασιλέως ὀργῆς, ἢ γονέων, ἢ διδασκάλων, ἢ πολλῷ μᾶλλον τῶν ἀνεφίκτων τοῦ Θεοῦ δικαστικῶν κριμάτων καὶ βουλευμάτων. Ἐλαχίστην γὰρ οἱ ἄνθρωποι πολλάκις οἰόμενοι τὴν ἰδίαν κηημμέλειαν, μεγίστην ἐξηλέγχθησαν ἔχειν ὑπὸ τῶν δικαζόντων· πολλῷ μᾶλλον ἐπὶ τοῦ καὶ τὰς καρδίας ἐρευνῶντος, καὶ τὰ ἐνθυμήματα τῶν ἀνθρώπων γινώσκοντος, περὶ οὗ φησί που καὶ Ἰωάννης ὁ θεολόγος· « Ὅτι ὁ Θεὸς μείζων τῆς καρδίας ἡμῶν. »

Σὺ τοίνυν, ἄνθρωπε, πᾶσάν σοι δοθεῖσαν ἐντολὴν παρὰ τοῦ Δεσπότου καὶ Θεοῦ τῶν ἁπάντων, ἢ παρ' ἄλλου τινὸς τῶν ὀπωσοῦν ὑπερεχόντων καὶ μειζόνων, παραλαμβάνειν παντὶ σθένει προθυμήθητι, καὶ σπούδασον φυλάττειν καὶ συντηρεῖν· μηδαμῶς εἰς ἀπολογίας προφασιστικὰς διενθυμούμενος προελθεῖν, καὶ διὰ τοῦτο πρὸς τὴν παράβασιν καθελκόμενος· ἀλλ' ἐν τῇ φυλακῇ καὶ συντηρήσει τὴν ἀποδοχὴν καὶ τὸν ἔπαινον ὁμολογουμένως ἐλπίζων. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγε·

§ XI.

Οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν τῷ πνεύματι τοῦ κωλῦσαι σὺν τὸ πνεῦμα. Καὶ οὐκ ἔστιν ἐξουσία ἐν ἡμέρᾳ θανάτου, καὶ οὐκ ἔστιν ἀποστολὴ ἐν ἡμέρᾳ πολέμου· καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ' αὐτῆς. Καὶ σύμπαν τοῦτο εἶδον, καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος ἐν ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν.

Προσεκτικώτερον καὶ νηφαλιώτερον ἕκαστον τῶν πεπυσμένων καθίστησιν ὁ σοφὸς Ἐκκλησιαστὴς πρὸς τὸ πάντοτε ταῖς δεδομέναις ἀγαθαῖς ἐντολαῖς τὸν ἴδιον στοιχειοῦν βίον, καὶ ταῖς τῶν κρειττόνων εἰσηγήσεσι ῥυθμίζειν τὴν ἰδίαν ζωὴν, διὰ τὸ ἀσυμφανὲς καὶ ἀπρόοπτον τῶν συμβαινόντων πολλάκις· καὶ μέντοι καὶ τὴν ἄφιξιν τῆς ἡμέρας τοῦ θανάτου τοῦ μεθιστῶντος τὸν ἄνθρωπον ἀπὸ τοῦ βιωτικοῦ πειρατηρίου καὶ τοῦ τόπου τοῦ κλαυθμῶνος, δηλονότι τῆς παρούσης ζωῆς, εἰς τὴν ἐλπιζομένην καὶ μέλλουσαν·

Digitized by Google

οὐδὲ γὰρ ἐν τῇ ἐξουσίᾳ τοῦ ἀνθρωπίνου πνεύματος, ἤτοι τῆς ἰδίας προαιρέσεως (ταύτην γὰρ διὰ τῆς ὀνομασίας *τοῦ πνεύματος* ἐδήλωσε νῦν), ὑπάρχει τὸ κωλῦσαι διαστῆναι τὴν ψυχὴν ἐκ τοῦ σώματος, καὶ τὴν ἡμέραν τοῦ θανάτου παραγινομένην ἀμεῖψαι καὶ παρελθεῖν. Ἀλλ' ἐν τῇ ἐξουσίᾳ τοῦ καὶ συνδήσαντος ἀλλήλοις ἑκάτερον καὶ θεμένου λύσεως ὅρον, καθ' ὃν αὐτὸς καιρὸν ἠβουλήθη καὶ κέκρικε καὶ προώρισε.

A priæ voluntatis, (nam id hoc loco *spiritus* nomine designat) potestate est prohibere, ne anima a corpore separetur, et diem mortis appropinquantem permutare atque prætergredi : sed id arbitrio ejus vertitur, qui et utrumque colligavit invicem. Et dissolutionis terminum statuit, quo ipse tempore voluit et decrevit et præfinivit.

Πάσῃ τοίνυν σπουδῇ φυλάττειν τὰς θείας χρεὼν ἐντολὰς, καὶ τὰς ὑποθήκας καὶ διδασκαλίας τῶν ὁπωσοῦν παραληφθέντων ἡμῶν εἰσηγητῶν καὶ σοφῶν παιδευτῶν, ἵνα προετοιμασθέντες καὶ προκαταρτισθέντες ταῖς τῶν ἀρετῶν τελειότησι, φήσωμεν μετὰ τοῦ προφήτου Δαβὶδ καὶ ἡμεῖς· « Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην· » καὶ μηδαμῶς θορυβηθῶμεν καὶ B ταραχθῶμεν, ἡνίκα τὸ πνεῦμα ἡμῶν, ἤγουν ἡ ψυχὴ, διίστασθαι μέλλει τοῦ σώματος· τηνικαῦτα γὰρ οὐκ ἔστιν ὄνησις τῷ ἀνθρώπῳ μετὰ τὴν ἄνωθεν δοθεῖσαν ἀπόφασιν παρὰ τῆς θείας βουλῆς, κἂν μυρία προσκλαίωμεν. Καθὼς γὰρ οὐκ ἔστιν ἐν ἡμέρᾳ πολεμικῆς παρατάξεως ἐνεργεῖν τι δυναμένη πρὸς διαλλαγὴν καὶ διάθεσιν εἰρηνικὴν, ἀποστολὴ πρεσβείας προβεβλημένη· πολλῷ γὰρ πρώην δρᾶσαι ταύτην ὤφειλον οἱ τηνικαῦτα δρῶντες· οὕτως ἐφεστηκότος τοῦ θανάτου, καὶ τὴν ψυχὴν ἡμῶν χωρίζοντος ἐκ τοῦ σώματος, οὐδεμία πρόσεστιν ὄνησις τῷ τελευτῶντι, κἂν μυρίας προτείνῃ ἱκετηρίας καὶ δεήσεις πρὸς μέλλησιν καὶ χρονικὴν ὑπέρθεσιν, καὶ πρὸς τὸ παρὸν ἀπολύτρωσιν.

Omni igitur cura custodienda nobis sunt divina mandata, et monita ac præcepta rectorum, quoscunque delegerimus, ac **207** sapientium moderatorum, ut præparati et summis instructi virtutibus, cum propheta Davide nos etiam dicamus : « Paratus sum, et non sum turbatus[72]; » neque percellamur ac perturbemur, cum spiritus noster sive anima profectionem a corpore parabit. Tum enim, post prænuntiatam diviui consilii sententiam, nihil jam homini prodesse potest, vel si in lacrymas effundamur. Quemadmodum enim quo die acies ad pugnandum instructæ sunt, nihil ad conciliandam constituendamque pacem valere oblata legatio potest : quippe multo prius eam mittere debebant, qui tunc mittunt; sic imminente jam morte et animam nostram a corpore separante, nihil morienti prosit, vel si preces et obsecrationes adhibeat innumerabiles, ad cunctationem et inducias impetrandas, atque ad illud redimendum, quod jam ingruit.

Τοῦτο μὲν οὖν τὸ τῆς ὡρισμένης ἡμέρας ἐπὶ τῇ διαστάσει τῆς ψυχῆς ἐκ τοῦ σώματος ἀπαραίτητον, κοινόν ἐστι καὶ πᾶσιν ἀνθρώποις. Πλὴν ἀλλὰ γὰρ οἱ ζήσαντες εὐσεβῶς καὶ δικαίως ἐν τῷ παρόντι βίῳ, πρὸς τὴν τῶν μελλόντων ἀγαθῶν ἀντάμειψιν διὰ τῆς ἀγαθῆς καὶ θείας ἐλπίδος χειραγωγούμενοι, σωτηρίαν εὑρήσουσι τὴν αἰώνιον. Ὁ μέντοι πονηρῶς καὶ δυσσεβῶς καὶ φαύλως πολιτευσάμενος ἐν τῇ παρούσῃ ζωῇ, καὶ ταύτην καταλιπὼν, πρὸς ἀνυπολήστους καὶ διαιωνιζούσας παραπεμφθήσεται τιμωρίας, πρὸς μηδεμίαν ἐλπίδα σωτηρίας χειραγωγούμενος. Τοῦτο γὰρ ἐσήμανεν εἰπών· « Καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ' αὐτῆς, » ἤτοι τὸν ἐραστὴν αὐτῆς καὶ τρόφιμον καὶ συνίστορα· μᾶλλον μὲν οὖν εἰς ἔλεγχον αὐτοῦ γενήσεται καὶ κατηγορίαν ἐνδικωτάτην.

C

Inexorabile igitur id est, et commune omnibus hominibus, ut animæ a corpore discessio definito die fiat. Verumenimvero qui pie ac juste in hac vita versati sint, ad futurorum bonorum præmia bonæ divinæque spei ope deducti, salutem invenient sempiternam. At qui malam et impiam perversamque duxerit vitam, ita hanc deseret, ut ad intolerabiles æternosque cruciatus transmittatur, nec spem ullam salutis, cui fidat, sociam inveniat. Hoc enim significavit, cum dixit : « Et non salvabit impietas eum, qui ab ea, » id est, amatorem ejus et alumnum et asseclam : quæ potius reprehensioni ejus justissimæque condemnationi pondus est additura (12)

Ταῦτ' οὖν ἐν τῇ κατὰ νῦν θεωρίᾳ σύμπαντα προϊδὼν ὁ σοφὸς Ἐκκλησιαστὴς ἐπήγαγε· « Καὶ σύμπαν τοῦτο εἶδον, καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον· » οὐχὶ τῶν ὑπὸ Θεοῦ, τῆς ποιητικῆς δηλονότι τῶν ἁπάντων αἰτίας πεποιημένων, ἀλλ' ὑπὸ τῶν φαύλων καὶ μισοκάλων ἀνθρώπων, τῶν ἀδικίας καὶ πλεονεξίας καὶ

D

Porro hæc omnia sapiens Ecclesiastes tanquam præsentia jamdiu contemplatus, adjecit : « Et omne hoc vidi, et dedi cor meum in omne opus, quod factum est sub sole; » minime quidem eorum, quæ a Deo, id est, a prima illa universorum effectrice causa facta sunt; sed quæ improbi scelestique **208** homines moliuntur, quibus propositum est quid-

[72] Psal. cxviii, 60.

(12) In Vulgatis habemus : *Neque salvabit impietas impium :* quod plane respondet Hebraicis, quæ vertere sic possis : *Neque liberat improbitas dominos suos.* Itaque Symmachus reddidit ἔχοντα αὐτήν, quod idem est. Nec aliter Olympiodorus, quanquam significantius; sic enim explicat : Καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ' αὐτῆς· ἀντὶ τοῦ, τὸν ὑπὸ τῆς ἀσεβείας τυραννούμενον καὶ κρατούμενον. Id est : *Et non salvabit impietas eum, qui ab ea, nempe illum, qui tyrannidi ejus subjectus est, imperiumque accepit*

Digitized by Google

quid injustitia et avaritia et calumnia afferre possit, nec tamen peccandi unquam et nocendi ulla est satietas. Id enim expressit, cum dixit : « Quæ pro potestate fecit homo in hominem, ut affligeret eum ; » quippe rationalis intelligentisque animæ libertate in re mala abusus, potestatem suam exercet, voluntatis momentum ad peccandum inclinando, id est indulget, ut mentiatur et calumnietur et vexet et ditescat alienis, et proximum multis et variis modis pessime afficiat. Propterea utique adjecit protinus :

A συκοφαντίας πορευομένων εἰς τέλος, καὶ μηδαμῶς κορεννυμένων ἐν ταῖς κακοπραγίαις καὶ πονηροπραξίαις. Τοῦτο γὰρ ἐδήλωσεν εἰπών· « Ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος ἐν ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν. » Τῷ γὰρ αὐτεξουσίῳ τῆς λογικῆς καὶ νοερᾶς ψυχῆς ἐπὶ τοῖς φαύλοις ἀποχρησάμενος, ὁ τὴν ῥοπὴν τῆς προαιρέσεως πρὸς τὸ ἀδικεῖν ἀποκλίνας ἐξουσιάζει, τουτέστι συγκεχώρηται καὶ διαψεύσασθαι καὶ συκοφαντεῖν καὶ διαβάλλειν καὶ πλεονεκτεῖν, καὶ πλαστρόπως καὶ ποικίλως τὸν πλησίον κακοῦν. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγε ·

§ XII.

VERS. 10. *Et tunc vidi impios in sepulcra introductos* (13).

B *Καὶ τότε εἶδον ἀσεβεῖς εἰς τάφους ἀχθέντας.*

Quando scilicet adversus imbecillimos quosque sævire cœperunt, et ad nequitiæ et improbitatis et rapinarum et avaritiæ summum venere : tum, inquit, improviso ac præter spem supergressa mors eos in terram prostravit, sepulcrisque contexit. Id autem ipsum et David propheta clare repræsentat, cum ait : « Defecerunt, perierunt propter iniquitatem suam [73]. » Et rursum : « Vidi impium superexaltatum et elevatum sicut cedros Libani. Et transivi, et ecce non erat, et quæsivi eum, et non est inventus locus ejus [74] ; » mortis nimirum repente ingruentis adventu, in perniciem sempiternam amandati sunt. Iloc enim ostendit iis, quæ proxime subjecit :

Ἡνίκα δηλονότι κατεφρυάξαντο τῶν ἀδυνατωτέρων, καὶ πρὸς τὴν ἀκρότητα τῆς κακίας καὶ τῆς φαυλότητος, καὶ τῶν ἁρπακτικῶν καὶ τῶν πλεονεκτικῶν ἐπιτηδευμάτων ἀφίκοντο, τότε, φησὶν, ἀπροόπτως καὶ παρ' ἐλπίδας ἐπελθὼν ὁ θάνατος, κατέῤῥαξε πρὸς τὴν γῆν, καὶ τοῖς τάφοις ἐκάλυψε. Τὸ αὐτὸ δὲ τοῦτο παρίστησι σαφῶς καὶ Δαβὶδ ὁ προφήτης εἰπών· « Ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν. » Καὶ πάλιν· « Εἶδον τὸν ἀσεβῆ ὑπεραιρόμενον καὶ ὑπερυψούμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ · » ὑπὸ τῆς ἐξάπινα τοίνυν ἐπελθούσης αὐτοῖς τοῦ θανάτου φορᾶς, πρὸς τὴν διαιωνίζουσαν ἀπώλειαν παρεπέμφθησαν. Τοῦτο γὰρ ἐδήλωσε ἀμέσως εἰπών ·

C

§ XIII.

Et de Sancto iverunt, et laudati sunt in civitate, quia sic fecerant. At hoc quoque vanitas (14).

Καὶ ἐκ τοῦ Ἁγίου ἐπορεύθησαν, καὶ ἐπηνέθησαν ἐν τῇ πόλει, ὅτι οὕτως ἐποίησαν. Καί γε τοῦτο ματαιότης.

Impii quidem, inquit, in sepulcrum illati, a Deo sejuncti sunt. Nam id *Sancti* appellatio hoc loco designat, quemadmodum scriptum est : « Auferatur impius, ne videat gloriam Domini [74*]. » At qui cum illis parem operam ad impietatem et scelera contulerunt, eorumque vestigiis **209** in hac vita institere, præconio illos celebrare atque exornare non desinunt ob ea ipsa, quæ improbe atque impie gesserunt. Multos enim tales civitas habet : sæpius quippe inter improbos consensio est, quam inter probos et honestos : ut propterea, qui eadem opinantur ac sentiunt, illis laudem vel mortuis tribuere, mirandum non sit. Ideo sapiens Ecclesiastes ait : « At hoc quoque vanitas, » usitatam iterans formulam ad condemnandas improbandasque fallaces et malas opiniones atque facta. Jamvero ut causam quoque demonstraret, ob quam ad impios vel mortuos commendandos adducti sunt, adjecit protinus :

Οἱ μὲν ἀσεβεῖς, φησὶν, εἰς τάφον ἀχθέντες, ἀφωρίσθησαν ἐκ τοῦ Θεοῦ. Τοῦτο γὰρ τοῦ Ἁγίου τὸ ὄνομα δηλοῖ νῦν, κατὰ τὸ γεγραμμένον· « Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. » Οἱ δὲ τῶν αὐτῶν ἐκείνοις ἀσεβημάτων καὶ κακοπραγημάτων ἐργάται ἐν τῇ ζωῇ ταύτῃ προσαπαμείβοντες, προσεπῄνεσαν αὐτοὺς ἀνευφημοῦντες καὶ γεραίροντες ἐφ' οἷς ἔπραττον φαύλως καὶ δυσσεβῶς. Πολλοὺς γὰρ ἔχουσα τοιούτους ἡ πόλις · ἐπὶ πλεῖον γάρ ἐστιν ἡ τῶν φαύλων ὁμοφροσύνη τῆς τῶν σπουδαίων καὶ φιλοκάλων · ἀκόλουθον ἦν τοὺς ὁμοδόξους καὶ ταυτόφρονας καὶ τεθνηκότας ἀνευφημεῖν. Διὰ τοῦτό φησιν ὁ σοφὸς Ἐκκλησιαστὴς· « Καί γε τοῦτο ματαιότης, » τὸ σύνηθες πρόσρημα τῆς καταγνώσεως, καὶ τῆς ἀπαγορεύσεως τῶν ἐσφαλμένων καὶ πονηρῶν ὑπολήψεων καὶ πράξεων ἐπειπών. Εἶτα δεικνὺς καὶ τὴν αἰτίαν, δι' ἣν προήχθησαν καὶ τοὺς ἀποιχομένους ἀσεβεῖς ἐπαινεῖν, ἀμέσως ἐπήγαγεν·

D

[73] Psal. LXXII, 19. [74] Psal. XXXVI, 35. [74*] Isa. XXVI, 10.

(13) Olymp. εἰς τάφους εἰσαχθέντας.

(14) At LXX referunt ad superiora καὶ ἐκ τοῦ ἁγίου, et addunt καὶ ἐπορεύθησαν καὶ....

Digitized by Google

§ XIV.

Ὅτι οὐκ ἔστι γιγομένη ἀντίῤῥησις ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν, ταχὺ διὰ τοῦτο ἐπληροφορήθη καρδία υἱῶν τοῦ ἀνθρώπου ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονηρὸν, ὅσον ἥμαρτεν ἀπὸ τότε καὶ ἀπὸ μακρότητος αὐτῶν.

Vers. 11. *Quia non est facta contradictio de facientibus malum, cito propterea repletum est cor filiorum hominis in eis, ut faceret malum quantum peccavit ex tunc et ex longitudine eorum* (15).

Φησὶ τοίνυν· Οὐδεὶς ἐστιν ὁ τοὺς ἀσεβεῖς ἐξελέγχων, καὶ τῶν ἀσεβημάτων αὐτοὺς καὶ κακοπραγημάτων ἀναστέλλων, καὶ διδοὺς παῦλαν διὰ τῶν ἀντιῤῥήσεων καὶ συνεχῶν εἰσηγήσεων ταῖς προαιρετικαῖς αὐτῶν ὁρμαῖς, ταῖς πρὸς τὸ ψεῦδος καὶ τὸ φαῦλον καὶ πονηρόν· ἀλλ' ἁδεῶς καὶ μετὰ πάσης εὐχερείας δρῶντες τὰ πονηρὰ, διὰ τὸ μηδαμόθεν ἐμποδίζεσθαι τὸ παράπαν, ἐντεῦθεν καὶ πολλοὺς ἄλλους λαμβάνουσιν ὀπαδοὺς καὶ μιμητὰς καὶ συνεργάτας τῆς ἐκείνων κακίας. Τῷ γὰρ ἀνεξελέκτῳ τῆς ἐκείνων ἀσεβείας καὶ πονηροπραξίας, καὶ τῶν λοιπῶν ἀνθρώπων ὁ ἐσμὸς βεβαίωσιν καὶ πληροφορίαν δεχόμενος, ὡς οὐκ ἄτοπα πράττουσι, καὶ διὰ τοῦτο κατευημεροῦσι τῶν ἄλλων, ζηλοῖ τὸ κακὸν καὶ κατερεθίζεται πρὸς τὴν ἴσην καὶ τὴν αὐτὴν φαυλότητα καὶ πονηρίαν, καὶ διατίθεται κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐκείνοις καὶ πράττει τὸ πονηρόν.

Ait igitur: Nemo est, qui impios reprehendat, atque impietatem eorum et scelera inhibeat: nec qui contradictionibus ac monitis assiduis moram aliquam afferat voluntarie in errorem ruentibus et flagitium et omne nefas, ut intrepide atque omni facilitate facinus quodlibet suspicientes, cum nulla ex parte impedimentum inferatur, jam et alios sibi multos ejusdem sceleris socios et imitatores et administros adjungant. Nam cum illorum impietas improbitasque a reprehensione immunis sit, cæterorum hominum turba animos sumit, sibique persuadet non adeo absurda esse quæ ab illis fiunt, eaque de causa feliciores esse quam alii sint. Itaque nequitiam eorum æmulatur, et ad parem improbitatem et similia scelera contendit, eodem studio atque iisdem in flagitiis occupata (16).

Τοῦτο γὰρ ἐσήμανεν εἰπών· « Διὰ τοῦτο ἐπληροφορήθη καρδία υἱῶν τοῦ ἀνθρώπου ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονηρόν. » Εἶτα δεικνὺς τί ἐστι τὸ πονηρὸν, ἀναμέσως ἐπήγαγεν· « Ὅσον ἥμαρτε τοῦ ποιῆσαι τὸ πονηρὸν ἀπὸ τότε καὶ ἀπὸ μακρότητος αὐτῶν. » Ἡ γὰρ « ἁμαρτία » περιεκτικόν ἐστι καὶ καθολικὸν ὄνομα προδήλως καὶ γενικὸν, καὶ κἂν κακοδόξους εἴπῃ τις ἀνθρώπους ὑπάρχειν, κἂν ἁρ-

210 Id enim significavit, cum dixit « Propterea repletum est cor filiorum hominis in eis, ut faceret malum. » Deinde ostendens, quid sit malum, addidit protinus « Quantum peccavit ex tunc et ex longitudine eorum, ut faceret malum. (17). » Nam *peccatum* appellatio est sine dubio multa complectens et universalis generalisque ac si quis homines esse dixerit perversa sentientes, aut rapaces,

(15) At LXX habent.... Τοῦ ποιῆσαι τὸ πονηρόν. Ὃς ἥμαρτεν ἐποίησε τὸ πονηρὸν ἀπὸ..... Olympiodorus vero legit, ἀπὸ τότε, καὶ ἀπὸ νεότητος αὐτοῦ.

(16) Parum his congruere videntur, quæ in Vulgatis legimus; sunt enim hujusmodi: *Etenim quia non profertur cito contra malos sententia, absque timore ullo filii hominum perpetrant mala.* Quibus propiora scripsit Symmachus: Διὰ γὰρ τὸ μὴ γίνεσθαι τὴν ἀπόφασιν· nam ἀπόφασις sæpe est sententia judicis; sic enim Hesychius explicat, Ἀπόφασις· κρίσις, ψῆφος, δίκη. Cæterum decretorium item verbum habendum est ἀντίῤῥησις, quod hic LXX interpretes prætulerunt. Quanquam enim, si usum species: ἀντίῤῥησις idem fere sonat, ac *refutatio accusationis;* ab origine tamen *interdictum* quoque significat, quippe ex eodem fonte etiam ῥητρα *lex* est sive *edictum* (V. Mazoch. *Tab. Heracl.* p. 255); et ῥήτωρ, ut apud Suidam invenies, ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτής· tum ῥητὸν Hesychio auctore τὸ τεταγμένον, et ῥήσεις νόμοι, δόγματα, ψηφίσματα, ut idem tradit, nec alio sensu eam vocem LXX interpretes usurpare potuerunt, cum reddere Græce debuerint, quod Hebræis est פִּתְגָם sive *sententia* aut *decretum.*

At vero Noster, quanquam de judicio aut interdicto nominatim non meminit, ipsorum tamen verborum sententiam satis retinet, cum hoc significari doceat, propterea hominum peccata crescere, quod omnes sileant, atque adeo magistratus etiam et judices, qui potissimum de improborum emendatione laborare debent. Grotius tamen hæc ita accipiebat, velut si Ecclesiastes ex diuturna impunitate, quam Deus interdum facinorosis hominibus concedit, fieri doleret, ut malorum numerus augeretur: quæ Latinæ interpretationis perpulchra mihi explicatio esse videtur.

Quod verba τῶν Ο' sic verterim: « Quia non est facta contradictio, » ne mirere; satis causæ fuit: nempe apud Latinos etiam *contradicere* vetandi verbum aliquando est, ut cum de Augusto scripsit Suetonius (in Aug. c. 56): *Contradixit edicto,* et cum Livius ad postulata Samnitium de senatus sententia responsum ait (lib. VIII, c. 2): *Nec contradici, quin.... amicitia de integro reconcilietur.*

(17) Hieronymus hæc a prioribus dividit, et cum sequentibus conjungit hoc modo: « Quia peccator facit malum centies, et elongat ei; ex hoc cognosco ego, quod erit bonum timentibus Deum, qui timebunt a facie ejus. » Tum sic explicat: « Ex eo, quod peccanti plurimum, hoc quippe significat *centies,* dat Deus locum pœnitentiæ, et non eum statim punit in scelere, sed exspectat, ut convertatur ab iniquitate sua: ego intelligo, quam benignus et misericors super eos futurus sit Deus, qui hbent tiamorem ejus, et ad verbum illius contremiscunt. » Mirum autem, quod in Hebræo est מֵאַת sive *centies,* id a Septuaginta redditum ἀπὸ τότε, a Symmacho contra et Aquila et Theodotione ἀπέθανεν, quanquam Hieronymus utramque interpretationem explicari sic posse censet, ut hujus quidem sit sensus « Qui peccavit et fecit malum, » mortuus est; « in eo enim quod peccavit, statim mortuus est; » illius vero hic alter, « juxta quosdam, » ut ipse ait, non ex ipsius sententia, id est « Peccator non tunc primum peccat, quando videtur facere peccatum, sed jam ante peccavit. »

Digitized by Google

aut avaros, aut delatores malignos atque calumniatores, aut scortatores et impudicos, hi omnes peccati nomine tanquam generis appellatione comprehenduntur. At ut ostenderet diversum esse utrorumque exitum, alium nempe eorum, qui pietatem amant, et rectam doctrinam retinent, ac in recte factis sinceram prudentemque operam ponunt; alium vero eorum, qui contraria his et præoptant et faciunt ideo addidit protinus·

A παγας καὶ πλεονέκτας, κἂν πονηροὺς συκοφάντας καὶ διαβόλους, κἂν πόρνους καὶ βεβήλους, ὑπὸ τὴν ἁμαρτίαν πάντες ὡς ὑπὸ γένος ἴδιον εὑρίσκονται τελοῦντες· ἀλλὰ δεικνὺς τὸ διάφορον τέλος τῶν ἑκατέρων, δηλονότι τῶν τῆς εὐσεβείας ἐραστῶν, καὶ συνιστόρων τῶν ὀρθοδόξων δογμάτων, καὶ τῶν σπουδαίων πράξεων ἀκαπηλεύτων καὶ συνετῶν ἐργατῶν, καὶ μέντοι τῶν τἀναντία τούτοις προαιρουμένων καὶ δρώντων, ἀμέσως ἐπήγαγεν·

§ XV.

211 Vers. 12, 13. *Quare et cognosco ego, quia erit bonum timentibus Deum, ut timeant a facie ejus; et bonum non erit impio, et non prolongabit dies in umbra, qui non est timens a facie Dei* (18).

B *Ὅτι καὶ γε γινώσκω ἐγὼ, ὅτι ἔσται ἀγαθὸν τοῖς φοβουμένοις τὸν Θεὸν, ὅπως φοβῶνται ἀπὸ προσώπου αὐτοῦ· καὶ ἀγαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ, καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ, ὃς οὐκ ἔστι φοβούμενος ἀπὸ προσώπου τοῦ Θεοῦ.*

Tanquam si diceret, exploratum equidem habeo, et verissimum esse scio, qui Dei timorem in oculis ferant, eumque illis verbis alloquantur: « Confige timore tuo carnes meas (19) » ne unquam a virtutis excidam dignitate; quippe orthodoxam fidem puriter servant, nec minus ad justitiæ rationes vitam suam regunt, præclara his præmia justissimo Dei judicio datum iri, id est gloriam ipsam et beatitatem angelorum cœlestium ac spiritalium ordinum atque cohortium divini Solis splendorem perpetuo contemplantium, et ineffabile inde gaudium divinamque jucunditatem haurientium: at vero impios et flagitiosos ac divinorum mandatorum contemptores nihil omnino de illo præmiorum ge- C nere delibaturos, animæque facienti malum paratas esse ærumnas et angustias et iram et indignationem [18].

Μονονουχὶ γάρ φησι· Πεπληροφόρημαι ἐγὼ, καὶ πᾶσαν ἀληθεστάτην ἔχω βεβαίωσιν, ὡς τοῖς μὲν ἔχουσι τὸν φόβον τοῦ Θεοῦ πρὸ τῶν ὀφθαλμῶν, καὶ λέγουσι πρὸς αὐτὸν, « Καθήλωσον ἀπὸ τοῦ φόβου σου τὰς σάρκας μου » πρὸς τὸ μηδαμῶς παρακινεῖσθαι τῆς πρεπούσης καὶ κατ' ἀρετὴν καταστάσεως, καὶ κατορθοῦσι καὶ τὴν ὀρθόδοξον πίστιν εἰλικρινῶς, καὶ μέντοι καὶ τῆς δικαιοσύνης τὸν λόγον κατὰ τὸν ἴδιον βίον, ἀνταμείψεις ἀγαθαὶ δοθήσονται παρὰ τῆς τοῦ Θεοῦ δικαιοκρισίας· ἤγουν ἡ δόξα καὶ μακαριότης τῶν ὑπερουρανίων ἀγγέλων καὶ νοερῶν διακόσμων καὶ τάξεων, τῶν ταῖς αἴγλαις τοῦ ἡλίου τῆς δόξης καταυγαζομένων ἀεὶ, καὶ τῆς ἐκεῖθεν πλη- C ρουμένων ἀῤῥήτου καὶ θείας ἀγαλλιάσεως καὶ τερπνότητος· τοῖς ἀσεβέσι δὲ καὶ πονηροῖς καὶ καταφρονηταῖς τῶν θείων δικαιωμάτων, οὐδὲν τοιοῦτον ἀνταμείψεως εἶδος δοθήσεται τὸ παράπαν· ἀλλὰ θλῖψις καὶ στενοχωρία καὶ θυμὸς καὶ ὀργὴ ἐπὶ πᾶσαν ψυχὴν τὴν κατεργαζομένην τὸ πονηρόν.

Id autem et David propheta confirmat, ubi ait: Semel locutus est Deus, duo hæc audivi, quia potestas est Dei, et tui, Domine, misericordia: quia tu reddes unicuique juxta opera sua [76]. » Id vero magis etiam exhibetur in salutis nostræ Evangelio, ubi dicitur: « Et resurgent qui bona egerunt in resurrectionem vitæ; qui vero mala fecerunt, in resurrectionem judicii (20). » Ac multo prius Daniel propheta in eamdem plane sententiam locutus est. « Et multi de his, qui dormiunt in terræ pul- D vere, resurgent, alii in vitam æternam, alii in pœnam perpetuam (21). »

Τοῦτο δὲ παρεμπεδοῖ καὶ Δαβὶδ ὁ προφήτης εἰπὼν, « Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ, Κύριε, τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Παρίστησι δὲ τοῦτο πολλῷ μᾶλλον καὶ τὸ τῆς σωτηρίας ἡμῶν Εὐαγγέλιον φάσκον· « Καὶ ἀναστήσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. » Καὶ πολλῷ δὲ πρώην κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως Δανιὴλ ὁ προφήτης φησὶν, « Καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἀναστήσονται, οὗτοι μὲν εἰς ζωὴν αἰώνιον, οὗτοι δὲ εἰς κόλασιν ἀτελεύτητον. »

Quod autem additur « Et non prolongabit dies in umbra, qui non est timens a facie Dei, » justam iram in hac quoque vita præproperam manifesto significavit. **212** Umbram enim præsentem cujusque hominis vitam dixit, quod velocissime prætergrediatur, et umbræ instar dispereat, simul atque

Ὁ δέ φησιν· « Καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ, ὃς οὐκ ἔστι φοβούμενος ἀπὸ προσώπου τοῦ Θεοῦ, » σύντομον καὶ δίκαιον ὀργὴν κἂν τῇ παρούσῃ ζωῇ δηλοῖ προφανῶς. Σκιὰν γὰρ τὸν παρόντα βίον ἑκάστου ἀνθρώπου ὠνόμασεν, ὡς παρερχόμενον ὠκυτάτως, καὶ δίκην σκιᾶς πεοιιστάμενον εἰς ἀνυπαρ-

[18] Rom. II, 9. [76] Psal. LXI, 12, 13.

(18) Olymp. non habet ἡμέρας.
(19) Psal. CXVIII, 120. At LXX (Psal. CXIX, 120) habent, ἐκ τοῦ φόβου....
(20) Joan. V, 29. Sed in Vulg. exempl. leges: Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες.....
(21) Dan. XII, 2. Sed ipsa Danielis verba apud LXX hæc sunt: Καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον.

Digitized by Google

ξίαν, ὅσον ἦκεν εἰς τὴν πρόχειρον θέαν καὶ φαινόμενον. Εἰ γὰρ καὶ μὴ πάντας τοὺς ἀσεβεῖς ὠκυμόρους ἴσμεν καὶ καρπαλίμως δεχομένους τὴν ἀπὸ τῆς παρούσης ζωῆς ἔκπτωσιν καὶ περιτροπήν· ἀλλ' οὐκ ἐκ τῶν διαγνωσθέντων ἡμῖν τοιούτων ἐφ' ἑκάστῃ γενεᾷ δηλονότι καὶ γενεᾷ, τῷ Ἐκκλησιαστῇ παρείληπται τὸ εἰρημένον καὶ νῦν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής

A ostenderit sese, et in conspectum hominum venerit. Nam etsi non omnes impios brevis ævi fuisse scimus, et ex hac vita medio in cursu correptos celerius migrasse; non ideo, si ratio habeatur eorum quæ singulis ætatibus contigisse accepimus, quod hic dictum est, temere ab Ecclesiaste prolatum videri debet (22). Ait deinde Ecclesiastes :

§ XVI.

Ἔστι ματαιότης, ἡ πεποίηται ἐπὶ τῆς γῆς, ὅτι εἰσὶ δίκαιοι, ὅτι φθάνει πρὸς αὐτοὺς, ὡς ποίημα τῶν ἀσεβῶν· καὶ εἰσὶν ἀσεβεῖς, ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν δικαίων. Καὶ εἶπα· Καὶ γε τοῦτο ματαιότης.

Vers. 14. *Est vanitas, quæ facta est super terram, quia sunt justi, quia venit ad eos, quasi factum impiorum; et sunt impii, quia venit ad eos, quasi factum justorum. Et dixi : Hoc etiam vanitas est* (23).

B

Παράλογος εὕρηται φορὰ καὶ δόξα διεφθαρμένη καὶ πάντη ψευδὴς, ἡ παρὰ τῶν μισοκάλων καὶ κακοδόξων ἀνθρώπων καὶ δυσσεβῶν γινομένη τοῖς εὐσεβέσι καὶ δικαίοις, καὶ τῆς ἀρετῆς ἐρασταῖς, καὶ τὸ ἔμπαλιν τοῖς ἀσεβέσι καὶ πονηροῖς ἡ καὶ τὰς τῶν ἑκατέρων ὑπολήψεις ἀμείβουσα, καὶ μέντοι καὶ τὰς προσηκούσας καὶ καταλλήλους ἀνταμείψεις ἐναλλάττουσα, καὶ τὰς μὲν ὀφειλομένας τοῖς ἀγαθοῖς καὶ δικαίοις ἀπονέμουσα τοῖς ἀσεβέσι καὶ πονηροῖς· καὶ τὸ ἔμπαλιν τὰς ἐπηρτημένας ἐκείνοις ἀντιπαρέχουσα τούτοις, κατ' ἐναντίωσιν τῆς θεοπρεποῦς ἀγαθότητος καὶ δικαιοκρισίας. Ὁ μὲν γὰρ Θεὸς τοῖς ἀγαθοῖς ἀγαθὰς δίδωσιν ἀντιδόσεις, ὡσαύτως γε μὴν καὶ τοῖς πονηροῖς πονηράς· ἅτε δὴ θεοπρεπεῖ τρυτάνῃ ταλαντεύων, καὶ διανέμων ἑκάστῳ τὰ κατ' ἀξίαν. C Τὸ δὲ κριτήριον τῆς ἀνθρωπίνης γνώμης ἔμπαλιν τοῖς ἀγαθοῖς πονηρὰς, τοῖς δὲ πονηροῖς ἀγαθὰς, ἀκείνους μὲν κολάσεσι καθυποβάλλει καὶ τιμωρίαις, ποικίλαις ἐξορίαις παραπέμπουσα, καὶ καθείργουσα χρονίαις εἱρκταῖς· ἐνίοτε δὲ καὶ λιμῷ καὶ μάστιγι καὶ πυρὶ καὶ σιδήρῳ, καὶ βορὰν θηρίοις παραπέμπει καὶ δίδωσιν ἀκρίτως καὶ παραφρόνως· τούτους δὲ καταγεραίρει, καὶ τρυφῶν ἀξιοῖ καὶ δυναστειῶν καὶ δοξῶν.

Absurdam distributionem et corruptum judicium ac plane falsum induxere homines inhonesti, perversique atque impii, tam quoad pios et justos ac virtutis amatores, quam quoad impios e contrario et flagitiosos, quo nempe utrorumque opiniones permutant, et convenientes propriasque remunerationes invertunt, ut quæ bonis ac justis debentur, ea impiis et flagitiosis assignent; et e contrario quæ istis impendent, in eos reflectant, divinæ bonitati et justo judicio plane adversati. Nam Deus quidem bonis bonas dat remunerationes, et eodem utique modo malis malas quippe qui lance æquissima ponderat et distribuit singulis quæ quisque meritus est. At humanæ mentis judicium e contrario bonis malas, et malis bonas illosque pœnis suppliciisque subjicit, et modo varia exsilia tolerare jubet, modo carceribus in diuturnum tempus includit : interdum vero et fame et flagris et igne et ferro excruciat, aut escam destinat traditque belluis, indicta **213** causa et amenti consilio; at hos præmiis afficit, et deliciis, imperiis, gloria dignatur.

Τοῦτο τοίνυν πάσης παραλόγου κρίσεως ἀνάμεστον εὕρηται καὶ τῆς ἐσχάτης παραπληξίας σημαντικὸν, καὶ καταγνώσεως ἄξιον. Διὰ τοῦτό φησι· « Καί γε τοῦτο ματαιότης, » τὸ σύνηθες πρόσρημα τῆς ἐκφαυλίσεως τῶν τοιούτων εἰπών. Διὸ τὴν τοιαύτην κατακερτομήσας καὶ κατακωμῳδήσας ἀκατ- D άλληλον ἀντιστροφὴν καὶ παράλογον, ὡσαύτως ἐπὶ τὴν εὐθῆ δόξαν τῶν ἐν τῷ βίῳ πολιτευομένων πραγμάτων ἐχώρησεν, ὡς τῆς διεστραμμένης γνώμης καὶ πονηροπραξίας ἀμέτοχοι, καὶ κρείττους ἀποφανθέντες, τὰς ἀληθεῖς ὑπολήψεις καὶ τὰς εὐθεῖς δόξας ἐπὶ τοῖς ἀγαθοῖς καὶ θεοσεβέσι καὶ σπουδαίοις ἀνθρώποις, καὶ τὸ ἔμπαλιν τοῖς ἀσεβέσι καὶ πονηροῖς καὶ φαύλοις διαφυλάξαι σπουδάσωμεν· ἵνα πε-

Id porro est, quod perversi judicii plenum videtur, et dementiam indicat summam atque omnium damnatione dignissimam. Idcirco ait : « Hoc etiam vanitas est, » consuetum usurpans dictum, quo talia improbaret. Jamque objurgata reprehensaque perversione ejusmodi absurda atque præpostera, ad rerum itidem, quæ in hac vita geruntur, rectam existimationem devenit, quo male sentiendi praveque agendi licentiam perosi, et potioribus rebus addicti, non minus de bonis et piis honestisque hominibus, quam de impiis et malis improbisque veras sententias et rectas opiniones tueri studeamus : ut quisque nostrum fidenti animo Deum universi cum Davide propheta alloquatur et dicat : « Parti-

(22) Alia est Hieronymi interpretatio : Non enim, *inquit*, hi, qui multo tempore vivunt, prolongant dies suos; sed qui grandes eos faciunt bonorum operum magnitudine : unde et Jacob quasi se peccatorem confitens dicit; *Parvi et mali dies mei* (*Gen.* XLVII 9); Et in Psalmo confitens, *Dies*, inquit, *mei sicut umbra inclinati sunt, et ego sicut fenum arui* (*Psal.* CI, 12); non quod longam vitam quæsierit in præsenti, in quo omne, quod vivimus, breve et umbra est et imago : *In imagine enim perambulat homo* (*Ps.* XXXVIII, 7); sed quod de futuro timeat, ne longitudo vitæ ipsius, ubi vera est vita, brevietur. »

(23) Apud LXX leges... Ὅτι εἰσὶ δίκαιοι, ὅτι φθάνει ἐπ' αὐτοὺς.... Olymp. Ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν ἀδίκων...

Digitized by Google

ceps ego sum omnium timentium te et custodientium mandata tua [77]; » et rursum : « Mihi autem nimis honorificati sunt amici tui, Deus, valde confirmatus est principatus eorum [78] » Atque e contrario : Nonne odientes te, Domine, odio habui et super inimicos tuos tabescebam [79]? » Itaque regni cœlestis hæreditatem adeamus cum ipso Christo Deo nostro, cui gloria et imperium cum omnipotente Patre et sancto bonoque vitæque auctore Spiritu, nunc et semper et in perpetua sæcula sæculorum. Amen.

A παῤῥησιασμένως ἕκαστος ἡμῶν λέγῃ μετὰ τοῦ προφήτου Δαβὶδ πρὸς τὸν τῶν ὅλων Θεόν · « Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. » Καὶ πάλιν · « Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. » Καὶ τὸ ἔμπαλιν · « Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην ; » Καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[77] Psal. cxviii, 63. [78] Psal. cxxxviii, 17. [79] ibid 21.

ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

LIBER OCTAVUS.

214 § I.

Vers. 15-11. *Et laudavi ego lætitiam, quia non est bonum homini sub sole, nisi comedere et bibere et lætari. Et ipsum simul aderit ei in labore ejus per dies vitæ ipsius, quos dedit ei Deus sub sole. In quibus dedi cor meum, ut cognoscerem sapientiam, et viderem distensionem, quæ facta est super terram, quia et in die et in nocte somnum oculis suis non est videns. Et vidi omnia opera Dei, quia non poterit homo invenire opus, quod factum est sub sole. Quæcunque laborabit homo quærere, et non inveniet. Etiam quæcunque dixerit sapiens se nosse, non poterit invenire. Quare omne hoc dedi in corde meo; et cor meum vidit omne hoc : quomodo justi et sapientes et facta eorum coram Deo* (24).

B *Καὶ ἐπῄνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην, ὅτι οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον, εἰ μὴ τὸ φαγεῖν καὶ τὸ πιεῖν, καὶ τὸ εὐφρανθῆναι · καὶ αὐτὸ συμπροσέσται αὐτῷ ἐν μόχθῳ αὐτοῦ ἡμέρας ζωῆς αὐτοῦ, ἃς ἔδωκεν αὐτῷ ὁ Θεὸς ὑπὸ τὸν ἥλιον. Ἐν οἷς ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν, καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν τὸν πεποιημένον ἐπὶ τῆς γῆς, ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ἐν ὀφθαλμοῖς αὐτοῦ οὐκ ἔστι βλέπων. Καὶ εἶδον σύμπαντα τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον · ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι, καὶ οὐχ εὑρήσῃ. Καί γε ὅσα ἂν εἴπῃ σοφὸς τοῦ γνῶναι, οὐ δυνήσεται τοῦ εὑρεῖν · ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδίαν μου, καὶ καρδία μου εἶδε σύμπαν τοῦτο · ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ Θεοῦ.*

Postquam rejecit præposteram et absurdam judicii perversionem de utrisque, tam bonis scilicet ac piis, quam impiis ac malis; atque itidem commutationes traductionesque remunerationum, quas horum ipsorum causa ex convenienti et justo judicio dandas esse, cordatus quisque et honestus homo sentiat; quippe quæ contra Dei decretum justamque sententiam inductæ sunt; ac postquam nihil in impiorum ac dementium, quos notavit, hominum studiis dignum inesse commendatione invenit; per appositionem comparationemque cum reliquis omnibus eorum factis impiis et flagitiosis ad laudem **215** transit humanioris eorumdem lætitiæ, quam sibi in edendo bibendoque constituunt; et unicum taliumC Τὴν ἀκατάλληλον καὶ παράλογον ἀντιστροφὴν τῆς ὑπολήψεως ἑκατέρων, δηλαδὴ τῶν ἀγαθῶν καὶ τῶν εὐσεβῶν, καὶ μέντοι τῶν ἀσεβῶν καὶ τῶν πονηρῶν · ὡσαύτως δὲ καὶ τὰς ἀλλοιώσεις καὶ μεταβολὰς τῶν ἐπ' αὐτοῖς τούτοις ὀφειλομένων δοθήσεσθαι μετὰ τῆς πρεπούσης δικαιοκρισίας παρὰ λογικοῖς καὶ φιλοχάλοις ἀνθρώποις καὶ συνετοῖς ἀντιδόσεων, ἐκφαυλίσας, ὡς παρὰ τὴν τοῦ Θεοῦ ψῆφον καὶ τὴν δικαίαν κρίσιν γεγενημένας · καὶ μηδὲν ἄξιον ἀποδοχῆς ἐν τοῖς ἐπιτηδεύμασι τῶν χαρακτηριζομένων τοιούτων δυσσεβῶν ἀνθρώπων καὶ παραπλήγων εὑρών · πρόεισι κατὰ παράθεσιν καὶ σύγκρισιν τῶν ἄλλων πάντων αὐτῶν ἀσεβημάτων καὶ κακοπραγημάτων εἰς ἔπαινον τῆς ἀνθρωπινωτέρας αὐτῶν εὐφροσύνης τῆς ἐν

(24) At LXX habent... Ὑπὸ τὸν ἥλιον, ὅτι εἰ μὴ φαγεῖν καὶ τοῦ πιεῖν καὶ τοῦ εὐφρανθῆναι..... et : Καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τοῦ Θεου. Olymp., Καὶ ἐπῄνεσα ἐγὼ σὺν τῇ εὐφροσύνῃ.....

Digitized by Google

βρώμασι καὶ πόμασι κατασκευαζομένης ἐπ' αὐτοῖς, καὶ μόνον ἀφορίζων καὶ προσαποκληρῶν τῶν τοιούτων ἀνθρώπων τὸ ἀγαθὸν, ὡς οὐδὲν ἄλλο δυνηθέντων, ἢ μᾶλλον εἰπεῖν βουληθέντων κτήσασθαι καλὸν κατὰ τὸν παρόντα βίον· ἀλλ' οὐδὲ πρὸς τὴν μέλλουσαν ζωὴν αὐτοῖς εὑρεθήσεται τὸ παράπαν, ἀλλ' ἢ μόνον ἡ κατὰ τὸν παρόντα βίον εὐετηρία καὶ θυμηδία καὶ τέρψις ἡ διὰ τῆς βρώσεως καὶ τῆς πόσεως. Μονονουχὶ γάρ φησι· Πάντων ἀπεστέρηνται τῶν ἀγαθῶν καὶ κατὰ τὴν παροῦσαν ζωὴν καὶ κατὰ τὴν μέλλουσαν, ἅτε δὴ σφᾶς αὐτοὺς αὐθαιρέτως πρὸς πᾶσαν ἄδικον πρᾶξιν καὶ δόξαν κατάλληλον καὶ παράλογον ἐπιρρίψαντες, ὡς εὐλόγως καὶ προσηκόντων ἀκοῦσαι καὶ δι' αὐτὸ τοῦτο παρὰ τῆς θείας βουλῆς καὶ δικαιοκρισίας· « Ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν, καὶ διὰ τοῦτο νῦν ὀδυνᾶσθε. » Ζῶντες γὰρ ὑπὸ τὸν αἰσθητὸν ἥλιον, καὶ μήπω καλυφθέντες ὑπὸ τῆς γῆς, οὐδεμιᾶς ἠξιώσατε φροντίδος περὶ τοῦ μέλλοντος αἰῶνος. Διὰ τοῦτο νῦν ἀμειφθέντες εἰς τοῦτον, τῶν ἰδίων ἀσεβημάτων καὶ κακοπραγημάτων ἀξίας εὑρήκατε καὶ τὰς ἀμοιβάς.

A hominum bonum designat ac separat, quia bonum aliud in hac vita nullum potuerint, seu potius noluerint comparare: quod quidem in futura vita minime illis præsto erit; ut tota, dum vivunt, felicitas eorum et lætitia et jucunditas edendi et bibendi voluptate circumscripta sit. Velut si diceret: Omnibus bonis illi caruere et quoad præsentem vitam, et quoad futuram; cum seipsos sponte in omne flagitium atque in similes planeque absurdas opiniones projecerint, ut jure meritoque vel ob id ipsum in divino consilio judicioque addituri sint: « Recepistis bona vestra in vita vestra: ac propterea nunc cruciamini (25). » Dum enim sub sole illo aspectabili vitam duceretis, nec vos etiamnum terra obtegisset, nullam de ævo futuro curam suscepistis. B Idcirco nunc ad hoc translati, impietatis, ut par erat, et scelerum vestrorum justam mercedem invenistis.

Ταῦτα γὰρ, φησὶν ὁ σοφὸς Ἐκκλησιαστὴς, ἐννοήσας, « Ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν, καὶ τοῦ ἰδεῖν τὸν περισπασμὸν τὸν πεποιημένον ἐπὶ τῆς γῆς· » ὃν οἱ πονηροὶ καὶ μισόκαλοι καθάπερ ἔνοικον ἔχοντες, οὐ διδόασιν ὕπνον τοῖς ὀφθαλμοῖς ἢ νυσταγμὸν τοῖς βλεφάροις· ἀλλ' ἐν ἡμέρᾳ πάσῃ καὶ νυκτὶ τὰς κατὰ τῶν εὐσεβῶν καὶ δικαίων ἀνθρώπων τίθενται μελέτας ἀδίκους καὶ πονηρὰς εἰς τὸ ἐξᾶραι καὶ τὸ μνημόσυνον αὐτῶν ἀπὸ γῆς διὰ ποικίλων καὶ παντοδαπῶν τιμωριῶν καὶ C βασάνων. Καὶ γὰρ ἐπειδὴ προηγουμένως ἔφησεν, « Ὅτι γινώσκω ἐγὼ ἀγαθὸν εἶναι τοῖς φοβουμένοις τὸν Θεὸν, ὅπερ οὐκ ἔσται τοῖς ἀσεβέσι· » προκαταγγέλλων ἐντεῦθεν, ὡς οἶμαι, προφητικῶς τὴν τῶν ἁγίων ἀποστόλων καὶ μαρτύρων ἀγαθὴν θεόθεν ἀντάμειψιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐφ' οἷς καθυπήνεγκαν πόνοις καὶ κόποις διὰ μυρίων τελειωθέντες βασάνων· εἶτα παρευθὺς ἐπαγαγὼν καὶ φήσας, « εἶναι ματαιότητα πεποιημένην ἐπὶ τῆς γῆς, » δηλονότι παρὰ τῶν ἀδίκων ἀνθρώπων καὶ δυσσεβῶν, ἥτις ἐναλλάττει τὰς ὑπολήψεις τῶν δικαίων εἰς τοὺς ἀδίκους, καὶ τῶν ἀσεβῶν εἰς τοὺς εὐσεβεῖς· καὶ προκαταγγέλλων διὰ τῶν εἰρημένων τὴν τῶν ἀσεβῶν καὶ παρανόμων βασιλέων καὶ τυράννων ἀντίστροφον κρίσιν καὶ διεστραμμένην καὶ σκολιὰν, ἣν ἐποίουν D εἰς τοὺς ἀθλητὰς τῆς εὐσεβείας καὶ τῆς ἀληθείας προμάχους καὶ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως μάρτυρας· καὶ μέντοι τοὺς καταμαλακιζομένους καὶ πειθαρχοῦντας ταῖς σφῶν ἀξιώσεσιν, καὶ γινομένους ἐξάρνους, καὶ ταῦτα πάντα ταῖς ἀνωτάτω μέμψεσι καθυποβαλὼν καὶ κατακωμῳδήσας· ἀκολούθως προῆλθεν εἰπεῖν καὶ σημᾶναι καὶ τὸν ἄτακτον περισπασμὸν, ὃν καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ κατὰ τῶν ἁγίων λυττῶντες εἶχον πρὸς τὸ καθελκύσαι καὶ κατασπᾶσαι τὸν ἀξιεπαίνετον τόνον τῆς γενναιότητος αὐτῶν καὶ θεοφιλοῦς προαιρέσεως.

Hæc enim, inquit sapiens Ecclesiastes, cum cogitassem: « Dedi cor meum, ut cognoscerem sapientiam, et viderem distensionem, quæ facta est super terram; » quam improbi homines et virtutes hostes, cum intus in animo patiantur, non oculis somnum, non palpebris dormitionem concedunt: sed diem totum ac noctem in eo traducunt, ut piis ac justis hominibus perniciem moliantur, et omni suppliciorum ac tormentorum genere vel ipsam eorum memoriam e medio tollendam curent. Etenim cum superius dixisset: « Quare et cognosco ego, bonum esse timentibus Deum, quod non erit impiis [80]: » et exinde prophetarum, ut reor, more sanctorum apostolorum atque martyrum præmia prænuntiasset, quæ in cœlesti regno propter toletos labores cruciatusque plurimos consummata vita a Deo accepere: jam subjiciens protinus; « esse vanitatem, quæ facta est super terram, » ab injustis nempe atque impiis hominibus, quæ justos tanquam injustos, et pios tanquam impios traducit; ac oratione designans impiorum regum et scelestorum tyrannorum **216** perversum illud ac perturbatum inordinatumque judicium, quo usi sunt in pietatis athletas et veritatis propugnatores sinceræque professionis nostræ martyres: iis quoque, qui deliniti atque illecti, eorum auctoritati paruerunt, et proditores facti sunt, cæterisque hujusmodi rebus gravissime improbatis ac reprehensis, eo demum devenit, ut irrequietam illam distensionem indicaret, quæ dies noctesque adversus sanctos exercuit eorum furorem, si qua ratione germanam horum virtutem e Deo gratissimæ voluntatis constantiam nunquam satis laudandam labefactare ac dissolvere ullo modo possent.

[80] Eccl. VIII, 12.

(25) Luc. XVI, 25. At ipsa Evangelii verba sunt: Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι.

Digitized by Google

Itaque ut tenebras istorum et cæcitatem significaret, dixit rursum : « Et vidi omnia opera Dei, quia non poterit homo invenire opus, quod factum est sub sole. » Neque enim quidquam cognoverunt aut intellexerunt, sed in cæcitatis suæ tenebris progressi sunt, dicentes lapidi : « Tu me fecisti, » et aureo simulacro vel ligneo : « Deus meus es tu. » Nam cum ob summam consilii inopiam intelligere non potuerint, materiem universam a Deo conditam et cætera omnia, quæ spectamus, opera hominum ministerio ab auctore destinata esse; in falsas hujusmodi et insanas opiniones prolapsi sunt (26). Atque hac de causa qui apud Græcos sapientes esse videntur, quantacunque cura unum verum Deum investigare atque invenire conati sint, minime repererunt, sed evannere in cogitationibus suis, et insipiens cor eorum tenebris obductum est : professi se esse sapientes, insanierunt. Ego vero, inquit, cum hæc omnia animo explorata haberem planeque cognossem, accurate deprehendi atque assecutus sum « Quomodo justi, et sapientes, et facta eorum coram Deo ; » ac licet visi sint oculis insipientium **217** occubuisse, et ærumna exitus eorum habitus fuerit, spes tamen eorumdem immortalitate plena sit.

Hæc profecto vaticinans sapiens Ecclesiastes occupavit atque prædixit de impiorum regum ac tyrannorum furore atque rabie adversus pietatis athletas ac triumphales martyres; quorum præclara certamina, et omnis generis cruciatus et supplicia et dolores tanquam fragrantissimum suffimentum ad sublime ac sanctum Dei altare perveneerunt, atque illic descripta prostant, et nobilem athletarum virtutem atque amorem erga illum, qui unus natura solusque verus est Deus, commendant atque testantur, ac simul odium declarant, quo diaboli fraudes et idolorum cultum detestati sunt: quæ omnia sine discrimine delectuque, vel potius in contrariam partem insani homines atque impii, novis nominibus atque opinionibus inductis, immutant, ac rerum naturam invertunt, bonum rati, quod malum, atque e contrario malum, quod bonum est ; et tenebras pro luce habentes, lucemque pro tenebris ; quodque dulce est, amarum appellantes, et quod amarum, dulce, longe aliter, ac sacræ nos Litteræ docuerunt [81]. Quod sapiens Ecclesiastes ut ostenderet, adjecit protinus et ait :

[81] Isa. IV, 20.

(26) In *Synopsi* divinarum Litterarum, quæ Athanasio tribuitur, hæc ipsa Ecclesiastæ verba auctor refert, quibus declarari ostendat, quam vanæ jamtum essent Ægyptiorum artes, quamque futiles futuræ deinde essent Græcorum contentiones. Ἐν τούτῳ δὲ, inquit, τῷ βιβλίῳ περὶ τῆς φυσικῆς θεωρίας φιλοσοφῶν φαίνεται. Ἐπειδὴ γὰρ Αἰγύπτιοι μὲν ἐφαντάζοντο, Ἕλληνες δὲ ἐμέλλον περὶ τούτων μυθολογεῖν · διὰ τοῦτο οὗτος Πνεύματι ἁγίῳ κινούμενος, παύει μὲν τοὺς ἐπιχειροῦντας περὶ τούτων ζητεῖν, φάσκων · *Οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅσα ἂν μοχθήσῃ ἄνθρωπος τοῦ ζητῆσαι, καὶ οὐχ εὑρήσει.* id est : *Hoc autem in libro De naturæ contemplatione philosophari videtur. Cum enim Ægyptii jam opinionum commentis dediti essent, Græci vero multa de his fabulaturi essent ; idcirco divino ille Spiritu impulsus, qui de istis inquirere conarentur, compescit inquiens :* Non poterit homo invenire opus, quod sub sole factum est : nec quamvis quærendo fatigetur, inveniet. (*Synops.* lib. XV.)

A Τὴν οὖν ἀβλεψίαν τῶν τοιούτων καὶ τύφλωσιν αἰνιττόμενος, ἔφησεν αὖθις · « Καὶ εἶδον σύμπαντα τὰ ποιήματα τοῦ Θεοῦ, ὅτι οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. » Οὐδὲ γὰρ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἀλλ' ἐν σκότει τῆς ἰδίας τυφλότητος ἐπορεύθησαν, λέγοντες τῷ λίθῳ, « Σύ με ἐποίησας, » καὶ τῷ χρυσοτεύκτῳ ξοάνῳ, καὶ μέντοι τῷ ξυλοτεύκτῳ, « Θεός μου εἶ σύ. » Μὴ δυνηθέντες γὰρ νοῆσαι διὰ πολλὴν ἀβουλίαν, ὡς ὅλη πᾶσα παρὰ τοῦ Θεοῦ γεγονυῖα, καὶ πᾶν ἄλλο κτίσμα τῶν ὁρωμένων πρὸς τὴν τῶν ἀνθρώπων ἐξυπηρέτησιν γέγονε παρὰ τοῦ ποιήσαντος, εἰς τὰς τοιαύτας ἐσφαλμένας καὶ μωρὰς ὑπολήψεις ἐξώκειλαν. Καὶ τούτου χάριν ὅσην ἂν ἐπιμέλειαν ἔσχον οἱ δοκοῦντες εἶναι σοφοὶ τῶν Ἑλλήνων πρὸς B τὸ ζητῆσαι καὶ ἐφευρεῖν τὸν μόνον ἀληθινὸν Θεὸν, οὐχ εὗρον, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν. Ἐγὼ δὲ, φησὶ, ταῦτα πάντα τῇ καρδίᾳ μου παρεξετάσας καὶ διαγνοὺς, κατελαβόμην ἀκριβῶς καὶ διέγνων, « ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ, καὶ αἱ ἐργασίαι αὐτῶν ἐνώπιόν εἰσι τοῦ Θεοῦ · » καὶ κἂν ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν : ἡ δὲ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης ἐστί.

Ταῦτα προφητικῶς ὁ σοφὸς Ἐκκλησιαστὴς προεῖληφε σαφῶς καὶ κατηγγειλε περὶ τῆς τῶν ἀσεβῶν βασιλέων καὶ τυράννων δυσμενείας καὶ λύττης, τῆς κατὰ τῶν ἀθλητῶν τῆς εὐσεβείας καὶ τροπαιοφόρων μαρτύρων, ὧν αἱ τῶν ἀθλητικῶν παλαισμάτων ἐρ- C γασίαι καὶ ποικίλαι καὶ παντοδαπαὶ κολάσεις καὶ τιμωρίαι καὶ ἀλγηδόνες εἰς τὸ ἄνω καὶ νοερὸν τοῦ Θεοῦ θυσιαστήριον ὡς εὐῶδες ἀνῆλθον θυμίαμα, κἀκεῖ γεγόνασιν ἀπογεγραμμέναι καὶ παριστάμεναι καὶ κηρύττουσαι καὶ μαρτυροῦσαι τὴν γενναιότητα τῶν ἀθλητῶν, καὶ τὴν πρὸς αὐτὸν ἀγάπην, δηλονότι τὸν ὄντως ὄντα καὶ μόνον ἀληθινὸν Θεόν. Καὶ μέντοι καὶ τὸ μῖσος καὶ τὴν ἀπέχθειαν τὴν κατὰ τοῦ διαβόλου καὶ τῆς εἰδωλικῆς ἐξαπάτης, ὧν ἁπάντων ἀδιακρίτως καὶ συγκεχυμένως μᾶλλον δ' εἰπεῖν ἀντιστρόφως οἱ ματαιόφρονες καὶ παραπλῆγες καὶ δυσσεβεῖς, τὰς ὀνομασίας καὶ τὰς ὑπολήψεις δοξάζοντες, ἀμείβουσι καὶ προσεναλλάττονται τῶν πραγμάτων τὴν φύσιν · καὶ δοξάζουσι τὸ καλὸν, πονηρόν · καὶ τὸ ἔμπαλιν τὸ πονηρὸν, καλόν · καὶ τιθέασι D τὸ σκότος, φῶς, καὶ τὸ φῶς, σκότος · καὶ λέγουσι τὸ γλυκὺ, πικρὸν, καὶ τὸ πικρὸν, γλυκὺ, παρὰ τὴν εἰσήγησιν τῆς θείας Γραφῆς. Ὅπερ παρεμφαίνων ὁ σοφὸς Ἐκκλησιαστὴς, ἀμέσως ἐπήγαγε καὶ φησιν·

Digitized by Google

§ II.

Καὶ γε ἀγάπην καὶ γε μῖσος οὐκ ἔστιν εἰδὼς ὁ ἄνθρωπος. Τὰ πάντα πρὸ προσώπου αὐτῶν. Ματαιότης ἐν τοῖς πᾶσι.

Δηλονότι τοῖς ματαιόφροσι, καὶ τὸν μὲν εὐσεβῆ καὶ δίκαιον, ἄδικον ὀνομάζουσι, καὶ τὸ ἔμπαλιν τὸν ἄδικον, εὐσεβῆ καὶ δίκαιον· καίτοι γε τοῦτο τῆς θείας ἀπαγορευούσης Γραφῆς οὕτω λεγούσης· « Ὁς δίκαιον εἴπῃ τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Θεῷ. » Ταῦτα δὲ κἀπὶ παντὶ χρόνῳ καὶ καιρῷ, καὶ κατὰ γενεὰν καὶ γενεὰν τοῖς ἀσυνέτοις ἀνθρώποις καὶ παράπληξιν ἁρμόττουσιν. Ἀεὶ γὰρ πλήρης οὗτος ὁ βίος εὕρηται τῶν τοιαύτας σκολιὰς κρίσεις καὶ διεψευσμένας τῇ φύσει τῶν πραγμάτων παρεισαγόντων. Μάλιστα δὲ καὶ διαφερόντως ἐκείνοις ἐοίκασι τοῖς καιροῖς, οἷς παρευδοκιμεῖ τὴν ἀλήθειαν τὸ ψεῦδος, καὶ ἡ ἀσέβεια καὶ ἡ ἀδικία κατευημερεῖ τῆς εὐσεβείας καὶ τῆς δικαιοσύνης. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγεν ὁ σοφὸς Ἐκκλησιαστής·

A

B

Cap. IX. Vers. 1. *Et quidem charitatem et quidem odium non est cognoscens homo. Omnia ante faciem eorum. Vanitas in omnibus* (27).

Id est in amentibus illis, qui quod pium est et justum, appellant iniquum; et contra quod iniquum est, pium ac justum (28). Etsi hoc ipsum divinæ Litteræ **218** his verbis vetant: « Qui justum dixerit iniquum, et iniquum justum, immundus et abominandus apud Deum (29). » Atque hæc quidem insanis ac stolidis omnium temporum atque omnium ætatum hominibus apte conveniunt. Semper enim in hac vita magnam constat fuisse copiam eorum, qui judicia hujusmodi perversa et falsa de rerum natura induxerunt. Præcipue vero ac potissimum in ea quadrant tempora, quibus veritas mendacio succumbit, et impietas atque injustitia pietate atque justitia felicior est. Idcirco utique sapiens Ecclesiastes adjecit protinus:

§ III.

Ὡς συνάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ τῷ κακῷ, καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ, καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι· ὡς ἀγαθὸς, ὡς ὁ ἁμαρτάνων· ὡς ὁ ὀμνύων, καθὼς ὁ τὸν ὅρκον φοβούμενος. Τοῦτο πονηρὸν ἐν παντὶ τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον, ὅτι συνάντημα ἓν τοῖς πᾶσιν. Καὶ γε καρδία υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονηροῦ, καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν ἐν ζωῇ αὐτῶν, καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκρούς.

Vers. 2, 3. *Quasi eventus unus justo et impio, bono et malo, et mundo et immundo, et sacrificanti et non sacrificanti: sic bonus, ut qui peccat; sic jurans, ut qui juramentum veretur. Hoc est pessimum in omni quod factum est sub sole; quia eventus unus omnibus. Et quidem cor filiorum hominis repletum est malo, et circumactio in corde eorum in vita eorum, et post hæc ad mortuos* (30).

Τοῖς ἀγύμναστα τὰ τῆς ψυχῆς αἰσθητήρια κεκτημένοις πρὸς διάκρισιν τοῦ καλοῦ καὶ τοῦ κακοῦ, καὶ τοῦ ὠφελίμου καὶ βλάπτοντος· παρ' οἷς οὐδεμία διαφορὰ τῆς πρὸς Θεὸν ἀγάπης ἢ τῆς ἔχθρας νενόμισται διὰ τὸ καμπύλας ἔχειν τὰς τροχιὰς τῶν ἰδίων βουλευμάτων καὶ λογισμῶν, ἓν εἶναι συνάντημα δοκεῖ· τουτέστι τέλος καὶ πέρας τοῖς ἐναντίως διατεθεῖσι καὶ νοήσασι καὶ φρονήσασι καὶ πολιτευσαμένοις· ὡς καὶ τοὺς πᾶσαν ἰδέαν εὐσεβείας καὶ δικαιοσύνης κατορθωκότας, τὴν αὐτὴν καὶ μίαν λῆξιν εὑρίσκειν, τοῖς ἔμπαλιν πᾶσαν ἀσέβειαν καὶ κακοπραγίαν ἐργασαμένοις· ὅπερ τῷ ὄντι πονηρὸν τοῖς ἔμφροσιν ἔοικε, καὶ πάσης παραπληξίας σημαντικόν. Εἰ γὰρ ὁ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας ὑπεραθλῶν, καὶ δικαιοσύνῃ συζῶν, καὶ ταῖς πρὸς Θεὸν ἐντελεχέσι καὶ μυστικαῖς θυσίαις καὶ λειτουργίαις

C

D

Qui animæ sensus in bonis et malis atque in utilibus et noxiis dijudicandis minime exercitatos habent: et quia in obliquas consilii ac rationis orbitas deflexerunt, nullum inter amicitiam Dei et inimicitiam discrimen esse arbitrantur; iis unus esse eventus videtur: id est finis ac terminus illorum qui, contraria omnino amplexi, alia, atque ipsi, et cogitarunt et senserunt et egerunt; ut ii etiam qui omnes pietatis et justitiæ partes impleverint, unum eumdemque exitum reperire debeant, atque illi qui e contrario omnem impietatem ac scelus admiserunt: quod sane improbum sapientibus ac summæ dementiæ indicium videatur. Si enim qui pro veritate atque pietate pugnat, et justitiam colit, ac mysticis **219** sacrificiis Deo rite factis, et supplicationibus et precibus assiduis vitam suam illustrem

(27) Addit Olymp. Σύμμαχος, ἀντὶ τοῦ, Ἐν τοῖς πᾶσι ματαιότης, *Τὰ πάντα ἔμπροσθεν αὐτῶν ἄδηλα ἐκδέδωκε.*

(28) Interpretari hæc Noster in eam sententiam videtur, quasi judicare perversi homines nesciant, quid amore, quid odio dignum sit. Qua in re Symmachum, opinor, auctorem sequitur, cujus hæc est interpretatio: Πρός τε δὲ οὐ φιλίαν οὐδὲ ἔχθραν ἐπίσταται ὁ ἄνθρωπος. Nam Latinus quidem interpres habet: *Et tamen nescit homo, utrum amore an odio dignus sit.* Et hæc est Hieronymi explicatio, quam a verbis præcedentibus inchoat: « Etiam in hoc dedi cor meum, et scire volui, quos Deus diligeret, et quos odisset; et inveni justorum quidem opera in manu Dei esse, et tamen utrum amentur a Deo, annon, nunc eos scire non posse, et ambiguum fluctuare, utrum ad probationem sustineant quod sustinent, an ad supplicium. » Cæterum hanc etiam interpretationem Gregorius noster infra delibat § 3, init.), cum ait: « Et quia in obliquas consilii ac rationis orbitas deflexerunt, nullum inter amicitiam Dei et inimicitiam discrimen esse arbitrantur; » nisi quod hæc non tam ab iis ignorari, quam susque deque haberi significat.

(29) Prov. XVII, 15. At LXX habent, Ὁς δίκαιον κρίνει τὸν ἄδικον...

(30) Apud LXX non legitur initio Ὡς. Olymp. ὡς ὀμνύων, ὡς ὁ τὸν ὅρκον φοβούμενος... καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν, καὶ ὀπίσω αὐτοῦ πρὸς τοὺς νεκρούς.

Digitized by Google

reddit, eumdem habiturus est exitum, atque ille qui ne cogitationem quidem ullam de his rebus susceperit, quomodo iis omnibus, qui sub sole conditi sunt, ac mentem ad naturam rerum dijudicandam acceperunt, non hoc injustum prorsus esse videatur? Sed tamen cor filiorum hominis, cum extrema nequitia et inconstanti atque absurda hallucinatione plenum sit, ad injustas et falsas opiniones toto vitæ eorum spatio devolvitur atque deprimitur: ac improbas sententias atque commenta e malo nequitiæ thesauro expromit. Cum vero ex hac vita abeunt qui malum hujusmodi cor habuere, et, ut mortales, post eos proficiscuntur, qui ante ipsos defuncti exstinctique sunt, reliquias perversæ doctrinæ suæ sectatorum studio atque cura mansuras augurantur. Verum, quemadmodum Propheta ait: « Reliquiæ impiorum dissipabuntur[83], » a verbo veritatis, quam cæteris omnibus fortiorem esse divinæ Litteræ testantur. Ait deinde Ecclesiastes:

A καὶ προσευχαῖς καὶ δεήσεσι τὸν ἴδιον βίον καταλαμπρύνων, τὸ αὐτὸ τέλος ἕξει τῷ μηδὲν τοιοῦτον κἂν ἐν διανοίᾳ λαβόντι· πῶς οὐκ ἂν εἴη τοῦτο πᾶσι τοῖς ὑπὸ τὸν ἥλιον πεποιημένοις, καὶ νοῦν διακριτικὸν εἰληχόσι τῆς φύσεως τῶν πραγμάτων, πάσης ἀδικίας σημαντικόν; Ἀλλ' ὅμως ἡ καρδία τῶν υἱῶν τοῦ ἀνθρώπου πληρωθεῖσα πονηρίας ἐσχάτης καὶ τῆς ἀσυστάτου καὶ παραλόγου περιφερείας, ἐκκυλίεται καὶ καταβιβάζεται πρὸς ἀθεμίτους καὶ ψευδεῖς δόξας παρὰ πᾶσαν τὴν σφῶν ζωὴν, ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς κακίας προσφέρουσα τὰς πονηρὰς ὑπολήψεις καὶ δόξας. Ἀλλὰ καὶ τῆς ζωῆς ἐξιστάμενοι τῆς παρούσης οἱ τοιαύτην πονηρὰν κεκτημένοι καρδίαν, καὶ πρὸς τοὺς πρὸ αὐτῶν τεθνηκότας καὶ νεκροὺς ὄντας ὡς θνητοὶ πορευθέντες ὄπισθεν αὐ-
B τῶν, τὰ ἐγκαταλείμματα τῶν κακοδόξων αὐτῶν δογμάτων κρατύνεσθαι καὶ φυλάττεσθαι θεσπίζουσι παρὰ τοῖς ὁμόφροσι· καὶ καθὼς φησιν ὁ Προφήτης, « Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται, » παρὰ τοῦ λόγου τῆς ἀληθείας πάντων ἀλκιμωτέρας τῶν ἄλλων μαρτυρουμένης παρὰ τῆς θείας Γραφῆς. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

§ IV.

Vers. 4. *Quia quis est qui communicet in omnes viventes* (31)?

Nam qui vitam vivunt veritati addictam, ac Dei justitiam rectamque naturæ rationem in cogitando et agendo illæsam servant, ii singulos ad se adeuntes et in veræ ac salutaris doctrinæ communionem partemque ascitos e fallaciis expediunt pravisque moribus, quibus temere ab illis imbuti fuerint (32). Ait deinde:

Ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας;

Οἱ γὰρ ἐν ἀληθείᾳ ζῶντες, καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τὴν εὐθύτητα τῶν φυσικῶν λογισμῶν καὶ πραγμάτων ἀκαπήλευτον συντηροῦντες, τοὺς προσφοιτῶντας αὐτοῖς καὶ γινομένους κοινωνοὺς καὶ μετόχους τῶν ἀληθινῶν αὐτῶν δογμάτων καὶ ποιητικῶν καὶ πραξένων τῆς αἰωνίου ζωῆς, ἐξ-
C αιροῦνται τῆς ἐξαπάτης καὶ πονηροπραξίας τῶν παρ' ἐκείνοις ἀλογίστως εἰσηγηθέντων. Εἶτά φησιν·

§ V.

220 Vers. 5, 6. *Est spes, quoniam canis adhuc vivens, ipse bonus super leonem mortuum. Quia viventes scient, quod morientur: et mortui non sunt cognoscentes quidquam; et non est eis amplius merces; in oblivionem enim venit memoria eorum. Etiam dilectio eorum, etiam odium eorum, etiam zelus eorum jam periit: et pars non erit eis ultra in sæculum, in omni quod factum est sub sole* (33).

Ἔστιν ἐλπὶς, ὅτι ὁ κύων ἔτι ζῶν, αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρόν. Ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται· καὶ οἱ νεκροὶ οὐκ εἰσὶ γινώσκοντες οὐδέν· καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθός· ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν. Καί γε ἀγάπη αὐτῶν, καί γε μῖσος αὐτῶν, καί γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο. Καὶ μερὶς οὐκ ἔσται αὐτοῖς ἔτι εἰς αἰῶνα ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον.

Profligatis jam notatisque iis, qui falsa opinati sunt de summi Dei amatoribus vitam suam pie religioseque traducentibus, et qui impiam ac flagitiosam ipsi vitam cum agant, perversas de utroque vitæ genere opiniones inducunt; post ea demum verba: « Et post hæc ad mortuos; quia quis est, qui communicet in omnes viventes? » comparationem instituit inter eos qui ex hac vita abiere, et eos qui etiamnum in vita versantur; atque illud ostendit,

Προθριαμβεύσας καὶ προστηλιτεύσας τοὺς ἐσφαλμένας δόξας ἐσχηκότας ἐπὶ τοῖς ἀγαπῶσι τὸν ἐπὶ
D πάντων Θεὸν, καὶ μετὰ πάσης εὐσεβείας καὶ θεοσεβοῦς καταστάσεως τοῦ βίου τὸ στάδιον περαιουμένους, καὶ μέντοι τοὺς ἀσεβεῖς καὶ πονηρευομένους καὶ φαύλους καὶ τὰς ἀντιστρόφους ἑκατέρου ὑπολήψεις παρέχοντας· καὶ φήσας, « Καὶ ὀπίσω αὐτῶν πρὸς τοὺς νεκροὺς, ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς ζῶντας; » σύγκρισιν ἀκολούθως ποιεῖται τῶν

[83] Psal. xxxvii, 38.

(31) Olymp. Ὅτι τίς κοινωνεῖ...

(32) Proxima Ecclesiastæ verba sic reddit Symmachus, Τίς γὰρ εἰς ἀεὶ διατελέσει ζῶν; *Quis enim semper perseverabit vivens?* Idem porro sensus latet in ipsa interpretatione τῶν Ο', quem Gregorius etiam amplectitur, esto significationem verborum proferat, et præclaram inde sententiam eliciat. Fore enim negat, ut qui vivi multos falsæ doctrinæ labe infecerint, iidem post mortem, tanquam si etiamnum viverent, aliis nocere pergant. Neque enim defuturos ait, qui vere vivant, et deceptos errore liberent ac depravatos bonam ad frugem deducant.

(33) At LXX habent... καί γε μερὶς οὐκ ἔστιν αὐτοῖς ἔτι... Olymp. Ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα... ὅτι ἐτελέσθη ἡ μνήμη αὐτῶν.

Digitized by Google

ἀποιχομένων ἐκ τῆς παρούσης ζωῆς, καὶ τῶν ἔτι περιόντων ἐν αὐτῇ· καὶ δείκνυσιν, ὡς οἱ μὲν ἀσεβήσαντες καὶ τεθνηκότες ἐν τῇ σῴων ἀσεβείᾳ μηδεμίαν ἀλλοίωσιν ἐπιδειξάμενοι καὶ μεταμέλειαν πρὸς τὸ κρεῖττον, οὐκ ἔτι μεταβληθήσονται τῶν ἀσεβῶν ὑπολήψεων καὶ κακοπραγημάτων· οὐδέ τί γε μὴν τῶν ἐντεῦθεν ἐπηρτημένων αὐτοῖς ἀπολυτρωθήσονται τιμωριῶν καὶ κολάσεων αἰωνίων. Οἱ περιόντες δὲ καὶ ζῶντες ἔτι κατὰ τοῦτον τὸν βίον, εὐχερῶς καὶ ῥᾳδίως ταῖς τῶν κρειττόνων καὶ σοφῶν καὶ συνετῶν ἀνθρώπων τῶν ἀληθῶς τῷ Θεῷ ζώντων εἰσηγήσεσιν, ὡς ἐπ' ἀγαθῇ ζύμῃ μεταφυραθήσονται, καὶ τῷ ἅλατι τῶν ἀληθινῶν δογμάτων ἁλισθήσονται, καὶ τῶν κακοδόξων ἐκστήσονται δογμάτων, κἂν ὦσιν εὐτελεῖς τινες καὶ μικροὶ καὶ πάμπαν ἠτιμωμένοι καὶ παρεωραμένοι δίκην κυνῶν. Οἱ δὲ συναποθανόντες ταῖς σφῶν ἀσεβείαις, καὶ πρὸς τοὺς ἤδη προκατοιχομένους ἀπελθόντες μετὰ τῶν ἀσεβῶν ὑπολήψεων καὶ τῶν ἀνοσιουργημάτων, οὐκ ἔτι τεύξονταί τινος ἀπαλλαγῆς τῶν τοιούτων διὰ τῆς πρὸς τὰ βελτίω μεταβολῆς, κἂν ὦσιν ἄρχοντές τινες, κἂν πλούσιοι καὶ δυνάσται καὶ βασιλεῖς, ὡς καὶ τῷ φρυάγματι τῆς παρούσης αὐτοῖς ἀρχῆς καὶ δυναστείας ἐοικέναι τοῖς λέουσιν. Ἤδη γὰρ ἐνεκρώθησαν, καὶ κατὰ τὸ γεγραμμένον, « Ἀπέκλεισεν ὁ Θεὸς κατ' αὐτῶν. »

Τοῦτο οὖν, ὃ φησιν ὁ σοφὸς Ἐκκλησιαστής, « Ἔστιν ἐλπὶς, ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρὸν, » τὸν ἠτιμωμένον καὶ λελογισμένον ὡς κύνα, διὰ τὴν ἀφάνειαν καὶ τὴν προσοῦσαν αὐτῷ πενίαν καὶ πτωχείαν, *ἀγαθὸς* εἰπὼν διὰ τὴν πρὸς τὰ κρείττω μεταβολὴν, ὑπὲρ τὸν λέοντα τὸν ὑπεραιρόμενον καὶ μεγαλαυχούμενον πάλαι ποτὲ τῇ πορφυρίδι καὶ τῷ διαδήματι τῷ διαλίθῳ καὶ μεμαργαρωμένῳ· τεθνηκότα δὴ νῦν καὶ γεγονότα νεκρὸν, καὶ διὰ τοῦτο μηδεμίαν δέξασθαι δεδυνημένον διόρθωσιν καὶ βελτίωσιν. Τοῦτο γὰρ ἐμπεδοῖ καὶ τὸ ἑπόμενον ἀμέσως καὶ φάσκον, « Ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται, καὶ οἱ νεκροὶ οὐκ εἰσὶ γινώσκοντες οὐδὲν, καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθὸς, ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν· καὶ γε ἀγάπη αὐτῶν, καὶ γε μῖσος αὐτῶν, καὶ γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο, καὶ μερὶς οὐκ ἔσται αὐτοῖς εἰς αἰῶνα ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον. » Ὁ γὰρ συναποθανὼν ταῖς ἰδίαις δυσσεβείαις καὶ πλημμελείαις καὶ πονηροπραξίαις, κἂν περιφανὴς καὶ περίδοξος ἦν, καὶ λελαμπρυσμένος καὶ κατηγλαϊσμένος τῷ πλούτῳ καὶ κόμπῳ τῆς περικυκλούσης αὐτὸν πανταχόθεν εὐετηρίας, χείρων εὕρηται καὶ τοῦ ταπεινοτάτου καὶ πενεστάτου καὶ πτωχοτάτου, καὶ περιεσχισμένοις ῥακκίοις ἡμφιεσμένου καὶ προσαιτοῦντος, καὶ μή πω τεθνηκότος, ἀλλ' ἐλπίζοντος

qui impie se gesserint, et nulla data pœnitentiæ significatione, nulla morum emendandorum cura suscepta, impietate sua obligati occubuerint, nihil jam illos de impiis opinionibus ac sceleribus suis deposituros: nec quidquam de pœnis suppliciisque æternis, quæ exinde imminebant, evitaturos. Qui vero superstites vitam etiamnum ducunt, eos expedite atque facile proborum et sapientium hominum, qui Deum ex animo colunt, institutionibus quasi bono fermento subactum iri, et veræ doctrinæ quodam veluti sale conspersos, perversæ vim non sensuros: sint licet tenues quidam et parvuli, et sine honore omnino ac despicatui habiti, tanquam canes (34): cum ii contra, qui cum impietate sua obierunt, et ad eos qui priores decessere, **221** impias opiniones et scelesta facta pertulerunt, nihil jam horum, versis in melius moribus, immutaturi sint: vel si magistratus gesserint, vel si divites et dynastæ et reges fuerint, atque adeo propter adepti principatus ac dominationis ferociam leonibus comparari potuerint. Jam enim interempti sunt, et, ut scriptum est: « Eos Deus interclusit (35). »

Id igitur est, quod ait sapiens Ecclesiastes: « Est spes, quoniam canis vivens ipse bonus super leonem mortuum, » contemptum et quasi canem habitum, propter inhærentem ignobilitatem et inopiam et paupertatem; et cum mutari ille in melius possit, *bonus* audit præ leone, qui olim fastu superbiaque elatus, purpuram et diadema e gemmis ac margaritis ostentabat; nunc vero exstinctus, et mortuis annumeratus, nullo propterea modo corrigi et meliorem ad frugem redire potest. Hoc enim ea quoque confirmant, quæ proxime sequuntur: « Quia viventes scient quod morientur; et mortui non sunt cognoscentes quidquam, et non est eis amplius merces; in oblivionem enim venit memoria eorum. Etiam dilectio eorum, etiam odium eorum, etiam zelus eorum jam periit: et pars non erit eis ultra in sæculum, in omni quod factum est sub sole. » Nam qui cum impietate et vitiis ac sceleribus suis mortuus est, quanquam illustris antea erat et gloria elatus, ac splendore divitiarum et affluente undique rerum copia enitebat seque jactabat, pejor jam factus est humillimo quoque et pauperrimo et egentissimo, qui pannosus mendicet, sed vitam tamen trahat, cui etiamnum spes est, se ad emendationem sui potioremque vivendi rationem perventurum. Illorum enim omnia abiere ac disjecta sunt,

(34) Proverbium nempe illud fuisse censet Drusius (*Prov. cl.* I, lib. II, n. 35), quo declararetur, omnibus partibus meliorem esse conditionem vivorum, quam mortuorum: cæterum id ex hominum voluptariorum sententia usurpatum aliis videri, quod illi in morte nihil hominis superesse crederent, itaque ei præferrent vitam quamlumvis abjectissimam et contemptissimam. Addit tamen ipse, quod Gregorii nostri interpretationi maxime congruit; ait enim: « Verba illa *Huic spes est*, commode accipi possent de eo qui vitiis deditus est: cui vivo ad meliorem mentem et sententiam redire licet, mortuo nullus relictus honestioris vitæ initium exordiendi locus. » Porro interpretatio illa prior Gregorii Neocæsariensis est (in *Metaphr.*): hæc altera, quam Drusius amplectitur, Hieronymum auctorem habet (in Comment. Eccles.).

(35) Davidis verba indicari videntur psal. XXXV, 3: Σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με.

Digitized by Google

nec jam usui esse ea possunt, per quæ ad bonam frugem redire licet : cum neque animæ affectus, sive amor aut odium, neque corporis instrumenta ad morum correctionem et pœnitentiam conferre quidquam possint. Ait deinde sapiens Ecclesiastes :

A ἔτι πρὸς διόρθωσιν ἐπανελθεῖν καὶ βελτίωσιν. Ἐκείνων γὰρ συναπῴχοντο πάντα καὶ συναπελήλανται, καὶ φροῦδα γεγόνασιν ἤδη τὰ δι' ὧν ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος γίνεσθαι πέφυκε· μήτε τῶν ψυχικῶν διαθέσεων, ἤγουν ἀγάπης ἢ μίσους, μηδὲ τῶν σωματικῶν ὀργάνων ἐνεργεῖν τι δυναμένων πρὸς ἐπιστροφὴν καὶ μετάγνωσιν. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ VI.

222 VERS. 7, 8. *Veni, comede in lætitia panem tuum, et bibe in corde bono vinum tuum, quoniam jam complacuerunt Deo opera tua. In omni tempore sint vestimenta tua candida, et oleum supra caput tuum non desit.*

Δεῦρο φάγε ἐν εὐφροσύνῃ ἄρτον σου, καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου, ὅτι ἤδη ηὐδόκησεν ὁ Θεὸς τὰ ποιήματά σου. Ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκά, καὶ ἔλαιον ἐπὶ κεφαλῆ σου μὴ ὑστερησάτω.

Si dictum hoc obvio vulgatoque sensu declarare velimus, haud improprie dicamus justam videri cohortationem, qua nos Ecclesiastes admonet, ut obliquas ac flexuosas hominum improborum et veritatis hostium orbitas derelinquamus ac declinemus : utque, simplicem vivendi rationem amplexi, ac sinceræ erga Deum fidei doctrinis addicti, panem in lætitia manducemus, et vinum bibamus in corde bono ; ut neque in verba malitiæ prolabamur, nec ullo in anfractu versemur ; sed potius et recta semper cogitemus, et, quantum fas est, misericordia et liberalitate egentibus et mendicis subveniamus : iis nimirum et studiis dediti et factis, quibus Deus ipse delectatur. In iis enim, quæ homines gerunt ejusmodi, simplicitatis sectatores et ad obtemperandum semper parati, candida utique vestimenta quocunque tempore inveniuntur, sive bonæ splendidæque actiones, nec oleum in capite eorum unquam deest (36). Cum enim quod egentibus commodant, Deo mutuum dent, **223** sanctissimi Spiritus a Deo vim recipiunt et gratiam, quæ caput eorum vitamque omnem tueatur ac foveat.

B Ταῖς μὲν αἰσθηταῖς καὶ προχείροις ἐννοίαις τὸ παρὸν διασαφοῦντες ῥητὸν, φαίημεν ἂν οὐκ ἀπεικότως σημαίνειν παραίνεσιν πρέπουσαν, δι' ἧς ὁ Ἐκκλησιαστὴς εἰσηγεῖται καταλιμπάνειν καὶ παραβλέπειν τὰς σκολιὰς καὶ καμπύλας τροχιὰς τῶν πονηρευομένων ἀνθρώπων καὶ πολεμίων τῆς ἀληθείας. Ἐν ἁπλότητι δὲ καρδίας διαζῆν, καὶ τοῦ λόγου τῆς εἰλικρινοῦς πρὸς Θεὸν πίστεως ἔχεσθαι, καὶ τὸν ἄρτον ἐσθίειν ἐν εὐφροσύνῃ, καὶ τὸν οἶνον πίνειν ἐν ἀγαθῇ καρδίᾳ, καὶ μηδαμῶς παρεκκλίνειν εἰς λόγους πονηρίας, καὶ πολιτεύεσθαι μετὰ σκολιότητος· ἀλλ' ἐν εὐθύτητι μᾶλλον τῶν διαλογισμῶν, καὶ ταῖς κατὰ τὸ δυνατὸν ἐλεημοσύναις καὶ μεταδόσεσι ταῖς πρὸς τοὺς ἐνδεεῖς καὶ πτωχούς· ἤγουν καὶ τοῖς C ἐπιτηδεύμασι καὶ τοῖς ἔργοις εὐδοκεῖ δηλονότι καὶ ὁ Θεός. Ἐν γὰρ τοῖς ποιήμασι τῶν τοιούτων καὶ τῶν ἁπλῶς πορευομένων, ἤγουν βιούντων καὶ πεποιθότως πολιτευομένων, εὑρίσκονται λευκὰ καὶ τὰ ἱμάτια ἐν παντὶ καιρῷ, ἤγουν αἱ ἀγαθαὶ καὶ φωτοειδεῖς πράξεις, καὶ μηδέ ποτε καθυστεροῦν τὸ ἔλαιον ἐπὶ τῆς κεφαλῆς αὐτῶν. Κιχρῶντες γὰρ αὐτοὶ τοῖς ἐνδεέσι, καὶ τῷ Θεῷ δανείζοντες, τοῦ παναγίου Πνεύματος ἀντιλαμβάνουσι παρὰ Θεοῦ τὴν ἐνέργειαν καὶ τὴν χάριν περιέπουσαν τὴν σφῶν κεφαλὴν καὶ τὴν ὅλην ζωήν.

At vero anagoges ratio ad altiorem cogitationem nos evehit, et cœlestem ac mysticum panem reputare docet, qui de cœlo descendit, et vitam attulit

Ὁ δὲ λόγος τῆς ἀναγωγῆς εἰς ὑψηλοτέραν ἀναβιβάζει διάνοιαν, εἰσηγούμενος νοεῖν τὸν οὐράνιον ἄρτον καὶ μυστικὸν, τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα

(36) Proverbia hic quoque bina agnoscit Drusius (*Prov. cl.* II, lib. II, n. 28, 29), primum : *Sint vestimenta tua semper candida ;* alterum : *Habe caput tuum semper unguento delibutum ;* utroque autem nil aliud nos doceri contendit, quam ut hilaritatem amemus, lætitiamque animi perpetuam expetamus. Atqui non ita hæc veteres Patres interpretati erant. Audi enim quid Cyrillus Alexandrinus in primis senserit : Γράφει δέ που, inquit, καὶ Σολομών· *Ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λαμπρά. Φαίην* δ' ἄν, ὅτι καὶ μάλα ὀρθῶς ἐννενοηκώς, οὐκ ἂν εἰς τοῦτο προήκοι τερθρείας ὁ σοφὸς ἡμῖν Σολομών, ὡς ἱματίων ἡμᾶς ἀναπείθειν μειρακιωδῶς ἐντρυφᾶν λαμπρότησιν· ἀμφίῳ δὲ ὥσπερ παρεικάζει λαμπρῷ τὴν οἱονεί πως ἐκνενιμμένην καὶ ῥύπου παντὸς ἐλευθέραν ζωήν. Id est : *Scribit vero alicubi Salomon quoque :* Omni tempore vestimenta tua splendida sint ; *puto autem, et quidem recte, nunquam virum sapientissimum Salomonem ad has nugas devenire voluisse, ut suaderet nobis vestium splendore puerili-* D *ter oblectari : sed vesti splendidæ vitam veluti ablutam et ab omnibus sordibus liberam comparat.* (Tom. I *De ador. in sp. et verit.* lib. XIV, pag. 515.)

Idem igitur et de olei sive unguenti usu, quem assiduum vult esse, recte sentiemus : ut hæc verborum illorum sit vis, quemadmodum qui corporis voluptatibus serviunt, oleo balsamo caput ungere in deliciis habent, sic homini cœlestia persequenti curæ esse oportere, ut mens ejus suave aliquid semper et Deo jucundum spiret. Sumpta autem similitudo est a conviviis Hebræorum et omnium Orientalium, quos delibuto capillo accumbere solitos novimus. Eo pertinent illa Domini nostri dicta : *Oleo caput meum non unxisti* (*Luc.* VII, 46) ; et : *Tu autem cum jejunas, unge caput tuum* (*Matth.* VI, 17) ; tum quod Maria Magdalene fecit : quæ in domo Simonis leprosi super caput Jesu recumbentis alabastrum unguenti pretiosi effudit (*Matth.* XXVI, 7). De his, si vacat, lege Frider. Bucherum in *Antiq. evang. in Matth.* c. XXVI, § 33.

Digitized by Google

καὶ διδόντα τῷ κόσμῳ ζωήν· καὶ μέντοι τὸν νοητὸν οἶνον πίνειν ἐν ἀγαθῇ καρδίᾳ, δηλονότι τὸν ἐκ τῆς πλευρᾶς τῆς ἀληθινῆς ἀμπέλου βλύσαντα κατὰ τὸν καιρὸν τοῦ ζωηφόρου πάθους. Περὶ ὧν φησι τὸ τῆς σωτηρίας ἡμῶν Εὐαγγέλιον, « Καὶ λαβὼν τὸν ἄρτον, εὐλόγησεν ὁ Ἰησοῦς, καὶ εἶπεν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὡσαύτως καὶ τὸ ποτήριον, καὶ εἶπε· Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. » Οἱ γὰρ τὸν τοιοῦτον ἄρτον ἐσθίοντες καὶ πίνοντες τὸν μυστικὸν οἶνον, ἀγαθύνονται τῷ ὄντι καὶ κατευφραίνονται, καὶ μονονουχὶ βοῶσιν, « Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν ἡμῶν. » Οἶμαι δὲ, τὸν τοιοῦτον ἄρτον καὶ τὸν τοιοῦτον οἶνον κἀν τῇ Παροιμιακῇ βίβλῳ δεδήλωκεν ἡ ἐνυπόστατος σοφία τοῦ Θεοῦ, Χριστὸς ὁ Σωτὴρ ἡμῶν, λέγουσα, « Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν· » τὴν μυστικὴν αἰνιττόμενος τοῦ Λόγου μετάληψιν. Τῶν γὰρ ἀξίως αὐτῆς μετεχόντων ἐν παντὶ καιρῷ καὶ τὰ ἱμάτια, ἤγουν τὰ ἔργα τοῦ φωτὸς, εὑρίσκονται λευκὰ καθάπερ τὸ φῶς· καθὼς φησι κἀν τοῖς Εὐαγγελίοις ὁ Κύριος· « Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Ἀλλὰ καὶ τὸ ἔλαιον ἐπὶ τῆς κεφαλῆς αὐτῶν εὕρηται διηνεκῶς ἐπιπολάζον· ἤτοι τὸ Πνεῦμα τῆς ἀληθείας περιέπον καὶ πάσης ἁμαρτητικῆς ἐξαιρούμενον ἐπηρείας. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

A mundo: et spiritale item vinum bibere in corde bono, illud scilicet, quod e latere profluit veræ vitis sub salutiferæ Passionis tempus (37). De quibus ait salutis nostræ Evangelium: « Et cum accepisset Jesus panem, ac benedixisset, dixit sanctis discipulis et apostolis suis: Accipite, manducate, hoc est corpus meum, quod pro vobis frangitur in remissionem peccatorum; similiter et calicem, et dixit: Bibite ex eo omnes, hic est sanguis meus Novi Testamenti, qui pro vobis et multis effunditur in remissionem peccatorum (38). » Qui enim hunc panem manducant, et mysticum bibunt vinum, lætantur revera et exsultant, atque inclamare possunt: « Dedisti lætitiam in cor nostrum [83]. » Porro hunc, ut arbitror, panem atque hoc vinum in Pro-
B verbiorum quoque libro designavit Dei sapientia per se ipsa subsistens, Christus Servator noster, cum ait: « Venite, comedite panem meum, et bibite vinum, quod miscui vobis (39): » mysticam indicans Verbi participationem. **224** Ad quos enim hæc pro dignitate pertineat, eorum omni tempore vestimenta, sive lucis opera, non minus, quam lux candida inveniuntur, quemadmodum et in Evangeliis Dominus ait: « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum, qui in cœlis est [84]. » Quin et oleum in capite eorum perpetuo redundare videbitur, Spiritus nempe veritatis, qui protegat, et ab omni peccati injuria vindicet. Ait deinde Ecclesiastes:

C VERS. 9. *Et vide vitam cum muliere, quam dilexisti omnibus diebus vitæ vanitatis tuæ, qui dati sunt tibi sub sole: quia hoc est pars tua in vita tua, et in labore tuo, quo jam tu laborasti sub sole* (40).

Καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἧς ἠγάπησας πάσας τὰς ἡμέρας τῆς ζωῆς ματαιότητός σου, αἳ ἐδόθησάν σοι ὑπὸ τὸν ἥλιον· ὅτι αὐτὸ μερίς σου ἐν τῇ ζωῇ σου, καὶ ἐν τῷ μόχθῳ σου, ᾧ σὺ προεμόχθησας ὑπὸ τὸν ἥλιον.

Παρακελευσάμενος προσεχῶς ἐσθίειν τὸν ἄρτον, καὶ πίνειν ἐν ἁπλότητι καρδίας τὸν οἶνον, καὶ μὴ

Hortatus modo, ut panem edas, et vinum bibas in simplicitate cordis, neve ad flexuosas ratiocini-

[83] Psal. IV, 7. [84] Matth. V, 19.

(37) Hæc ipsa animo volvisse Salomon, cum ista scriberet, Olympiodoro etiam visum erat, qui de illo sic est locutus: Καὶ εὐδοκεῖ καὶ συγχαίρει τοῖς τῆς Ἐκκλησίας ποιήμασιν· nempe *Et favet et plaudit mysteriis Ecclesiæ.* (in *Auct. Duc.* p. 659 D). Quin totum hunc locum prior occupaverat Cyrillus Hierosolymitanus in Catechesi mystagogica IV, de corpore et sanguine Jesu Christi, n. 8: Διὰ τοῦτο, inquit, καὶ ὁ Σολομὼν ταύτην αἰνιττόμενος τὴν χάριν, ἐν τῷ Ἐκκλησιαστῇ λέγει· *Δεῦρο, φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου* (τὸν πνευματικὸν ἄρτον. Δεῦρο, καλεῖ τὴν σωτήριον καὶ μακαριοποιὸν κλῆσιν). *Καὶ πίε τὸν οἶνόν σου ἐν καρδίᾳ ἀγαθῇ* (τὸν πνευματικὸν οἶνον). *Καὶ ἔλαιον ὑπὲρ κεφαλῆς σου ἐκχείσθω.* (ὁρᾷ; αὐτὸν καὶ τὸ μυστικὸν αἰνιττόμενον χρίσμα;) *Καὶ διὰ παντὸς ἔστω σου τὰ ἱμάτια λευκά, ὅτι εὐδόκησε Κύριος τὰ ποιήματά σου.* Πρὶν γὰρ προσέλθῃς τῇ χάριτι, ματαιότης ματαιοτήτων ἦν τὰ ποιήματά σου. Ἀποδυσάμενον δὲ τὰ παλαιὰ ἱμάτια, καὶ ἐνδυσάμενον τὰ πνευματικῶς λευκὰ, χρὴ λευχειμονεῖν διαπαντός. Οὐ πάντως τοῦτο λέγομεν, ὅτι σε δεῖ λευκὰ ἱμάτια προβεβλῆσθαι ἀεί· ἀλλὰ τὰ ὄντως λευκὰ καὶ λαμπρὰ καὶ πνευματικὰ ἀναγκαίον ἐστι περιβεβλῆσθαι, ἵνα λέγῃς κατὰ τὸν μακάριον Ἡσαΐαν· *Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι.* Id est: *Idcirco et Salomon eam gratiam in Ecclesiaste significans ait:* Veni, comede in lætitia panem tuum (*spiritalem panem. Veni: salutari nempe et quæ beatos facit vocatione vocat*); et bibe vinum tuum in corde bono (*spiritale vinum*); et oleum super caput tuum effundatur. (*Videsne quomodo etiam mysticam unctionem designet?*) Et omni tempore sint tua vestimenta candida, quia Deo accepta sunt
D opera tua. *Prius enim quam ad gratiam accederes, vanitas vanitatum erant opera tua: postquam vero exuisti vetera vestimenta, et ea quæ sunt spiritali modo candida induisti, semper te candidis vestitum esse oportet. Non hoc dicimus, albis te vestibus semper indutum esse oportere: sed quæ vere albæ sunt et splendidæ et spiritales, his necesse esse, ut indutus sis. Quo beati Isaiæ usurpare verba possis:* Exsultet anima mea in Domino; induit enim me vestimento salutaris, et tunicam lætitiæ circumposuit mihi. (*Isa.* LXI, 10.)

(38) Matth. XXVI, 26. Sed quædam discrepant, ut superius lib. II, § 12; et lib. IV, § 4.

(39) Prov. IX, 5, superius lib. II, § 13.

(40) Sed apud LXX leges... Πάσας τὰς ἡμέρας ζωῆς ματαιότητός σου τὰς δοθείσας σοι... et ἐν τῷ μόχθῳ σου, ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον.

Digitized by Google

nationes deflectas ; illud subinde virum edocet, ut una quisque uxore contentus sit, ea nempe quam primam amavit ac sibi duxit ; utque in omnes vitæ suæ dies ab alia quacunque prorsus abstineat ; et uni una sit satis, quemadmodum præscripsit edixitque Conditor, cum ait : « Non est bonum esse hominem solum, faciamus ei adjutorium simile sibi [85] ; » qui et una de costis ejus sumpta, « carnem replevit pro ea [86], » costamque quam sumpsit in mulieris speciem formamque adornavit. Pars igitur homini data ipsa est ; aperte enim costa una de illius natura fuit. Hanc igitur vide, inquit, et omnibus vitæ hujus et vanitatis diebus cognoscito (41) : aliam vero nunquam omnino cognoscas. Vanitatem autem vitæ appellavit varietatem et conversionem mutationemque arbitrii voluntatum humanarum : ob quæ sæpe infelix homo ex negligentia quadam et remissione ad ea animo volvenda delabitur, **225** quæ ad peccatum adducant. Ait deinde :

παρεκτρέπεσθαι προς τὰς τῶν λογισμῶν σκολιότητας, ἀκολούθως καὶ μίαν ἔχειν γυναῖκα τὸν ἕνα ἄνδρα διδάσκει, τὴν ἐξ ἀρχῆς ἀγαπηθεῖσαν αὐτῷ καὶ προσληφθεῖσαν· καὶ μηδαμῶς ἐν πάσαις ταῖς ἡμέραις τῆς ἐνταῦθα παροικίας ἄλλην ποτὲ διαγνῶναι τὸ σύνολον· ἀλλ' ἀρκεῖσθαι τὸν ἕνα τῇ μιᾷ, κατὰ τὸν ὅρον καὶ λόγον τοῦ Δημιουργήσαντος καὶ εἰπόντος, « Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν· » ὃς καὶ μίαν λαβὼν τῶν πλευρῶν αὐτοῦ, « σάρκα ἀνεπλήρωσεν ἀντ' αὐτῆς, » καὶ τὴν πλευράν, ἣν ἔλαβεν, εἰς γυναικὸς εἶδος καὶ μορφὴν κατεσκεύασεν. Αὕτη οὖν ἐστι ἡ δοθεῖσα τῷ ἀνθρώπῳ μερίς· πλευρὰ γὰρ μία τῆς ἐκείνου φύσεως ὑπῆρχε σαφῶς. Ταύτην οὖν ἰδὲ καὶ γνώριζε, φησὶ, πάσας τὰς ἡμέρας τῆς ἐνταῦθα ζωῆς καὶ ματαιότητος· ἑτέραν δὲ μηδέποτε γνοίης τὸ σύνολον. Ματαιότητα δὲ ζωῆς ὠνόμασε τὴν ἀλλοίωσιν καὶ περιτροπὴν καὶ μεταβολὴν τῆς ἐφ' ἑκάτερα ροπῆς τῶν ἀνθρωπίνων γνωμῶν· ἐν αἷς πολλάκις καὶ πρὸς ἁμαρτητικὰς ἐνθυμήσεις ὁ ταλαίπωρος ἄνθρωπος ἔκ τινος ἀπροσεξίας κατολισθαίνει καὶ ῥᾳθυμίας. Εἶτά φησι·

§ VIII.

VERS. 10. *Omnia quæ invenerit manus tua facere, prout virtus tua, fac : quia non est opus, et cogitatio, et scientia, et sapientia in inferno, quo tu vades illuc* (42).

Πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δύναμίς σου, ποίησον· ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν ᾅδῃ, ὅπου σὺ πορεύσῃ ἐκεῖ.

Egregium vitæ hominum institutorem ac sapientem consiliarium se prodit Ecclesiastes. Auditoribus enim suis inculpatæ vitæ et a peccato, quantum fieri potest, alienæ notas proponit, ac nihil eorum quæ humana natura præstare possit, negligendum esse docet, nec quidquam prætermittendum eorum quæ Deo grata sunt, et ad honorem ejus atque ad divinarum legum observantiam conducunt : verum si cui vel brevis temporis otium offeratur ad hymnorum cantum et obsecrationes, vel ad meditationem contemplationemque rerum cœlestium, atque ad temperantiam et jejunium, sive opportunam ciborum multorum ac variorum deductionem, vel ad misericordiam et largitatem erga inopes et mendicos, vel ad justitiæ cognitionem ac manifestiorem veritatis illustrationem, vel ad calamitosorum solatium, et patrocinium eorum qui ab judicibus perversis et a dynastis immitibus atque inhumanis injusta patiuntur ; hæc omnia, cæteraque his similia, quæ in virtutis choro recensentur, sine mora et toto animo suscipienda esse : cum præsens utique tempus ad bona et honesta peragenda idoneum sit, futurum vero nullum abeuntibus det locum, ut tale aliquid præstare possint. Quod declaravit, cum addidit : « Quia non est opus, et cogitatio, et scientia, et sapientia in

Ἀγαθὸς εἰσηγητὴς καὶ σοφὸς σύμβουλος εὕρηται τῇ ζωῇ τῶν ἀνθρώπων ὁ Ἐκκλησιαστής. Τῆς γὰρ ἀκαταγνώστου καὶ κατὰ τὸ δυνατὸν ἀναμαρτήτου πολιτείας ὑποτίθησι τοὺς χαρακτῆρας τοῖς ἐπαΐουσι, καὶ διδάσκει μηδὲν τῶν εἰς δύναμιν ἀνθρωπίνης φύσεως ἀνηκόντων παραλογίζεσθαι, καὶ παραλιμπάνειν τῶν ἀνδανόντων τῷ Θεῷ καὶ συντελούντων εἰς δόξαν αὐτοῦ καὶ τῶν θείων ἐντολῶν ἀποπλήρωσιν. Ἀλλὰ κἂν πρὸς μικρὸν εὕρῃ τις σχολὴν εἰς ὑμνῳδίαν καὶ προσευχήν, κἂν πρὸς νεῦσιν καὶ θεωρίαν τῶν ἄνω καὶ νοητῶν, καὶ πρὸς ἐγκράτειαν καὶ νηστείαν, τῶν πολλῶν καὶ διαφόρων σιτίων εὔκαιρον ἀποδοχήν· κἂν πρὸς ἐλεημοσύνην καὶ διαμονὴν καὶ διάδοσιν τὴν πρὸς τοὺς ἐνδεεῖς καὶ πένητας καὶ πτωχούς· κἂν πρὸς κρίσιν δικαιοσύνης καὶ τῆς ἀληθείας ἀριδηλοτέραν φανέρωσιν· κἂν πρὸς τὴν τῶν ἀδικουμένων καὶ παραλόγως πασχόντων ὑπό τινων ἀκρίτων κριτῶν ἢ δυναστῶν ἀσυμπαθῶν καὶ ἀνελεημόνων ἀντίληψιν καὶ προστασίαν, πάντα ταῦτα μετὰ τῶν ἄλλων τῶν παραπλησίως τούτοις εἰς τὸν κατάλογον παραλαμβανομένων τῆς ἀρετῆς, ἀνυπερθέτως ποιεῖν μετὰ προθυμίας ἁπάσης· ὡς τοῦ παρόντος καιροῦ τῆς ἐργασίας ὑπάρχοντος τῶν ἀγαθῶν καὶ καλῶν, τοῦ δὲ μετ' αὐτὸν ἥκιστα χώραν διδόντος τοῖς ἀποιχομένοις τοιοῦτόν τι δρᾶν. Ὅπερ ἐνέφηνεν εἰπών, « Ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ

[85] Gen. II, 18. [86] ibid. 31.

(41) Illud ἰδὲ refert Noster ad maritalia jura et conjugalem societatem : omnino recte ; idem enim Hebræis *vitam videre*, ac vitam jucunde traducere ; quemadmodum alibi legimus : *Videre somnum*, *videre bonum* et similia ; ubi *videre* est frui. Itaque Symmachus locum hunc reddidit Ἀπόλαυσον ζωῆς, et Latinus interpres : *Perfruere vita cum uxore*, *quam diligis*.

(42) At LXX habent... ὅπου σὺ πορεύῃ ἐκεῖ.

Digitized by Google

σοφία ἐν ᾅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ· » οὐχ ὡς ἀπο- A θεμένης καὶ παντελῶς ἀποβαλλομένης τοὺς ἐμφύτους λογισμοὺς τῆς ψυχῆς καὶ τὴν οὐσιώδη γνῶσίν τε καὶ σοφίαν, ἀλλ' ὡς οὐδαμῶς δυναμένης μετὰ τὴν ἀποδίωσιν τὴν ἐνταῦθα ἐξομολόγησιν ποιεῖσθαι τῶν ὧνπερ μετὰ τοῦ σώματος ἐπλημμέλησε, καὶ τὴν ἐπανάληψιν τῶν κρειττόνων καὶ συμφερόντων. Τὸ γὰρ συναμφότερόν ἐστιν ὁ ἄνθρωπος, ἡ ψυχὴ δηλαδὴ καὶ τὸ σῶμα, καὶ πᾶν κατόρθωμα καὶ πλημμέλημα διὰ τῶν ἀμφοτέρων ἐνταῦθα γινομένων, παρ' ἑκατέρου καὶ τὴν ἴασιν δέχεσθαι πέφυκε. Κἂν δόξῃ δέ τις προβαλέσθαι τὰς ἀσεβεῖς καὶ πονηρὰς ἐνθυμήσεις, ὡς διὰ μόνον ἐνεργεῖσθαι τῶν λογικῶν δυνάμεων τῆς ψυχῆς, μηδαμῶς ἐπικοινωνοῦντος τοῦ σώματος, ὡς μή πω πρὸς πρᾶξιν ἐκβεβηκυίας· ἀλλ' οὖν συνεζευγμένη τῷ σώματι, διὰ τῆς μετ' αὐτοῦ συναφείας καὶ B ταύτας ὠδίνησεν.

Οὐκ ἔστιν οὖν, « ἐν τῷ ᾅδῃ σοφία καὶ γνῶσις καὶ λογισμός, ὅπου σὺ πορεύῃ ἐκεῖ, » δηλονότι πρὸς ἐπανόρθωσιν καὶ βελτίωσιν. Καὶ διὰ τοῦτο παρεγγυᾶται μηδὲν τῶν λυσιτελῶν καὶ ψυχῆς σωστικῶν ἐν τῷ παρόντι βίῳ παραβλέπειν καὶ παροράν, ἀλλὰ πάσῃ δυνάμει καρπαλίμως ποιεῖν. Εἶτά φησιν·

inferno, quo tu vades illuc; » haud quia anima deponat et omnino exuat insitas cogitationes aut cognitionem et sapientiam naturæ propriam, sed quod, postquam hinc e vita excessit, non jam eorum quæ cum corpore admisit, criminum confessionem peragere possit, nec se ad honesta atque utilia referre. Est enim homo utrumque conjunctum, anima scilicet atque corpus, et cum omne facinus ac scelus, dum hic **226** simul degunt, ab utroque sit, utrumque item sanitatem recipere necesse est. Nisi quod objiciendas quis censeat impias malasque cogitationes, velut quæ solis animæ facultatibus perficiantur, cui nulla cum corpore communio tum sit, quod ad facinus ipsum nondum pervenerit. Verum quia corpori conjuncta est, eas quoque non sine ejusdem commercio peperit (43).

Non est igitur « in inferno sapientia, et scientia, et cogitatio, quo tu vades illuc, » id est ad correctionem atque profectum, ac propterea hortatur ut, re nulla quæ utilis et salutaris animæ sit, dum vivimus, neglecta aut contempta, illud mature atque omni contentione urgeamus. Addit deinde:

§ IX.

Ἐπέστρεψα, καὶ εἶδον ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος, καὶ γε οὐ τῷ σοφῷ ὁ ἄρτος· καὶ γε οὐ τοῖς συνετοῖς πλοῦτος, καὶ γε οὐ τοῖς γινώσκουσι χάρις· ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς. Ὅτι οὐκ ἔγνω ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ. Ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ, καὶ ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι, ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου ἐν καιρῷ πονηρῷ, ὅταν ἐπιπέσῃ ἐπ' αὐτοὺς ἄφνω.

Vers. 12. *Converti me, et vidi sub sole, quoniam non est velocibus cursus, nec potentibus prælium, nec quidem sapienti panis, nec quidem intelligentibus divitiæ, nec quidem scientibus gratia, quoniam tempus et eventus occurret omnibus illis. Quia nescit homo tempus suum. Quasi pisces, qui tenentur in retiaculo malo, et sicut volucres, quæ capiuntur in laqueo: sicut ea illaqueantur filii hominis in tempore malo, cum ceciderit super ipsos subito* (44).

Πόθεν ἐπιστρέψαι φησίν; Ἐκ τῶν περιστοιχιζουσῶν αὐτὸν φροντίδων καὶ μεριμνῶν πολλῶν καὶ παντοδαπῶν, ὡς βασιλέα καὶ κριτὴν καὶ κυβερνήτην τῆς ἐγκεχειρισμένης αὐτῷ θεόθεν μεγάλης ὁλκάδος τοῦ δυσαριθμήτου πλήθους τῶν Ἰσραηλιτῶν. Εἰκὸς γὰρ ἦν αὐτῷ ταῖς ἀναφυομέναις ἀσχολεῖσθαι διοικήσεσι τῆς βασιλικῆς προμηθείας. Ἐντεῦθεν οὖν ἐπιστρέψας, φησίν, ἀντὶ τοῦ, προκειμένων καὶ προσβλεπομέ- D νων πραγμάτων τὴν ἀσχολίαν καταλιπών, ἀνθείλκυσα πρὸς τὴν προκειμένην θεωρίαν τὸν νοῦν, καὶ εἶδον, δηλονότι τοῖς νοεροῖς ὀφθαλμοῖς, ὡς οὐχὶ πᾶς ὁ χρώμενος ὠκυτάτοις ποσὶ, καὶ πρὸς σύντονον καὶ κουφοτάτην πορείαν ἄγαν εὐφυῶς ἔχων, τῆς νίκης τὸ βραβεῖον ἀπεῖληφε. Πολλάκις γὰρ διολισθήσας ἢ συμποδισθείς, ἥττων ἀπεφάνθη τῶν ἀντιπάλων. Ἀλλ' οὐδὲ τοῖς ἀλκιμωτάτοις ὁ πόλεμος κατορθοῦσθαί πως πέφυκε· καὶ τὴν κατὰ τῶν ἐναντίων καὶ πολεμίων ἡ φυσικὴ δυναστεία ἐπικράτειαν προεξένη-

Unde tandem se conversum ait? A curis nempe, quibus circumseptus erat, negotiisque multis ac variis; quippe qui rex et judex et rector creditam sibi divinitus immensi Israelitarum populi navim moderabatur. Eum enim oborientibus regiæ providentiæ curis distineri oportebat. Hinc igitur conversus, inquit, sive præsentium atque occurrentium rerum occupatione posthabita, ad rei propositæ contemplationem animum adduxi, ac vidi, mentis utique oculis, non unumquemque, cui velocissimi sint pedes, et habitus corporis ad concitatum pernicemque cursum aptissimus, victoriæ laurea potiri; sæpe enim prolapsus aut impeditus, **227** inferior adversariis est renuntiatus; quin et robustissimis quibusque non semper bellum succedere e sententia; nec naturæ vires, vel si superiores essent, contra hostes pugnantes semper valuisse. Aliquando enim potentes ab imbecillioribus

(43) Ἐπανατέλλουσι γὰρ, inquit Basilius (in psal. I, 1), λογισμοὶ πονηροὶ ἐκ τῶν παθῶν τῆς σαρκὸς ταῖς ψυχαῖς ἡμῶν ἐντικτόμενοι. Id est: *Oriuntur enim pravæ cogitationes e carnis affectibus, et animis nostris ingenerantur.*

(44) Olymp..... καί γε οὐ τοῖς σοφοῖς ὁ ἄρτος.... ὡς αὕτως παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου εἰς καιρὸν πονηρὸν, ὅταν ἐμπέσῃ ἐπ' αὐτοὺς ἄφνω.

Digitized by Google

atque humilioribus victi superatique sunt; quemadmodum David puer testatur, qui de Goliathe gigante triumphavit: « Non enim in fortitudine equi voluntatem habebit, nec in tibiis viri beneplacitum est ei; sed beneplacitum est Domino super timentes eum, et in eis, qui sperant super misericordia ejus (44*), » ut ipse David nos docuit.

Quid vero de alimentis quis dixerit, quæ quotidie naturæ debentur, de pane scilicet ac id genus cæteris? Num doctis et sapientibus plus attributum est, quam iis qui e contrario sapientia carent? Atqui manifestum est, aratoribus et nauticis, apud quos ne suspicio quidem ulla sapientiæ est, nec panem defuisse nec cæterorum quidquam, quod alendæ vitæ satis esset: quemadmodum et reliquis qui ad nullum scientiæ gradum pervenissent, secus atque sapientibus, divitiæ sæpe contigerunt. Ingeniosi enim viri atque sapientes, cum otium suum ad sublimiora ac præstantiora conferant, his quandoque posthabiti etiam sunt, ut ad rudium et indoctorum manus hianti ore respiciant. Neque enim qui divinarum humanarumque rerum cognitione præstant, eorum semper a dynastis ac regibus ratio habetur. Nam hi plerumque imperitiorum moribus et sermonibus gaudent ac delectantur, cumque his tempus terunt. Jam vero cur hæc et qua de causa? « Quoniam tempus, inquit, et eventus occurret omnibus illis, » tempus et eventum appellans incidentes casus et humanæ vitæ inæqualitates. Quæ quibus de causis fiant, unus ille certo novit, « qui tempestivitates et tempora in sua posuit potestate [87], » quique « pauperat et ditat, atque suscitat de terra egenum, et de stercore elevat pauperem [88], » illis divinæ bonitatis suæ judiciis, ad quæ pervenire non licet (45).

228 Si vero pro modulo humanæ cognitionis, et ut captus est noster, causam quoque aliquam afferre vellemus, hæc nobis esse videretur, quare

A σεν. Ἐνίοτε γὰρ ὑπὸ τῶν ἀσθενεστέρων καὶ ταπεινοτέρων οἱ δυνατοὶ καταπολεμηθέντες καὶ νικηθέντες εὑρέθησαν· ὡς μαρτυρεῖ Δαβὶδ ὁ παῖς τὸν γίγαντα Γολιὰθ τροπωτάμενος. « Οὐ γὰρ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ, ἀλλ' εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ, » καθὼς αὐτὸς οὕτως φησί.

Τί δέ τις φαίη περὶ τῶν ἐφ' ἑκάστης ἡμέρας κεχρεωστημένων τῇ φύσει τροφῶν, ἄρτου δηλονότι καὶ τῶν παραπλησίων; Ἆρά γε τοῖς πολυμαθέσι καὶ σοφοῖς ἀποκεκλήρωνται μᾶλλον, ἢ τὸ ἔμπαλιν τοῖς ἀσόφοις; Ἀλλ' εἰδηλον, ὡς τοῖς ἀρόταις καὶ ναυτιλλομένοις καὶ μηδεμίαν σοφίας ὑπόληψιν ἔχουσιν, ὁ ἄρτος εὕρηται καὶ τῶν ἄλλων ἕκαστον τῆς αὐταρκείας
B εἰδῶν. Ὥσπερ καὶ τοῖς ἐν οὐδεμιᾷ συνέσεως κατα στάσει συνέσεως, ἀλλ' οὐχὶ τοῖς συνετοῖς, καθορᾶται πολλάκις ὁ πλοῦτος. Οἱ γὰρ σοφοὶ καὶ συνετοὶ σχολὴν ἄγοντες ἐν τοῖς πνευματικωτέροις καὶ κρείττοσιν, ἐνίοτε καὶ καθυστέρηνται τούτων, καὶ πρὸς τὰς τῶν ἀσόφων καὶ ἀσυνέτων ἀποβλέπουσι καὶ κεχήνασι χεῖρας. Ἀλλὰ γὰρ οὐδὲ τοῖς γνῶσιν ἔχουσι θείων καὶ ἀνθρωπίνων πραγμάτων, δίδοται χάρις ἐξ ἅπαντος παρὰ τῶν δυναστῶν ἢ καὶ βασιλέων τῆς γῆς. Εὕρηνται γὰρ ὡς ἐπὶ πολὺ τοῖς τῶν ἀμαθεστέρων ἤθεσι καὶ λόγοις ἐνηδόμενοι καὶ κατατερπόμενοι, καὶ σὺν αὐτοῖς ποιούμενοι τὰς διατριβάς. Τί δή ποτε καὶ ὅτου χάριν; « Ὅτι καιρὸς, φησὶ, καὶ ἀπάντμπα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς, » καιρὸν καὶ συνάντημα τῶν συμβαινουσῶν περιπτώσεων ταῖς ἀνθρωπίναις καὶ βιωτικαῖς ἀνωμαλίαις προσαγορεύσας. Καθ'
C ἃς αἰτίας μόνος ἀκριβῶς οἶδεν « ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ θέμενος ἐξουσίᾳ, » καὶ « πτωχίζων καὶ πλουτίζων, καὶ ἀπὸ γῆς ἐγείρων πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, » τοῖς ἀνεφίκτοις αὐτοῦ τῆς θεοπρεπῶς ἀγαθότητος κρίμασιν.

Εἰ δὲ καί τινα δοῦναι βουληθείημεν αἰτίαν ἡμεῖς κατὰ τὸ δεδομένον μέτρον ἡμῖν τῆς ἀνθρωπίνης διαγνώσεώς τε καὶ καταλήψεως, ταύτην φαίημεν ἂν,

[87] Act. I, 7. [88] I Reg. II, 7.

(44*) Psal. CXLVII, 10. Deest ἀλλ' apud LXX.

(45) Gregorius Neocæsariensis, cum superiora tanquam hominum perditorum dicta explicasset, eosque induxisset illud quoque dictitantes; Ἅδης δὲ, ὅτι ποτὲ καὶ ἔστιν εἰς ὃν ἀπιέναι λεγόμεθα, σοφίας καὶ αἰσθήσεως ἀμοιρεῖ. Id est, *Orcus vero, quicunque tandem ille est, ad quem abire dicimur, sapientiæ et sensus est expers;* jam totum hunc articulum summatim attingens, paulo aliter exposuit. Ait enim: Ταῦτα μὲν μάταιοι· ἐγὼ δὲ εὖ οἶδα, ὡ; οὔτε οἱ κουφότατοι δοκοῦντες τὸν μέγαν δρόμον ἐκεῖνον ἀνύσουσιν, οὔτε οἱ δυνατοὶ καὶ φοβεροὶ παρὰ
D ἀνθρώποις δεδοξασμένοι, τὸν φοβερὸν πόλεμον νικήσουσιν. Ἀλλ' οὐδὲ ἐν ἐδωδῇς πλήθει φρόνησις δοκιμάζεται, οὐδὲ σύνεσις πλούτῳ κοινωνεῖν εἴωθεν· οὐδὲ συγχαίρω τοῖς οἰομένοις ἅπαντας τῶν ὁμοίων τεύξεσθαι. Πάνυ δὲ ὑπνώττειν ἐοίκασιν οἱ τὰ τοιαῦτα ἐνθυμούμενοι, καὶ μὴ λογιζόμενοι, ὡς δίκην ἰχθύων καὶ ὀρνέων ἀνάρπαστοι γινόμενοι, ἐν κακοῖς κατατριβήσονται, ἄφνω τῆς ἀξίας λαχόντες ἐπιτιμίας. Id est: *Atque hæc vani homines loquuntur. Ego vero certum habeo, nec eos, qui pedum levitate præstare videntur, magnum illum cursum veracturos: nec eos, qui potentes et formidabiles apud homines habiti fuerint, bellum illud formidabile confecturos. Nec vero prudentia in ciborum copia exploratur, nec sagacitas quidquam commune habere cum opibus consuevit. Nec iis gratulandum puto, qui omnes ad eadem perventuros esse arbitrantur. Gravi enim sopore oppressi mihi videntur, qui res hujusmodi cogitant, nec secum reputant fore, ut piscium aviumque instar abrepti, in malis versentur, ac subito pro scelerum merito pœnas luant.*

Hoc Dei consilium fuisse in supremo vitæ nostræ die occultando, Patres consentiunt. Οὕτω καὶ ὁ Θεὸς, inquit unus e multis Chrysostomus, τὴν ἡμέραν ἡμῶν τῆς τελευτῆς ἄδηλον ἐποίησε· καὶ οὔτε εἰ σήμερον, οὔτε εἰ αὔριον, οὔτε εἰ μετὰ ἐνιαυτὸν ὅλον, οὔτε εἰ μετὰ πλείονα ἔτη ἐπιστήσεται, δῆλον ἡμῖν ἀφῆκεν εἶναι· ἵνα τῷ τῆς προσδοκίας ἀδήλῳ διαπαντὸς ἐν ἀρετῇ κατέχωμεν ἑαυτούς. Id est: *Sic etiam diem mortis nobis Deus fecit incertum: neque nobis aperuit, an hodie, an cras, an post totum annum, an post multos annos sit affuturus: ut propter incertam expectationem, nos in virtute perpetuo contineamus.* (Hom. 4, n. 1, in Epist. ad Hebr. c. II.)

Digitized by Google

ὡς συγκεχώρηται τἀναντία πολλάκις τοῖς υἱοῖς τῶν ἀνθρώπων, ἵνα μηδεὶς ἐπερειδόμενος καὶ προσελπίζων ἢ ταῖς ταχύτησι τῶν ἰδίων ποδῶν, ἢ ταῖς ἄλλαις τῶν βραχιόνων, ἢ τῇ περιουσίᾳ τῆς σοφίας ἢ συνέσεως ἢ γνώσεως, ὑπερόπτης εὑρεθείη καὶ καταφρονητὴς τῆς πρὸς τὸν ἴδιον ποιητὴν καὶ Θεὸν καὶ Δεσπότην προσνεύσεως καὶ προσεδρείας καὶ προσευχῆς καὶ δεήσεως, ἀλλὰ πάντες ἐπ' αὐτὸν ἔχωσι τὰς ἐλπίδας, καὶ παρὰ τῆς ἀγαθοπρεποῦς αὐτοῦ καὶ φιλανθρώπου προνοίας ἐξαιτῶνται τὴν κατευόδωσιν καὶ τὴν ἀπολύτρωσιν καὶ σωτηρίαν καὶ νίκην κατὰ τῶν σφῶν ἀντιπάλων. Τούτου χάριν ἀπρόοπτον καὶ τοῦ θανάτου τὴν ὥραν ᾠκονόμησε τοῖς ἀνθρώποις ὑπάρχειν· ἵνα τῷ ἀσυμφανεῖ καὶ ἀδιαγνώστῳ τῆς ὥρας νήφωμεν ἀεὶ καὶ διαγρηγορῶμεν, μὴ κλαπῆναι τὸν οἶκον τῆς ἡμετέρας ψυχῆς, καὶ τοὺς θησαυροὺς τῆς πρὸς Θεὸν ἐλπίδος καὶ πίστεως ἀπολέσωμεν.

A filiis hominum sæpe contraria contingere permittantur, ut nemo scilicet subnixo animo, ac spe in pedum suorum pernicitate aut brachiorum robore, vel in sapientiæ præstantia et ingenii et scientiæ collocata, superbiat, ac debitum Deo auctori et domino suo cultum et assiduitatem et obsecrationes et preces negligat : utque omnes spem suam in eo positam habeant, atque ab optima ejus et benignissima providentia prosperitatem et redemptionem et salutem deque hostibus suis victoriam petant. Hac de causa ipsam mortis horam ne homines prænoscere possent, constituit : quo propter ejus temporis obscuritatem et ignorationem sobrii semper simus, ac vigilemus ne animæ nostræ domus diripiatur, et spei in Deo positæ ac fidei the- B sauros amittamus (46).

Διὰ τοῦτό φησιν ὁ σοφὸς Ἐκκλησιαστής, « Ὅτι οὐκ ἔγνω ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ, » ἀλλὰ δίκην ἰχθύων « θηρευομένων ἐν ἀμφιβλήστρῳ κακῷ » καὶ πιπτόντων ὀρνέων ἐν πάγῃ, θηρεύονται καὶ παγιδεύονται πολλάκις καὶ οἱ ἄνθρωποι, ταῖς ἁμαρτητικαῖς δηλαδὴ πάγαις καὶ τῷ ἀμφιβλήστρῳ τῶν κακῶν βουλευμάτων τοῦ μισοκάλου διαβόλου καὶ δυσμενοῦς ἡμῶν, ὅταν ἐξάπινα καὶ παρ' ἐλπίδα ἐπέλθῃ τοῖς μὴ προσέχουσιν.

Propterea ait sapiens Ecclesiastes : « Quia nescit homo tempus suum, » sed piscium more, « qui tenentur in retiaculo malo, » et sicut volueres, quæ incidunt in laqueum, homines utique ipsi capiuntur sæpe atque illaqueantur, peccati scilicet laqueis, et consiliorum malorum retiaculo, quo malignus nostri generis hostis diabolus utitur, cum improviso qui minus seduli sunt, nec opinantes invadit.

Ἀλλ' ἡμεῖς ἀεὶ νήφοντες εὑρεθῶμεν καὶ γρηγοροῦντες καὶ προσεκτικῶς διαζῶντες, καὶ τὴν ἄνωθεν ἐπικαλούμενοι χάριν καὶ συνέργειαν· δι' ἧς δυνησώ- C μεθα τῶν ἐπιβουλευόντων ἐφέδρων καὶ κλεπτῶν καὶ λῃστῶν ὑπεραναπτῆναι τῆς πάγης καὶ πάσης ἐπιβουλῆς καὶ λύττης αὐτῶν, εὑρεθῆναι δὲ βελτίους, καὶ παντελῶς οἰκειωθῆναι τῷ Θεῷ διὰ τελείας ἁγιοπρεποῦς καὶ πνευματικῆς καταστάσεως· ἵνα καὶ τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν, ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παντοκράτορι Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

229 Nos vero operam demus, ut sobriam semper et vigilantem et attentam vitam agamus, imploremusque supernam gratiam et opem in agendo adjutricem ; qua insidiatorum et furum latronumque laqueos et dolos omnes et furorem effugere possimus, et virtute præstantiores facti, spiritali quodam sanctioris ac perfectioris vitæ nexu Deo plane conjungamur, itaque cœlestis quoque regni hæreditatem adeamus, cum ipso Christo Deo nostro, cui gloria et imperium cum omnipotente Patre et sancto bonoque ac vitæ auctore Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ.

LIBER NONUS.

§ I.

Καὶ γε εἶδον τοῦτο, σοφίαν ὑπὸ τὸν ἥλιον, D *καὶ μεγάλη ἐστὶ πρός με· πόλις μικρὰ, καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι. Καὶ ἐπέλθῃ ἐπ' αὐτὴν βασιλεὺς μέγας, καὶ κυκλώσει αὐτὴν, καὶ οἰκοδομήσει ἐπ' αὐτὴν χάρακας μεγάλους· καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα σοφὸν, καὶ διασώσει αὐτὸς*

230 Vers. 13-16. *Et hoc quoque vidi, sapientiam sub sole, et magna est ad me ; civitas parva, et viri pauci in ea. Et venit super eam rex magnus, et circumdabit eam, et ædificabit adversus eam aggeres magnos. Et invenit in ea virum pauperem sapientem, et servabit is civitatem in sapientia sua. Et*

Digitized by Google

homo non recordatus est viri pauperis illius. Et dixi ego: Bona sapientia super potentiam : et sapientia pauperis pro nihilo habita, et verba ejus non sunt audita (46).

Cum paulo ante affirmavit filios hominum capi et illaqueari, piscium atque avium instar, retibus laqueisque venatorum et animo et corpori insidiantium, quod nempe homo proprium mortis tempus ignoret, tam naturalis, quam ejus quæ a peccato infertur; sapientiæ jam atque gratiæ, quæ divinitus homini data est ad insidias superandas, scientiam ostendit: et exempli causa assumit ac proponit parvam urbem et paucis a viris habitatam, quam rex potens, castris ad mœnia positis, obsideat, et machinas omnis generis admoveat, quo urbe illa potiatur: simul et virum pauperem at sapientem, et qui sapientiæ suæ ope urbem ab insidiatoribus atque hostibus servare possit. Porro, si obvium sensum spectemus, enixe commendare videtur sapientiæ studium, ejus nempe, quæ a Deo datur ad avertendos externos hostes, qui urbes utique aspectabiles obsident, ac diuturna obsidione expugnant **231** et capiunt, incolasque omnes captivos ducunt, aut ferro interimunt (47). At si anagoges ratio habeatur, parvam urbem denominat rationalem hominis animam, cui viri sunt pauci, id est facultates ejus, intellectus, cogitatio, opinio, imaginatio, vis sentiendi: quam obsidione cinctam quiescere non patitur superbus Satanas, per abusionem rex appellatus, tanquam qui peccati et mortis imperium habet; quemadmodum et leo et princeps mundi hujus dictus est, quod vecordes opprimat, et omnes adhibeat machinas, ut urbe potiatur de qua nunc loquimur. Qui si hominis intellectum sedulum sobriumque invenerit, et superna sapientia atque gratia munitum, fractus concidit, fugamque capit, viri unius pauperis machinis consiliisque perculsus et cum dedecore profligatus.

Virum autem humanum intellectum dixit: quem unum masculini generis appellatione efferri puto, cum cæteræ animæ facultates feminini omnes generis sint: fortasse vero ea etiam de causa, quod aeris instar nullo impedimento levis attollitur, et

A *τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ ἄνθρωπος οὐκ ἐμνήσθη τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου. Καὶ εἶπα ἐγώ· Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν· καὶ σοφία τοῦ πένητος ἐξουθενημένη, καὶ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι.*

Μικρὸν ἄνοπιν εἰπὼν θηρεύεσθαι καὶ παγιδεύεσθαι τοὺς υἱοὺς τῶν ἀνθρώπων δίκην ἰχθύων καὶ πετεινῶν ταῖς ἄρκυσι καὶ ταῖς πάγαις τῶν νοητῶν καὶ τῶν αἰσθητῶν θηρευτῶν, ὡς ἥκιστα τοῦ ἀνθρώπου τὸν ἴδιον καιρὸν τοῦ θανάτου γινώσκοντος, τὸν φυσικὸν δηλονότι καὶ τὸν τῆς ἁμαρτίας· καθυποδείκνυσιν ἤδη τὴν ἐπιστήμην τῆς δεδομένης ἄνωθεν τῷ ἀνθρώπῳ σοφίας καὶ χάριτος, δι' ἧς εὑρηται τῶν ἐπιβουλευόντων βελτίων· καὶ παραλαμβάνει καὶ προτίθησιν ὡς ἐν παραδείγμασι πόλιν μικρὰν ἔχουσαν ἄνδρας
B ὀλίγους, καὶ πολιορκουμένην ὑπὸ βασιλέως ἰσχυροῦ μετὰ τῶν στρατοπέδων αὐτοῦ, καὶ παντοδαπὰς ἐλεπόλεις προβαλλομένου πρὸς τὴν τῆς τοιαύτης πόλεως ἅλωσιν· ἄνδρα δέ τινα πένητα, σοφόν γε μὴν ὄντα, περισῶσαι τὴν πόλιν ἐκ τῶν ἐπιβουλευόντων καὶ πολεμούντων διὰ τῆς ἰδίας σοφίας. Καὶ δοκεῖ μὲν, κατὰ τὸν πρόχειρον νοῦν, πάντας τοὺς ἐπαΐοντας εἰσηγεῖσθαι περὶ πολλοῦ τὴν σοφίαν, δηλαδὴ τὴν ἐκ θεοῦ διδομένην πρὸς ἀποτροπὴν τῶν ἀλλοφύλων καὶ πολεμίων τῶν ταῖς αἰσθηταῖς πόλεσι προσεδρευόντων, καὶ τῇ χρονίᾳ πολυορκίᾳ καταβαλλόντων αὐτὰς καὶ παραλαμβανόντων, καὶ τοὺς ἐν αὐταῖς οἰκοῦντας αἰχμαλωτιζόντων ἢ καὶ δρώντων ἔργον αἰχμῆς.
C Τῷ λόγῳ δὲ τῆς ἀναγωγῆς πόλιν ὀνομάζει μικρὰν τὴν λογικὴν τοῦ ἀνθρώπου ψυχὴν ἔχουσαν ἄνδρας ὀλίγους, ἤγουν τὰς δυνάμεις αὐτῆς, νοῦν, διάνοιαν, δόξαν, φαντασίαν καὶ αἴσθησιν· ἣν οὐ παύεται πολιορκῶν ὁ μεγάλαυχος Σατανᾶς, βασιλεὺς καταχρηστικῶς ὀνομαζόμενος, ὡς τὸ κράτος ἔχων τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. Καθάπερ δὴ καὶ λέων καὶ ἄρχων τοῦ κόσμου τούτου διὰ τὸ κεκρατηκέναι τῶν ἀβελτέρων, καὶ προβαλλόμενος παντοδαπὰς ἐλεπόλεις πρὸς ἅλωσιν τῆς παραληφθείσης νῦν ἡμῖν πόλεως. Ὃς ἐὰν εὕρῃ τὸν τοῦ ἀνθρώπου νοῦν προσεκτικὸν καὶ νηφάλιον, καὶ τὴν ἄνωθεν ἔχοντα σοφίαν καὶ χάριν, καταργεῖται καὶ δραπετεύει, τοῦ ἑνὸς ἀνδρὸς πένητος τοῖς μηχανήμασι καὶ σοφίσμασι τιτρωσκόμενος καὶ μετ' αἰσχύνης ἀπελαυνόμενος.

D *Ἄνδρα* δὲ τὸν ἀνθρώπινον νοῦν προσαγόρευσεν· οἶμαι καὶ διὰ τοῦ γένους ἀῤῥενικοῦ μόνον ἐπιφέρεσθαι κλῆσιν, τῶν ἄλλων ὁμογενῶν δυνάμεων ἁπασῶν θηλυκοῦ γένους ὑπαρχουσῶν· τάχα δὲ καὶ διὰ τὸ δίκην ἀέρος ἀκωλύτως καὶ κούφως ἀείρεσθαι καὶ ἀν-

(46) Sed apud LXX legimus.... Καὶ κυκλώσῃ αὐτὸν, οἰκοδομήσῃ ἐπ' αὐτὴν.... καὶ διασώσῃ αὐτὸς τὴν πόλιν...." καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσακουόμενοι. Olympiodorus, Καὶ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι.

(47) Hunc item articulum, nec diversa sententia, Gregorius Neocæsariensis sic est paucis complexus: Ἐγὼ δὲ σοφίαν οὕτω τι μέγα ἡγοῦμαι, ὡς καὶ πόλιν μικρὰν ὑπ' ὀλίγων μὲν οἰκουμένην, ὑπὸ δὲ μεγάλου πολιορκουμένην βασιλέως χειρὶ, πολλὴν καὶ μεγάλην ἡγοῦμαι, εἰ καὶ ἕνα σοφὸν ἄνδρα πολίτην ἔχοι πένητα. Δύναιτο γὰρ ἂν οὗτος καὶ ἐκ τῶν πολεμίων καὶ ἐκ τῶν χαρακωμάτων τὴν ἑαυτοῦ διασῶσαι πόλιν. Καὶ ἄλλοι μὲν τὸν σοφὸν ἐκεῖνον οὐ γινώσκουσι πένητα· ἐγὼ δὲ καὶ πάνυ προκρίνω τὴν ἐν σοφίᾳ ἰσχὺν ταύτης τῆς δημώδους δυνάμεως. Ἀλλ' ἐνθάδε μὲν ἀτιμάζεται σοφία πενίᾳ συνοικοῦσα. Id est : *Ego vero sapientiam tanti facio, ut parvam etiam civitatem a paucis habitatam, atque adeo a magno rege cum exercitu circumsessam, magnam et frequentem existimem, si vel pauperem unum sapientem virum civem habeat. Hic enim tum ab hostium impetu, tum ab aggeribus et cuniculis civitatem suam incolumem tueri possit. Et quamvis alii pauperem illum sapientem non agnoscant, ego tamen sapientiæ vires popuari huic potentiæ longe antepono. Verum hic quidem jacet et contemnitur sapientia, quæ cum paupertate conjuncta est.*

Digitized by Google

ἵπτασθαι πρὸς τὰς ἄνω καὶ νοητὰς θεωρίας· *πένητα* διὰ τὸ πενητεύειν τοῖς τοῦ σώματος ὅπλοις καὶ ταῖς ἀλκαῖς πρὸς τὰς τῶν νοητῶν ἐφέδρων καὶ δυσμενῶν πάλας. Οὗτος οὖν ὁ κληθεὶς *ἀνὴρ πένης*, ἤγουν ὁ νοῦς, ἐν τῇ δεδομένῃ αὐτῷ θεόθεν σοφίᾳ καὶ χάριτι καταπαλαίει καὶ καταβάλλει τοὺς ἀλλοφύλους καὶ πολεμίους, καὶ περισώζει τὴν πόλιν τῆς ψυχῆς, ἧς ἐστι δύναμις κυριωτάτη, καὶ ἐν ᾗ καταμένει, τῆς ἐκ τῶν ἀντικειμένων ἁλώσεως, αἰσθητῶν δηλονότι καὶ νοητῶν. Ὁ γὰρ θείαν σοφίαν καὶ χάριν ἄνωθεν εἰληφὼς, οὐ μόνον τὰς διαβολικὰς καὶ δαιμονικὰς ἐπιβουλὰς τῶν πονηρῶν ἐνθυμήσεων, ἀλλὰ καὶ τὰς τῶν κακούργων καὶ πανούργων καὶ βασκάνων ἀνθρώπων ἐξαπάτας προϋπειδόμενος καὶ προκαταλαμβάνων διαῤῥήγνυσι, καὶ παντελῶς ἀπράκτους καθίστησι τῶν ἑκατέρων τὰς μηχανάς.

A ad supernas ac spiritales contemplationes avolat: *pauperem* autem, quod corporis careat armis atque subsidiis ad spiritalium insidiatorum atque hostium luctas. Hic igitur, qui *vir pauper* appellatur, id est intellectus, ea, quam divinitus accepit, sapientia atque gratia externos hostes luctando prosternit, et urbem animæ, cujus potissima facultas est, et in qua manet, ab adversariorum tam sensibilium quam spiritalium captivitate salvam tuetur. Qui enim divinam sapientiam atque gratiam de cœlo accepit, non solum diaboli fraudes et malarum cogitationum **232** insidias, sed etiam improborum hominum calliditatem et invidiam et dolos providendo præoccupat dissipatque, ac utrorumque artificia inutilia prorsus atque inania reddit.

B

Ὅτι δὲ πόλις ἡ λογικὴ ψυχὴ προσηγόρευται, δείκνυσιν ὁ προφήτης Δαβὶδ λέγων· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· » τὰς τοῦ παναγίου Πνεύματος ἐνεργείας καὶ χάριτας καλέσας « ὁρμήματα ποταμοῦ, » τὰ κατευφραίνοντα τὴν ψυχήν, τὴν ἐπὶ Θεὸν ἔχουσαν τὰς ἐλπίδας. Ἀμέλει τοίνυν τὴν τοιαύτην ἐκδοχὴν, παρεμπεδῶν καὶ ὁ σοφὸς Ἐκκλησιαστὴς ἐπήγαγε· « Καὶ ἄνθρωπος οὐκ ἐμνήσθη τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου. » Οὐδὲ γάρ τις εὕρηται τῶν ἄλλων ἀνθρώπων ἁπάντων τὴν ἐκείνου πάλην καὶ νίκην εἰδὼς, καθ' ὃν καιρὸν ἡ πολυορκία τῆς ψυχῆς, ἤτοι τῆς πόλεως γέγονεν· οὐδέ τί γε μὴν « εἰσιν ἀκουόμενοι » παρά τισιν ἄλλοις « οἱ λόγοι αὐτοῦ, » δηλονότι τοῦ νοῦ, καθ' οὓς ἀπῆρξε τοὺς ἀντιπάλους. Καὶ διὰ τοῦτο καὶ καταπεφρόνηται καὶ κατεξουδένωται πολλάκις ἡ σοφία τοῦ τοιούτου πένητος, ὡς ἀγνοουμένη, πηλίκον παγκράτιον ἐνεστήσατο, καὶ τρόπαιον ἤγειρεν.

Quod vero rationalis anima urbis nomine appellata sit, David propheta ostendit, cum ait: « Fluminis impetus lætificant civitatem Dei [49]; » sancti Spiritus virtutes ac dona appellans *fluminis impetus*, quibus anima exhilaratur, quæcunque spem suam in Deo collocarit. Itaque ut interpretationem hujusmodi confirmaret, sapiens quoque Ecclesiastes adjecit: « Et homo non est recordatus viri illius pauperis. » Neque enim ex omnibus aliis hominibus inventus est quispiam, qui, quo tempore anima sive urbs obsidione premebatur, luctam illius et victoriam noverit; neque ab aliis ullis « exaudita sunt verba ejus, » ipsius nempe intellectus, quibus adversarios exclusit. Idcirco sæpe pauperis ejusmodi sapientia contempta est, ac pro nihilo habita, quod ignoraretur, quantum ille certamen sustinuisset, et quantum tropæum excitasset.

C

Ἀλλ' ὁ σοφὸς Ἐκκλησιαστὴς ἀνακηρύττει τὸν ἀθλητὴν διὰ τὴν παρὰ τοῦ ἀθλοθέτου δεδομένην αὐτῷ σοφίαν καὶ χάριν, καί φησι, « Καὶ εἶπα ἐγὼ, Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν. » Τοῦτο δὲ σαφῶς ἔοικε τὸ ῥητὸν τῷ φάσκοντι λόγῳ τοῦ προφήτου Δαβὶδ, « Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ, ἀλλ' εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ. » Καταπαλαίονται γὰρ καὶ τροποῦνται μᾶλλον τὰ στίφη τῶν ἀντιστατῶν δαιμόνων, ἔτι γε μὴν καὶ τῶν βασκάνων καὶ μισοκάλων ἀνθρώπων ὑπὸ σοφίας καὶ χάριτος καὶ φρονήσεως, ἢ δυνάμεως φυσικῆς. Τοῦτο γὰρ ἐμπεδῶν, ἀμέσως ἐπήγαγεν ὁ σοφὸς Ἐκκλησιαστής·

At sapiens Ecclesiastes athletam hunc extollit ab data illi a certaminis constitutore sapientia atque gratia, et ait: « Et dixi ego: Bona sapientia super potentiam. » Quod dictum plane respondet Davidis prophetæ verbis dicentis: « Non in fortitudine equi voluntatem habebit, neque in tibiis viri beneplacitum est Deo, sed beneplacitum est Domino super timentes eum, et in eis qui sperant super misericordia ejus [50]. » Turmæ enim infensorum dæmonum, ac invidorum improborumque hominum D multo magis a sapientia et gratia et prudentia, quam a naturæ virtute propelluntur ac superantur. Id enim ut confirmaret, adjecit protinus sapiens Ecclesiastes:

§ II.

Λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύναις.

Μονονουχὶ γάρ, φησὶν, οἱ λογισμοὶ καὶ λόγοι τοῦ παραληφθέντος σοφοῦ τοῖς ἄλλοις πᾶσιν ἀφανεῖς εἰσι, καὶ κρυφίαν ἔχουσι καὶ μυστικὴν τὴν ἀντιπαράταξιν καὶ κατασχολὴν· τοῖς ἐθέλουσιν αὐτοὺς

VERS. 17. *Verba sapientum in quiete audiuntur super clamorem eorum, qui potestatem habent in stultitiis* (48).

Tanquam si diceret: Cogitationes et verba sapientis, de quo loquimur, **233** cæteris omnibus occulta sunt, atque arcanam et mysticam continent pugnandi seque exercendi artem: qui ediscere

[49] Psal. XLVI, 4. [50] Psal. XLVII, 10.

(48) Olymp. λόγοι σοφοῦ.

Digitized by Google

velint, ab his audiuntur, cum ille ipse declaret omnia atque enuntiet iis qui benevolo animo accedunt et exquirunt, atque idem in corda eorum perducat majore sono, quam quo theatra resonent apud eos, qui suis legibus vivunt, cum puerorum more inter se clamoribus contendunt (49). Id enim illa significant : « super clamorem eorum, qui potestatem habent in stultitiis. » Ait deinde :

καταμανθάνειν ἀκούονται, φανεροῦντος αὐτοὺς καὶ διαγγέλλοντος τοῖς μετ' εὐλαβείας προσιοῦσι καὶ διαπυνθανομένοις, καὶ ταῖς σφῶν καρδίαις εἰσκρίνοντος ὑπὲρ πᾶσαν μεγαλοφωνίαν γινομένην ἐν τοῖς θεάτροις παρὰ τῶν αὐτονομίᾳ συζώντων, καὶ προσφωνούντων ἀλλήλοις τὰ τῶν παιγνίων μετὰ κραυγῆς. Τοῦτο γὰρ ἐσήμανεν εἰπὼν, « ὑπὲρ κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύναις. » Εἶτά φησιν·

§ III.

VERS. 18. *Bona sapientia super vasa belli, et peccans unus perdet bonitatem multam.*

Ut obvius fert sensus, supernam sapientiam atque gratiam machinis instrumentisque bellicis pari modo anteponit. Ubi enim prudentia desit, omnis eorum apparatus et copia inutilis est (50). At si vim anagoges attendas, declarat, nequaquam opus esse machinis ullis sensibilibus ad aciem adversus diabolum et socios ejus malos dæmones instruendam : sed solertia tantum et sobrietate, quam iis qui spem suam in Deo posuerunt, superna sapientia largitur. Ipsa enim vel sola humanum intellectum imbuit ac roborat, **234** ut machinamenta eorum et propugnacula omnino eludat.

Quod autem ait. « Et peccans unus perdet bonitatem multam, » indicat quidem et proditionem in bellis, ubi ferro res geritur, minime raram, quæ omnium tribulium studia in perniciem vertit, cum proditoris indicio ad obsessos in ipsa pugna opprimendos hostes deducantur. At ex interiore sensu illud addocet atque demonstrat, ubi intellectus voluntaria negligentia langueat, aciemque claudat, atque adeo improvisæ cogitationum impiarum oppugnationi aditum patefaciat ; priorem ab eo multam bonitatem amitti, virtutem scilicet, et quæ in piis concertationibus victoriæ comes est, luctam contra spiritales adversarios atque hostes. Sobrios enim perpetuo nos esse oportet, ac vigilare et sedulo circumspicere spiritalium inimicorum aggressiones : ne quando intellectus, veritatis tuendæ ra-

Ἀγαθὴ σοφία ὑπὲρ σκεύη πολέμου, καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν.

Πρὸς μὲν τὴν πρόχειρον ἔννοιαν, ὑπερτίθησιν ὡσαύτως τὴν ἄνωθεν σοφίαν καὶ χάριν τῶν πολεμικῶν μηχανημάτων καὶ κατασκευασμάτων· φρονήσεως γὰρ μὴ παρούσης, ματαία τούτων εὕρηται παντελῶς ἡ παρασκευὴ καὶ κατασκευή. Πρὸς δὲ τὸν νοῦν τῆς ἀναγωγῆς, παρεμφαίνει, καὶ μηδαμῶς δεῖσθαι τινῶν αἰσθητῶν μηχανημάτων εἰς τὴν κατὰ τοῦ Διαβόλου καὶ τῶν συνοπαδῶν αὐτοῦ καὶ μισοκάλων δαιμόνων ἀντιπαράταξιν· ἀλλὰ μόνης προσοχῆς καὶ νηφαλιότητος, ἣν ἡ ἄνωθεν σοφία χαρίζεται τοῖς ἐπὶ τὸν Θεὸν ἠλπικόσιν· αὕτη γὰρ καὶ μόνη συνετίζει καὶ κραταιοῖ τὸν ἀνθρώπινον νοῦν καταργεῖν τὰς ἐλεπόλεις καὶ πυργοβάρεις αὐτῶν.

Ὃ δέ φησι, « Καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν, » δηλοῖ μὲν καὶ τὴν ἐπὶ τοῖς αἰσθητοῖς πολέμοις γινομένην παρά τινος προδοσίαν πολλάκις· ἥτις ἀπόλλυσι πάντων τῶν συμφυλετῶν τὴν σπουδὴν, ταῖς ὑποθήκαις αὐτοῦ χειραγωγηθέντων τῶν ἀλλοφύλων πρὸς ἅλωσιν τῶν πολιορκουμένων καὶ μαχομένων. Πρὸς δὲ διάνοιαν, εἰσηγεῖται καὶ δείκνυσιν, ὡς ὀπηνίκα καταραθυμήσει καὶ μύσει τὸ ἴδιον ὀπτικὸν ἑκουσίως ὁ νοῦς, καὶ διὰ τοῦτο πρὸς συγκατάθεσιν ἔλθῃ τῆς ἀπροόπτου προσβολῆς τῶν τῆς ἀσεβείας ἐνθυμημάτων· ἀπόλλυσι τὴν προτέραν πολλὴν ἀγαθωσύνην, ἤγουν ἀρετήν. καὶ τὴν ἐπὶ ταῖς εὐσεβέσιν ὑπολήψεσι τροπαιοφόρον πάλην, τὴν κατὰ τῶν νοητῶν ἀντιπάλων καὶ δυσμενῶν. Νήφειν γὰρ ἀεὶ χρὴ καὶ διεγρηγορέναι καὶ προσεκτικῶς περισκοπεῖν τὰς προσβολὰς τῶν νοητῶν ἀλλο-

(49) Urbs αὐτονομουμένη Suidæ est ἡ τοῖς αὐτῆς νόμοις χρωμένη, καὶ οὐχ ὑπακούουσα ἑτέροις, quæ suis utitur legibus, nec aliis paret. Αὐτονομίαν autem esse docet Strabo, μὴ ὑπακούειν τῶν εἰς τὴν ὑπαρχίαν πεμπομένων στρατηγῶν, μήτ' αὐτὴν, μήτε τοὺς ὑπηκόους, ut neque urbs ipsa, neque ejus subditi missis in provinciam rectoribus parere necesse habeant (lib. IV, p. 181). Porro hanc immunitatem sæpe Græcorum urbibus a senatu atque ab ipsis Augustis concessam aut ademptam pro cujusque civitatis meritis adnotum est. Diu autem ea jura retenta esse ac conservata, satis indicat Noster, qui temporum suorum consuetudinem se describere ostendit.

De concionum licentia et magnis theatrorum clamoribus, cum eo populus comitiorum causa conveniebat, similia habet Tullius in orat. *Pro Flacco* (cap. 7) : Græcorum autem totæ respublicæ sedentis concionis temeritate administrantur... cum in theatro imperiti homines, rerum omnium rudes ignarique conseederant ; tum bella inutilia suscipiebant, tum seditiosos homines reipublicæ prælicie-bant, tum optime meritos cives e civitate ejiciebant. » Et paulo superius : « Sic sunt expressa ista præclara, quæ recitantur, psephismata, non sententiis neque auctoritatibus declarata, nec jurejurando constricta, sed porrigenda manu profundendoque clamore multitudinis concitatæ.

(50) Illustrant hunc locum quæ Tullius habet, lib. I *De offic.* c. 22. « Vere autem si volumus judicare, multæ res exstiterunt urbanæ majores clarioresque, quam bellicæ. Quamvis enim Themistocles jure laudetur, et sit ejus nomen, quam Solonis, illustrius, citeturque Salamis clarissimæ testis victoriæ, quæ anteponatur consilio Solonis ei, quo primum constituit Areopagitas ; non minus præclarum hoc, quam illud judicandum est. Illud enim semel profuit, hoc semper proderit civitati ; hoc consilio leges Atheniensium, hoc majorum instituta servantur. Et Themistocles quidem nihil dixerit, ut in quo ipse Areopagum adjuverit ; at ille vere, a se adjutum Themistoclem. Est enim bellum gestum consilio senatus ejus, qui a Solone erat constitutus. »

Digitized by Google

φύλων· ἵνα μηδέποτε διαμαρτήσας ὁ νοῦς τῶν ἀληθῶν ὑπολήψεων, παραῤῥυῇ τῆς νίκης, καὶ πᾶσαν ἀπολέσει τὴν προτέραν εὐκλειαν καὶ σπουδήν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

A tionem oblitus, victoria excidat, et omnem, qua florebat, gloriam navatamque operam perdat. Ait deinde sapiens Ecclesiastes:

§ IV.

Μυῖαι θανοῦσαι σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύσματος.

Αἰσθητῶς μὲν τὸ παρὸν ῥητὸν σημαίνει τὰ μικρὰ ταῦτα ζωῦφια τὰ διϊπτάμενα καὶ νύσσοντα καὶ παρενοχλοῦντα μετὰ τῶν ἄλλων ζώων ἁπάντων καὶ τοὺς ἀνθρώπους, ἃ καὶ πρὸς τὸ κατασκευασθὲν χάριν ἡδύσματος ἔλαιον ἐμπεσόντα, συναποπνίγονται καὶ θανατοῦνται τῇ τῆς ὕλης παχύτητι, καὶ διὰ τοῦ σφῶν θανάτου σαπρὸν ἤτοι δυσῶδες ἀπεργάζονται B καὶ φευκτόν. Ἀναγωγικῶς δὲ μυίας θανατούσας ὀνομάζειν τοὺς μισοκάλους δαίμονας ὑπειλήφαμεν, οἳ δίκην μυιῶν τοῖς μώλωψιν ἐπιτρέχουσι τῶν ἀνθρωπίνων ψυχῶν, καὶ πρὸς τὸ κέντρον συνωθοῦσι τῆς ἁμαρτίας, ὅπερ ἐστὶ πάντως ὁ θάνατος· κἀντεῦθεν τὴν κατασκευὴν τοῦ νοητοῦ τῆς ψυχῆς ἐλαίου, διὰ τῶν κατ' ἀρετὴν ἀρωμάτων γίνεσθαι πεφυκυῖαν πρὸς ἥδυσμα τῆς θείας ἀρεσκείας καὶ θεοπρεποῦς ἀγαθότητος, σαπριοῦσι διὰ τοῦ θανάτου τῆς ἁμαρτίας, καὶ ταῖς ὀσφραντικαῖς τοῦ Θεοῦ δυνάμεσιν εὑρίσκεσθαι δυσώδη παρασκευάζουσιν· ὡς μηδαμῶς εἰς ὀσμὴν εὐωδίας ὀσφρανθῆναι τὸν Κύριον τῆς τοιαύτης τοῦ ἐλαίου τοῦ κατ' ἀρετὴν παραλαμβανομένου κατασκευῆς.

Cap. X. Vers. 1. *Muscæ mortuæ putrefaciunt compositionem olei suavitatis* (51).

Dictum hoc, ut sonat, parvas hasce bestiolas designat pervolantes atque pungentes, nec omnibus solum animalibus molestas, sed etiam hominibus, quæ in oleum quoque suavitatis causa paratum incidentes suffocantur, materiæ illius crassitudine enectæ, ibique immortuæ putre illud et graveolens reddunt planeque aversabile. Juxta anagogen vero muscas mortiferas nominari arbitramur malignos dæmones, qui, muscarum more, animarum hominum vibicibus insident, et stimulum præterea infigunt peccati, qui omnino mors est, itaque spiritalis animæ olei compositionem, e virtutum veluti aromatis conflati ad divinæ oblectationis et summæ bonitatis delicias, peccati morte corrumpunt, efficiuntque, ut eam Deus graveolentem sibique ingratam inveniat, nec ullo modo oleum ejusmodi ex virtutibus **235** compositum Dominus tanquam odore suavitatis fragrantem odoretur (52).

Πάνυ δὲ προσφυῶς τὸ παράδειγμα προήγαγε τῶν C μυιῶν, ταύταις ἀπεικάζων τοὺς δαίμονας, καὶ διὰ τὸ δίκην μυιῶν ἀερίως περιίπτασθαι πανταχόσε καὶ νύσσειν τοὺς ἀνθρώπους καὶ πλήττειν, καὶ διὰ τὸ σφῶν ἀναιδὲς καὶ ἰταμὸν καὶ ἀναίσχυντον, ὅπερ ἔχουσι καὶ ταῖς μυίαις παραπλησίως. Καὶ γὰρ ἐπειδὴ μικρὸν ἀνόπιν εἶπε, « Καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλὴν, » ἀκολούθως καὶ τὰς μυίας παρεισκέκρικε τὰς θανατούσας καὶ σαπριούσας· ἵνα δείξῃ σαφῶς, ὡς μάλιστα τὸν τῆς ἁμαρτίας αἰνίττεται θάνατον, ὃς ὀπηνίκα γένηταί τινι διὰ τὴν τοῦ νοὸς ἀπροσεξίαν καὶ ῥᾳθυμίαν, ἀπόλλυσι χρονίων ἱδρώτων καὶ παντοδαπῶν ἀγώνων πολλὴν ἀρετήν. Ἀμέλει τοίνυν ἐπήγαγε·

Enimvero apposite omnino exemplum intulit muscarum, iisque dæmones comparavit, tum quia tanquam muscæ undique per aerem feruntur, et homines pungunt ac sauciant; tum quia impudentiam habent et audaciam et licentiam non dissimilem. Quoniam autem paulo ante dixit, « Et peccans unus perdet bonitatem multam, » merito induxit muscas et mortem inferentes et putredine contaminantes: ut luculenter ostenderet se maxime peccati mortem significare, quæ simul atque hominem ob intellectus socordiam et remissionem oppresserit, multam virtutem diuturnis sudoribus et omnis generis certaminibus partam disperdit. Idcirco utique adjecit:

§ V.

Τίμιον ὀλίγον σοφίας ὑπὲρ δόξαν ἀφροσύνης μεγάλην.

Παρίστησι γὰρ ἐντεῦθεν, ὡς καὶ τὸ μικρὸν μέτρον τῆς ἄνωθεν δεδωρημένης παρὰ Θεοῦ σοφίας καὶ χάριτος, αἱρετώτερον καὶ λυσιτελέστερόν ἐστι μᾶλλον ὡς τίμιον τῶν ἐν τοῖς ἐπιτηδεύμασι καὶ τοῖς ἔργοις τῆς ἀφροσύνης ἤτοι φαυλότητος δόξαν μεγάλην λαμβανόντων παρὰ τῶν ὁμοφρόνων, περὶ ὧν φησιν ὁ Ἀπόστολος, « Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. »

D *Pretiosum paulum sapientiæ super gloriam insipientiæ magnam* (53).

Hinc enim statuit, vel exiguam partem ejus, quæ a Deo datur, sapientiæ atque gratiæ, optabiliorem multo esse et utiliorem, quam honores eorum, qui studiis factisque amentiæ atque nequitiæ plenis apud asseclas suos magnam sibi comparant gloriam (54); de quibus ait Apostolus: « Quorum gloria in confusione ipsorum [91]. » Nam qui se exer-

[91] Philipp. III, 19.

(51) Olymp. Μυῖαι θανατοῦσαι.... quod LXX quoque habent. Quin et Noster in contexiu θανατούσας dicit. At vetus Scholiastes explicat, Μυῶν θάνατος σήψει ἔλαιον εὐῶδες μυρεψοῦ. *Muscarum mors putrefaciet unguentum bene olens aromatarii.* In Hebr. *Muscæ mortis.*

(52) Geneseos alludit verbis, quibus acceptum Deo fuisse Noemi a diluvio sacrificium docemur (cap. VIII, v. 21): Καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας, *Odoratusque est Dominus Deus odorem suavitatis.* In quo Paulum apostolum is, itatus est, qui dictionem eamdem nec diversa sententia bis usurpavit. (*Ephes.* v, 2; *Philip.* IV, 18.)

(53) Olymp. μεγάλης.

(54) At germanam hujus loci lectionem, quæ in codicibus Latinis plurimum variat, hanc esse Lucas

Digitized by Google

cent ut gymnicis in ludis psalmam ferant, vel ut plures in equos apte junctos insiliant, ac veluti alati volitent (55), quique nil quærunt **236** magis, quam ut comessationibus ac perpotationibus alios vincant, et obscœnis commerciis latius indulgeant; hi gloriam hinc se habere putant apud eos qui similis vitæ flagitiis adhæserunt, quos ut perstringeret derideretque, rursum sapiens Ecclesiastes subjecit :

A Οἱ μὲν γὰρ γυμνικοὺς ἀγῶνας κατορθοῦν ἐξασκήσαντες, ἢ πλείους ἵππους ἐφαρμοσθέντας ἐφάλλεσθαι καὶ ἵπτασθαι πτηνῶν δίκην, ἢ ταῖς ἀδδηφαγίαις καὶ ταῖς οἰνοφλυγίαις κατευημερεῖν τῶν ἄλλων, καὶ ταῖς κιναίδοις συνουσίαις ἐξαρκεῖν ἐπιπλέον, οἴονται δόξαν ἔχειν ἐντεῦθεν παρὰ τῶν τὰς αὐτὰς τοῦ βίου κακοπραγίας ἐξηλωκότων· οὓς ἐκφαυλίζων καὶ κατακωμῳδῶν ὁ σοφὸς Ἐκκλησιαστὴς, αὖθις ἐπήγαγε·

§ VI

Vers. 2. *Cor sapientis in dextro ejus, et cor stulti in sinistro ejus.*

Quibus significat, prudentium hominum et honestorum voluntariam propensionem in ea ferri, quæ bona et utilia et Deo grata sunt; imprudentium B vero et vecordium in ea, quæ damnum et perniciem important. Nam partis dextræ nomine boni omnis et honesti electio designatur; atque e contrario lævæ appellatione eorum optio, quæ prorsus opposita habentur (56). Idcirco statim adjecit :

Καρδία σοφοῦ εἰς δεξιὸν αὐτοῦ, καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτοῦ.

Τὴν τῶν συνετῶν καὶ φιλοκάλων ἀνθρώπων πρὸς τὰ καλὰ καὶ λυσιτελῆ καὶ τῷ Θεῷ ἀνδάνοντα ῥοπὴν τῆς προαιρέσεως αἰνιττόμενος, καὶ μέντοι καὶ τῶν ἀσυνέτων καὶ παραπλήγων ἀνθρώπων τὴν πρὸς τὰ βλαπτικὰ καὶ ἀπολλύντα παρέγκλισιν. Διὰ γὰρ τοῦ δεξιοῦ μέρους τὴν πρὸς πᾶν ἀγαθὸν καὶ σπουδαῖον αἵρεσιν ὑπεξέφηνε, καὶ τὸ ἐμπαλιν διὰ τοῦ ἀριστεροῦ τὴν πρὸς πᾶν τὸ κατ' ἀντίθεσιν παραλαμβανόμενον. Ἀμέλει τοίνυν ἐπήγαγε·

§ VII.

Vers. 3. *Etiam in via, cum stultus ambulat, cor ejus deficiet, et quæ cogitaverit omnia stultitia sunt.*

Cum nulla stulto sit cura ut Deo placeat, quantum domi desidiosam agit vitam atque improbam, tantum foris utilia atque honesta post se relinquit. Neque enim domo egressurus, supernam opem implorat, neque ut divinum subsidium impetret, sospitatorem sibi Deum universi precatur (57);

Καὶ γε ἐν ὁδῷ, ὅταν ἄφρων πορεύηται, καρδία αὐτοῦ ὑστερήσει, καὶ ἃ λογιεῖται πάντα ἀφροσύνη ἐστίν.

Ἀτημέλητον ἔχων ὁ ἄφρων τὴν πρὸς Θεὸν εὐαρέστησιν, ὥσπερ κατ' οἶκον ῥᾳστώναις διαζῇ καὶ φαυλότησιν, οὕτω καὶ ταῖς προόδοις, καθυστερεῖται τῶν ὀφειλόντων καὶ προσηκόντων. Οὐδὲ γὰρ μέλλων ἐξιέναι τοῦ δωματίου, τὴν ἄνωθεν ἐπικαλεῖται βοήθειαν, οὐδὲ τὴν θείαν ἀντίληψιν εὑρεῖν ἀῤῥωγὸν καταντιβο-

Brugensis contendit : *Pretiosior est sapientia et gloria parva ad tempus stultitia;* qualis nempe Latini interpretis vulgata lectio est; nisi quod hic interserit *et* post *parva.* « Hæc enim, inquit, et emendatiorum est codicum, et Hebraicæ conformis veritati. » Tum comparationem quoque inesse arbitratur hujusmodi, quæ Isidoro etiam et Grotio probata est : « Sicut muscæ mortis fetere faciunt et exhalare fetorem unguentum aromatarii; sic hominem pretiosum ob sapientiam et gloriam stultitia parva fetere facit. » At vero Noster translationem τῶν Ο' sequitur, ex qua sententiam, ut vides, plane commodam et moratam expressit.

(55) Palæstram etiamtum vigentem indicat, nec minus certamina illa desultorum Circensia, quæ ante missum sive ante quadrigarum cursum spectabantur. De his Cassiodorus (*Var.* l. III, ep. 51) : « Equi desultatorii, per quos Circensium ministri missos denuntiant exituros, Luciferi præcursorias velocitates imitantur. » Ipsam autem desultoris artem descripsit Manilius (*Astronom.* lib. v, 85) :

Nec non alterno desultor fidere dorso
Quadrupedum, et stabiles poterit defigere plantas
Per quos vadit equos : ludet per tergа volantum;
Aut solo vectatus equo, nunc arma movebit,
Nunc, licet in longo per cursus præmia Circo,
Quidquid de tali studio formatur, habebit.

(56) *Lævum* utique idem quandoque ac prosperum, et *lævam* partem tanquam faustorum ominum sedem habuere veteres : itaque εὐώνυμον dixerunt Græci, quod Latinis *lævum* est, sive faustum sive sinistrum significet. Sed hoc loco Noster divinarum Litterarum consuetudinem sequitur, in quibus *dextera* virtutis, *sinistra* vitiorum via est : ut cum ait Deus Jonæ (cap. IV, v. 11) : *Et ego non parcam Ninive civitati magnæ, in qua sunt plus quam centum viginti millia hominum, qui nesciunt quid sit inter dexteram et sinistram suam.* » Id est, qui nondum quid bonum quidve malum sit, norunt, sive ut in Deuteronomio legimus (cap. I, v. 39) *Qui hodie boni ac mali ignorant distantiam.*

(57) In more positum apud veteres Christianos fuisse, nihil ut ante inchoarent quam Deum prece aliqua et obsecratione placassent, locus quoque ille Tertulliani declarat de crucis figura, quam sibi quisque in fronte designabat. « Ad omnem, inquit, progressum atque promotum, ad omnem aditum et exitum, ad vestitum et calceatum, ad lavacra, ad mensas, ad lumina, ad cubilia, ad sedilia, quacunque nos conversatio exercet, frontem crucis signaculo terimus. » (*De cor. mil.* c. 3.) Ipsæ autem preces cur præcedere debeant, quamque utiliter usurpentur, sic nos docet Chrysostomus (tom. IV, serm. 4 de Anna, n. 5) : Ὁ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν Δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἁμαρτημάτων ἀναμνησθεὶς, καὶ περὶ τῆς συγχωρήσεως τούτων αὐτῷ διαλεχθεὶς, καὶ παρακαλέσας ἵλεων γενέσθαι καὶ ἥμερον, ἀπὸ τῆς ἐν τοῖς λόγοις τούτοις διατριβῆς, πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα, καὶ πτεροῦται, καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται. Κἂν ἐχθρὸν ἴδῃ μετὰ τὴν εὐχὴν, οὐκ ἔτι ὡς ἐχθρὸν ὄψεται. Κἂν γυναῖκα εὔμορφον, οὐ κατακλασθήσεται πρὸς τὴν ὄψιν, τοῦ πυρὸς τοῦ κατὰ τὴν εὐχὴν ἔνδον μένοντος, καὶ πάντα ἄτοπον λογισμὸν δι-

Digitized by Google

λεῖ τὸν ἐπὶ παντων Θεόν· ἀλλ' ἔξεισι τοῖς ἀλόγοις ζώοις παραπλησίως, μηδὲν διενθυμούμενος τῶν λογικοῖς ἀνθρώποις πρεπόντων, ἀλλὰ πᾶν ὃ λογίζεται τῆς ἀφροσύνης ἔκγονον προδήλως ἐστί· μελετῶν μὲν μάταια καὶ ψευδῆ κατὰ τῶν πέλας, ἐλπίζων δὲ καὶ συμβάσεις κερδῶν καὶ ζωῆς ἀπήμονος ἔκβασιν· εὑρίσκων δὲ τ' ἀναντία τῶν ἐλπισθέντων καὶ μελετηθέντων καὶ βουληθέντων· ἐνίοτε γὰρ ἔκ τινος βιωτικῆς περιπετείας κατηντηκὼς ἀσυμφόροις συμβάσεσι, πολλὰς ἀνέτλη δυσχερείας καὶ χαλεπότητας. Ἀλλ' ὁ σοφὸς Ἐκκλησιαστὴς δι' αὐτό γε τοῦτο μάλιστα τὴν καρδίαν ἀνανεύουσαν ἔχειν ἀεὶ πρὸς τὸν ἴδιον ποιητὴν καὶ Θεὸν καὶ δεσπότην ἐκδιδάσκει τοὺς ἐπαΐοντας, κἀκεῖθεν ζητεῖν τῶν συμφερόντων καὶ σωστικῶν τὴν διάγνωσιν, ἵνα μηδέποτε παρασιωπηθέντες ὑπὸ τοῦ Κυρίου τοῖς καταβαίνουσιν εἰς λάκκον ὁμοιωθῶμεν. Εἶτά φησι·

A sed stupidarum **237** pecudum more prodit, nihil eorum animo reputans, quæ homines ratione præditos decent, cum quidquid cogitat, e stultitia omnino natum videatur. Vana quippe et falsa adversus proximos meditari solet, et futuros quæstus ac faustum innocuæ vitæ exitum sperat, idemque contraria offendit iis, quæ speraverat et meditatus fuerat et voluerat. Interdum enim, ut humanæ vitæ sunt vices, calamitates repente obvias habuit, et ærumnas multas atque angustias tulit. Porro sapiens Ecclesiastes hac maxime de causa auditoribus suis præcipit, ut animum semper ad conditorem suum Deum ac dominum habeant intentum, ab eoque quærant utilium et salutarium rerum cognitionem: ne si nos Dominus silentio prætermiserit, B descendentibus in lacum assimilemur [92]. Ait deinde:

§ VIII.

Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς· ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας.

Παρεγγυᾶται μηδαμῶς τόπον διδόναι ταῖς σατανικαῖς μεθοδείαις, ἐπειδὴ νῦν « ἐξουσιάζοντα » τὸν διάβολον προσηγόρευσεν· ὡς καὶ Παῦλος ὁ μέγας ἀπόστολος Ἐφεσίοις ἐπιστέλλων φησί· « Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας. » Καὶ γὰρ ἐπειδὴ μικρὸν ἀνόπιν καὶ προσεχῶς τοῦ σοφοῦ τὴν πόλιν ἐπῆνεσε καὶ τὴν νίκην τὴν κατὰ τῶν νοητῶν ἀντιπάλων· ἀκολούθως παρακελεύεται νῦν, μὴ παραδέχεσθαι τὰς προσβολὰς τῶν ἀσεβῶν ἐνθυμήσεων ἢ τῶν αἰσχρῶν καὶ βδελυκτῶν ἡδονῶν· ὡς ἐκείνου μὲν ἐξουσίαν ἔχειν συγχωρηθέντος προσεπιβάλλειν καὶ παρεισκρίνειν τῇ λογικῇ καὶ νοερᾷ ψυχῇ λογισμοὺς ἀθεμίτους· οὐ μέντοι δὲ καὶ καταῤῥιζοῦν αὐτοὺς, καὶ προσεπιπλᾶν καὶ κρατύνειν, εἰ μὴ διά τινος ἀπροσεξίας τοῦ νοῦ καὶ ῥᾳθυμίας παραδεχθῶσι, καὶ τοῖς τῆς καρδίας ταμείοις ἐγκυμονήσουσι.

VERS. 4. *Si spiritus potestatem habentis ascenderit super te, locum tuum ne dimiseris: quia curatio requiescere faciet peccata magna* (58).

Hortatur ne Satanæ insidiis locum demus; nam « potestatem habens » hoc loco diabolus est appellatus (59); quemadmodum **238** et Paulus magnus apostolus ad Ephesios cum scriberet, ait: « Secundum principem potestatis aeris hujus, spiritus, qui nunc operatur in filios diffidentiæ [93]. » Enimvero, cum paulo ante sapientis urbem et victoriam de spiritalibus adversariis commendarit; merito nunc præscribit ne aditum præbeamus assultibus impiarum cogitationum, aut turpium et abominandarum voluptatum; quandoquidem permissum est illi ut C potestate utatur, et rationali intelligentique animæ nefarias cogitationes objectet atque immittat: quin etiam ut eas exstirpemus, atque ut nosmet advigilando muniamus, ne illæ per intellectus segnitiem ac ignaviam recipiantur, et in animi penetralibus conceptæ gestentur (60). Nam si ea, quæ prudenter

[92] Psal. XXVIII, 1. [93] Ephes. II, 2.

ωθουμένου. Id est, *Qui mentem suam accendit, et animam erexit atque ad cœlestia transtulit, et ita Dominum suum invocavit, peccatisque in memoriam reductis, de eorum remissione cum illo collocutus est, obsecrans, ut placatus ac propitius sibi esse dignetur, is post tales obsecrationes omnem præsentis vitæ curam abjicit, spe erigitur, ac supra cunctas humanas affectiones extollitur. Ac sive inimicum post preces viderit, jam non tanquam inimicum aspiciet: sive mulierem formosam, ejus aspectu non frangetur, durante adhuc igne per precationem intus accenso, et omnem absurdam cogitationem depellente.*

(58) Symm. ὅτι σωφροσύνη παύσει.

(59) Par Cyrilli Hierosolymitani interpretatio est: Οὐ μόνος δὲ οὗ καθέστηκας, inquit, τοῦ πράγματος ἀρχηγός· ἀλλὰ καὶ ἄλλος τίς ἐστι κάκιστος ὑποβολεύς, ὁ διάβολος. Ὑποβάλλει πᾶσιν ἐκεῖνος, ἀλλ' οὐκ ἐπικρατεῖ τῶν μὴ πειθομένων. Διὰ τοῦτο λέγει ὁ Ἐκκλησιαστής· *Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς·* ἀπόκλεισον τὴν θύραν σου, καὶ μάκρυνον ἀπὸ σοῦ, καὶ οὐ βλάψει σε. Id est *Neque vero tu solus facti dux es; sed alius est quidam pessimus instinctor, diabolus. Ille omnibus suggerit, sed non vi superat eos, qui non acquiescunt. Quamobrem dicit Ecclesiastes:* Si spiritus potestatem habentis ascenderit super te, locum tuum ne dimiseris; *ostium tuum claude, et illum procul a te fugato, nec tibi nocebit.* (Catech. 2, n. 3.)

Cæterum qui obviam sequuntur sententiam, sic explicant: *Si ira dominantis sæviat adversum te, ne commovearis.* Quidam etiam sic: *Si regiam dignitatem adipiscaris, statum pristinum ne deseras.* Id est, opinor, veteris conditionis tuæ memor D esto.

(60) Similia virgines discipulas docebat Syncletice sancta illa Deoque devota virgo, cujus vitam Athanasius ipse scripsisse putatur (Cotel. *Mon. Eccl. Græc.* tom. I, p. 218. Vide not. p. 754): Ὅρα πόσων ἀπέστης, καὶ οὐκ ὀλιγωρήσεις πρὸς τὰ παρόντα. Τὴν ὑλικὴν καὶ ἔμπρακτον ἐνίκησας πορνείαν; Τὴν διὰ τῶν αἰσθήσεών σοι προστίθησιν ὁ ἐχθρός. Ὅταν δὲ καὶ ταύτης σαυτὴν κωλύσῃς, ὅτι τὸ πρῶτον ἐν κακοῖς πορνεία, καὶ ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ἐμφωλεύει, τὸν ἄῦλόν σοι κινῶν πόλεμον. Πρόσωπα γὰρ εὐπρεπῆ καὶ σχήματα ἁπρεπῆ, καὶ ὁμιλίας ἀρχαίας ταῖς ἡσυχαζούσαις παρεισφέρει.

Digitized by Google

tes et cordatos decet, animadversione ac sobrietate dividere intellectus ac secernere voluerit impias cogitationes ab opinionibus piis, nullum profecto aditum spiritalibus nequitiæ commentis in animorum thalamos ac penetralia patuisse comperiemus; quod si aliquando repentina oppugnatione non prævisa, intellectus tardior occurrerit, ut vel ad breve illud tempus malas cogitationes prohibeamus ac repellamus. Nam et ille se ipsum revocans, ad ea reputanda convertetur, quæ dolori suo medeantur, et adversarii violentiam retundet ac dissipabit.

Hoc enim significavit, cum addidit : « Quia curatio requiescere faciet peccata magna. » **239** Ait vero Dominus in Evangeliis : « Venit princeps mundi hujus, et in me non inveniet quidquam (61) ; » intactum scilicet planeque immunem ab omni mala cogitatione declarans animum suum immaculatum atque divinum. Is enim cum esset, ac baptismate jam suscepto, quod naturam nostram mundabat, in desertis perseveraret, accessit ad eum diabolus, voluptatis cogitationes et inanis gloriæ atque avaritiæ impudentissime ingerens : at cum nullo usquam modo locum sibi invenisset, repulsus est penitusque disperiit, nunquam in posterum cum eo decertare ausus, a quo idoneis oppositisque responsis victus, non aliter aufugerat, quam servus flagellis cæsus ac vulneratus. Addit deinde sapiens Ecclesiastes :

σιν. Εἰ γὰρ διὰ τῆς πρεπούσης ταῖς ἐμφροσι καὶ συνεταῖς καρδίαις προσοχῆς καὶ νηφαλιότητος ἀποδιαστέλλειν καὶ διακρίνειν ὁ νοῦς βουληθείη τὰς ἀσεβεῖς ἐνθυμήσεις ἀπὸ τῶν εὐσεβῶν ὑπολήψεων, ἀπαράδεκτα παντελῶς εὑρεθήσονται τὰ πνευματικὰ τῆς πονηρίας ἐνθυμήματα τοῖς θαλάμοις τῶν καρδιῶν καὶ ταμείοις. Εἰ δὲ καί ποτε τὴν ἀπρόοπτον προσβολὴν μὴ προϋπειδόμενος ὁ νοῦς καθυστερήσει, κἂν πρὸς μικρὸν ἀπεῖρξαι καὶ διώσασθαι τῆς πονηρίας τὰς ἐνθυμήσεις· πλὴν ἀλλὰ γὰρ καὶ πάλιν ἀνακαλούμενος ἑαυτὸν, ἀκεσώδυνον ἐνθυμηθήσεται λογισμὸν, καὶ καταργήσει καὶ διολέσει τοῦ ἀντικειμένου τὰς προσβολάς.

Τοῦτο γὰρ ἠνίξατο φήσας, « Ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. » Ὁ μὲν οὖν Κύριός φησιν ἐν τοῖς Εὐαγγελίοις· « Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν· » ἀπαράδεκτον καὶ παντελῶς ἀπροσπέλαστον πάσης ἁμαρτητικῆς ἐνθυμήσεως παρεμφαίνων τὸν ἄχραντον καὶ θεοφόρον αὐτοῦ νοῦν. Οὕτω γὰρ καὶ μετὰ τὸ βαπτισθῆναι τὸ καθαρτικὸν τῆς ἡμετέρας φύσεως βάπτισμα προσκαρτεροῦντι κατὰ τὴν ἔρημον, ὁ Διάβολος αὐτῷ προσελήλυθε, τοὺς τῆς ἡδονῆς λογισμοὺς καὶ τοὺς τῆς κενοδοξίας καὶ φιλοχρηματίας παρεισκρίνων μετὰ πολλῆς ἀναιδείας· ἀλλὰ μηδαμῆ μηδαμῶς εὑρηκὼς αὐτῷ τόπον, ἀπεκρούσθη καὶ διώλωλε παντελῶς, μηκέτι προσκαλαΐσαι κατατολμήσας τῷ ὑφ' οὗ νικηθεὶς ταῖς καταλλήλοις τῶν ἀντιῤῥήσεων ἀντιπαρατάξεσιν, ἐδραπέτευσεν οἷά τις δοῦλος μαστιγίας καὶ τραυματίας. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ IX.

Vers. 5-7. *Est malum, quod vidi sub sole, quasi non spontaneum quod exivit a facie potestatem habentis. Datus est stultus in sublimitatibus magnis, et divites in humili ponentur. Vidi servos in equis, et principes ambulantes quasi servos super terram* (62).

Ut obvius verborum est sensus, hic quoque designari videntur nec opinati favores potentum et absurdæ promotiones, ob quas sæpe fit ut homo stultus militares gradus magnasque dignitates obtineat, ac plurimum potestate valeat vel ob morum similitudinem vel ob veterem diuturnamque amicitiam vel ineptam aliam aliquam ob causam ex iis, quas falsa hominum judicia sequi solent. Cum enim ejusmodi homines summis magistratuum dignitatibus potiti fuerint, mox vice versa, qui divites erant, ad obscuram et abjectam et humilem vitam translatos invenias (63) : cumque principatum

Ἔστι πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, ὡς ἀκούσιον ὃ ἐξῆλθεν ἀπὸ προσώπου τοῦ ἐξουσιάζοντος. Ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις, καὶ πλούσιοι ἐν ταπεινῷ τεθήσονται. Εἶδον δούλους ἐφ' ἵππους, καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς.

Αἰσθητῶς μὲν ὑποληπτέον, κάνταῦθα δηλοῦσθαι τὰς ἀπερισκέπτους καὶ παραλόγους προχειρίσεις καὶ προβολὰς τῶν κρατούντων, αἷς εὕρηται πολλάκις ἄφρων ἀνὴρ ἐν στρατηγικοῖς καὶ μεγάλοις ὑψώμασιν ὑπεραρθείς, καὶ μεγαλυνθεὶς ἢ διὰ τρόπον συγγενικὸν ἢ φιλίαν ἀρχαΐκὴν καὶ χρονίαν ἢ τινα παράλογον ἄλλην αἰτίαν τῶν παρεπομένων ταῖς ἀνθρωπίναις κρίσεσιν ἐσφαλμέναις. Τῶν γὰρ τοιούτων ὑπηργμένων ἐν ὑψώμασιν ἀξιωμάτων ἀρχοντικῶν, εὑρηνται πλούσιοι τὸ ἔμπαλιν ἐν ἀφανείᾳ καὶ ταπεινότητι καὶ χαμαιζηλίᾳ τεθειμένοι· καὶ δεσποζόντων καὶ κυριευόντων τῶν πρὶν δούλων, ἄρχοντες καθορῶνται ταῖς

Δεῖ οὖν μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι. Γέγραπται γὰρ, ὡς *Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς.* Ἡ γὰρ πρὸς ταῦτα συγκατάθεσις ἀντίζηλός ἐστι τῇ κοσμικῇ πορνείᾳ. Id est : *Vide undenam evaseris, nec te negligenter geres circa præsentia. Ipsumne fornicationis facinus victrix rejecisti? Eam, quæ per sensus exercetur, tibi objicit inimicus. Cumque ab hac etiam te cohibueris, quia malorum primum fornicatio est ; etiamtum in cogitationum domicilio latet hostis, ac materiæ expers in te concitat bellum. Decoras enim facies ac indecoras figuras et vetera colloquia suggerit eis, quæ solitariam agunt vitam. At non oportet phantasmatis assentiri; quia scriptum est :* Si spiritus potestatem habentis ascenderit super te, locum tuum ne dimiseris. *Quippe consensus circa hæc ipsum fornicationis crimen æmulatur.*

(61) Joan. XIV, 30. At in Vulgatis est.... Οὐκ ἔχει οὐδέν.

(62) At LXX habent.... Καὶ πλούσιοι ἐν ταπεινῷ καθήσονται....

(63) Hunc olim locum in memoriam revocavit Nilus Pompeio diacono, miranti nempe ac stupenti, quod impius homo honores nactus esset magnos atque præclaros (Epist. 74) : Μνήσθητι, inquit, τῆς Γραφῆς ἐμβοώσης, ὅτι *Ἐδόθη ὁ ἀσεβὴς ἐν ὕψεσι*

Digitized by Google

δουλικαῖς ὑπολήψεσι διαζῶντες ἐπὶ τῆς γῆς. Ἄρχοντας δέ φημι καὶ πλουσίους τοὺς ἀρχικῆς τῷ ὄντι φρονήσεως ἀναμέστους, καὶ πλοῦτον ἔχοντας φυσικῶν ἐννοιῶν ἄγαν ἐπιτηδείων πρὸς μεταχείρησιν ἡγεμονικῆς ἐξουσίας.

Τοῦτο τοίνυν φησὶν ὡς ἀκούσιον πονηρίαν ὑπὸ τὸν ἥλιον ἰδεῖν ὁ σοφὸς Ἐκκλησιαστής· ἢ διὰ τὸ ἀγνοεῖσθαι καὶ λανθάνειν τοὺς προχειρισμένους τοῖς προχειρίζουσιν· ἢ διὰ τὸ φενακισθῆναί τισιν ἐλπίσι κρειττόνων ἐκβάσεων. Τοῦτο γὰρ σημαίνειν οἰητέον ὃ φησιν « ὡς ἀκούσιον· » οὐ γὰρ « παντελῶς ἀκούσιον » τοῦτό φησιν, ἀλλ' « ὡς ἀκούσιον, » ἤγουν ὁμοιότητά τινα φέρει διοικήσεως ἀθελήτου· διὸ καὶ πολλάκις οἱ κρατοῦντες, μεταμεληθέντες ἐν ταῖς ἀδοκήτοις ἐκβάσεσι, μεθιστῶσι τοὺς τοιούτους ὧν διέπουσιν ἀρχικῶν καὶ μεγάλων ἀξιωμάτων· « ἐξουσιάζοντα » γὰρ νῦν τὸν κατὰ καιροὺς κρατεῖν καὶ βασιλεύειν λελαχότα φησί. Καταγινώσκει τοίνυν τῶν μὴ κατ' ἐκλογὴν προχειριζομένων τοὺς ἡγεμονικὴν διάνοιαν ἔχειν διεγνωσμένους, καὶ τῆς δουλείας τῶν ψυχικῶν καὶ σαρκικῶν παθῶν ἐλευθέρους, καὶ πλουτοῦντας ἐν φυσικοῖς καὶ προαιρετικοῖς ἀγαθοῖς.

A **240** dominationemque tenuerint qui ante servi erant, principes servili animo vitam agere videas. Principes porro ac divites appello, qui principali prudentia reapse præditi sint, et naturæ opes habeant, idonea nempe gerendæ potestati consilia.

Id igitur illud est malum, quod sapiens Ecclesiastes sub sole se vidisse ait tanquam non spontaneum, vel quod qui alios promovent, ignorant ac minime dispiciunt quos evehant; vel quod spe quadam melioris exitus decipiuntur. Nam hanc habere significationem videtur quod ait: « Tanquam non spontaneum. » Neque enim dicit: « Omnino non spontaneum, » sed « tanquam non spontaneum, » atque adeo similitudinem exhibet quamdam administrationis minime voluntariæ. Propterea etiam, B qui summæ rei præsunt, sæpe ob inopinatos exitus pœnitentes, iis, quos gerunt, magistratibus summisque honoribus tales homines abire cogunt. Hic nimirum « potestatem habens » ille dicitur, qui ad tempus imperium regnumque nactus est. Itaque eos condemnat, qui in mandandis magistratibus delectum non habent illorum qui spectata in imperiis virtute sunt, et animo minime servili atque a cupiditatibus libero, ac bonis et naturalibus et partis divites.

Εἰ δέ τις ἀναγωγικῶς ἐξειληφέναι τὸ παρὸν ῥητὸν ἐθελήσοι, τὴν ἄμειψιν καὶ μετάθεσιν δηλοῦν οἰηθείη πρεπόντως τῶν ἑκατέρων λαῶν, τοῦ Ἰουδαίων δηλαδὴ καὶ τοῦ ἐξ ἐθνῶν. Ὁ γὰρ πρὶν ἄφρων διεγνωσμένος ὁ ἐξ ἐθνῶν, καὶ λέγων ἐν καρδίᾳ αὐτοῦ, « Οὐκ ἔστι Θεός, » ἢ καὶ τῷ λίθῳ, « Θεός μου εἶ σὺ, » καὶ τῷ ξύλῳ, « Σύ με ἐποίησας, » οὗτος ἀντεισῆλθεν εἰς τὰς ὑψηλὰς καὶ μεγάλας τῶν θεοπρεπῶν ἀγαθῶν δωρεῶν καὶ χαρίτων πνευματικὰς καὶ σωστικὰς ἀπολαύσεις. Οἱ δὲ πλουτοῦντες ἔμπαλιν ἐν τοῖς τοιούτοις, ἤγουν τῷ Μωσαϊκῷ νόμῳ καὶ τοῖς προφήταις καὶ ταῖς πρὸς τὸν ἐπὶ πάντων Θεὸν οἰκειότησι καὶ ἐλπίσιν, ἐκενώθησαν καὶ παντελῶς ἐταπεινώθησαν· καὶ καθορῶνται πορευόμενοι νῦν δίκην δούλων ἐπὶ τῆς γῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην κατὰ τὸ γεγραμμένον· « Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ, ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν. » Οὕτω γὰρ εὑρηται προφανῶς ἡ τῶν ἑκατέρων ἄμειψις καὶ μετάθεσις γεγονυῖα, διὰ τὴν ἰδίαν ἀπιστίαν ἐκβληθέντων τῶν Ἰουδαίων, καὶ τὸ ἔμπαλιν ἀντεισαχθέντων τῶν ἐξ ἐθνῶν, διὰ τὴν ἐλπίδα καὶ πίστιν τὴν πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεόν.

At si quis dictum hoc secundum anagogen accipere voluerit, merito existimaverit, vicissitudinem ac transmutationem significari populi utriusque, Judæorum scilicet atque gentium. Nam qui de gentibus stultus antea habebatur, et secum ipse dicebat: « Non est Deus; » aut et saxo: « Deus meus C es tu; » et ligno: « Tu me fecisti, » hic alterius loco ad sublimes magnasque bonorum divinorum donationes, ac munerum spiritalium et salutarium possessionem pervenit. Qui vero e contrario hisce locupletes erant, lege nempe Mosaica et prophetis ac Dei universorum familiaritate ac promissis, exinaniti sunt, atque abjecti penitus conciderunt: itaque nunc servorum instar universam terram obire conspiciuntur, quemadmodum scriptum est: « Dominus pauperat et ditat, humiliat et sublevat, suscitat de pulvere egenum, et de stercore erigit pauperem [94]. » Sic enim utriusque populi mutatas esse vices aperte constat, rejectis ob infidelitatem suam Judæis, et in eorum locum introductis, qui D **241** ex gentibus erant, per spem atque fidem, quam in Christo universorum Deo posuerunt.

Ἀμέλει τοίνυν καὶ κατακωμῳδῶν καὶ φαυλίζων τὴν ἀπιστίαν καὶ πονηροβουλίαν τῶν Ἰουδαίων, « ὡς ἀκούσιον, » πονηρίαν ταύτην προσφόρως ὠνόμασε. Τῆς μὲν γὰρ ἀπιστίας ταῖς ἄρχουσιν ἑκόντες κατώλισθον· τὴν ἔκπτωσιν δὲ καὶ μετάθεσιν τὴν ἐκ Θεοῦ καὶ τῶν θείων πεπόνθασι καὶ μὴ θέλοντες, οὕτω τῆς

Quare irridens nimirum atque perstringens Judæorum infidelitatem perversumque consilium, malum illud apposite « tanquam non voluntarium » appellavit. Nam volentes quidem in infidelitatis retia inciderunt: at casum suum et Dei rerumque divinarum amissionem translationemque passi sunt

[94] I Reg. II, 7.

μεγάλοις, τουτέστι συνεχωρήθη ὑψωθῆναι κατὰ τὸν κόσμον τοῦτον. Συγχεχώρηται δὲ οὐκ ἀκρίτως, ἀλλ' ἵνα λίαν μετάρσιος ἐκφανθεὶς, κἀκεῖθεν καταπεσὼν, ἀνίατον συντριβὴν ὑπομείνῃ. Id est, *Recordare Scripturæ inclamantis:* Datus est impius in sublimitatibus magnis; *permissum scilicet illi est ut secundum hunc mundum exaltetur. Neque hæc facultas sine judicio data est, sed ut ille in sublime evectus, indeque in præceps actus, excidium subeat immedicabile.*

Digitized by Google

vel inviti, divino consilio et decreto suo juste sic statuente Deo, qui in omnes potestatem exercet. Qua ratione e contrario qui eunuchus natura est, cum nec volens diabolum fugiat, exaltatur; dum qui Deum gestabant, debellati humi repunt (64). Ait deinde Ecclesiastes:

A θείας βουλῆς καὶ ψήφου τοῦ πάντων ἐξουσιάζοντος Θεοῦ δικαίως κεχρικυίας. Ἢ τὸ ἔμπαλιν ὁ εὐνοῦχος φύσει, ἀκουσίως διαδρὰς τὸν διάβολον, ὑψοῦται, καὶ οἱ θεοφόροι πολεμούμενοι, ταπεινοὶ πορεύονται. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

§ X.

Vers. 8-10. *Qui fodit foveam, in ipsam incidet, et qui dissipat sepem, mordebit eum serpens; qui subtrahit lapides, dolebit in eis. Scindens ligna, periclitabitur in eis. Si exciderit ferrum, et ipse faciem turbavit. Et fortitudo confirmabit, et abundantia fortis sapientia* (65).

Ὁ ὀρύσσων βόθρον ἐν αὐτῷ ἐμπεσεῖται, καὶ καθαιροῦντα φραγμὸν δήξεται αὐτὸν ὄφις. Ἐξαίρων λίθους διαπονηθήσεται ἐν αὐτοῖς. Σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς· ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτάραξε. Καὶ δύναμις δυναμώσει· καὶ περισσεία τοῦ ἀνδρείου σοφία.

Qui clam subdoleque fraudem nectunt ac perniciem struunt proximis, quo nec opinantes incautique in magnas ærumnarum voragines obripiantur, eos nunc sapiens Ecclesiastes deterrere nititur, ne quid tale unquam vel moliantur vel faciant; quippe qui in eas ipsas angustias merito casuri sint, in quas alios compulerint, et eorum omnium, quæ aggressi fuerint, pœnas daturi: quemadmodum et David propheta ait: « Lacum aperuit, et effodit eum; et incidet in foveam quam fecit. Convertetur labor ejus in caput ejus, et in verticem ipsius iniquitas ejus descendet[95]. » Nam hoc ipsum illa significant: « Qui dissipat sepem, mordebit eum serpens; » qui sepem scilicet dissipat non in proximi commoda, sed ad expeditum facilemque furum introitum. Serpens enim, **242** inquit, hunc mordebit, qui nempe damnum perniciemque proximo infert: inde tentatio exsistet veneni plena, quæ ipsum tanquam serpens invadet atque mordebit. Et « qui subtrahit lapides, » eos scilicet, qui ad insidiatores prohibendos aggesti sint, in quos illi offendentes aditum sibi ad insidias interclusum reperissent, hunc dolore affectum iri dicit, id est vehementer laboraturum.

B Τοὺς κεκρυμμένως καὶ λανθανόντως καττύοντας καὶ ῥαψῳδοῦντας τὰ πρὸς ἐπιβουλὴν καὶ διαφθορὰν τῶν πλησίον, δι' ὧν ἀσυμφανῶς καὶ ἀπροόπτως περιπίπτουσιν εἰς βάραθρα βιωτικῶν συμφορῶν, ἀσφαλίζεται νῦν ὁ σοφὸς Ἐκκλησιαστὴς πρὸς τὸ μηδέποτε τοιοῦτόν τι μελετᾷν καὶ ποιεῖν· ἅτε δὴ πάντως ἐν τοῖς αὐτοῖς χαλεποῖς, τοῖς παρ' αὐτῶν καττυθεῖσιν, ἐνδίκως πεσοῦντας, καὶ τῶν ἰδίων ἐπιχειρημάτων τὴν δίκην εὑρήσοντας, καθώς φησι καὶ Δαβὶδ ὁ προφήτης· « Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν· καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. » Τοῦτο γὰρ αὐτὸ σημαίνει καὶ τὸ « καθαιροῦντα φραγμὸν δήξεται αὐτὸν ὄφις. » Καθαιροῦντα φραγμὸν C οὐχὶ πρὸς ὠφέλειαν τοῦ πλησίον, ἀλλὰ πρὸς ἀπαρεμπόδιστον καὶ ῥᾳδίαν εἴσοδον τῶν κλεπτόντων. Ὅφις γὰρ δήξεται, φησὶ, τοιοῦτον, δηλονότι τὸν τὰ βλαπτικὰ καὶ φθαρτικὰ δρῶντα τοῦ πέλας· ἐξ αὐτῶν ἀναφυήσεται καὶ καταλήψεται καὶ δήξεται δίκην ὄφεως πειρασμὸς ἰοβόλος. Καὶ, « Τὸν ἐξαίροντα λίθους, » κωλυτικοὺς δηλονότι τῶν ἐπιβούλων, ἐν οἷς ἔμελλον ἐκεῖνοι προσκόπτοντες ἄπρακτον τὴν ἐπιβουλὴν ἕξειν, διαπονηθήσεσθαι, τουτέστι σφόδρα μογῆσαί φησι.

Idem vero, cum similia sint, illa quoque ostendunt: « Scindens ligna periclitabitur in eis: si exciderit ferrum, et ipse; » nam qui scindit cæditque ligna, non ut exquisitorum edulium aliquid coquat ad hospites humaniter accipiendos, sed ut exstinctas antea curas et pravas cogitationes accendat, huic quandoque contingat, ut ferro prolapso, id est mente mala in perniciosum sermonem effusa, ipse potius periculum in his inveniat: quæ et millies contigisse nos quoque scimus, malo consilio in ipsius auctores converso, et omnem in

Τὸ αὐτὸ δὲ τοῦτο δηλοῖ παραπλήσιον ὂν καὶ τὸ « Σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς· ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτός· » ὁ γὰρ σχίζων ξύλα καὶ διαιρῶν, οὐχ ἵνα προσεψήσῃ τι τῶν προσφυῶν ἐδωδίμων, εἰς φιλοφροσύνην καὶ δεξίωσιν τῶν ἐπιξενουD μένων, ἀλλ' εἰς ἔκκαυσιν τῶν ἐσβεσμένων τέως ἐνθυμημάτων καὶ λογισμῶν τῆς κακίας, ἔστιν ὅτε τοῦ σιδηρίου διολισθήσαντος, ἤτοι τῆς κακοβούλου διανοίας πρὸς ἀσύμφορον λόγον, αὐτὸς μᾶλλον ἐν τούτοις εὑρήσει τὸν κίνδυνον· ἃ καὶ συμβάντα μυριάκις καὶ ἡμεῖς ἴσμεν, στραφείσης τῆς πονηροβουλίας

[95] Psal. VII, 16.

(64) Isaiæ verba (XVI, 3) præ oculis habuisse Noster mihi videtur, ubi ille ait: « Et non dicat eunuchus: Ecce ego lignum aridum; quia hæc dicit Dominus eunuchis: *Qui custodierint Sabbata mea, et elegerint quæ ego volui, et tenuerint fœdus meum; dabo eis in domo mea et in muris meis locum et nomen melius a filiis et filiabus: nomen sempiternum dabo eis, quod non peribit.* » Hæc vero Forerius de eunuchis evangelicis potissimum prædicta esse, non immerito existimavit.

(65) Sed apud LXX leges..... καὶ περισσεία τῷ ἀνδρὶ οὐ σοφία· quam tamen veram lectionem esse negat Drusius.

Digitized by Google

κατὰ τῶν γεννητόρων αὐτῆς, καὶ τὴν πανωλεθρίαν αὐτοῖς προξενησάσης· ὡς εὐρίσκεσθαι τὸν σχίζοντα τὰ ξύλα μάτην ταράττοντα τὸ ἐπιβουλευόμενον πρόσωπον, μᾶλλον μὲν οὖν καὶ τὰς δυνάμεις αὐτοῦ δυναμοῦντα κατὰ τὸ μᾶλλον, ἥγουν ἀσφαλέστερον αὐτὸν ποιοῦντα διὰ τῆς κατὰ τὴν ἐπιβουλὴν πείρας· ἅτε δὴ καὶ περισσείαν σοφίας, ἥγουν ἐπιστήμην καὶ διάγνωσιν ἐπὶ τῇ προτέρᾳ ἀνδρείᾳ σαφῶς προσλαβόμενον.

A eos perniciem congerente : ut qui ligna scindit, vultum insidiatoris nequidquam turbare videatur, at vires ejus potius confirmare magis, sive ad tentandas insidias multo eum reddere valentiorem : quippe qui sapientiæ copiam majorem, id est scientiam et cognitionem ampliorem ausis prioribus sine dubio acquisierit (66).

Τὴν ἴσην δὲ καὶ τὴν αὐτὴν ἐκδοχὴν ἐξειληφώς τις καὶ κατὰ τὸν τῆς ἀναγωγῆς λόγον, οὐχ ἁμαρτήσει τῆς ἀληθείας. Ὁ γὰρ Ἰουδαϊκαῖς κεκινημένος ἰταμότησι καὶ πονηροβουλίαις, ἤ τισιν αἱρετικαῖς καὶ κακοδόξοις ὑπολήψεσι παρατεθιγμένην ἔχων τὴν γλῶτταν, καὶ διὰ τοῦτο τὸν τοῦ νόμου φραγμὸν καθαιρῶν καὶ τὸν πύργον τῆς ἀληθείας ταῖς ἑτεροδιδασκαλίαις καὶ παρερμηνείαις καὶ καμπύλαις καὶ διεστραμμέναις διασαφήσεσιν, εὑρίσκει τὸν ὄφιν τὸν σκολιὸν, δηλαδὴ τὸν ἀρχέκακον διάβολον, ταῖς ἰδίαις δήξεσιν αὐτὸν ἀναλίσκοντα καὶ συνωθοῦντα πρὸς τὸν βόθρον τῆς ἀπωλείας. Ἔτι δὲ καὶ ἄλλων ἕκαστον παραδειγμάτων τῆς αὐτῆς θεωρίας ἐχόμενον, καὶ τούτου χάριν ὑπάρχον εὔληπτον πᾶσι τοῖς βουλομένοις, ὡς μὴ δεῖσθαι κἀν τούτοις ἀνὰ μέρος τῆς προσφυοῦς παρ' ἡμῶν ἑρμηνείας, ἵνα μὴ ταυτολογοῦντες ἁλῶμεν. Παρεμπεδοῖ δὲ τὰ φθάσαντα διὰ τῶν ἑπομένων.

Qui vero et anagoges rationem secutus in eamdem hæc sententiam interpretanda duxerit, minime a veritate aberrabit. Nam qui Judaica temeritate perversisque consiliis correptus est, aut aliqua hæreticorum labe et pestiferis opinionibus linguam habet infectam, atque adeo legis sepem ac veritatis turrim alienis doctrinis et interpretationibus atque explanationibus obliquis et detortis labefactat, **243** is flexuosum offendit serpentem, malorum scilicet auctorem diabolum, qui morsibus suis ipsum perimat, et in exitialem foveam impellat. Enimvero et cætera item exempla eodem singula spectant, et cuique captu facilia sunt, ut in his interpretatione nostra opus non sit, quæ partes singulas persequatur : ne eadem iterare arguamur. His autem quæ sequuntur, jam dicta confirmat.

B

§ XI.

Ἐὰν δάκῃ ὁ ὄφις ἐν οὐ ψιθυρισμῷ, καὶ οὐκ ἔστι περισσεία τῷ ἐπάδοντι.

C

VERS. 11. *Si momorderit serpens in non susurro, et non est amplius incantanti* (67).

Ἀναγωγικῶς ἐκδέχεσθαι χρὴ καὶ μόνον τοῦτο δηλαδὴ τὸ ῥητόν. Ὅφιν γὰρ ἐνταῦθα σημαίνει, περὶ οὗ φησι Μωσῆς ὁ θεοφάντωρ, « Ὁ δὲ ὄφις φρονιμώτατος ἦν πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· » δηλῶν τὸν ἀνθρωποκτόνον διάβολον τὸν ψιθυρίσαντα τῇ Εὔᾳ ταῖς ἀκοαῖς, καὶ φενακίσαντα δι' αὐτῆς τὸν γεννάρχην Ἀδὰμ ἐν ταῖς ψευδέσιν ἐπαγγελίαις. Οὗτος τοίνυν ὁ ὄφις « ἐὰν δάκῃ » τινὸς ἀνθρώπου ψυχὴν « ἐν οὐ ψιθυρισμῷ, » τουτέστιν ἐν βραχέσι καὶ λεπτοτάταις καὶ ψιλαῖς προσβολαῖς τῶν ἀτόπων ἐνθυμημάτων, ἀλλ' ἐν σφοδραῖς καὶ μεγάλαις καὶ δαψιλέσιν ἐξαιτάταις τῆς πονηρίας, χαλεπὴν καὶ σφοδροτάτην αὐτῷ ποιήσει πληγήν· ὡς μηδὲν ὄφελος εἶναι λοιπὸν « τῷ ἐπάδοντι, » δηλονότι τῷ διδασκάλῳ πειρωμένῳ τὸν ἰὸν τῆς ἐκείνου κακίας αὖθις ἐξωθῆσαι, καὶ παρασχεῖν γλυκασμὸν τῇ δηχθείσῃ καὶ πληγείσῃ ψυχῇ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης.

Dictum hoc secundum anagogen tantummodo accipiendum est. Serpentem enim eum hic designat, de quo Moyses ille theologus ait : « Sed et serpens erat callidior cunctis animantibus terræ [66] ; » homicidam diabolum demonstrans ad Evæ aures insusurrantem, ac per ipsam progenitorem Adam falsis promissis decipientem. Hic igitur serpens, si cujus hominis animam « momorderit in non susurro, » id est, brevibus et exiguis levissimisque petitionibus absurdarum cogitationum, gravibus tamen et magnis atque multis nequitiæ fallaciis perniciosum illi ac vehementissimum inferet ictum ; nihil ut *incantanti* relinquatur, quo juvare possit, præceptori nempe, qui malitiæ illius venenum rursus depellere conetur, et sauciæ per culsæque animæ veritatis atque justitiæ lenimenta præbere (68).

D

[66] Gen. III, 1.

(66) At Nilus hæc alio trahebat : nam de periculo cum ageret, in quo ii versantur, qui alios docendo instituunt, cum ingenio magis, quam doctrina nituntur, hæc subjecit : Καὶ ἡ παροιμία δὲ τὸ ἐπικίνδυνον τοῦ πράγματος αἰνίττεται λέγουσα· « Σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον. » Ὁ γὰρ διαιρῶν τῷ λόγῳ τὰ πράγματα, καὶ τὰ νομιζόμενα ἡνῶσθαι χωρίζων τῆς συμφυΐας, καὶ ξένα πάντη ἀλλήλων δείκνυται· βουλόμενος τὰ ὄντως ἀγαθὰ τῶν νομιζομένων τοιούτων, ἐὰν μὴ πάντοθεν ἔχῃ ἠσφαλισμένον τὸν λόγον, κινδυνεύει ἐν τοῖς ἀκούουσι, τοῦ ἐκπεσόντος τῆς ἀσφαλείας λόγου σκανδάλου ἀφορμὴν τοῖς μαθητευομένοις παρέχοντος. Id est, *Quantum vero in ea re periculum sit, proverbiali quoque dicto significatur :* Qui scindit ligna, periclitabitur in illis, si exciderit ferrum. *Qui enim res ratiocinando dividit, et eorum, quæ unita censentur, compagem dissolvit, etiam extranea invicem plane esse ostendit. Qui ex his, quæ putantur bona, vult ea quæ vere talia sint, nisi undique tutus ratiocinetur, apud auditores periculum subit, quod ratio, ubi a vevitate deciderit, offensionis præbeat causam iis, qui instituuntur.* (*De monast. exerc.* c. 29.)

(67) Olymp. ἐὰν δὲ δάκῃ.

(68) Hanc Ecclesiastæ sententiam Latinus interpres vertit : *Si mordeat serpens in silentio, nihil eo minus habet, qui occulte detrahit.* Velut si compa-

Digitized by Google

Quare sapiens Ecclesiastes nos monet, cavendum esse, ne serpens ille malorum auctor pessimum consilium in animi penetralia quasi dentes immittat, et rationalibus animæ facultatibus potiatur : ipsa vero initia impiarum cogitationum consideranda, et illico prohibenda, atque ab **244** interioris hominis aula solerter sobrieque amandanda, quemadmodum in rerum exordio dictum a Deo esse testatur Moyses : « Ipse tuum observabit caput, et tu observabis ejus calcaneum (69); » initium malignæ petitionis cavere nos jubens, et statim ipsum veluti caput jam tabidum frangere atque conterere fidei virga, atque spiritus gladio, « quod est verbum Dei, » ut ait Paulus magnus apostolus[97], amputare atque confodere (70) : quod propheta Habacum, Christum Deum nostrum compellans vaticinansque expressit, cum ait : « Projecisti in capita impiorum mortem, excitasti vincula usque ad collum in finem : amputasti in excessu capita potentum (71). Nam si caput sive initium malignæ petitionis minime caveris, nec mentis solertiam adhibueris (72), sed eam in intima cogitationum penetralia intumescentem et nequitiæ veneno plenam libere subire passus fueris; jam illæ efficient, ut anima nullo modo aut certe non sine summa difficultate revocari ad valetudinem possit. Ait deinde :

A Εἰσηγεῖται τοίνυν ὁ σοφὸς Ἐκκλησιαστής, μὴ παραχωρεῖν τὸν ἀρχέκακον ὄφιν ἐγχαλᾷν τοὺς ὁδόντας τῆς πονηροβουλίας αὐτοῦ τοῖς τῆς καρδίας ταμείοις, καὶ κατακρατεῖν τῶν λογιστικῶν δυνάμεων τῆς ψυχῆς· ἀλλὰ τὰς ἀρχὰς τῶν ἀσεβῶν ἐνθυμημάτων περισκοπεῖν, καὶ θᾶττον ἀπείργειν καὶ πόρρω διώκειν τῆς αὐλῆς τοῦ ἔνδοθεν ἀνθρώπου διὰ τῆς τοῦ νοῦ προσοχῆς καὶ νηφαλιότητος κατὰ τὸ εἰρημένον ἀρχῆθεν ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ Μωσέως· « Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν· » τὴν ἀρχὴν τῆς πονηρᾶς προσβολῆς κελεύων παρατηρεῖν, καὶ θᾶττον αὐτὴν οἷόν τινα σεσαθρωμένην κεφαλὴν συνθλᾷν καὶ συντρίβειν τῇ ῥάβδῳ τῆς πίστεως, καὶ τῇ μαχαίρᾳ τοῦ πνεύματος, « ὅ ἐστι ῥῆμα Θεοῦ, καθὼς φησι Παῦλος ὁ μέγας B ἀπόστολος, διακόπτειν καὶ κατασφάζειν· ὃ πρὸς τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν προφητικῶς ἀνακέκραγεν ὁ θεσπέσιος Ἀββακοὺμ φάσκων· « Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος· διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν. » Εἰ γὰρ μὴ τὴν κεφαλήν, ἤτοι τὴν ἀρχὴν τῆς πονηρᾶς προσβολῆς παρατηρήσῃς διὰ τῆς τοῦ νοὸς προσοχῆς, ἀλλ' ἀφήσεις αὐτὴν εἰσδύναι τοῖς ἐνδοτάτω θαλάμοις τῶν λογισμῶν ἐξοιδαίνουσαν καὶ φλεγμαίνουσαν παντελῶς τῷ ἰῷ τῆς κακίας· ἀπεργάσονται, τὴν ψυχὴν ὡς ἀδύνατον ἢ δυσχερὲς εἶναι λοιπὸν ἀνακληθῆναι πρὸς ῥῶσιν. Εἶτά φησι·

§ XII.

Vers. 12. *Verba oris sapientis gratia, et labia insipientis demergent eum.*

Veneratur hic quoque iterumque extollit qui in ore sapientiam habent, ac sermones sapienter proferunt; quos *gratiam* appellat, tanquam qui auditoribus **245** plures ac varias afferant utilitates. Sic enim et in Proverbiorum libro dixit : « De ore justi distillant gratiæ (73). Nam qui ea, quæ veri-

C *Λόγοι στόματος σοφοῦ χάρις, καὶ χείλη ἄφρονος καταποντιοῦσι αὐτόν.*

Ἐκθειάζει καὶ κατασεμνύνει καὶ νῦν αὖθις τοὺς ἀποφθεγγομένους ἐν σοφίᾳ, καὶ σοφῶς τοὺς λόγους προφέροντας, *χάριν* ὀνομάζων αὐτούς, ὡς τοὺς ἀκούοντας ὠφελοῦντας, πολυμερῶς δηλονότι καὶ πολυτρόπως. Οὕτω γὰρ κἀν τῇ βίβλῳ τῶν Παροιμιῶν ἔφησε, « Στόμα δικαίου ἀποστάζει χάριτας. » Ὁ

[97] Ephes. VI, 17.

ratio instituatur inter serpentem et maledicum. Nam quod redditur ἐπᾴδων, reddi etiam poterat γλωσσώδης, sive qui lingua valet. At vero si verba τῶν Ο' spectemus, illud significari nonnulli censent, debere scilicet, qui serpentes venatur, virtute sua maturius uti, ne serpens improvidum mordeat, et artem ejus inutilem reddat. Quare eo nos exemplo moneri, ut quæ muneris nostri sunt partes, iis tempore fungamur.

(69) Gen. III, 15, sed in exempl. Complut. leges, αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν : quam tamen lectionem veteres Patres non agnoscunt.

(70) Explanationis, qua memoratus Genesis locus exponitur, gemina prope videtur, quæ in Augustino legitur (lib. II, *de Genesi contra Manichæos*, cap. 38) : « Observat, inquit, ipse plantam mulieris, ut si quando illicita labitur delectatione, tunc illam capiat : et illa observat caput ejus, ut eum in ipso initio malæ suasionis excludat. »

Cæterum Hebraicis melius respondent quæ in Vulgatis habemus : « Ipsa conteret caput tuum, et tu insidiaberis calcaneo ejus. » Nisi quod *ipse* sive *ipsum*, nempe *semen mulieris*, in Hebraicis est : quod et in Latinis quibusdam exemplaribus aliquando fuisse videtur : cum hunc locum Leo Magnus (serm. 2, *De Nat. Dom.*) sic explicet : « Denuntians serpenti, futurum semen mulieris, Quod noxii capitis elationem sua virtute contereret, Christum scilicet in carne venturum Deum hominemque signans, qui natus ex Virgine *violatorem humanæ propaginis incorrupta nativitate damnaret.* » Quin Isidorus legit plane : Ipsum conteret caput tuum; et addit : « Ipsum semen mulieris Christus Dominus contrivit caput serpentis, hoc est regnum peccati. » Vulgatam tamen lectionem defendit Lucas Brugensis.

(71) Habac. III, 13. At LXX habent, Βαλεῖς εἰς κεφαλὰς..... ἕως τραχήλου. διάψαλμα· διέκοψας.....

(72) Hæc vero paulo longius petita fortasse dixeris, nec multum rei, de qua agitur, convenire. Nam capita illa potentum, quæ Deus amputavit, tyranni sunt, quos Deo auctore populus Israelis in finibus Palæstinæ debellavit, cum promissam sibi terram reciperet. Et tamen in iis aliqua similitudo : quod nempe, ut sublatis capitibus sive ducibus hostes Hebræorum conciderunt; sic primo quoque diaboli impetu represso, mens in tuto ponitur, et periculo amoto pax animæ et tranquillitas redditur.

(73) Prov. XI, 31. At LXX reddidere, ἀποστάζει σοφίαν. Infra vero leges, v. 32, Χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας.

Digitized by Google

γὰρ φρονῶν τὰ τῆς ἀληθείας, καὶ ταῖς εὐθύτησιν ἰθυνόμενον καὶ κανονιζόμενον ἔχων τὸ ἴδιον στόμα, λόγους ἐκβλύζει κατὰ τὸ ἀκόλουθον ἀγαθοὺς καὶ χάριν τοῖς ἐπαΐουσιν ἐμποιοῦντας, καὶ τῆς μὲν περιστοιχούσης αὐτοὺς ἐπαναστάσεως τῶν παθῶν ἢ τινος ἀθυμίας καὶ λύπης τοῦ ἔνδοθεν ἀνθρώπου κατακρατούσης ἐξαιροῦσαν, καὶ μετοχετεύουσαν πρὸς παράκλησιν καὶ ψυχαγωγίαν καὶ θυμηδίαν.

Ἀλλ' οἱ βάσκανον καὶ μισόκαλον ἔχοντες γνώμην, οὓς καὶ δεδήλωκε διὰ τῆς ὁμοιότητος « τοῦ ἄφρονος, » ἐπεισελθόντες τοῖς σοφῶς εἰσηγηθεῖσι καὶ συνετῶς λαληθεῖσι, μετὰ ραγδαιοτάτης τῶν παραφρόνων λόγων κινήσεως, δίκην θαλαττίων κυμάτων συγχέουσιν αὐτοὺς καὶ καταβαπτίζουσι, καθὼς ἐμπεδοῖ κἀν τῇ βίβλῳ τῶν Παροιμιῶν, φάσκων· « Σοφίαν καὶ παιδίαν ἀσεβεῖς ἐξουθενήσουσιν. » Ἢ μήποτε τὰ χείλη τοῦ ἄφρονος αὐτὸν ἐκεῖνον καταποντίζειν φησὶν, ἀλλ' οὐχ ἕτερον; « Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ, » φησὶν ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος· καθάπου φησὶ καὶ τὸ λόγιον τοῦ ἀθλητοῦ τῆς εὐσεβείας Ἰώβ· « Ἐλέγξαι σε τὸ σὸν στόμα, τὰ δὲ χείλη σου καταμαρτυρήσουσί σου· » τὴν ἐπ' αὐτὸν ἐκεῖνον τὸν ἄφρονα γενομένην κατάκρισιν ἐπὶ τοῖς ἰδίοις λόγοις σαφῶς αἰνιττόμενον. Καὶ εὕρηνται πολλάκις οἱ παράφρονες λόγοι τῶν μισοκάλων ἀνθρώπων, καὶ τῶν σοφῶν τοὺς λόγους σβεννύντες, καὶ δεικνύντες ἀνενεργήτους διὰ τὴν παρεισκρισιν καὶ τὴν ἀντίρρησιν τῶν ἀσόφων· οὓς αἰνιττόμενος αὖθις ἐπήγαγε·

tatis sunt, sentit, et os habet ad recti regulam exactum ac conformatum, sermones, ut par est, bonos effundit et eam audientibus ingerentes gratiam, quæ non solum insurgentium cupiditatum impetum et desperationem ac dolorem animo infixum tollat, sed etiam in solatii et oblectationis et lætitiæ communionem partemque vocet.

At vero qui maligno sunt animo et honesti inimico, quos etiam *insipientis* appellatione designavit, iis adversati, quæ sapienter proposita, prudenterque tradita sunt, violentissimo stultorum verborum impetu, tanquam marinis fluctibus obruunt illos atque demergunt : ut in Proverbiorum quoque libro confirmat, cum ait : « Sapientiam atque doctrinam impii despicient [98]. » Quid si labia insipientis illum ipsum demergere dicit, non alium? « Ex verbis enim tuis justificaberis, et ex verbis tuis condemnaberis [99], » inquit Dominus in Evangeliis; sicut quodam in loco athleta ille pietatis Jobus oraculum edidit hujusmodi : « Arguat te os tuum, et labia tua testificabuntur contra te (74) : » diserte significans contra illum ipsum insipientem in ejusdem verbis inesse condemnationem. Nec rari sunt stulti improborum hominum sermones, qui sapientium sermonibus tenebras offundant, eosque insipientium comparatione et contradictione infirment atque elevent; quos ut indicaret, adjecit rursum :

§ XIII.

Ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη· καὶ ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά· καὶ ὁ ἄφρων πληθυνεῖ λόγους.

Διὰ τῶν ἐν ἀρχῇ καὶ τῶν ἐσχάτως παρὰ τοῦ ἄφρονος λεγομένων πᾶσαν τὴν τῶν λόγων αὐτοῦ προφορὰν ἐνδιαβάλλων καὶ κατασκώπτων, καθὼς καὶ ὁ προφήτης Ἱερεμίας τοῖς τοιούτοις παραινιττόμενος οὕτω φησί· « Μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψεύδη, ἠδίκησαν, καὶ οὐ διέλιπον ἐπιστρέψαι. » « Βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν, τῷ πλησίον λαλεῖ εἰρηνικὰ, καὶ ἐν αὐτῷ ἔχει τὴν ἔχθραν. » Τὸ αὐτὸ δὲ τοῦτο καὶ Δαβὶδ ὁ προφήτης ἐμπεδοῖ φάσκων· « Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. » Καὶ τὸ δὲ χαλεπώτερον, ὅτι καὶ παραφρόνως φθεγγόμενοι καὶ παραλόγως λαλοῦντες οὐκ ἴσασιν ὡς εἰς κατάγνωσιν καὶ κατάκρισιν ἰδίαν ἀποφθέγγονται καὶ λαλοῦσι, καὶ διὰ τοῦτο πληθυνοῦσιν αὐτῶν καὶ τοὺς λόγους· τοῦτο γὰρ ᾐνίξατο φήσας· « Καὶ ὁ ἄφρων πληθυνεῖ λόγους. » Οὐ γὰρ ἤκουσε τῆς παραινέσεως τοῦ λαλοῦντος· « Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν. »

Εἰσηγεῖται τοίνυν ὁ σοφὸς Ἐκκλησιαστὴς, καὶ κατασφαλίζεται πάντας τοὺς ἐπαΐοντας, μὴ τὸ

Verse. 13. *Initium verborum oris ejus insipientia, et novissimum oris ejus circumactio pessima. Et stultus multiplicat verba* (75).

Iis nempe, quæ insipiens in sermonis exordio atque in fine loquitur, universam orationis ejus summam perstringens ac notans, quemadmodum et propheta Jeremias homines ejusmodi designans sic ait : « Didicit lingua eorum loqui mendacia, inique egerunt, et non intermiserunt, **246** ut converterentur [1]. » — « Sagitta vulnerans lingua eorum, dolosa verba in ore eorum, proximo loquitur pacifica, et in se habet inimicitiam [2]. » Id vero ipsum et David propheta confirmat, cum ait : « Molliti sunt sermones eorum super oleum, et ipsi sunt jacula (76). Illud vero gravius, quod temere garrientes et absurda blaterantes non intelligunt, se in reprehensionem et condemnationem suam garrire ac blaterare, itaque verba sua multiplicant. Nam hoc indicavit, cum dixit : « Et stultus multiplicat verba. » Neque enim admonitionem percepit ejus, qui ait : « In multiloquio non effugies peccatum [3]. »

Præscribit igitur sapiens Ecclesiastes, omnibusque auditoribus auctor est, ne os habeant præceps,

[98] Prov. I, 7. [99] Matth. XII, 37. [1] Jerem. IX, 5. [2] ibid. 8. [3] Prov. X, 19.

(74) Job XV, 6. Sed apud LXX leges, Ἐλέγξαι σε τὸ σὸν στόμα, καὶ μὴ ἐγὼ, τὰ δὲ χείλη.....

(75) Olymp. καὶ ἐσχάτη αὐτοῦ.....

(76) Psal. LV, 21, verum LXX habent οἱ λόγοι αὐτοῦ.

Digitized by Google

neve verba proferant insipientia, ac ne improbis et nimium crebris sermonibus se dementia laborare demonstrent : sed ut « ostium circumstantiæ labiis ponant et ori custodiam [a], » quemadmodum David vates sibi a Deo universi precabatur. Ait deinde Ecclesiastes :

στόμα προπετὲς ἔχειν, μηδὲ λόγους ἀσυνέτους προφέρειν, μηδέ τι γε μὴν ἐν τῷ πονηρολογεῖν καὶ πολυλογεῖν δεικνύναι παραφροσύνην ἔχειν· ἀλλὰ « Θύραν περιοχῆς τιθέναι τοῖς χείλεσι καὶ στόματι φυλακὴν, » ὡς προσηύχετο Δαβὶδ ὁ ὑμνογράφος πρὸς τὸν ἐπὶ πάντων Θεόν. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

§ XIV.

VERS. 14. *Ignorat homo quid sit, quod factum est, et quid quod futurum est, quia post eum quis annuntiabit ei? Labor stultorum affliget eum, qui nescit ire in civitatem* (77).

Οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον, καὶ τί τὸ ἐσόμενον, ὅτι ὀπίσω αὐτοῦ τίς ἐπαγγελεῖ αὐτῷ; μόχθος τῶν ἀφρόνων κακώσει αὐτόν, ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν.

Magnæ variæque utilitatis monita sapiens Ecclesiastes auditoribus proponit. Arbitror enim, vel potius aperte intelligo atque contendo, illum hoc loco designare impudentissimos superbissimosque impiarum sectarum duces, et insolentiam eorum atque jactantiam deprimere, evertere, perterrere : ipsum nempe insolentissimum Eunomium ejusque præclarum deductorem Aetium nomen suum mentientem (78), atque frugis ejusmodi **247** homines, qui eo usque amentiæ atque impietatis processerunt, ut dicere auderent, se Dei essentiam compertam habere, quæ et naturali intelligentiæ et theologicis doctrinis impervia et arcana habetur ac prædicatur, unaque omnibus omnino incomprehensibilis est. Nam « Ignorat, inquit, homo quid sit quod factum est, et quid quod futurum est. » Nimirum Eunomius essentiæ suæ rationem non agnovit; nec assecutus est, quo pacto quatuor simplicia elementa, contraria invicem et pugnantia, ad humanæ naturæ atque ad cæterorum animantium substantiæ constitutionem coierint atque consenserint : multoque magis ignoravit, quid postea futurum sit; id est quomodo anima sejuncta a corpore ac divisa, secum ipsa maneat usque ad communem omnium resurrectionem, cum iterum in altero Christi adventu glorioso, ex Dei decreto, illud assumet; itaque cum nec quod olim factum est, nec quod futurum sit cognosceret, tantam ad amentiam furoremque pervenit, ut per summam impudentiam diceret, etiam incomprehensibilis Dei essentiam sibi cognitam esse. Hunc (79) igitur, **248** ut

Μεγάλης καὶ ποικίλης ὠφελείας εἰσηγήσεις προτίθησι τοῖς ἐπαΐουσιν ὁ σοφὸς Ἐκκλησιαστής. Οἶμαι γὰρ νῦν, μᾶλλον δὲ καὶ σαφῶς οἶδα καὶ διατείνομαι, τοὺς ἀλαζόνας καὶ μεγαλαύχους καὶ μεγαλορρήμονας τῶν δυσσεβῶν αἱρεσιαρχῶν αἰνίττεσθαι, καὶ ταπεινοῦν καὶ καταβάλλειν καὶ ταράττειν τὸ σφῶν φρύαγμα καὶ τὴν μεγαλορρημοσύνην· δηλονότι τοὺς περὶ τὸν ἐκνομώτατον Εὐνόμιον καὶ τὸν ψευδώνυμον Ἀέτιον τὸν τούτου μυσταγωγὸν, καὶ τοὺς παραπλησίους, οἳ πρὸς τοσαύτην ὑπερβολὴν ἦλασαν παραπληξίας καὶ δυσσεβείας, ὡς εἰπεῖν τολμῆσαι καὶ τὴν οὐσίαν τοῦ Θεοῦ διαγινώσκειν, τὴν καὶ ταῖς φυσικαῖς ἐννοίαις καὶ ταῖς θεολογικαῖς εἰσηγήσεσιν εὑρισκομένην καὶ κηρυττομένην ἀνεξιχνίαστον καὶ παντελῶς ἀκατάληπτον, καὶ μόνην ὄντως οὖσαν πᾶσιν ἀπερινόητον. « Οὐκ ἔγνω » γὰρ, φησὶν, « ἄνθρωπος τί τὸ γενόμενον καὶ τί τὸ ἐσόμενον. » Μὴ διαγνοὺς γὰρ ὁ Εὐνόμιος τῆς ἰδίας οὐσίας τὸν λόγον, μηδὲ κατειληφὼς, πῶς ἐγένετο τῶν τεττάρων ἁπλῶν στοιχείων ἡ συνθήκη καὶ συμφωνία τῶν ἀντικειμένων ἀλλήλοις καὶ πολεμίων πρὸς σύστασιν τῆς ἀνθρωπίνης φύσεως καὶ τῆς τῶν ἄλλων ζώων ἀλόγων ὑπάρξεως, μηδέ τι πολλῷ μᾶλλον τὸ ἐσόμενον αὐτῇ· τουτέστι πῶς ἡ ψυχὴ διαστᾶσα καὶ διαιρεθεῖσα τοῦ σώματος μένει καθ' ἑαυτὴν μέχρι τῆς κοινῆς καὶ καθολικῆς ἀναστάσεως, ὁπηνίκα τῷ θείῳ βουλήματι πάλιν ἀπολήψεται τοῦτο κατὰ τὴν ἔνδοξον καὶ δεύτερον τοῦ Χριστοῦ παρουσίαν· μήτε τοίνυν τὸ πάλαι γινόμενον γινώσκων, μήτε μὴν τὸ ἐσόμενον, εἰς τοσαύτην ἦλασεν ἀποπληξίαν καὶ λύτταν, ὡς ἐξ ὑπερβαλλούσης ἀλαζονείας φάναι καὶ τὴν οὐσίαν τοῦ

[a] Psal. CXLI, 3.

(77) at LXX habent..... τίς ἀναγγελεῖ αὐτῷ..... Olymp..... κακώσει αὐτούς· οὐκ ἔγνω τοῦ..... Bos autem (in Proleg. ad psal.) codicis Alexandrini lectionem affert hujusmodi. Μόχθος τοῦ ἄφρονος σκοτώσει αὐτόν. Addit deinde : « Pro σκοτώσει *obscurabit* legendum κοπώσει *fatigabit*, ut recte habet Ald. et Comp. et convenit cum Hebr. ; sed librarius ille Alexandrinus oscitanter ex præcedente voce repetiit litteram C et dein pro Π legit T. »

(78) Aetium vocat Noster ψευδώνυμον, ut inscitiam et stuporem hæretici hominis notet, qui veritatem errori non prætulit, et Arianorum commenta novorum portentorum adjectione cumulavit. Est enim ἀετὸς Græcis *aquila*, unde ille Ἀέτιος dictus. Quo sane nomine indignus fuit, cum excellens quædam mentis vis, et præclara ingenii laus appellatione illa designari soleat. Nam idcirco Aquila tanquam insigne data est Joanni apostolo, qui divina tractare pro dignitate potuit, et Theologus dici meruit. Quin erat in proverbio Ἀετὸν ἵπτασθαι διδάσκεις. Si quis peritiores se docere conaretur, ut leges apud Suidam.

Habuit autem Aetius pro notario aut scriba ταχυγράφῳ Eunomium : quem et hæresin suam docuit; ut μυσταγωγὸς jure illi fuisse dicatur, quod nempe, tanquam qui hospites per urbem visendi causa deducit, errores illi suos et portenta monstraverit.

(79) Multis plane modis amentem hunc hæresiarcham exagitarunt veteres Patres, Basilius in primis. Hic vesano homini glorianti nihil sibi de Dei virtute ignotum, nihil abditum esse, epistolam etiam scripsit, in qua plures de formica quæstiones proposuit, ut eodem scilicet, quo Noster utitur, argumento superbiam ejus furoremque retunderet. Οὐκοῦν, inquit, ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος, τὸ σμικρότατον τῶν προφαινομένων, ὅπως ἔχει φύσεως, ἑρμηνευσάτω. καὶ τίς ἡ τοῦ μύρμηκος φύσις, εἰπάτω· εἰ πνεῦμα

ἀπερινοήτου Θεοῦ διαγινώσκειν. Τοῦτον οὖν, ὡς ἔφθην εἰπών, καὶ τοὺς περὶ αὐτὸν προφητικοῖς ὄμμασι διαβλέψας ὁ σοφὸς Ἐκκλησιαστής, κατασπᾷ τῆς μεγαλαυχίας καὶ τῆς μεγαλορρημοσύνης, καὶ καταβιβάζει πρὸς τὴν σύμμετρον τοῖς ἀνθρώποις ταπείνωσιν· ἵνα μηδὲν τοιοῦτον ἐννοῶσιν ἢ λέγωσιν, ἀλλὰ γινώσκωσιν ἀσφαλῶς καὶ βοῶσι μετὰ τοῦ χρυσοστόμου Παύλου, Νῦν γινώσκω « ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι, τότε δὲ » γνώσομαι « πρόσωπον πρὸς πρόσωπον. »

A modo aiebam, et sectatores ejus sapiens Ecclesiastes oculis propheticis intuitus, a superbia et jactantia revocat, atque ad eam, quæ homines decet, animi demissionem deducit : ut nihil tale cogitent aut loquantur, sed certo cognoscant, et cum aureo illo Pauli ore clament : Nunc cognosco « in speculo et in ænigmate ; tum vero cognoscam facie ad faciem (80). »

Καὶ μηδεὶς οἰέσθω με τὴν τοιαύτην ὑπόληψιν πεπλασμένως καὶ κενοπρεπῶς παρεισάγειν, ὡς τοῦ Ἐκκλησιαστοῦ μηδὲν τοιοῦτον ὑπειληφότος. Εἰ γὰρ μὴ τοῖς τοιούτοις προσώποις τὸ παρὸν ῥητὸν ἀποκληρώσομεν καθ' ἣν αἰτίαν εἰρήκαμεν, παρέλκον ἂν εὑρεθείη καὶ περιττόν. Καὶ γάρ φησιν, « Οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον καὶ τί τὸ ἐσόμενον. » Καὶ μὴν ἐγνώκαμεν ἄνθρωποι πάντες σχεδὸν, ὡς ὑπὸ τοῦ πάντων δημιουργοῦ καὶ τεχνουργοῦ γέγονε τὸ οὐράνιον εὖρος καὶ τὸ βάρος τῆς γῆς παραχθὲν ἐξ οὐκ ὄντων ἀπηωρήθη μόνῳ τῷ παντοδυνάμῳ βουλήματι τοῦ ποιήσαντος, καὶ ἄβυσσοι καὶ ὄρη καὶ νάπαι καὶ ἥλιος καὶ σελήνη καὶ πᾶς ὁ τῶν ἀστέρων ἐσμὸς καὶ πάντων ἄλλων ζώων σαφῶς ὁ κατάλογος. Ἴσμεν δὲ καὶ τὸ ἐσόμενον, ἀπὸ τῶν θεοπνεύστων Γραφῶν διδασκόμενοι καὶ παραλαμβάνοντες διὰ πίστεως, ὡς ἀλλαγήσονται μὲν οὐρανοὶ καὶ ἡ γῆ καὶ τὰ ἐν αὐτοῖς, καὶ πρὸς κρείττονα μεταστοιχεωθήσονται λῆξιν. Πῶς οὖν « οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον, καὶ τί τὸ ἐσόμενον, ὅτι ὀπίσω αὐτοῦ τις ἐπαγγελεῖ αὐτῷ ; » Ἰδοὺ γὰρ καὶ τὰ γενόμενα καὶ τὰ ἐσόμενα διὰ τῶν θείων ὑποφητῶν ἐδιδάχθημεν καὶ γινώσκομεν. Ἀλλ' εὔδηλον, ὡς τὴν ὑπερηφανίαν καὶ βλάσφημον οἴησιν, καὶ δυσσεβεστάτην μεγαλορρημοσύνην τῶν εἰρημένων, καὶ τῶν παραπλησίων αὐτοῖς αἱρεσιαρχῶν παραινιττόμενος, πρὸς τὴν σύμμετρον

Nec quispiam putet, sententiam hujusmodi confictam a me ac citra decorum inductam, quasi Ecclesiastes nihil tale fuerit suspicatus. Nisi enim dictum istud ex ea, quam diximus, causa personis illis assignemus, ascitum extrinsecus ac supervacaneum videatur. Etenim ait : « Ignorat homo quid sit quod factum est, et quid quod futurum est. » Atqui omnes fere homines novimus, totum, quantum patet, cœlum a summo omnium auctore atque artifice conditum esse, ipsamque telluris molem ex iis, quæ non erant, eductam, uno Conditoris omnipotenti consilio esse suspensam ; ac simul abyssos et montes et valles, et solem item ac lunam et omne astrorum agmen, nec minus cætera omnia animantia eodem modo exstitisse. Scimus porro et futurum, divinis Litteris edocti, ac per fidem tenemus, cœlos quidem et terram, quæque in his sunt, mutatum iri, ac meliorem in statum transitura [a]. Quomodo igitur « ignorat homo quid sit quod factum est, et quid quod futurum est, quia post eum quis annuntiabit ei ? » Ecce enim et quæ facta sunt, et quæ futura sunt, a divinis vatibus edocti didicimus. At manifestum est, sic eum superbam ac maledicam opinionem et impietatis plenam jactantiam in his, quos diximus, atque in similibus sectarum ducibus perstringere, ut ad

[a] Hebr. v, 12.

καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή· εἰ ὀστέοις τὸ σῶμα διείληπται· εἰ νεύροις καὶ συνδέσμοις τὰς ἁρμονίας τετόνωται· εἰ μυῶν περιβολῇ καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται φύσις· εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐράιον ὁ μυελὸς συμπαρατείνεται· εἰ ἡ περιοχὴ τοῦ νευρώδους ὑμένος τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν· εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ καὶ τὸ χοληδόχον ἀγγεῖον, ἐπὶ τοῦ ἥπατος, νεφροί τε καὶ καρδία καὶ ἀρτηρίαι καὶ φλέβες, ὑμένες καὶ διαφράγματα· εἰ ψιλόν ἐστιν, ἢ τετρίχωται μονώνυχόν ἐστιν, ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις· πόσον δὲ βιοῖ τὸν χρόνον, καὶ τίς αὐτοῖς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γεννήσεως· ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον καὶ πῶς οὔτε πεζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι πάντες, ἀλλ' οἱ μὲν τῶν χαμαὶ ἐρχομένων εἰσὶν, οἱ δὲ διαέριοι φέρονται. Ὁ τοίνυν τῶν ὄντων τὴν γνῶσιν ἐπικομπάζων, τέως τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω· εἶθ' οὕτως φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν· εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν φύσιν, πῶς τὴν ἀκατάληπτον τοῦ Θεοῦ δύναμιν μεγαλαυχεῖς φαντάζεσθαι ; Id est, *Itaque qui se existentium scientiam esse assecutum gloriatur, exponat nobis, quomodo quod minimum est eorum, quæ in lucem prodierunt, vitam habeat, et quæ formicæ natura sit, dicat : Num spiritu et anhelitu vita ejus contineatur ; num corpus habeat compactum ossibus ; nervisne ac juncturis compages explicet ; an musculorum et glandularum complexu nervorum natura conservetur ; an a sincipite per dorsales vertebras ad caudam usque medulla producatur ; utrum ex nervosæ pelliculæ complexione motis membris sit progrediendi facultas ; num habeat hepar, num sub jecore sit flavæ bilis folliculus ; utrum renes habeat, et cor, et arterias, et venas, et membranas, et sepimenta ; nudane sit an crinita ; unguemne unum an plures in pedibus habeat ; quandiu vivat, et quæ sit illi propagandæ sobolis ratio ; sin minus, quotuplex ab ea fetus in utero gestatur ; et quomodo nec pedestres omnes sint formicæ, nec alatæ omnes, sed aliæ humi repant, aliæ vero per aera volitent. Dicat igitur formicarum nobis naturam, qui eorum, quæ in natura sunt, scientiam cum fastu se prædicat assecutum, atque ita demum de potentia illa omnium intellectum superante disputet. Si vero scientia minutissimæ formicæ naturam nondum tenes ; quomodo incomprehensibilem Dei potentiam imaginatione tua comprehensam esse gloriaris ?* (Epist. 168.)

(80) I Cor. XIII, 12. Sed in vulgatis leges, Δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον.

Digitized by Google

eam, quæ homines decet, modestiam animique demissionem revocet, ut ante dixi.

249 Nam hoc iis etiam ostendit, quæ proxime sequuntur. Ait enim : « Labor stultorum affliget eum qui nescit ire in civitatem. » Excellens enim et plane eximium nacti ingenium, labore multo et contentione assidua illud ii de quibus loquimur, effecerunt, ut per eos conatus tantasque curas perniciem sibi pararent, vitamque æternam amitterent. Neque enim noverunt quo pacto ad supernam civitatem eundum esset, spiritalem scilicet Jerusalem Petri et Pauli parentem (81), et cæterorum, qui parem cum illis vivendi rationem studiose inierunt : sed fastu atque ostentatione arbitrati et jactare ausi, quæ supra naturam atque ultra omnem hominum captum sunt, se dignoscere, ob falsas sententias et pervertas opiniones regno exclusi exciderunt. Addit deinde sapiens Ecclesiastes

A ἀνθρώποις ἀνακαλεῖται μετριότητα καὶ ταπεινοφροσύνην, ὡς ἔφθην εἰπών.

Τοῦτο γὰρ δηλοῖ καὶ διὰ τῶν ἀμέσως ἐπιμένων· φησὶ γάρ, « Μόχθος τῶν ἀφρόνων κακώσει αὐτόν, ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν. » Μετέωρον γὰρ δῆθεν κτησάμενοι τὸν νοῦν, διὰ πολλῶν μόχθων καὶ πόνων καὶ φιλοπονιῶν, ὑπὲρ ὧν ὁ λόγος, εἰς κάκωσιν αὐτῶν καὶ στέρησιν τῆς αἰωνίου ζωῆς, τὸν τοιοῦτον μόχθαν καὶ τὴν τοσαύτην ἔσχον μελέτην. Οὐ γὰρ ἔγνωσαν πῶς δεῖ πορευθῆναι πρὸς τὴν ἄνω πόλιν, δηλονότι τὴν νοητὴν Ἱερουσαλήμ, τὴν μητέρα Πέτρου καὶ Παύλου καὶ τῶν παραπλησίως ἐκείνοις ζῆν καὶ πολιτεύεσθαι σπουδασάντων· ἀλλ' ἐν τῷ κόμπῳ τῆς ἰδίας ἀλαζονείας οἱ τὰ μετέωρα καὶ τὰ ὑπὲρ τὴν φύσιν καὶ πᾶσαν ἀνθρωπίνην κατάληψιν B διαγινώσκειν οἰόμενοι καὶ μεγαλαυχήσαντες, ἔξω τῆς βασιλείας ἐναπεκλείσθησαν διὰ τῶν ψευδῶν ὑπολήψεων καὶ κακοδόξων δοξῶν. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ XV.

VERS. 16, 17. *Væ tibi, civitas, cujus rex tuus junior, et principes tui mane comedunt. Beata tu, terra, cujus rex tuus filius liberi, et principes tui ex tempus comedunt in fortitudine, et non confundentur* (82).

Obvium ipsorum verborum sensum explicantes dicimus, regem juniorem hoc loco minime eum qui vitæ tempore atque ætatis flore juvenis sit, necessario juniorem esse appellatum. Multi enim sæpe inventi sunt natura juniores atque ætate florentes, qui prudentia essent ac maturitate senili, et cum inculpata vita longævum consilium rerumque gerendarum scientiam conjungerent : ut Daniel, ut Jeremias, ut David, ut Salomon, qui et solus extremis temporibus in ea quæ nefas prolapsus est. Atque id in aliis libris idem ipse sapientissimus Salomon ostendit inquiens : « Senectus venerabilis est, non diuturna neque annorum numero **250** computata : canities autem est prudentia in hominibus, et ætas senectutis vita immaculata (83).

Non igitur omnino vigentem ætate ac juvenescentem « regem juniorem » hic appellat, sed qui juvenilibus corporis cupiditatibus serviat, ac turpes et abominandas voluptates sibi imperitantes ferat, mancipii more ab dominante peccato in omne flagitium pertractus, vel si ætatem habeat provectam ac senescentem, et canitiem jam et in capite et in mento præferat. Hujusmodi utique homini, qui corruptelarum illecebris deditus sit, si regnum ad-

Οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου ἐν πρωΐᾳ ἐσθίουσι. Μακαρία γῆ, σὺ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρου, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει, καὶ οὐκ αἰσχυνθήσονται.

Τὴν μὲν κατὰ τὸ γράμμα καὶ πράχειρον διάνοιαν διασαφοῦντές φαμεν, ὡς βασιλέα νεώτερον νῦν, οὐχὶ τὸν χρονικῷ διαστήματι καὶ τῇ καθ' ἡλικίαν ἀκμῇ νέον πεφυκότα, νεώτερον προσηγόρευσεν ἐξ ἀνάγκης· C πολλοὶ γὰρ πολλάκις εὑρηνται νεώτεροι κατὰ φύσιν καὶ τὴν ἡλικίαν ἀκμάζοντες, καὶ γηραλέον ἔχοντες φρόνημα καὶ κατάστημα καὶ πρεσβυτικὴν διάνοιαν καὶ πολιτείαν καὶ ζωὴν ἀκατάγνωστον· ὡς ὁ Δανιὴλ, ὡς ὁ Ἱερεμίας, ὡς ὁ Δαβὶδ, ὡς ὁ Σολομών, ὃς καὶ μόνος ἐν τοῖς ἐσχάτοις καιροῖς πρὸς ἃ μὴ θέμις κατώλισθε. Καὶ τοῦτο δείκνυσιν ἐν ἄλλοις αὐτοῦ λόγοις οὗτος αὐτὸς ὁ σοφώτατος Σολομὼν φάσκων, « Γῆρας τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ φρόνησις ἐν ἀνθρώποις, καὶ ἡλικία γήρως, ἀκηλίδωτος βίος. »

Οὐ ταίνυν ἐξαπαντος τὸν καθ' ἡλικίαν ἀκμάζοντα καὶ νέον πεφυκότα, « βασιλέα νεώτερον » νῦν φησιν, D ἀλλὰ τὸν ταῖς νεωτερικαῖς ἐπαναστάσεσι τοῦ φρονήματος τῆς σαρκὸς καὶ ταῖς κιναίδοις καὶ βδελυκταῖς ἡδοναῖς δεδουλωμένον καὶ καθυποτεταγμένον, καὶ δίκην ἀνδραπόδου πρὸς πᾶσαν κακοπραγίαν ὑπὸ τῆς δεσποίνης ἁμαρτίας ἑλκόμενον, κἂν γεροντικὴν ἔχῃ τὴν ἡλικίαν καὶ τὸν χρόνον πρεσβυτικὸν καὶ πεπολιωμένος ταῖς θριξὶ τῆς κεφαλῆς καὶ τῆς γενειάδος

(81) Mentionem Petri et Pauli cur hoc loco injecisse Noster putetur, nisi ut indicaret, quibuscum sentire, quos sequi debeamus, quicunque æterni ævi felicitate potiri cupimus? Omnes nimirum, qui hæresin amplexi sunt, de via decesserunt, et, apostolorum vestigiis relictis, procul a cœlesti, quam illi tenuere, civitate aberrarunt. Nam, ut olim Cyprianus scripsit ad plebem suam, « Deus unus est, et Christus unus, et una Ecclesia, et cathedra una super petram Domini voce fundata. Aliud altare constitui, aut sacerdotium novum fieri præter unum altare et unum sacerdotium non potest. Quisquis alibi collegerit, spargit. » (Epist. 40.)

(82) At LXX habent..... Καὶ οἱ ἄρχοντές σου πρωΐ ἐσθίουσι. Μακαρία σὺ, γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων..... Symm. Οὐαί σοι, γῆ.....

(83) Sap. IV, 8. Apud LXX leges..... Πολιὰ δέ ἐστιν φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

Digitized by Google

φαινόμενος. Τοῦ τοιούτου γὰρ βασιλεύειν λαχόντος, καὶ ταῖς ἡδυπαθείαις σχολάζοντος, καὶ τῇ πόλει καὶ τοῖς πολίταις, ὧν αὐτὸς λέλοχε βασιλεύειν.

Ἀναγωγικωτέραν δὲ βουληθέντες ἀποδοῦναι καὶ φάναι τὴν ἐκδοχήν, φαίημεν ἄν, ὡς παραληφθήσεται μὲν ὁ νοῦς βασιλεύς· ἅτε δὴ προκαθεζόμενος καὶ κατάρχων τῶν ἄλλων δυνάμεων τῆς ψυχῆς καὶ πάσης τῆς φύσεως. Πόλις γε μὴν αὐτὴ δήπουθεν ἡ ψυχή, ἧς δύναμίς ἐστιν ὁ νοῦς ἡγεμονικωτέρα καὶ πρωτεύουσα καὶ κατάρχουσα τῶν ἄλλων πασῶν. Ἐὰν οὖν διά τινος ἀπροσεξίας καὶ ῥᾳθυμίας τῶν ἐνθυμωτέρων καὶ φωτοειδεστέρων ἐφέσεων καὶ προσνεύσεων τύχεσθαι κατοκλάσας, ἀπολέσει τὴν λευκότητα καὶ καθαρότητα τῆς φυσικῆς ἀπαθείας καὶ καταστάσεως ἁγιοπρεποῦς· εὑρίσκεται τρόπον τινὰ νεώτερος, καὶ τῆς πρεσβυτικῆς ὀνομασίας ἀνάξιος, ἅτε δὴ νεωτερικαῖς ἀσωτίαις καὶ τρυφαῖς γενόμενος ἔκδοτος, καὶ νεωτερικοῖς ῥεμβασμοῖς ἠτιμωμένος ἀποφανθείς. Τῇ πόλει τοίνυν ἤτοι τῇ ψυχῇ τοῦ ποιῶσδε νεωτερικῶς παραληφθέντος ζῆν βασιλέως τὸ Οὐαὶ προσεφώνησεν ὁ σοφὸς Ἐκκλησιαστής, ὡς οὐκ ἐχούσῃ τὸν διιθύνοντα καὶ διέποντα μεγαλοπρεπῶς καὶ βασιλικῶς. Ἄρχοντάς γε μὴν ὀνομάζειν κατὰ τὸ ἀκόλουθον αἰτέον τὰς ἄλλας δυνάμεις τῆς λογικῆς ψυχῆς, αἳ τοῦ βασιλέως ἀπρακτοῦντος πρὸς τὰ κρείττω καὶ φωτοειδῆ καὶ θειοειδέστερα, καὶ καταδουλωθέντος καὶ σχολάζοντος τοῖς ἀσυμφόροις καὶ χείροσι, σύμφωνον ἐπιδείκνυνται τὴν πρὸς τὰ τοιαῦτα ῥοπήν, ἀκαίρως ἐμπιπλάμεναι τῶν ἐμπαθῶν ἐνθυμήσεων, καὶ παρὰ καιρὸν κορρεννύμεναι τῶν ἀθεμίτων φαντασιῶν· ὥσπερ κἀπὶ τῆς αἰσθητῆς διανοίας ἄρχοντας ἀκολούθως παραλαμβάνειν οἶδεν ὁ λόγος τοὺς οὐδεμιᾷ τάξει κεχρημένους ταῖς ἐδωδαῖς ἐν προσφόροις καιροῖς· ἀλλ' ἔωθεν πρὸς τὰς ἀπολαυστικὰς καὶ Συβαριτικὰς αὐτομολοῦντας τραπέζας, καὶ γαστριζομένους καὶ κραιπαλῶντας, καὶ μηδεμιᾶς προμηθείας ἀξιοῦντας τοὺς τῆς πόλεως ἢ τῶν ὑπὸ χεῖρα συμπολιτῶν.

A ministrandum obtigerit, væ civitati atque civibus, in quos ille imperium nactus sit (84).

At si proferre interpretationem libeat, quæ magis ad anagogen accedat, dicendum erit, regem hic interpretandum esse intellectum, cum is cæteris animæ totiusque naturæ facultatibus præfectus imperet. Ac civitas quidem habebitur ipsamet anima, cujus virtus præcipua atque præstantior est intellectus aliis omnibus imperans (85). Si igitur ex incuria quadam atque desidia, præsentioribus ac illustrioribus, quæ nactus erat, desideriis et affectibus destitutus, candorem amittat ac puritatem naturalis sanctæque tranquillitatis; jam quodammodo junior invenitur **251** ac senis appellatione B indignus, quippe qui se juvenili luxuriæ et voluptatibus dediderit, et adolescentiorum erroribus dehonestatus videatur. Igitur civitati sive animæ, cujus rex juvenili ejusmodi vitæ addictus fuerit, væ inclamavit sapiens Ecclesiastes tanquam non habenti, a quo rectam ad normam digne ac regie dirigatur. Principes porro appellare eodem modo putandus est reliquas rationalis animæ facultates, quæ, rege nihil se in bonis præclarisque rebus ac Deo magis acceptis exercente, ac servilem in modum noxiis pravisque delito, parem ad talia quæque propensionem præ se ferunt, voluptatem intempestivis cogitationibus arripientes, et importune se in improbas imaginationes ingurgitantes. Quemadmodum si obviam sententiam spectes, eos indicari principes liquet, qui nullum justi temporis C ordinem in cibis sumendis servant, sed mane ad voluptarias et Sybariticas convolant mensas (86), ac ventri large comissando indulgent, rei publicæ civiumque sibi creditorum administratione omni curaque posthabita.

(84) Similis hnic est interpretatio, quam legimus in veteri commentario ad Isaiam, quod majores non bene Basilio Magno adjudicarunt. Ad ea enim prophetæ verba (cap. 3, n. 4), *Et dabo pueros principes eorum, et effeminati dominabuntur eis*, hæc ille subjicit : Οὐ γὰρ ὁ τῷ χρόνῳ ἐλλείπων πάντως ψεκτός, ἀλλ' ὁ κατὰ πάθος ζῶν· ὁποῖος ἦν ὁ Ῥοβοάμ, περὶ οὗ γέγραπται, ὅτι *καὶ Ῥοβοὰμ ἦν νεώτερος, καὶ δειλὸς τῇ καρδίᾳ*. Διὰ τοῦτο καὶ ὁ Ἐκκλησιαστής· *Οὐαί σοι, πόλις*, φησὶν, *ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου πρωῒ ἐσθίουσιν*. Οὐ γὰρ ὁ τὴν ἡλικίαν νέος, ἀλλ' ὁ τὴν ψυχὴν ἀτελής, νεώτερος καὶ ἐνταῦθα λέγεται. Ἐπεὶ τόγε τῆς ἡλικίας ὅτι οὐκ ἐμπόδιον τῷ βουλομένῳ ζῆν κατ' ἀρετὴν, ἐν τοῖς πρὸς Ἱερεμίαν λόγοις ὁ Κύριος ἔδειξεν εἰπών· *Μὴ λέγε ὅτι νεώτερος εἰμί*. Οὐ γὰρ ἐρνήσατο αὐτὸν εἶναι νεώτερον, ἀλλ' ἔφη μὴ εἶναι ἐμπόδιον αὐτῷ τὴν νεότητα διὰ τὴν τελείωσιν τῆς ψυχῆς· ὅτι πάντας πρὸς οὓς ἐὰν ἐξαποστελῶ σε, πορεύσῃ· τῷ γὰρ φρονήματι ἐώρακα πρεσβυτικῷ τυγχάνοντι, ὁ βλέπων τὴν σεμνότητα τῆς ἐν τῷ κρυπτῷ πολιᾶς. Id est, *Non enim is, qui ætate junior sit, prorsus vituperatur, sed qui vitiis deditus vivat, qualis erat Roboam, de quo scriptum est :* Et Roboam erat junior et corde pavido. (II Paral. XIII, 7.) *Quare et Ecclesiastes*, Væ, *inquit*, tibi, civitas, cujus rex junior, et principes tui mane comedunt. *Non enim qui ætate juvenis, sed qui secundum animam est imperfectus, hoc etiam loco junior appellatur. Nam quod id ætatis ei, qui ad virtutis normam vivere velit, impedimento non sit, Dominus in iis, quos ad Jeremiam habuit, sermonibus ostendit, inquiens :* Noli dicere quia junior sum (Jerem. I, 7); *Neque enim negavit esse juniorem; sed dixit non esse illi impedimento juvenilem ætatem, ob animæ perfectionem. Quia ad omnes, ad quoscunque te misero, ibis. Vidi enim, consilia te esse seniorem, quippe qui abditam canitiem et gravitatem perspicio.*

(85) Hæc ipsa leviter perstrinxerat Olympiodorus; ait enim : Πρὸς δὲ διάνοιαν πόλις τροπικῶς ἡ ψυχὴ, ἧς ὁ βασιλεὺς νοῦς. Id est : *Si sensum spectes, civitas immutatione verbi est anima, cujus rex intellectus.* (In Auct. Duc. p. 667 E.)

(86) Scribit Noster Συμβαριτικάς, quod minus quidem usitatum, at novum plane dici non potest. Habet enim Hesychius, qui etiam sic explicat, Συμβαριτικαῖς· Περσικαῖς, ὑπερηφάνοις, πολυτελέσι; nempe *Symbariticis*, id est *Persicis, superbis, sumptuosis*. Porro nomen a Sybari ductum, quæ urbs fuit Magnæ Græciæ, Ἀχαιῶν κτίσμα, ut ait Strabo (lib. VI, p. 182), δυοῖν ποταμῶν μεταξὺ, Κράθιδος καὶ Συβάριδος· quam a Crotoniatibus deletam Athenienses in proximo restituerunt; et Thurios a

Digitized by Google

Eam vero interpretationem confirmat atque declarat iis, quæ sequuntur : ut dictum illud secundum anagogen multo magis, quam ex obvio sensu et verborum significatione explicari par sit. Ait enim : « Beata tu, terra, cujus rex tuus filius liberi, et principes tui ad tempus comedunt in fortitudine, et non confundentur. » Nam cum filium liberi regem dixerit, intellectum indicavit cupiditatum dominum regemque voluptatum, ramum scilicet ac germen animæ liberæ, quæ nunquam servierit aut subjecta fuerit ignominiæ passionibus et corporis voluptatibus. Quidni etiam intellectum modo filium liberi significet, id est sancti divinique Spiritus, qui intellectum **252** effingit sapientem ac purum, idemque obsignat et parit sanctum et omnino ingenuum ac nobilem? Sui quippe juris spiritus veritatis planeque liber, « ubi vult, spirat [a], » atque ut voluerit, intellectum sui participem facit : qui virtute accepta sancti Spiritus, ordinat, regit, in officio continet principes suos, cæteras nempe rationalis animæ facultates, ut statis horis ac tempestivis alimenta mentis ac spiritus in omni *fortitudine* sumant, ne *confundantur* in passionum ignominiæ servitutem adducti: sed potiora sectantes et divinarum rerum meditationi studioque dediti, omnem plane confusionem effugiant.

Si vero quispiam vulgarem quoque sensum intelligere velit illius terræ, quam Ecclesiastes beatam prædicat, hunc sumat ab explicatione super deplorata civitate, quæ ad verba ipsa, ut sonant, contracta est (87). Ubi enim hanc civitatem versa vice intellexerit, interpretationem habebit facilem et expeditam. Cæterum sapiens Ecclesiastes ex iis, quæ proxime rursum adjecit, secundum anagogen potius hæc accipienda docet, ut jam dixi. Addit enim atque :

A Παρεμπεδοῖ δὲ τὴν αὐτὴν ἐκδοχὴν καὶ δείκνυσι διὰ τῶν ἑπομένων· ὡς ἀναγωγικώτερον μᾶλλον ἐξειληφέναι τὸ εἰρημένον προσῆκεν, ἀλλ' οὐκ αἰσθητῶς κατὰ τὴν πρόχειρον τοῦ γράμματος ἔννοιαν. Φησὶ γάρ, « Μακαρία σὺ, γῆ, ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρου, καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει, καὶ οὐκ αἰσχυνθήσονται. » Φήσας γὰρ υἱὸν ἐλευθέρου τὸν βασιλέα, τὸν αὐτοκράτορα τῶν παθῶν καὶ βασιλέα τῶν ἡδονῶν ἐνέφηνε νοῦν ὄντα ψυχῆς ἐλευθέρας ὄρπηκα καὶ βλαστὸν τῆς μήπω καταδουλωθείσης καὶ καθυποταγείσης τῆς ἀτιμίας τοῖς πάθεσι καὶ ταῖς ἡδοναῖς τῆς σαρκός. Ἢ μήποτε νοῦν αἰνίττεται νῦν υἱὸν ὑπάρχοντα ἐλευθέρου, τοῦ παναγίου καὶ θεαρχικοῦ Πνεύματος τοῦ διαμορφοῦντος τὸν Ἔμφρονα καὶ καθαρὸν νοῦν, καὶ σφραγίζοντος καὶ τίκτοντος B ἁγιοπρεπῆ καὶ παντελῶς ἀδούλωτον καὶ μετάρσιον; αὐτεξούσιον γὰρ πεφυκὸς τὸ πνεῦμα τῆς ἀληθείας καὶ παντελεύθερον, « ὅπου θέλει, πνεῖ, » καὶ καθὼς ἂν βουληθείη, διαμορφοῖ τὸν μέτοχον αὐτοῦ γενόμενον νοῦν, ἧς ἐν τῇ δυνάμει τῆς μετουσίας τοῦ παναγίου Πνεύματος τάττει καὶ καθίστησιν ἐν καταστάσει τελείᾳ καὶ τοὺς ἄρχοντας αὐτοῦ, τὰς ἄλλας δηλονότι δυνάμεις τῆς λογικῆς ψυχῆς πρὸς τὸ λαμβάνειν πρὸς καιρὸν ἤτοι εὐκαίρως τὰς νοητὰς τροφὰς καὶ πνευματικὰς ἐν πάσῃ *δυνάμει*, πρὸς τὸ μὴ *καταισχυνθῆναι* διὰ τῆς πρὸς τὰ πάθη τῆς ἀτιμίας καταδουλώσεως· ἀλλὰ διὰ τῆς ἀσχολίας τῆς πρὸς τὰς κρείττους καὶ θειοτέρας φαντασίας καὶ θεωρίας ἀκαταίσχυντοι διαμένωσιν.

Εἰ δὲ καὶ τὴν αἰσθητὴν διάνοιαν νοῆσαί τις βουληθείη τῆς μακαριζομένης ὑπὸ τοῦ Ἐκκλησιαστοῦ γῆς, C λήψοιτο ταύτην ἐκ τῆς διασαφήσεως τῆς ἐπὶ τῇ ταλανισθείσῃ πόλει κατὰ τὸ γράμμα τὴν ἀπόδοσιν εἰληφυίας. Ἔμπαλιν γὰρ ταύτην ἐξειληφὼς, εὐχερῶς καὶ ῥᾳδίως ἕξει τὴν ἐκδοχήν. Ὁ δέ τοι σοφὸς Ἐκκλησιαστὴς, ἐξ ὧν ἀμέσως αὖθις ἐπήγαγεν, εἰσηγεῖται μᾶλλον ἀναγωγικῶς ἐκδέχεσθαι τὰ τοιαῦτα, καθὼς ἔφθην εἰπών. Ἐπάγει γὰρ καί φησιν·

§ XVI.

Vers. 18. *In pigritiis humiliabitur contignatio, et in segnitie manuum stillabit domus* (88).

Nam quæ intellectum, bonis sanctisque meditationibus relictis, plane cessantem tuebatur ac custodiebat, virtus Spiritus sancti, in illius tutela D succubuit; non utique viribus ejus imminutis, et naturali ejusdem gratia ac divina potestate atque

Ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν στάξει ἡ οἰκία.

Τὸν γὰρ ἀπρακτοῦντα νοῦν καὶ παντελῶς ἀργοῦντα καὶ πρὸς τὰς ἀγαθὰς καὶ καλὰς καὶ νοητὰς θεωρίας ἡ συντηροῦσα καὶ φυλάττουσα δύναμις αὐτὸν τοῦ παναγίου Πνεύματος τεταπείνωται πρὸς τὴν ἐκείνου συντήρησιν· οὐχὶ τὴν ἰδίαν ἰσχὺν ἐλαττωθεῖσα, καὶ

[a] Joan. III, 8.

fonte ibidem reperto appellavere. Idcirco Stephanus *De urbibus* ait : Θούριοι πόλις Ἰταλίας ἡ πρότερον Σύβαρις. (Vide Diod. Sic. l. XII, c. 10.) Sybaritarum vero mensæ ferculis omnis generis infames erant; unde apud Romanos inductus nescio quis Sybariticus missus, quem Helagabalus semper exhibuisse dicitur ex oleo et garo. (Lampr. in *Helag.* c. 30.) Itaque Συβαρίζειν apud Græcos idem atque *luxuriari genioque indulgere*. Sybaritæ enim, inquit Suidas, γάστριες ἦσαν καὶ τρυφηταί.

(87) Quemadmodum scilicet superiora Ecclesiastæ verba ita primum explicavit, tanquam hoc nos docentis, infelicem fore civitatem, quæ regem nacta sit consilio et prudentia juvenem, atque adolescentium more cupiditatibus servientem; eodem modo sumi hæc posse ait, ut beatam fore civitatem declaret, cui rex ingenuus et nobilis, cui sobrii moderatique magistratus obtigerint. Cæterum in Hebraicis utroque loco non *civitas*, sed *terra* scriptum est, nempe ארץ, quæ vox regionem designat, ut apud Latinos : *Terra Italia;* itaque Symmachus vertit : Οὐαί σοι, γῆ, et Latinus interpres : *Væ tibi, terra.*

(88) Olympiodor. Ἐν ὀλοκληρίαις ταπεινωθήσεται....

Digitized by Google

κενωθεῖσα τῆς ἰδίας χάριτος φυσικῆς καὶ θεαρχικῆς ἀρχῆς καὶ περιωπῆς, ἀλλὰ πρὸς τὴν φυλακὴν καὶ συντήρησιν τοῦ ταῖς ὀκνηρίαις ὑποχαλάσαντος ἑαυτὸν νοῦ πρὸς τὴν ἀργίαν τῶν ὑψηλῶν καὶ νοητῶν θεαμάτων· κἀντεῦθεν ἀνάξιον ἑαυτὸν ἀποφήναντος τῆς ἐκεῖθεν *δοκώσεως*, ἤγουν σκέπης καὶ συντηρήσεως.

A cura exhausta : sed laxata custodia tutelaque intellectus, qui seipsum desidiæ dederit, sublimium ac spiritalium rerum **253** contemplatione otio atque inertiæ posthabita, atque adeo indignum se præbuerit, quem ille *contignatione*, sive tegumento et tutela, defendat (89).

Εἰ καὶ κατὰ τὴν αἰσθητὴν διάνοιαν ἀρίδηλον ἔχει τὴν διατάφησιν· πᾶσι γὰρ τοῖς κατοκνήσασιν ἀνακαινῆσαι τὴν ὀροφὴν τῆς αἰσθητῆς οἰκείας ἤδη παλαιωθείσης εὕρηται πάντως ἀσθενεστέρα, τὴν ἀσφάλειαν ἥκιστα παρεχομένη τοῖς κατοικοῦσι. Μὴ γὰρ καλλιεργηθεῖσα καὶ δεξαμένη τῇ φιλεργίᾳ καὶ φιλοπονίᾳ τῶν χειρῶν τὰ πρὸς ἐπανόρθωσιν καὶ βελτίωσιν, σταλαγμοὺς ἐκ τῶν ὑετῶν ἄνωθεν παραπέμπει, καὶ καιρῷ τῷ προσφόρῳ χιόνας. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

Quanquam, si sententiam spectes, quæ in promptu est, explanationem hæc habent plane manifestam. Omnes enim, qui domus suæ vix jam vetustatem ferentis mature tectum reficiendum non curaverint, eam infirmiorem in dies invenient, et habitantibus minime tutam. Nisi enim apte restituta, multo fabrum labore atque opera stabilitatem ac robur acceperit, cum pluet, guttas demittat, ac suo tempore nives (90). Ait deinde sapiens Ecclesiastes :

B

§ XVII.

Εἰς γέλωτα ποιοῦσιν ἄρτον, καὶ οἶνος εὐφραίνει τοὺς ζῶντας, καὶ τοῦ ἀργυρίου ὑπακούσεται τὰ σύμπαντα.

Vers. 19. *In risu faciunt panem, et vinum exhilarat viventes, et argento obedient omnia* (91).

Ἄφατον ἔχει τὸν πλοῦτον ἡ θεία χάρις τῆς πρὸς τὸ ἀνθρώπινον γένος κηδεμονίας, ὡς ἐκπλήττεσθαι πάντας τοὺς συνετῶς ἐπαΐοντας, πῶς συνέζευξε τῷ γράμματι τὰς ὑψηλὰς θεωρίας, καὶ ταῖς αἰσθηταῖς ἐννοίαις ὡς ἔν τισιν ἐσόπτροις καὶ παραπετάσμασι κατεκάλυψε τῆς πνευματικωτέρας διανοίας τὴν ἐκδοχήν· ἵνα μήτε τοὺς κατ' ἐκείνου καιροῦ σκληροκαρδίους καὶ φιλονείκους Ἰουδαίους διὰ τὴν ἀριδηλοτάτην προκατάγγελσιν τῶν μελλόντων παοασκευάση

Ineffabiles divinæ gratiæ in humani generis cura divitiæ sunt, ut qui hæc **254** audiunt ac percipiunt, mirari omnes debeant, quomodo cum vulgari verborum sono sublimes meditationes copulaverit, ac sensibilibus sententiis tanquam in speculis et aulæis spiritalis intelligentiæ expositionem velarit : ut neque Judæis illius ætatis pervicacibus et contentiosis ob apertissimam futurorum prædictionem, legis Mosaicæ, quod aliquando finem habitura

(89) Gregorius Nyssenus, cum illa Cantici explanaret : *Tigna domorum nostrarum cedrina, laquearia nostra cupressina* (cap. I, 16); idemque adnotasset, *imbrem* in Evangeliis (Matth. VII, 27; Luc. VI, 48) vocari a Domino varias tentationum petitiones, quas ille solum rejicere et contemnere possit, qui domum habeat in petra ædificatam, ac præclaris virtutibus, quasi robustis trabibus firmatam et tectam; hæc deinde addidit : Μάθοιμεν δ' ἂν τὸ λεγόμενον, τὴν ἐν τῷ Ἐκκλησιαστῇ ῥῆσιν τῷ προκειμένῳ συνεξετάσαντες. Ἐκεῖ γάρ φησιν· *Ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν στάζει ἡ οἰκία.* Ὥσπερ γὰρ εἰ ἀσθενῆ τε καὶ ἄτονα ὑπὸ λεπτότητος εἴη τὰ ξύλα τὰ διειληφότα τὸν ὄροφον, ὀκνηρὸς δὲ ἔχῃ πρὸς τὴν τοῦ δώματος ἐπιμέλειαν ὁ τοῦ οἴκου δεσπότης, οὐδὲν ἀπώνατο, τῆς στέγης τοῦ ὄμβρου διὰ σταγόνων εἰσρέοντος· κοιλαίνεται γὰρ ἐξ ἀνάγκης ὁ ὄροφος, εἴκων τῷ βάρει τοῦ ὕδατος, καὶ οὐκ ἀντέχει τῶν ξύλων ἡ ἀτονία πρὸς τὴν τοῦ βάρους προσβολὴν ὑποκλάζουσα. Διὰ τοῦτο ἐπὶ τὰ ἐντὸς διαδίδοται τὸ ἐναπειλημμένον τῇ κοιλότητι ὕδωρ, καὶ αἱ σταγόνες αὗται κατὰ τὸν παροιμιώδη λόγον ἐμβάλλουσιν ἐκ τοῦ ἰδίου οἴκου τὸν ἄνθρωπον ἐν τῇ ἡμέρᾳ τοῦ ὑετοῦ. Οὕτως τῷ τῆς παραβολῆς αἰνίγματι διακελεύεται διὰ τῆς τῶν ἀρετῶν εὐτονίας ἀνενδότους εἶναι πρὸς τὰς τῶν πειρασμῶν ἐπιῤῥοάς, μήποτε μαλακισθέντες διὰ τῆς τῶν παθημάτων συμπτώσεως κοῖλοι γενώμεθα, καὶ τὴν ἐπιῤῥοῦντων τοιούτων ὑδάτων ἔξωθεν ἐπὶ τὴν καρδίαν εἰσρέουσαν ἐντὸς τῶν ταμιείων παραδεξώμεθα, δι' ὧν φθείρεται ἡμῖν τὰ ἀπόθετα. Id est : *Dictum autem intelligemus, si cum eo, quod est propositum simul examinaverimus Ecclesiastæ effatum. Illic enim dicit :* In pigritiis humiliabitur contignatio, et in segnitie manuum stillat domus. *Quemadmodum enim si ligna, quæ tectum continent, infirma sint et ob tenuitatem imbecilla, piger autem sit paterfamilias ad domus curam gerendam, nihil tectum profuerit, imbre stillatim immeante : quippe excavari tectum necesse est, et aquæ ponderi cedere, nec tignorum imbecillitas resistit, ponderis oppressa vi : propterea subit interna, quæ in concavitatibus intercipitur aqua, ipsæque stillæ, ut est in Proverbiis* (XXVII, 15), *hominem domo expellunt in tempore pluviæ; ita nobis per illas ambages præcipit, ut virtutum robore ac firmitate tentationum impetum sustineamus : ne quando ærumnarum vexatione debilitati aditum patefaciamus, et aquas ejusmodi ad animum usque extrinsecus influentes intra penetralia admittamus, ob quas ea nobis pereant, quæ reposita habemus.* (Hom. 4, in Cant. cantic.)

C

D

(90) Observavit ad hunc locum Mazochius (*Spic. Bibl.* tom. II, p. 221), sententiam totam sic accipi posse, velut si duabus constet partibus, et in protasi similitudo sit, in apodosi documentum ; non aliter, opinor, ac si scriptum esset : *Quemadmodum ex negligentia incuriaque contignatio labefit ; ita domus ex remissione utriusque manus detrimentum faciet ;* Salomonem nempe ambiguitate verborum usum esse; cum ea, quæ vertimus *ex remissione utriusque manus*, tam de inflexu lateris utriusque in tecto, quam de segnitie utriusque manus in homine intelligi possint : *manus* certe sacris in Litteris sæpe idem, ac *pars* sive *latus*. Itaque ab Ecclesiaste damna etiam indicari, quæ familiis a socordia inferuntur.

(91) Sed apud LXX legimus, Εἰς γέλωτα ποιοῦσιν ἄρτον, καὶ οἶνον καὶ ἔλαιον τοῦ εὐφρανθῆναι ζῶντας, καὶ τοῦ ἀργυρίου ταπεινώσει ἐπακούσεται τὰ πάντα. Olymp. Καὶ τοῦ ἀργυρίου ἐπακούσεται σὺν τὰ πάντα.

Digitized by Google

esset, contemnendæ ansam præberet; et initiatos evangelicæ sanctitati post eorum eventum, quæ tanto antea prædicta essent, omni utilitate ac lætitia cumularet : cum ante oculos eorum denique versarentur, quæ longe prius prophetæ prænuntiavissent. Plura porro sic enuntiata invenies tam in legibus oraculisque Mosaicis, quam in aliorum prophetarum monitis et vaticiniis. Igitur eodem modo in hoc quoque Ecclesiastæ dicto geminum invenimus interpretationis sensum, et spiritalem expositionem sub sensibili latitantem. Nam cum ait, « In risu faciunt panem, et vinum exhilarat viventes, » panem sensibilem iis, qui hunc fingunt, gaudio esse significavit. Risum enim hic appellavit gaudium, velut quodam in loco beata Sara (91*), cum Isaacum peperisset, dixit : « Risum fecit mihi Dominus; quicunque enim audierit, corridebit mihi [7]. » Panis quippe cum sit, esurientibus et alimenti indigis gaudium quodammodo afferre solet. Exhilarat autem et vinum viventes, ut ait David : « Et vinum lætificat cor hominis [8]. » Ac bene Ecclesiastes *viventes* dixit : omnino enim ab iis **255** bibitur, non utique a cæteris, qui jam ad patres abierunt (92).

At vero iisdem verbis prædictum maxime ac prænuntiatum invenies mysticum panem, qui de cœlo descendit, et mundo dat vitam; de quo ait Dominus : « Accipite, manducate, hoc est corpus meum, quod pro vobis frangitur in remissionem peccatorum [9]. » Nec minus mysticum vinum de germine vitis desumptum, quod maxime ac præcipue exhilarat viventes : de quo dicit Dominus : « Bibite ex eo omnes, hic est sanguis meus, qui pro vobis et pro multis effunditur in remissionem peccatorum [10]; » ac rursum : « Ego sum panis vitæ qui de cœlo descendi; si quis manducaverit ex hoc pane, vivet in æternum (93); » et iterum : « Qui manducat meam carnem, et bibit meum sanguinem, habet vitam æternam [11]. » Enimvero et argentum pari modo, qui animadverterit, geminam habere interpretationem inveniet, ab obvio scilicet sensu atque ab anagoge desumptam. Sen-

καταφρονεῖν τῶν Μωσαϊκῶν νόμων, ὡς ποτε καὶ παύλαν δεξομένων, καὶ τοὺς μύστας δὲ τῆς εὐαγγελικῆς τελειότητος ἐν τῇ ἐμβάσει τῶν προῤῥηθέντων πάσης ὠφελείας πληρώσῃ καὶ θυμηδίας · ἅτε δὴ πόῤῥωθεν προφητευθέντων καὶ προῤῥηθέντων τῶν προκειμένων νῦν τοῖς σφῶν ὀφθαλμοῖς. Οὕτως εὑρήσεις τὰ πλείω κἀπὶ τῶν Μωσαϊκῶν νόμων καὶ θεσπισμάτων, κἀπὶ τῶν ἄλλων προφητικῶν εἰσηγήσεων καὶ προῤῥήσεων. Ὡσαύτως τοίνυν κἀπὶ τῷ παρόντι ῥητῷ τοῦ Ἐκκλησιαστοῦ διττὸν εὑρίσκομεν τῆς ἑρμηνείας τὸν νοῦν, καὶ ταῖς αἰσθηταῖς ἀποδόσεσι κεκαλυμμένην τὴν νοητήν. Εἰπὼν γὰρ, « Εἰς γέλωτα ποιοῦσιν ἄρτον, καὶ οἶνος εὐφραίνει τοὺς ζῶντας, » τὸν αἰσθητὸν ἄρτον γίνεσθαι παρὰ τῶν ποιούντων αὐτὸν ἐνέφηνεν εἰς χαράν. Γέλωτα γὰρ νῦν ὠνόμασε τὴν χαράν, ὥσπερ δὴ καὶ πού φησιν, ἡ μακαρία Σάῤῥα τετοκυῖα τὸν Ἰσαάκ · « Γέλωτά μοι ἐποίησεν ὁ Κύριος · ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. » Πέφυκε γάρ πως τοῖς πεινῶσι καὶ δεομένοις τροφῆς ποιηθεὶς ὁ ἄρτος χαρὰν ἐμποιεῖν. Εὐφραίνει δὲ καὶ ὁ οἶνος τοὺς ζῶντας, καθώς φησι καὶ Δαβίδ · « Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. » Καὶ καλῶς ἔφη τοὺς ζῶντας ὁ Ἐκκλησιαστής · ὑπὸ γὰρ τῶν τοιούτων πίνεται πάντως, ἀλλ' οὐχὶ τῶν ἀποιχομένων καὶ τετελευτηκότων.

Εὑρήσεις δὲ τοῖς εἰρημένοις μάλιστα προειρημένον καὶ προκατηγγελμένον καὶ τὸν μυστικὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα καὶ διδόντα τῷ κόσμῳ ζωήν · περὶ οὗ φησιν ὁ Κύριος, « Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. » Καὶ μέντοι τὸν μυστικὸν οἶνον τὸν ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου παραλαμβανόμενον, τὸν μάλιστα καὶ διαφερόντως κατευφραίνοντα τοὺς ζῶντας · περὶ οὗ φησιν ὁ Κύριος · « Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. » Καὶ πάλιν, « Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. » Καὶ πάλιν, « Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. » Ὡσαύτως γε μὴν καὶ τὸ ἀργύριον διχῶς ἑρμηνευόμενον εὑρήσει πᾶς ὁ βουλόμενος, αἰσθητῶς δηλονότι καὶ ἀναγωγικῶς · τῷ γὰρ αἰσθητῷ ἀργυρίῳ

[7] Gen. xxi, 6. [8] Psal. civ, 15. [9] Matth. xxvi, 26. [10] ibid. 27. [11] Joan. vi, 54.

(91*) Græci Patres Σάῤῥαν scribunt, ut Abrahami uxorem nomine illo appellent, quod ei Deus, priore mutato, imposuit. Nec mirum : quanquam enim in Vulgatis legimus : *Dixit quoque Deus ad Abraham : Sarai uxorem tuam non vocabis Sarai, sed Saram* (Gen. xvii, 15); sic tamen LXX interpretes eumdem locum reddidere : Καὶ εἶπεν ὁ Θεὸς τῷ Ἀβραάμ· Σάρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα · Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς. Propterea alludens Chrysostomus secundum eos scripsit : Ὁ τὸν Ἄβραμ Ἀβραὰμ καλέσας, καὶ τὴν Σάραν Σάῤῥαν, καὶ τὸν Ἰακὼβ Ἰσραήλ. (Tom. VIII, hom. 19 in Joan. n. 2.) De nominis vero significatione hæc Hieronymus : « Causa ita nominis immutati hæc est, quod antea dicebatur *princeps mea*, unius tantum domus materfamilias, postea vero dicitur absolute *princeps*, id est ἄρχουσα.... omnium quippe gentium futura jam princeps est. »

(92) At hic quoque adverbia similitudinis subaudiunt quidam, ut adnotavit Vatablus, et sententiam sic reddunt : *Ut propter lætitiam faciunt panem, et vinum lætificare solet vitam; sic pecunia præstat omnia.* Tum alii de convivio intelligunt : quod nempe etiam rex Baltassar (Dan. v, 1) *panem* sive לחם fecisse dicatur, quam vocem interpretes *convivium* reddidere. Nec vero aliter sensisse videtur Gregorius Neocæsariensis, qui superiora Ecclesiastæ verba cum iis, quæ hic habes, hoc modo connectit : Ὀκνηρὸς δὲ καὶ ἀργὸς οἶκον ἐλαττοῦσι, χλευασταὶ γενόμενοι, καὶ εἰς τὴν ἑαυτῶν λσιμαργίαν τοῖς πᾶσι καταχρώμενοι, ἀργυρίῳ ἀγώγιμοι, ἕνεκα ὀλίγου τιμήματος, πάντα αἰσχρῶς καὶ ταπεινῶς πράσσειν ὑπομένοντες· id est : *At piger et ignavus domum minuunt, scurræ facti, atque ad ingluviem suam rebus omnibus abutentes, argento ductiles, exigui pretii causa turpiter et abjecte quidvis facere sustinentes* (In Metaphr. eccl.)

(93) Joan. vi, 50. In vulgatis est..... ὁ ἄρτος ὁ ζῶν... .

Digitized by Google

πείθονται πάντες σχεδὸν καὶ θητεύειν καὶ παρεστάναι καὶ κατακολουθεῖν τοῖς παρέχουσι, καὶ πλοῖα κατασκευάζειν, καὶ οἰκίας οἰκοδομεῖν, καὶ τὴν διάφορον καὶ ποικίλην τῶν ἄλλων ἀνθρωπίνων χρειῶν ἐκτελεῖν ἐργασίαν. Ἐπειδὴ δὲ καὶ νοητὸν ἀργύριον ὠνομασμένον εὑρηται ταῖς θείαις Γραφαῖς, ὅπερ ἐστὶν ὁ εὐαγγελικὸς καὶ διδασκαλικὸς λόγος· καθώς φησιν ὁ Κύριος, « Ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· » καὶ πολλῷ πρώην ὁ προφήτης Δαβίδ· « Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως· » χρὴ νοεῖν, ὡς προαγγέλλει προφητικῶς τὴν ἐπὶ τῷ κηρύγματι τῷ εὐαγγελικῷ προδηλότατον ὑπακοὴν καὶ κατακολούθησιν τῆς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. Ὁ μέντοι σοφὸς Ἐκκλησιαστὴς τῆς αὐτῆς ἐννοίας ἐχόμενος ἐπήγαγε καὶ φησι·

A sibili enim argento omnes fere obediunt, ut illud præbentibus famulentur, appareant, pedisequos se adjungant, eoque navigia construant, domos ædificent, multa et varia, quæ aliis vitæ usibus prosunt, opera perficiant. Quoniam vero spiritale etiam argentum divinis in Litteris nominatum reperitur, quod est evangelicus institutionis sermo, sicut ait Dominus : « Oportuit te committere argentum meum nummulariis [12] ; » ac multo prius propheta David : « Eloquia Domini eloquia casta, argentum igne examinatum, probatum terræ, purgatum septies [13] ; » existimandum est manifesto vaticinio ab eo prænuntiari obedientiam atque obsequium, quod evangelicæ prædicationi exhibitura erat omnis, quæ sub cœlo est, sancta Dei catholica **256** et apostolica B Ecclesia. Certe sapiens Ecclesiastes huic inhærens sententiæ adjecit dixitque :

§ XVIII.

Καὶ ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ· καὶ γε ἐν ταμείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον· ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀπoίσει τὴν φωνήν σου, καὶ ὁ τὰς πτέρυγας ἔχων ἀπαγγελεῖ λόγους σου.

VERS. 20. *Et in conscientia tua regi ne maledixeris. Et in penetralibus cubilium tuorum ne maledixeris diviti : quia volucris cæli efferet vocem tuam, et habens pennas renuntiabit verba tua* (94).

Διττὴν ἔχει καὶ τοῦτο τὴν διασάφησιν, αἰσθητὴν δηλονότι καὶ νοητήν· παραγγέλλει γὰρ καὶ παρεγυᾶται μηδαμῶς καταρᾶσθαι καθοιονδήποτε καιρὸν ἢ τρόπον, ἤτοι διαλοιδορεῖσθαι καὶ κατασκώπτειν τὸν λαχόντα βασιλεύειν ἐπὶ τῆς γῆς, μήτε μὴν ἄρχοντά τινα καὶ δυνάστην· τοῦτον γὰρ ἐδήλωσε διὰ τοῦ φάναι, « καὶ μὴ καταράσῃ πλούσιον· » ἵνα μὴ πειθόμενος ὁπωσοῦν τὰς τῆς κακορροθήσεως εἰσπράξηται σε δίκας, καὶ χαλεπὰς ὑποίσεις κολάσεις ἐπὶ τῇ προπετείᾳ τῶν λόγων, καὶ διαλοιδορήσει τῶν ὑπερτέρων καὶ βελτιόνων. Τοῦτο δὲ καὶ πολλῷ πρώην ὁ μέγας προκατησφαλίσατο Μωϋσῆς λέγων· « Θεούς σου μὴ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· » εἰσηγούμενος ἥκιστα βασιλέα καὶ δυνάστην ἐκφαυλίζειν καὶ διαλοιδορεῖσθαι καὶ κατασκώπτειν· ἀλλ' ἐντὸς τῶν τῆς καρδίας θαλάμων ἐν ὑπομονῇ καὶ μακροθυμίᾳ περιορίζειν τοὺς ἰδίους λογισμοὺς καὶ τοὺς λόγους. « Ὅτι πετεινὸν τοῦ οὐρανοῦ, » φησὶν, « ἀπoίσει τὴν φωνήν σου, καὶ ὁ τὰς πτέρυγας ἔχων ἀπαγγελεῖ λόγους σου. » Διὰ τῆς ὀνομασίας τοῦ πετεινοῦ καὶ τοῦ τὰς πτέρυγας ἔχοντος τὴν ἀπρόοπτον καὶ παντελῶς ἀνέλπιστον καὶ μηδέποτέ σοι προσδοκηθεῖσαν ἐξάγγελσιν καὶ διαπόρθμευσιν καὶ δήλωσιν τῶν ὑπὸ σοῦ λαληθέντων παραινιττόμενος· μονονουχὶ γάρ φησι, Μὴ καταράσῃ βασιλέα καὶ δυνάστην· ὅτι ὅθεν οὐχ ὑποπτεύεις, ἐκεῖθεν ὁ λόγος σου μηνυθήσεται καὶ προξενήσει σοι πειρασμοὺς καὶ θλίψεις οὐ τὰς τυχούσας. Τοιαύτην οὖν κατὰ τὸ γράμμα τὴν διασάφησιν ἔχει τὸ εἰρημένον.

Τοῦτο γὰρ ἠνίξατο φήσας ὁ σοφὸς Ἐκκλησιαστὴς, « Ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος, ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται. » Τῷ ὄντι γὰρ πάσης εὐφροσύνης γίνεται πρόξενος τοῖς πρὸς αὐτὸν ἀποβλέπουσι τῆς δικαιοσύνης ὁ Ἥλιος· περὶ οὗ φησι D Δαβὶδ ὁ προφήτης· « Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ. » Καὶ πάλιν, « Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. » Εἰπὼν μέντοι, « Καὶ μνησθήσεται τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται, » τοῦ σκότους ἡμέρας ὠνόμασε, δηλονότι τὰς προτέρας τῆς ἀπιστίας, ἐν αἷς οὐκ ἦν ὁ ἄνθρωπος βλέψας ἐπὶ τῆς γῆς σεσωματωμένον τῆς δόξης τὸν Ἥλιον, οὐδὲ τὸ φῶς τὸ ἀληθινὸν, περὶ οὗ φησιν ὁ μεγαλοφωνότατος Ἡσαΐας, « Οἱ καθήμενοι ἐν σκότει καὶ σκιᾷ θανά-

[21] Joan. I, 9. [22] Psal. LXVIII, 4. [23] Joan. III, 19. [23*] Psal. LXVIII, 3. [24] Psal. XXXIII, 2.

(13) At LXX habent.... Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, εἴδετε φῶς μέγα....

(14) In Vulgatis est.... Οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ....

Digitized by Google

του, ἴδετε φῶς μέγα, καὶ φῶς λάμψει ἐφ' ὑμᾶς. » Τὰς τοιαύτας τοίνυν ἡμέρας τὰς πρὸ τῆς ἀνατολῆς τοῦ τῆς δικαιοσύνης Ἡλίου, σκότους ἡμέρας ὠνόμασε. Πολλαὶ γὰρ ἀριθμούμεναι προδήλως εὑρεθήσονται· καθ' ἃς ἐν τῷ σκότει τῆς εἰδωλολατρείας καὶ τῆς ἀθεΐας ὑπῆρχε τῶν ἀνθρώπων τὸ γένος, ὧν μετὰ τὴν πρόσβλεψιν τοῦ ἀληθινοῦ καὶ γλυκυτάτου φωτὸς μνησθήσεται πάντως ὁ ἄνθρωπος, καί φησι προσηκόντως, Πῶς ἐν σκότει πορευομένη τῶν ἀνθρώπων ἡ φύσις, ταῖς προτέραις ἡμέραις οὐκ ἐγίνωσκε τὸν ἴδιον Ποιητὴν καὶ Δεσπότην καὶ Δημιουργὸν τοῦ φωτὸς, ἀλλ' ἐλάτρευε τῇ κτίσει παρὰ τὸν Κτίσαντα, καὶ τῇ αὐθαιρέτῳ τῆς διανοίας τυφλότητι διαγινώσκειν καὶ προσκυνεῖν ἀναλόγως ἐκ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων τῶν πάντων Ἀριστοτέχνην καὶ Κτίστην οὐκ ἠβουλήθη τὸ σύνολον; τὸ αὐτὸ δὲ τοῦτο καὶ Δαβὶδ ὁ προφήτης σημαίνων φησὶν, « Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν· » ἀλλ' ἐν σκότει τῆς διαβολικῆς ἐπορεύθησαν ἐξαπάτης. Εἶτά φησιν ὁ Ἐκκλησιαστής·

serunt, tenebrarum dies nominavit : quos, inito numero, plures fuisse, aperte constabit; quo tempore hominum genus in idololatriæ caligine et Dei ignoratione versabatur : quorum dierum homo, postquam verum ac suavissimum lumen aspexit, omnino recordabitur, ut merito dicat : Quomodo humanum genus in tenebris ambulans, superioribus diebus auctorem ac Dominum suum et lucis Conditorem non agnoscebat? sed pro Conditore **269** rem conditam venerabatur, et voluntaria mentis cæcitate ex rerum magnitudine atque specie, ut par erat, optimum omnium Artificem et Conditorem cognoscere atque adorare omnino noluit? Id autem ipsum et David propheta significans ait : « Non cognoverunt neque intellexerunt [25], sed in tenebris perrexerunt diaboli fraude decepti. Addit deinde Ecclesiastes :

§ III.

Πᾶν τὸ ἐρχόμενον ματαιότης.

« Πᾶν τὸ ἐρχόμενον· » ποῖον; οὐδὲ γὰρ ἀπροσδιορίστως οὐδὲ πάμπαν ἀδιαστόλως ἐκδέχεσθαι χρὴ τὸ λελεγμένον. Ἡ γὰρ ἂν εὑρίσκετο μᾶλλον ὁ τοῦτο φήσας ματαιολόγος, ὡς τὰ συνεκτικώτατα καὶ κράτιστα τῶν ἀγαθῶν ματαιότητα κεκληκώς. Ὁ γὰρ τῆς δόξης Ἥλιος, ἤτοι τὸ μέγα καὶ ἀληθινὸν φῶς, περὶ οὗ προσεχῶς εἶπε, « Γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς τὸ βλέπειν τὸν ἥλιον, » ἐπὶ συντελείᾳ τῶν αἰώνων ἀνατείλας σεσωματωμένος ἐπὶ τῆς γῆς, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ, πάλιν ἐλεύσεται πρὸς τὸ κρῖναι. Καὶ γὰρ ἔφασαν οἱ οὐράνιοι ἄγγελοι πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ ἀποστόλους, « Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. » Ἀλλὰ καὶ τὸ τῆς σωτηρίας ἡμῶν Εὐαγγέλιον οὕτω φησίν· « Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ. » Ὡς ἐντεῦθεν ἀκολούθως ἐλπίζεσθαι καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ τῶν τοῖς ἁγίοις ἐπηγγελμένων ἀπορρήτων ἀγαθῶν τὴν κληρονομίαν σαφῶς καὶ ἀντάμειψιν. Ἆρ' οὖν ἐλθεῖν ἐλπιζόμενον τούτων ἕκαστον, ματαιότης ἐστίν; Ἄπαγε τῆς ἀτοπίας! Οὐκοῦν προσδιωρισμένως καὶ μετὰ τῆς πρεπούσης διαστολῆς ἐκδέχεσθαι προσῆκε ἡμᾶς τὸ εἰρημένον.

VERS. 8. *Omne veniens est vanitas* (15).

« Omne veniens; » ecquod? Neque enim indefinite omnino atque indistincte accipiendum est hujusmodi dictum. Qui enim hoc affirmaret, sane plurimum desipere videretur, quippe qui vanitatem appellasset amplissima quæque bonorum ac præstantissima. Sol enim gloriæ, sive magnum verumque lumen, de quo modo dixit : « Dulce lumen, et bonum oculis videre solem, » qui sub finem sæculorum corpore amictus super terram exortus est, non ut mundum judicaret, sed ut servaret, rursum veniet, ut judicet. Nam et cœlestes angeli discipulis ejus et apostolis dixere : « Viri Galilæi, quid statis aspicientes in cœlum? hic Jesus, qui assumptus est a vobis in cœlum, sic veniet, quemadmodum vidistis eum euntem in cœlum [26]. Quin et Evangelium salutis nostræ sic ait : « Quando venerit Filius hominis in gloria sua, et omnes sancti angeli cum eo (16); » ut inde propterea et regnum cœlorum et ineffabilium bonorum, quæ sanctis promissa sunt, hæreditatem atque mercedem manifesto sperare debeamus. Num igitur singula hæc, quæ ventura sperantur, vanitas sunt? absit res tam absurda. Definite igitur, ac non sine justo discrimine dictum istud a nobis accipi decet (17).

Καὶ γὰρ ἐπειδὴ *γλυκὺ τὸ φῶς* ἐκάλεσε καὶ *τὸν ἥλιον τὸ βλέπειν τοῖς ὀφθαλμοῖς ἀγαθὸν*, τῆς ἐξ ὕψους ἐπιφανείσης ἀνατολῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τὴν ἐνανθρώπησιν καὶ παρουσίαν προκαταγγέλλων, ἀκολούθως προφητεύει καὶ τὴν κατ' αὐτοῦ τῶν ἀτα-

270 Et sane, postquam *dulce* vocavit *lumen*, et *bonum* dixit *solem oculis intueri*, inhumanationem et adventum prænuntians ex alto apparentis ortus Christi Dei nostri, consequens est, ut vaticinetur et scelestorum Judæorum adversus eum temulen-

[25] Psal. LXXXII, 5. [26] Act. I, 11. [27] Joan. XIX, 15

(15) Olymp. καὶ πᾶν τὸ....

(16) Luc. IX, 26. At in Vulgatis exemplaribus leges : Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ Πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων.

(17) Hæc in Vulgatis superiori sententiæ conjuncta legimus : *Si annis multis vixerit homo, et in his omnibus lætatus fuerit, meminisse debet tenebrosi temporis et dierum multorum : qui cum venerint, vanitatis arguentur præterita.* Quæ hoc nos docere videntur, utilem esse homini memoriam supremi diei, quippe quia sub mortem denique rerum vanitas sese manifestat.

Digitized by Google

tiam ac rabiem, uno brevique dicto omnem eorum conspirationem et cruentum consilium ac furorem ipsamque Christi mortem designans, quæ moliti sunt contra suavissimum Solis justitiæ lumen, qui inhumanatione sua hominum genus servavit. Idcirco utique adjecit protinus :

σθάλων Ἰουδαίων παροινίαν καὶ λύτταν, ἐν ἑνὶ βραχυλόγῳ τὸ πᾶν τῆς ἐπαναστάσεως αὐτῶν καὶ μιαιφόνου γνώμης καὶ λύττης καὶ Χριστοκτονίας προαινιττόμενος, δηλονότι κατὰ τοῦ γλυκυτάτου φωτὸς τοῦ τῆς δικαιοσύνης Ἡλίου, τοῦ διὰ τῆς ἰδίας ἐνσωματώσεως σώσαντος τῶν ἀνθρώπων τὸ γένος. Ἀμέλει τοίνυν ἀμέσως ἐπήγαγεν·

§ IV.

VERS. 9. *Lætare ergo, adolescens, ab juventute tua, et bonum faciat te cor tuum in die adolescentiæ tuæ* (18).

Tanquam si hoc diceret : Illi quidem, Judæi scilicet, vana atque inania meditabuntur, allatrantes Christum ac Servatorem, clamantes : « Tolle, tolle, crucifige eum [27] ; » tu vero, adolescens, qui nuper ad Christum certa et stabili fide accessisti, validam tene anchoram spei, quam in illo posuisti, neve amoris ejus et fidei, qua illum amplexus es, quidquam remittas; at lætare, atque vitam tuam animus tuus impleat omni bonitate, quandoquidem dignus effectus es, qui speres in Deum viventem et verum in diebus adolescentiæ tuæ, in iis nempe, quibus renatus es ex aqua et spiritu superno, et tuæ apud summum Deum adoptionis sigillum ac pignus divino baptismate accepisti (19).

Εὐφραίνου οὖν, νεανίσκε, ἐκ νεότητός σου, καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέρᾳ νεότητός σου.

Μονονουχὶ γάρ φησιν· Ἐκεῖνοι μὲν οὖν, ἤγουν οἱ Ἰουδαῖοι, κενὰ καὶ μάταια μελετήσουσι καθυλακτοῦντες τοῦ Χριστοῦ καὶ Σωτῆρος, φάσκοντες, « Ἆρον, ἆρον σταύρωσον αὐτόν. » Σὺ δὲ, νεανίσκε, ὁ νεωστὶ τὴν πρὸς Χριστὸν προσηκάμενος πίστιν ἀσφαλῆ καὶ βεβαίαν, κράτει τὴν κραταιὰν ἄγκυραν τῆς πρὸς αὐτὸν ἐλπίδος, καὶ μηδαμῶς κατοκλάσῃς ἀντέχεσθαι τῆς πρὸς αὐτὸν ἀγάπης καὶ πίστεως· ἀλλ' εὐφραίνου, καὶ πάσης ἀγαθωσύνης ἡ καρδία σου πληρούτω τὴν σὴν ζωὴν, ὅτι κατηξιώθης ἐλπίζειν ἐπὶ Θεὸν ζῶντα καὶ ἀληθινὸν, ἐν ἡμέραις νεότητός σου, τουτέστιν ἐν αἷς ἀνεγεννήθης ἐξ ὕδατος καὶ πνεύματος ἄνωθεν, καὶ τῆς πρὸς τὸν ἐπὶ πάντων Θεὸν υἱοθεσίας εἴληφας τὴν σφραγῖδα καὶ τὸν ἀῤῥαβῶνα διὰ τοῦ θείου βαπτίσματος.

271 Iis autem Ecclesiastæ dictis similia atque affinia scribens Joannes theologus et maximus evangelistes, sic ait : « Scribo vobis, adolescentes, quoniam vicistis malignum : scribo vobis, infantes, quoniam cognovistis patrem. Scribo vobis, patres, quoniam cognovistis eum qui ab initio est. Scribo vobis, juvenes, quoniam fortes estis, et verbum Dei manet in vobis, et vicistis malignum [28]. Adolescentem igitur dum et hic nominat sapiens Ecclesiastes, fide vigentem designat, quique spiritali quodam animi robore charitatem suam et spem et fidem erga Christum Servatorem Redemptoremque mundi solide constanterque profitetur, et veterem peccati exuens hominem, et novum induens Adam, a quo mortis potentia et corruptionis vis deleta est (20).

Εἰκότα δὲ καὶ παραπλήσια τοῖς τοῦ Ἐκκλησιαστοῦ ῥητοῖς ἐπιστέλλων Ἰωάννης ὁ θεολόγος καὶ μέγιστος εὐαγγελιστὴς οὕτω φησί· « Γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. Γράφω ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα. Ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν. » Νεανίσκον τοίνυν ὀνομάζων καὶ νῦν ὁ σοφὸς Ἐκκλησιαστὴς, τὸν ἀκμάζοντα κατὰ πίστιν δηλοῖ καὶ μετὰ τῆς πνευματικῆς καὶ νοητῆς ἀλκῆς κραταιῶς ἀντεχόμενον τῆς πρὸς Χριστὸν τὸν Σωτῆρα τοῦ κόσμου καὶ Λυτρωτὴν ἀγάπης καὶ ἐλπίδος καὶ πίστεως, καὶ τὸν παλαιὸν τῆς ἁμαρτίας ἀποδυσάμενον ἄνθρωπον, καὶ ἐνδυσάμενον τὸν νέον Ἀδὰμ τὸν κατ-

ἀργήσαντα τὸ κράτος τοῦ θανάτου καὶ τῆς φθορᾶς. Ἀμέλει τοίνυν ἐπήγαγεν ὁ σοφὸς Ἐκκλησιαστὴς, *καὶ φησι·*

[27] Joan. XIX, 15. [28] I Joan. II, 13, 14.

(18) Apud LXX desideratur οὖν, et scriptum est : Ἐν ἡμέραις νεότητός σου.

(19) In his Ecclesiastæ verbis plerique eorum, qui anagogen seponunt, ironiam fictamque quamdam indulgentiam contineri existimant : quæ sæpe vim habet non minorem, quam seria dissuasio et severa reprehensio. Hujusmodi illa sunt in Evangelio Matthæi (XXVI, 45) : *Dormite jam et requiescite : ecce appropinquat hora, et Filius hominis tradetur in manus peccatorum.*

Contra Hebræi serio hæc dicta, atque, ut auctor est Hieronymus : « Ad Israel æstimant pertinere mandatum, cui præcipitur, ut fruatur divitiis suis, ante quam ei captivitatis tempus adveniat, et adolescentiam senectute commutet : quidquid delectabile vel jucundum tam cordi quam oculis, apparuerit, eo, dum in promptu est, abutatur : ita tamen, ut se noverit in omnibus judicandum, et tam cogitationes malas, quam libidines fugiat, sciens stultitiam adolescentiæ copulatam : recordeturque semper Creatoris sui, antequam dies Babyloniæ ac Romanæ captivitatis adveniant, in quibus non poterit habere voluntatem. Et totum hunc locum ab eo, quod ait, *Antequam tenebrescat sol et luna et stellæ*, usque ad eum locum, in quo Scriptura commemorat : *Et convertetur pulvis in terram suam sicut erat, et spiritus revertetur ad Dominum, qui dedit illum, super statu suæ conditionis explanant.* » Porro explanationis hujus summam, si vacat, apud Hieronymum legito.

(20) Apostoli designat dictum : *Et sicut in Adam omnes moriuntur, ita et in Christo omnes vivificabuntur* (*I Cor.* XV, 22). Vel cum ait : *Nolite mentiri invicem, exspoliantes vos veterem hominem cum*

Digitized by Google

§ V.

Καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἀμωμος, καὶ ἐν ὁράσει ὀφθαλμῶν σου· καὶ γνῶθι, ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ Θεὸς εἰς κρίσιν· καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου, ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης. Καὶ μνήσθητι τοῦ Κτίσαντός σε ἐν ἡμέρᾳ νεότητός σου, ἕως οὗ μὴ ἔλθωσιν ἡμέραι τῆς σκιᾶς, καὶ φθάσωσιν ἔτη, ἐν οἷς ἐρεῖς· Οὐκ ἔστι μοι ἐν αὐτοῖς θέλημα.

Οὐκοῦν ἄρα μάτην τινὲς καὶ παραφρόνως ψήθησαν παρεγγυᾶσθαι τὸν σοφὸν Ἐκκλησιαστὴν τῷ νεανίσκῳ ἐν ταῖς ὁδοῖς τῶν ἰδίων θελημάτων περιπατεῖν, καὶ ταῖς θελκτικαῖς ὁράσεσι καὶ τέρψεσι τῶν ὀφθαλμῶν κατακολουθεῖν. Ἀνεῖλε γὰρ πάντη τὴν τοιαύτην ὑπόληψιν ἐν τῷ φάναι, « Καὶ γνῶθι, ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ Θεὸς εἰς κρίσιν· καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου, ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης. » Εἰ γὰρ τὸν τῆς κρίσεως λόγον καὶ τὸν τῆς ἀνταποδόσεως πρὸ τῶν ὀφθαλμῶν τοῦ νεανίσκου τίθησιν ἀριδήλως, δι' αὐτῶν τῶν ῥητῶν καὶ παρεγγυᾶται τὸν θυμὸν ἀπὸ τῆς καρδίας ἐξορίζειν καὶ πόῤῥω ποιεῖν, καὶ τῆς σαρκὸς τὰς βδελυκτὰς ἡδονὰς ὡς πονηρίαν παραβλέπειν καὶ συμπατεῖν· εὔδηλον, ὡς τῶν ἐμπαθῶν διαθέσεων καὶ πράξεων ἁμαρτητικῶν καὶ τῶν σαρκικῶν φαυλοτήτων τὸν νεανίσκον ἀλλοτριῶν, τὴν πνευματικὴν εὐφροσύνην ἔχειν εἰσηγεῖται καὶ τὴν ἀγαθωσύνην ἐν τοῖς ταμείοις τῆς καρδίας τῆς ἐπὶ τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν καὶ Σωτῆρα τοῦ κόσμου καὶ Λυτρωτὴν εἰλικρινοῦς ἀγάπης καὶ πίστεως, ὃν καὶ γλυκύτατον, ὡς καὶ τῆς δικαιοσύνης ὠνόμασεν Ἥλιον, ταῖς αἰσθηταῖς εἰκόσι καὶ τοῖς ὁρωμένοις καὶ προχείροις παραδείγμασι τῶν ὑπερουρανίων καὶ θείων ἀρχετύ-

A Idcirco nempe adjecit sapiens Ecclesiastes, et ait :

Vers. 9, 10. *Et ambula in viis cordis tui immaculatus, et in visione oculorum tuorum; et scito, quia super omnibus his adducet te Deus in judicium : et repelle iram a corde tuo, et aufer malitiam a carne tua, quia adolescentia et stultitia vanitas est. Et memento Conditoris tui in diebus juventutis tuæ, usquequo non veniant dies umbræ, et appropinquent anni, in quibus dices : Non est mihi in illis voluntas* (21).

Temere profecto atque insipienter putarunt quidam, sapientem Ecclesiasten adolescenti auctorem esse, ut eas ineat vias, quas maxime velit, atque spectaculorum illecebras et oculorum voluptates consectetur (22). Nam suspicionem **272** hujus-
B modi omnino sustulit, cum ait : « Et scito, quia super omnibus his adducet te Deus in judicium : et repelle iram a corde tuo, et aufer malitiam a carne tua, quia adolescentia et stultitia vanitas est. » Nam si judicii atque remunerationis sermonem ante oculos adolescentis manifesto proponit, iisdemque verbis cohortatur, ut iram ab animo prohibeat ac procul amandet, utque detestabiles corporis voluptates, tanquam nefas, despiciat ac proterat; plane liquet, eo ipsum spectare, ut adolescentem a pravis affectibus et malis actibus et corruptelis avertat, utque spiritalem lætitiam suadeat et interiorem animi bonitatem, quæ in charitate consistit ac fide erga Christum et Deum nostrum Servatorem ac
C Redemptorem mundi, quem et dulcissimum, ut item justitiæ Solem appellavit, quo imaginibus obviis exemplisque vulgaribus ac paratis appellationes indicaret exemplarium cœlestium ac divinorum et effectricium causarum. Illud enim dulce lumen, ille gloriæ Sol hanc quoque lucem atque aspectabilem

actibus suis, et induentes novum, eum, qui renovatur in agnitionem, secundum imaginem ejus, qui creavit illum (Coloss. III. 9) : his nempe et similibus Apostoli formulis uti solemne est Patribus, sive de salute humano generi divinitus parta sermonem habeant, sive nos ad pravos veteris vitæ mores emendandos novamque vitam sancte instituendam hortentur.

(21) At LXX habent... Καὶ μὴ ἐν ὁράσει... ὁ Θεὸς ἐν κρίσει.

(22) Quos hic noster accuset, plane ignoramus. Nam etsi hæc Gregorius Neocæsariensis ita interpretatus est, quasi cohortatio sint quædam ad voluptatem atque ad omnia vitæ oblectamenta et solatia; non ille tamen ab Ecclesiaste talium magistro profecta duxit, sed veluti hominum voluptariorum pessima documenta explicavit, quæ deinde ab ipso Ecclesiaste damnentur ac rejiciantur. Sic enim disserit : Λογιζόμενος δέ τις, ὡς καλὸς μὲν ὁ ἥλιος, ἡδὺς δὲ οὗτος ὁ βίος, ἀγαθὸν δὲ καὶ τὸ πολυχρόνιον γενέσθαι διαπαντὸς εὐφραινόμενον, καὶ ὡς φοβερὸν ὁ θάνατος, καὶ ἄδικον κακὸν, καὶ εἰς τὸ μηδὲν ἄγων, οἴεται χρῆναι, πάντων μὲν ἀπολαύειν τῶν παρόντων καὶ δοκούντων ἡδέων. Συμβουλεύει δὲ καὶ τοῖς νέοις, τῇ ἑαυτῶν ὥρᾳ καταχρῆσθαι, ἀνέντας τὰς ἑαυτῶν ψυχὰς εἰς πᾶσαν ἡδονὴν, καὶ χαρίζεσθαι μὲν ἐπιθυμίαις, πράττειν δὲ τὰ αὐτοῖς δοκοῦντα, καὶ βλέπειν τὰ τέρποντα, καὶ ἀποστρέφεσθαι τὰ μὴ οὕτως ἔχοντα. Πρὸς ὃν τοσοῦτον λέξω, ὅτι Ἀνοηταίνεις, ὦ οὗτος, μὴ προσδοκῶν τὴν ἐφ' ἅπασι τούτοις ἐκ Θεοῦ κρίσιν ἐσομένην. Πονηρὸν δὲ ἀσωτία καὶ ἀσέλγεια, καὶ ῥυπαρὰ σωμάτων ἡμετέρων ὕβρις ὀλέθριος. Νεότητι μὲν γὰρ ἄνοια παρέπεται· ἄνοια δὲ ἄγει εἰς ὄλεθρον. Χρὴ δὲ ἔτι νέον ὄντα φοβεῖσθαι Θεὸν, πρὶν ἢ ἑαυτὸν παραδοῦναι κακοῖς, πρὶν ἐλθεῖν τὴν τοῦ Θεοῦ μεγάλην ἡμέραν καὶ φοβερὰν.... Id est : *At vero quispiam animo reputans, et solem pulchrum esse, et hanc vitam suavem, ac bonum longa tempora in perpetuis voluptatibus explere, contraque rem horrendam esse mortem et malum sempiternum atque in nihilum adducens; faciendum sibi censet, ut præsentibus vitæ commodis speciemque jucunditatis habentibus perfruatur. Atque etiam juvenes admonet, ut ætatis flore abutantur, animos suos ad omne voluptatis genus remittentes, atque ut cupiditatibus suis obsequantur, et quæ ipsis visa fuerint, faciant, et quæ oblectationem afferunt spectent, et quæ aliter se habent, aversentur. Cui ego hoc tantum dixerim : Desipis, o homo, qui Dei horum omnium vindicis judicium non expectas. Sed et flagitiosa est comessatio et libido, et impura corporum nostrorum contumelia pestilens. Juventutis enim assecla est stultitia : stultitia autem ad exitium ducit. Opere vero pretium est, dum juvenili adhuc ætate flores, Dei timore affici, priusquam malis teipsum tradas, priusquam veniat dies Domini magnus et horrendus.....* (Ibid.)

Digitized by Google

hunc solem, cum nusquam essent, constituit, imo duo magna luminaria et omnes stellas condidit, ac sola voluntate perfecit. Hanc nimirum interpretationem confirmat, illa statim subjiciens : « Et memento Conditoris tui in diebus juventutis tuæ; » auctorem humanæ naturæ eum, de quo loquimur, Solem appellans, qui hominem ad imaginem similitudinemque suam **273** formavit, et terrestrium omnium regem instituit.

Hujus, inquit, memento cunctis diebus juventutis tuæ : ac simul beneficiorum quibus ab eo affectus es, magnorum atque multorum : perime « membra quæ sunt super terram [29], » ac dele consilia carnis, et mortis ignominiosas comprimens cupiditates memoria et contemplatione atque cogitatione illius, qui tua causa in crucem sublatus mortem obiit sepultusque est, ac rursum intra triduum a mortuis resurrexit, et vitæ auctor fuit. Hujus igitur assidue, inquit, memento in juventute tua, quandiu vires pares erunt temperantiæ colendæ, et jejunio tolerando, et obsecrationibus peragendis, manusque tuas ad cœlum protendere poteris ; quibuscum utique attollas et conjungas animum mentemque ad divinæ ejus majestatis ac gloriæ celsitudinem : ut, cum umbræ dies advenerint, et anni senectutis anteverterint, quibus non eodem modo integrum erit voluntatem ac studium in te excitare probæ vitæ et spiritalium institutorum, animum ne despondeas, memoria repetens quos tibi seposueris spiritalium certaminum fructus, et quantos in vita quamque varios pro virtute labores tuleris. Ait deinde sapiens Ecclesiastes :

A πων καὶ ποιητικῶν αἰτιῶν τὰς ὀνομασίας παραινιττόμενος. Τὸ γὰρ γλυκὺ φῶς ἐκεῖνο καὶ τῆς δόξης ὁ Ἥλιος καὶ τοῦτο τὸ φῶς ἐξ οὐκ ὄντων ὑπέστησε καὶ τὸν φαινόμενον ἥλιον, μᾶλλον δὲ τοὺς μεγάλους δύο φωστῆρας καὶ πάντας τοὺς ἀστέρας οὐσίωσε, καὶ μόνῳ βουλεύματι κατεσκεύασε. Παρεμπεδοῖ γὰρ τὴν τοιαύτην ὑπόληψιν ἀμέσως εἰπών, « Καὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου · » κτίστην τῆς ἀνθρωπίνης φύσεως τὸν παραληφθέντα νῦν ἥλιον ὀνομάζων τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ τὸν ἄνθρωπον διαπλάσαντα, καὶ βασιλέα προχειρισάμενον πάντων τῶν ἐπὶ γῆς.

Τούτου, φησὶ, μνήσθητι ἐν πάσαις ταῖς ἡμέραις τῆς νεότητός σου, καὶ τῶν παρ' αὐτοῦ δεδωρημένων σοι μεγάλων καὶ πολλῶν εὐεργεσιῶν· καὶ νέκρου « τὰ μέλη τὰ ἐπὶ τῆς γῆς · » καὶ κατάργει τὸ B φρόνημα τῆς σαρκὸς, καὶ θανάτου τὰ πάθη τῆς ἀτιμίας διὰ τῆς μνήμης καὶ νεύσεως καὶ διενθυμήσεως τῆς πρὸς τὸν ἀναρτηθέντα διὰ σὲ τῷ ξύλῳ τῷ σταυρικῷ καὶ νεκρωθέντα καὶ ταφέντα, καὶ πάλιν ἐκ τῶν νεκρῶν ἀναστάντα τριήμερον, καὶ γεγονότα τῆς ζωῆς ἀρχηγόν. Συνεχῶς οὖν αὐτοῦ μιμνήσκου, φησὶν, ἐν τῇ νεότητί σου, μέχρις ἂν ἐξισχύῃς ἐγκρατεύεσθαι, καὶ νηστεύειν καὶ προσεύχεσθαι καὶ τὰς αἰσθητὰς χεῖρας διαπετάσειν πρὸς οὐρανὸν, συναειρομένας καὶ συντεταγμένας ἔχων δηλαδὴ καὶ τὰς τῆς καρδίας καὶ νοητὰς πρὸς τὸ ὕψος τῆς θεοπρεποῦς αὐτοῦ μεγαλωσύνης καὶ δόξης · ἵνα ὅταν ἔλθωσιν αἱ τῆς σκιᾶς ἡμέραι, καὶ φθάσωσιν ἔτη τοῦ γήρως, ἐν οἷς οὐχ οὕτω δυνήσῃ τὸ θέλημα τῆς σῆς προαιρέσεως πρὸς τὴν σπουδαίαν ζωὴν καὶ πνευC ματικὴν κατάστασιν ἐνεργεῖν, μηδαμῶς ἀθυμήσῃς, ἐννοῶν καὶ διενθυμούμενος τοὺς ἀποθησαυρισθέντας σοι πνευματικοὺς ἀγῶνας καὶ κόπους παντοδαποὺς καὶ ποικίλους ὑπὲρ τῆς ἐναρέτου ζωῆς. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ VI.

Cap. XII, vers. 2. *Usquequo non obtenebrescat sol, et lumen, et luna, et stellæ, et revertantur nubes post pluviam* (23).

Quæ hic ab Ecclesiaste prolata sunt, signa sunt consummationis, quæ et in Evangeliis auctor sæculorum proponit. Ait enim : « Statim post tribulationem dierum illorum sol obscurabitur, et luna non dabit lumen suum, et stellæ cadent de cœlo, D et virtutes cœlorum commovebuntur [30]; » quibus denuntiat ac repræsentat septenariæ hujus vitæ finem, et gloriosum ipsius adventum secundum demonstrat (24). Quæ igitur Dominus dixit, ut osten-

Ἕως οὗ μὴ σκοτάσῃ ὁ ἥλιος καὶ τὸ φῶς καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψωσι τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ.

Τὰ λελεγμένα νῦν τῷ Ἐκκλησιαστῇ τὰ σημεῖα τῆς συντελείας εἰσὶν, ἃ τίθησι κἀν τοῖς Εὐαγγελίοις ὁ ποιητὴς τῶν αἰώνων. Φησὶ γάρ · « Εὐθέως μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται « δι' ὧν προκαταγγέλλει καὶ παρίστησι τῆς ἑβδοματικῆς ταύτης ζωῆς τὴν ἀποπεράτωσιν, καὶ τὴν ἔνδοξον

[29] Coloss. III, 5. [30] Matth. XXIV, 29.

(23) At LXX habent : Ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος...

(24) Ita hæc sane, et quæ adnexa sequuntur, interpretatus jam erat Cyrillus Hierosolymitanus: Ἥδει, inquit, ταύτην τοῦ Κυρίου παρουσίαν, καὶ τὴν τοῦ κόσμου συντέλειαν ὁ Ἐκκλησιαστής, λέγων *Εὐφράνθου, νεανίσκε, ἐκ νεότητός σου*, καὶ ἑξῆς· *Καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου, καὶ μνήσθητι τοῦ κτίσαντός σε· ἕως οὗ μὴ ἐλθωσιν αἱ ἡμέραι τῆς κακίας· ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες· καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς· τὴν* ὁρατικὴν δύναμιν αἰνισσόμενος *ἕως οὗ μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου· τῶν ἄστρων τὴν* συμπλοκὴν διδάσκων · *ἀργυροειδὴς γὰρ ἡ ὄψις, καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου* · τὸν χρυσοειδῆ οὕτως ἥλιον αἰνισσόμενος · *ἡ γὰρ ἄνθεμις γνώριμός ἐστι βοτάνη πολλὰς ἔχουσα πέριξ ἀκτινοειδεῖς φυλλάδων ἐκφύσεις. Καὶ ἀναστήσονται εἰς φωνὴν*

Digitized by Google

αὐτοῦ καὶ δευτέραν παρουσίαν παρίστησιν. Ἃ τοί- A deret **274** ac significaret integram universalem-
νυν ὁ Κύριος ἔφησεν εἰς ἔνδειξιν καὶ σημασίαν que consummationem, hæc nunc sapiens Ecclesia-
τῆς παντελοῦς καὶ καθολικῆς συντελείας, ταῦτα νῦν stes uniuscujusque vitæ fini ac termino bene atque
ὁ σοφὸς Ἐκκλησιαστὴς καὶ τῷ τέλει καὶ συμπερά- utiliter convenire judicavit : quippe qui plane nos-
σματι τῆς ἑκάστου ζωῆς λυσιτελῶς καὶ χρησίμως set ac mente reputaret, quandoquidem nemini ho-
προσαρμόττειν ὑπείληφεν· ἅτε δὴ πάντως ἐννοήσας minum datum sit, ut vitam suam producat usque
καὶ διενθυμηθεὶς, ὡς ἐπειδὴ παράτασιν ἕκαστος ad sæculi præsentis consummationem, sed unus-
ἡμῶν τῶν ἀνθρώπων οὐ λήψεται τοῦ ζῆν μέχρι τῆς quisque ea, quæ sibi obtigit, ætate, cum vitæ mu-
συντελείας τοῦ παρόντος αἰῶνος· ἀλλὰ κατὰ τὴν nus corpori junctus impleverit, multo ante con-
ἰδίαν γενεὰν τῷ βίῳ τούτῳ λειτουργήσας καὶ τῷ summationem tollatur, et ex hac vita transferatur :
σαρκίῳ, πολλῷ πρώην τῆς συντελείας ἤρται καὶ με- itaque ob interitum suum videre desinat solem
θίσταται τῆς ἐνεστώσης ζωῆς. Διὰ δὲ τῆς ἰδίας te- hunc et sensibile lumen et stellas : huic quodam-
λευτῆς ἀφίσταται τοῦ βλέπειν τοῦτον τὸν ἥλιον, καὶ modo solem obscuratum esse, et lunam ac stellas
τὸ αἰσθητὸν φῶς καὶ τοὺς ἀστέρας· τρόπον τινὰ occidisse, lucemque subductam, et quantum ad
συνεσκότασεν ὁ ἥλιος ἐπ' αὐτῷ, καὶ ἡ σελήνη καὶ mortuum pertinet, omnia hæc vi carere, nec ullum
οἱ ἀστέρες ἔδυσαν, καὶ συνεστάλη τὸ φῶς, καὶ τό B defuncto splendorem dare.
γε ἦχον τῷ τεθνηκότι, τούτων ἕκαστον ἀνενέργητόν
ἐστι, μηδεμίαν τῷ τελευτήσαντι παρεχόμενον λάμψιν.

Οὕτως οὖν τὰ κατὰ τὴν παντελῆ καὶ καθολικὴν **275** Sic igitur quæ in summa et universali con-
συντέλειαν προκατηγγελμένα γενέσθαι, καὶ προσ- summatione fore prænuntiantur atque exspectan-
δοκώμενα, κἀν ταῖς μερικαῖς τελευταῖς καὶ συντε- tur, in singularibus quoque mortibus et vitæ cujus-
λείαις τῆς ἑκάστου ζωῆς, χρῆναι καλῶς ᾠήθη προσ- que consummationibus aptanda esse recte existi-
ήκειν. Διὰ τοῦτό φησιν, « Ἕως οὗ μὴ σκοτάσῃ ὁ mavit. Idcirco ait : *Usquequo non obtenebrescat sol,*
ἥλιος καὶ τὸ φῶς καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, » *et lumen, et luna, et stellæ*, id est, dum tibi præsentis
τουτέστι πρὸ τοῦ ἐλθεῖν ἐπὶ σὲ τὴν ἀποπεράτωσιν vitæ finis adveniat, memento Conditoris tui, et
τοῦ παρόντος βίου, μιμνήσκου τοῦ κτίσαντός σε, præcepta ejus servato, ac quæ bona sunt agito,
καὶ φύλαττε τὰς ἐντολὰς αὐτοῦ, καὶ πρᾶττε τὸ ἀγα- vitamque virtute regito : ut ex ea, quæ inde oritur
θὸν, καὶ τὴν ἐνάρετον κατόρθου ζωήν· ἵνα μεταστῇς lætitia, ad ineffabilem sanctorum exsultationem
ἀπὸ τῆς κατὰ τὴν ἀρετὴν εὐφροσύνης εἰς τὴν ἀνεκ- traducaris.
λάλητον ἀγαλλίασιν τῶν ἁγίων. C

Ὃ δέ φησι· « Καὶ ἐπιστρέψωσι τὰ νέφη ὀπίσω Quod autem ait, *Et revertentur nubes post plu-*
τοῦ ὑετοῦ, » σημαίνειν οἰητέον, ὡς οὐκ ἔτι τὸν ὑετὸν *viam*, significare putandum est, qui defunctus sit,
ὁ τελευτήσας δψεται παρὰ τῶν νεφῶν ὑόμενον ἐπὶ non jam visurum pluviam e nubibus defluentem in
τῆς γῆς· ὥσπερ οὐδὲ σέλας ἡλιακὸν ἢ σελήνης ἢ terras, quemadmodum nec solare lumen aut lunæ
τῶν ἀστέρων. Εἰ δὲ καὶ τροπικώτερόν τις ἐξειλη- aut astrorum (25). Quod si quis dictum ex figura

---

τοῦ στρουθίου, καὶ γε ἀπὸ τοῦ ὕψους δψονται, contra tribus. (Matth. xxiv, 30 ; Zachar. xii, 12).
καὶ θαμβοὶ ἐν τῇ ὁδῷ. Τί δψονται ; Τότε δψονται *Et quid fiet adveniente Domino?* Florebit amygda-
τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Καὶ κόψονται φυλαὶ κατὰ lus, et pinguescet locusta, et dissipabitur capparis.
φυλάς. Καὶ τί γίνεται, ἐλθόντος τοῦ Κυρίου ; Ἀν- *Ut vero interpretes aiunt, amygdalus florens hiemem*
θήσει τὸ ἀμύγδαλον, καὶ παχυνθήσεται ἡ ἀκρὶς, *præteritam significat. Futurum autem est, ut illo*
καὶ διασκεδασθήσεται ἡ κάππαρις. Ὡς δὲ οἱ ἐξη- *tempore post hiemem corpora nostra cœlesti flore*
γηταί φασιν, ἀμύγδαλον ἄνθους δηλοῖ τοῦ χειμῶνος *florescant.* Et pinguescet locusta (*pennigera scilicet*
τὸ παρελθόν. Μέλλει δὲ τὰ σώματα ἡμῶν μετὰ τὸν *anima corpore se induens*), et dissipabitur capparis
χειμῶνα τότε ἀνθεῖν ἐπουράνιον ἄνθος. Καὶ παχυ- (*hoc est iniqui spinis similes dispergentur.* Catech.
θήσεται ἡ ἀκρὶς, ἡ πτερωτὴ ψυχὴ τὸ σῶμα πε- xv, n. 20.
ριβαλλομένη καὶ διασκεδασθήσεται ἡ κάππαρις· Est etiam senioris Epiphanii opusculum, nec
οἱ ἀκανθώδεις παράνομοι διασκορπισθῶσι, Id est : D editum hactenus, quod servat bibliotheca Albana,
Noverat hunc Domini adventum et mundi hujus inscriptum, Μαρτυρίαι τῶν θεοπνεύστων Γραφῶν καὶ
finem Ecclesiastes dicens : Lætare, adolescens, ab ἁγίων περὶ τῆς ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς μονογενοῦς
juventute tua. *Et deinceps :* Et repelle iram a corde Θεοῦ Λόγου παρουσίας, καὶ τῶν δι' αὐτοῦ γενομέ-
tuo, et aufer malitiam a carne tua, et memento νων θαυμάτων, καὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως
Conditoris tui, usquequo non veniant dies mali : καὶ τῆς δευτέρας καὶ μελλούσης ἐπιφανείας. In hoc
usquequo non obscuratus fuerit sol, et lumen, et ad caput 93 cujus titulus est, Ὅτι ὁ ἥλιος καὶ ἡ
luna, et stellæ, ac in tenebris sint, quæ vident in σελήνη σκοτισθήσονται, in secundo scilicet Domini
foraminibus (*cernendi facultatem significans*), usque- nostri adventu, post alias auctoritates verba quoque
quo non evertatur funiculus argenti (*astrorum* Ecclesiastæ in eamdem sententiam sic affert Epi-
indicans complexum, horum enim species argento si- phanius, totum hunc locum carptim delibans : Καὶ
milis) : et conteratur anthemium auri. *Ita solem* ὁ Ἐκκλησιαστὴς λέγει· « Εὐφράνου, νεανίσκε, ἐκ
designans auro similem ; anthemis enim nota herba νεότητός σου, καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου,
est, multos habens in ambitu, tanquam radios, fo- καὶ μνήσθητι τοῦ κτίσαντός σε, ἕως οὗ μὴ ἔλθωσιν
liorum surculos. Et resurgent ad vocem passeris, αἱ ἡμέραι κακίας σου, ἕως οὗ μὴ σκοτασθῇ ὁ ἥλιος
et quidem de sublimi aspicient, et terrores in via. καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ σκοτάσουσιν αἱ
Quid videbunt ? Tunc videbunt Filium hominis ve- βλέπουσαι ἐν ταῖς ὁπαῖς. »
nientem in nubibus cœli, Et lamentabuntur tribus (25) At alii de senectutis incommodis hæc dicta
censent ; quod senis oculi caligantes, cœlum tum

Digitized by Google

potius accipiendum existimet, omnino dixerit, nubes, id est doctores Ecclesiæ non jam tibi imbrem demissuros spiritalis vitæ ac virtutis bonæque institutionis; sed quantum ad te pertinet, qui ex hac vita migraveris, reversuros post talem pluviam, sive nihil amplius in tua commoda effusuros. Itaque oportet, inquit, ut antequam hæc contingant, bonum certamen certes, ac virtutis curriculum elabores, eorumque nihil prætermittas, quæ amoris ac fidei tuæ erga Deum sinceræ ac perfectæ indicia sint. Ait deinde sapiens Ecclesiastes:

φέναι οἰηθείη τὸ εἰρημένον, φήσειε πάντως, ὡς Τὰ νέφη, τουτέστιν οἱ διδάσκαλοι τῆς Ἐκκλησίας, οὐκ ἔτι σοι τὰς περὶ τῆς πνευματικῆς καταστάσεως καὶ τῆς ἀρετῆς καὶ διδασκαλίας ὀμβρήσουσιν· ἀλλ' ὅσον ἦκεν εἰς σὲ τὸν μεταστάντα τῆς παρούσης ζωῆς, ἐπιστρέψουσιν ὀπίσω τοῦ τοιούτου ὑετοῦ, τουτέστι καθυστερήσουσι, μηδαμῶς αὐτόν σοι προχέοντες. Χρὴ τοίνυν πρὸ τοῦ ταῦτα πάντα γενέσθαι, φησὶ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίζεσθαι καὶ τρέχειν τὸν δρόμον τῆς ἀρετῆς καὶ πάντα τὰ σημαντικὰ διαπράττεσθαι τῆς πρὸς Θεὸν εἰλικρινοῦς καὶ τελείας ἀγάπης καὶ πίστεως. Εἶτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής·

§ VII.

276 Vers. 3, 4. *In die, quo commoti fuerint custodes domus, et perversi fuerint viri fortitudinis, et cessaverint molentes, et imminutæ fuerint; et in tenebris sint quæ vident in foraminibus, et clauserint ostia in foro, in infirmitate vocis molentis. Et consurget ad vocem volucris, et humiliabuntur omnes filiæ carminis, et de sublimi aspicient, et terrores in via; et florebit amygdalum, et pinguescet locusta, et dissipabitur capparis* (26).

Ἐν ἡμέρᾳ, ἐν ᾗ ἂν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως καὶ ἀργήσωσιν αἱ ἀλήθουσαι, καὶ ὀλιγωθήσωνται· καὶ σκοτάσωσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς, καὶ κλείσωσι θύρας ἐν ἀγορᾷ, ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης. Καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος, καὶ γε ἀπὸ ὕψους δψονται, καὶ θαμβοῖ ἐν τῇ ὁδῷ· καὶ ἀνθήσει τὸ ἀμύγδαλον, καὶ παχυνθήσεται ἡ ἀκρὶς καὶ διασκεδασθήσεται ἡ κάππαρις.

Dum in describenda atque designanda cujusque morte et transmigratione talia profert sapiens Ecclesiastes, auditores incitare vult atque impellere, ut ante mortis extremique diei et horæ adventum assiduam Conditoris sui memoriam habeant, atque ad ipsum mentem animumque intendant, omnemque illi cultum, qui debetur, et pios homines decet, sancte exhibeant, ac vitam, quantum fieri potest, labis immunem agant, præbeantque seipsos omni recte factorum genere locupletes et justitiæ fructibus plenos. Ait enim: « In die, quo commoti fuerint custodes domus, et perversi fuerint viri fortitudinis. » Existimo autem, significari ab eo rationales animæ facultates, intellectum potissimum et cogitandi vim, quibus ratiocinamur, et quæ potiora sunt, et salutifera, corporeis usi membris, tanquam instrumentis, sic suscipere possumus, ut Deo grata sint (27). Igitur ante, inquit, quam dies ejusmodi adveniat, qua die commovebuntur naturalis domicilii custodes, id est imbecilles fient, **277** ac viribus destituentur, quæ virtutis facta præstare pos-

Προδιαγράφων καὶ χαρακτηρίζων τὴν τελευτὴν ἑκάστου καὶ τὴν μετάστασιν, ταῦτά φησιν ὁ σοφὸς Ἐκκλησιαστής, διαναστῆσαι καὶ παρορμῆσαι βουλόμενος τοὺς ἀκροατὰς πρὸ τῆς ἀφίξεως τοῦ θανάτου καὶ τῆς τελευταίας ἡμέρας καὶ ὥρας, τὴν τοῦ κτίσαντος ἡμᾶς ἔχειν μνήμην ἐνδελεχῶς, καὶ πρὸς αὐτὸν ἀνατείνειν τὸν νοῦν καὶ τὴν καρδίαν, καὶ πᾶσαν τὴν κεχρεωστημένην καὶ πρέπουσαν ἀνθρώποις θεοσεβέσι λατρείαν αὐτῷ προσάγειν, καὶ ζωὴν κατὰ τὸ δυνατὸν ἀναμάρτητον κατορθοῦν, καὶ παριστᾷν ἑαυτοὺς πάσης ἀγαθοπραγίας μεστοὺς καὶ πλήρεις καρπῶν δικαιοσύνης. Φησὶ γὰρ, « Ἐν ἡμέρᾳ, ἐν ᾗ ἂν σαλευθῶσι φύλακες τῆς οἰκίας, καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως. » Οἶμαι δὲ δηλοῦν τὰς λογικὰς τῆς ψυχῆς δυνάμεις, νοῦν καὶ διάνοιαν μάλιστα, δι' ὧν λογιζόμεθα, καὶ τὰ κρείττω καὶ σωτηρίας ἐχόμενα καὶ διὰ τῶν σωματικῶν μελῶν, ὡς δι' ὀργάνων, τὰ ἀνδάνοντα τῷ Θεῷ πράττειν δυνάμεθα. Πρὶν οὖν ἐλθεῖν, φησὶ, τὴν τοιαύτην ἡμέραν, ᾗ σαλευθήσονται τῆς φυσικῆς οἰκίας οἱ φύλακες, ἤγουν ἐξασθενήσουσι καὶ κατοκλάσουσι πρὸς τὸ ποιεῖν τὰ ἔργα

quoque, cum post pluviam serenum fit, nubibus obductum videant. Drusius vero tropum esse putabat, velut si scriptum esset: *Et mala malis succedant*; quam explicationem Grotius quoque amplexus est. Iidem quæ de sole et luna et stellis prolata sunt, allegoriam esse opinantur, quæ senectutis tristitiam mœroremque designat. Nam sæpe sacris in Litteris per ortum occasumque solis ac siderum læta et tristia adumbrantur. Ut cum ait Isaias: *Non occidet ultra sol tuus, et luna tua non minuetur* (Isa. LX, 20). Vel cum Ezechiel vaticinatus est: *Et operiam, cum exstinctus fueris, cœlum, et nigrescere faciam stellas ejus, solem nube tegam, et luna non dabit lumen suum.* (Ezech. XXXII, 7).

(26) At multa variant apud LXX: habent enim Ἐν ἡμέρᾳ ᾗ ἐὰν σαλευθῶσι ... καὶ ἤργησαν αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν, καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς· καὶ κλείσουσι . . . καὶ εἰς τὸ ὕψος ὄψονται . . . καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρὶς, καὶ διασκεδασθῇ ἡ κάππαρις. Adnotat vero Olympiodorus ab alio interprete reddi. Ὅτι τότε ἀνθεῖ τὸ ἀμύγδαλον, καὶ παχύνεται ἡ ἀκρὶς, καὶ διανοίγεται ἡ κάππαρις.

(27) Corpora nostra sacris in Litteris *domos* quandoque appellari constat; ut cum ait Job: *Quanto magis hi, qui habitant domos luteas, qui terrenum habent fundamentum, consumentur velut a tinea* (Job IV, 19). Et cum Paulus scripsit: *Scimus enim, quoniam si terrestris domus nostra hujus*

Digitized by Google

τῆς ἀρετῆς, καὶ « διαστραφῶσιν οἱ ἄνδρες τῆς δυνάμεως » (σημαίνει δὲ τὰς αὐτὰς δυνάμεις τῆς νοερᾶς τοῦ ἀνθρώπου ψυχῆς· αἳ πρὶν διαστραφῶσιν, ἤγουν ἀποστραφῶσι τὰ τῆς αἰσθητῆς καὶ παρούσης ζωῆς, καὶ προσνεύουσι καὶ ἐπικλίνουσι τὰς σφῶν ἐνεργείας πρὸς τὴν μέλλουσαν καὶ νοητὴν, πρὸς ἣν ἤδη καὶ πορεύεσθαι μέλλουσιν), ἐναγώνιος εὑρέθητι πάντοτε, καὶ διαλογίζου καὶ διεννοοῦ καὶ λέγε καὶ πρᾶττε τὸ ἀγαθόν· ἵν' ὅταν εἰς τὴν τοιαύτην ἔλθῃς ἡμέραν, ἕτοιμος εὑρεθῇς πρὸς τὴν ἔξοδον, καὶ φήσῃς πεπαρρησιασμένως μετὰ τοῦ προφήτου Δαβὶδ, « Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, » καὶ πορευθῇς ἐν ἀγαθαῖς ἐλπίσι πρὸς τὸν ἴδιον Κτίστην καὶ κριτὴν δίκαιον καὶ ἀπροσωπόληπτον, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

A sint, jamque « viri fortitudinis perversi fuerint » (significat autem easdem facultates intelligentis animæ hominis, quæ priusquam perversæ fuerint, sive antequam sensibilis hæc vita immutetur, ad futuram et spiritalem, ad quam transituræ sunt, convertunt et inclinant vim suam); fac, semper in certamine inveniaris, cogita, meditare, loquere, age quod bonum est : ut cum ad eam diem perveneris, paratum te ad exeundum exhibeas, et cum Davide propheta dicas fidenti animo : « Paratus sum, et non sum turbatus [31], » ac bona spe fretus ad Conditorem tuum et justum æquumque judicem pergas, qui singulis, pro iis quæ gesserint, vel bonum vel malum reddet.

« Φύλακας » μὲν οὖν καὶ « τῆς δυνάμεως ἄνδρας, » καθὼς ἡμεῖς ὑπειλήφαμεν, τὰς δυνάμεις ὠνόμασε τῆς ψυχῆς· αὗται γάρ εἰσιν αἱ φυλάττουσαι καὶ τὴν ἔξωθεν ἡμῶν καὶ πηλίνην οἰκίαν καὶ τὴν ἐντὸς ἀντικαθιστάμεναι διὰ τῶν ἐμπόνων λογισμῶν τοῖς νοητοῖς ἡμῶν ἀντιπάλοις καὶ δυσμενέσι· καὶ μεταχειριζόμεναι τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, καὶ « Ταῖς πρωΐαις ἀποκτείνουσι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, » ἤγουν τὰς ἁμαρτητικὰς ἐνθυμήσεις. Διὰ τοῦτο γὰρ καὶ « τῆς δυνάμεως » ὠνομάσθησαν « ἄνδρες. » Φυλάττουσι δὲ καὶ τὴν πηλίνην οἰκίαν τοῦ σώματος, διακρίνουσαι καὶ διαστέλλουσαι τῶν ἀρετῶν, καὶ οὐχ αἱρετῶν ἐδωδίμων τὰς μεταλήψεις, καὶ τὰς σωστικὰς τῶν ἀτραπῶν ἀπὸ τῶν φθαρτικῶν. Εἰπὼν δὲ, « Καὶ ἀργήσωσιν αἱ ἀλήθουσαι καὶ ὀλιγωθήσωνται, καὶ σκοτάσωσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς, » τῶν σωματικῶν ὀργάνων τὰς ὀνομασίας ἐδήλωσε, φάσκων ἀργῆσαι τοὺς ὀδόντας, ἤτοι τὰς μύλας, δι' ὧν τὴν

B « Custodes » igitur et « fortitudinis viros, » ut nos interpretati sumus, facultates animæ appellavit; ipsæ enim sunt, quæ externum hoc nostrum et luteum domicilium tuentur, quæque laboriosa cogitatione contra spiritales adversarios hostesque nostros internum defendunt : educentesque spiritus gladium, quod est verbum Dei [32], « in matutino interficiunt omnes peccatores terræ [33], » mortiferas scilicet cogitationes. Idcirco enim et « viri fortitudinis » dictæ sunt. Custodiunt autem luteum quoque corporis domicilium, secernentes separantesque ex edulibus quæ edendi causa legenda sunt, ab iis quæ repudiare oporteat, et semitas quæ ad salutem, ab iis quæ ad perniciem ducunt. Cum autem

C ait : « Et cessaverint molentes et imminutæ fuerint, et in tenebris sint quæ vident in foraminibus, » corporeorum scilicet instrumentorum appellationes indicavit, cessare dicens dentes sive molas, quibus cibum molimus (28); sicut et David propheta osten-

[31] Psal. cxix, 60. [32] Ephes. vi, 17. [33] Psal. ci, 8.

habitationis dissolvatur quod ædificationem ex Deo habemus Domum non manufactam, æternam in cœlis. (II Cor. v, 1.) Idcirco *custodes domus* videntur aliis esse manus et brachia, *Viri* vero *fortitudinis* crura pedesque : quorum nempe vires in senectute franguntur, et vicinam corporis dissolutionem demonstrant. Sed Gregorio Neocæsariensi, qui hæc omnia de supremi judicii die prolata censuit, *custodes* angeli sunt cœlestes, in quorum tutela orbis est : Κινηθήσονται δὲ αἱ ὑπέρτεροι δυνάμεις ἐν ἐκείνῳ τῷ τῶν ὅλων χειμῶνι καὶ *ταράχῳ*, D οἱ κοσμοφύλακες ἄγγελοι. Id est : *Commovebuntur vero in illa rerum omnium tempestate ac tumultu superiores virtutes, orbis custodes angeli.* (*Ibid.*)

(28) Hæc vero et recentiores interpretes plerique omnes eodem explicant modo : non bene tamen, si Mazochium audiamus. « Apud Græcos, inquit, αἱ ἀλήθουσαι sunt feminæ molitrices, participio, quod sæpe fit, pro verbali nomine usurpato, ut Matth. xxiv, 41, Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται. » Tum alias profert veterum auctoritates, quibus tritici molendi curam ad ancillas pertinuisse ostendat. Addit demum : « Hæc eo dixi, ut appareat, inscite facere quicunque illud *molentes* non ad feminas, sed ad dentes, (Heb. fem. שנים scinnaim) referunt, aut vero hæc aliter interpretantur. » Porro Mazochii interpretationem confirmat Gregorius Neocæsariensis, quanquam ille hujus auctoritate usus non est. (*Spic. Bibl.* tom. II, p. 222.) Sic nempe Gregorius hunc Ecclesiastæ locum exponit : Ὡς παύσασθαι μὲν ἄνδρας δυνάστας, παύσασθαι δὲ καὶ γυναῖκας ἐργαζομένας φευγούσας εἰς τὰ σκοτεινὰ τῶν οἰκημάτων, κεκλεισμένων ἁπασῶν τῶν θυρῶν, καί τις γυνὴ τοῦ ἀλήθειν ἀποσχομένη διὰ τὸ δέος, ἰσχνοτάτῃ φωνῇ χρήσεται, ὥσπερ λεπτότατον ὄρνεον, ἅπασαι δὲ ἀναγνοι γυναῖκες εἰς γῆν πεσοῦνται, καὶ πόλεις καὶ αἱ τούτων ἀρχαὶ αἱ μιαιφόνοι, περιμένουσαι τὴν ἄνωθεν κόλασιν, ἐνστάντος καιροῦ πικροτάτου καὶ αἱματώδους, ὥσπερ, ἀνθοῦντος ἀμυγδάλου, καὶ συνεχῶν ἐπικειμένων κολάσεων ὥσπερ πλήθους ἐφιπταμένων ἀκρίδων καὶ ἐκποδὼν ῥιπτουμένων τῶν παρανόμων, ὥσπερ μελαίνης καὶ εὐκαταφρονήτου καππάρεως. Id est : *Ut et viri prapotentes conquiescant, et mulieres operandi finem faciant, in obscuras et caliginosas ædium partes fugientes, januis omnibus clausis; ac mulier quædam, molæ operam dare ob metum desinens, perexili voce, instar tenuissimæ aviculæ, utetur, atque omnes impuræ mulieres in terram corruent, et urbes et earum magistratus immanes et anguinarii supernum supplicium exspectantes, ingruente acerbissimo et cruento tempore, quasi florente amygdala, continuisque pœnis incumbentibus, velut numeroso quodam volantium locustarum agmine, ac de medio ejectis et sublatis flagitiosis hominibus; haud secus ac nigra quadam et despicabili cappare.* (*Ibid.*)

Digitized by Google

dit, **278** cum ait : « Deus conteret dentes eorum in ore ipsorum : molas leonum confregit Dominus (29); » atque pupillas etiam oculorum imminutum iri, extenuata quæ prius inerat, videndi facultate, easque demum otiosas plane futuras in foraminibus. Nam in orbibus oculorum tanquam in foraminibus sedem suam pupillæ circumscriptam habent ac septam, atque inde videndi vim exserunt ad subjectas res percipiendas ac dijudicandas. Et propterea qua hora naturæ vires infirmatæ fuerint, ipsæ etiam simul debilitantur, ac primum quidem livere incipiunt ac prorsus caligant : deinde omnino obscurantur, ostia sua in reliquum claudentes, quæ et foramina nominavit, ut non jam videant aut dignoscant quemquam ex iis quæ in foro, sive in hac vita sunt.

Quamobrem utique adjecit : « In infirmitate vocis molentis (30). Vix enim et oris labia movens, vocem emittit infirmissimam lingua et dentibus. Porro hæc indicia sunt et signa mortis cujusque sive consummationis. Enimvero quod ait : « Et humiliabuntur omnes filiæ carminis, » eamdem item **279** naturalium instrumentorum infirmitatem sub horam extremam repræsentat. Nam ubi vocis instrumenta infirmata fuerint, quæ nempe filias carminis appellavit (31), nullam effundunt loquelam sive ad Dei gloriam celebrandam, sive ad sermones cum hominibus serendos. Astantibus vero ex alto sanctis angelis eo demissis, ut animam a corpore abducant ac dividant, aspiciunt eos pupillæ, sensibilia prius videntes sensibili modo, at nunc spiritali : easque stupor invadit ob vicinam migrationem, quam nondum ad hoc usque tempus noverunt. Nam hoc significavit dicens : « Et de sublimi aspicient, et terrores in via, » id est, videbunt qui ab alto missi aderunt, et stupore ac terrore corripientur ob insuetum illud et inopinatum spectaculum.

βρῶσιν ἀλήθομεν· καθὼς παρεμφαίνει καὶ Δαβὶδ ὁ προφήτης εἰπών· « Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος. » Καὶ μέντοι τὰς κόρας ὀλιγωθήσεσθαι τῶν ὀφθαλμῶν πρὸς τὴν ὁρατικὴν ἐνέργειαν προηγουμένως, ἔπειτα δὲ καὶ σχολάσαι παντελῶς ἐν ταῖς ὀπαῖς. Ἐν μὲν γὰρ τοῖς κύκλοις τῶν ὀφθαλμῶν, ὡς ἐν ὀπαῖς αἱ κόραι περιγεγραμμένην οἷον ἐν περιοπῇ τὴν ἰδίαν ἵδρυσιν ἔχουσαι, τὴν ὁρατικὴν ἐκεῖθεν δύναμιν ἀφιᾶσι πρὸς τὴν τῶν ὑποκειμένων πραγμάτων ἀντίληψιν καὶ διάκρισιν. Καὶ διὰ τοῦτο καθ' ἣν ἂν ὥραν τῆς φύσεως ἐξασθενήσωσιν αἱ δυνάμεις, συνασθενοῦσι καὶ αὗται· καὶ πρῶτον μὲν πελιδνὰ καὶ παντελῶς ἀμυδρὰ δέρκουσιν· ἔπειτα καὶ σκοτίζονται παντελῶς, κλείσασαι λοιπὸν τὰς ἰδίας θύρας, ἃς ὠνόμασε καὶ ὀπάς, ὡς μηκέτι βλέπειν ἢ διαγινώσκειν τινὰ τῶν ἐν τῇ ἀγορᾷ, ἐν τῇ παρούσῃ ζωῇ.

Ἀμέλει τοίνυν ἐπήγαγεν, « Ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης· » μόγις γὰρ καὶ τὰ χείλη κινῶν τοῦ στόματος, ἀσθενεστάτην φωνὴν προβάλλεται διὰ τῆς γλώττης καὶ τῶν ὀδόντων. Ταῦτα δὲ χαρακτηριστικὰ καὶ σημαντικὰ τῆς ἑκάστου τελευτῆς ἦτοι συντελείας εἰσίν. Ἔτι γε μὴν καὶ ὁ φησι· « Καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος, » τὴν αὐτὴν παρίστησι κατὰ τὴν τελευταίαν ὥραν ἀσθένειαν τῶν φυσικῶν ὀργάνων. Τῶν γὰρ φωνητικῶν ὀργάνων ἠσθενηκότων, ἅτε δὴ καὶ θυγατέρας τοῦ ᾄσματος προσηγόρευσεν, οὐδεμίαν προβάλλεται λαλιὰν ἢ πρὸς Θεοῦ δοξολογίαν ἢ πρὸς ὁμιλίαν ἀνθρώπων. Ἀλλ' ἐφεστηκότων ἐξ ὕψους τῶν ἀπεσταλμένων ἁγίων ἀγγέλων ποιήσασθαι τὴν ἔξοδον καὶ τὴν διάστασιν τῆς ψυχῆς ἐκ τοῦ σώματος ὁρῶσιν αὐτοὺς αἱ βλέπουσαι κόραι τὰ αἰσθητὰ πρὶν αἰσθητῶς, νῦν νοητῶς· καὶ θάμβος αὐτὰς λαμβάνει διὰ τὴν προκειμένην πορείαν, ἣν οὔπω καὶ μέχρι τότε διέγνωσαν. Τοῦτο γὰρ ἐσήμανεν εἰπών, « Καί γε ἀπὸ ὕψους ὄψονται, καὶ θαμβοῖ ἐν τῇ ὁδῷ, » τουτέστιν ὄψονται τοὺς ἀπεσταλμένους καὶ κατελθόντας ἐξ ὕψους, καὶ θάμβει καὶ δείματι συσχεθήσονται διὰ τὴν ἀσυνήθη καὶ παράδοξον θέαν.

(29) Psal. LVIII, 6. At LXX habent συνέτριψε.

(30) Rursus ad hunc locum adnotat Mazochius (*ibid.*), *ex molitricis*, ut ipse ait, *voce omen captasse antiquos*. Exemplum autem ex Homero petit, ubi Ulyssem inducit omen sibi duplex ab Jove petentem (*Odyss.* l. XX, a v. 98); ibi enim legimus peracta obsecratione mulierem pistrinensem statim cantasse :

Φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
Πλησίον, ἔνθ' ἄρα οἱ μύλαι εἵατο ποιμένι λαῶν.
Τῇσι δὲ δώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες,
Ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.
Αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ παρὰ πυρὸν ἄλεσσαν.
Ἡ δὲ μί' οὔπω παύετ', ἀφαυροτάτη δ' ἐτέτυκτο.
Ἥ ῥα μύλην στήσασα, ἔπος φάτο, σῆμα ἄνακτι·
Ζεῦ πάτερ, etc.

id est, ut verbis utar veteris sodalis et contubernalis mei, culti doctique viri « Bernardi Zamagnæ :

Nec minus et vocem mulier captiva repente
Sustulit inclamans penetrali in sede, ubi stabant
Marmoreæ moles tundendis frugibus aptæ.
Quas famulæ urgebant bissenæ, frungere semper
Et cererem jussæ, baccas et pinguis olivi.
Jamque aliæ pensis defunctæ corpora somno
Fessa dabant ; sociis tantum hæc ex omnibus una
Ægra magis, necdum cessans, revolubile saxum
Continuit, lætumque omen sic edidit ore :
O regis, etc.

Vides, opinor, quam parum hæc ab iis discrepent quæ modo ex Gregorii Neocæsariensis interpretatione retulimus : ut suspicari liceat, Salomonem atque Homerum, qui æquales fuisse putantur, in communium temporum consuetudine delibanda consensisse.

(31) Aquilam Noster sequi videtur, cum sententiam Hebraicam ille sic reddat : Καὶ κλιθήσονται πάντα τὰ τῆς ᾠδῆς· sive : *Et inclinabuntur omnia quæ ad cantum faciunt.* At plerique recentiorum puellas cantrices designari putaverunt, neque secus Neocæsariensis Gregorius, cujus paulo ante verba retulimus.

Digitized by Google

Ὁ δέ φησι, « Καὶ ἀνθήσει τὸ ἀμύγδαλον, καὶ παχυνθήσεται ἡ ἀκρὶς, καὶ διασκεδασθήσεται ἡ κάπαρις, » τὴν ἁμαρτητικὴν τοῦ βίου τούτου πικρίαν παρελθεῖν αἰνίττεται διὰ τῆς καππάρεως. Φύσει γὰρ τὸ φυτὸν τοῦτο πικρὸν καὶ ἀκανθῶδές ἐστι καὶ πλῆρες ἀηδίας, εἰ καί τισι κατασκευαῖς μεταβέβληται πρὸς ἐδωδὴν αὖθις τοῖς ἀσθενοῦσιν. Ἀνθήσειν δὲ τὸ ἀμύγδαλον, καὶ παχυνθήσεσθαι τὴν ἀκρίδα φήσας, τὸ πνευματικὸν καὶ νοητὸν ἔαρ καταλαμβάνειν τὰς τῶν δικαίων ψυχὰς μετὰ τῆς παρούσης ζωῆς ἔξοδον προκατήγγειλεν, παρεικάσας αὐτὰς ταῖς ἀκρίσι διὰ τὸ τοῦ ζώου πτηνὸν καὶ σφοδρὸν πρὸς ἀναιρετικὴν ἐνέργειαν τῶν ὥνπερ ἂν ὁ Δημιουργὸς βουληθείη. Τοιαύτη δὲ καὶ πᾶσα ψυχὴ τῶν δικαίων ἐστὶν ἀναιροῦσα, καὶ καταργοῦσα πάσας τὰς ἀσυμφόρους διαθέσεις τῆς κακίας μετὰ τὴν ἐκ τῶν ἐνταῦθα μετάστασιν. Καὶ τῇ ἀνθήσει δὲ τοῦ ἀμυγδάλου παρείκασε τὰς καθαρὰς ψυχὰς καὶ φωτοειδεῖς· λευκὸν γὰρ τοῦ ἀμυγδάλου τὸ ἄνθος, καὶ πρῶτον γινόμενον, κατὰ τὸν καιρὸν δηλονότι τοῦ ἔαρος. Ὁ δὲ παρεισκέκριχε διὰ μέσου τῶν στίχων, « Καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, » οἶμαι τὴν νέκρωσιν τῆς ἀνθρωπίνης φύσεως ἐν ταυτῷ καθυπογράφειν ἅμα καὶ συνημμένως προκαταγγέλλειν καὶ τὴν ἀνάστασιν, ἣ γενήσεται κατὰ τὸν καιρὸν τῆς ἐσχάτης καὶ τελευταίας ἡμέρας· ὅταν ἡ ἀρχαγγελικὴ σάλπιγξ φωνήσῃ, « καὶ οἱ νεκροὶ ἐγερθῶσιν ἄφθαρτοι » πάντες οἱ ἀπ' αἰῶνος. Στρουθίου γὰρ φωνὴν τοῦ ἀρχαγγέλου τὴν προκατηγγελμένην καὶ προκηρυττομένην σάλπιγγα προσηγόρευσε διὰ τὸ κοῦφον τῆς ἴσως πτήσεως καὶ καθαρὸν ἐν διαίταις. Παρεμπεδοῖ δὲ τὴν τοιαύτην ἐκδοχὴν καὶ διὰ τῶν ἀμέσως ἑπομένων. Φησὶ γάρ·

A Quod autem ait : « Et florebit amygdalum, et pinguescet locusta, et dissipabitur capparis, » *capparis* quidem nomine flagitiosam vitæ hujus acerbitatem præterituram significat. Natura enim frutex ille acerbus et spinis obsitus est atque molestiæ plenus, quanquam compositionibus quibusdam ægrotis paratur postea in esum (32). Cum autem fore dixit, ut amygdalum floreat et locusta pinguescat, futurum prænuntiavit, ut justorum animæ post præsentis vitæ exitum vere potiantur spiritali ac cœlesti ; easque locustis comparavit, quod animal volucre sit, et magna violentia feratur ad ea destruenda, quæcunque summus auctor voluerit (33). Talis **280** vero et omnis anima justorum est, quæ postquam inde discesserit, noxias omnes
B nequitiæ affectiones perimit atque abolet. Amygdalo autem efflorescenti assimilavit puras animas et luce splendentes. Albus enim amygdali flos est, et primus, veris scilicet tempore, apparet. At vero quod mediis versibus interseruit : « Et consurget ad vocem volucris, » eo mihi videtur simul humanæ naturæ interitum describere, et resurrectionem conjunctim prænuntiare, quæ ultimi et supremi diei tempore futura est, cum archangeli tuba inclamaverit, « et mortui resurgent incorrupti [34], » omnes qui a sæculo fuerint. Volucris enim vocem appellavit prænuntiatam illam et prædicatam archangeli tubam ob levitatem, opinor, volatus et puritatem vitæ (34). Hujusmodi autem interpretationem
C iis etiam confirmat, quæ protinus sequuntur. Ait enim :

§ VIII.

Ὅτι ἐπορεύθη ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ, καὶ ἐκύκλωσαν ἐν ἀγοραῖς οἱ κοπτόμενοι, ἕως οὗ μὴ ἀνατραπῇ σχοινίον τοῦ ἀργυρίου, καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου, καὶ συντρι-

Vers. 5. *Quoniam ivit homo in domum æternitatis suæ, et circuierunt per fora plangentes : usquequo non evertatur funiculus argenti, et conteratur flosculus auri, et conteratur hydria super terram : et*

[34] I Cor. xv, 52.

(32) Varios capparis parandi modos et magnos in medicina usus enumerat Plinius (*H. N.* lib. xx, c. 15) : « Dentium, inquit, dolores sedat tritum ex aceto semen decoctum vel manducata radix. Infunditur et aurium dolori decoctum oleo. Ulcera, quæ phagedænas vocant, folia et radix recens cum melle sanant. Sic et strumas discutit radix parotidas vermiculosque cocta in aqua. Jecinoris
D quoque malis medetur. Dant et ad tænias in aceto et melle. » Alia hujusmodi, si tanti est, ibidem invenies : quædam et Celsus suppeditabit. Plura Græci Dioscorides et Galenus.

Patre ante omnia sæcula absque matre, sine corruptione atque passione, et per ipsum omnia facta sunt. Ultimis vero temporibus voluntate Patris, et cooperatione Spiritus sancti descendit Filius et Verbum Dei, et incarnatus est ex sancta Deipara, semperque virgine Maria, non mutatus in divinitate, neque ementitus humanæ naturæ assumptionem : sed Deus exsistens perfectus, factus est perfectus homo, intellectualis et animatus ; non deferens carnem (6) e cœlo, ut impii quidam hæretici dictitarunt, neque tanquam per tubum exiens ex sancta Deipara ; sed ab intemerata eam accepit Deipara, et ex ipsa natus est servans eamdem Virginem etiam post partum, matris quidem expers antea, patre vero carens postea ; unde duas ipsius generationes confitemur. Unum quoque ipsum dicimus Deum et hominem, non autem duas ejusdem esse hypostases prædicamus, velut impius effutire ausus est Nestorius cum asseclis ; sed unam ipsius dicimus hypostasin etiam post incarnationem. Sancta enim ejusdem caro in ipsius Verbi Dei subsistit hypostasi ; et hanc hypostasin habuit et habet ; quare confitemur unum et ipsum Deum et hominem Dominum nostrum Jesum Christum. Ipse enim est ungens et est unctus : ungens quidem, ut Deus ; unctus vero, ut homo. Christus (7) enim vocatus fuit in altera ejusdem generatione, non autem, ut Origeniani dictitant, ante sæcula. Dicimus autem et confitemur eum duplicem natura, scilicet perfectum Deum perfectumque hominem, passibilem quidem quoad humanitatem, impassibilem vero quoad divinitatem ; esurivisse, et sitivisse, et comedisse, et bibisse, et laborasse, et dormivisse sponte et secundum naturæ legem. Et tanquam Deus divina fecit et gloriosa : aquam vertit in vinum, oculos cæco aperuit, mortuos ad vitam revocavit, siccis pedibus super mare ambulavit, et cætera. Ut homo vero humana patravit. Duas ergo voluntates ipsius statuimus, duasque operationes, divinam atque humanam : et cum duas audieris in Domino voluntates, ne existimes esse inter se pugnantes ac contrarias ; verum ea volens faciebat humana natura, quæ divina ejus voluit voluntas : quæcunque enim volebat, poterat, ac faciebat ; non enim alterius indigebat. Sponte autem passus est, flagellatus, consputus et crucifixus, lancea in latere vulneratus, unde sanguis et aqua exivit, salutis conciliatrix, et velut homo mortuus est. Ut Deus vero surrexit sua ipsius voluntate, excitans, qui a sæculo dormierant, non omnes, sed dignos. Quadraginta autem diebus una conversatus est cum sanctis discipulis suis post resurrectionem, et convescens cum eis assumptus est in cœlum una cum immaculato suo et principe viventium corpore, videntibus sanctis ipsius discipulis. Credimus vero eumdem rursus venturum cum incomparabili gloria, ut ju-

A τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων ἀῤῥεύστως καὶ ἀπαθῶς, χωρὶς μητρὸς, καὶ δι' αὐτοῦ τὰ πάντα ἐγένετο. Καὶ ἐπ' ἐσχάτων δὲ τῶν χρόνων εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος κατῆλθεν ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, καὶ ἐσαρκώθη ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀεὶ Παρθένου Μαρίας, οὐ τραπεὶς τῇ θεότητι, οὐδὲ φαντάσας τὴν οἰκονομίαν· ἀλλὰ Θεὸς ὢν τέλειος, γέγονε τέλειος ἄνθρωπος, ἔννους, καὶ ἔμψυχος· οὐ κατενεγκὼν τὴν σάρκα ἐξ οὐρανοῦ, ὡς ἄθεοι ἔφησάν τινες τῶν αἱρετικῶν, καὶ ὡς διὰ σωλῆνος διελθὼν ἀπὸ τῆς ἁγίας Θεοτόκου· ἀλλὰ ἀπὸ τῆς ἀχράντου Θεοτόκου ταύτην ἀνέλαβε, καὶ ἐγεννήθη ἐξ αὐτῆς, φυλάξας ταύτην Παρθένον καὶ μετὰ γέννησιν, ἀμήτωρ μὲν τὸ πρότερον, ἀπάτωρ δὲ τὸ δεύτερον. Ὅθεν δύο αὐτοῦ τὰς γεννήσεις
B ὁμολογοῦμεν. Ἕνα καὶ τὸν αὐτόν φαμεν Θεὸν καὶ ἄνθρωπον. Οὐ δύο δὲ αὐτοῦ λέγομεν τὰς ὑποστάσεις, ὡς ὁ ἀσεβὴς ἐτόλμησεν εἰπεῖν Νεστόριος, καὶ οἱ σὺν αὐτῷ· ἀλλὰ μίαν αὐτοῦ λέγομεν τὴν ὑπόστασιν καὶ μετὰ σάρκωσιν. Ἡ γὰρ ἁγία αὐτοῦ σὰρξ ἐν τῇ αὐτοῦ τοῦ Θεοῦ Λόγου ὑπέστη ὑποστάσει, καὶ ταύτην ἔσχε καὶ ἔχει ὑπόστασιν· ὅθεν ὁμολογοῦμεν ἕνα καὶ τὸν αὐτὸν Θεὸν καὶ ἄνθρωπον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Αὐτὸς γάρ ἐστιν ὁ χρίων καὶ ὁ χριόμενος· χρίων μὲν ὡς Θεὸς, χριόμενος δὲ ὡς ἄνθρωπος. Χριστὸς δὲ τότε ἐκλήθη ἐν τῇ δευτέρᾳ αὐτοῦ γεννήσει, καὶ οὐχ ὡς Ὠριγενιασταὶ λέγουσι, πρὸ τῶν αἰώνων. Λέγομεν δὲ καὶ ὁμολογοῦμεν αὐτὸν διπλοῦν τῇ φύσει, Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, παθητὸν μὲν τῇ ἀνθρωπότητι, ἀπαθῆ δὲ τῇ θεότητι· πεινάσαι τε καὶ
C διψῆσαι, καὶ φαγεῖν, καὶ πιεῖν, καὶ κοπιάσαι, καὶ ὑπνῶσαι ἑκουσίως καὶ νόμῳ φύσεως. Καὶ ὡς μὲν Θεὸς ἔπραττε τὰ θεῖα καὶ ἔνδοξα, τὸ ποιῆσαι τὸ ὕδωρ οἶνον, καὶ τὸ ὀμματῶσαι τυφλὸν, καὶ ἀναστῆσαι τοὺς νεκροὺς, καὶ πέζεῦσαι ἐπὶ τῆς θαλάσσης ἀβρόχοις ποσὶ, καὶ τὰ λοιπά· ὡς ἄνθρωπος δὲ ἔπραττε τὰ ἀνθρώπινα. Δύο δὲ αὐτοῦ δοξάζομεν τὰς θελήσεις, καὶ τὰς ἐνεργείας, θείαν καὶ ἀνθρωπίνην. Θελήματα δὲ δύο ἀκούσας ἐπὶ τοῦ Κυρίου, μὴ μαχόμενα, μηδὲ ἐναντιούμενα ἀλλήλοις νόει. Ἀλλὰ ταὐτὰ θέλουσα ἔπραττεν ἡ ἀνθρωπίνη φύσις, ἅπερ ἡ θεία αὐτοῦ ἤθελε θέλησις· ὅσα γὰρ ἤθελεν, ἠδύνατο καὶ ἐποίει· οὐ γὰρ ἐδέετο ἑτέρου. Ἔπαθε δὲ ἑκουσίως, ἐφραγελώθη, ἐνεπτύσθη, καὶ ἐσταυρώθη, ἐκεντήθη λόγ-
D χῃ τὴν πλευράν, ἐπήγασέ τε ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ, σωτηρίας πρόξενον, καὶ ἀπέθανεν, ὡς ἄνθρωπος. Ὡς δὲ Θεὸς ἀνέστη αὐτεξουσίως, ἀναστήσας τοὺς ἀπ' αἰῶνος κεκοιμημένους, οὐ πάντας, ἀλλὰ τοὺς ἀξίους. Ἐπὶ ἡμέραις δὲ τεσσαράκοντα συνανεστράφη τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, συναυλιζόμενος αὐτοῖς, καὶ ἀνελήφθη εἰς οὐρανοὺς μετὰ τοῦ ἀχράντου καὶ ζωαρχικοῦ αὐτοῦ σώματος, ὁρώντων τῶν ἁγίων αὐτοῦ μαθητῶν. Πιστεύομεν δὲ πάλιν ἐλθεῖν αὐτὸν μετὰ δόξης ἀσυγκρίτου κρῖναι πάντας ὡς Θεὸς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Προσκυνοῦμεν

(6) De hoc errore Valentini vide sis Epiph. hær. 31 et Damascen,

(7) Ex Damasceno lib. IV *Orthod. fidei* cap. 6, p. 588. Consule Suicerum in Lex. vers. Χριστός. Et Basilium lib. V *Contra Eunomium*, tom. II, pag. 117.

Digitized by Google

δὲ αὐτοῦ τὰ τίμια καὶ ἅγια πάθη, δι' ὧν ἡμᾶς ἐτίμησε, δοξάζοντες αὐτοῦ καὶ τὴν ἀνάστασιν, καὶ εὐλογημένον τὸ κράτος καὶ βασιλείαν αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. A

dicet tanquam Deus omnes, et reddat unicuique juxta opera sua. Adoramus vero pretiosam ejusdem et sanctam passionem, per quam nos affecit honore, glorificantes resurrectionem ejusdem, benedictum imperium et regnum in sæcula sæculorum. Amen.

Ὁμολογοῦμεν καὶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Ἀμήν.

Confitemur etiam unum baptisma (9) in remissionem peccatorum. Amen.

Ὁμολογοῦμεν δὲ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

Confitemur resurrectionem mortuorum (10), et vitam futuri sæculi.

Ἰστέον, ὅτι ἀχώριστος ἔμεινεν ἡ θεότης τοῦ Λόγου τῆς ἁγίας αὐτοῦ σαρκὸς, καὶ ἐν καιρῷ τοῦ πάθους, καὶ ἐν τῷ θανάτῳ, καὶ ἐν τῷ τάφῳ ἦν μετὰ τοῦ σώματος, καὶ ἐν τῷ ᾅδῃ μετὰ τῆς ἁγίας αὐτοῦ ψυχῆς, καὶ ἐν τῷ οὐρανῷ μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ πανταχοῦ ὡς Θεὸς καὶ Θεοῦ Υἱὸς, B τῆς θεότητος αὐτοῦ ἀπαθοῦς μεινάσης. Καὶ ἐθέωσε τὴν αὐτοῦ σάρκα ἀσυγχύτως καὶ ἀφύρτως, ὁ αὐτὸς περιγραπτὸς καὶ ἀπερίγραπτος.

Sciendum est, quod inseparabilis mansit divinitas Verbi a sancta illius carne, etiam tempore passionis, et in morte, et in sepulcro erat cum corpore, et in inferis una cum sancta ipsius anima, et in cœlo una cum Patre, et Spiritu sancto, et ubique ut Deus, et Dei Filius, permanente impassibili sola ejusdem divinitate; deificavitque suam carnem inconfuse, et non immistim, ipse circumscriptus, et incircumscriptus.

Ἔκθεσις θεολογίας, ἣν ἐμυήθη ὁ θαυματουργὸς Γρηγόριος παρὰ τῆς δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀεὶ Παρθένου Μαρίας, καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ.

Expositio (11) Theologiæ, quam edoctus fuit Gregorius Thaumaturgus a domina nostra Deipara semperque Virgine Maria, et sancto Joanne Theologo et evangelista.

Εἷς Θεὸς, Πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης, καὶ δυνάμεως, καὶ χαρακτῆρος ἀϊδίου· τέλειος τελείου γεννήτωρ, Πατὴρ Υἱοῦ μονογενοῦς. Εἷς Κύριος, μόνος ἐκ μόνου, Θεὸς [ἐκ] Θεοῦ. Χαρακτὴρ καὶ εἰκὼν Θεότητος, Λόγος ἐνεργὴς, Σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτικὴ, καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητική. Υἱὸς ἀληθινὸς ἀληθινοῦ Πατρός· ἀόρατος C ἀοράτου, καὶ ἄφθαρτος ἀφθάρτου, ἀθάνατος ἀθανάτου, καὶ ἀΐδιος ἀϊδίου. Ἓν Πνεῦμα ἅγιον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ διὰ Υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις, εἰκὼν τοῦ Υἱοῦ τελείου τελεία, ζωὴ ζώντων αἰτία· ἁγιότης ἁγιασμοῦ χορηγός. Ἐν ᾧ φανεροῦται Θεὸς ὁ Πατὴρ, ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσι· καὶ Θεὸς ὁ Υἱὸς, ὁ διὰ πάντων. Τριὰς τελεία, δόξῃ, καὶ ἀϊδιότητι, καὶ βασιλείᾳ, μὴ μεριζομένη, μηδὲ ἀπαλλοτριουμένη. Οὔτε οὖν κτιστόν τι, ἢ δοῦλον ἐν τῇ Τριάδι, οὐδὲ ἐπείσακτον, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθόν. Οὔτε γὰρ ἐνέλιπέ ποτε ὁ Υἱὸς Πατρὶ, οὔτε τῷ Υἱῷ Πνεῦμα. Οὔτε ηὐξήθη μονὰς εἰς δυάδα (8), ἢ δυὰς εἰς Τριάδα· ἀλλ' ἄτρεπτος, καὶ ἀναλλοίωτος, ἡ αὐτὴ Τριὰς ἀεί.

(12) Unus Deus, Pater Verbi viventis, sapientiæ subsistentis et potentiæ et characteris sempiterni: perfectus perfecti genitor, Pater Filii unigeniti. Unus Dominus, solus ex solo, Deus de Deo. Character et imago Deitatis, Verbum efficax. Sapientia constitutionis rerum universarum comprehensiva: et virtus atque potentia universæ creaturæ effectiva. Filius verus veri Patris; invisibilis, ejus qui est invisibilis; et incorruptibilis, corruptioni non obnoxii; ac immortalis, mortis prorsus nescii; et sempiternus, sempiterni. Unusque Spiritus sanctus ex Deo exsistentiam habens; et qui per Filium apparuit, scilicet hominibus, imago Filii perfecti perfecta, vita viventium causa, sanctitas sanctificationis suppeditatrix, in quo manifestatur Deus Pater, qui super omnia est, et in omnibus: et Deus Filius, qui per omnia est. Trinitas perfecta, quæ gloria, et æternitate, ac regno, atque imperio non dividitur, atque abalienatur. Non igitur creatum quid, aut servum in Trinitate, neque superinductitivum aliquid, et adventitium, quasi prius non exsistens, posterius vero adveniens. Non ergo defuit unquam Filius Patri: neque Filio Spiritus sanctus: neque aucta est unquam unitas in dualitate, aut dualitas in Trinitate; sed immutabilis et invariabilis eadem semper manet Trinitas.

Ἰστέον, ὅτι φύσις, καὶ μορφὴ, καὶ οὐσία, ἓν καὶ ταὐτόν ἐστιν. Ὑπόστασις δὲ καὶ πρόσωπον καὶ ἄτομον, καὶ χαρακτὴρ, ἓν καὶ ταὐτόν εἰσι. D

Sciendum, quod natura, forma, et essentia unum et idem est: hypostasis, persona, individuum, et character unum et idem sunt.

Τὴν δὲ ἁγίαν Μαρίαν τὴν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν γεννήσασαν προσκυνοῦμεν καὶ σεβόμεθα,

Sanctam vero Mariam, quæ genuit Dominum nostrum Jesum Christum, adoramus et colimus,

(8) Hæc verba, οὔτε ηὐξήθη μονὰς εἰς δυάδα, quæ sunt in Codice, desunt apud Labbeum loco excitato.

(9) Conter. Tertull. lib. *De præscript.* Marcio plures indulgebat baptismos.

(10) Valentiniani carnis resurrectionem negabant. Damascen. hær. 31. Vid. et hær. 34, 36.

(11) Titulus sic habet in codice Richardiano; sed in *Conciliis* Labbei tom. I, pag. 863, legitur: Ἔκθεσις πίστεως κατὰ ἀποκάλυψιν Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας. *Expositio fidei juxta revelationem Gregorii episcopi Neocæsareæ.*

(12) Vide Fabricium, *Bibl. Gr.* tom. V, pag. 249. Versionem hujus apocalypsis dedit Becuccius ex Ger. Vossio.

Digitized by Google

sicuti Dei matrem, ipsamque Deiparam manifeste prædicamus. Quicunque enim sanctam Deiparam Mariam matrem Domini nostri Jesu Christi, Deiparam non confitetur, anathema sit, et vehementiori et laboriosiori ultione damnatus sit : propterea quod contempsit solam honorandam, gloriosiorem Cherubim, magnificentioremque Seraphim, omnium rerum creatarum dominam. Prætiosam etiam et vivificam crucem adoramus ; in ipsa enim crucifixus est Deus noster, ipsamque sanctificavit : siquidem eam deosculantes lumine et sanctificatione adimplemur. Sanctos vero angelos, videlicet omnes cœlestes virtutes veneramur tanquam domesticos, servos, famulos, et administros Dei, veluti per ipsos muro septi ac defensi, habentes eosdem præsides et custodes. Insuper adoramus et colimus sanctum Joannem Christi præcursorem, sanctosque apostolos, prophetas, martyres, venerabiles patriarchas, et doctores, sanctos, et justos, tanquam sinceros servos et amicos Dei nostri. Adoramus etiam sanctam imaginem Domini Jesu Christi, non ipsam Deum existimantes, sed tanquam imaginem ejusdem Christi et Dei nostri ; scientes, quod imaginis honor refunditur in prototypum. Adoramus vero et veneramur sanctam imaginem immaculatæ Deiparæ, et ex ipsa recipimus sanctificationem et varias cum animæ, tum corporis curationes. Adoramus autem etiam sacras imagines sanctorum angelorum, omniumque sanctorum.

Sacrum vero donum, quod nos Christiani participamus, non est figura corporis et sanguinis Dei nostri Jesu Christi ; sed illud idem est sanctum corpus, et pretiosus sanguis Domini ; unde, qui ejusdem digne participes fiunt, sanctitate et gloria Filii Dei adimplentur.

Orthodoxos vero sacerdotes, velut angelos Dei veneramur. Sanctas insuper martyrum atque omnium sanctorum reliquias, tanquam eosdem sanctos veneramur et colimus : etsi enim ossa nuda esse videntur, attamen remedia effundunt. Ita ergo credo : ita mea fert opinio : ita enim accepi a meis majoribus, et a beatis et sanctis generalibus magistris. Credo igitur quæcunque a sanctis apostolis prædicata sunt, et a magno Basilio, Gregorio Theologo, Leone papa Romæ, Athanasio, Cyrillo Alexandrino, Gregorio Nysseno, beatissimo Joanne Chrysostomo, et sancto Patre nostro Joanne monacho Damasceno, et a reliquis theologis. Eos autem, qui eorum dogmatis fidem non habent, excommunico, tanquam impios et Dei inimicos. Etenim benedico quibus benedixerunt ii, et maledico quibus illi maledixerunt.

Cæterum ego quidem, filii mei dilecti, hæc sancta dogmata vobis exposui, quæ ex multis libris collegi ; quæque compendiose explicui, ut eadem quotidie perlegatis, et ut ex his firmentur corda vestra in vera et orthodoxa fide ; pro certo et comperto

ὡς Θεοῦ μητέρα, καὶ Θεοτόκον αὐτὴν τρανῶς ἀνακηρύττομεν. Ὅς τις γὰρ τὴν ἁγίαν Θεοτόκον Μαρίαν τὴν μητέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Θεοτόκον οὐχ ὁμολογεῖ, ἔχει τὸ ἀνάθεμα, καὶ ἐν τῇ σφοδροτέρᾳ καὶ ἐπιπονωτέρᾳ κολάσει καταδικασθείη· ἀνθ' ὧν ἠθέτησε τὴν μόνην τετιμημένην, τὴν ἐνδοξοτέραν τῶν Χερουβὶμ, καὶ τιμιωτέραν τῶν Σεραφὶμ, τὴν δέσποιναν πάντων ποιημάτων. Τὸν δὲ τίμιον καὶ ζωοποιὸν σταυρὸν προσκυνοῦμεν· ἐν αὐτῷ γὰρ ἐσταυρώθη ὁ Θεὸς ἡμῶν καὶ ἡγίασεν αὐτόν· καὶ οἱ ἀσπαζόμενοι αὐτὸν φωτισμοῦ καὶ ἁγιασμοῦ πληρούμεθα. Τοὺς δὲ ἁγίους ἀγγέλους, ἤγουν πάσας τὰς οὐρανίους δυνάμεις, προσκυνοῦμεν, ὡς οἰκείους, δούλους καὶ θεράποντας καὶ ὑπηρέτας τοῦ Θεοῦ, ὡς δι' αὐτῶν τειχιζόμενοι καὶ φρουρούμενοι, ἔχοντες αὐτοὺς προστάτας καὶ φύλακας. Προσκυνοῦμεν δὲ καὶ τιμῶμεν τὸν ἅγιον Ἰωάννην τὸν πρόδρομον τοῦ Χριστοῦ, καὶ τοὺς ἁγίους ἀποστόλους, προφήτας τε καὶ μάρτυρας καὶ τοὺς ἀοιδίμους πατριάρχας καὶ διδασκάλους, ὁσίους καὶ δικαίους, ὡς γνησίους δούλους καὶ φίλους τοῦ Θεοῦ ἡμῶν. Προσκυνοῦμεν δὲ καὶ τὴν ἁγίαν εἰκόνα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, οὐ θεοποιούμενοι ταύτην, ἀλλ' ὡς αὐτοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν εἰκόνα, γινώσκοντες, ὅτι ἡ τῆς εἰκόνος τιμὴ εἰς τὸ πρωτότυπον διαβιβάζεται. Προσκυνοῦμεν δὲ καὶ ἀσπαζόμεθα τὴν ἁγίαν εἰκόνα τῆς ἀχράντου Θεοτόκου, καὶ ἐξ αὐτῆς λαμβάνομεν ἁγιασμὸν καὶ ἰάσεις ποικίλας ψυχικῶς καὶ σωματικῶς. Προσκυνοῦμεν δὲ καὶ τὰς ἁγίας εἰκόνας τῶν τε ἁγίων ἀγγέλων, καὶ πάντων τῶν ἁγίων.

Ἡ δὲ ἁγία δωρεὰ, ἧς μεταλαμβάνομεν οἱ Χριστιανοὶ, οὐκ ἀντίτυπός ἐστι τοῦ σώματος καὶ αἵματος τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀλλ' αὐτὸ ἐκεῖνό ἐστι τὸ ἅγιον σῶμα, καὶ τίμιον αἷμα τοῦ Κυρίου· ὅθεν καὶ οἱ μεταλαμβάνοντες τούτου ἀξίως, ἁγιασμοῦ καὶ δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ πληροῦνται.

Τοὺς δὲ ὀρθοδόξους ἱερεῖς, ὡς ἀγγέλους Θεοῦ τιμῶμεν. Τὰ δὲ ἅγια τῶν μαρτύρων καὶ πάντων τῶν ἁγίων λείψανα, ὡς αὐτοὺς τοὺς ἁγίους τιμῶμεν καὶ σεβόμεθα. Εἰ γὰρ καὶ ὀστᾶ γυμνὰ δοκεῖ εἶναι, ἀλλ' ἐκβλύζουσιν ἰάματα. Οὕτως γὰρ ἐγὼ πιστεύω, οὕτως δοξάζω· οὕτως γὰρ παρέλαβον ἀπὸ τῶν προγόνων μου, καὶ ἀπὸ τῶν μακαρίων καὶ ἁγίων καὶ οἰκουμενικῶν διδασκάλων. Πιστεύω μὲν οὖν τὰ παρὰ τῶν ἁγίων ἀποστόλων κηρυχθέντα, καὶ τοῦ μεγάλου Βασιλείου, τοῦ ἐν θεολογίαις Γρηγορίου, Λέοντος πάπα Ῥώμης, Ἀθανασίου, Κυρίλλου Ἀλεξανδρείας, Γρηγορίου τοῦ Νύσσης, Ἰωάννου τοῦ τρισμακαρίστου Χρυσοστόμου, καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ, καὶ τῶν λοιπῶν θεολόγων. Τοὺς δὲ μὴ πιστεύοντας τοῖς δόγμασι τούτων, ἀναθεματίζω, ὡς ἀσεβεῖς καὶ ἐχθροὺς τοῦ Θεοῦ· εὐλογῶ γὰρ οὓς ηὐλόγησαν, καὶ καταρῶμαι, οἷς καταράσαντο.

Καὶ ἐγὼ μὲν, τέκνα μου ἀγαπητὰ, ἐξεθέμην ὑμῖν τὰ ἅγια ταῦτα δόγματα, ἀναλεξάμενος ταῦτα ἀπὸ πολλῶν βιβλίων· ἃ τινα καὶ ἐν ἐπιτόμῳ ἐξεθέμην, ὡς ἂν ἀναγινώσκητε ταῦτα καθεκάστην, καὶ ἐκ τούτων στερεωθῶσιν ὑμῶν αἱ καρδίαι εἰς τὴν ὀρθόδοξον πί-

Digitized by Google

στιν καὶ ἀληθινήν· ἔχοντες πληροφοριαν, ὡς ὁ γεννήσας ὑμᾶς οὕτως ἐπίστευε. Καὶ ἐν τούτοις ἦν ἡ ἐλπίς μου, οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ὁπόταν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἔλθῃ ἐν ἀπείρῳ δόξῃ κρῖναι τὸν κόσμον, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, παριστα- A μένων αὐτῷ ἐν φόβῳ καὶ τρόμῳ τῶν ὑπερκοσμίων δυνάμεων, τὸν δὲ ἄρχοντα τοῦ σκότους καὶ τὰ ὑπ' αὐτὸν ἀποστατικὰ πνεύματα, ταρτάρῳ καὶ αἰωνίῳ κολάσει παραδοῦναι σὺν τῷ Ἀντιχρίστῳ.

habentes, quod et ille qui (13) vos genuit, sic credidit. In his profecto spes mea, non solum in præsenti sæculo, sed et in futuro; quando Dominus noster Jesus Christus verus Deus venerit cum immensa gloria judicaturus mundum, et redditurus unicuique secundum opera sua, astantibus illi in timore et tremore superioribus virtutibus, principem vero tenebrarum, et qui sub ipso sunt rebelles spiritus in tartara et sempiternam ultionem traditurus una cum Antichristo.

ΟΡΟΣ ΠΙΣΤΕΩΣ ΟΡΘΟΔΟΞΙΑΣ.

Πιστεύω εἰς Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, μίαν θεότητα, μίαν δύναμιν, μίαν ἐξουσίαν, μίαν θέλησιν, μίαν ἐνέργειαν, τουτέστιν ἕνα Θεὸν ἐν τρισὶ γνωριζομέναις ὑποστάσεσι, νοεραῖς, τελείαις, καθ' αὐτὰς ὀφεστώσαις, ἀριθμῷ διαιρεταῖς, καὶ οὐ διαιρεταῖς θεότητι, ἓν γὰρ ἐν τρισὶ ἡ θεότης, καὶ τὰ τρία ἕν, τὰ ἐν οἷς ἡ θεότης. Ὁμολογῶ δὲ καὶ πιστεύω τὸν ἕνα τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν, πρωαιωνίως μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα ἀχρόνως, καὶ ἀσωμάτως, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς Παρθένου καὶ ἀληθῶς Θεοτόκου, σαρκὶ ἐμψυχομένῃ ψυχῇ λογικῇ καὶ νοερᾷ, γενόμενον ἄνθρωπον κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· τέλειον ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· ἐκ δύο φύσεων καὶ ἐν δυσὶ ταῖς φύσεσι γνωριζομέναις ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως.

DEFINITIO FIDEI CATHOLICÆ.

Ex Lat. versione Viri Cl. Jo. Lamii (14).

Credo in Patrem, et Filium, et Spiritum sanctum, Trinitatem consubstantialem, unam divinitatem, B unam virtutem, unam potentiam, unam voluntatem, unam actionem, hoc est, unum Deum in tribus indicatis (15) personis, intellectualibus, perfectis, secundum seipsas exsistentibus, numero distinctis, sed non distinctis divinitate: una enim in tribus divinitas, et hæc tria unum, in quibus quæcunque sunt, divinitas est. Confiteor vero, et credo unum ex sancta et consubstantiali Trinitate Dominum nostrum Jesum Christum, unigenitum Dei Filium, ante sæcula quidem ex Patre genitum intemporaliter et incorporaliter; ultimis vero diebus propter nos, et propter nostram salutem incarnatum de Spiritu sancto ex Maria virgine et vere Deipara, carne animata anima rationali et intellectuali, et factum hominem per omnia secundum similitu- C dinem, excepto peccato; perfectum in divinitate, et perfectum eumdem in humanitate; consubstantialem Patri secundum divinitatem, et consubstantialem nobis secundum humanitatem: ex duabus naturis, et in duabus naturis indicatis (16), inconfuse, inconvertibiliter, indivisibiliter (17)

ΕΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ ΕΝ ΣΥΝΤΟΜΩ.

Ἐρώτ. Πόσας φύσεις ὁμολογεῖς ἐπὶ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀκτίστου Τριάδος,

Ἀπόκ. Μίαν φύσιν ὁμολογῶ.

Ἐρώτ. Πόσας οὐσίας.

Ἀπόκ. Μίαν οὐσίαν.

Ἐρώτ. Πόσας μορφάς,

Ἀπόκ. Μίαν μορφήν;

Ἐρώτ. Πόσα θελήματα; D

Ἀπόκ. Ἓν θέλημα.

Ἐρώτ. Πόσας ὑποστάσεις, ἢ πρόσωπα;

Ἀπόκ. Τρεῖς ὑποστάσεις ὁμολογῶ, Πατρὸς, Υἱοῦ καὶ Πνεύματος.

Ἐρώτ. Τίς ἐκ τῆς ἁγίας Τριάδος ἐνηνθρώπησεν;

Ἀπόκ. Ὁ Υἱὸς καὶ Λόγος.

Ἐρώτ. Πόσας φύσεις ὁμολογεῖς ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος;

COMPENDIARIA FIDEI EXPOSITIO.

Inter. Quot naturas confiteris in sancta et consubstantiali et increata Trinitate?

Resp. Unam naturam confiteor.

Inter. Quot substantias?

Resp. Unam substantiam.

Inter. Quot formas?

Resp. Unam formam.

Inter. Quot voluntates?

Resp. Unam voluntatem.

Inter. Quot hypostases, seu personas?

Resp. Tres hypostases confiteor, Patris, Filii, et Spiritus sancti.

Inter. Quisnam ex sancta Trinitate homo factus est?

Resp. Filius et Verbum,

Inter. Quot naturas confiteris in Dei Filio, qui propter nos factus est homo

(13) Plausibiliter hinc inferas a parente aliquo pro liberis suis factam hanc collectionem.

(14) *Delic. Erudit. tom. I, pag.* 283. Confer Fabric. l. c.

(15) Γνώρισμα etiam apud Basil. *epist.* XLIII *distinctionem* personarum in Deo, *notionem*, aut *proprietatem* significat. Mox διαιρεταῖς *aliis* verte.

(16) Distinctis.

(17) Hactenus versio Lamii.

Digitized by Google

Resp. Duas naturas confiteor, Dei et hominis.

Inter. Quot substantias

Resp. Duas substantias confiteor, Filium consubstantialem Patri secundum divinitatem, consubstantialem vero nobis secundum humanitatem.

Inter. Quot volustates ?

Resp. Duas voluntates, divinam atque humanam.

Inter. Quot operationes ?

Resp. Duas operationes confiteor.

Inter. Quot hypostases ?

Resp. Unam hypostasin Verbi Dei.

Inter. Quot generationes ?

Resp. Duas generationes confiteor, alteram ante sæcula ex Patre intemporaliter et incorporaliter, tanquam ex sole lucem, emicantem ex Patre.

(16) Cætera desunt : ac lege ἐκλάμψασαν.

A Ἀπόκ. Δύο φύσεις ὁμολογῶ, θεότητος καὶ ἀνθρωπότητος.

Ἐρώτ. Πόσας οὐσίας ;

Ἀπόκ. Δύο οὐσίας ὁμολογῶ, ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα.

Ἐρώτ. Πόσα θελήματα ;

Ἀπόκ. Δύο θελήματα, θεότητος καὶ ἀνθρωπότητος.

Ἐρώτ. Πόσας ἐνεργείας ;

Ἀπόκ. Δύο ἐνεργείας ὁμολογῶ.

Ἐρώτ. Πόσας ὑποστάσεις ;

Ἀπόκ. Μίαν ὑπόστασιν τοῦ Θεοῦ Λόγου.

Ἐρώτ. Πόσας γεννήσεις ;

B Ἀπόκ. Δύο γεννήσεις ὁμολογῶ, τὴν προαιώνιον ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀσωμάτως ἐκλάμψαν ἐκ Πατρὸς, ὡς ἐξ ἡλίου τὸ φῶς (16).

ANNO CONTROVERSO.

PANTALEON

CONSTANTINOPOLITANUS DIACONUS.

NOTITIA.

(Fabric. *Biblioth. Græca* ed. Harles, t. XI, p. 445.)

Pantaleon Græcus, atque magnæ ecclesiæ CPol. diaconus et chartophylax, inde Δατινόφρων atque Dominicanorum ordini se ascribens a. 1252 (*a*), CPoli in ædibus fratrum Prædicatorum composuit libellum, Calecæ a quibusdam perperam tributum *De Græcorum erroribus*, quem Latine vulgavit Petrus Stevartius depromptum ex Bavarica bibliotheca, et sine nomine auctoris edidit in Auctario suo, Ingolstad. 1616, 4, p. 555 ; unde recusum habes in tom. XXVI *Patrum Lugd.* p. 467-471. Pantaleonem esse auctorem, notavit Combefisius Præf. ad Auctarium novissimum, cui quare non assentiar causam nullam video. Unde etiam apparet, falli Margarinum de la Bigne, cui Pantaleo ad sæculum VIII, nec minus Jodocum Coccium, a quo ad a. 850 rejicitur (*b*). Cætera Pantaleonis scripta sunt :

(*a*) Fabricium, qui affirmet, Pantaleonem a. 1252 se ascripsisse Dominicanorum ordini, errare, nec falli Margarinum de la Bigne, aut Iodocum Coccium, a Fabricio culpatos, Bandin. in Cat. codd. Gr. bibl. Laurent. I, pag. 503, auctoritate cod. Laur. 9, plut. II, ineunte sæculo XI conscripti (qui continet Pantaleonis *Narration. maximorum miraculor. SS. archangelorum*, n. 5, ap. Fabr.), et fide alius cod. plutei 4 ejusdem ferme vetustatis, motus affirmat. Idem judicat Mingarell. in Cat. codd. Gr. Nanian. pag. 47, de cod. 58, qui partem *Orat. in exaltation. S. Crucis* continet, et sæc. IX exaratus est. — De Pantaleone, conf. Cav. diss. 1, ad *Hist. litter. SS. eccl.* vol. II, pag. 159, ed Basil. cui ætas Pantal. parum certa est, et Oudin. in *Comm. de SS. eccl.* tom. III, p. 229, sq. ad a. 1250. Mingarell. in Ind. ad Cat. codd. Gr. Nan. Pantaleonem *presbyterum monasterii Byzantinor.* (uti diserte vocatur in cod. Nan. 73 n. 13 · 154, n. 54, C et alibi), a Pantaleone *diacono*, (uti dicitur in cod. Nan. 63, 30, et aliis), ut alii quoque fecerunt, distinguit. Sed Oudin. l. c. p. 230, cum Franc. Combefisio in *Apparatu*, s. auctoribus recensitis ante *Bibl. SS. Patrum concionatorium*, voc. *Pantaleon*, secus sentit, arbitrans, ab eodem Pantaleone partim presbytero, partim diacono, alias atque alias orationes et homilias fuisse conscriptas. Harl.

(*b*) Alius junior Pantaleon Ligarides, sive Ligaridus, Græcus et ipse, cujus epistolam ad Allatium citat Nic. Comnenus p. 244, prænot. *Mystagog.* ubi virum doctum et orthodoxum vocat ; licet pag. 246, non admodum æquum Latinis. Ejus Apologia pro Arcudio adversus Barlaamum prodiit Rom. 1657, 4. Alius Pantaleo, logotheta, ad quem Theodori Studitæ Epistolæ. Fabr. *V.* Montfauc. *Bibl. Coislin.* pag. 323 et 325. — Pantaleon Nicomed. Martyr. *V.* supra vol. X, p. 303, ejus certamen in cod. Mediolan. bibl. Ambros. *V.* Montfauc. *Bibl.*

Digitized by Google

2. Homilia Εἰς τὰ ἅγια φῶτα, *In sacra lumina*, incipit : Τὴν τῆς πανηγύρεως χάριν; exstat Græce et Latine in Micropresbyt'eo, p. 587, Basil. 1550, fol., et in Orthodoxographis utrisque a. 1555 et 1569, et in Auctario Ducæano *Bibl. Patrum*, tomo II, Paris. 1624, et in *Bibl. Patrum Morelliana*, tom. XII, atque Latine in cæteris Bibl. Patrum editionibus. [Conf. bibl. Leidens. Catal. p. 62, de edit. HARL.]

3. *In exaltationem S. Crucis*, incipit : Πάλιν ὑψοῦται σταυρὸς, πάλιν ἡ κτίσις ἀγάλλεται. Græce et Latine ex tribus codd. edita a Gretsero tom. II, *De Cruce*, pag. 1233, et not. pag. 2717, Ingolstad. 1616 fol.; et Latine in *Bibl. concionatoria* Combefisii, atque in *Bibl. Patrum*, tom. XII, edit. Lugd. p. 747. Græce obvia etiam hæc homilia in tomo VII, Chrysostomi editionis Savilianæ p. 661 ; Etonæ 1612, fol. FABR. V. supra, vol. VIII, p. 512 et vol. X, p. 247 mss. ; Venetiis in cod. Nanian. 38 ; pars tantum orat. in codd. 73, n. 13, et 104, n. 54. V. Cat. codd. Gr. Nan. p. 47, 149, et 315. — Taurin. in codd. 135, fol. 28. V. Cat. codd. Taur. Gr. p. 231. — Florent. in bibl. Laurent. cod. 4, n. 7, plut. 4. V. Bandin. Cat. codd. Gr. Laur. I, p. 520. — Vindobon. in cod. Cæs. 40, n. 3. V. Lambec. VIII, p. 822. — Secundum Cat. mss. Angliæ etc. vol. I, Oxon. in bibl. Bodlei, n. 294, cod. Oliv. Cromwel. 115, n. 28, *De inventione crucis* sub Constantino et Helena, Augustis ; — n. 2500, in codd. Bodl. *In exaltat. S. Crucis*, — n. 3383, in cod. Selden. 53, 9. *Laudatio S. Crucis.* — Mosquæ in cod. synod. 271, n. 3, V. Matthæi not. codd. Gr. Mosq. p. 169. Paris. in quatuor codd. bibl. publ. HARL.

4. *In transfigurationem Jesu Christi* homiliæ duæ. Prior incipit : Οἱ μὲν εὖ εἰδότες ἀῤλεῖν, altera : Αὐγὴ μὲν ἐωθινοῦ φωτὸς προηγούμενοι. Utramque Græce et Latine primus vulgavit Combefisius in Auctario novo *Bibl. Patrum* tom. I, p. 1760, 1768, Paris. 1648, fol. Deinde Latine ex versione Combefisiana, tom. XII, *Bibl. Patrum* Lugd. p. 748, 749. Posteriorem, quam elegantiorem Combefisius et fortasse alterius scriptoris esse judicat, mss. quædam tribuunt Cyrillo. FABR. Paris. in Bibl. publ. cod. 1197, n. 8, utraque oratio. — In cod. Mazar. 73, tribuitur altera Cyrillo Alexandr. V. Montfauc. *Bibl. biblioth.* mss. p. 1317 *A*. HARL.

5. Pantaleonis, diaconi et chartophylacis magnæ ecclesiæ *Narratio de miraculis sancti Michaelis*, latine edita a Lipomanno et Surio 29 Sept. Græce exstat in variis Bibliothecis, et citatur a Meursio, Cangioque in glossariis, meminit et Allatius, *De Simeonibus* [p. 99, et 103]. Incipit : Μεγάλαι τε καὶ πολλαὶ καὶ ποικίλαι καὶ τῆς ἀσωμάτου. FABR. *V.* supra vol. X, p. 199, et de alia, p. 200. Allat. *De Simeon. scriptis*, p. 103, cit. aliam, ἐγκώμιον εἰς τὸν — Μιχαὴλ. inc. Ὁ τῶν ἁγίων πνευμάτων Κύριος· et Gr. exstat in cod. Gr. Paris. 800, notante Oudin. l. c. p. 230 ; ex Phil. Labbei, *Bibl. Nova mss.* ex Regiis mss. part. I, p. 75 : s. secund. Cat. mss. Paris. vol. II, in cod. 274, 2, ac Mosquæ in cod. 202, 1. (*V.* Matthæi Notit. cit. p. 127.) It. Florent. in bibl. Laurent. cod. 21 plut. 9, n. 4 ; sed incip. Ὁ τῶν ἀῤλων πνευμάτων Κύριος. (Latine ap. Lipomanum et Surium d. 29, Sept.), n. 5 autem altera, cujus init. Μεγάλαι καὶ πολλαὶ καὶ ποικίλαι· quæ etiam exstat ibid. in cod. 9, n. 9, plut. 11 ; et in cod. 4, n. 12, plut. 4. *V.* Bandin. Cat. codd. Gr. Laur. I, p. 425, 503, ac 520. — Taurini, in cod. Reg. 70, fol. 240. *V.* Cat. codd. Gr. Taur. p. 166. — Romæ, in *Bibl. Patrum S. Basilii*, cod. 10, *De miraculis archangelorum*. *V.* Montfauc. Diar. Ital. p. 213, et *Bibl. biblioth. mss.* p. 195 *D*, et p. 700, *E*. In cod. bibl. Sfortianæ, *De mirac. Michaelis.* — Paris. in septem codd. bibl. publ. et in cod. 1519, n. 9. Pantal. *Historia miraculorum Gabrielis archangeli*, opera patratorum. — Mosquæ in cod. synod. 171, n. 8. *V.* Matthæi, Not. cit. p. 103. HARL.

6. *Orationes sive homiliæ panegyricæ per totum annum* in 12 mensium dies Dominicos et festos mss. fuerunt CPoli apud Jacobum Marmoretum, principem, ut ex ejus Catalogo mss. apud Possevinum appendice ad *Apparatum*, p. 48, jam notavit Caveus. FABRIC. Sermones, Romæ in bibl. Vatic. *V.* Montfauc. *Bibl. biblioth. mss.* p. 154. *C*. HARL.

biblioth. mss., p. 502 *E*. — Florent. in bibl. monasterii Annuntiatæ. *V.* Montfauc. *Diarium Ital.* p. 372. — Pantal. Vercelleus, medicus. *V.* infra in *Elencho medic. Vett.* vol. XIII, p. 357. — Henricus Pantal. Basileensis, theologus, medicus et historicus, nat. 1522, mortuus 1595 ; de quo plura scripsit Saxius in *Onom. lit.* part. III, p. 260 seq. Duo errores, ab eo in opere *De illustribus viris Germaniæ* commissos notat Lambec. Comment. p. 67, § 35 et p. 80, § 40 HARE.

NOTITIA ALTERA.

(COMBEF. *Biblioth. Concionat.* t. I, p. 33.)

Pantaleon Presbyter Monasterii Byzantinorum, quem Margarinus et Colon. ponunt VII sæculo, Coccius an. 850, mihi incertæ ætatis, scripsit Sermonem in festum Exaltationis sanctæ crucis, quem Gretz. primus edidit, ex quo et repræsento ad eum diem. Isne idem Pantaleon diaconus et chartophylax Magnæ ecclesiæ, cujus varii Sermones partim mihi, partim aliis editi, partimque non editi? Ita velle videntur Gretz., Possevinus, Margar. et alii. Mihi ipse non facile persuadeam. Proclive nimis, duos ejus nominis

Digitized by Google

CP. vixisse, sic officiis et rationibus distinctos. Diaconi exstant, in sancta lumina (id est, de Christo Domino et Joanne, in festo Epiphaniorum), in Dominicam Transfigurationem, Sermones duo, quos primum produxi in Auctario ex Reg. cod.; sed postea adverti in codice Em. card. Maz. alterum tribui Cyrillo, jamque stylo non satis convenire, alterumque altero elegantiorem monueram. Laudatio sancti Michaelis Archangeli, apud Lipomanum et Surium, cui et narratio de miraculis ejusdem annectitur. Ait Possevinus, exstare illius CP. festivos Sermones ac Homilias in dies festos et Dominicas totius anni: penes quem fides. Leo Allatius nulla alia quam quæ recensui (imo nec omnia) in Romanis codicibus invenit.

ORATIONES.

I.

Pantaleontis magnæ Dei Ecclesiæ Diaconi, de luminibus sanctis (id est, de Domino Christo et sancto Joanne ejus præcursore) Sermo.

A'.

Παντελέοντος διακόνου τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, λόγος εἰς τὰ ἅγια φῶτα.

(DUCÆUS *Supplem. ad bibliothecam Patrum.* t. II, p. 442.)

Quæ festi hujus est gratia, nihil puto sermonis eam splendore indigere. Omni quippe orationis elegantia quæ in præsentiarum tractamus pulchriora sunt, nec sermo ullus tam venustus atque nostra hæc per se est panegyris. Quid etenim possit præsente nostra solemnitate esse splendidius, ad quam et cœlestia ad celebrandum regna conveniunt, ad quæ regis desuper animus quoque accessit, in qua et terricolarum rex, abscondito diademate cum populo conversatur; imo qui dominus est universi, Christus ad captivum ducendum Satanam delapsus, tecta per humanam speciem divinitatis suæ majestate, cum populo Judaico cohabitat, et baptismi se usui submittit, cum ipse sit baptizantis baptisma? Et fit, sicut foris apparet, hominum unus. Regum est secutus consuetudinem, qui dum prædæ insidiantur, deposita regia majestate, militari se habitu amiciunt; sic universi quoque rex Christus ad venandum Satanam accedens, et ad conflictum feram incitans, abscondita quæ a congressu bestiam deterreret, divinitate sua (haud enim si quidem cognovisset, accessisset) infirmam ostendit humanitatis naturam, per quam quasi cum imbecillo et captu facili congressura, in laqueum incideret. Sed hoc dissimulandi studium haud Joannem latuit, Spiritus ei gratia absconditam in carne divinitatem monstrante. Vide igitur qualiter ad eum exclamet: « Mihi, inquit, opus est ut a te baptizer, et tu venis ad me [1]? » Etsi, inquit, hos lateas, mihi tamen factus es cognitus, novi tuam, o Domine, dissimulationem: cognosco qui intra te absconditus est, quoniam tuam cognovi majestatem, dum in utero adhuc matris gestarer. Magnum mihi foret solvere corrigiam calceamentorum tuorum, et tu mandas ut dexteram meam capiti tuo admoveam? Tui ego veni adventus præco, non carnis tuæ, quæ sine labe et macula est, sanctificator. Non ego ex iis sum qui tuam

[1] Matth. III, 14.

Τὴν τῆς πανηγύρεως χάριν, τῆς ἀπὸ τῶν λόγων ὁρῶ μὴ δεομένην λαμπρότητος. Παντὸς γὰρ κάλλους λόγων τὰ παρόντα καλλίω, καὶ λόγος οὐδεὶς οὕτως ὡραῖος, ὡς αὐτὴ καθ' ἑαυτὴν ἡ πανήγυρις. Τί γὰρ ἂν εἴη τῆς παρούσης ἑορτῆς ὡραιότερον; Εἰς ἣν καὶ τὰ τῶν οὐρανῶν, καὶ τὰ τῆς γῆς ἑορτάζουσι βασίλεια; Εἰς ἣν καὶ ἄνωθεν βασιλέως θυμὸς ἐπεδήμησεν; εἰς ἣν καὶ τῶν ἐπιγείων ὁ βασιλεὺς, τὸ διάδημα κρύψας, συναναστρέφεται δήμοις, καὶ ὁ τῶν ὅλων δεσπότης Χριστὸς εἰς θήραν τοῦ διαβόλου παραγενόμενος, καὶ τὸ τῆς θεότητος ἐν ἀνθρωπείᾳ μορφῇ σκεπάσας ἀξίωμα, τοῖς τῶν Ἰουδαίων συναυλίζεται δήμοις, καὶ τὴν τοῦ βαπτίσματος ὑποκρίνεται χρείαν, αὐτὸς ὢν τοῦ βαπτίζοντος βάπτισμα· καὶ γίνεται, κατὰ τὸ φαινόμενον, τῶν ἀνθρώπων εἷς. Καὶ γὰρ βασιλεῦσιν ἑπόμενος, ἡνίκα ἂν εἰς θήραν ἀπίωσιν, ἀντὶ τῆς βασιλικῆς ἀξίας στρατιωτικὸν περιτίθεσθαι σχῆμα. Οὕτω καὶ ὁ τῶν ὅλων βασιλεὺς Χριστὸς, εἰς θήραν τοῦ διαβόλου παραγενόμενος, καὶ τὸ θηρίον πρὸς συμβολὴν ἐρεθίζων, κρύψας τὴν ἀπρόσιτον τῷ θηρίῳ θεότητα (οὐ γὰρ ἂν εἶπερ ἔγνω, προσῆλθε), τὴν εὐχείρωτον δείκνυσι τῆς ἀνθρωπότητος φύσιν, ἵν' ὡς εὐλήπτῳ προσελθὼν περιπέσῃ τῇ θήρᾳ. Ἀλλ' ἡ τῆς προσποιήσεως τὸν Ἰωάννην οὐ διέλαθε τέχνη, τῆς τοῦ Πνεύματος χάριτος αὐτῷ τὴν κεκρυμμένην ἐν τῇ σαρκὶ δειξάσης θεότητα. Ὅρα γοῦν οἷα πρὸς αὐτὸν ἀναβοᾷ· « Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; » Κἂν τούτους λανθάνῃς, ἐμοὶ, φησὶ, γέγονας γνώριμος, οἶδά σου τὴν προσποίησιν, Δέσποτα. Γνωρίζω τὸν ἔνδον κεκρυμμένον, ἔγνων σου τὴν ἀξίαν ἐν μήτρᾳ βασταζόμενος ἔτι, μέγα μοι καὶ τὸ λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων τῶν σῶν· σὺ δὲ καὶ τῇ κεφαλῇ προσάγειν τὴν δεξιὰν ἐπιτάττεις. τῆς σῆς ἦλθον παρουσίας ἑτοιμαστὴς, οὐχ ἁγιαστὴς τῆς ἀναμαρτήτου σαρκός. Οὐκ εἰμὶ τῶν τὴν σὴν ἀγνοούντων ἀξίαν· ἐκ τῆς μητρῴας γαστρός σε μέλλουσαν τίκτειν θεασάμενος, ἐκραζον· « Πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; »

Digitized by Google

Ἀμνὸς παραγέγονας αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· κἀγὼ τὴν σὴν μετὰ τοῦ κόσμου δωρεὰν ἀναμένων. Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Πρὸς τὸν πηλὸν ὁ χρυσός; πρὸς τὸν λύχνον ὁ ἥλιος; πρὸς τὸν σπινθῆρα τὸ φῶς, ἡ πηγὴ πρὸς τὸν πιεῖν ἐπειγόμενον; πρὸς τὸν ἐκ σπέρματος, ὁ ἐκ Παρθένου τεχθείς; ἀρκεῖ μοι τὸ καλεῖσθαί σου πρόδρομον, προσκυνῶ τὴν εἰς τοῦτο διακονίαν. Τί οὖν καὶ νίπτειν βιάζῃ τῆς δικαιοσύνης ὁ ἥλιος; τί οὖν ὁ Δεσπότης Χριστός; « Ἄφες ἄρτι. Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. » Ἄφες ἄρτι, ἐπιεικείας μοι νῦν, οὐ δοξολογίας ὁ καιρὸς, ἀνθρωπίνης πολιτείας, οὐ Δεσποτικῆς αὐθεντίας. Παρεγενόμην γὰρ δι' ὑμᾶς Ἰωάννη, ἐτέχθην ἐκ γαστρὸς ἀνθρωπίνης· γαλακτοτροφίας μετέσχον· ηὐξήθην κατὰ σώματος νόμον· τὴν τῶν νομίμων φυλακὴν ἀπεπλήρωσα. Οὐδέν μοι τῶν τῆς ἀνθρωπίνης φύσεως παρελείφθη πολιτευμάτων. Δέξομαι καὶ νῦν ὡς ἄνθρωπος βάπτισμα. Πραχθήτω πάντα παρ' ἐμοῦ τὰ τῆς τοῦ σώματος ἀκόλουθα φύσεως. μὴ μάθῃ δι' ὧν λέγῃ ὁ διάβολος τὴν κεκρυμμένην μου θεότητα, μὴ φοβηθεὶς τὸ μυστήριον, καὶ φύγῃ τὴν πρὸς ἐμὲ συμβολὴν, καὶ κερδάνῃ δραπετεύουσαν τὴν ἥτταν. Ἄφες ἄρτι· ὄψει μου μικρὸν ὕστερον, Ἰωάννη, τὴν δόξαν. Ὄψει με τῆς τῶν δαιμόνων νικητὴν παρατάξεως· ὄψει τὴν τοῦ ᾅδου παρ' ἐμοῦ σκυλευομένην βασιλείαν. Ὄψει με ἀγγέλων οὐρανίων δοξαζομένων δήμοις· ὄψει με τῆς οἰκουμένης κριτὴν προκαθήμενον· ὄψει με παρὰ παντὸς λατρευόμενον ἔθνους· ὄψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων πρὸς τὴν ἐμὴν συγκεκυφὸς προσκύνησιν. « Ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. » Τούτων πρὸς τὸν Ἰωάννην παρὰ Χριστοῦ λαλουμένων, καὶ πρὸς αὐτὸν παρ' ἐκείνου, οἱ τῶν Ἰουδαίων ἀκροαταὶ παρεστήκεισαν δῆμοι, καὶ καθ' ἑαυτοὺς σιωπῇ διηπόρουν. Θαυμαστὸν τὸ γινόμενον, ἐκπλήξεως τὸ φαινόμενον ἄξιον· ὁ Φαρισαίους βαπτίζων, παρὰ τούτου βαπτισθῆναι παρακαλεῖ· ὁ Σαδδουκαίοις φρικτὸς, πρὸς τὴν τούτου νῦν ἕστηκε συγκεκυφὼς θεωρίαν. Ὁ νηστευτὴς παρὰ τοῦ μὴ νηστεύοντος ζητεῖ εὐλογίας. Ὁ τριχίνῃ κεχρημένος ἐσθῆτι, τῆς παρὰ τοῦ μηδὲν τοιοῦτον ἐπιφερομένου ἱκέτης καθάρσεως. Ὁ τοῖς τῶν μελισσῶν κατὰ τὴν ἔρημον πόνοις καὶ τοῖς τῶν βοτανῶν συντρεφόμενος ἐκ βρέφους ἀκρίσμασι· τὴν τούτου νῦν ὡς ἁγιωτέραν δειλιᾷ πολιτείαν. Ποῖαν ἄρα τῆς τούτου πρὸς τοῦτον ὑπεροχῆς τὸ διάφορον; τίς ἄρα ψῆφος τῷ Θεῷ περὶ τούτου, μεταξὺ τῆς τοιαύτης ἀπορίας ἐξ οὐρανῶν διαβοᾶται φωνή. Ζητεῖτε, φησὶ, καθ' ἑαυτοὺς τοῦ βαπτιζομένου τὴν δύναμιν, μάθετε τοῦ ζητουμένου παρ' ὑμῖν τὴν οὐσίαν, γνῶτε Ἰωάννου καὶ τούτου πηλίκον τὸ διάφορον. « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. » Ἐντεῦθεν Ἰωάννης, οὐ κατὰ τὸν ναὸν ποιεῖται τὸ βάπτισμα, οὐ κατ' οἶκον, ὡς ἑκάστῳ βαπτίζοντι σύνηθες· ἀλλ' ἐν ἐρημίᾳ καὶ ὑπαίθρῳ ποταμῷ, ἵνα πάντες ἀκούοντες ἐκ τῆς ἐξ οὐρανῶν κατὰ τὸν ἀέρα φωνῆς, τὸν παρ-

ignorant eminentiam: nam ex materno utero qua parente esses nasciturus, conspicatus exclamavi: « Unde hoc mihi ut veniat Mater Domini mei ad me[2]? » Agnus tu accessisti, qui tollas noxam mundi. Et ego una cum mundo tuum exspectans donum, opus habeo ut a te baptizer; tu vero ad me venis, ad lutum, aurum? ad lychnum, sol? ad scintillam, fax? Fons ad sitientem? ad natum ex semine, qui ex Virgine natus est? Satis est mihi tuum me vocari præcursorem, ob quod sane ipsum adoro ministerium. Quid igitur ad lavandum se quoque compellit justitiæ Sol? Quid ergo Dominus Christus? « Omitte nunc, inquit, sic enim decet nos, ut compleamus omnem justitiam[3]. » Omitte nunc, mansuetudinis mihi nunc, non glorificationis tempus est, humano vivendi more, non imperiali potestate. Adveni enim propter vos, o Joannes, natus ex utero humano, lacte nutritus, pro corporis lege auctus, statutorum observantiam exsecutus sum. Nulla mihi humanæ conditionis prætermissa civilitas est: quare nunc quoque ceu homo baptisma suscipio. Perage ea mecum omnia quæ corporis naturæ conveniunt. Ne discat, per quæ dicat diabolus absconditam meam divinitatem, ne mysterium metuens, congressum meum fugiat, atque aversam a se stragem lucretur. Omitte nunc, videbis meam paulo post, o Joannes, gloriam; videbis me dæmoniacæ phalangis victorem; videbis Satanæ a me regnum exspoliatum; videbis me ab angelica cœlesti turba laudibus celebrari; videbis me terrestris orbis judicem præsidentem; videbis me ab omnibus coli gentibus; videbis omne genu cœlestium, terrestrium et infernorum ad adorandum me flecti. « Omitte nunc, sic enim nos decet ut compleamus omnem justitiam. » Hæc Christo et Joanne inter se colloquentibus, Judæorum audientium astitit turba, qui attoniti de facto hoc admirabili dubitabant. Stupore videbatur dignum. Qui enim Pharisæos baptizabat, ab hoc rogat baptizari; qui Sadducæis erat formidabilis, ad illius nunc aspectum assurgit, flectens genua; jejunio clarus, ab eo qui non jejunavit, benedictionem quærit; qui veste ex pilis contexta erat tectus, ab eo qui ejusmodi nihil secum affert, purgationem supplex petit; qui apum in deserto laboribus et herbarum radicibus ac locustis a puero nutritus, hujus nunc tanquam sanctiorem constitutionem formidat. Quod ergo excellentiæ inter illos discrimen est? quale de illo Deus fert suffragium? Interea dum omnes sic stupore sunt correpti, e cœlis ebuccinantis auditur vox: Inquirite, inquit, apud se quisque, baptizati virtutem, discite potentiam ejus, qui apud vos essentiam quæsivit. Cognoscite quantum sit inter Joannem et hunc discrimen. « Hic est Filius meus dilectus, in quo mihi bene complacitum est[4]. » Hinc quoque Joannes non in templo baptizat, nec in domo

[2] Luc. I, 43. [3] Matth. III, 15. [4] Matth. III, 17.

Digitized by Google

aliqua, quemadmodum aliorum unusquisque consuevit; sed apud desertum et dio expositum flumen, quo audientes omnes ex cœlesti illa per aerem audita voce præsentem hunc discerent : magnum videlicet magnæ illius panegyris choragum, Dominum dominantium, et Regem regum ac humanitatis omnis fontem. Jugum enim tuum suave est, o Rex humanissime, et onus tuum leve, ut deceat quoque hæc ad nos Domini verba exclamare : « Tollite jugum meum super vos, jugum enim meum suave est, et onus meum leve est ; discite a me, quoniam mitis sum [8]. » Nec constitutionum onere nos gravat, non jugo opprimimur, non metu torquemur. Verum timuimus quidem, at liberi nunc a metu, non veluti sontes et damnati servitutis jugum toleramus ; sed voluptati magis quam oneri nobis est. Sis igitur nobis multiplicatos servatus in annos ; diuturnitatis longitudini tu superaddas ; fias senex ; tu populum quem sortitus es, dirigas. Dicat ad te quoque Deus : Regnum eorum qui ex te nascentur, propagando, augebo te vehementer nimis, et ponam te in gentes, et reges ex te prodibunt. In Christo Jesu Domino nostro, cui sit omnis gloria, honor et veneratio nunc et semper, et in sæcula sæculorum. Amen.

A

B

ὀντα διδάσκωνται. Μεγάλης ἄρα μέγαν χορευτὴν πανηγύρεως, Δεσπότην δεσποτικῆς, βασιλικῆς Βασιλέα, φιλανθρώπου φιλάνθρωπον. Ὁ γὰρ ζυγός σου χρηστὸς, ὦ φιλάνθρωπε Βασιλεῦ· καὶ τὸ φορτίον σου ἐλαφρὸν, ὡς πρέπειν πρὸς ἡμᾶς καί σοι τὰ τοῦ Δεσπότου βοᾷν· « Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι. » Καὶ οὐ βαρεῖ τῷ προστάγματι, οὐ ζυγῷ δαμαζόμεθα, οὐχ ὑπερόγκῳ κατακλώμεθα φόβῳ, ἀλλὰ δεδοίκαμεν μὲν, ἐλευθέρων δὲ φόβῳ, οὐ καταδίκων, ἔλκομεν τὸν τῆς δουλείας ζυγὸν, ἀλλ' ἡδόμενοι μᾶλλον ἢ βαρυνόμενοι. Εἶης τοίνυν ἡμῖν πολυελίκτοις σωζόμενος ἔτεσιν· ἐπιδοίης πρὸς μῆκος πολυετίας. Γένοιο πρεσβύτης· ὃν ἐπιστεύθης λαὸν ἡνιοχοίης. Εἶποι καὶ πρὸς σὲ ὁ Θεὸς, τὴν τῶν ἐκ σοῦ τικτομένων βασιλείαν κηρύττων, Αὐξανῶ σε σφόδρα σφοδρῶς, καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

II.

Pantaleonis sanctæ Dei Magnæ ecclesiæ diaconi, in gloriosissimam Domini ac Dei et Salvatoris nostri Jesu Christi Transfigurationem Oratio I.

Β'.

Παντελέοντος διακόνου τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας· εἰς τὴν ὑπερένδοξον Μεταμόρφωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Λόγος Α'.

Ii quidem, qui probe ad certamen comparati exsistunt, spectatorum delectantur plausibus, speque præmiorum ad congruam ipsis victoriam animis acuuntur : sed et ii, qui Dei dona consequi cupiunt, quique spei sanctis quæsitæ participationem sitiunt, avide, pietatis ergo in Christum, certamina amplexantur, emerenturque probatam vitam ; non ignaviam absque mercede præferunt ; necve effeminatam diligunt timiditatem : quin, virili pectore, tentationem omnem, ac persecutionum incursus, parvi plane pendunt ; divitiasque reputant, ut pro ea quid patiantur. Meminerunt enim beati Pauli in hæc verba scribentis : « Non sunt condignæ passiones hujus temporis, ad futuram gloriam quæ revelabitur in nobis [9]. » Vide igitur, quibus et modo, provide admodum, usus sit ad sanctorum apostolorum commodum atque ædificationem, Dominus Jesus Christus. Dixerat siquidem ad eos : « Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam quotidie, et sequatur me. Qui enim voluerit animam suam salvam facere, perdet eam : qui autem perdiderit animam suam propter me, salvam faciet illam [7]. » Salubris ea quidem admonitio, ac sanctis congrua ; quæque supernam conciliet gloriam, ac requiem jucundam præstet. Non enim vacat mercede, ut quis pro Christo pati eligat : adeoque æternæ gloriæ participes efficit. Cæterum cum necdum discipuli « virtutem ex alto accepissent [8], »

C

D

Οἱ μὲν εὖ εἰδότες ἀθλεῖν, τοῖς τῶν θεωμένων ἐφήδονται κρότοις· καὶ ταῖς τῶν βραβείων ἐλπίσιν ἀκονοῦνται πρὸς τὴν αὐτοῖς πρέπουσαν νίκην· οἱ δέ γε τῶν θείων χαρισμάτων ἐπιτυχεῖν ζηλοῦντες, καὶ τῆς τοῖς ἁγίοις εὐτρεπισμένης ἐλπίδος διψῶντες τὴν μέθεξιν, τοὺς ὑπὲρ τῆς εἰς Χριστὸν εὐσεβείας ἀγῶνας, προσίενται μὲν ἀσμένως· τὴν εὐδόκιμον δὲ κατορθοῦσι ζωὴν, οὐ τὸν ἄμισθον προτιμῶντες ὄκνον, οὔτε μὴν τὴν ἀνανδρον ἀγαπῶντες δειλίαν· κατανδριζόμενοι δὲ μᾶλλον παντὸς πειρασμοῦ, καὶ τὰς τῶν διωγμῶν ἐφόδους ὀλίγου παντελῶς ἀξιοῦντες λόγου, καὶ πλοῦτον ἡγούμενοι τὸ παθεῖν ὑπὲρ αὐτοῦ. Διαμέμνηνται γὰρ τοῦ μακαρίου γράφοντος Παύλου· ὅτι « Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· » Ἄθρει τοιγαροῦν δι' οὓς, οἰκονομίᾳ παγκαλεῖ κεχρημένον καὶ νῦν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς ὄνησιν καὶ οἰκοδομὴν τῶν ἁγίων ἀποστόλων. Ἔφη μὲν γὰρ πρὸς αὐτούς· « Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ θέλει τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· Ὃς δ' ἂν ἀπολέσει τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. » Καὶ σωτήριον μὲν τὸ παράγγελμα· καὶ πρέπον ἁγίοις· καὶ τῆς ἀνωτάτω πρόξενον δόξης, καὶ τῆς εἰς λῆξιν θυμιδίας ἐμποιητικόν. Τὸ γὰρ τὸ παθεῖν ἐλέσθαι διὰ Χριστὸν, οὐκ ἄμισθον· μᾶλλον δὲ τῆς αἰωνίου δόξης περιποιεῖ τὴν μέθεξιν. Πλὴν οὕπω « τὴν ἐξ ὕψους

[8] Matth. xi, 29, 30. [9] Rom. viii, 18. [7] Luc. ix, 23-25. [8] Lu

Digitized by Google

δύναμιν ἐσχηκότας » τοὺς μαθητὰς, εἰκὸς ἦν τάχα A par forte erat ut etiam aliquid humanæ imbecillitatis incurrerent, atque ejusmodi quidpiam ipsi apud se cogitantes, dicerent. Quo se modo quis abnegaverit? Aut quomodo animam suam perdendo, iterum eam inventurus est? Quid vero hocce passis, æqualis ad præmium erit muneris? Ut ergo tales eorum et cogitationes et verba compescat, velutque æneos ad virile robur transferat, dandæ ipsis gloriæ cupiditatem, animis eorum ingenerans : « Dico vobis, inquit, sunt aliqui hic stantes, qui non gustabunt mortem donec videant regnum Dei [9]. » Ergone, inquit, usque adeo producenda illis est vitæ mensura, ut et ad ea deveniant tempora, quando in consummatione sæculorum, de cœlo descendens, paratum sanctis regnum repositurus est? Plane et hoc illi pervium erat : nam potest omnia; nec aliquid est, quod potentissimo nutu conficere nequeat [10]. Verum, regnum Dei, ipsam dicit gloriæ visionem, in qua et ipse per id tempus aspectandus erat, cum iis illuxisset, qui essent in terra. « Est enim venturus in gloria Dei et Patris [11]; » non jam amplius in vilitate nobis propria. Quo igitur modo spectatores facit miraculi eos, ad quos promissio facta erat? « Ascendit in montem [12], » tres ex illis præcipuos secum habens; ac tum in eximium quemdam ac supra hominem splendorem transformatur; ut etiam vestimenta ejus luminis appulsu lucere viderentur : sicque « Moyses et Elias astantes cum Jesu, invicem conferebant; dicentes exitum ejus, quem, inquit, completurus erat in Jerusalem [13]. » Hoc est, dispensationis in carne sacramentum, salubremque in pretiosa Cruce passionem Sane enim præmonstravit Christi sacramentum, tum lex per Mosen data, tum sanctorum prophetarum sermo : illa quidem, velut fere in tabella in figuris umbrisque depingens : hi autem, multis modis fore prænuntiantes, ut quandoque in humana visibilis specie appareret, nec pro omnium salute et vita in ligno crucis mori detrectaret. Illa ergo Mosis Eliæque præsentia, mutuaque fabulatio, dispensatio quædam erat : id apertius significans; nimirum muniri Dominum Jesum Christum, lege ac prophetis; velut quibus olim legis Dominus et prophetarum, designatus esset, per ea quæ utraque invicem consona in eum prædixissent. Nec enim a legis scitis prophetarum dissident oracula. Hocque significatum arbitror, quod sacratissimus Moses, Eliasque prophetarum præclarissimus, invicem colloquerentur. Potest etiam aliud quidpiam intelligi. Quoniam enim turbæ dicebant, hi quidem Eliam esse; illi Jeremiam [14]; alii unum ex prophetis : idcirco apostolici ordinis capita, summosque principes ducit, ut inde noverint quid inter servos dominumque intersit. Ad hæc quoque aliam rationem nobis afferre licet. Quia

Βλέπει δὲ τὴν ὑπ' αὐτοῦ πρώην ἡπατημένην τῷ ξύλῳ τῆς ζωῆς ἐντρυφῶσαν, αὐτὸς δὲ ἐναπομείνας τῇ προτέρᾳ κατάρᾳ βλέπει μηδὲ τῆς πτέρνης [s] ἐξουσιάζων, αὐτὸς ἁπάσας συνθλώμενος τὰς κεφαλὰς τῷ σταυρῷ, θεωρεῖ παρεστῶσαν ἐκ δεξιῶν ὡς βασίλισσαν τὴν πρώην κατάκριτον, καὶ φύλλα συκῆς τὴν γύμνωσιν σκέπουσαν, « Ἐν ἱματισμῷ νῦν διαχρύσῳ περιβεβλημένην, πεποικιλμένην, » καὶ τὴν οἰκείαν ἀκοσμίαν θρηνεῖ. Βλέπει τῷ βασιλικῷ σκήπτρῳ στηριζομένην, καὶ πρὸς αὐτὸν ὑψουμένην τὸν οὐρανὸν, καὶ τὴν ἑαυτοῦ πτῶσιν ὀδύρεται, βλέπει συγκαλοῦσαν τὰ τέκνα μετὰ ὑψηλοῦ κηρύγματος εἰς προσκύνησιν τοῦ σταυροῦ καὶ τὴν ὑπακοὴν [h] φρίσσει, καὶ τὴν προθυμίαν θαυμάζει [i], καὶ τὸ πλῆθος ἐκπλήττεται, « Καὶ γὰρ ἰδοὺ Πάρθοι, καὶ Μῆδοι, καὶ Ἐλαμῖται κατὰ τὸ γεγραμμένον ἐν ταῖς Πράξεσι, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον [j] καὶ Ἀσίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, Κρῆτες, Ἄραβες, καὶ Ἰνδοὶ, καὶ πάντες οἱ λοιποὶ τῶν ἐθνῶν ὅσους ὁ ἥλιος ἐφορᾷ τὴν αὐτοῦ καταλιπόντες ἀπάτην τῷ ἐσταυρωμένῳ μετὰ τοῦ προφήτου βοῶσι, « Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. » Ταῦτα καὶ Ἡσαΐας προθεωρῶν, « Ἀρεῖ σημεῖον ἐπὶ τὰ ἔθνη, « μεγάλῃ κέκραγε τῇ φωνῇ » καὶ ἐπισυνάξει τοὺς ἀπολλυμένους [k], καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς, καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνοῦ, καὶ πάρδαλις ἐρίφῳ συναναπαύσεται, » καὶ μοσχάριον, καὶ λέων, καὶ ταῦρος ἅμα βοσκηθήσονται [l] κατὰ τὸν πολυανθῆ τῆς Ἐκκλησίας λειμῶνα [m], κατὰ τὸν πνευματικὸν ὄντως καὶ νοερὸν παράδεισον [n], οὗ δάκνων ὄφις καὶ συρίζων οὐκ ἔστι, οὐκ Εὔα παραλαλουμένη καὶ παραλαλοῦσα τὸν ἄνδρα καὶ πείθουσα μεταλαβεῖν τοῦ ξύλου τῆς γνώσεως, ἤδη κακῶς αὐτῇ προσπεισθεῖσα τῇ τοῦ ἀρχεκάκου δράκοντος συμβουλῇ, οὐ φλογίνη ῥομφαία τὴν εἴσοδον τοῖς βουλομένοις ἔνδον γενέσθαι φοβερῶς ἀποτειχίζουσα. Μόνον δὲ τὸ ξύλον τῆς ζωῆς, καὶ Παρθένος τίκτουσα τὸν ἑαυτῆς ἀφθόρως νυμφίον, καὶ νυμφεύουσα τούτῳ τοὺς τῆς αὐτῆς οἰκονομίας ἐφιεμένους [o]. Ἔστι δὲ καὶ ἡ τετραχῆ μεριζομένη πηγὴ πᾶσαν ἡμῶν κατάρδουσα [p] τὴν ξηράν. Ξηρὰ γὰρ ὡς ἀληθῶς καὶ ἄνικμος, καὶ πάσης πνευματικῆς ἄμοιρος ἐγεγόνει πιότητος ὑπὸ τῆς ἁμαρτίας ἡ φύσις ἡμῶν. Καὶ δὴ παρῴκησεν ἂν μέχρι παντὸς τῷ ᾅδῃ καὶ τῇ φθορᾷ, εἰ μὴ τὸ ξύλον ἐβλάστησε τῆς ζωῆς, εἰ μὴ τὸν παράδεισον ἐπανέῳξεν, εἰ μὴ τὴν τῶν Εὐαγγελίων πηγὴν ἀνεστόμωσεν καὶ τοῖς ποταμοῖς τοῦ βαπτίσματος τὸν δράκοντα κατεπόντισεν.

Ἀλλὰ δεῦτε προσκυνησώμεθα τὸν σταυρόν. Δεῦτε

[66] Act. II, 9, 10. [67] Psal. XXVII, 9. [68] Isa. XI, 12, 13. [69] Gen. II, 10.

VARIÆ LECTIONES.

[s] C. V. τῆς τρυφῆς. [h] C. V. ἀκοήν. [i] C. V. ἀποθαυμάζει. [j] C. V. καὶ παμφυλίαν. [k] C. V. ἀπολομένους τοῦ Ἰσραήλ. [l] C. V. καὶ δὴ βόσκονται. [m] C. V. mendose λιμένα. [n] C. V. νέον παράδ. [o] C. νυμφεύουσα τοῦτον τοῖς τῆς αὐτοῦ κοινωνίας ἐφιεμένοις. [p] C. V. καταρδεύουσα.

Digitized by Google

καρπολογήσωμεν τὸ ξύλον τὸ « παρὰ τὰς διεξόδους τῶν « ἐκ πλευρᾶς » ὑδάτων ἑστὼς, ὃ τὸν καρπὸν αὐτοῦ δώσει [q] ἐν καιρῷ αὐτοῦ. » Ὁ σταυρὸς γὰρ δένδρον ἐστὶν ἀθανασίας, φυτὸν ἀφθαρσίας, ῥίζα δικαιοσύνης, σωφροσύνης βλάστημα, παρθενίας ἄνθος· σταυρὸς, ἀνδρείας ὅπλον, ἐγκρατείας στήριγμα, θεμέλιος πίστεως, εὐσεβείας ὑποδάθρα, θεογνωσίας φωτισμὸς, καὶ πολὺ πρότερον ἀνατροπὴ κατάρας, ἀποφάσεως λύσις, ἐξορίας ἀνάκλησις, αἰχμαλώτων λύτρωσις, πλανωμένων ἐπιστροφὴ, πιπτόντων ἀνάστασις, σωζομένων δύναμις, προκοπὴ δικαίων, παῤῥησία ὁσίων [r], προφητῶν ἀγαλλίαμα, κήρυγμα καὶ τρόπαιον ἀποστόλων· σταυρὸς, βραβεῖον εἰρήνης οὐρανοῦ καὶ γῆς, μᾶλλον δὲ οὐρανίων καὶ ἐπιγείων ὁμόνοια, κτίσεως [s] ἁγιασμὸς, ἑορταζόντων πανήγυρις, ἀῤῥαβὼν υἱοθεσίας, βασιλείας οὐρανῶν κληρονομία, καὶ τὸ δὴ θειότερον, ἀγάπης τοῦ Θεοῦ καὶ Πατρὸς περὶ ἡμᾶς σύμβολον μέγιστον, ἔνδειξίς τε τῆς τοῦ Υἱοῦ μέχρι θανάτου θειοτέρας ὑπακοῆς καὶ σοφίας τοῦ Πνεύματος. « Οὕτως γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, φησὶν, ὥστε τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἔδωκεν, ἵνα ἅπας ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. » Ὁ δὲ Υἱὸς ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, » ἔδωκεν ἡμῖν τῆς κατὰ τοῦ θανάτου νίκης τὸ τρόπαιον· ἵνα σὺν αὐτῷ διὰ τῆς σοφίας τοῦ Πνεύματος προκαθελόντες ἀρχάς τε καὶ ἐξουσίας, χειρωσώμεθα τὸν Ἐχθρὸν, καὶ δήσωμεν τὸν ἰσχυρὸν, καὶ διαρπάσωμεν αὐτοῦ τὰ σκῦλα, καὶ λοιπὸν ἀφόβως ἐργασώμεθα τὸν παράδεισον τοῦ Θεοῦ [t], καὶ τὸν θησαυρὸν ἀνορύξωμεν τοῦ ἀγροῦ, καὶ πολύτιμον ἐμπορευσώμεθα μαργαρίτην, ἐμπρέπειν τῇ σφραγῖδι μέλλοντα τοῦ σταυροῦ κατὰ τὴν ἡμέραν τῆς κτίσεως [u].

Τότε γὰρ « φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. » Τότε, πότε; ὅτε « αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, » ὅτε μετὰ τῶν ἀγγέλων αὐτοῦ ὁ μονογενὴς Υἱὸς τοῦ Πατρὸς ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς. Τότε γὰρ οἱ τῷ σημείῳ διαπρέποντες τῷ βασιλικῷ, καὶ τὸν πολίτιμον ἐν ἑαυτοῖς κτησάμενοι μαργαρίτην, καὶ τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν καλῶς διασώσαντες, ἐν νεφέλαις εἰς οὐρανὸν ἁρπαγήσονται. Κύριος γὰρ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ συνάξουσι « τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων » ἀπ' ἄκρου οὐρανοῦ ἕως ἄκρου αὐτοῦ [v]. Ταῦτα ὁ εὐαγγελιστὴς Ματθαῖος περὶ τῆς ἐσομένης τοῦ Υἱοῦ τοῦ ἀνθρώπου δευτέρας [x] ἐλεύσεως καὶ τοῦ προηγουμένου φησί. Τὸ δὲ νῦν τελούμενον, τύπος ἐστὶ τοῦ μέλλοντος ἐναργής. Ἰδοὺ γὰρ ὑψοῦται σταυρὸς ἐπὶ γῆς, καὶ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ γένος ἀνθρώπων, ἡλικία τε πᾶσα τῷ σημείῳ τοῦ σταυροῦ κατεσφραγισμένη δοξάζει τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες τοῦ Κυρίου ἡμῶν, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

fructus ligni, quod « plantatum est secus exitus aquarum » ex latere, « quod fructum suum dabit in tempore suo[69]. » Nam crux arbor immortalitatis est, planta incorruptionis, radix justitiæ, germen temperantiæ, virginitatis flos. Crux armatura fortitudinis, continentiæ fulcrum, fundamentum fidei, pietatis sustentaculum, cognitionis divinæ illuminatio, et longe antea maledictionis eversio, solutio latæ sententiæ, exsilii decreti revocatio, captivorum liberatio, seductorum reversio, cadentium resurrectio, eorum qui salvantur virtus, profectus justorum, libertas sanctorum, prophetarum exsultatio, præconium et tropæum apostolorum, crux bravium pacis cœli et terræ, vel potius cœlestium et terrestrium concordia, creaturæ sanctificatio, festum celebrantium panegyris, pignus adoptionis filiorum, hæreditas regni cœlorum, et quod divinius, dilectionis Dei et Patris erga nos signum maximum, demonstratio et probatio divinæ obedientiæ Filii usque ad mortem, et sapientiæ spiritus. « Sic enim Deus dilexit mundum, » inquit, « ut Filium suum unigenitum daret, ut omnis qui credit in illum non pereat, sed habeat vitam æternam [70]. » Filius vero « obediens factus, usque ad mortem, mortem autem crucis [71], » dedit nobis trophæum victoriæ contra mortem, ut cum ipso per sapientiam spiritus principatus et potestates destruentes, hostem nobis subjiciamus, fortemque ligemus, et diripiamus spolia ejus, et de cætero sine timore operemur paradisum Dei, thesaurumque agni effodiamus, et pretiosam mercemur margaritam, quæ signum crucis decoret, in die illa creationis et reparationis.

Tunc enim, « parebit signum Filii hominis in cœlo [72]. » Tunc, quando? Quando « virtutes cœlorum commovebuntur [73]; » quando cum angelis suis unigenitus Filius Patris veniet judicare vivos et mortuos. Tunc enim, qui regio signo insigniti sunt, pretiosamque margaritam possident, idque quod secundum imaginem et similitudinem Dei est, integre custodierunt, in nubibus in cœlum rapientur. Dominus enim mittet angelos suos cum tuba, voce sonora, et congregabunt « electos ejus a quatuor ventis [74] » ab extremo cœli usque ad extremum. Hæc evangelista Matthæus de secundo Filii hominis adventu, et cruce, quæ eum antecedet, memoriæ prodidit [75]. Quod vero nunc agitur, manifestus futuri typus est. Ecce enim exaltatur crux in terra, et omnes familiæ gentium, et genus hominum, omnisque ætas signo crucis consignata glorificant locum, ubi steterunt pedes Domini nostri. Ipsi gloria in sæcula sæculorum. Amen.

[69] Psal. I, 3. [70] Joan. III, 16. [71] Philipp. II, 8. [72] Matth. XXIV, 30. [73] ibid. 29. [74] Matth. XXIV, 31. [75] Matth. XXV, 31 seqq.

VARIÆ LECTIONES.

[q] C. V. δέδωκεν. [r] C. V. μαρτύρων. [s] C. V. κτίσεως ἁπάσης. [t] τοῦ Θεοῦ Des. in C. V. [u] C. V. rectius, κατὰ τὴν ἡμέραν τῆς κρίσεως, *in die judicii*. [v] C. V. ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. [x] C. V. addit πάλιν.

Digitized by Google

ANNO INCERTO.

ADRIANUS.

NOTITIA.

(Fabric. *Biblioth. Græc.* ed. Harles, t. X, p. 687.)

Adriani *Isagoge in Scripturam sacram*, Εἰσαγωγὴ τῆς Γραφῆς, libellus utilis et lectu dignus de locutionibus sacrorum scriptorum, quem primus e ms. Augustano Græce vulgavit David Hœschelius, Augustæ Vindel. 1602, 4, deinde Joannes Pearsonius præfigi curavit tomo octavo Criticorum sacrorum, ipsius auspiciis excusorum, Lond. 1660, fol., atque ab eo tempore Amstelodami et Francofurti prelis iterum subjectorum. Latine vertit notisque illustravit post Aloys. Loll. in ejus opusc. Bellunæ 1550 fol. amicus noster Christophorus Woltereck, Glückstadiensis, cujus lucubrationem istam ms. prelo paratam evolvi ante plures annos, atque opto ut in lucem prodeat (*a*). Adrianum hunc laudat Cassiodorus cap. 10 *Institutionum divinarum*, suspicorque illum ipsum esse Adrianum monachum, ad quem est S. Nili epistola 60, libri II edit. Allatianæ ubi eum laudat a diligenti sacrarum Scripturarum lectione. Andronicum vocat Turrianus, perperam, qui Adrianus etiam appellatur in membranis bibliothecæ Joanneæ Hamburgensis, in quibus exstat ante opuscula duo Hieronymi, Græci theologi, quæ exhibui superiore volumine, c. 24. Hoc Adriani opusculum Latina versione donatum edere voluit pridem Conradus Rittershusius, uti argumenta duodecim prophetarum (Hesychio Hierosol. auctore), quæ cum Adriano Hœschelius Græce vulgaverat, utraque lingua edidit ad calcem assis fatidici, sive duodecim prophetarum a Thuano et Rittershusio metaphrasi Latina donatorum, Ambergæ, 1614, 8, p. 290 seq.

EPISTOLA NUNCUPATORIA.

N. V. MARQUARDO FREHERO ELECT. PALAT. CONSILIARIO,
DAVID HOESCHELIUS AUGUSTANUS S. P. D.

Redit ad te, vir eximie, Adrianus tuus, neque is absque fenore, ut arbitramur. Non enim solum cum alio ms. codice, quem e Boica bibliotheca nob. et magnificus Dominus Jo. Georgius Herwardus ab Hohenburg. M. Velsero ampliss. Reip. Aug. Duumviro misit, tuum contulimus, verum loca etiam Scripturæ accurate ad marginem exprimi studuimus. Bene vale, V. C. et hanc Philologiæ opellam æqui bonique consule.

Augustæ Vind. d. X Kal. Septembr.
A. S. N. M DCII.

(*a*) At licet in Actis erudit. 1709, p. 432, legas, sub prelo jam tunc fuisse Lipsiæ, tamen necdum prodiit. Fabr. [Conf. quæ scripsi in Introd. in *Hist. L. Gr.* II, 2, p. 283. Harl.] — Nullum locum profert ex libris apocryphis, ut observat Jo. Cosinus in *Historia canonis S. Scripturæ*, edita Anglice, Londini, 1672, 4, p. 149, ubi refert ad an. 769: *For if Photius read him, he was at least so ancient, if he lived act. in the age before.* Fallitur itaque Alph. Ciacconius, qui in *Biblioth. univers. ms.* hunc Adrianum cum Andronico Comneno, longe juniore, confundit.

Digitized by Google

ΑΔΡΙΑΝΟΥ

ΕΙΣΑΓΩΓΗ ΕΙΣ ΤΑΣ ΘΕΙΑΣ ΓΡΑΦΑΣ.

—

ADRIANI

ISAGOGE AD SACRAS SCRIPTURAS.

JOANN. PEARSONIUS, *Critic. Sacr.* t. VIII, p. 11.

—

Τοῦ Ἑβραϊκοῦ χαρακτῆρος ἰδιωμάτων ἐστὶν εἴδη τρία· ὧν τὸ μὲν ἐπὶ τῆς διανοίας εὕροι τις ἄν, τὸ δὲ ἐπὶ τῆς λέξεως, τὸ δὲ ἐπὶ τῆς συνθέσεως.

Ἀρχὴ τῶν ἐπὶ τῆς διανοίας.

Τὸ μὲν οὖν ἐπὶ τῆς διανοίας ἐστὶ, τὸ ἀπὸ τῶν ἡμῖν προσόντων τοῦ Θεοῦ σχηματίζειν τὰς ἐνεργείας, ἤτοι ἐπὶ καλῷ, ἢ ἐπὶ κακῷ γινομένας· φημὶ δὴ, ἢ ἀπὸ μελῶν, ἢ ἀπὸ αἰσθήσεων, ἢ ἀπὸ κινήσεων ψυχικῶν [ἢ ἀπὸ κινήσεων σωματικῶν, ἢ ἀπὸ παθῶν ψυχικῶν], ἢ ἀπὸ παθῶν σωματικῶν, ἢ ἀπὸ διαθέσεων, [ἢ ἀπὸ κοινῶν δοξῶν, ἢ ἀπὸ ἀξιωμάτων,] ἢ ἀπὸ ἐπιτηδευμάτων, ἢ ἀπὸ τόπων, ἢ ἀπὸ στολισμῶν, ἢ ἀπὸ ἐθῶν, ἢ ἀπὸ σχημάτων, ἢ ἀπὸ ὅλου τοῦ ζώου.

α'. Ὅπως ἀπὸ μελῶν· ἀπὸ μὲν μελῶν, ὡς τό· « Τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων· » καὶ τὸ, « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους· » καὶ, « Στόμα Κυρίου ἐλάλησε ταῦτα· » καὶ τὸ, « Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου· » καὶ τὸ, « Ἡ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη· » καὶ, « Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά· » καὶ, « Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν. » Τὴν δεξιὰν, ἐπὶ τῶν κρειττόνων οἶδεν ὀνομάζειν, ὡς τιμιωτέραν· οἷον τὸ, « Δεξιὰ Κυρίου ἐποίησε δύναμιν· » καὶ τὸ, « Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· » καὶ ὅσα τούτοις παραπλήσια· τούτων δὲ, τὰ μὲν ἐπὶ σωτηρίᾳ, τὰ δὲ ἐπὶ τιμωρίᾳ προβάλλεται.

β'. Ὅπως ἀπὸ αἰσθήσεων· ὡς τὸ, « Ἐπέβλεψεν ἐξ οὐρανοῦ ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων· » καὶ τὸ, « Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου· » καὶ, « Κύριος εἰσακούσεταί μου· » καὶ, « Ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας· » καὶ, « Ἐξαπόστειλον τὴν χεῖρά σου· » καὶ, « Ἅψαι τῶν ὀστέων αὐτοῦ· » καὶ, « Χεὶρ Κυρίου ἡ ἁψαμένη μου· » καὶ, « Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται· » καὶ, « Ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης· » καὶ τὸ, « Μὴ φάγωμαι κρέα ταύρων· » καὶ ὁ Σωτὴρ, « Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε· » καὶ, « Ἐμὸν βρῶμά ἐστιν, ἵνα

Linguæ Hebraicæ idiomatum sunt tres species : quarum unam a cogitationibus invenies, aliam a stylo, aliam a compositione.

Principium idiomatum a cogitationibus.

Quod ergo a cogitationibus est, hoc ab his quæ nostra sunt Dei effingere operationes, tum pro bono, tum pro malo effectus : dico aut a membris, aut a sensibus, aut a motibus spiritualibus, aut a motibus corporalibus, aut a passionibus spiritualibus, aut a passionibus corporalibus, aut a dispositionibus, aut a communibus dicteriis, aut a dignitatibus, aut ab agendi rationibus, aut a locis, aut ab indumentis, aut a moribus, aut a facie, aut a toto animali.

1. Quomodo a membris : a membris, scilicet : « Palpebræ ejus interrogant filios hominum ; » et, « Oculi Domini super justos ; » et, « Bonum mihi lex oris tui ; » et, « Egredietur de ore meo justitia ; » et, « Vultus Domini super facientes mala ; » et, « Leva manus tuas in superbias eorum. » Manum dextram de melioribus vocare novit, tanquam honorabiliorem, scilicet : « Dextera Domini fecit virtutem ; » et, « Adorabimus in loco ubi steterunt pedes ejus ; » quæcunque his assimilantur : horum alia de salute, alia de pœna emittuntur. (*Psal.* X, 5 ; XXXIII, 16 ; *Isa.* I, 20 ; LVIII, 14 ; *Psal.* CXVIII, 72 ; *Isa.* XLV, 23 ; *Psal.* XXXIII, 17 ; LXXIII, 3 ; CXVII, 16 ; CXXXI, 7 ; [XXXI, 13, non].)

2. Quomodo a sensibus : sicut : « De cœlo respexit Dominus, vidit omnes filios hominum ; » et, « Voce mea ad Dominum clamavi et exaudivit me ; » et, « Dominus exaudiet me ; » et, « Odoratus est Dominus odorem suavitatis ; » et, « Emitte manum tuam ; » et, « Tange os ejus ; » et, « Manus Domini tetigit me ; » et, « Qui tangit montes et fumigant ; » et, « Tangam omnem iniquitatem terræ illius ; » et, « Nunquid manducabo carnes taurorum ? » Et Salvator : « Ego cibum habeo manducare quem vos nescitis ; » et, « Meus cibus est ut faciam voluntatem Patris mei ; » et præsentiæ ejus

DAVID. HŒSCHELII NOTÆ.

(1) *Ἐσαγωγὴ εἰς τ. θ. Γραφάς.* Photius, Ἀνεγνώσθη Ἀδριανοῦ Εἰσαγωγὴ τῆς Γραφῆς· χρήσιμος τοῖς εἰσαγομένοις ἡ βίβλος

Digitized by Google

perspicientiam, hyperbolice volatum vocat, scilicet : « Ascendit super Cherubim et volavit. » (*Psal.* XXXII, 13; III, 5; IV, 4; *Gen.* VIII, 21; *Psal.* CXLIII, 7; *Job.* II, 5, 19, 21; *Psal.* CIII, 32; *Psal.* XVII, 11.)

ποιῶ τὸ θέλημα τοῦ Πατρός μου. » Καὶ τὸ ὀξὺ τῆς αὐτοῦ παρουσίας ὑπερβολικῶς πτῆσιν ὀνομάζει· ὡς τό, « Ἐπέβη ἐπὶ χερουβὶμ, καὶ ἐπετάσθη. » *Zach.* III, 9; *Psal.* XLIX, 13; *Joan.* IV, 32, 34;

3. A motibus spiritualibus, sicut : « Calcavi eos in furore meo et conculcavi eos in ira mea ; » et, « Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me. » (*Isa.* LXIII, 3; *Psal.* VI, 2.)

γ'. Ἀπὸ κινήσεων ψυχικῶν· ὡς τό, « Κατεπάτησα αὐτοὺς ἐν τῷ θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ἐν τῇ ὀργῇ μου (2)· » καὶ τό, « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. »

4. A motibus corporalibus, ut, « Exsurgat Deus, et dissipentur inimici ejus ; » et, « Exsurge, Domine Deus meus, in præcepto quod mandasti ; » et, « Exspecta me in die resurrectionis meæ ; » et, « Audivit Adam Deum deambulantem. » (*Psal.* LXVII, 2; VII, 7; *Soph.* III, 8; *Gen.* III, 8.)

δ'. Ἀπὸ κινήσεων σωματικῶν· ὡς τό, « Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ· » καὶ, « Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω· » καὶ, « Ὑπόμεινόν με εἰς ἡμέραν ἀναστάσεώς μου· » καὶ, « Ἤκουσεν Ἀδὰμ τοῦ Θεοῦ περιπατοῦντος.

5. A passionibus animæ, velut : « Me pœnitet, ait Deus, quod fecerim hominem. » Et, « Tentavit Deus Abraham. » Et, « Oblitus es legum Dei tui, et ego obliviscar filiorum tuorum. » Et, « Nunc cognovi quod times Deum ; » et, « Scrutabor Jerusalem in lucerna ; » et, « Adam, ubi es ? » et, « Nolite contristare Spiritum sanctum ; » et similia. (*Gen.* VI, 7; XXII, 1; *Ose.* IV, 6; *Gen.* XXII, 12; *Soph.* I, 12; *Gen.* III, 9; *Eph.* IV, 30.)

ε'. Ἀπὸ παθῶν ψυχικῶν· ὡς τό, « Μετεμελήθην, φησὶν ὁ Θεὸς, ὅτι ἐποίησα τὸν ἄνθρωπον· » καὶ, « Ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ. » καὶ, « Ἐπελάθου νόμων Θεοῦ σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου· » καὶ, « Νῦν ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεόν· » καὶ, « Ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου· » καὶ, « Ἀδὰμ, ποῦ εἶ ; » καὶ, « Μὴ λυπῆτε τὸ Πνεῦμα τὸ ἅγιον· » καὶ τὰ ὅμοια.

6. A passionibus corporalibus, sicut : « Exsurge, quare obdormis, Domine ? » et, « Excitatus est tanquam dormiens Dominus. » Et, « Non dormitabit neque dormiet qui custodit Israel ; » et similia. (*Psal.* XLIII, 23; LXXVII, 65; CXX, 4.)

ς'. Ἀπὸ παθῶν σωματικῶν· ὡς τό, « Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε ; » καὶ, « Ἐξεγέρθη ὡς ὁ ὑπνῶν Κύριος· » καὶ, « Οὐ μὴ ὑπνώσῃ οὐδὲ νυστάξῃ ὁ φυλάσσων τὸν Ἰσραήλ· » καὶ τὰ ὅμοια.

7. A dispositionibus, sicut : « Nonne frater erat Esau Jacob ? » et, « Dilexi Jacob, Esau autem odio habui ? » Et, « Diligit Dominus portas Sion super omnia tabernacula Jacob. » Et, « Zelatus sum Jerusalem et Sion zelo magno. (*Matth.* I, 2, 3; *Psal.* LXXXVI, 2; *Zach.* VIII, 2.)

ζ'. Ἀπὸ διαθέσεων· ὡς τό, « Οὐκ ἀδελφὸς ἦν Ἡσαῦ τοῦ Ἰακώβ ; » καὶ, « Ἠγάπησα τὸν Ἰακὼβ, τὸν δὲ Ἡσαῦ ἐμίσησα· » καὶ, « Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ· » καὶ, « Ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν.

8. A communibus dicteriis, sicut : « Sponsabo te mihi in sempiternum ; » et, « Sponsabo te mihi in justitia et in judicio. » Et, « Ipsa non uxor mea et ego non vir ejus ; » et, « Et dedi ei libellum repudii ; » et, « Factus sum Israeli pater et Ephraim primogenitus meus est ; » et, « Ipse invocabit me, Pater meus es tu, et ego primogenitum ponam eum ; » et, « Filius primogenitus meus ; » et similia. (*Osee* II, 21, 19; *Jerem.* III, 8; XXXI 9; *Psal.* LXXXVIII, 27, 28.)

η'. Ἀπὸ κοινῶν δοξῶν· ὡς τό, « Μνηστεύομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα· » καὶ, « Μνηστεύομαί σε ἐν κρίσει καὶ ἐν δικαιοσύνῃ· » καὶ, « Αὐτὴ οὐ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς· » καὶ τό, « Καὶ ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου· » καὶ, « Ἐγενόμην τῷ Ἰσραὴλ εἰς πατέρα· » καὶ, « Ἐφραὶμ πρωτότοκός μού ἐστι· » καὶ, « Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σὺ, κἀγὼ πρωτότοκον θήσομαι αὐτόν· » καὶ, « Υἱὸς πρωτότοκός μου Ἰσραήλ· » καὶ τὰ ὅμοια.

9. A dignitatibus, sicut : « Dominus regnavit, exsultet terra ; » et, « Qui sedes super Cherubim, manifestare. » Et, « Sedisti super thronum qui judicas justitiam. » (*Psal.* XCVI, 1; LXXIX, 2; IX, 5.)

θ'. Ἀπὸ ἀξιωμάτων· ὡς τό, « Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ· » καὶ τό, « Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι· » καὶ, « Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. »

10. Ab agendi rationibus, sicut : « Qui tegis

ι'. Ἀπὸ ἐπιτηδευμάτων· ὡς τό, « Ὁ στεγάζων ἐν

DAVID HOESCHELII NOTÆ.

(2) *Κατέθλασα αὐτοὺς ἐν τῇ ὀργῇ μου.* Κατέθλασα αὐτοὺς ὡς γῆν, Isa. 63, iam edit. quam mss. Aug., sed illud Hebræo vicinius. Quam lectionis varietatem non in hoc solum Adriani libello, verum et apud alios sacros scriptores reperio, velut Prov. XXVII, 6 : Ἀξιοπιστότερά ἐστι τραύματα φίλου, ἢ ἀκούσια φιλήματα ἐχθροῦ, pro quo Chrysost. Ἀξιοπιστότερά ἐστι τραύματα φίλων ὑπὲρ ἀκούσια φιλήματα ἐχθρῶν. Eccles. VII, 15. Ἐν ἡμέρᾳ ἀγαθωσύνης αὐτοῦ ζῆθι ἐν ἀγαθῷ· pro quo Greg. Nyss. ἐν ἡμέρᾳ εὐφροσύνης ἀμνηστία κακῶν. Idem alibi, ἐν ἡμέρᾳ ἑορτῆς. Nicetas, *In die festi atque lætitiæ tristium rerum memoria effluit.* Jonæ I, 11, ὅτι ἡ θάλασσα ἐπορεύετο, pro quo codex August. ἐπορύετο, i. e. ut Theophylactus explicat, φοβερὸν ἦχεῖ, ἅτε τῶν κυμάτων ἀλλήλοις καὶ τῷ πλοίῳ προσαρασσομένων.

Digitized by Google

δοασι τὰ ὑπερῷα αὐτοῦ· » καὶ τὸ, « Ἔπλασε τὸν ἄνθρωπον· » καὶ, « Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· » καὶ τὸ, « Ἀνέβη ἐμφυσῶν εἰς πρόσωπόν σου· » ἀντὶ τοῦ, « Φυσήμασι διασκεδάζων ὑπ' ὄψιν σου τοὺς ὑπεναντίους· » ἵνα εἴπῃ, οὕτω ῥᾳδίως καὶ ἀθρόως· τὸ γὰρ, *ἐμφυσῶν*, *σκορπίζων*, οἱ ἔξω ἐφιλοσόφησαν. Καὶ, « Ἰδοὺ ἐν τῇ χειρί μου ἐζωγράφησα τὰ τείχη σου, πρὸς τὴν Ἱερουσαλήμ· » καὶ, « Φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσά σε ἄμπελον Σωρὴχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτῆς, καὶ προλήνιον ὤρυξα ἐν αὐτῇ· » καὶ, « Ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς τρίβους αὐτῆς, καὶ οὐ μὴ εὕρῃ τὴν ὁδὸν αὐτῆς· » καὶ, « Ἐκπετάσω τὸ δίκτυόν μου ἐπ' αὐτόν· » καὶ, « Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ οἱ ἁμαρτωλοί· » καὶ ὅσα ὅμοια.

ια'. Ἀπὸ τόπων· ὡς τὸ, Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός· καὶ, « Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν· » καὶ, « Ἔκλινεν οὐρανοὺς, καὶ κατέβη· » καὶ, « Ἐγγὺς Κύριος τοῖς ἐπικαλουμένοις αὐτόν· » καὶ, « Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν; » καὶ, « Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης· » καὶ, « Ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ· » καὶ, « Ἐπιβήσεται ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς. »

ιβ'. Ἀπὸ στολισμῶν· ὡς τὸ, « Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο· » καὶ, « Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου· » καὶ, « Περιεζωσμένος ἐν δυναστείᾳ· » καὶ, « Περιβαλλόμενος φῶς ὡς ἱμάτιον· » καὶ, « Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσώρ· οὗτος ὡραῖος ἐν στολῇ αὐτοῦ. »

ιγ'. Ἀπὸ ἐθῶν· ὡς τὸ, « Ἀπέστρεψας τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος· » καὶ, « Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου; » καὶ, « Μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· » καὶ, « Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου· » καὶ, « Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέῤῥιμμαι ἀπὸ προσώπου τοῦ ὀφθαλμῶν σου· » ἅπερ οἱ ὀργιζόμενοι καὶ λυπούμενοι, πρὸς οὓς διαφέρονται, καὶ ἐπιδείκνυνται.

ιδ'. Ἀπὸ σχημάτων· ὡς τὸ, « Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου; » ἐκ μεταφορᾶς τῶν παρακαλουμένων καὶ εἰς τοὐπίσω τὰς χεῖρας ἀποστρεφόντων· καὶ, « Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου· » καὶ τὰ ὅμοια.

ιε'. Ἀπὸ δὲ ὅλου τοῦ ζώου· ἀπὸ ὅλου τοῦ ζώου κατὰ διαίρεσιν, νῦν μὲν ἀπὸ τῆς ψυχῆς, νῦν δὲ ἀπὸ τῆς σαρκός· ὡς τὸ, « Σάρξ μου ἐξ αὐτῶν, » παρὰ τῷ Ὡσηέ. Ἀπὸ δὲ ψυχῆς· ὡς, « Τὰς νεομηνίας καὶ τὰ Σάββατα ὑμῶν μισεῖ ἡ ψυχή μου· » καὶ ταῦτα μὲν ὑποδείγματος χάριν πρὸς ἐντελεστέραν τῶν ἰδιωμάτων αἰτιολογίας παράστασιν λελέξεται.

A aquis superiora ejus; » et, « Plasmavit hominem; » et, « Inspiravit in faciem ejus spiraculum vitæ; » et, « Ascendit qui exsufflet coram te, » loco illius dictionis : « Flatibus dissipans ante conspectum tuum hostes, » ut dicat, adeo faciliter et multi liciter; namque *exsufflans* pro *dissipans* pagani philosophantes admiserunt. Et, « Ecce in manibus meis descripsi muros tuos, » ad Jerusalem. Et, « Sepem circumposui et circumsepivi, et plantavi te vineam Sorech, et ædificavi turrim in medio ejus et torcular fodi in ea. » Et, « Ecce ego sepio vineam tuam spinis et reædificabo semitas ejus et semitas suas non inveniet; » et, « Extendam rete meum super eum; » et, « Cadent in retiaculo ejus peccatores; » et quæcunque similia. B (*Psal.* CIII, 3, *et alibi.*)

11. A locis : ut « Elevare super cœlos, Deus; » et, « Ascendisti in altum, cepisti captivitatem; » et, « Inclinavit cœlos et descendit; » et, « Prope est Dominus invocantibus eum; » et, « Ut quid, Domine, recessisti longe? » Et, « Ecce Dominus sedet super nubem levem; » et, « Ecce Dominus egreditur e loco suo; » et, « Ascendet super excelsa terræ. (*Psal.* LVI, 6; LXVII, 19; XVII, 10; CXLIV, 18; IX, 22; *Isa.* XIX, 1; *Mich.* I, 3.)

12. Ab indumentis, sicut : « Indutus est Dominus fortitudinem et præcinxit se; » et, « Accingere gladio tuo super femur tuum. » Et, « Accinctus potentia; » et, « Amictus lumine sicut vestimento; » et, « Quis est iste qui venit de Edom? Rubrum C indumentum ejus de Bosor, iste formosus in stola sua. » (*Psal.* XCII, 1; XLIV, 4; LXIV, 7; CIII, 2; *Isa.* LXIII, 1.)

13. A moribus : « Avertisti faciem tuam et factus sum conturbatus; » et, « Ut quid, Domine, repellis animam meam, avertis faciem tuam? » et, « Ne declines in ira a servo tuo; » et, « Ne projicias me a facie tua; » et, « Ego autem dixi in excessu meo : Projectus sum a facie oculorum tuorum. » Qualia irati et afflicti ad eos cum quibus discordes sunt, et sensa sua pandunt. (*Psal.* XXIX, 8; LXXXVII, 15; XXVI, 9; L, 15; XXX, 23.)

14. A facie, sicut : « Ut quid avertis manum tuam et dexteram tuam? » per metaphoram assumptam D ab his qui consolantur et postea manus avertunt. Et, « Levabo ad cœlum manum meam, et jurabo per dexteram meam; » et similia. (*Psal.* LXXIII, 11; *Deut.* XXXII, 40.)

15. A toto animali; a toto animali modo diviso, nunc ab anima, nunc a carne, sicut : « Caro mea ex ipsis, » apud Osee. Ab anima sicut, « Neomenias et Sabbata vestra odivit anima mea; » et ista exempli gratia dicta erunt ut completius idiomatum ratio reddatur. (Osee XIX, 14 (?); Isa, I, 14.)

Ἐπίλυσις τῶν ῥηθέντων διαιρέσεων.

α', β'. Τὸ τοίνυν ἀλάθητον τῆς τοῦ Θεοῦ γνώσεως, « Ὀφθαλμοὺς οἶδε καὶ βλέφαρα καὶ ὅρασιν καλεῖν· »

Explicatio dictarum divisionum.

1, 2. Quod ergo latere non potest Dei cognitionis, oculos novit et *palpebras* et *visionem* vocare;

Digitized by Google

super bonum quidem; sicut : « Oculi Domini super justos; » super malum autem : « Oculi ejus super gentes respiciunt. » (*Psal.* XXXIII, 16; LXV, 7.)

3. Misericordiam ejus *aures* et *auditum;* et quod indicat voluntatem ejus, *loquelam* et *os;* et ab eo quod a nobis per os et verbum noscuntur quæ in mente cogitantur, inde et *manducationem* ejus nostram vocat ad ea quæ vult alacritatem; ex eo quod in nobis per gustus sensationem naturalis esuriei fiat expletio.

4. Quod acceptam habeat benevolentiam nostram erga ipsum, *odorationem.*

5. Ex operibus manifestationem ejus *vultum* vocat, sicut cum super nos fit per hæc manifestatio, tum super bonum, tum super malum, ut : « Vultus Domini super facientes mala. » (*Psal.* XXXIII, 17.)

6. Efficaciam energiæ ejus, manus vocat sicut a nobis utilia quæque per manuum energiam diriguntur, sive super bonum, sive super malum, sicut, « Emitte manum tuam de alto; » et, « Leva manus tuas in superbias eorum in finem. » (*Psal.* CXLIII, 7; LXXIII, 3.)

7. Dexteram super solos justos, tanquam honoratiorem partem appellare consuevit.

8. Et diligentiam majorem in agendo *contactum* vocat; festinationem ad egentium auxilium *pedes* et *incessum* vocat, sicut « Inclinavit cœlos et descendit; » et, « Audivit Adam Deum deambulantem in paradiso. » (*Psal.* XVII, 10; *Gen.* III, 8.)

9. Attamen et sæpe per totum servat schematis continuationem, sicut in psalmo describit Deum tanquam descendentem, mox clamantem, deinde tela mittentem; idem et facere consuevit et de hominibus, sicut : « Eripe animam meam de medio leonum, » et quæ sequuntur; sint autem hæc de membris et de sensibus. (*Psal.* XVII, 11; *Ezech.* IX, 1; *Psal.* LVI, 5.)

10. Consilii Dei oppositionem adversus malitiam, *iram* et *furorem* nominat, ab eo quod nobis in odio accidit propter contraria, sicut : « Ex tunc ira tua, » pro, « Ab initio et semper, » contrarium esse consuevisti malo; et, « Effunde iram tuam in gentes quæ te non noverunt : » sint hæc de spiritualibus motibus. (*Psal.* LXXV, 8; LXXVIII, 6.)

11. Voluntatem in servorum auxilium, adversariorum vero punitionem *Surgere* et *somno excuti* vocat, sicut « Exsurge, Domine, adjuva nos. » Sint hæc de motibus corporalibus. [*Psal.* XLIII, 26.)

12. Tentationem Dei vocat, provocationem servorum ejus ad opus benevolentiam manifestans, ut illustriores et honorabiliores manifestentur et aliis admirationi sint, ut : « Tentavit Deus Abraham. » (*Gen.* XXII, 1.)

13. Consuetæ protectionis ejus moram, *oblivio-*

ἐπὶ μὲν καλῷ· ὡς τὸ, « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους· » ἐπὶ δὲ κακῷ, « Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν. »

γ'. Τὸ δὲ ἐξιλεωτικὸν αὐτοῦ, ὦτα καὶ *ἀκοήν*· τὸ δὲ ἐνδεικτικὸν τῆς βουλήσεως αὐτοῦ, *λαλιὰν* καὶ *στόμα*· ἀπὸ δὲ τοῦ παρ' ἡμῖν διὰ στόματος καὶ λόγων γνωρίζεσθαι τὰ κατὰ γνώμην φρονήματα, ἐντεῦθεν καὶ *βρῶσιν* αὐτοῦ τὴν ἡμετέραν καλεῖ πρὸς ὃ βούλεται συνδρομήν· ἐκ τοῦ παρ' ἡμῖν διὰ τῆς γευστικῆς αἰσθήσεως τῆς φυσικῆς ἐνδείας ἐγγίνεσθαι κόρον.

δ'. Τὸ δὲ ἀποδεκτικὸν τῆς εἰς αὐτὸν ἡμῶν εὐνοίας, *ὀσφρησιν*.

ε'. Τὴν δὲ ἐπὶ πραγμάτων ἔνδειξιν αὐτοῦ, *πρόσωπον* καλεῖ, ὡς ἀπὸ τοῦ παρ' ἡμῖν διὰ τούτου γίνεσθαι τὴν ἐμφάνειαν· εἴτε ἐπὶ καλῷ, εἴτε ἐπὶ κακῷ· ὡς, « Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. »

ς'. Τὸ ἀνυστικὸν τῆς ἐνεργείας αὐτοῦ, χεῖρας ὀνομάζει, ὡς τῶν παρ' ἡμῖν τὰ μάλιστα χρειώδη διὰ τῆς τῶν χειρῶν ἐνεργείας κατορθοῦσθαι, εἴτε ἐπὶ καλῷ, εἴτε ἐπὶ κακῷ· ὡς τὸ, « Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους· » καὶ, « Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος. »

ζ'. Τὴν μέντοι δεξιὰν ἐπὶ μόνων τῶν αἱσίων, ὡς ἀπὸ τιμιωτέρου τοῦ μέρους, ἐκφωνεῖν ἔοικεν.

η'. Καὶ τὸ δι' ἀκριβείας αὐτοῦ εἰς πρακτικὸν ἐπιτατικώτερον, *ψηλάφησιν* καλεῖ· τὴν δὲ πρὸς ἐπικουρίαν τῶν δεομένων ῥοπὴν, *πόδας* καὶ *βάδισιν* ὀνομάζει· ὡς τὸ, « Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη· » καὶ, « Ἤκουσεν Ἀδὰμ τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ. »

θ'. Μέντοιγε καὶ σώζει πολλάκις τοῦ σχηματισμοῦ δι' ὅλου τὴν ἀκολουθίαν· ὡς ἐν τῷ ψαλμῷ διαγράφει τὸν Θεὸν ὡς καταβάντα, εἶτα κράξαντα, εἶτα πέμψαντα βέλη· τὸ αὐτὸ δὲ ποιεῖν οἶδε καὶ ἐπὶ ἀνθρώπων· ὡς τὸ, « Ἐῤῥύσω τὴν ψυχήν μου ἐκ μέσου σκύμνων· » καὶ τὰ ἑξῆς· εἴη δ' ἂν ταῦτα ἀπό τε τῶν μελῶν καὶ τῶν αἰσθήσεων.

ι'. Τὴν πρὸς τὴν κακίαν ἐναντιότητα τῆς τοῦ Θεοῦ βουλῆς *θυμὸν* καὶ *ὀργὴν* ὀνομάζει, ἀπὸ τοῦ παρ' ἡμῖν τὴν ἀπέχθειαν πρὸς τἀναντία συμβαίνειν· ὡς τὸ, « Ἀπὸ τότε ἡ ὀργή σου· » ἀντὶ, « Ἐξ ἀρχῆς καὶ αἰεὶ » ἐναντίως πέφυκας ἔχειν πρὸς τὸ κακόν· καὶ, « Ἔχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε· » εἴη δ' ἂν ταῦτα ἀπὸ κινήσεων ψυχικῶν.

ια'. Τὴν ἐπὶ μὲν τῇ τῶν οἰκείων βοηθείᾳ, τιμωρίᾳ δὲ τῶν ἐχθρῶν, αἵρεσιν, *ἀνάστασίν* τε τοῦ Θεοῦ καὶ *ἔγερσιν* καλεῖ· ὡς τὸ, « Ἀνάστα Κύριε, βοήθησον ἡμῖν· » εἴη δ' ἂν ταῦτα ἀπὸ κινήσεων σωματικῶν.

ιβ'. Πεῖραν τοῦ Θεοῦ καλεῖ, τὴν εἰς ἔργον τῆς τῶν οἰκείων αὐτοῦ ἐννοίας ἔκκλησιν, πρὸς τὸ λαμπροτέρους καὶ ἐπισημοτέρους αὐτοὺς καταστῆσαι καὶ περιβλεπτοτέρους· ὡς τὸ, « Ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ. »

ιγ'. Τὴν τῆς συνήθους αὐτοῦ προστασίας ἀναβο-

Digitized by Google

λὴν, *λήθην* ὀνομάζει· ὡς τὸ, « Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν. »

ιδ'. Τὴν τῆς προθέσεως εἰς ἔργον ἔκβασιν, *πληροφορίαν* τῆς τοῦ Θεοῦ *γνώσεως* ἀποκαλεῖ, ὡς [τὸ] παρ' ἡμῖν ἀξιοπιστότερα τῶν λόγων τὰ πράγματα, ὡς τὸ, « Καταβὰς οὖν ὄψομαι· εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ· » καὶ τὸ, « Νῦν ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεόν. »

ιε'. Τὸ ἄφυκτον τοῦ Θεοῦ δίκης, *ἔρευναν* καλεῖ· ὡς τὸ, « Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξερευνήσω τὴν Ἰερουσαλὴμ μετὰ λύχνου. » Εἴη δ' ἂν ταῦτα ἀπὸ παθῶν ψυχικῶν.

ις'. Τὴν τῆς κατὰ τῶν ἐχθρῶν (3) αὐτοῦ ἀμύνης ὑπέρθεσιν, τήν τε πρὸς τοὺς οἰκείους ἐπίκουρον βραδυτῆτα, *νυσταγμὸν* καὶ *ὕπνον* καὶ *καρηβαρίαν* ἀποκαλεῖ· ὡς τὸ, « Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε; » καὶ, « Οὐ μὴ νυστάξῃ οὐδὲ ὑπνώσῃ ὁ φυλάσσων τὸν Ἰσραήλ. » Εἴη δ' ἂν ταῦτα ἀπὸ παθῶν σωματικῶν.

ιζ'. Τὴν καταθύμιον τῷ Θεῷ πολιτείαν ἡμῶν *ἀγάπην* αὐτοῦ μάλα γε εἰκότως ὀνομάζει.

ιη'. Μῖσος δὲ, τὸ τὴν ἐναντίαν τῆς αὐτοῦ βαδίζειν βουλήσεως.

ιθ'. Καὶ *ζῆλον*, τὸ τοὺς οἰκείους τιμωρεῖν· ὡς τὸ, « Ἐζήλωσε Κύριος τὴν γῆν αὐτοῦ. » Εἴη δ' ἂν ταῦτα ἀπὸ διαθέσεων.

κ'. Τὴν τῆς Ἰερουσαλὴμ καὶ τὴν τῆς Σαμαρείας πρὸς τὸν Θεὸν οἰκείωσιν, *μνηστείαν τοῦ Θεοῦ* καλεῖ, διὰ τὸ θηλυκῶς κατὰ μετωνυμίαν ἀπὸ τῶν πόλεων τοὺς οἰκήτορας ὀνομάζειν, ἐκ μεταφορᾶς τῶν γυναικῶν· ὡς τὸ, « Μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα. »

κα'. Ὥσπερ καὶ τὴν πρὸς τὰ εἴδωλα οἰκείωσιν *μοιχείαν* ἀποκαλεῖ· δι' ἣν καὶ βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας λαμβάνει Ἰερουσαλήμ.

κβ'. Οὐδὲν ἧττον καὶ τῇ τοῦ Πατρὸς προσηγορίᾳ τὸ πρὸς αὐτοὺς τοῦ Θεοῦ κῦδος ἐμφαίνει, καὶ τῇ τοῦ Πρωτοτόκου. Εἴη δ' ἂν ταῦτα ἀπὸ κοινῶν δοξῶν.

κγ'. Τὸ κράτος καὶ τὴν δίκην τοῦ Θεοῦ *κάθισιν* (4) αὐτοῦ καὶ *θρόνον* ὀνομάζει, ἀπὸ τοῦ παρ' ἡμῖν τοὺς τὴν τοῦ κρίνειν τε καὶ κολάζειν ἔχοντας ἐξουσίαν, ἐπὶ θρόνων καθημένους ποιεῖσθαι τὴν ἐξέτασιν· ὡς τὸ, « Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην· » καὶ, « Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ· » καὶ, « Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· » καὶ, « Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ. » Εἴη δ' ἂν ταῦτα ἀπὸ ἀξιωμάτων.

κδ'. Τὴν δημιουργικὴν αὐτοῦ ἐνέργειαν, ποτὲ μὲν διὰ προστάγματος, ὡς ἐπὶ τῶν λοιπῶν· ποτὲ δὲ δι' αὐτουργίας, ὥσπερ ἐφ' ἡμῶν παρίστησι καὶ ζωγραφεῖν τὴν Ἰερουσαλὴμ, καὶ φράττειν τὴν ὁδὸν,

nem nominat, sicut : « Obliviscéris inopiæ nostræ. » (*Psal.* XLIII, 24.)

14. Consilii exsecutionem in opus, *perfectam Dei cognitionem* vocat, tanquam quæ opera a nobis melius verbis fidei convenientia, sicut, « Descendam et videbo utrum clamorem qui venit ad me opere compleverint, annon est ita, ut sciam; » et, « Nunc cognovi quod times Deum. » (*Gen.* XVIII, 21; XXII, 12.)

15. Quod vitari Dei justitia nequeat, *scrutari* vocat, sicut, « Et erit in tempore illo, scrutabor Jerusalem in lucernis. » Sint hæc de passionibus spiritualibus. (*Soph.* I, 12.)

16. Ipsius in vindicta contra hostes cunctationem, in auxiliandis servis moram, *somnum* et *soporem*, et *capitis gravedinem* vocat; sicut, « Exsurge, quare obdormis, Domine? » et, « Non dormitabit neque dormiet qui custodit Israel. » Sint hæc de passionibus corporalibus. (*Psal.* XLIII, 23; CXX, 4.)

17. Gratam Deo agendi rationem nostri, *amorem* ejus valde convenienter vocat.

18. Odium ejus, contrarium ejus voluntatis incedere.

19. Et *zelum*, servos punire, sicut, « Zelatus est Dominus terram ejus. » Sint hæc de affectibus. (*Joel* II, 18.)

20. Jerusalem et Samariæ erga Deum amicitiam, sponsalia Dei vocat, in feminina enuntiatione juxta nominis analogiam cum urbium habitatoribus ex mulierum metaphora, sicut, « Sponsabo te mihi in sempiternum. » (*Osee* II, 19.)

21. Sicut et erga idola servitium *adulterium* vocat per quod et libellum repudii in manus accipit Jerusalem.

22. Nec minus et in invocatione Patris honorem Dei ad ipsos manifestat, et in invocatione Primogeniti; sint hæc de communi gloria.

23. Potentiam et justitiam Dei *sessionem* ejus et *thronum* vocat, ex eo quod apud nos hi qui judicandi et puniendi jure fruuntur super thronos sedentes jus exerceant, sicut, « Sedisti super thronum qui judicas justitiam; » et, « Deus sedet super sedem sanctam suam; » et, « Sedes tua, Deus, in sæculum sæculi; » et, « Qui sedes super Cherubim, » sint hæc de dignitatibus. (*Psal.* IX, 5; XLVI, 7; XLIV, 8; LXXIX, 2.)

24. Creatricem ejus energiam, sive per jussionem sicut de reliquis, sive per ipsam operationem, sicut pro nobis exprimit; et describere Jerusalem, et circumdare viam, et laqueum reteque ad per-

DAVID. HŒSCHELII NOTÆ.

(3) Verba in mss. transposita, τὴν κατὰ τῆς τῶν ἐχθρῶν.

(4) Pro κάθισιν legitur in mss. καθίστησιν.

Mira utriusque codicis depravatio, ex sensus verisimilitudine orta : nam serpens ille antiquus in Adamum hostiliter impetum fecit : sed ex Gen. 49, 17. leg. ἐγενήθη (sic et Procopius ms. at Romana editio, et quædam aliæ, γενηθήτω) τῷ Δὰν ὄφις ἐφ' ὁδοῦ.

Digitized by Google

versorum capturam **mittere** dicitur; sint hæc de actionibus.

25. In victoria et tropæorum formatione ejus protectionem erga bellantes, appropinquare, *surgere* et *exaltari* vocat; sicut, « Juxta est Dominus iis qui tribulato sunt corde. » (*Psal.* XXXIII, 19.)

26. Longinquitatem, protectionis in bello moram, sicut : « Ut quid, Domine, recessisti longe? » Sint hæc de locis. (*Psal.* IX, 22.)

27. Cum in aliquo loco auxiliator apparet, manifestationem ejus *indumentum* vocat, sicut, « Dominus regnavit, decorem indutus est; » et, « Amictus lumine sicut vestimento; » Sint hæc de indumentis. (*Psal.* XCII, 1.)

28. Quod animæ deprecationes non admittat Deus, bene *rejectionem* nominat eo quod a malis jactetur quæ preces ut liberetur adhibet, sicut : « Ut quid repellis animam meam? » Sint hæc de usibus. (*Psal.* LXXXVII, 15.)

29. Benevolentiæ ejus dilationem, *manuum aversionem*, dicit : sicut « Ut quid avertis manum tuam et dexteram tuam? » Sint hæc de specie. (*Psal.* LXXIII, 4.)

30. Animam et carnem Dei dicit, quando non ab habitu aut energia circa ipsum dat sermonem, sed de ipso particulariorem, sicut : « Sana animam meam, » loco dicendi, *me;* et, «Caro mea requiescet in spe, » loco dicendi *ego*. Firmum et stabile regnum ejus *paratum* dicit, sicut : « Parata sedes tua ex tunc, a sæculo tu es, » loco dicendi : « Ab initio stabile, immutabile; et, « Justitia et judicium præparatio sedis tuæ; » et, « In cœlis præparabitur veritas tua; » et regnasse dicit Deum cum, hostium dominator, amicos excitat sicut, « Dominus regnavit, irascantur populi et exsultet terra. » Et ista prout de Deo disserere licebat incepimus nihil ultra in cogitatu habentes; et de studiis circa intelligentiam in istis. (*Psal.* XL, 5; XV, 9; XCII, 2; LXXXVIII, 15; LXXXVIII, 3; XCVIII, 1; XCVI, 1.)

Quæ de stylo, sic.

1. Loco actionis aut fruitionis rei dicere tum *audivisse*, tum *vidisse*, tum *nosse*. Et sit *audivisse* sicut : « Auditui meo dabis gaudium et lætitiam, » pro *facies mihi;* sit *vidisse*, sicut : « Ad videndum in bonitate electorum tuorum, » loco dicendi : Ad fruendum consequente in nos bonitate tua; » sit et *nosse*, sicut, « Notas mihi fecisti vias, » loco dicendi : Vita frui me fecisti. » (*Psal.* L, 10; CV, 5; XV, 11.)

2. *Doce* pro *ostende*, sicut : « Doce me quia tu es Deus salvator meus. » (*Psal.* XXIV, 5.)

3. Locutus est, de Deo, sæpe pro *manifestavit*, sicut : « Deus locutus est in sancto suo. » (*Psal.* LIX, 8.)

4. *Semel*, de immutabili, sicut, « Semel locutus est Deus, » et, « Semel juravi. » (*Psal.* LXI, 12; XXXVIII, 36.)

καὶ δίκτυον καὶ ἀμφίβληστρον πρὸς τὴν τῶν φαύλων σύλληψιν τίθεσθαι λέγεται· εἴη δ' ἂν ταῦτα ἀπὸ ἐπιτηδευμάτων.

κε'. Τὴν ἐπὶ νίκῃ καὶ τροπαίων συστάσει συμμαχίαν αὐτοῦ ἐγγύτητά τε καὶ *ἀνάληψιν* καὶ *ὕψωσιν* καλεῖ· ὡς τὸ, « Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. »

κς'. Μακρότητα δὲ, τὴν τῆς συμμαχίας ἀναβολήν· ὡς τὸ, « Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν; » Εἴη δ' ἂν ταῦτα ἀπὸ τόπων.

κζ'. Τὴν ἐν ᾧπερ ἂν φαίνοιτο βοηθῶν τρόπῳ διάπειραν, *ἐσθῆτα* αὐτοῦ ὀνομάζει, ἐκ τοῦ παρ' ἡμῖν· ὡς τὸ, « Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· » καὶ τὸ, « Περιβαλλόμενος φῶς ὡς ἱμάτιον. » Εἴη δ' ἂν ταῦτα ἀπὸ στολισμῶν.

κη'. Τὸ μὴ τὰς τῆς ψυχῆς ἱκεσίας προσίεσθαι τὸν Θεὸν, εἰκότως *ἀπόῤῥιψιν* ὀνομάζει, διὰ τὸ τοῖς κακοῖς αὐτὴν ἐνστρέφεσθαι, ἢτις πάλιν ἀπαλλάττεσθαι παρακαλεῖ· ὡς τὸ, « Ἵνα τί ἀπωθεῖς τὴν ψυχήν μου; » Εἴη δ' ἂν ταῦτα ἀπὸ ἐθῶν.

κθ'. Τὴν ἀναβολὴν τῆς εὐμενείας αὐτοῦ, *χειρῶν ἀποστροφὴν*, λέγει· ὡς τὸ, « Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου; » Εἴη δ' ἂν ταῦτα ἀπὸ σχημάτων.

λ'. Ψυχὴν μέντοι καὶ *σάρκα* τοῦ Θεοῦ λέγει, ὅταν μὴ ἀπὸ σχέσεως ἢ ἀπὸ ἐνεργείας τὸν περὶ αὐτοῦ ποιεῖται λόγον, ἀλλὰ περὶ αὐτοῦ ἰδικώτερον· ὡς τὸ, « Ἴασαι τὴν ψυχήν μου, » ἀντὶ τοῦ, *Ἐμέ*· καὶ, « Ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι· » ἀντὶ τοῦ, *Ἐγώ*. Τὸ βέβαιον τῆς βασιλείας αὐτοῦ καὶ ἑδραῖον, *ἕτοιμον* ἐκφωνεῖ· ὡς τὸ, « Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε· » ἀντὶ τοῦ, « Ἀπ' ἀρχῆς ἑδραῖος, ἀμετακίνητος· » καὶ, « Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σου· » καὶ, « Ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου· » καὶ *βασιλεῦσαι* λέγει τὸν Θεὸν, ὅταν τῶν ἐχθρῶν κρατήσας, τοὺς ἰδίους ἐγείρει· ὡς τὸ, « Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. » Καὶ δὴ ταῦτα, καθὼς ἦν περὶ Θεοῦ φιλοσοφεῖν, ὑπεστησάμεθα, μηδέν τι περαιτέρω φρονεῖν ἔχοντες· καὶ περὶ μὲν τῶν ἐπὶ τῆς διανοίας ἐπιτηδευμάτων ἐν τούτοις.

Τὰ δὲ ἐπὶ τῆς λέξεως οὕτως.

α'. Τὸ ἀντὶ τῆς πράξεως ἤτοι τῆς ἀπολαύσεως τοῦ πράγματος λέγειν ποτὲ μὲν τὸ *ἀκοῦσαι*, ποτὲ δὲ τὸ *ἰδεῖν*, ποτὲ δὲ τὸ *γνῶναι*. Τὸ μὲν οὖν *ἀκοῦσαι*· ὡς τὸ, « Ἀκουτιεῖς μοι ἀγαλλίασιν, καὶ εὐφροσύνην· » ἀντὶ, Πράξεις μοι. Τὸ δὲ *ἰδεῖν*· ὡς τὸ, « Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου· » ἀντὶ τοῦ, « Ἀπολαῦσαι τῆς ἐπομένης περὶ ἡμᾶς σου χρηστότητος· » Τὸ δὲ *γνῶναι*· ὡς τὸ, « Ἐγνώρισάς μοι ὁδούς· » ἀντὶ τοῦ, Ἀπολαῦσαί με τῆς ζωῆς πεποίηκας.

β'. Τὸ *δίδαξον*, ἀντὶ τοῦ, *παράσχου*· ὡς τὸ, « Καὶ δίδαξόν με ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου. »

γ'. Τὸ *ἐλάλησεν*, ἐπὶ τοῦ Θεοῦ πολλάκις, ἀντὶ τοῦ, *ἀπεφήνατο*· ὡς τὸ, « Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ. »

δ'. Τὸ *ἅπαξ*, ἐπὶ τοῦ ἀμεταβλήτου· ὡς τὸ, « Ἅπαξ ἐλάλησεν ὁ Θεός· » καὶ, « Ἅπαξ ὤμοσα. »

Digitized by Google

ε'. Τὸ κατ' ἀνταπόκρισιν περὶ τοῦ παντὸς λαοῦ, A
ξη τὴν κοινὴν εὐπραγίαν σημαίνει· ὡς τό· « Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » Ὡς ἑκάστου τῶν ἐκ τοῦ λαοῦ λέγοντος· ᾧ ἐπισυνάπτει καὶ τὸ, « Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου. »

5. Quoddam juxta responsum a cuncto populo, communem beneficentiam significat, sicut: « O Domine, salvum fac, o Domine, bene incede; benedictus qui venit in nomine Domini, » quasi unusquisque a populo dixerit: cui superaddit: « Et benediximus vobis de domo Domini. » (*Psal.* CXVII, 25, 26.)

ς'. Τὸ μὴ ἐπὶ τόπου μόνον τὸ *ἐκεῖ* λέγειν, ἀλλὰ καὶ ἐπὶ πράξεων· ὡς τὸ, « Ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου, τουτέστιν εἰς τὴν θυσίαν ἐπὶ τιμωρίας· » καὶ ὡς τὸ, « Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. »

6. Non solum de loco *ibi* dicere, sed et de actionibus, sicut: « Illic iter quo ostendam illi salutare meum, » id est, in sacrificium; de pœna autem, sicut, « Ibi ceciderunt qui operantur iniquitatem. » (*Psal.* XLIX, 23; XXXV, 13.)

ζ'. Πολλαχοῦ δικαιοσύνην τὸ εἴτε ἐφ' ἑαυτοῦ λέγει τοῦ ἀνθρώπου, μὴ τὴν ἐκ τοῦ βίου ἀρετὴν ἑαυτοῦ μαρτυροῦντα· εἴτε δὴ καὶ τὴν ἐφ' ἑτέρων ὁμοίως· ὡς τὸ, « Εἰσάκουσον, Κύριε, δικαιοσύνην μου· καὶ B
ὅσα τοιαῦτα· ὡς ἀπολαύοντος δικαίως τῆς παρὰ τοῦ Θεοῦ βοηθείας, ἢ καὶ τοῦ Θεοῦ ὡς δικαίως παρέχοντος.

7. Sæpe justitiam sive de seipso dicit homine, non quam virtutem e vita ipsius testatur, sive ex aliorum vita similiter, sicut: « Exaudi, Domine, justitiam meam, » et quæcumque talia; quasi ipso ob justitiam fruente auxilio a Deo, aut et Deo tanquam justo se attendente. (*Psal.* XVI, 1.)

η'. Τὸ *ἀγαπᾶν* λέγει πολλαχοῦ ἐπὶ τοῦ Θεοῦ κατ' ἐπίτασιν· ὡς τὸ, « Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος· » καὶ, « Ὅτι Κύριος ἀγαπᾷ κρίσιν· » καὶ, « Δικαιοσύνην ἠγάπησεν· » ἀντὶ [τοῦ,] « Μετὰ τοῦ δικαίως κρίνειν ἐσπούδακεν· » καὶ τὸ, « Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. »

8. *Amare* dicit sæpe de Deo per extensionem, sicut: « Diligit misericordiam et judicium Dominus, » et, « Quia Dominus diligit justitiam, » et « Justitiam dilexisti. » (*Psal.* XXXII, 5; L, 8.)

θ'. Πολλάκις τὰς παραβολὰς μεταφορικῶς φράζει, ἐπὶ τῷ μεῖζονα τοῦ λεγομένου παραστῆσαι τὴν ἔμφασιν· ὡς τὸ, « Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολάς· » ἐκ πρώτης τε καὶ ἀρχῆς εἰπὼν, ἐκ μεταφορᾶς τοῦ τὴν ἀνατολὴν εἶναι ἀρχὴν τῆς ἡμέρας· καὶ τὸ, « Ἀπὸ ὕψους ἡμερῶν οὐ φοβηθήσομαι· κάνταῦθα γὰρ τὸ, *ἀπὸ ὕψους*, ἀντὶ τοῦ, *ἄνωθεν καὶ ἐξαρχῆς*· καὶ, « Ἡ συναγωγὴ τῶν ταύρων, » ἀντὶ τοῦ, « παμμεγεθῶν. »

9. Sæpe metaphorice parabolas dicit ut majorem dicta producant figuratam vim, sicut, « Deo qui ascendit super cœlum cœli ad orientem, » a prima et ab initio dicens, a metaphora sumpta ab oriente quod est diei initium. Et, « Ab altitudine diei non timebo, ibi enim, *ab altitudine* ponitur pro *ex alto* et *ab initio*. Et, « Congregatio taurorum, » pro « valde magnorum. » (*Psal.* LXVII, 34; LV, 4; LXVII, 31.)

ι'. Τὴν ὡς συλλαβὴν διχῶς λέγει· ἤτοι κατὰ παραβολὴν, ἢ βεβαίωσιν· κατὰ μὲν παραβολὴν· ὡς τὸ, « Θοῦ αὐτοὺς ὡς τροχὸν, ὡς καλάμην· κατὰ δὲ βεβαίωσιν· ὡς τὸ, « Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ· » ἀντὶ τοῦ εἰπεῖν, Σφόδρα ἀγαθός· καὶ τὸ, « Ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι· » καὶ, « Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ
ξν Πατρός· ἀντὶ τοῦ, *ἀληθοῦς*.

10. Bis syllabam ως dicit: tum per parabolam, tum per confirmationem. Per parabolam, sicut: « Pone illos ut rotam, ut stipulam; » per confirmationem, sicut: « Quam bonus Israel Deus, » pro dictione Valde bonus: et, « Facti sumus tanquam consolati; » et, « Vidimus gloriam ejus, gloriam quasi unigeniti a Patre, » pro *veri*. (*Psal.* LXXXIII, 14; LXXII, 1; CXXV, 1; *Joan.* I, 14.)

ια'. Σημαίνει τινὰ ὧν βούλεται καὶ ἀπὸ τῶν προσόντων· οἷον ὡς τὸ, « Παροικήσουσι καὶ κατακρύψουσιν· » ἵνα εἴπῃ, « Συνάγονται καὶ ἐνεδρεύουσιν, D
ἀπὸ τούτων εἰς ἕτερον ἀπιόντα τόπον ἐκεῖσε πάντως παροικεῖν, τῶν οἰκείων ἐκδημοῦντα. »

11. Designat quemdam de quibus vult et de præsentibus talem, ut: « Inhabitabunt et abscondent; » ut dicat: Congregantur et insidias parant, de his in alium abeuntem locum, illic penitius habitare de propriis peregrinantem. (*Psal.* LV, 6.)

ιβ'. Λέγει τὸ *κρύψαι* καὶ ἐπὶ τοῦ Θεοῦ αὐτὸν *φυλάξαι*· ὡς τὸ, « Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου· » ἀντὶ τοῦ, *φυλάξεις*· καὶ τὸ, « Ἐκρυψέ με ἐν σκηνῇ αὐτοῦ· » καὶ τὸ, « Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἣν ἔκρυψας τοῖς φοβουμένοις σε· » ἵνα εἴπῃ, « Ἣν φυλάσσεις τοῖς φοβουμένοις σε· » καὶ, « Τῶν κεκρυμμένων σου· » ὡσανεὶ, « Τῶν παρὰ σοῦ φυλαττομένων· » καὶ ἐφ' ἡμῶν· ὡς τὸ, « Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου. »

12. Dicit *abscondisse* et de Deo ipsum *servavisse*, sicut, « Abscondes eos in abscondito faciei tuæ, » pro *servabis*. Et, « Abscondit me in tabernaculo suo; » Et, « Quam magna multitudo dulcedinis tuæ, Domine, quam abscondisti timentibus te; » ut dicat: Quam servas timentibus te; et, « Absconditorum tuorum, » quasi, A te custoditorum. Et de nobis: « In corde meo abscondi eloquia tua. » (*Psal.* XXX, 21; XXVI, 5; XXX, 20; CXVIII, 11.)

ιγ'. Λέγει καὶ *κοιμᾶσθαι* ἐφ' ἡμῶν τὸ *καταπαύεσθαι*· ὡς τὸ, « Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλή-

13. Dicit et *dormire* de nobis pro *cessare*, sicut: « Si dormiatis inter medios cleros, » et, « In pace

Digitized by Google

in idipsum dormiam et requiescam. » (*Psal.* LXVII, 14; IV, 9.)

14. Sinum sæpe et de inseparabili dicit: « Redde vicinis nostris septuplum in sinu eorum, » pro, Inseparabilem illis affer multiplicem pœnam; et, « Quod continuisti in sinu meo multarum gentium; » et, « Oratio mea in sinu meo convertetur; » et, De medio sinu tuo in finem; » et, « Unigenitus Filius qui est in sinu Patris, ipse enarravit. » (*Psal.* LXXVIII, 12; LXXXVIII, 51; XXXIV, 13; LXXIII, 11; *Joan.* I, 18.)

15. Mendacium vocat quod non firmum, aut et mendacem, sicut: « Omnis homo mendax. » (*Psal.* CXV, 2.)

16. Sit coagmentatio misericordiæ Dei cum veritate, id propter harum securitatem et infallibile facit, sicut: « Misericordia et veritas obviaverunt sibi; » et, « Misericordia tua et veritas tua semper suscipiant me; » et, « Potens es, Domine, et veritas tua in circuitu tuo; » et, « Misericordiam et veritatem ejus quis requiret? » (*Psal.* LXXXIV, 11; XXXIX, 12; LXXXVIII, 9; LX, 8.)

17. Lavare manus, loco dictionis, non in quodam negotio rem habere; siquidem id legis est apud veteres; sicut, « Lavabo inter innocentes manus meas; » et, « Manus suas lavabit in sanguine peccatoris; » pro, Innocentem seipsum hujus rei pœnæ ostendet; sic et Pilatus fecit. (*Psal.* XXV, 6; LVII, 11; *Matth.* XXVII.)

18. Similitudinem dicit sæpe loco rei, sicut: « Assimilabor descendentibus in lacum, » pro *descendam*. (*Psal.* XXVII, 1.)

19. Cœlum sæpe cœlos vocat, sicut, « Laudate Dominum de cœlis. » (*Psal.* CXLVIII, 1.)

20. Parabolas sine ως, sicut, sæpe dicit; sicut: « Eduxit me de lacu miseriæ; » et, « Qui facit angelos suos spiritus, et ministros suos ignem urentem; » et, « Transivimus per ignem et aquam; » et, « Ascendunt montes; » et, « Catulus leonis Juda; » et, « Factus est Adamo coluber in via; » et, « Simul pascentur lupus cum agno; » et, « Egredietur virga de radice Jesse; » et, « Ecce ego præparabo lapidem tuum carbunculum; » et, « Equi amatores; » et, « Quia ignis comedit speciosa deserti; et, « Lignum vitæ est; » et, « Spinæ nascantur in manu temulenti; » et, « Conversus sum in ærumna dum mihi configitur spina; » et, « Bibebant de spirituali consequente eos petra, petra autem erat Christus. » Et, « Flumina de ventre ejus fluent aquæ vivæ. » (*Psal.* XXXIX, 3; LIII, 4; LXV, 12; CIII, 8; *Gen.* XLIX, 9, etc.)

21. A membris actionem manifestat: sicut: « Iniquitas calcanci mei circumdabit me, » loco, « actionis meæ; et, « Supplantavit me jam, » pro, Fraude me cepit. Et, « Confundamus eorum linguas, »

ρων· » καὶ, « Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω. »

ιθ'. Τὸν Κόλπον πολλαχοῦ καὶ ἐπὶ τοῦ ἀχωρίστου λέγει· ὡς τὸ, « Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν· » ἀντὶ τοῦ, Ἀχώριστον αὐτοῖς παράσχου τὴν πολυπλασίονά σου τιμωρίαν· καὶ, « Οὗ ὑπέσχου ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν· » καὶ, « Ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται· » καὶ, « Ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος· » καὶ, « Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. »

ιε'. Ψεῦδος καλεῖ τὸ ἀβέβαιον, ἢ καὶ ψεύστην· ὡς τὸ, « Πᾶς ἄνθρωπος ψεύστης. »

ις'. Τὸ τῷ ἐλέῳ τοῦ Θεοῦ τὴν ἀλήθειαν ἐπισυνάπτειν, διὰ τὸ ἀσφαλὲς αὐτῶν καὶ ἀδιάπτωτον τοῦτο ποιεῖ· ὡς τὸ, « Ἔλεος καὶ ἀλήθεια συνήντησαν· « καὶ, « Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντιλάβοιντό μου· » καὶ, « Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου· » καὶ, « Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει; »

ιζ'. Τὸ, « Νίψασθαι τὰς χεῖρας, » ἐπὶ τοῦ Μὴ κοινωνῆσαί τινος πράγματος· » ἐπειδὴ τοῦτο νενομοθέτηται τοῖς παλαιοῖς· ὡς τὸ, « Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου· » καὶ, « Τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ· » ἀντὶ τοῦ, « Ἀθῶον ἑαυτὸν τῆς ἐκείνου τιμωρίας ἀποδείξει· » οὕτω καὶ Πιλάτος ἐποίησε.

ιη'. Τὴν ὁμοιότητα λέγει πολλάκις ἀντὶ τοῦ πράγματος· ὡς τὸ, « Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον· » ἀντὶ τοῦ, Καταβήσομαι.

ιθ'. Τὸν οὐρανὸν πολλάκις οὐρανοὺς καλεῖ· ὡς τὸ, « Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. »

κ'. Τὰς παραβολὰς ἄνευ τοῦ ὡς λέγει πολλάκις· ὡς τὸ, « Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας· » καὶ, « Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον· » καὶ, « Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος· » καὶ, « Ἀναβαίνουσιν ὄρη· καὶ, « Σκύμνος λέοντος Ἰούδα· » καὶ, « Ἐγενήθη (5) τῷ Ἀδὰμ ὄφις ἐφόδου· » καὶ, « Συμβοσκηθήσεται λύκος μετ' ἀρνός· » καὶ, « Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί· » καὶ, « Ἰδοὺ ἐγὼ ἑτοιμάζω τὸν λίθον σου ἄνθρακα· » καὶ, « Ἵπποι θηλυμανεῖς· » καὶ, « Ὅτι πῦρ ἀνάλωσε τὰ ὡραῖα τῆς ἐρήμου· » καὶ, « Ξύλον ζωῆς ἐστι· » καὶ, Ἄκανθαι φύονται ἐν χειρὶ μεθύσου· » καὶ, « Ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν· » καὶ, « Ἔπινον ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός· » καὶ, « Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

κα'. Ἀπὸ μέλους τὴν πρᾶξιν ἐμφαίνει· οἷον, « Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με· ἀντὶ, Τῆς πράξεώς μου· » καὶ, « Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι· » καὶ, « Ἐπτέρνισέ με ἤδη· » ἀντὶ τοῦ,

DAVID HOESCHELII NOTÆ.

(5) Ἐπτέρνισέ με. Πτερνιστὴς inde dictus: is enim Hebræis ὁ Ἰακώβ, inquit Philo.

Digitized by Google

« ἐρράδιούργησε· » καὶ τό· « Συγχέωμεν αὐτῶν τὰς γλώσσας· » ἀντὶ τοῦ, *τὰς φωνάς*· καί· « Προσέθηκέ μοι ὠτίον· » ἀντὶ τοῦ, *ὑπακοήν*· » καί· « Ἡ γλῶσσα τῶν κυνῶν σου· » ἀντὶ τοῦ, *ἡ λάψις*· » καὶ τὸ, « Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν. »

κβ'. Τὴν *ὁδὸν* πολλάκις ἀντὶ πράξεως λέγει· ὡς τὸ, « Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι· » καὶ, « Ἔκρυψαν ἱερεῖς ὁδόν· ἵνα εἴπῃ, τὴν ἑαυτῶν πρᾶξιν· » καὶ, « Τάξατε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· » καὶ, « Ἵνα τί ἐπλάνησας ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου; » καὶ, « Αἱ ὁδοί σου καὶ τὰ ἐπιτηδεύματά σου ἐποίησάν σοι ταῦτα· » καὶ, « Ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας· » καὶ, « Ὡς ταύτην τὴν ὁδὸν ἐδίωξα· » καὶ, « Κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω.

κγ'. Τὴν *ὑπομονὴν* πολλάκις ἀντὶ τῆς *προσδοκίας* λέγει, ἢ καὶ τὸ *ὑπομένειν* ἀντὶ τοῦ προσδοκᾶν· ὡς τὸ, « Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; » ἵνα εἴπῃ, « Ἡ προσδοκία μου καὶ ἡ ἐλπίς· » καὶ τὸ παρὰ Ἱερεμίᾳ, « Ὑπομονὴ Ἰσραὴλ, Κύριε· » καὶ, « Ὑπέμεινα συλλυπούμενον· » καὶ, « Ὑπόμεινον τὸν Κύριον· » καὶ, « Ὑπόμεινόν με, λέγει Κύριος· » καὶ, « Ὑπομεινάντων αὐτῶν φῶς. »

κδ'. Τὰ *ἀναίτια* πολλάκις ὡς *αἴτια* λέγει· ὡς τὸ, « Ὅπως ἂν βαφῇ ὁ ποῦς σου ἐν αἵματι· » ἀντὶ τοῦ, « Ἀνάγκη πᾶσα· » καὶ τὸ, « Σοὶ μόνῳ ἥμαρτον· » καὶ, « Ὅπως ἂν ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου· » καὶ, « Ὅπως ἂν γνωσθῇ ἡ δικαιοσύνη τοῦ Κυρίου. » καὶ, « Ἐγὼ εἰς κρῖμα εἰς τὸν κόσμον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι· » καὶ τὸ, « Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα· » καὶ, « Ἵνα πᾶν στόμα φραγῇ· » καὶ, « Ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε. »

κε'. Τὴν πρᾶξιν ἀπὸ κοινωνίας σημαίνει· ὡς τὸ, « Καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω· » ἀντὶ τοῦ, « Οὐ μὴ παρανομήσω· » καὶ, « Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· » ἀντὶ τοῦ, « Οὐκ ἠσέβησε· » καὶ, « Οὐκ ἐκάθισα ἐν συνεδρίῳ παιζόντων· » καὶ, « Εἰς βουλὴν αὐτῶν μὴ εἰσέλθοι ἡ ψυχή μου. »

κς'. Τὸν ὅρκον ἐπὶ τοῦ βεβαίου λέγει· ὡς τὸ, « Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου· » καὶ, « Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν· » καὶ, « Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος· » καὶ, « Ὀμνύει Κύριος κατὰ τῆς ὑπερηφανίας Ἰακώβ. »

κζ'. Τὴν διάθεσιν πολλάκις ἀπὸ ῥημάτων δεικνύει· ὡς τὸ, « Εἶπον, Τίς ὄψεται αὐτούς; » ἀντὶ τοῦ, « Οὕτως ἔπραττον ἅπαντα » ὡσανεὶ οὐκ ὄντος τινὸς τοῦ ἐφορῶντος· καὶ, « Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός· » καὶ, « Εἶπον, Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους· » καὶ, « Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ· » καὶ, « Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό· »

pro, *loquelas*. Et : « Apposuit mihi aurem, » loco dictionis *auditum* ; et : « Linguam canum tuorum » pro, *potationem* ; et : « Linguam quam non noverat audivit. » (*Psal.* XLVIII, 5; *Gen.* XXVII, 36; *Isa.* L, 4; *Psal.* LXVII, 24; LXXX, 6.)

22. *Viam* sæpe loco actionis dicit : « Beati immaculati in via, qui ambulant. » Et : « Absconderunt sacerdotes viam, » ut dicat « eorum actionem; » Et : « Ponite corda vestra super vias vestras ; » et : « Quare errare nos fecisti de viis tuis ; » et : « Viæ tuæ et cogitationes tuæ fecerunt hæc tibi; » et : « Ut si quos invenisset hujus viæ vivos ; » et : « Qui hanc viam persecutus sum ; » et, « Secundum viam quam dicunt hæresim, sic deservio. » (*Psal.* CXVIII, 1, 3; CXXVII, 1; *Osee* VI, 9; *Agg.* I, 5; *Isa.* LXIII, 17; *Jerem.* IV, 18; *Act.* IX, 2; XXII, 4; 24, 14.)

23. *Expectationem* sæpe loco *spei* dicit, aut, *expectare* pro *sperare*, sicut : « Et nunc quæ est expectatio mea, nonne Dominus? » ut dicat, « Spes mea et confidentia ; » et apud Jeremiam : « Expectatio Israel, Domine; » et : « Sustinui qui simul contristaretur ; » et, « Exspecta Dominum ; » et, « Exspecta me, dicit Dominus ; » et, « Exspectantium eorum lucem. » (*Psal.* XXXVIII, 8; *Jerem.* XIV, 8; *Psal.* LXVIII, 25; XXVI, 20, 36, 34; *Soph.* III, 8; *Isa.* LIX, 9.)

24. Quæ causæ non sunt rerum sæpe quasi causæ essent dicit, sicut : « Ut intinguatur pes tuus in sanguine, » pro « necessitas omnis ; » et « Tibi soli peccavi, » et, « Ut ostendam in te virtutem meam ; » et, « Ut cognita sit justitia Domini ; » et, « In judicium ego in hunc mundum veni ut qui non vident videant ; » et, « Lex subintravit ut abundaret delictum ; » et, « Ut omne os obstruatur ; » et, « Ut non quæcunque voluntis, illa facietis. » (*Psal.* LXVII, 24; L, 6; *Rom.* IX, 17; *Mich.* VI, 5; *Joan.* IX, 39; *Rom.* V, 20; III, 19; *Gal.* V, 17.

25. Actionem per societatem significat, sicut : « Et cum iniqua gerentibus non introibo, » pro « Non legem transgrediar ; » et : « Beatus vir qui non abiit in consilio impiorum ; » pro, « Non impie egit ; » et : « Non sedi in concilio ludentium ; » et : « In consilium eorum non veniat anima mea. » (*Psal.* XXV, 4; I, 1; *Jerem.* XV, 17; *Gen.* XLIX, 6.)

26. Jusjurandum de firmo dicit, sicut : « Juravi David servo meo ; » et : Juravit Dominus David veritatem ; » et : « Per memetipsum juravi, dicit Dominus; et : « Juravit Dominus in superbiam Jacob. » (*Psal.* LXXXVIII, 4; CXXXI, 11; *Gen.* XXII, 16; *Amos* VIII, 17.)

27. Dispositionem sæpe per verba ostendit, sicut : « Dixerunt : Quis videbit eos? » pro, « Sic cuncta faciebant tanquam si nemo esset qui videret ; » et : « Dixit enim in corde suo, Non est Deus ; » et : « Dixerunt : Venite et disperdamus eos de gente ; » et : « Hæreditate possideamus sanctuarium Dei ; » et : « Dixerunt in corde suo cognatio eorum simul ; » et : « Dixistis, In quo despeximus? » Et, « Dixisti,

Digitized by Google

Ego sum et non est altera ; » et, « Tu vero dixisti in corde tuo ; » et, « Ego dixi in abundantiâ meâ, Non movebor in æternum ; » et, « Qui dixerit fratri suo Raca aut Fatue, reus erit consilio et gehennæ ignis ; » opinionem quæ in anima est ostendit coercens, pro : « Tali contra proximum arrogantia utens ut nullius sermonis illum dignum habeat. » (*Psal.* LXIII, 6; XIII, 1; LII, 1; LXXXII, 5; LXXXII, 13; LXXVIII, 8; *Mal.* I, 6, *Isa.* XLVII, 10; *Soph.* II, 15; *Isa*, XIV, 13; *Psal.* XXIX, 7; *Matth.* V, 22.)

καὶ, « Εἴπατε, Ἐν τίνι ἐφαυλίσαμεν ; » καὶ, « Σὺ δὲ εἶπας, Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα · » καὶ, « Σὺ δὲ εἶπας ἐν τῇ καρδίᾳ σου · » καὶ, « Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου. Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα · » καὶ, « Ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ Ῥακκὰ, ἢ Μωρὲ, ἔνοχος ἔσται τῷ συνεδρίῳ, καὶ τῇ γεέννῃ τοῦ πυρός · » τὴν οἴησιν τὴν κατὰ ψυχὴν δηλοῖ κολάζων · ἀντὶ τοῦ, « Τοσαύτῃ κατὰ τοῦ πέλας ὑπεροψίᾳ κεχρημένος ὡς μηδὲ τοῦ τυχόντος αὐτὸν ἄξιον ἡγεῖσθαι λόγου. »

28. *Malum* et etiam *malitiam* sæpe loco *pœnæ* dicit, sicut : « Misit in eos iram indignationis suæ, » et, « Ego faciens pacem et creans malum, » ut dicat, « pacem habere sinens et bellum permittens ; » et, « Appone eis mala, Domine ; » et, « Descendit malum a Domino ; » et, « Male tractavit Sara Agar ancillam suam ; » et, « Male tractabunt semen tuum ; » pro, « Mala pati parabunt. » Et, « Hæreditatem tuam malis affligent ; » et, « Convertens super malitiis, » pro, « Super negligentiarum pœnis ; » et, « Non est malum in civitatibus ; » et, « Sufficit diei malitia sua, » loco dicendi quia per diem occupatio decem millium fatigationum et laborum hominibus occasionem affert. (*Psal.* LXXII, 49; *Isa.* XLV, 7; *Isa.* XXVI, 15; *Mich.* I, 12; *Gen.* XVI, 6; XV, 13; *Psal.* XCIII, 5; *Joel.* II, 13; *Amos* III, 6; *Matth.* VI, 34.)

κη'. Τὸ *κακὸν*, ἤτοι τὴν *κακίαν*, πολλαχοῦ ἀντὶ τιμωρίας λέγει · ὡς τὸ, « Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ · » καὶ, « Ἐγὼ ποιῶν εἰρήνην. καὶ κτίζων κακά · » ἵνα εἴπῃ, εἰρηνεύειν ἐῶν, καὶ πολεμεῖσθαι συγχωρῶν · « καὶ, Πρόσθες αὐτοῖς κακὰ, Κύριε · » καὶ, « Κατέβη κακὰ παρὰ Κυρίου · » καὶ, « Ἐκάκωσε δὲ Σάρρα Ἄγαρ τὴν παιδίσκην αὐτῆς · » καὶ, « Κακώσουσιν αὐτό · » ἀντὶ τοῦ, « Κακοπαθῆσαι παρασκευάσωσι · » καὶ, « Τὴν κληρονομίαν σου ἐκάκωσαν · » καὶ, « Μετανοῶν ἐπὶ ταῖς κακίαις · » ἀντὶ τοῦ, « Ταῖς ὑπὲρ τῶν πλημμελημάτων τιμωρίαις · » καὶ, « Οὐκ ἔστι κακία ἐν πόλεσι · » καὶ, « Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς · » ἀντὶ τοῦ εἰπεῖν, ὅτι ἡ ἐπ' αὐτῆς ἐργασία μυρίων κόπων καὶ πόνων τοῖς ἀνθρώποις ὑπάρχει πρόξενος.

29. Sæpe calicem loco pœnæ adhibet, sicut : « Ignis et sulphur, et spiritus procellarum, pars calicis eorum ; » et : « Ecce tuli de manu tua calicem casus ; » et : « Calicem sororis tuæ bibes ; et Dominus, « Calicem bibiturus sum. » (*Psal.* X, 7; *Isa.* LI, 17, 22; *Ezech.* XXIII, 32; *Matth.* XX, 22.)

κθ'. Ποτήριον πολλαχοῦ ἐπὶ τιμωρίας λαμβάνει · ὡς τὸ, « Πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ · » καὶ, « Ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως · » καὶ, « Τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι · » καὶ ὁ Κύριος, « Ποτήριον μέλλω πίνειν. »

30. Nomen a Domino pro proprium habere dicit, sicut : « Cognoscant quia nomen tibi Dominus, » ut dicat, « Tu es Dominus ; et, « Ecce nomen Domini venit de longinquo, » pro *Dominus*. (*Psal.* LXXVII, 19; *Isa.* XXX, 27.)

λ'. Τὸ *ὄνομα* τὸ ἐπὶ τοῦ Κυρίου, ἀντὶ τοῦ ἴδιον ἔχειν λέγει · ὡς τὸ, « Γνώτωσαν ὅτι ὄνομά σοι Κύριος · » ἵνα εἴπῃ, « Σὺ εἶ Κύριος · » καὶ, « Ἰδοὺ τὸ ὄνομα Κυρίου διὰ χρόνου ἔρχεται πολλοῦ · » ἀντὶ, *ὁ Κύριος*.

31. Pœnas a Domino transfigurat metaphorice in *ignem*, et *gladium* et *tela*, sicut : « Sagittæ tuæ acutæ, potens. » (*Psal.* IV, 4, 7.)

λα'. Τὰς τοῦ Θεοῦ τιμωρίας σχηματίζει μεταφορικῶς εἰς τὸ *πῦρ*, καὶ *ξίφος*, καὶ *βέλη* · ὡς τὸ, « Τὰ βέλη σου ἠκονημένα, δυνατέ. »

32. Numerum *septem* ad abundantiam dicit : deinde ad perfectum numerum, sicut : « Septies in die, » pro *sæpe*, et : « Redde vicinis nostris septuplum ; » et, « Firmavit columnas septem. » (*Psal.* CXVIII, 164; LXXVIII, 12; *Prov.* IX, 1.)

λβ'. Τὸν *ἑπτὰ* ἀριθμὸν ἐπὶ πλεονασμοῦ λέγει, εἴτ' οὖν ἐπὶ τελείου ἀριθμοῦ · ὡς τὸ, « Ἑπτάκις τῆς ἡμέρας · » ἀντὶ τοῦ, *πολλάκις*, καὶ « Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα · » καὶ « Ὑπήρεισε στύλους ἑπτά. »

33. De Deo sæpe tractat quasi faciei immutationem faciens, sicut : « Justitia tua sicut montes Dei ; » et, « Sagittæ tuæ acutæ, potens [populi sub te cadent] in corda inimicorum [mei] regis, » id est, « Tui potentis regis ; » et, « Ad imaginem Dei creavit hominem ; » et, « Pluit Deus super Sodomam ignem et sulphur a Domino ; » et, « Det illi Dominus invenire misericordiam a Domino ; » et, « Ejus qui prædestinatus est Filius Dei ex resurrectione mortuorum, Jesu Christi Domini nostri. » (*Psal.* XXXV, 7; XLIV, 6; *Gen.* I, 27; XIX, 24; *II Tim.* I, 18; *Rom.* I, 4.)

λγ'. Περὶ τοῦ Θεοῦ πολλάκις διαλέγεται, ὥσπερ ἐναλλαγὴν προσώπου ποιουμένη · ὡς τὸ, « Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ · » καὶ, « Τὰ βέλη σου ἠκονημένα, δυνατὲ, [λαοὶ ὑποκάτω σου πεσοῦνται], ἐν καρδίᾳ τῶν ἐχθρῶν [μου] τοῦ βασιλέως · » τουτέστι · Τοῦ σοῦ δυνατοῦ βασιλέως · καὶ, « Κατ' εἰκόνα Θεοῦ ἐποίησε τὸν ἄνθρωπον · » καὶ, « Ἔβρεξεν ὁ Θεὸς εἰς Σόδομα πῦρ καὶ θεῖον παρὰ Κυρίου · » καὶ, « Δῴη αὐτῷ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου · » καὶ, « Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. »

Digitized by Google

λδ'. Τὸ *πρωΐ*, ἐπὶ ταχυτῆτος ἐκλαμβάνει πολλάκις· ὡς τὸ, « Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωΐ πρωΐ· » καὶ τὸ, « Πρωΐ, πρωΐ, δώσει τὸ κρῖμα αὐτοῦ· » τουτέστιν, Ἐκ τοῦ παραυτίκα· καὶ, « Ὡς *ὄρθρον*· τουτέστιν, Ἀθρόον. »

λε'. Τὴν χαρὰν ἤτοι ζωὴν *φῶς* λέγει πολλάκις, καὶ τὴν λύπην ἤτοι τὸν θάνατον *σκότος*· ἀπὸ [τοῦ] τοὺς μὲν [ἐν] εὐθυμίᾳ διάγοντας προβλεπτικωτέρους πως εἶναι ἐν τοῖς πράγμασι, τοὺς δὲ ἐν ἀθυμίᾳ καθεστῶτας μηδὲ τὰ ἐν ποσὶ καθορᾷν δύνασθαι· καὶ τῶν μὲν ζώντων εἶναι τὸ βλέπειν τὸ φῶς, τοὺς δὲ ἀποθνήσκοντας ἐν σκότει διατελεῖν· τὴν μὲν οὖν χαρὰν, ἢ ζωὴν [λέγει] *φῶς*· ὡς τὸ, « Φῶς ἀνέτειλε τῷ δικαίῳ· » καὶ, « Ὁ Θεός μου, φωτιεῖ τὸ σκότος μου· » ἀντὶ τοῦ, « Τὴν λύπην μου εἰς χαρὰν μετασκευάσεις· » καὶ τὸ, « Ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου· » καὶ « Φωτίζου, φωτίζου, Ἱερουσαλήμ· » καὶ, « Ἐὰν πορευθῶ ἐν σκότει, Κύριος φωτιεῖ μοι· » τουτέστι, Τοὐναντίον, ἐμοῦ συμφορὰν καὶ θλῖψιν ὑφορωμένου, χαρά τις καὶ εὐωχία ἐκ παραδόξου συνήντησε· τὴν δὲ λύπην καὶ θάνατον, *σκότος*· ὡς τὸ, « Καὶ εἶπα, Ἄρα σκότος καταπατήσει με· » καὶ τὸ, « Νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου· » καὶ, « Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος· » καὶ, « Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. »

λς'. Συντέλειαν τῶν στοιχείων ὁρίζεται ἐπὶ τῶν ἀμαυρουμένων καὶ καθορᾷν μὴ συγχωρουμένων· ὡς τὸ, « Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ οἱ ἀστέρες οὐ δώσουσι (6) τὸ φέγγος αὐτῶν· » καὶ, « Κύριος δώσει φωνὴν ἀπὸ προσώπου δυνάμεως αὐτοῦ, ὅτι πολλή ἐστι σφόδρα ἡ παρεμβολὴ αὐτοῦ. »

λζ'. Τὴν ἐπὶ τῶν ἀνθρωπίνων κακῶν συγχώρησιν τοῦ Θεοῦ, ὡς πρᾶξιν αὐτοῦ λέγει· ἐπειδὴ κωλῦσαι δυνάμενος, τοῦτο οὐ ποιεῖ· ὡς τὸ, « Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας· » καὶ, « Μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· » καὶ, « Ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου· » καὶ, « Ἰδοὺ ἐγὼ πλανῶ αὐτὴν, περὶ τῆς Ἱερουσαλήμ· » καὶ, « Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε· καὶ, « Σκληρύνων σκληρυνῶ τὴν καρδίαν Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ· » καὶ, « Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. »

λη'. Τὸ δυνατὸν τοῦ Θεοῦ διὰ τῆς πράξεως πολλάκις λέγει· ὡς τὸ, « Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· » καὶ, « Ὁ ἀπειλῶν τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν· » καὶ, « [Κατὰ πόδας αὐτοῦ] ἔστη καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη. »

λθ'. Πολλαχοῦ τὴν *σάρκα* λέγει, ἤτοι ἐπ' αὐτῆς τῆς φύσεως· ὡς τὸ, « Ἔθεντο τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἢ ἐπὶ φαυλότητος· » ὡς τὸ, « Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀν-

34. Mane de rapiditate sæpe assumit, sicut: « Adjuvabit eam Deus mane diluculo; » et, « Mane, mane, judicium suum dabit, » id est, confestim; et, *Diluculo*, id est, statim. (*Psal.* LXV, 6; *Soph.* III, 5.)

33. Lætitiam aut vitam *lumen* sæpe dicit, et afflictionem; mortem, *tenebras*; ex eo quod hi qui in lætitia degunt perspicaciores quodam modo sint in negotiis, isti vero qui in animi demissione stant nec quæ obvia sunt respicere possint; et quod viventium sit lumen videre, dum morientes in tenebris consummantur; lætitiam ergo aut vitam, [dicit] lumen, sicut, « Lux orta est justo, » et, « Deus meus, illuminabis tenebras meas, » pro « Afflictionem meam in lætitiam mutari parabis; » et: « Erit lux lunæ sicut lux solis; » et, « Illuminare, illuminare, Jerusalem; » et, « Cum incessero tenebris, Dominus lux mea est, » id est, « E contrario me in calamitatibus et infortuniis apparente, lætitia quædam, et convivium ex adverso obviavit. » Afflictionem et mortem, *tenebras*, sicut, « Et dixi: Forsitan tenebræ conculcabunt me; » et, « Nox illuminatio in deliciis meis; » et, « Timor et tremor venerunt super me et contexerunt me tenebræ; » et, « Posuerunt me in lacu inferiori, in tenebrosis et in umbra mortis. » (*Psal.* XCVI, 11: XVII, 29; *Isa.* XXX, 26; LX, 1; *Mich.* VII, 8; *Ps.* CXXXVIII, 11; LIV, 6; LXXXVII, 7.)

36. Finem elementorum definit per obscurata et ea quibus videre non datur, sicut: « Sol et luna obtenebrati sunt et stellæ retraxerunt splendorem suum, » et: « Dominus dedit vocem suam ante faciem potentiæ suæ, quia multa sunt nimis castra ejus. » *Joel.* III, 15; II, 11.

37. In hominum malis permissionem a Deo tanquam actionem ejus dicit, cum impedire valens, illud non facit, sicut: « Ne declines cor meum in verba malitiæ; » et, « Ne declines in ira a servo tuo; » et, « Declinasti semitas nostras a via tua; » et, « Ecce ego errare facio eam, » de Jerusalem; et, « Quare errare nos fecisti, Domine, de viis tuis? Indurasti cor nostrum ne timeremus te; » et, « Indurans induravi cor Pharaonis et servorum ejus; » et, « Tradidit illos Deus in reprobum sensum. » (*Psal.* CVL, 4; XXVI, 9; XLIII, 19; *Isa.* LXIII, 17; X. 1; XIV, 4, 17; *Rom.* I, 28.)

38. Quod Deo possibile est per actionem sæpe dicit, sicut: « Qui respicit terram et facit eam tremere; » et, « Increpans mare et exsiccans illud et omnia flumina ad desertum deducens; » et « [Ante pedes ejus] stetit et agitata est terra, aspexit et dissolutæ sunt gentes. » (*Psal.* CIII, 32; *Nahum* I, 4; *Habac.* III, 5, 6.)

39. Sæpe *carnem* dixit vel de ipsa natura, sicut: « Posuerunt carnes sanctorum tuorum bestiis terræ; » vel de vilitate, sicut: « Non permanebit in æternum Spiritus meus in homine quia caro est; »

DAVID. HŒSCHELII NOTÆ.

(6) *Οὐ δώσουσι* Lib. editi, δύσουσι.

Digitized by Google

et de morti obnoxietate, sicut : « Et recordatus est quia caro sunt, spiritus vadens ; » et, « Omnis caro fenum ; » et Apostolus : « Etenim si cognovimus secundum carnem Christum, » ut dicat, mortalem ; et, « In diebus carnis suæ ; » et, « Caro et sanguis regnum Dei possidere non possunt ; » et, « Quod autem nunc vivo in carne, in fide vivo ; » de cognatione vero, sicut Osee : « Caro mea ex ipsis ; » et, « Ecce os tuum et caro tua sumus heri et nudius tertius ; » et, « Fratres mei vos , » et, « Nonne os meum et caro mea es ? » ad Amasam ; « Et si quomodo ad æmulandum provocem carnem meam. » (*Psal.* LXXVIII, 2 ; *Gen.* VI, 3: *Psal.* LXXVII, 39 ; *Isa.* 48, 6 ; *II Cor.* V, 16 ; *Hebr.* V, 7 ; *I. Cor.* XV, 58 ; *Galat.* II, 28 ; *Osee.* IX, 12 ; *II, Reg.* V, 2 ; XIX, 12, 13 ; *Rom.* XI, 14.)

A θρώποις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· καὶ ἐπὶ θνητότητος· » ὡς τὸ, « Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον· » καὶ, « Πᾶσα σὰρξ χόρτος· » καὶ ὁ Ἀπόστολος, « Εἰ γὰρ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν· » ἵνα εἴπῃ, θνητόν· καὶ, « Ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ· » καὶ, « Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· » καὶ, « Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ· » ἐπὶ συγγενείας δέ· ὡς παρὰ τῷ Ὡσηὲ, « Σάρξ μου ἐξ αὐτῶν· » καὶ, Ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς χθὲς καὶ τρίτην ἡμέραν· » καὶ, « Ἀδελφοί μου ὑμεῖς· » καὶ, « Οὐχὶ ὀστοῦν μου καὶ σάρξ μου σύ ; » πρὸς τὸν Ἀμεσσά· καὶ, « Εἴ πως παραζηλώσω μου τὴν σάρκα. »

40. Filium pro *homo* dicit : « Quid est homo quod memor es ejus ? aut filius hominis ? » pro *homo ;* et, « Fili hominis ; » pro *homo* ; et, « Catulus leonis, » pro *leo ;* et, « Sicut ovis ad occisionem ductus est ; » et, « Quasi agnus coram tondente se obmutescet. » (*Psal.* VIII, 5 ; *Ezech.* II, 6 ; *Nahum* II, 11 ; *Isa.* LIII, 7.)

B μ'. Τὸν Υἱὸν ἀντὶ τοῦ *ἄνθρωπος* λέγει· « Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ ; ἢ Υἱὸς ἀνθρώπου, » ἀντὶ τοῦ, *ἄνθρωπος*· καὶ, « Τὶὲ ἀνθρώπου· » ἀντὶ τοῦ, *ἄνθρωπε*· καὶ, « Σκύμνος λέοντος » ἀντὶ τοῦ, *λέων*· καὶ, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, » καὶ, « Ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. »

41. Sæpe utitur *spiritus* nomine, tum pro *consilio*, tum pro *charismate*, tum pro *angelo*, tum pro *anima*, tum pro *voce*, tum pro *aere*, pro *consilio* Dei, sicut : « Fecistis consilium et non per spiritum meum ; » pro *consilium*. Et, « Convertet spiritum suum, » pro *consilium*. Et, de nobis, sicut : « Spiritum rectum innova in visceribus ; » idest, *consilium ;* et, « Non est creditus cum Deo spiritus ejus, » nempe *consilium*. Et, « In spiritu fornicationis erraverunt ; » et, « Ephraim malus spiritus ; » et, « Quia non inventus est spiritus alius in eo ; » et, « Nunc ecce alligatus ego spiritu vado in Jerusalem ; » et Dominus : « Beati pauperes spiritu. » Et pro charismate, sicut : « Et spiritu principali confirma me ; » et, « Spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudinis, spiritus scientiæ et pietatis, spiritus timoris Dei replebit eum ; » et : « Duplex fiat spiritus tuus in me ; » et Apostolus *spiritum* charisma sæpe dicit, sicut : « Spiritum nolite exstinguere. » Et pro *angelo*, sicut : « Et ingressus est in me spiritus et levavit me, et assumpsit me. » Pro *anima*, sicut : « Exibit spiritus ejus et revertetur in terram suam. » Et pro *voce* sicut : « Verbo Domini cœli firmati sunt et spiritu oris ejus omnis virtus eorum ; » et Apostolus : « Orabo spiritu, orabo et mente. » Pro *aere*, sicut : « In spiritu vehementi conteres naves Tharsis ; » et, « Emisisti spiritum tuum et operuit eos mare ; » et, « A quatuor spiritibus veniat. » *Isa.* XXX, 1 ; *Psal.* L, 12 ; LXXVII, 8 ; *Osee* VI, 12 ; XII, 1 ; *Num.* XIV, 24 ; *Act.* XX, 22 ; *Matth.* V, 3 ; *Psal.* L, 14 ; *Isa.* II, 2 ; *IV Reg.* II, 9 ; *I Thess.* V, 19 ; *Ezech.* II, 24, III, 2 ; 14 ; *Psal.* CLXV, 3 ; XXXII, 6 ; *I Cor.* XIV, 15 ; *Psal.* XLVII. 8 ; *Exod.* XV, 10 ; *Ezech.* XXXVII, 9.)

μα'. Πολλαχῶς κέχρηται τῇ τοῦ *Πνεύματος* προσηγορίᾳ, ἤτοι ἐπὶ *προαιρέσεως*, ἢ ἐπὶ χαρίσματος, ἢ ἐπὶ *ἀγγέλου*, ἢ ἐπὶ *ψυχῆς*, ἢ ἐπὶ *φωνῆς*, ἢ ἐπὶ *ἀέρος*· ἐπὶ μὲν *προαιρέσεως* τοῦ Θεοῦ· ὡς τὸ, « Ἐποιήσατε συνθήκας, οὐ διὰ τοῦ πνεύματός μου· » ἀντὶ, *προαιρέσεως*· καὶ τὸ, « Μεταβαλεῖ τὸ πνεῦμα αὐτοῦ· » ἀντὶ, *προαίρεσιν*· τῆς δὲ ἐφ' ἡμῶν· ὡς τὸ, « Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις· » τουτέστι· *προαίρεσιν*· καὶ, « Οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς· » ἤγουν, ἡ *προαίρεσις*· καὶ, « Πνεύματι πορνείας ἐπλανήθησαν· » καὶ, « Ἐφραὶμ πονηρὸν πνεῦμα· » καὶ, « Ὅτι μὴ εὑρεθῇ πνεῦμα ἕτερον ἐν αὐτῷ· » καὶ, « Νῦν δεδεμένος τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλήμ· » καὶ ὁ Κύριος, « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· » ἐπὶ δὲ *χαρίσματος*· ὡς τὸ, « Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με· » καὶ, « Πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν· » καὶ, « Διασῶς ἐλθέτω τὸ πνεῦμά σου ἐπ' ἐμέ· » καὶ ὁ Ἀπόστολος Πνεῦμα τὸ *χάρισμα* πολλαχοῦ φησιν· οἷον, « Τὸ πνεῦμα μὴ σβέννυτε· » ἐπὶ δὲ *ἀγγέλου*· ὡς τὸ, « Καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦμα, καὶ ἀνέλαβέ με, καὶ ἐξῆρεν· » ἐπὶ δὲ *ψυχῆς*· ὡς τὸ, « Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ· » ἐπὶ δὲ *φωνῆς*· ὡς τὸ, « Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· » καὶ ὁ Ἀπόστολος, « Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· » ἐπὶ δὲ *ἀέρος*· ὡς τὸ, « Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσείς· » καὶ, « Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα· » καὶ, « Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθέτω. »

Digitized by Google

μβ'. Τὸ ἕως πολλαχοῦ (7) οὐκ ἐπὶ χρόνου λέγει, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ πράγματος· ὡς τὸ, « Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ ἕως οὗ παρέλθῃ ἡ ἀνομία. » Οὐ γὰρ μετὰ τοῦτο τῆς πρὸς Θεὸν ἐλπίδος ἔμελλεν ἀπαλλάττεσθαι· καὶ, « Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· » καὶ, « Ἐγώ εἰμι ἕως ἂν καταγηράσητε. » Καὶ, « Ἐκζητήσατε τὸν Κύριον ἕως τοῦ ἐλθεῖν ὑμῖν γεννήματα δικαιοσύνης· » καὶ, « Οὐ προσέθετο Σαμουὴλ ἰδεῖν τὸν Σαοὺλ ἕως ἡμέρας θανάτου αὐτοῦ· » καὶ τὸ, « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος· » καὶ, « Οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. »

μγ'. Τῇ τῶν χρόνων ἐναλλαγῇ κέχρηται συνεχῶς· μέλλοντι μὲν ἀντὶ παρεληλυθότος· ὡς τὸ, « Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· » ἀντὶ τοῦ, *ἔλουσα*· καὶ, « Ἐν ποταμῷ διελεύσονται πεζοί· » ἀντὶ τοῦ, *διῆλθον*· καὶ, « Ὡς χελιδὼν οὕτω φωνήσω. » Καὶ παρεληλυθότι ἀντὶ μέλλοντος· ὡς τὸ, « Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου· » ἀντὶ τοῦ, *εἰσακούσεταί μου*· καὶ, « Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ. » Καὶ μέλλοντι ἀντὶ ἐνεστῶτος· ὡς τὸ, « Παροικήσουσι καὶ κατακρύψουσιν· » ἀντὶ τοῦ, *παροικοῦσι*· καὶ, « Φθέγξονται καὶ λαλήσουσιν. »

μδ'. Τὸν αἰῶνα τριχῶς λέγει· ἤτοι τὸν τῆς ζωῆς ἑκάστου χρόνον, ἢ τὴν τοῦ χρόνου καθόλου παρέκτασιν, ἢ τὸ διηνεκές τε καὶ ἀτελεύτητον· ἐπὶ μὲν οὖν τοῦ τῆς καθ' ἕκαστον ζωῆς χρόνου· ὡς τὸ, « Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος· » καὶ, « Ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος· » καὶ, « Εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι· ἄχρις ἂν ζῶ καὶ εἰμί· » καὶ, « Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ· » καὶ, « Δουλεύσει σοι εἰς τὸν αἰῶνα· » καὶ, « Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα· » καὶ, « Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα· » καὶ, « Οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. » / 9 /

Ἐπὶ δὲ τῆς τοῦ χρόνου καθόλου παρεκτάσεως· ὡς τὸ, « Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς· » ἀντὶ τοῦ, Ἄχρις ἂν ἡ παροῦσα μένῃ κατάστασις· οὐ γὰρ ἐπ' ἀναιρέσει τῆς ἀναστάσεως ἀπεράντως ἐφθέγξατο· καὶ, « Ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς· ἐπὶ τῶν ἀλλοφύλων, ἵνα εἴπῃ χρόνιον, ὥστε καὶ ὑπὸ τῶν αὖθις αἰσχίστων μνημονεύεσθαι· » καὶ τὸ, « Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· » καὶ, « Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον· » καὶ, « Οὐδὲ μὴ ἐντραπῶσιν ἕως (8) τοῦ αἰῶνος ἐν ὄρει Σιών, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· » Ἀντὶ τοῦ, ἐπὶ πολὺν χρόνον. Καὶ, « Ἰουδαία εἰς τὸν αἰῶνα κατοικισθήσεται. »

42. *Donec* sæpe non de tempore dicit, sed de eadem re, sicut : « Et in umbra alarum tuarum sperabo, donec transeat iniquitas ; » non enim post hoc a spe in Deum immutari debuit; et, « Donec ponam inimicos tuos scabellum pedum tuorum. » Et, « Ego ipse, donec senescatis. » Et, « Quærite Dominum donec veniant vobis genimina justitiæ ; » et, « Non proposuit Samuel videre Saul usque ad diem mortis suæ ; » et, « Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi ; » et, « Non cognoscebat eam donec peperit filium. » (*Psal.* LVI, 2 ; CIX, 1 ; *Isa.* LXVI, 4 ; *Osee* X, 12 ; *I Reg.* XV, 35 ; *Matth.* XXVIII, 20 ; I, 24.)

43. Temporum immutatione continuo utitur : futuro quidem pro præterito, sicut : « Lavabo per singulas noctes lectum meum, » pro *lavi*. Et, « In flumine pertransibunt pede, » pro *pertransierunt*. Et, « Sicut pullus hirundinis sic clamabo ; » et præterito pro futuro, sicut : « Ego autem ad Deum clamavi, et Dominus exaudivit me, » pro *exaudiet* me. Et, « Tunc conturbati sunt principes Edom. » Et futuro loco præsentis, sicut : « Inhabitabunt et abscondent, » pro *inhabitant* ; et, « Effabuntur et loquentur. » *Psal.* IV, 7 ; LXV, 6 ; *Isa.* XXXVIII, 14 ; *Psal.* LIV, 17 ; *Exod.* XV, 15 ; *Psal.* LV, 7 ; XCIII, 4.)

44. Perpetuitatem triplici modo dicit, tum temporis cujusque vitæ, tum temporis totius extensionem, tum continuum et infinitum ; itaque de tempore cujusque vitæ, sicut : « Et laboravit in æternum et vivet adhuc in finem. » Et, « Tribuisti ei longitudinem dierum in sæculum sæculi ; » et, « In æternum confitebor tibi, dum vivo et sum. » Et, «Non commovebitur in æternum qui habitat in Jerusalem ; » et, « Serviet tibi usque in æternum, » et, « Non lavabis mihi pedes in æternum. » Et, « Non manducabo carnem in æternum. » « Non sitiet in æternum. » (*Psal.* XLVIII, 9 ; XX, 5 ; XXIX, 13 ; III ; 6 ; CXXVI, 1 ; *Deut.* XV, 17 ; *Joan.* XIII, 8 ; *I Cor.* VIII, 13 ; *Joan.* IV, 13.)

De temporis totius extensione, sicut : « Introibit usque in progenies patrum suorum, et usque in æternum non videbit lumen, » pro, « Quandiu manserit rerum ordo præsens ; » non enim de abrogatione resurrectionis in infinitum locutus est ; et, « Opprobrium sempiternum dedit illis, » de alienigenis, ut dicat diuturnum, ita ut et a posterorum infamissimis memoria servetur ; et, « In memoria æterna erit justus ; » et, « Israel salvatus est in Domino salute æterna ; » et, « Non confundant usque in æternum in monte Sion ex hoc nunc et in æternum, » pro in multum tempus ; Et, « Judæa in æternum salvabitur. » *Psal.* XLVIII, 20 ; LXXVII, 66 ; III, 7 ; *Isa.* XLV, 17 ; *Joel* III, 30.)

DAVID. HŒSCHELII NOTÆ.

(7) *Τὸ Ἕως πολλαχοῦ*, τὸ Ἕως οὐ πάντως ἀντιδιαιρεῖται τῷ μέλλοντι· ἀλλὰ τὸ μέχρι μὲν τοῦδε τίθησι, τὸ μετὰ τοῦτο δὲ οὐκ ἀναίνεται, Naz. Orat. II. *De Filio*. Similia vide apud Basil. M. Hom. in Nat. Christi, p. 235, et apud Isidor. Pelus. lib. I, epist. 18, in qua σφάλμα reponatur ὁ κόραξ· denique apud D. August. *De sermone Domini in monte*, c. 21.

Digitized by Google

De continuo et infinito, sicut : « Sedes tua, Deus, in sæculum sæculi; » et, « In æternum, Domine, verbum tuum permanet in cœlo ; » et, « Dominus in æternum permanet, cujus regnum sempiternum. » Et Dominus dicit : « Centuplum accipiet nunc in hoc sæculo, et in futuro vitam æternam possidebit. » Et, « Hæc est autem vita æterna ; » et, « Ego vitam æternam dabo eis. » (*Psal.* XLIV, 7; CXVIII, 89; *Dan.* VII, 27; *Matth.* XIX, 29; *Joan.* XVII, 3; X, 28.)

Optata imperative dicit, sicut : « Deleantor de libro viventium, » pro *deleantur* et *non scribantur*. Et, « In magnitudine brachii tui fiunto immobiles quasi lapis, » pro *fiant ;* et « Sublevabis de corruptione vitam meam. » (*Psal.* LXVIII, 29; *Exod.* XV, 16; *Joan.* II, 7.)

Initium dictionum in compositione.

Propria beati David sint hæc ; secundum ellipsim, sicut : « Sed aut tanquam pulvis quem projicit ventus a facie terræ, » deest *erit ;* et *aiens*, aut *dicens*, aut *dixisti*, aut *dicunt* aut quid simile. Et quidem pro voce *aiens*, sicut : « Ad Dominum cum tribularer clamavi (aiens), Quæ utilitas in sanguine meo? » Mutatum est autem tempus; et, « De profundis clamavi ad te, Domine (aiens), Domine, eripe animam meam ; » de verbo *dicens*, sicut : « Cantabo et psallam Domino (dicens) ; » non enim est in psalmis alternatio personæ ; de voce *dixisti*, sicut : « cum accepero tempus, ego justitias judicabo ; » et, « Intellectum tibi dabo et instruam te ; » de voce *dicentes*, ut : « Adversus Dominum et adversus Christum ejus (dicentes) ; de *dicunt*, sicut : « Nolite loqui adversus Deum iniquitatem, » pro *dicunt ;* « Neque a desertis montibus. » (*Psal.* I, 4; CXIX, 1; XXIX, 10; CXXIX, 1; VI, 4; CIII, 33; LXXIV, 3; XXXI, 8; XII, 2; LXXIV, 6; LXXIV, 7.)

Repetitione aliis verbis ubique utitur, sicut : « Ecce enim in inquitatibus conceptus sum, et in peccatis concepit me mater mea. » Et, « Ego dormivi et soporatus sum ; » et, « Terrigenæ et filii hominum ; » et, « Qui facit angelos suos spiritus, et ministros suos flammam ignis ; » et, « Factus est mihi Dominus in refugium et Deus meus in adjutorium spei meæ ; » et, « Dominus locutus est et vocavit terram ; » et, « Effabuntur et loquentur; » et, « Verba mea auribus percipe, Domine. » (*Psal.* L, 7; III, 6; XLVIII, 3; CIII, 4; XCIII, 22; XCII, 4; V, 1.)

Tripliciter idem sæpe secundum inversionem quamdam, sicut : « Vides, pro quia vides, » et, « Tuum hoc brachium, » pro « hoc tuum. » (*Psal.* LXXXVIII, 14.)

Et longiori modo inversionem facit, sicut : « In reliquiis tuis præparabis vultum eorum, » pro « in reliquiis eorum ; » sicut apud lyricos inveniuntur talia. (*Psal.* XX, 13.)

Hyperbatis et transpositionibus utitur, sicut « Dum superbit impius, incenditur pauper, quo-

Ἐπὶ δὲ τοῦ διηνεκοῦς τε καὶ ἀτελευτήτου· ὡς τὸ, « Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· » καὶ, « Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ· » καὶ, « Κύριος εἰς τὸν αἰῶνα μένει, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος· » καὶ ὁ Κύριός φησιν, « Ἑκατονταπλασίονα λήψεται ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον κληρονομήσει· » καὶ, « Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή· » καὶ, « Ἐγὼ ζωὴν αἰώνιον δώσω αὐτοῖς. »

Τὰ εὐκτικὰ προστακτικῶς λέγει· ὡς τὸ, « Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων· » ἀντὶ τοῦ, *ἐξαλειφθεῖεν*· καὶ μὴ *ἐγγραφεῖεν*· καὶ, « Μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν· » ἀντὶ τοῦ, *ἀπολιθωθεῖεν* καὶ, « Ἀναβαίη ἐκ φθορᾶς ἡ ζωή μου. »

Ἀρχὴ τῶν ἐπὶ τῆς συνθέσεως.

Ἴδια τοῦ μακαρίου Δαυὶδ εἴη ἂν ταῦτα· κατ' ἔλλειψιν· ὡς τὸ, « Ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ἄνεμος ἀπὸ προσώπου τῆς γῆς· » λείπει τὸ *ἔσται*· καὶ τὸ, *εἰπὼν*, ἢ *λέγων*. Ἢ *εἶπας*, ἢ *λέγουσιν*, ἢ τι τοιοῦτον· καὶ τὸ μὲν *εἰπὼν*, ὡς τὸ, Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα εἰπὼν, « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου; ἐνηλλάκται δὲ ὁ χρόνος· » καὶ, « Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, » εἰπὼν, « Κύριε, ῥῦσαι τὴν ψυχήν μου· » τὸ δὲ *λέγων*· ὡς τὸ, « Ἄσω καὶ ψαλῶ τῷ Κυρίῳ, λέγων· » οὐ γάρ ἐστιν ἐν τοῖς ψαλμοῖς ἐναλλαγὴ προσώπου· τὸ δὲ *εἰπας*· ὡς τὸ, « Ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ· » καὶ, « Συνετιῶ σε καὶ συμβιβῶ σε· » ἐπὶ δὲ τοῦ *λέγοντες*· ὡ; τὸ, « Κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, λέγοντες· » ἐπὶ δὲ τοῦ *λέγουσιν*· ὡς τὸ, « Καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν· » ἀντὶ τοῦ, *λέγουσιν*· Οὐδαμῶς ἀπὸ ἐρήμων ὀρέων.

Τῇ ταυτολογίᾳ κέχρηται πανταχοῦ· ὡς τὸ, « Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσησέ με ἡ μήτηρ μου· » καὶ, « Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· » καὶ, « Γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων· » καὶ, « Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· » καὶ, « Ἐγένετό μοι, Κύριος, εἰς καταφυγὴν, καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου· » καὶ, Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν· » καὶ, « Φθέγξονται καὶ λαλήσουσι· » καὶ, « Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε. »

Τριχῶς τὸ αὐτὸ πολλάκις κατὰ ἀντιστροφήν τινα· ὡς τὸ, *βλέπεις*, ἀντὶ τοῦ, Ὅτι βλέπεις· καὶ, « Σὸς ὁ βραχίων, » ἀντὶ τοῦ, Ὁ σός.

Καὶ διὰ μακροτέρου τὴν ἀντιστροφὴν ποιεῖται· ὡς τὸ, « Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν· » ἀντὶ τοῦ, Ἐν τοῖς περιλοίποις αὐτῶν· ὡς καὶ παρὰ τοῖς λυρικοῖς εὑρίσκονται τοιαῦτα.

Ὑπερβατοῖς καὶ ὑπερθέσεσι κέχρηται· ὡς τὸ, « Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται

Digitized by Google

ὁ πτωχὸς, ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλός· » παρεγκειμένου τοῦ *συλλαμβάνονται*· καὶ, « Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν· » τὸ γὰρ, « Ἐστράφην εἰς ταλαιπωρίαν, τῷ ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν, » εἰκότως ἀποδίδοται· » καὶ τὸ, « Τὰ βέλη σου ἠκονημένα, δυνατέ· παρεγκειμένου τοῦ *λαοί*. »

Κατ' ἐπίτασιν τὸ αὐτὸ λέγει· ὡς τὸ, « Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος· » καὶ, « Ὑπομένων ὑπέμεινα τὸν Κύριον. » Καὶ, « Ἡ μὴν εὐλογῶν εὐλογήσω σε. »

Τὸ *ἰδοὺ* κατὰ περισσείαν πολλάκις λέγει· ὡς τὸ, « Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· » — « Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει. » Καὶ τὸ *πλὴν*, οὐδὲν ὅλως συμβαλλόμενον· ὡς τὸ, « Πλὴν μάτην ταράσσεται. » Καὶ τὸ *σύν*· ὡς τὸ, « Κύριος ἐξετάζει σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ· » καὶ, « Σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ κρινεῖ ὁ Θεός. » Καὶ τὸ *γὰρ*· ὡς τὸ, « Φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται· » καὶ, « Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι· » καὶ, « Ὅτι γὰρ ἀδελφός μου εἶ. » Καὶ δὴ καὶ τὴν τοῦ γε, ἣν μάλιστα παρὰ μὲν τοῖς πλείστοις αὐτῶν οὐ σπανιάκις ἔστιν εὑρεῖν· ἐξαιρέτως δὲ παρά τε τῇ τῶν Βασιλειῶν βίβλῳ, καὶ τῷ Σολομῶντι· ὁ μέν τοι μακάριος Δαυὶδ τῇ *ἐν* ἀντὶ τῆς Σὺν κέχρηται· ὡς τὸ, « Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν· » καὶ, « Ἐν ὁλοκαυτώμασιν, » ἀντὶ, Σὺν ὁλοκαυτώμασιν· καὶ, « Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτό· » καὶ, « Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· » καὶ, « Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ· » καὶ, « Φωνὴ, Κυρίου, ἐν ἰσχύϊ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ. » Οἱ σπουδαῖοι οὖν τὰς ἀφορμὰς ἐντεῦθεν δανεισάμενοι, ὁδόν τινα καὶ πύλην τῇ φιλομαθίᾳ εὑρήσουσι πρὸς τὴν τῆς ἱερᾶς Γραφῆς ὁδηγηθῆναι διάνοιαν.

A niam laudatur peccator; interposita phrasi *comprehenduntur*. Et, « Quoniam die ac nocte gravata est super me manus tua dum configitur spina : » nam, « conversus sum in ærumna, » evidenter separatim datur a « Dum clamarem tota die; » et, « sagittæ tuæ acutæ, potens. » interposito phrasi *populi* (*Psal.* IX, 23, 24; XXXI, 4, 3; XLIV, 7.)

Per extensionem idem dicit, sicut : « Castigans castigavit me Dominus, » et, « Exspectans exspectavi Dominum, » et, « Benedicens benedicam tibi. » (*Psal.* CXVII, 18; XXXIX, 2; *Gen.* XXII, 17.)

Ecce per pleonasmum sæpe dicit, ut : » Ecce enim veritatem dilexisti; — Ecce virgo in utero habebit. » Et *attamen* non omnino servientem, sicut : « Attamen frustra conturbatur. » Et *cum*, sicut : « Dominus interrogat cum justum et impium; » et, « Cum justum et impium judicabit Deus. » *Etenim*, sicut : « Vocem dederunt nubes; etenim sagittæ tuæ transeunt. » Et, « Etenim non credentes inhabitare; » et, « Quia enim frater meus es. » Et verbum *illius* certe, quam præsertim apud illorum plures non raro invenire est, in primis in Regum libro et Salomone. Beatus David propositione *in* pro *cum* utitur, sicut, « Transferentur montes in cor maris; » et, « In haulocautomatibus; » pro « Cum holocautomatibus; » et, « In pace inidipsum. » Et, « In innocentia mea ingressus sum. » Et, « Ascendit Deus in jubilo; » et, » Vox Domini in magnificentia. » Itaque studiosi elocutiones inde assumentes viam quamdam et ostium invenient in scientiæ amore ad dirigendum in sacræ Scripturæ intelligentia. (*Psal.* L, 8; *Matth.* I, 23; *Psal.* XXXVIII, 7; X, 6; *Eccle.* III, 17; *Psal.* LXXVI, 18; LXVII, 19; *Gen.* XXIX, 15; *Psal.* XLV, 2; IV, 9; XXV, 4; XLVI, 6; XXVIII, 4.)

Εἰσὶ δὲ καὶ τρόποι αὐτῆς γενικώτατοι οὗτοι.

Κατὰ μεταφορὰν, κατὰ παραβολὴν, κατὰ σύγκρισιν, κατὰ συνεκδοχὴν, κατὰ ὑπόδειγμα, κατὰ μετωνυμίαν, κατὰ ἀντίφρασιν, κατὰ περίφρασιν, κατὰ ἀνακεφαλαίωσιν εἶτ' οὖν ἐπανάληψιν, κατὰ ἀπόχρησιν, κατὰ προσωποποιίαν, κατὰ σχηματισμὸν, κατὰ ἀλληγορίαν, κατὰ ὑπερβολὴν, κατ' ἐπιτωθασμὸν, κατὰ εἰρωνείαν, κατὰ σαρκασμὸν, κατὰ αἴνιγμα, κατὰ ἀπειλὴν, κατὰ ἀπόφασιν, κατὰ ἀποσιώπησιν, κατὰ πραίνεσιν, παρεκτὸς δηλονότι τῶν ἰδιωμάτων αὐτῆς.

Sunt et Tropi ejus generalissimi isti.

Secundum metaphoram, secundum paraboiam, secundum comparationem, secundum synecdochen, secundum exemplum, secundum metonymiam, secundum antiphrasim, secundum periphrasim, secundum recapitulationem, aut reditum ad initium, secundum abusum, secundum prosopopœiam, secundum figuratam orationem, secundum allegoriam, secundum hyperbolen, secundum objurgationem, secundum ironiam, secundum aculeatum dictum, secundum ænigma, secundum minas, secundum explicationem, secundum reticentiam, secundum correctionem, exceptis videlicet idiomatibus ipsius.

Κατὰ μὲν μεταφορὰν, ὅταν τὰ ἑτέροις ἢ κατὰ πρᾶξιν ἢ κατὰ φύσιν ἐνόντα εἰς ἕτερα μεταφέρῃ· οἷον εἰς ἡμᾶς τε καὶ τὸν Θεόν· ὡς τὸ, « Κύριος ποιμαίνει με· » καὶ, « Ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ· » καὶ, « Μὴ βόσκωσιν οἱ ποιμένες ἑαυτούς· » καὶ, « Διεσπάρη τὰ πρόβατά μου, διὰ τὸ μὴ εἶναι ποιμένας· » καὶ, « Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. » *Δίκτυα* γὰρ πολλάκις καὶ *ἀμφιβλήστρα* τὰς χειρώσεις τῆς τοῦ Θεοῦ δίκης λέγει· οἷον, « Ἐκπετάσω τὸ δίκτυόν μου ἐπ' αὐτόν· » καὶ *Κατακλυσμὸν* δὲ τὴν *ἐρήμωσιν* τῶν πολεμίων

Secundum metaphoram, cum quæ sive in praxi sive in natura aliorum sunt, hæc ad alia transferi, verbi gratia erga nos et erga Deum, sicut : « Dominus pascit me; » et, « Pascere Jacob servum suum; » et, « Nec pascant amplius pastores semetipsos; » et, « Dispersæ sunt oves meæ eo quod non esset pastor; » et, « Venite post me et faciam vos fieri piscatores hominum. » *Retia* enim et *verricula* sæpe dominationes Dei justitiæ dicit, sicut : « Extendam rete meum super eum; » et, *Inundationem* et *desolationem* bellatorum exponit,

Digitized by Google

sicut : « Dominus diluvium inhabitare facit ; » et, « Qui vocat aquas maris ; » ut dicat Assyrios et multitudinem, et, « Protector noster aspice Deus ; » et, « Sub umbra alarum tuarum protege me, » et, « Expandens alas suas, assumpsit eos, » et perseverat in oratione figurata. (*Psal.* XXII, 3, 4 ; LXXVII, 71 ; *Ezech.* XXXIV, 8, 10 ; XXXIV, 5 ; *Matth.* IV, 19 ; *Ezech.* XII, 13 ; *Psal.* XVIII, 9 ; *Amos* IX, 6 ; *Psal.* LXXXIII, 10 ; XVI, 8 ; *Deut.* XXXII, 11.)

Secundum parabolam, sicut : « Vigilavi et factus sum sicut passer, » et, « Sicut ovis. » (*Psal.* CI, 8 ; *Isa.* LIII, 7.)

Secundum comparationem, verbi gratia, præsentia antiquis ex similibus vult assimilare baptismatis gratiam, mari Rubro ; et divinorum mysteriorum participationem, mannæ et aquæ e petra. (*I Cor.* X, 3.)

Secundum synecdochen cum ex parte totum ostendit, sicut : « Animam meam convertit, » ut dicat *me*. Et, « Insuper et caro mea requiescet in spe, » pro *ego* ; et, « Ex utero ante luciferum genui te, » pro, « ante omnem creationem. » (*Psal.* XXII, 3 ; XV, 9 ; CIX ; 3.)

Secundum exemplum, quando quæ facienda sunt per similia quædam exponuntur, sicut : « Cognovit bos possessorem suum : » et, « Milvus in cœlo cognovit tempus suum ; » et, « Homo erat pater familias ; » et, « Hominis cujusdam divitis. » (*Isa.* I, 3 ; *Jerem.* VIII, 7, *Matth.* XXI, 33 ; *Luc.* XII, 16.)

Secundum metonymiam quando vel a circumdantibus circumdata, vel pro habitationem præbentibus habitantia nominat ; et a circumdantibus circumdata, sicut : « Et calix meus inebrians quam præclarus ; » et, « Ululate, naves Tyri ; » et, « Calicem sororis tuæ bibes. » Ab habitationem præbentibus habitantia, sicut : « Advocabit cœlum desursum ; » et, « Jerusalem, Jerusalem, quæ occidis prophetas ; » et, « Lætentur insulæ multæ. » (*Psal.* XXII, 6 ; *Isa.* XXIII, 1 ; *Ezech.* XXIII, 32 ; *Psal.* XLIX, 4 ; *Matth.* XXIII, 37, *Psal.* XCVI, 1.)

Secundum antiphrasim, quando per contrarium ostendit, verbi gratia : « Nisi in faciem benedixerit tibi, » pro *blasphemaverit*. Et, « Benedixit Deum et regem, » pro *contumeliose*, *male* dixit ; et, « Quia celebratus » est rex ; et, « Benedictus sit homo ille. » (*Job* I, 11 ; II, 5 ; *III Reg.* XXI, 10 ; *Jerem.* XX, 16.)

Secundum periphrasim, quando de iis quæ paucis verbis exprimi possunt, pluribus res exponunt : sicut : « Ecce alienigenæ et Tyrus et populus Æthiopum hi fuerunt illic. » (*Psal.* LXXXVI, 4.)

Secundum recapitulationem aut reditum ad initium quando quæ per plura varie narrantur, propter difficultatem quæ oritur a digressionum in-

A ἀποφαίνει· ὡς τὸ, « Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ· » καὶ, « Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης· » ἵνα εἴπῃ τοὺς Ἀσσυρίους καὶ τὸ πλῆθος· καὶ, « Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεός· » καὶ, « Ἐν τῇ σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με· » καὶ, « Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς· » καὶ ἐναπομένει τῷ σχηματισμῷ.

Κατὰ δὲ παραβολήν· ὡς τὸ, « Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον. » καὶ, « Ὡς πρόβατον. »

Κατὰ σύγκρισιν, οἷον τὰ παρόντα τοῖς παλαιοῖς ἐκ τῶν ὁμοίων ἐθέλει εἰκάζειν· τὴν τοῦ βαπτίσματος χάριν, τῇ Ἐρυθρᾷ θαλάσσῃ· καὶ τὴν τῶν θείων
B μυστηρίων μετάληψιν, τῇ τε τοῦ μάννα καὶ τῷ ἐκ πέτρας ὕδατι.

Κατὰ συνεκδοχήν, ὅταν ἀπὸ μέρους τὸ ὅλον δηλοῖ· ὡς τὸ, « Τὴν ψυχήν μου ἐπέστρεψεν· » ἵνα εἴπῃ ἐμέ· καὶ, « Ἔτι δὲ καὶ, ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι· » ἀντὶ τοῦ, ἐγώ· καὶ, « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· » ἀντὶ, « πρὸ πάσης τῆς κτίσεως. »

Κατὰ ὑπόδειγμα, ὅταν τὰ πρακτέα δι' ὁμοίων τινῶν ὑποτίθεται· οἷον, « Ἔγνω βοῦς τὸν κτησάμενον· » καὶ, « Ἡ ἀσίδα ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς· » καὶ, « Ἄνθρωπός τις οἰκοδεσπότης· » καὶ, « Ἀνθρώπου τινὸς πλουσίου. »

C

Κατὰ μετωνυμίαν, ὅταν ἢ ἀπὸ τῶν περιεχόντων τὰ περιεχόμενα, ἢ ἀπὸ τῶν οἰκούντων τὰ οἰκούμενα μετονομάζει καὶ ἀπὸ μὲν τῶν περιεχόντων τὰ περιεχόμενα· ὡς τὸ, « Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον· » καὶ, « Ὀλολύζετε πλοῖα Καρχηδόνος· καὶ « Τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι· » ἀπὸ δὲ τῶν οἰκούντων τὰ οἰκούμενα· ὡς τὸ, « Προσκαλέσεται τὸν οὐρανὸν ἄνω· » καὶ, « Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας· » καὶ, « Ἀγαλλιᾶσθε, νῆσοι πολλαί. »

Κατὰ ἀντίφρασιν (9), ὅταν δι' ἐναντίου τὸ ἐναντίον δηλοῖ· οἷον, Εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. » ἀντὶ τοῦ, *βλασφημήσει*· καὶ, « Εὐλόγησε Θεὸν καὶ D βασιλέα· » ἀντὶ τοῦ, *ὕβρισεν, ἐκάκωσεν*· καὶ, « Ὅτι δεδόξασται ὁ βασιλεύς· » καὶ, « Εὐφραινόμενος ἔστω ὁ ἄνθρωπος ἐκεῖνος. »

Κατὰ περίφρασιν, ὅταν τοῖς δι' ὀλίγων ἐκφωνεῖσθαι δυναμένοις τὴν διὰ πλείονων φράσιν περιτίθησιν· οἷον, « Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ. »

Κατὰ ἀνακεφαλαίωσιν εἴτ' οὖν ἐπανάληψιν, ὅταν τὰ διὰ πλειόνων ποικίλως εἰσηγηθέντα, διὰ τὴν ἀπὸ τῆς τῶν παρεκβάσεων ἀνωμαλίας δυσχέρειαν ἐν

DAVID. HŒSCHELII NOTÆ.

(9) *Κατ' ἀντίφρασιν*. Exempla plura suppedita D. August. lib. *Contra mendacium*, ad Consentium, cap. 10.

Digitized by Google

ὀλίγοις αὖθις διεξέρχεται· ὡς ὁ Μωσῆς φησιν, « Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς. » Τοιαῦτα καὶ ἐν ταῖς Βασιλείαις, καὶ ἐν τῷ Ἀποστόλῳ.

Κατὰ ἀπόχρησιν, ὅταν τῇ ἑτέρων προσηγορίᾳ καὶ ἐν ἑτέροις καταχρᾶται· [οἷον] ὡς τὸ, « Φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ· » καὶ, « Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν· » καὶ, « Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· » καὶ, « Ὡς δρθρος χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρός· » περὶ τῆς ἀκρίδος λέγων.

Κατὰ προσωποποιίαν ὅταν τισὶ τῶν ἀψύχων, ἐνίοτε δὲ καὶ ἀνυποστάτων, πρόσωπά τε καὶ λόγους ὑποτίθεται· ἐπὶ μὲν ἀψύχων· ὡς τὸ, « Ἐπάρθητε πύλαι αἰώνιοι· » καὶ, « Οἱ οὐρανοὶ διηγοῦνται· » καὶ « Πορευόμενα ἐπορεύθη τὰ ξύλα· » ἐπὶ δὲ τῶν ἀνυποστάτων· ὡς τὸ « Δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν· » καὶ, « Ἐκάλεσε τὴν δίκην ἐν πυρὶ Κύριος· » καὶ, « Ἔρριψε τὸν λίθον εἰς τὸ στόμα τῆς ἀνομίας· » καὶ, « Εἶπεν ἡ σοφία, Κύριος ἔκτισέ με· » καὶ, « Ἐγὼ ἤμην ᾗ προσέχαιρε καθ' ἡμέραν· » καὶ, « Ὠκοδόμησεν ἑαυτῇ οἶκον. » et, « Ædificavit sibi domum. » (*Psal.* XXIII, 7; *Zach.* V, 8; *Prov.* VIII, 12, 22; IX, 1.)

Κατὰ σχηματισμὸν, ὅταν τὰ αὐτὰ σχηματοποιῇ πρὸς τὴν τῶν πραγμάτων ὑφήγησιν· ὡς τὸ, « Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου· » καὶ, « Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό· » καὶ, « Οἱ μασθοί σου ἀνωρθώθησαν, καὶ ἡ θρίξ σου ἀνέτειλε· σὺ δὲ ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα· » *μασθοὺς* · καταχρηστικῶς τὰ *ὄρη* λέγουσα, ἀπὸ τοῦ *σχήματος* τρίχα δὲ, τὴν τῆς γῆς εὐφορίαν· κατασκευάζει δὲ καὶ ἀπὸ πραγμάτων σχηματισμὸν, ὡς ἐν τῇ κατὰ τὸν μακάριον Ἰὼβ ὑποθέσει· οἷον τὸ, » Παραστῆναι τὸν διάβολον ἐνώπιον τοῦ Θεοῦ. »

Κατὰ ἀλληγορίαν, ὅταν τὰ ἄπειρα πλήθη συνεχῶς Ὕδατα λέγῃ, καὶ τὴν τούτων ἔφοδον Κατακλυσμόν· καὶ τὸ, « Ἔσται ὡς τὸ ξύλον τὸν πεφυτευμένον· » καὶ ὁ Ἀπόστολος τὴν Ἄγαρ ἀλληγορεῖ.

Καθ' ὑπερβολὴν (10), ὅταν εἰς πολλὰ μείζονι κέχρηται τῷ τῆς ὑφηγήσεως μεγέθει παρὰ τὰ γινόμενα ἢ προσόντα, ἢ ἐνδεχόμενα· ὡς τὸ, « Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν· περὶ τῶν ναυτιλλομένων· » καὶ, « Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ· » καὶ, « Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· » καὶ, « Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί· » καὶ, » Τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις· » καὶ, « Εὐκοπώτερόν ἐστι κάμηλον· » καὶ περὶ τῆς ἀκρίδος, Ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν, οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος· » καὶ, « Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας· » καὶ, « Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· » καὶ, « Εἰ ὁ ὀφθαλμὸς ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτόν· » καὶ, « Ἐὰν ὑμεῖς σιωπήσητε, οἱ λίθοι κεκρά-

æqualitate, per pauciora iterum exponuntur, sicut Moysis dicit : « Hic liber generationis cœli et terræ. » Talia et in libris Regum, et in Apostolo. (*Gen.* II, 4.)

Secundum abusum cum aliorum nomen et in aliis adhibet [verbi gratia] : « Custodi me, Domine, ut pupillam oculi ; » et, « In te inimicos nostros ventilabimus cornu ; » et, « Qui tegis aquis superiora ejus ; » et, « Quasi mane expandetur super montes populus multus et fortis. » de locustis loquens. (*Psal.* XVI, 8; XLIII, 6; CIII, 3; *Joel* II, 2.)

Secundum prosopopœiam quando quibusdam ex inanimatis, quandoque et ex iis quæ per excogitandi vim tantum exsistunt, personam et verba supponit ; de inanimatis, sicut : « Elevamini, portæ æternales ; » et, « Cœli enarrant ; » et, « Euntes ierunt ligna. » De iis quæ per excogitandi vim tantum exsistunt, sicut : « Justitia et pax osculatæ sunt ; » et, « Vocabat judicium ad ignem Dominus ; » et, « Misit lapidem in os impietatis. » Et, « Dixit sapientia : Dominus possedit me ; » et, « Ego eram cui delectabatur per singulos dies ; » XVIII, 2; *Judic.* IX, 8; LXXXIV, 11; *Amos* VII, 4;

Secundum figuratam orationem, quando eadem figurat præter rerum narrationem, sicut : « Astitit regina a dextris tuis ; » et, « Flumina plaudent manu de eodem, » et, « Ubera tua intumuerunt, et pilus tuus germinavit ; et eras nuda et confusione plena : » *ubera* per catachresim *montes* dicit, a forma, *pilum* vero fertilitatem terræ : et parat a rebus figuratam orationem, sicut in argumento de beato Job, nempe, « Astitisse Satan coram Domino. » (*Psal.* XLIV, 10; XCVII, 8; *Ezech.* XVI, 7; *Job* I, 6.)

Secundum allegoriam, quando infinitas multitudines perpetuo aquas vocat, et horum transitum inundationem : et, « Erit sicut lignum quod plantatum est. » Et Apostolus Agar per allegoriam citat. (*Psal.* I, 3; *Galat.* IV, 24.)

Secundum hyperbolen quando in multis majori utitur præ narrationis gravitate pro factis sive excedentibus, sive possibilibus ; sicut : « Ascendunt usque ad cœlos, de navigantibus ; » et, « Verumtamen Deus confringet capita inimicorum suorum ; » et, « Lavabo per singulas noctes lectum meum, » et, « Montes exsultaverunt ut arietes, » et, « Ligna regionis plaudent ramis, » et, « Facilius est camelum ; « et de locusta, « Quia gens accendit super terram meam, fortis, dentes ejus ut dentes leonis ; » et, « Alienati sunt peccatores a vulva. » Et, « Nesciat sinistra tua quid faciat dextera tua ; » et, « Si oculus tuus dexter scandalizat te, erue eum ; » et, « Si vos tacueritis, lapides clamabunt ; » et, « Iota unum aut unus apex ; » et, « Cœlum et

DAVID. HOESCHELII NOTÆ.

(10) *Καθ' ὑπερβολήν.* De hac agit idem Aug. exposit. cap. ult. Evang. Joan.

Digitized by Google

terra transibunt. » (*Psal.* CIV, 26; LXVII, 22; VI, 7; LXIII, 4; *Isa.* LV, 12; *Matth.* XIX, 24; *Joel.* I, 16; *Psal.* LVII, 3; *Matth.* VI, 3; *Matth.* V, 29; *Luc.* XIX, 40; *Matth.* V, 18; XIV, 35.)

Secundum objurgationem, quando de inimicorum dedecore dicit: « Euge, euge, viderunt oculi nostri; » et, « Sume citharam, circui, bene cane; etenim naves non amplius veniunt e Tyro; civitas speciosa et grata et ducens unguenta. In Domino non est confisa; » et, « Prophetisa nobis, Christe, quis est qui te percussit. » (*Psal.* XXXIV, 21; *Isa.* XXIII, 16 et 10; *Nahum* III, 4; *Soph.* III, 3; *Matth.* XXVI, 68.

Secundum ironiam, quando vilitatem per laudes irridet, sicut: « Congregate illi sanctos ejus. » Et, « Vitis frondosa Jerusalem, » et, « Ubi est habitaculum leonum et catulus leonis? » et, « Aspides et progenies aspidum ad Ægyptios accurrebant; » et, « Infernus subter annuit in occursum adventus tui; » et, « Vulneratus es sicut; » et, « Detracta est ad inferos superbia tua, subter te sternent putredinem. » (*Psal.* XLIX, 5; *Osee* X, 1; *Nahum* II, 11; *Isa.* XXX, 6; XIV, 9, 10, 11.)

Secundum aculeatum dictum, quando præ nimia vilitate laudare vult, sicut: « Ego autem sum vermis et non homo; » et, « Avem persequeris, rex? » « Pulicem unum et canem mortuum, » et similia. (*Psal.* XXI, 7; *I Reg.* XXIV, 15.)

Secundum ænigma, quando disconvenienter historiam exponit, sicut: « Argentum vestrum scoria mistum; negotiatores tui vinum aqua miscuerunt; » et, « Dic omni volucri, cunctisque bestiis agri; » et, « Mittite falcem quoniam adfuit messis: » et, « Jam securis ad radicem arborum posita est. » (*Isa.* I, 22; *Ezech.* XXXIX, 17; *Joel* III, 13; *Luc.* III, 9.)

Secundum minas, quando minatur jussu Dei, sicut: « Nisi conversi fueritis, gladium suum vibrabit; » et, « Facite fructum dignum pœnitentiæ; » et, « Ibi erit fletus et stridor dentium. » (*Psal.* VII, 13; *Matth.* III, 8; XXII, 13.)

Secundum explicationem, quando absque causa speciali bonorum et malorum eventum definit, captivitatem et reditum.

Secundum reticentiam, quando renovationem a Deo ostendit, sicut: « Et erit Jerusalem sancta, et alieni non transibunt per eam amplius; » distinctionem; « Nisi forte transgressi fuerint, tacuit; » et, « Nisi quis renatus fuerit ex aqua et Spiritu sancto; » distinctionem, ex sanguine reservavit. (*Joel* II, 17; *Joan.* III, 17.)

Secundum correctionem, quando cuncta pariter Scripturæ sacræ sive per verba, sive per facta in eamdem convenire visa sunt.

Scripturæ sacræ species duæ sunt, prophetica

ξονται· » καὶ, « Ἰῶτα ἓν, ἢ μία κεραία· » καὶ, « Οἱ οὐρανοὶ καὶ ἡ γῆ παρελεύσονται. »

Κατ' ἐπιτωθασμὸν, ὅταν ἐπὶ ταῖς τῶν ἐχθρῶν αἰσχύναις λέγῃ, « Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοί ἡμῶν· » καὶ, « Λάβε κιθάραν, ῥέμβευσον, καλῶς κιθάρισον· Καὶ γὰρ πλοῖα οὐκ ἔτι ἔρχονται ἐκ Καρχηδόνος· Πόλις καλὴ (11) καὶ ἐπίχαρις, ἡγουμένη φαρμάκων· Ἐπὶ τῷ Κυρίῳ οὐκ ἐπεποίθει· » καὶ, « Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε; »

Κατὰ εἰρωνείαν, ὅταν τὴν εὐτέλειαν δι' ἐπαίνων σκώπτῃ· ὡς τὸ, « Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ· » καὶ, « Ἄμπελος εὐκληματοῦσα Ἱερουσαλήμ· » καὶ, « Ποῦ ἐστι τὸ κατοικητήριον τῶν λεόντων, καὶ σκύμνος λέοντος; » καὶ, « Ἀσπίδες καὶ ἔγγονα ἀσπίδων Αἰγυπτίοις προσέδραμον· » καὶ, « Ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι· » καὶ, « Ἐάλως ὥσπερ· » καὶ, « Κατέβη εἰς ᾅδου ἡ δόξα σου· ὑποκάτω σου στρώσουσι σῆψιν. »

Κατὰ σαρκασμὸν, ὅταν διὰ τῆς ἄγαν εὐτελείας ἐπαινεῖν ἐθέλοι· ὡς τὸ, « Ἐγώ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· » καὶ, « Ὀπίσω τίνος διώκεις, βασιλεῦ; ὀπίσω ἑνὸς ψύλλου, καὶ ὀπίσω κυνὸς τεθνηκότος· » καὶ ὅσα ὅμοια.

Κατὰ αἴνιγμα, ὅταν ἀσυμφώνως ὑποτίθεται τὸ διήγημα· οἷον, « Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι· » καὶ, « Εἶπον παντὶ ὀρνέῳ καὶ πᾶσι τοῖς θηρίοις· » καὶ, « Ἐξαποστείλατε δρέπανα, ὅτι παέστηκεν ὁ τρυγητός· καὶ, « Ἰδοὺ ἡ ἀξίνη ὑπὸ τὴν ῥίζαν τῶν δένδρων κεῖται. »

Κατὰ ἀπειλὴν, ὅταν ἀπειλῇ διὰ τοῦ Θεοῦ· ὡς τὸ, « Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· » καὶ, « Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας· » καὶ, « Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. »

Κατὰ ἀπόφασιν, ὅταν αὐτοτελῆ τὴν τῶν ἀγαθῶν καὶ τὴν τῶν κακῶν ἐπαγωγὴν ὁρίζηται, τήν τε αἰχμαλωσίαν καὶ τὴν ἐπάνοδον.

Κατὰ ἀποσιώπησιν, ὅταν ἀνακαίνισιν δηλοῖ πρὸς τοῦ Θεοῦ· ὡς τὸ, « Καὶ ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενὴς οὐ διελεύσεται δι' αὐτῆς οὐκ ἔτι· » διαίρεσιν τὴν « Εἰ μή που παρανομήσειαν, ἀπεσιώπησε· » καὶ, « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος· » τὴν δι' αἵματος ἐταμιεύσατο.

Κατὰ παραίνεσιν, ὅταν πάντα ὁμοῦ τὰ τῆς θεοπνεύστου Γραφῆς, εἴτε διὰ λόγων, εἴτε διὰ πραγμάτων, εἰς ταύτην συντελεῖν ἔοικεν εἰκότως.

Εἴδη μέντοι τῆς θείας Γραφῆς ἐστι δύο, προφη-

DAVID. HOESCHELII NOTÆ.

(11) *Πόλις καλὴ*, πόρνη καλὴ, libri editi, ibid. l. XXX. Pro διώκει:, iidem ἐκπορεύη.

Digitized by Google

τικὸν καὶ ἱστορικόν· ἐκ τριῶν δὲ ὅμως χρόνων ἓν ἕκαστον αὐτῶν συνέστηκε, παρῳχηκότος, ἐνεστῶτος, καὶ μέλλοντος· παρῳχηκότος μὲν, ὡς ἡ τοῦ Μωσέως περὶ τοῦ παντὸς συστάσεως· ἐνεστῶτος δὲ, ὡς ἡ τοῦ μακαριωτάτου Ἐλισσαίου πρὸς τὸν Γιεζῆ περὶ τοῦ δοθέντος αὐτῷ χρυσίου· μέλλοντος δὲ, ὡς ἡ τῶν προφητῶν, τὰ περὶ τῶν Ἑβραίων καὶ τῆς Χριστοῦ παρουσίας, ἣν διά τε λόγων καὶ ὀπτασιῶν καὶ ἔργων παρειλήφαμεν· καὶ διὰ λόγων μὲν· ὡς τὸ, « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσω τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν· » δι' ὀπτασιῶν δὲ, ὡς τὸ, « Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου· » καὶ, « Ἀναστήσονται οἱ νεκροί· » καὶ, « Ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν· » καὶ, « Ἰδοὺ μετὰ τῶν νεφελῶν ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος· » δι' ἔργων δὲ, ὡς ἐπὶ τοῦ Ἀβραάμ « Λάβε μοι δάμαλιν τριετίζουσαν· καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα, καὶ περιστερὰν, » καὶ τὰ ἑξῆς· καὶ, « Λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν ὃν ἠγάπησας, τὸν Ἰσαάκ.

Τούτων δὲ οὕτως ἐχόντων, προσήκει προηγουμένως ταῖς τῶν ῥήσεων ὑποθέσεσι τὴν διάνοιαν ἐφιστᾷν τοὺς μαθητευόντας, εἶθ' οὕτως αὐτοῖς τὴν κατὰ λέξιν ἑρμηνείαν οἰκείως ταύτην προσάγειν· ὡς ἂν, διανοίας μὴ προϋπαρχούσης, ἡ διὰ τῶν λόγων πλάζοιτο σύστασις· καθάπερ γὰρ ἐπὶ τῶν τὰ σκάφη πηδαλιουχούντων, εἰ μή πού τις αὐτοῖς ὡρισμένος τοῦ σκοποῦ προκέοιτο τόπος, εἰς ὃν ἅπασαν τὴν τῶν οἰάκων ῥοπὴν εὐθύνειν μέλοιεν, παντὶ τῷ πνεύματι τὴν ἑαυτῶν τέχνην διαφόρως ἐμπιστεύειν συνελαυνόμενοι, δι' ὅλου φέρονται τοῦ πελάγους, ὡς ὁρμῳ τῇ ἄλῃ προσφεύγοντες· οὕτως ἄρα καὶ ἐπὶ τῶν τῆς διδασκαλίας ἐξηγήσεων ἐξ ἀνάγκης συμβήσεται, ἐπειδὰν μὴ καθυποκειμένης τινὸς πραγματείας προβάλλοιτο· πῶς γὰρ οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων, εἰ τὰς μὲν ῥαψῳδίας, πλάσματα καὶ οὐκ ἀληθῆ πράγματα περιεχούσας, οὐκ ἔνεστιν ἑτέρως εἰσηγήσασθαι τοὺς ἐπιστήμονας, μὴ πρότερον τὴν ἑκάστης αὐτῶν ὑπόθεσιν εἰς γνῶσιν ἐνεγκαμένους· ὡς ἂν πρὸς ταύτην εἰκότως, καὶ μὴ πρὸς ἀνέμους τὴν τῶν λόγων χρῆσιν ἐκφέροιεν· τὰ δὲ τῆς θείας ἡμῶν ὑποθημοσύνης ἀνυποστάτοις τισὶ στοχασμοῖς ὑποβάλλοιμεν, εἰκαίας αὐτοῖς καὶ ἀσυναρτήτους τὰς ἑρμηνείας ἐπιφέρειν οὐ δυσωπούμενοι· διόπερ, ὃν τρόπον τοῖς εἰς ἄγνωστον πάντη στελλομένοις χώραν χρὴ μᾶλλον τοὺς ἐν πείρᾳ ταύτης τυγχάνοντας πρό γε πάντων τὴν ἀπάγουσαν ἁτραπὸν καταμηνύειν, δι' ἧς πορεύοιντο, οὕτω τε αὖ τὰ κατὰ ταύτην αὐτοῖς γνωρίζειν σημεῖα, οἷς ἑξακολουθοῦντες μηδαμῶς τῆς εὐθείας ἀποσφάλλοιντο· τὸν αὐτὸν ἄν τις καὶ ἐπὶ τῶν παιδεύειν ἐπαγγελλομένων ὁρίσαιτο, προηγουμένως μὲν τὴν τῶν πραγμάτων αὐτοὺς ὑπόθεσιν, γνωρίμην χρῆναι καθιστᾷν τοῖς παιδευομένοις εἰς ἣν ἀναγκαίως ἔχοιεν τὴν τῆς ἑαυτῶν διανοίας ἐπιδοῦναι ῥοπὴν· εἶτα τὴν τῶν γραφικῶν ἰδιωμάτων εἴδησιν, τήν τε τῶν σχημάτων διάγνωσιν, καὶ τὴν τῶν τρόπων διάκρισιν· οὐχ ἥκιστα δὲ τὴν τῆς κατὰ τὴν λέξιν ἑρμηνείας σαφήνειαν, οἷα δή τινα σημεῖα τῆς ὁδοιπορίας προϋποδεικνύναι· δι'

pars et historica; tribus autem temporibus horum quodcunque constat, præterito, præsenti, futuro. Præterito quidem, sicut liber Moysis de universi constitutione; præsenti, sicut beatissimi Elisæi liber ad Giesi de dato ipsi auro; futuro, sicut Scriptura prophetarum, de Hebræorum et Christi præsentia, quam per verba et mirabilia et opera suscepimus; per verba, sicut: « Ecce dies veniunt, dicit Dominus, et feriam domui Israel et domui Juda fœdus novum; » per mirabilia, sicut, « Et facta est super me manus Domini; » et, « Resurgent mortui; » et, « Aspiciebam donec throni positi sunt; » et, « Ecce cum nubibus quasi Filius hominis veniebat; » per opera, sicut de Abraham, « Sume mihi vaccam triennem et capram trimam, et arietem annorum trium et turturem et columbam, » et quæ sequuntur; et, « Tolle filium tuum unigenitum quem diligis Isaac. (*IV Reg.* v, 19; *Jerem.* xxxi, 31; *Ezech.* iii, 22; *I Thess.* iv, 16; *Dan.* xix, 13; *Gen.* xv, 9; xxii, 1.)

His ita se habentibus, ad verborum argumenta intellectum decet applicare discentes, deinde sic ipsis interpretationem secundum stylum convenienter afferre: ita ut intelligentia non præcedente, de verbis collatio varie tractaret. Quemadmodum enim de iis qui navis gubernaculum tenent, nisi quis ipsis specialis viæ terminus proponatur, ad quem totam gubernaculi vim motricem dirigere debeant, omni vento eorum artem varie confidere ardentes per totum feruntur mare, sicut portui peregrinationi sese dantes: sic ergo de disciplinæ auditione necessario eveniet, siquidem non pensum quoddam statutum proponatur: accommodo enim non esset stultissimorum, si in epos fallaciis et commentis a veritate alienis referta nefas est aliter introducere peritos, nisi prius unumquodque horum argumentum ad notitiam inducant, ita ut ad illam convenienter et non in ventum verborum usum proferant; verba autem divinæ institutionis nostræ in incomposita quædam injicere stomacha, temerarias illis et male coeuntes interpretationes afferre non erubescentes. Itaque quemadmodum iis qui in ignotam omnino vadunt regionem, oportet potius eos qui hujus experientiam habent præ omnibus viam illuc ducentem indicare, qua transmeaverunt; sic etiam ad viam signa ipsis ostendere quorum ope gradientes nunquam a recta via declinent: ita et qui alios docere profitentur statuant, in primis quidem rerum argumentum notum reddere se debere discipulis, quibus rebus necesse habent ipsorum ingenii acumen applicare; deinde idiomatum Scripturæ cognitionem, figurarum notitiam, troporum distinctionem, nec minus secundum stylum interpretationis elucubrationem similiaque viæ indicia proponere, per quæ tutum et certum illis proponat ad destinatum. Etenim perspicuum est quod iis qui volare, sed non per viam gradi volunt, vana et inutilis sit metarum indicatio. Oportet autem omnino animosos esse in disciplina:

Digitized by Google

quam sicut filum ducens extensum contextus si quis ad accuratæ cogitationis transitum retinet aptum, neutiquam ab eo quod decet deficiet; et sane vocum intelligentia, quasi corporis ordo æstimanda, meditatio vero quasi figurarum quæ circa corpus sunt ordo; quorum prius a longe summatim ostendendum, posterius per membra et compositiones accuratius et propius inspicere, nihil ultra corpus excogitantes. Adhuc et sit illud assuetis notum quomodo verborum prophetiæ illa quidem exquisita prosa dicuntur, sicut Isaiæ et Jeremiæ scripta, et si quis alius secundum eos erat; hæc vero cum modulatione in carmine, sicut Psalmorum beati David verba, et apud Moysen Exodus et Deuteronomium: quæ metrica et non cum rhythmo dicta ex alto et donata forte non sunt prophetia; sicut reliqua carminum esse accidit sicut libros Job et Salomonis.

ὧν τό τε ἀσφαλὲς καὶ βέβαιον αὐτοῖς ὑπάρχοι πρὸς τὸ προκείμενον· δήλου γε ὄντος, ὡς τοῖς ἱπτασθαι μὲν, ἀλλὰ μὴ δι' ὁδοῦ βαίνειν προθεμένοις, περιττὴ καὶ ἀσύμβολος ἡ τῶν σημείων ὑπόδειξις· χρὴ δέ γε μάλιστα γενναίως ἔχεσθαι καθόλου τῆς ἀκολουθίας· ἣν καθάπερ σπαρτίον ἐκταθὲν τῆς ἐπιβουλῆς, εἰς τὴν τῆς ἀκριβοῦς διανοίας περαίωσιν ἐμμελέστερον ἄν τις διακρατῶν, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος· καὶ δὴ τὴν μὲν τῶν ῥητῶν διάνοιαν, ἐν σώματος τάξει θετέον· τὴν δὲ θεωρίαν, ἐν σχήματος τοῦ περὶ τὸ σῶμα. Τὸ μὲν γὰρ καὶ πόρρωθεν ἀθρόον ἐστὶν ἐπιδεῖξαι, τὸ δὲ, διά τε μελῶν καὶ συνθέσεων ἀκριβέστερον παραστῆσαι, μηδὲν περαιτέρω φανταζομένους τοῦ σώματος· ἔτι μὴν κἀκεῖνο γνώριμον τοῖς οἰκείοις ἔστω, ὡς τὰ τῆς προφητείας, τὰ μὲν λογάδην εἴρηται, ὡς τὰ Ἡσαΐου καὶ Ἱερεμίου, καὶ εἴ τις ἕτερος κατ' ἐκείνους ἐγένετο· ἡ δὲ μετ' ᾠδῆς ἐν μέτρῳ, ὡς ἡ τῶν Ψαλμῶν τοῦ μακαρίου Δαυΐδ, καὶ ἡ παρὰ τῷ Μωσεῖ ἐπί τε τῆς Ἐξόδου καὶ τοῦ Δευτερονομίου· ὅσα δὲ ἔμμετρα, οὐ μετ' ᾠδῆς δὲ ῥηθέντα ἄνωθεν καὶ παραδοθέντα, οὐκ ἂν ποτε εἴη προφητεία· οἷά περ οὖν τὰ λοιπὰ τῶν στιχηρῶν εἶναι συμβαίνει ὡς τοῦ Ἰώβ, καὶ Σολομῶντος.

Deuteronomium : quæ metrica et non cum rhythmo dicta ex alto et donata forte non sunt prophetia; sicut B reliqua carminum esse accidit sicut libros Job et Salomonis.

Τέλος σὺν Θεῷ. *Finis cum Deo.*

(8) *Οὐδὲ μὴ ἐντραπῶσιν*, Al. καὶ οὐ μὴ ἐντραπήσονται.

ANNO DOMINI DCCLXXXVII.

EPIPHANIUS

CATANENSIS DIACONUS.

NOTITIA.

(CAVE, *Script. ecclesiast. Historia litteraria*, p. 422.)

Epiphanius, Catanensis in Sicilia diaconus, claruit anno 787, quo Thomæ Sardorum archiepiscopi vicem tenens, synodo Nicænæ XI, interfuit. Exstat *Sermo laudatorius* satis prolixus in eadem synodo habitus (1).

(1) Vid. Mongitor. Biblioth. Siculam pag. 184. EDIT. PATR.

Digitized by Google

ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ

ΤΗ ΑΓΙΑ ΠΡΟΣΦΩΝΗΘΕΙΣ ΣΥΝΟΔΩ
ΠΑΡΑ ΕΠΙΦΑΝΙΟΥ ΔΙΑΚΟΝΟΥ ΚΑΤΑΝΑΣ ΤΗΣ ΣΙΚΕΛΩΝ ΕΠΑΡΧΙΑΣ,
ΚΑΙ ΤΟΠΟΤΗΡΗΤΟΥ ΘΩΜΑ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΣΑΡΔΩΝ ΝΗΣΟΥ.

—

SERMO LAUDATORIUS

SANCTÆ PRONUNTIATUS SYNODO
AB EPIPHANIO DIACONO ECCLESIÆ CATANÆ SICULORUM PROVINCIÆ,
AC LOCI SERVATORE THOMÆ ARCHIEPISCOPI SARDORUM INSULÆ.

(Mansi, *Concil.* t. XIII, p. 441.)

—

Ὁ μακάριος προφήτης Ἡσαΐας θείῳ καταλαμπόμενος Πνεύματι, τὴν διὰ Χριστοῦ γεγενημένην τῶν ἐθνῶν ἀπολύτρωσιν εὖ μάλα προαναθεωρήσας, καὶ τῶν δι' αὐτοῦ σεσωσμένων τὴν πληθὺν οὐκ ἠγνοηκὼς προσπεφώνηκέ που ὡς ἐκ προσώπου τοῦ Θεοῦ τοῖς κατὰ καιροὺς τῶν ἱερῶν λαχοῦσι ποιμνίων ἐπιστατεῖν τοιάδε· « Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου· καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε. » Τίνες δ' ἂν νοοῖντο αἱ πύλαι, ἢ τῆ; θεοπνεύστου Γραφῆς καὶ τῶν ἁγίων προφητῶν οἱ λόγοι; οὓς ὥσπερ τινὰς νοητὰς ἀναπτύσοντες πύλας; τῇ ἑρμηνείᾳ οἱ τῶν λογικῶν θρεμμάτων ποιμένες, οὕτως αὐτὰ ἐπὶ τὴν εὐρεῖάν τε καὶ ἀληθινὴν ἀπωφέρουσι Θύραν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ὄντως πρὸς τὸν Πατέρα γινόμενον ἡμῖν θύραν· καθὼς αὐτό; πού φησιν, « Ἐγώ εἰμι ἡ θύρα. » Λίθοι δὲ πάλιν οἱ ἐν τῇ ὁδῷ προσριπτούμενοι τὰ ἐξ αἱρετικῆς τυχὸν συμμορίας ἂν εἶεν σκάνδαλα, ἃ καθάπερ τινὲς λίθοι τῇ ἡμετέρᾳ τῆς πίστεως παρατιθέμενα τρίβῳ, τοὺς πρὸς τὴν ὄντως οὖσαν ὁδὸν ἰέναι θέλοντας δυσσεβῶς προσκόπτειν παρασκευάζει· τὸ ὅσον ἐφ' ἑαυτοῖς τὴν ὁδὸν αὐτοῖς ἀποκλείειν σπουδάζοντες· ὁδὸς δὲ πάλιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ταύτῃ ἂν νοοῖτο, καθώς φησιν αὐτός· ὅτι « Ἐγώ εἰμι ἡ ζωὴ, καὶ ἡ ὁδός. » Οὓς τινας δὴ αἱρετικοὺς λίθους οἱ τῶν ἱερέων ἐπιστήμονες προσφυῶς τε καὶ μάλα εὐτέχνως σὺν ὁδηγίᾳ τοῦ Πνεύματος τῆς ἡμετέρας ὁδοῦ, ἤτοι τοῦ τῆς πίστεως ἀποκαθαίροντες λόγου, πέμπουσι μὲν αὐτοὺς πρὸς τὰς τῶν ῥιφάντων κεφαλάς· εὔκολον δὲ οὕτω καὶ τετριμμένην τοῖς ὑπὸ χεῖρα λαοῖς τὴν εἰς τὴν ὁδὸν ἰοῦσαν τρίβον ἀπεργάζονται· ὡς δύνασθαι φρονεῖν τε καὶ λέγειν· « Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου. » Ἰδοὺ τοιγαροῦν ἡ θεία τῶν ἱερέων ὁμήγυρις ἀκόλουθα τῶν θείων ἐντολῶν, παράγουσα ἐνταῦθα συνέδραμε τὸ σεπτὸν τῆς οἰκονομίας

A Beatus propheta Isaias divino acceepto Spiritu factam gentium per Christum redemptionem valde bene prævidens, et eorum qui per ipsum salvandi erant multitudinem non ignorans, ut ex persona Dei alicubi pronuntiavit his qui per singula tempora sacrorum sortiuntur præposituram ovilium, hæc : « Ambulate per portas meas, et ducite populum meum, et lapides a via projicite [1]. » Quænam intelliguntur portæ, nisi divinitus inspiratæ Scripturæ, sanctorumque prophetarum verba? Quæ nimirum quasi quasdam intellectuales portas rationabilium pastores pecudum interpretando aperientes, sic eas ad latum et verum adducunt ostium, videlicet Dominum nostrum Jesum Christum, qui vere ad Patrem nobis factus est ostium, quemadmo-
B dum ipse ait, quia « ego sum ostium. » Porro lapides qui in via projecti sunt, scandala forte sunt hæreticæ factionis, quæ veluti quidam lapides fidei nostræ semitæ apposita, eos qui ad Christum qui vera est via, properare volunt, impie impedire procurant, quantum in se est, iter eis salutis claudere festinantes. Rursusque via hæc Dominus utique noster Jesus Christus conjicitur, sicut ipse ait : quia « ego sum vita et via [2]. » Hæreticorum ergo scandalis, ac si quibusdam lapidibus, sacerdotum peritissimi, ingeniose satis et artificiose ductore Spiritu a via nostra, id est fidei ratione purgatis, non solum hos contra capita eorum qui illos jecerant, mittunt, verum etiam hoc modo semitam quæ ducit ad viam [*f.* vitam!], subjectis plebibus facilem et tritam efficiunt; ita ut possint sapere ac dicere : « Anima nostra sicut passer erepta est de laqueo venantium. Laqueus contritus est, et nos liberati sumus. Adjutorium nostrum in nomine Domini. » En igitur divinus sacerdotum conventus Dominicorum mandatorum sequax, huc ac venerabile dispensationis Christi

[1] Isa. LXII, 10. [2] Joan. X, 7. [3] Joan. XIV, 6. [4] Psal. CXXIII, 7, 8.

Digitized by Google

mysterium paternis doctrinis ordinandum et enucleandum concurrit. Non quasi hoc ipsum primum plebibus prædicaverint, cum ante octingentos ferme annos in orbe toto fuerit prædicatum : sed quod tantum salutare consilium, quod per eum consummatum est, divinæ Scripturæ interpretationibus lucidissime populis adaperuerunt, et hæreticos ab ipso [patris allisos Spiritu, seu stercora valde congrue reputaverint] petris allisos spiritus seu stercora (*f* stercori, *vel* ceu stercora], valde congruere putaverint. Noverunt enim propheticam vocem sibi quasi ex persona Dei etiam in hoc clamantem : « Sacerdotes, audite, et contestamini domui Israel [5] : » haud dubium quin spiritali. Quibus et nos quoque concurrentes, utpote quod in ipsis est pariter sentientes, splendido huic choro congratulamur, et præ desiderio mentis pennam moventes, quod possibile est ei conferre satagimus, et verbis tempus decentibus præsens celebrare, ac præconiorum hoc floribus coronare studemus spectaculum : nihil enim prohibet : licet ad id perfecte præ inopia fortassis et infirmitate sensus pertingere nequeamus, quæ tamen nobis sunt possibilia conferre maturamus. Sæpe namque parvus calculus magnis commissus lapidibus, quantum in se fuit, his immobilitatem se contulisse simulavit.

A Χριστοῦ ταῖς πατρικαῖς διδασκαλίαις διατρανῶσαι μυστήριον· οὐχ ὡς ἐν πρώτοις αὐτὸ τοῦτο τοῖς λαοῖς κηρυττόντων· ὅπου γε πρὸ ὀκτακοσίων ἐτῶν ἐγγύς που τῇ οἰκουμένῃ πάσῃ κεκήρυκται· τὸν δι' αὐτοῦ δὲ μόνον σωτήριον σκοπὸν τελεσθέντα ταῖς γραφικαῖς ἑρμηνείαις τηλαυγεστάτως τοῖς λαοῖς ἀναπτυσόντων, καὶ τοὺς προσριφέντας αὐτῷ αἱρετικοὺς τῷ πνεύματι ἀποσκυβαλιζόντων λίθους. Καὶ μάλα γε εἰκότως. Ἴσασι γὰρ τὴν προφητικὴν φωνὴν αὐτοῖς ὡς ἐκ προσώπου τοῦ Θεοῦ, καὶ ἐν τούτῳ βοῶσαν. « Οἱ ἱερεῖς ἀκούσατε, καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰσραήλ· » δῆλον δὲ ὅτι τῷ πνευματικῷ. Οἷς δὴ καὶ ἡμεῖς συνδεδραμηκότες ὡς καὶ αὐτοῖς συμφρονοῦντες τῇ φαιδρᾷ ταύτῃ γαννύμεθα χορείᾳ· καὶ ὑφ' ἡδονῆς τῆς διανοίας πτερὸν ἀνακινούμενοι, τὰ κατὰ B δύναμιν αὐτῷ συνεισβάλλειν προθυμούμεθα· καὶ τοῖς τῷ καιρῷ πρέπουσι λόγοις τὸ παρὸν τοῦτο συγκροτῆσαι θέατρον, καὶ τοῖς τῶν ἐγκωμίων ἄνθεσιν αὐτὸ στεφανῶσαι· οὐδὲν γὰρ κωλύει, εἰ καὶ τοῦ λίαν ὑπερτελοῦς διὰ πενίας ἴσως καὶ νοὸς ἀσθενείας οὐκ ἐφικνούμεθα· τὰ δέ γε ἡμῖν ἐφικτὰ συνεισηνέγκαμεν. Πολλάκις γὰρ δὲ μικρὰ ψῆφις μεγάλοις ὑποβληθεῖσα λίθοις, τὸ ὅσον ἐπ' αὐτῇ, τὸ ἀσάλευτον τούτοις προσεποιήσατο.

Quis autem noster sit sermo, in medium proferatur, a divinis vobis trapezitis benignitate multa discutiendus, et divinitus inspirata Scriptura probandus. [A verbis Domini, quæ citantur a vetustis Patribus, nec sunt apud evangelistas : *Estote probi trapezitæ :*] O sacratissima statio, sursum atque deorsum hominem ad imaginem Dei factum ad rectitudinem iterato salvate; et reditum ad originalem pulchritudinem, quæ per incuriam sublata est, rursus per curam ei mereamini [mercamini]. Hoc enim sive observationes legalium mandatorum, sive relationes hominum, qui more historiæ bene aliterve in sæculo conversati sunt, sive sacra psalmorum eloquia, sive proverbiales doctrinæ moralem nobis narrantes philosophiam, per multam sollicitudinem exposuerunt. Sed impossibile erat facile lapsam peccatoque submissam naturam nostram in se antiquissimam, ex qua cecidit in Adam, recipere dignitatem. Quæ videlicet potius eguit alia quadam robusta et inexpugnabili meliori virtute, quæ illam ex infirmo ulcerum sibi turgentium proposito sanaret, et ad robustiorem valetudinem cum quodam liberali augmento reduceret. Hoc igitur cum sciret divino Spiritu motus prophetarum chorus, alibi aliterque talium ei bonorum nuntia protulit, in suo tempore unusquisque prædicens consempiternum et consubstantialem Dei Patris Filium et Verbum divitiis bonitatis suæ ad nostram extremitatem profectum, nostram perfecte induisse naturam, et hanc invisibili et qui sine materia est, igne divinitatis suæ in antiquitatem reformasse. Alius quidem innuptam conceptionem et immaculatum ac virginalem partum prædicans :

Τίς τοίνυν ἐστὶν ὁ ἡμέτερος λόγος ἐν μέσῳ προῖτω, τοῖς θείοις ἡμῖν τραπεζίταις σὺν εὐμενείᾳ πολλῇ δοκιμαζόμενος. Σκοπὸς τῇ θεοπνεύστῳ Γραφῇ, ὦ C ἱερώτατον σύστημα, ἄνω τε καὶ κάτω τὸν κατ' εἰκόνα Θεοῦ γεγενημένον ἄνθρωπον, εἰς τὸ εὐθὲς ἀντισώσασθαι. Καὶ τὴν εἰς τὸ ἀρχέγονον κάλλος ἀναφοίτησιν, ὃ διὰ ἀπροσεξίας ἀφῄρηται· πάλιν δι' ἐπιμελείας αὐτὸ πραγματεύσασθαι. Τοῦτο αἵ τε παραφυλακαὶ τῶν νομικῶν ἐνταλμάτων, αἵ τε ὡς ἐν ἱστορίας τρόπῳ τῶν εὖ ἢ ἑτέρως τῷ βίῳ συμπολιτευσαμένων ἀνθρώπων ὑφηγήσεις· αἵ τε ψαλμικαὶ ἱερολογίαι, αἵ τε παροιμιώδεις διδασκαλίαι τὴν ἠθικὴν ἡμῖν ἐπεξηγούμεναι φιλοσοφίαν διὰ πολλῆς φροντίδος τεθείκασιν. Ἀλλ' οὐχ οἵα τε γέγονεν αὐτὴ ἑαυτὴν ἡ εὐόλισθος ἡμῶν καὶ τῇ ἁμαρτίᾳ ὑπελθοῦσα φύσις εἰς τὸ ἐξ οὗπερ πέπτωκεν ἐν Ἀδὰμ ἀρχικώτατον ἀνακομίσασθαι ἀξίωμα. Δεδέηται δὲ μᾶλλον ἄλλης τινὸς εὐσθενοῦς καὶ ἀκαταμαχήτου κρείττονος D δυνάμεως, ἥτις αὐτὴν τῶν ἐξ ἀσθενοῦς προαιρέσεως ἐμφυεισῶν αὐτῇ κηλίδων ἐξιάσοιτο, καὶ πρὸς τὸ ῥωμαλεώτερον μετά τινος φιλοτίμου προσθήκης, ἀνθυπονοστήσει. Τοῦτο τοιγαροῦν εἰδυῖα ἡ θεία τε καὶ πνευματοκίνητος τῶν προφητῶν χορεία, ἄλλος ἄλλοθί που τῶν τοιούτων αὐτῇ ἀγαθῶν τὰς ἀγγελίας φέρουσα ἐν τοῖς ἑαυτῶν ἕκαστος καιροῖς διηγόρευε τὸν συναΐδιον καὶ ὁμοούσιον τοῦ Θεοῦ καὶ Πατρὸς Υἱὸν καὶ Λόγον, περιουσίᾳ ἀγαθότητος εἰς τὴν ἡμετέραν ἐσχατιὰν ἀφιχθέντα τὴν ἡμῶν τελείαν ἀμφιάσασθαι φύσιν, καὶ ταύτην τῷ ἀΰλῳ καὶ ἀοράτῳ πυρὶ τῆς αὐτοῦ θεότητος εἰς τὸ ἀρχαῖον ἀναχαλκῶσαι. Ἄλλος μὲν τὴν ἀνύμφευτον σύλληψιν, καὶ τὴν ἀμώμητον καὶ παρθενικὸν τοκετὸν ἀνακηρύττων· ἕτερος τὴν τῆς ἐπικρατησάσης ἀπὸ τῆς ἐν Ἀδὰμ παραβάσεως,

[5] Amos, III, 13

Digitized by Google

καὶ μέχρι τοῦ νόμου σατανικῆς πλημμελείας ἀδυναμίαν παντελῆ ὀλόθρευσίν τε καὶ μείωσιν. Ἄλλος τὴν αὐτοῦ τοῦ Σατανᾶ μετὰ καὶ τῶν συναποστατησάντων αὐτῷ δαιμόνων ὀλεθρίαν ὑπόπτωσιν ἀπὸ προσώπου τοῦ φανησομένου Θεοῦ, καὶ τὴν τῶν λελυτρωμένων ἡμῶν ὑπὲρ τῶν εἰς ἡμᾶς πραχθησομένων δαψιλεστάτων ἀγαθῶν ἀναφαίρετον εὐχαριστίαν, τῷ λυτρωσαμένῳ κομισθησομένην. Ἕτερος τὸ ἑκούσιον τοῦ σαρκωθέντος Θεοῦ πάθος, καὶ τὴν εἰς ᾅδου κάθοδον, καὶ αὖθις τὴν ἐξ ᾅδου εὐσθενῆ ἀνακομιδήν, μετὰ τῶν τοῖς ἀφύκτοις ἐκείνου δεσμοῖς κατεχομένων ψυχῶν. Ἄλλος τὴν ἀφ' ἡμῶν πρὸς τὸν ἐν οὐρανοῖς αὐτοῦ Πατέρα ἔνδοξον ἀναφοίτησιν, καὶ τὴν ἀμφὶ τὰ δεξιὰ τοῦ πατρὸς ἕδρυσιν. Ἕτερος τὴν ἐξ οὐρανοῦ καταπτᾶσαν ἡμῖν τοῖς εἰς αὐτὸν πιστεύσασιν ἄφθονον τοῦ Πνεύματος ἐπιφοίτησιν, καὶ τὴν εἰς πάντα τὰ ἔθνη τοῦ εὐαγγελικοῦ κηρύγματος ταχυτάτην περίοδον, καὶ τὴν ἐντεῦθεν γεγενημένην τῶν ἀνὰ τὴν οἰκουμένην εἰδώλων παντελῆ ὀλόθρευσιν, διὰ τῆς πρώτου ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν ἡμῶν καθαρᾶς ἀνανεύσεως, καὶ τῆς ἀνενδότου καὶ διηνεκοῦς πρὸς ὅλων ἀναστησομένης αὐτῷ κατὰ πάσης τῆς γῆς νοερᾶς τε καὶ πνευματικῆς λατρείας· ἅτινα πάντα τοῖς ἑαυτῶν καιροῖς τῇ ἀληθείᾳ συνεπεράνθησαν, καὶ τέλος εὐκλεέστατον ἐδέξαντο. Ἀκουσον τοιγαροῦν τοῦ Παύλου μεγαλοφώνως ἐμβοῶντος, καὶ τὴν ἀλήθειαν τούτοις ἐπισφραγίζοντος· « Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. » Ὦ τῆς τοῦ διδασκάλου μεγαληγορίας! Θεὸς, φησὶν ἐφανερώθη ἐν σαρκὶ, τὸ πάντων τῶν ἀγαθῶν αἴτιον, ἡ ἀνέκλειπτος δωρεὰ, ὁ διαυγέστατος πλοῦτος, ἡ ἀένναος τῶν ἀναφαιρέτων χαρισμάτων πηγὴ, ἡ ἀκόρεστος τῶν πεινώντων τροφὴ, ὁ ἐξ οὐρανοῦ ζωοποιὸς ἄρτος, τὸ ἀένναον τῶν διψώντων ῥεῖθρον, ἐξ οὗ ὁ πίνων οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. Οὗτος ἐφανερώθη ἐν σαρκί· ἀλλὰ καὶ τῷ κόσμῳ φησὶν ἐπιστεύθη.

Πῶς ἐπιστεύθη ἐν κόσμῳ; εἰπὲ, ὦ μακαριώτατε Παῦλε, μύησον καὶ ἡμᾶς ἐκ τῶν ἀῤῥήτων ἐκείνων φωνῶν, ὧν ἐν τοῖς ἀφύκτοις τοῦ παραδείσου ἐμυήθης· πρόστηθι καὶ νῦν τοῦ κηρύγματος, οὗ ἐπιστεύθης εἰς πάντα τὰ ἔθνη κηρύξαι, καὶ ἀπόστολος γενέσθαι. Πήγασον τῇ παρούσῃ Ἐκκλησίᾳ τὸν τῆς ἀληθείας λόγον, καὶ σβέσον τὰς νοητὰς τῶν αἱρετιζόντων ὄψεις· ὡς ποτε Ἐλύμα τοῦ μάγου. Τράνωσον μετὰ παῤῥησίας τὸ τῆς οἰκονομίας μυστήριον. Λαλεῖς γὰρ καὶ μετὰ θάνατον, φωνῆς ὑψηλότερον, καὶ ἐνεργεῖς τῷ πνεύματι ὅσα καὶ βούλει. Καὶ, φησὶν ὁ διδάσκαλος, « Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι. » Τοιγαρτοι ἀκούσατε. « Ἐπιστεύθη, εἰ-

A alius vero potentatum [*f.* potentatuum] omnimodum exterminium, et imminutionem prævaricationis quæ obtinuit ab Adam, et in Adam facta est usque ad legem, atque diabolici simul delicti. Alius autem ejusdem Satanæ ac dæmonum, qui cum eo apostatæ facti sunt, exitialem ruinam a facie apparentis Dei, atque incomparabilem gratiarum actionem redemptori afferendam a nobis qui redempti sumus, super largissimis bonis quæ in nobis patrata sunt. Ast alius voluntariam incarnati Dei passionem, et in infernum descensionem, et rursus ex inferno validum reditum cum animabus, quæ inevitabilibus illis [forte, *illic* Hard.] vinculis tenebantur. Alius vero gloriosum a nobis ad Patrem, qui in cœlis est, regressum, et ad Patris B dexteram sessionem : alius autem descendentem de cœlo nobis collatum, qui in illum credimus sine invidia, Spiritus adventum; et in omnes gentes evangelicæ prædicationis circuitum velocissimum : et quod hinc factum est per orbem terrarum idolorum omnimodum exterminium, per mundam reversionem ad unum et solum verum Deum nostrum effectam, atque imprætermissam et jugem latriam, quæ illi a nobis per universam terram intelligibiliter et spiritaliter exhibetur. Quæ omnia veritate temporibus suis terminata sunt, et finem gloriosissimum susceperunt. Audi igitur Paulum magna voce clamantem, et veritatem istam corroborantem : « Deus manifestatus est in carne, justificatus est in spiritu, apparuit angelis, prædicatus est gentibus, creditus est in mundo, assumptus est in gloria [6]. » O magni doctoris affectum [affatum]! Deus, inquit, manifestatus est in carne, quod est C omnium bonorum causa, indeficiens donatio, sufficientissimæ divitiæ, perennis non auferendorum charismatum fons, insatiabilis esurientium esca, vivificus de cœlo panis, jugis sitientium rivus, ex quo qui biberit, non sitiet in æternum [7]. His manifestatus est in carne : sed et mundo, ait, creditus est.

Quomodo creditus est in mundo? dic, beato Paule; imbue et nos ex arcanis illis vocibus, quibus in abditis paradisi imbutus es; imbue etiam nunc prædicatione, cujus creditus es in omnes gentes D prædicator et apostolus fieri. Infunde præsenti Ecclesiæ veritatis verbum, exstingue spiritales hæreticorum visus, ut quondam Elymæ magi [8] : exprime cum fiducia dispensationis mysterium. Loqueris enim etiam post mortem voces excellentius, et operaris in spiritu quæcunque vis. Etiam inquit doctor : « Mihi minimo omnium sanctorum data est gratia hæc in gentibus, evangelizandi videlicet investigabiles divitias Christi, et illuminandi omnes, ac docendi, quæ sit dispensatio mysterii absconditi a sæculis a Domino, qui omnia creavit [9]. » Quapropter audite : « Creditus est, dixit, in mundo, reconcilians omnia in semetipso, et pacificans per

[6] 1 Timoth. III, 16. [7] Joan. IV, 5. [8] Act. XIII, 8. [9] Ephes. III, 8, 9.

Digitized by Google

sanguinem crucis suæ, sive quæ in terra, sive quæ in cœlis sunt [10]. » O sublimem hanc prædicationem! O inenarrabilem istam misericordiam! Unigenitus Filius Dei omnia in seipso reconcilians pacificavit per sanguinem crucis suæ. Et quomodo quidam post tantam ineffabilem reconciliationem nos fieri priorum seditiosorum inimicorum affirmant? Quomodo post unius et solius veri Dei agnitionem adorare idola Christianos dicere ausi sunt? Præsertim cum propheta omnimodam horum comminutionem quodammodo clamet, et dicat: « In die illa apparebit Dominus, et exterminabit deos gentium terræ: et adorabit eum unusquisque de loco suo, omnes insulæ gentium [11]. » Ecce subversionem idolorum, et Deo celebrandam adorationem ab unoquoque de loco suo audivimus. Quomodo igitur nos qui hoc agimus, idololatriam exercere accusamur? Quis autem et omnino posset in antiquitatem idolorum errorem renovare super terram? Si enim nequissimi dæmones qui per hæc placantur, hoc facere possunt, quomodo non destruetur totum dispensationis mysterium, sancta manifeste clamante Scriptura: « Quia percussit inimicos suos in posteriora [12]? » In quo innuitur, quia Christus etiam opprobrium sempiternum dedit eis. Qui enim potest aliquid operari, non inter mortuos, sed inter viventes adhuc procul dubio constituitur. Quomodo autem et ipse proprios confortans discipulos, et ad omnes vel qualescunque difficultates viriliter subeundas adhortans, veritatem dicet, cum asserat: « Confidite, ego vici mundum [13]? » Si enim quod hic vicisse se repromittit, hoc illi valuerunt rursus per rebellionem auferre, non utique tale quid victoria nominabitur, nec inter fortia facta connumerabitur. Nam quomodo victoria erit, si liberator [liberatos] in finem minime lucrifaciat, sed similibus ab his qui prius superati fuerant, luctaminibus redigatur [rediganturl]? verum nec similibus, sed fortioribus? Nam possidere quid et perdere, plus mihi, quam non acquisitum non possidere, in rationem imbecillitatis reputabitur. Porro ubi putas idolorum status [stratus]? qui hoc dicentes posuistis, aiunt. Etsi in antiquis dæmonicorum templorum sedibus, nondum hoc Christianis in causam criminis irrogabitur. Videmus enim reliquias in quibusdam locis priscorum dæmonicorum templorum a veteribus derelictas, ad pompam, ut reor, eorum qui in his immolaverunt; vel etiam ad memoriam, quod nos redempti sumus, et in gratiarum actiones ducentem per visibiles infirmasque formationes: [ex quibus Christianorum abominabiles factæ sunt culturæ, a quibus per Christum erepti sumus, nisi in Christianissimis hæc, inquiunt, ecclesiis nostris invenirentur.

A πον, ἐν κόσμῳ, ἀποκαταλλάξας τὰ πάντα εἰς ἑαυτὸν καὶ εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. » Ὦ τοῦ ὑψηλοῦ τούτου κηρύγματος! ὦ τῆς ἀνεκδιηγήτου ταύτης φιλανθρωπίας. Ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τὰ πάντα εἰς ἑαυτὸν ἀποκαταλλάξας εἰρηνοποίησε διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ· καὶ πῶς τινες μετὰ τὴν τοσαύτην ἀνέκφραστον καταλλαγὴν, ὑπὸ χεῖρα τῶν πάλαι στασιαστῶν ἐχθρῶν ἡμᾶς γενέσθαι διϊσχυρίζονται; πῶς μετὰ τὴν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν ἐπίγνωσιν εἰδώλοις τοὺς Χριστιανοὺς προσκυνῆσαι εἰπεῖν τετολμήκασι; καίτοι τοῦ προφήτου τὴν παντελῆ τούτων ἐκμείωσιν, ὥσπερ ἀναβοῶντος καὶ λέγοντος· « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιφανήσεται Κύριος, καὶ ἐξολοθρεύσει τοὺς B θεοὺς τῶν ἐθνῶν τῆς γῆς· καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. » Ἀκούεις τὴν ἡλίκην τῶν πολλῶν θεῶν καταστροφὴν, καὶ τὴν ἐξ ἁπάσης τῆς γῆς ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ τῷ Θεῷ ἀποτελοῦντα προσκύνησιν; πῶς τοίνυν οἱ τοῦτο πράττοντες εἰδωλολατρεῖν αἰτιώμεθα; τίς δὲ ὅλως καὶ ἴσχυσεν εἰς τὸ ἀρχαῖον τὴν τῶν εἰδώλων πλάνην ἐπὶ γῆς ἐπανακαινίσαι; εἰ μὲν γὰρ οἱ διὰ τούτων θεραπευόμενοι πονηρότατοι δαίμονες τοῦτο ποιῆσαι δέδυνται, πῶς οὐκ ἀνατραπήσεται ὅλον τὸ τῆς οἰκονομίας μυστήριον, τῆς ἁγίας διαρρήδην βοώσης Γραφῆς· « Ὅτι ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὸ ὀπίσω; » Δῆλον δὲ ὅτι Χριστὸς καὶ ὀνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. Πάντως γὰρ ὅτι ὁ δυC νάμενός τι ἐνεργεῖν οὐκ ἐν τοῖς τεθνεῶσιν, ἀλλ' ἐν τοῖς ζῶσιν ἔτι κατατέτακται. Πῶς δὲ καὶ αὐτὸς τοὺς ἰδίους ἐπιθαῤῥύνων μαθητὰς καὶ πρὸς πᾶν ὁτιοῦν τῶν δυσχερῶν ἀνδρικῶς ἰέναι παρακελευόμενος ἐπαληθεύσει λέγων· « Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. » Εἰ γὰρ οὓς νικῆσαι ἐκεῖνος ἐπήγγελται τοῦτο ἐκεῖνοι ἴσχυσαν, διὰ τῆς ὧν ἀφῆρέθησαν ἀνταναῤῥήσεως, οὐδ' ἂν τὸ τοιοῦτον ὀνομασθήσεται νίκη, οὐδ' ἂν ταῖς εἰς ἀνδρείαν ἀριστείαις κατατετάξεται. Πῶς γὰρ νίκη ἡ τοὺς λυτρωθέντας εἰς τέλος μὴ ἀποχερδήσασα, ἀλλὰ τοῖς ὁμοίοις ὑπὸ τῶν πρότερον ἡττημένων ὑποβληθεῖσα παλαίσμασι; καίτοιγε οὐδὲ τοῖς ὁμοίοις πολλοῦ γε καὶ δεῖ; τὸ γὰρ κτήσασθαί τι καὶ ἀπολέσαι πλέον ἔμοιγε τοῦ, τὸ ἀφῃρημένων ἀντικατασχεῖν, εἰς ἀνανδρείας κατηγορηθήσεται λόγον. D Ποῦ δὲ καὶ ἄρα τὰς τῶν εἰδώλων στάσεις; οἱ τοῦτο λέγοντες τεθεᾶσθαί φασιν. Εἰ μὲν ἐν τοῖς ἀρχαίοις τῶν δαιμονικῶν τεμενῶν ἱδρύμασιν οὔπω τοῦτο τοῖς Χριστιανοῖς εἰς λόγον ἐγκλήματος προστριβήσεται. Ὁρῶμεν γὰρ λείψανά που ἐνιαχοῦ τῶν πάλαι εἰδωλικῶν τεμενῶν παρὰ τῶν παλαιῶν ἐγκαταλελειμμένα, πρὸς θρίαμβον, οἶμαί που, τῶν ἐν τούτοις ἐπιθυσάντων· καὶ μέντοι καὶ πρὸς μνήμην ἡμῶν τῶν λελυτρωμένων εἰς εὐχαριστίαν ἡμᾶς ἐνάγουσαν διὰ τῶν ὁρωμένων ἐξιτήλων μορφωμάτων· ἐκ ποίων τὸ Χριστιανῶν γένος βδελυκτῶν σεβασμάτων διὰ Χριστοῦ ἐκλελύτρωται· εἰ δὲ δὴ ἐν ταῖς Χριστιανικωτάταις ἡμῶν ἐκκλησίαις ταῦτά φασιν εὑρηκέναι.

[10] Coloss. I, 20. [11] Zach. XIII, 9. [12] Psal. LXXVII, 66. [13] Joan. XVI, 33.

Digitized by Google

Ὦ τῆς ἐντεῦθεν ἀτοπίας! ὦ τῆς παγκάκου βλασφημίας! Πῶς γὰρ ἔνθα Χριστὸς κεφαλὴ καὶ θεμέλιός ἐστι, κατὰ τὸν σοφώτατον Παῦλον, τοῦτο γενέσθαι δεδύνηται; Ἐψεύσθημεν ὄντως Χριστιανοὶ τῆς ἐλπίδος· πεφενακίσμεθα δὲ καὶ ταῖς τῶν κηρύκων φωναῖς, οἵ γε Θεὸν ἡμῖν τῆς τῶν δαιμόνων πλεονεξίας ἡμᾶς ἀπαλλάττοντα ἐπιδεδημηκέναι τῷ βίῳ κεκηρύχασι. Πῶς δὲ ὅλως τοῦτο καὶ ἴσχυσαν; Ἆρα γάρ, ἐροίμην ἂν τοὺς οὕτω φρονοῦντας, ὡς τοῦτο τῆς κεφαλῆς ἡμῶν παραχωρούσης γεγένηται, ἢ τυχὸν θελούσης μὲν μὴ γίνεσθαι, μὴ δυναμένης δὲ ἐπαμύναι; καὶ πῶς οὐκ ἐπέκεινα τοῦτό γε πάσης βλασφημίας; Εἰ γάρ ἐστιν ἀληθὴς ὁ ἱερώτατος Παῦλος Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν ὀνομάζων τὸν Υἱόν, πῶς ἄρα καὶ ἴσχυσε τὴν τοῦ Πατρὸς ἀκαταμάχητον δύναμίν τε καὶ σοφίαν, τὴν πᾶσι τὸ εἶναι δοῦσαν τῶν ὄντων κατευμεγεθῆσαί τι; Δῆλον γὰρ ὅτι εἰ τοῦτο ταύτῃ συμβέβηκεν, οὐδὲ τὸν οὗ ἐστι ταῦτα τῶν τοιούτων κατηγορημάτων ἐξωθήσουσι. Πῶς γὰρ Θεὸς παντοκράτωρ δυνατός τε καὶ ἰσχυρὸς ὁ Πατὴρ ἔτι λέγοιτο, τῆς ἰδίας ὥσπερ ἀφῃρημένος δυνάμεως, καὶ ὑπὸ χεῖρα τῶν σφῶν ἐχθρῶν γεγενημένος; πῶς δὲ καὶ ὅλως παρακεχώρηκε τὴν τῷ ἰδίῳ αὐτοῦ αἵματι ἁρμοσθεῖσαν αὐτῷ Ἐκκλησίαν τοῖς ἁγρίοις οὕτω καὶ ἀφιλοικτίρμοσι καταδουλωθῆναι πνεύμασι; Καίτοι τοῦ Ὑμνογράφου λέγοντος· « Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. » Εἰ γὰρ ἐπὶ τοῦτο σεσάρκωται, ὥστε τῆς τούτων ἡμᾶς ἀπαλλάξαι χειρὸς, κατὰ τὰς προφητικὰς προαναῤῥήσεις· ἀπηλλάγμεθα δὲ, ὥς φασι, πρὸς βραχύ· τίς δνησις τῆς πρὸς βραχὺ, οὐκ οὔσης μὲν, δοκούσης δὲ ἐλευθερίας; Οὐ γάρ τοι χαρᾶς, ἀλλὰ πλείονος καὶ δυσχερεστέρας δουλείας πρόξενον ἡμῖν γέγονε, τοσοῦτον τοὺς καθ' ἡμῶν ἐχθροὺς ἀγριωτέρους παρασκευάσασα, ὅσον ἐκείνοις ἡμεῖς ἀπαλλαγέντες ᾠόμεθα κατεκαγχάζομεν. Ποῦ δὴ οὖν τὸ διηνεκὲς αὐτοῦ ἔλεος ἔτι σώζοιτο ἄν, ὅπερ κατὰ τὸ ἀπὸ τῆς γῆς πρὸς τὸ οὐράνιον ὕψος διάμετρον κραταιῶσαι ἐφ' ἡμᾶς ἐπηγγείλατο, ὃ δηλοῖ τὸ ἀπεριόριστον; πῶς δὲ καὶ τὰς ἀνομίας ἡμῶν κατὰ τὸ τῆς ἀνατολῆς ἐπὶ τὸ δυτικὸν κλῖμα διάστημα ἀφ' ἡμῶν μακρύναι λέγεται, ὅπερ τὴν παντελῆ ἀπολύτρωσιν σημαίνει, εἰ ἔτι τοσαύταις ἐνεχόμεθα πλάναις; Καὶ γοῦν ὁρῶμεν τοὺς τῶν ἰατρῶν ἐπιστήμονας, οἳ ἐπειδάν τινα τῶν ἀσθενῶς τὸ σῶμα διακειμένων τοῖς ἐκ τῆς τέχνης ἀκριβασμοῖς ἐπαμύναντες εἰς ὑγείαν ἐπανάζωσιν, οὐχ ὅπως μὲν αὐτὸν τοῦ παρόντος ἀπαλλάξωσι πάθους, τὴν ἑαυτῶν εἰσφέρουσι τεχνικὴν ἐμπειρίαν, ἀλλά γε καὶ τὴν ἐξῆς τοῦ βίου περίοδον ἀσφαλεστέραν αὐτῷ διά τινων προφυλακτικῶν βοηθημάτων πραγματεύονται· ὡς ἂν μὴ τοῖς αὐτοῖς τυχὸν ἐξ ἀπειρίας ὀχληροῖς πάλιν συνενεχθείη. Εἰ δὲ δὴ πάλιν ἀληθές ἐστιν, ὥσπερ οὖν καὶ δέδεικται, ὅτι τὴν ἡμετέραν ὁ μονογενὴς τοῦ Θεοῦ καὶ Πατρὸς Υἱὸς πεφόρεκε φύσιν, δῆλον ὅτι τῶν οἰκείων αὐτὴν πεπλούτηκεν ἀγαθῶν, καὶ τῶν τοῦ Πνεύματος ἐξαιρέτων ἐνέπλησε θησαυρῶν· ὡς μηκέτι ταύτην εἰς τὸ ἐξῆς δευτέρας ἐπιδέεσθαί τινος βοηθείας,

O pravitatem quæ hinc efficitur! o pessimam blasphemiam! Quomodo enim, ubi Christus caput et fundamentum est, secundum sapientissimum Paulum [15], hoc fieri poterit? Fraudati vere sumus spe nos Christiani: decepti sumus etiam prædicatorum vocibus, qui etiam Deum nobis a dæmoniorum superstitione nos liberaturum in mundum venisse prædicaverunt. Quomodo etiam hoc penitus dicere potuerunt? Nam interrogaverunt [*f.* interrogemus] eos qui sic sapiunt, utrum hoc capite nostro permittente factum sit, an forte volente quidem ne fieret, non valente tamen auxiliari: et quomodo subsequenter hoc non sit totius blasphemiæ. Si enim verax est sacratissimus Paulus, dum Christum Filium Dei, virtutem et Dei sapientiam nominat [16], quomodo, quæso, valuit Patris inexpugnabilem virtutem et sapientiam, quæ omnibus esse tribuit, quidquam eorum quæ sunt exsuperare? Perspicuum enim est, quia si istud huic accidit, nec id quod non est hæc, a talibus accusationibus pellent. Quomodo enim Deus omnipotens, potens et fortis Pater adhuc dicatur, si quæ sua sublata sunt virtute, subdita inimicis sunt effecta? Vel quo pacto Filius indulsit in Ecclesiam, quam proprio sanguine suo sibi desponsavit, immanibus taliter et immisericordibus rursus deservire spiritibus? præsertim cum Hymnographus dicat: « Quia secundum altitudinem cœli a terra confirmavit Dominus misericordiam suam super timentes eum [17]. » Si enim in hoc incarnatus est, ut de eorum nos manu liberaret secundum propheticas prolocutiones: liberati autem sumus, ut aiunt, ad modicum: non fuit, sed putata est. Non enim gladii [gaudii], sed abundantioris et difficilioris servitutis nobis factus est causa, tanto inimicos nostros ferociores construens, quanto illos nos liberati, ut opinamur, irrisimus. Ubi autem continua misericordia conservatur, quam secundum altitudinem cœlestem a terra immensa [immensam] super nos confirmasse se repromisit, quod indicat infinitum? Vel quomodo iniquitates nostras elongasse a nobis dicitur, quantum distat ab oriente usque ad occidentalem plagam, quod omnimodam redemptionem signat, si adhuc eisdem implicamur erroribus? Et certe videmus medicorum peritissimos, cum aliquem infirmo corpore jacentem artis suæ diligentiis adjuverint, et ad sanitatem reduxerint, non cum mox a præsenti liberaverint passione, subtrahere artis experientiam, sed certe [*f.* certæ HARD.] vitæ circuitum cautiorem ei per quædam auxilia præmunire, valentia sollicitum operari: quatenus non eisdem forte per imperitiam iterum molestiis opprimatur. Ast rursus si verum est, quemadmodum et comprobatum est, quia nostram unigenitus Dei et Patris Filius induit naturam: manifestum est, quod propriis eam bonis ditaverit, et præcipuis Spiritus donis repleverit, ne de cætero sæculi [secundi] cujusquam egeret auxilio, semel ab eo robore qui hanc assum-

[15] I Cor. III, 11. [16] I Cor. I, 24. [17] Psal. CII, 11. [18] Joan. I, 32.

Digitized by Google

psit accepto. Hoc enim, reor, et beatus evangelista insinuat, cum tempore baptismatis omnium nostrum Salvatoris Christi se vidisse dicit Spiritum sanctum de cœlis descendentem et manentem super eum; significans eum naturam de cætero sine adjectione [abjectione] ditasse.

Etenim non egebat ille qui per omnia Patri est coæqualis, Spiritus de cœlis adventu, quantum ad propriæ naturæ pertinet rationem. Nunquidnam in se augmentum sanctitatis acquireret, qui paternos in semetipso fert characteres, et Spiritus consubstantialitate nullatenus commutatur? Sed nostram in se præfigurabat gratiam : quoniam eo quo in Adam sumus privati, per ipsum et in ipso sumus iterum locupletati, et naturæ antiqua dignitas rediit. Si igitur Spiritus gratia super eum descendens mansisse legitur; et hoc quidem non est rejiciendum, naturam scilicet deinceps conservasse Verbum; apparuit, quia profecto hujusmodi gratia in omne genus pertransiit. Quomodo ergo perhibetur [perhibent], nos veraciter ignorantia peccasse, et quasi honorem qui erga Deum est exercendus, idolis exhibuisse? Nam hujusmodi quidem per Christum gratia sumus ditati. His dicendum est qui omnia præsumunt. Porro si confessi fuerint, hæc nos quæ super verbum sunt bona, per Christum meruisse, sed post hoc prioribus denuo submissos esse erroribus : infirmata est ergo secundum ipsos gratia quæ per Spiritum data est, ne sufficienter usque in finem cum his qui semel hanc sortiti sunt, permaneret. Et quid ita sapere magis impium vel infelicius? Vel quomodo is qui per omnia justus est, et cunctis vivificam præbet virtutem, omnium videlicet inspector atque omnipotens Patris Spiritus, natura sua deficiet, et mensuris infirmitatis succumbet? Aut quomodo illud quod dicitur : « Vobiscum sum omnibus diebus usque ad consummationem sæculi [18], » verum salutaris fatebitur vox, si repromissionum ejus res per opera in finem processisse non cernitur? Etenim talibus tunc secum exsistentibus sanctis apostolis talem repromissionem donavit. Quomodo enim usque ad consummationem hi in carne permanserunt, qui etiam modicum post regressum ejus ad cœlos in vita manentes, communi naturæ functi sunt lege, vitam morte deserentes? Verum in nos hujusmodi Evangeliorum munus pertransit : qui videlicet eorum prædicationi submissi sumus, et Christum qui cum eis conversatus est, nobiscum exsistentem in spiritu et per totam vitam habemus. Expedit igitur in his plorare hæreticorum errorem, qui hæc taliter contempserunt, qui tam manifestis dogmatibus objurgantur, et tam Deo decibiles irritas promissiones Ecclesiæ catholicæ faciunt, his impie derogantes. Nullatenus enim hæc a tradita sibi commota est fide : mansit autem sicut virgo casta, sicut scriptum

[18] Matth. xxviii, 20.

A ἅπαξ τὸ εὐσθενὲς παρὰ τοῦ ταύτην ἀνειληφότος λαβοῦσαν. Τοῦτο γάρ, οἶμαι, καὶ ὁ μακάριος εὐαγγελιστὴς αἰνίττεται· ἐν τῷ καιρῷ τοῦ βαπτίσματος τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ ἰδεῖν λέγων τὸ Πνεῦμα τὸ ἅγιον ἐξ οὐρανῶν καταβάν, καὶ μένον ἐπ' αὐτόν· ὅπερ τοῦ ἀναπόβλητον αὐτὸ τὴν φύσιν εἰς τὸ ἐξῆς καταπλουτεῖν ἔμφασιν ἔχει.

Καὶ γάρ τοι οὐκ ἐδέετο ὁ κατὰ πάντα τῷ Πατρὶ ἰσοστάσιος τῆς τοῦ Πνεύματος ἐξ οὐρανῶν ἐπιφοιτήσεως· ὅσον γε εἰς τὸν τῆς ἰδίας φύσεως λόγον. Τί γὰρ ἂν αὐτῷ προσθήκην ἁγιότητος ἐμποιήσῃ τῷ τοὺς πατρικοὺς ἐν ἑαυτῷ φέροντι χαρακτῆρας, καὶ τῇ τοῦ Πνεύματος ὁμοουσιότητι μηδαμῶς παραλλάττοντι; ἀλλὰ τὴν ἡμετέραν ἐν ἑαυτῷ προδιεζωγράφει χάριν· B ὅτι τε ὃ ἐν Ἀδὰμ ἀφῃρήμεθα, δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ πάλιν πεπλουτήκαμεν, καὶ τῇ φύσει τὸ ἀρχαῖον ἐπανῆλθεν ἀξίωμα. Εἰ τοίνυν ἡ τοῦ Πνεύματος χάρις ἐπ' αὐτὸν καταπτᾶσα μεμενηκέναι λέγεται· τοῦτο δὲ τὸ ἀναπόβλητον ἀεὶ τὴν φύσιν εἰς τὸ ἐξῆς διασώζειν ὁ Λόγος ἀποδέδειχε· δῆλον ὅτι ἡ τοιαύτη χάρις εἰς ὅλον διαβαίνει τὸ γένος. Πῶς οὖν φασιν ἡμᾶς ἀγνοίᾳ τἀληθοῦς ἡμαρτηκέναι, καὶ προφάσει δῆθεν τῆς εἰς Θεὸν τιμῆς εἰδώλοις πάλιν προσκεκυνηκέναι; Εἰ μὲν γὰρ οὕπω οὕτω διὰ Χριστοῦ τὴν τοιαύτην πεπλουτήκαμεν χάριν· ἔστι τοῦτο λέγειν τοῖς τὰ πάντα τολμῶσιν. Εἰ δὲ δὴ ὁμολογήσουσι τούτων μὲν ἡμᾶς τῶν ὑπὲρ λόγον ἀγαθῶν ἠξιῶσθαι διὰ Χριστοῦ· μετὰ τοῦτο δὲ ἡμᾶς ταῖς προτέραις ἀνθυπενεχθῆναι πλάναις· ἠσθένησε λοιπὸν κατ' αὐτοὺς ἡ δοθεῖσα τοῦ C Πνεύματος χάρις, τοῦ μὴ διαρκῶς μέχρι τέλους τοῖς ἅπαξ αὐτοῖς μεταλελο[γ]χόσι παραμεῖναι. Καὶ τί τοῦ οὕτως φρονεῖν δυσσεβέστερον, ἢ ἀθλιώτερον; πῶς γὰρ τὸ διὰ πάντων διῆκον καὶ πᾶσι τὴν ζωογόνον παρέχον δύναμιν, τὸ παντεπίσκοπον καὶ παντοδύναμον τοῦ Πατρὸς Πνεῦμα τῆς ἰδίας ἐκταίη φύσεως, καὶ τοῖς τῆς ἀσθενείας ὑποκείσεται μέτροις; πῶς δὲ καὶ τὸ « ἔσεσθαι μεθ' ἡμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, » ἡ σωτήριος ἐπαληθεύσῃ φωνή, εἰ τὸ τῶν ἰδίων ὑποσχέσεων χρῆμα δι' ἔργων εἰς πέρας ἐκβεβηκὸς οὐχ ὁρᾶται; Καὶ γάρ τοι οὐ τοῖς τότε αὐτῷ συνοῦσιν ἁγίοις ἀποστόλοις τὴν τοιαύτην ἐπαγγελίαν δεδώρηται. Πῶς γὰρ ἕως τῆς συντελείας οὗτοι σαρκὶ μεμενήκασιν· οἵ γε μικρὸν μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἀναφοίτησιν τῷ βίῳ παραμείναντες D τῷ κοινῷ τῆς φύσεως ἐλειτούργησαν νόμῳ, ζωὴν τῷ θανάτῳ ἀπολιπόντες; Ἀλλά γε εἰς ἡμᾶς ἡ τοιαύτη τῶν Εὐαγγελίων δωρεὰ διαβαίνει τοὺς τὸ αὐτῶν ὑπελθόντας κήρυγμα, καὶ τὸν μετ' αὐτῶν ἀναστραφέντα Χριστὸν συνόντα ἡμῖν ἐν πνεύματι διὰ παντὸς τοῦ βίου ἔχοντας. Ἔξεστι τοιγαροῦν ἐν τούτοις τὴν τῶν οὕτω πεφρονηκότων αἱρετικῶν ἀποδακρύσαι πλάνην· ὅτι τοῖς οὕτω ἐναργέσι διαμάχονται δόγμασι, καὶ τὰς οὕτω θεοπρεπεῖς ἀθετοῦσιν ἐπαγγελίας τῆς καθολικῆς Ἐκκλησίας δυσσεβῶς καταγορεύοντες. Οὐδαμῶς γὰρ αὕτη ἐκ τῆς παραδοθείσης αὐτῇ μετακεκίνηται πίστεως· μεμένηκε δὲ ὥσπερ παρθένος ἁγνή, κατὰ τὸ γεγραμμένον, τοῦ ἑαυτῆς νυμφίου τὸν ἀρραβῶνα

Digitized by Google

ἄσυλον διασώσασα, ἤτοι τὴν δοθεῖσαν ἐπ' αὐτὴν τοῦ Πνεύματος χάριν. Τοιγάρτοι καὶ ὁ θεῖος Δαβὶδ πολλαῖς πρότερον γενεαῖς τὸ πρὸς τὴν πίστιν αὐτῆς ἑδραῖον ἀνακηρύττων ἔλεγεν· « Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· » καὶ πάλιν· « Ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται· » ταῖς σατανικαῖς δηλονότι πολιορκουμένη μηχαναῖς. Ἂν γάρ τινες τὸ στερέωμα τοῦ εἰς αὐτὴν διαδοθέντος εὐαγγελικοῦ κηρύγματος τῶν πάλαι ἢ τῶν νῦν αἱρετικῶν κατασεῖσαι τεθελήκασιν, ἐκείνοις μὲν τὸ μελετηθὲν εἰς ἔργον ἐκβέβηκε.

Ταύτῃ δὲ μόνῃ τὸ ἀσάλευτον εἰς αἰῶνα τετήρηται, κατὰ τὴν ἀψευδῆ τοῦ φήσαντος ἐπαγγελίαν· « Εἰ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλήσεται ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. » Ἐάσαντες τοιγαροῦν τὰς ἐν τούτοις αὐτῶν τῶν λόγων στροφάς, καὶ μακρὰ ταῖς φλυαρημοσύναις αὐτῶν χαίρειν εἰπόντες, ταῖς τῶν ἁγίων Πατέρων ἀνθυποκρίσεσιν δόξαις. Θεὸν τοιγαροῦν ἅπαντες ἐν ἀνθρωπείᾳ μορφῇ τῷ βίῳ ἐπιδεδημηκότα, τῆς τῶν εἰδώλων πολυτρόπου πλάνης ἡμᾶς ἠλευθερωκέναι δεδείχασιν· οὕτως αἱ προφητικαὶ προαγορεύσεις τεθεσπίκασιν, οὕτως ἡ ἀποστολικὴ χάρις ἐτράνωσε. Ταύτην ἡμεῖς τὴν διδασκαλίαν οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος, ὡς γέγραπται, ἐβεβαιώθημεν. Οὐ γὰρ ἡμᾶς αἱ τῶν λόγων κομψεῖαι οὕτως ἔχειν πεπείκασιν· Ἑλλήνων γὰρ τοῦτο· ἀλλ' ἡ τῶν συμπερασμάτων αὐτῶν ἀλήθεια. Ποῦ γὰρ ἔτι τὸ τῶν δαιμονίων ὀλέθριον στίφος; ποῦ αἱ διάκενοι καὶ βδελυραὶ τῶν εἰδώλων τελεταί; ποῦ αἱ τῶν ψευδωνύμων θεῶν ἐπισφαλεῖς καὶ ψυχοφθόροι μαντεῖαι; ποῦ αἱ βακχεῖαι τῆς Ἀφροδίτης, καὶ τὰ ὄργια τῆς Δημήτρας, καὶ τῆς Ἀρτέμιδος αἱ ξενοκτονίαι; ποῦ αἱ τοῦ Διονύσου παράφοροι ἑορταί, μετὰ τῆς ἀθέσμου ἀνδρομανίας, καὶ ἡ τοῦ λεγομένου Μίθρου ἔνδικος μύησις; ποῦ αἱ ὑπόγειοι, καὶ ὑπέργειοι, καὶ ἀέριοι ἀνθρωποκτονίαι τῶν λεγομένων θεῶν οὕτως ἐπιτερπομένων; οὐχὶ πάντα τῇ ἐπιδημίᾳ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ὤλλυντο, καὶ τέλος πᾶν βέβηλον ἐδέξαντο; οὐχὶ τὰ ἐν κάλλει δομήσεών ποτε ἐκπεποιημένα αὐτῶν τεμένη νῦν ἠρίπωται, καὶ εἰς γῆν καταβέβληται, αὐτοκρατορικοῖς παρακελεύμασι τοῦτο αὐτῶν πεπονθότων; Οὐχὶ ἐκ τῆς ἁπάντων Χριστιανῶν καρδίας αἱ τούτων μνεῖαι ἐξηφανίσθησαν, καὶ τὸ τῆς προφητείας αὐτοῖς πράγμασι περατωμένον ὁρᾶται, τὸ « Ἐπλήσθη πᾶσα ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας; » Προσκυνήσωμεν τοίνυν τὸν ἐπιφανέντα Κύριον, καὶ τῆς τούτων ἡμᾶς λελυτρωκότα παγχαλέπου πλάνης. Ὑμνήσωμεν αὐτοῦ τὸ ἀπεριόριστον τῆς φιλανθρωπίας· κηρύξωμεν ἐν τῷ τῆς ἡμετέρας Ἐκκλησίας ὑψηλοτάτῳ ὄρει τὴν φρικτὴν καὶ ἀνέκφραστον αὐτοῦ τῆς οἰκονομίας συγκατάβασιν· ὑψώσωμεν τὰς φωνὰς ἐν ἰσχύι, καὶ μὴ φεισώμεθα τὴν μεγαλοπρέπειαν τῆς δόξης αὐτοῦ, δηλαδὴ

A est [19], Christi sponsi sui arrham inviolabilem servans, id est, datam in se Spiritus gratiam. Cujus rei gratia et divinus David multis prius gentibus immobilitatem fieri [fidei] ab illa exhibitæ prædicans asserebat : « Deus in medio ejus non commovebitur; etenim [et iterum] firmavit orbem terræ, qui non commovebitur [20]; » diabolicis videlicet impugnatus machinamentis. Nam etsi firmamentum evangelicæ prædicationis quæ in eam data est, quidam antiquorum vel instantium hæreticorum concutere voluerunt, illis tamen quod meditati sunt, in opus reputatum est.

Huic autem soli immobilitas in æternum servata est juxta repromissionem illius qui non mentitur, dicens : « Si oblita fuerit mulier pueri sui, B ut non misereatur sobolis ventris sui? quod si et oblita fuerit hujus mulier, sed ego non obliviscar tui, dicit Dominus [21]. » Dimissis itaque sermonum eorum tortionibus, quibus in his usi sunt, et a longe garrulis sermocinationibus ipsorum ave dicto, sanctorum Patrum saporis [22] delectemur opinionibus. Deum igitur omnes nobis in humana forma in mundum profectum a multimodo nos idolorum errore liberasse monstraverunt : sic propheticæ prolocutiones promulgaverunt, sic apostolica gratia explanavit. Hac nos doctrina non in persuasibilibus humanæ sapientiæ verbis, sed in ostensione Spiritus, sicut scriptum est, certificati sumus. Non enim nos sermonum suasiones sic habere fecerunt; paganorum enim est hoc; sed C ipsarum rerum quæ confirmatæ [consummatæ] sunt, veritas. Nam ubi est perniciosa dæmoniorum acies? ubi inanes et exsecrandæ idolorum immolationes? ubi falsi nominis deorum deceptoriæ animarumque corruptrices divinationes? Ubi debacchationes Veneris, et sacra mysteria Cereris atque Dianæ hospiticidia? Ubi Dionysii [pro *Dionysi*. HARD.], vesanæ festivitates cum illicita virorum vesania, et nuncupati Mithræ justa imbutio? Ubi subtus terram et supra terram facta et aeria homicidia vocatorum deorum taliter delectantium? Nonne omnia unigeniti Filii Dei adventu perierunt, et finem profanissimum susceperunt? Nonne pulchre quondam dedicata eorum D templa, nunc imperatoriis elisa jussis et ad terram prostrata sunt? Nonne memoriæ ipsorum ab omnium corde Christianorum disparuerunt, et illud prophetiæ ipsis rebus factum aspicitur, videlicet : « Repleta est terra cognoscendi Dominum, quasi aqua multa quæ operit mare [23]? » Adoremus igitur Dominum qui apparuit, et ab hoc nos sævissimo liberavit errore. Hymnum dicamus ipsius infinitæ misericordiæ, prædicemus Ecclesiæ nostræ altissimo monti horribilem et ineffabilem dispensationis ejus condescensum [consensum]. Exaltemus voces in fortitudine, et ne parcamus magnificentiam majestatis ejus incomprehensibi-

[19] II Cor. xi, 2. [20] Psal. xlv, 6; xcii, 1. [21] Isa. xlix, 15. [22] *f.* sapidis. V. c. Jolyi nihil mutat, neque vero necesse fuit cum *saporus* adjective dicatur non secus ac *sapidis*. [23] Isa. xi, 9.

Digitized by Google

lem, scilicet affectum quem erga nos exhibuit, enarrantes. Dicamus ad eum et nos cum propheta : « Quis Deus sicut tu, auferens iniquitates, et occultans peccata residuis hæreditatis tuæ [84] ? » Præterea choros ducamus cum præsenti sacro commercio, ave illi affati tanquam gaudii bravium tribuentes. Gaude igitur, sacratissimum collegium divini ac sacrati conventus. Gaudete, sanctorum Patrum sanctissimi propugnatores. Gaude, sine mendacio congregatio, in cujus medio Deus inambulat, sicut scriptum est [85]. Gaude, concilium spiritali apparitione refertum : ex qua qui illustratur, non offendet ad lapidem hæreticæ falsæque locutionis spiritales animæ pedes. Gaude, speculator divinarum indagationum ; quem qui modeste sequitur, a minitante rhomphæa eruitur. Gaude, semper floride paradise, in cujus medio vitæ lignum plantatum est, per quadripartitum Evangeliorum laticem aspersum. Gaude, aurea ignitaque columna, novum Dei Israel, lucidis dogmatum doctrinis ab Ægyptiaca manu, id est hæretizantium errore liberans, et ad terram repromissionis Patrum orthodoxia deducens. Audacter in ostensione veritatis et fiducialiter age. Revelata facie gloriam sacræ et catholicæ Ecclesiæ prædica. Supra petram stabilis conversationis versatiles quorumdam mentes doctrinis confirma.

A τὴν περὶ ἡμᾶς αὐτοῦ ἀκατάληπτον ἐκδιηγούμενοι στοργήν. Εἴπωμεν μετὰ τοῦ προφήτου καὶ ἡμεῖς πρὸς αὐτόν· « Τίς Θεὸς ὥσπερ σὺ, ἐξαιρῶν ἀνομίας, καὶ ἀποκρύπτων ἁμαρτίας τοῖς καταλοίποις τῆς κληρονομίας σου ; » Συγχορεύσωμεν δὲ καὶ τῇ παρούσῃ ἱερᾷ πανηγύρει, τὸ, Χαῖρε, αὐτῇ προσφθεγγόμενοι, ὡς τῆς χαρᾶς βραβευτήριον. Χαίροις τοίνυν, ὦ ἱερώτατε σύλλογε θείας καὶ ἱερατικῆς ὁμηγύρεως. Χαίροις, ἁγίων Πατέρων ἁγιώτατε πρόμαχε. Χαίροις, Θεοῦ ἀψευδέστατον ἄθροισμα, ἐν ᾧ Θεὸς ἐν μέσῳ περιπολεύει, ὡς γέγραπται. Χαίροις, χορεία πνευματικῆς δαδουχίας ἀνάπλεε, ἐξ ἧς ὁ καταλαμπόμενος οὐ προσκόψει πρὸς λίθον αἱρετικῆς ψευδοδοξίας, τοὺς νοητοὺς τῆς ψυχῆς πόδας. Χαίροις, ὁ σκοπὸς τῶν θείων δηλώσεων, ᾧ ὁ εὐρύθμως ἑπόμενος τῆς ἀπειλούσης ῥομφαίας ἐκρύεται. Χαίροις, ἀειθαλέστατε παράδεισε, ἐν ᾧ τῆς ζωῆς ἐν μέσῳ τὸ ξύλον πεφύτευται, διὰ τῆς τετραστόμου τῶν Εὐαγγελίων νοτίδος ἀρδευόμενον. Χαίροις, χριστοπύρσευτε στύλε, ὁ τὸν νέον τοῦ Θεοῦ Ἰσραὴλ ταῖς φωτοφαέσι τῶν δογμάτων διδασκαλίαις τῆς Αἰγυπτιακῆς χειρὸς ἀπαλλάξας, τῆς τῶν αἱρετιζόντων περιπλανήσεως, καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας τῇ τῶν Πατέρων ὀρθοδοξίᾳ καθοδηγήσας. Εὐτόλμως ἐπὶ τῇ ἀναδείξει τῆς ἀληθείας παῤῥησιάσθητι. Ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τῆς ἱερᾶς καὶ καθολικῆς Ἐκκλησίας κήρυξον, ἐπὶ τὴν πέτραν τῆς στερεᾶς ὁμολογίας τὰς εὐμεταφόρους τῶν τινων διανοίας ταῖς διδασκαλίαις ὑποστηρίζων.

Tuque præcipue, o sanctorum Patrum concors et sacratissime præco, atque instantis nostri cœtus exarche, qui sublimem nobis per Christum thronum adornas, magni et primi Pastoris diligentissimum speculum, Spiritus mundissimum habitaculum, rectissima orthodoxorum dogmatum ponderatio, politaque in Christo conversationis habitæ regula, nominatissima lucerna, et septem candelabrorum luminibus tota fulgidissima. Resplendere fac nobis tanquam ex invisibili candelabro sacræ cathedræ evidentissimorum verborum perspicuitates. Distribue autem et esurientibus vivificum divini magisterii panem, et nutri populum in extranea terra vagum effectum hæretici incolatus.

C Σύ τε κατ' ἐξαίρετον, ὦ ἱερῶν Πατέρων σύστοιχε ἱεροκῆρυξ, καὶ τοῦ παρόντος ἡμῶν συλλόγου ἔξαρχε, ὁ τὸν μετάρσιον ἡμῖν διὰ Χριστοῦ κατασκευάζων θρόνον, τὸ τοῦ μεγάλου καὶ πρώτου Ποιμένος ἀκριβέστατον ἔσοπτρον, τὸ τοῦ Πνεύματος καθαρώτατον ἐνδιαίτημα, ἡ εὐθυτάτη τῶν ὀρθοδόξων δογμάτων στάθμη, ὁ ἀπεξεσμένος τῆς ἐν Χριστῷ πολιτείας κανών, ὁ περιώνυμος καὶ ἐπταφώτου λυχνίας ὁλολαμπρέστατος λύχνος· πύρσευε ἡμῖν ὡς ἐξ ἀπόπτου λυχνίας τῆς ἱερᾶς καθέδρας τῶν φανωτάτων λόγων τὰς διαυγείας. Διάθρυπτε δὲ καὶ τοῖς πεινῶσι τὸν ζωτικώτατον τῆς θείας διδασκαλίας ἄρτον· καὶ θρέψον λαὸν ἐν ξένῃ γῇ, ἀλήτην γεγενημένον τῆς αἱρετικῆς ἀποικεσίας.

Efficere nobis novus Joseph frumenti dator, et ambiguitates scripturalium explanans ænigmatum, opimis nos et spiritalibus interpretationibus nutri. Eleva oculos tuos, et vide super te collectos filios tuos, qui luporum congressionibus dispersi sunt. Plenum tibi esse omne sacratissimum hoc divino decreto templum conspicitur. Crebro mentis tuæ saltu bestiarum præoccupa impetus, et hos præveniens sapientia tua exclude. Semper ovili tuo tranquillitatem concilia. Præmuni autem hoc frequentibus ac bene sonantibus ad Deum emissis orationibus, ut tibi in multitudinem augeatur secundum repromissiones quæ sunt in Abraham instar astrorum numeri factæ. Gaude vero et tu, Nicæensium inclyta urbs, inter metro-

D Γενοῦ ἡμῖν νέος Ἰωσὴφ σιτοδότης ταῖς ἀπορίαις τῶν Γραφικῶν αἰνιγμάτων ταῖς εὐπορίστοις ἀναπτύξεσι τῶν πνευματικῶν ἑρμηνειῶν ἡμᾶς ἐκτρέφων. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε ἐπὶ σὲ συνηγμένα τὰ τέκνα σου, ἃ ταῖς τῶν λύκων ἐφόδοις διεσκόρπιστο· πλήρης σοι πᾶς ὁ ἱερώτατος οὗτος τοῦ θείου συντάγματος νεὼς ὁρᾶται. Πυκνῷ σου τῆς διανοίας ἅλματι τὰς τῶν θηρῶν προλάμβανε ἐφόδους, καὶ ταύτας τῇ σῇ σοφίᾳ προαποκλείων. Ἀεί σου τῇ ποίμνῃ τὸ ἀτάραχον προξένει. Προσοχύρου γε τοῦτο, καὶ ταῖς πυκναῖς τῶν εὐήχων εἰς Θεὸν προσευχῶν σου ἐπάλξεσιν· ἵνα σοι εἰς πλῆθος ἐπιδοίη κατὰ τὰς ἐν τῷ Ἀβραὰμ ἐπαγγελίας τοῖς ἄστρων χοροῖς παραπλησίως. Χαίροις δὲ καὶ σὺ, Νικαέων περίκλυτον ἄστυ, τὸ ἐν μητροπόλεσι περί-

[84] Mich. vii, 18. [85] Psal. c, 2.

Digitized by Google

πυστον ὄνομα, τῆς Βιθυνῶν ἐπαρχίας τὸ εὐκλεέστατον ἀκροθίνιον· ἡ πρότερον μὲν ταῖς τῶν ἁγίων ὀκτωκαίδεκα καὶ τριακοσίων θεοφόρων Πατέρων ἴχνεσιν ἁγιασθεῖσα, νῦν δὲ τοῖς τούτων διαδόχοις τριῶν ἑκατοντάδων σὺν πέντε δεκάσιν ἀριθμὸν ἐκπληροῦσιν· εὐλαβῶν τε μοναχῶν οὐκ εὐαριθμήτων πλήθει, ταῖς αὐταῖς τῶν εὐλογιῶν περικυκλουμένη χάρισιν. Ἐν σοὶ γὰρ τῆς ὀρθόξου πίστεως ὁ θεμέλιος ὑπό τινος Σατανικῆς δυστροπίας σεισθῆναι κινδυνεύων ἐδραίωσιν ἀκλόνητον εἴληφεν. Ἐν σοὶ τὸν ἄγριον ἐκεῖνον καὶ ἀτίθασσον θῆρα Ἄρειον ὁ θεῖος ἐκεῖνος τῶν Πατέρων χορὸς τὰ ἱερὰ τῶν Γραφῶν ἐφαπλώσαντες λίνα ἐζώγρησαν, καὶ τοῖς φοβεροῖς κατηκόντισαν ἀναθέμασι· κἀντεῦθεν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Πατρὸς ὁμοούσιον τῷ γεγεννηκότι πᾶσα φύσις ἀνθρώπων θεολογεῖν ἐκμεμαθήκαμεν. Διά τοι τοῦτο καὶ τὸ παρὸν ἱερώτατον σύνταγμα τῆς ἰσαρίθμου ταύτης χορείας δυὰς εὐσεβῶν βασιλέων ἐν σοὶ συγκροτηθῆναι τεθέσπικεν, Εἰρήνη νέα Ἑλένη σὺν υἱῷ γνησίῳ νέῳ Κωνσταντίνῳ, οὓς ἡ ἐν σοὶ τοῦ Πνεύματος χάρις τοῖς τότε καὶ νῦν ἁγίοις ἐπιλάμψασα Πατράσι, φυλάξοι δαψιλέσι χρόνοις ἀτάραχον αὐτοῖς τὸ κράτος δωρουμένη, καὶ τῶν ἐχθρῶν τὰ φῦλα πρὸ ποδῶν καταστρῶσι· ὡς ἂν ἡμῖν ἡ τῶν ἀγαθῶν μὴ διαλίποι χορηγία.

poles opinatissimum nomen, Bithyniensium provinciæ gloriosissimæ primitiæ: quæ prius quidem sanctorum decem et octo trecentorumque deiferorum Patrum vestigiis sanctificata es, nunc autem horum successorum æque trecentorum cum quinque decadibus numerum complentium, ac reverendorum monachorum qui pene innumerabilis sunt multitudinis, eisdem benedictionibus [benedictionum] circumdata es gratiis. In te quippe orthodoxiæ [orthodoxæ fidei] fundamentum a quadam Satanica subversione concussum perecliturum [periclitaturum, *forte deest* sed non], stabilimentum sine perturbatione percepit. In te feram illam et immitem bestiam, Arium scilicet, divinus ille Patrum chorus sacris Scripturarum expansis captavit retibus, et terribilibus anathematibus perculit, et hinc Filium Dei et Patris, Dominum et consubstantialem gignenti, omnis natura hominum prædicare didicimus et idcirco præsens sacratissimum compactum hujus numerosi conventus dualitas piorum imperatorum consolidans colligi sanxit, Irene videlicet nova Helena cum filio proprio Constantino novo, quos in te Spiritus gratia, quæ tunc et nunc sanctis illuxit Patribus, conservet per largissima tempora, imperturbabile donans eis imperium, hostiumque nationes ante pedes prosternat, quatenus nobis bonorum copia non deficiat.

Χαίροις τοίνυν, ὦ μητροπόλεων περίδοξον κάλλος, ἐν τούτοις, ὅτι ἐν σοὶ τὸ πρῶτον ἡμῖν τῶν ἀγαθῶν ἀνέφυ, ἐν σοὶ δὴ καὶ τὸ τέλος, οὐχ ὡς πρὸς ἀξίαν πρὸς ἀριθμὸν δὲ ἥτις ἐστὶ τῶν σεπτοτάτων εἰκόνων τῆς καθολικῆς ἡμῶν Ἐκκλησίας ἡ ἀρχαία παράδοσις, ἐν τοῖς ἰδίοις ἀποκατασταθεῖσα ὅροις. Νῦν ὄντως εὐφαίνεται ὁ οὐρανὸς, καὶ αἱ νεφέλαι δικαιοσύνην ἀποστάζουσι· καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λέλυται τῇ ἑνώσει τῆς διαστάσεως παραχωρησάσης, καὶ εἰς μίας ὁμοφροσύνης σύμπνοιαν ἡ τετρὰς τῆς οἰκουμένης συνήνεκται. Νῦν αἱ πολλαὶ τῶν διαφόρως ὑποσυρέντων εἰς ἓν συνελήλυθασι δόξαι· καὶ σύμφωνος ὕμνος ἀπὸ περάτων γῆς ἕως περάτων τῷ Θεῷ ἀναπέμπεται. Χαίροις τοιγαροῦν, καὶ σκίρτα ἐπὶ τούτοις καὶ σὺ, Ἐκκλησία καθολικὴ, ἡ ἐν πάσῃ τῇ οἰκουμένῃ· χόρευε ἀγαλλιωμένη ἐπὶ τῇ τῶν υἱῶν σου ἐπανελεύσει· ἀπόθου τὸ τῆς διαλύσεως ῥάκος, καὶ ἔνδυσαι τὸν ὁλόκληρον τῆς ὀρθοδόξου ἑνώσεως χιτῶνα. Οὐκέτι τεθήσῃ ὄνειδος τοῖς γείτοσί σου, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ σου λαοῖς. Οὐκέτι φοβηθήσῃ ἐξουδενώσεις ἀθέων καὶ ἀμυήτων ἀνθρώπων, Ἑβραίων δὴ λέγω καὶ Ἀγαρηνῶν· ὡς δή σοι μὴ τοῦ τελείου τῆς πίστεως ταῖς ἀποστολικαῖς παραδοθέντος διδασκαλίαις. Οὐκέτι τὴν ἐκ τοῦ ἑνὸς Θεοῦ ἀναφοίτησιν διὰ τὴν πρὸς τοὺς αὐτοῦ φίλους πρεπωδεστάτην τιμὴν τοῖς τῶν αἱρετικῶν ἐγκληθήσῃ στόμασιν. Οὐκέτι τοῖς τῶν εἰδώλων τεμένεσι ἐν ἴσῳ καταλογισθήσῃ, διὰ τὴν ἐν σοὶ τῶν ἱερωτάτων καὶ σεπτῶν ἁγίων εἰκόνων ἀναστήλωσιν.

Gaude itaque in his, o metropoleon inclyta species; quoniam in te nobis et primo bonorum exordium, et nunc finis exortus est, venerabilium nimirum imaginum catholicæ Ecclesiæ prisca traditio in suis terminis restituta. Nunc vero lætatur cœlum, et nubes stillant justitiam. Nunc medius paries maceriæ dissolutus est unitione dissensionis concessa, et in unius assensionis conspirationem quaternitas orbis terræ collecta est. Nunc multæ quæ in diversa trahebant, convenerunt opiniones, et consonus hymnus a finibus terræ usque ad fines terræ Deo dirigitur. Gaude igitur tripudians super his et tu, catholica Ecclesia, in toto terrarum orbe diffusa. Duc choros exsultans super filiorum tuorum conventu: depone divisionis pannos, et induere integra orthodoxæ tunica unitatis. Jam non poneris opprobrium inimicis tuis, subsannatio et derisio populis qui in circuitu tuo sunt. Non jam timebis contemptus hominum, Hebræorum scilicet et Agarenorum, qui sine Deo et sacra initiatione consistunt, quasi tibi non fuerit perfectio fidei doctrinis apostolicis tradita. Jam non ab hæreticorum ore criminaberis, quasi recesseris ab uno Deo propter decentissimum honorem erga ipsius amicos exhibitum. Jam non reputaberis idolorum similis templis propter sacratissimarum in te imaginum erectionem effectam.

Πρέπον γάρ σοι ὡς τῷ βασιλεῖ τῶν αἰώνων Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ νυμφευθείσῃ, τὴν τῆς ἐναρκοῦς αὐτοῦ οἰκονομίας ἀνθρωπόμορφον εἰκόνα διὰ γραφῆς;

Decet enim te tanquam regi sæculorum Filio et Verbo Dei nuptam, in carne ipsius dispensationis humanam formam habentem anthropomorphon

Digitized by Google

imaginem per picturam ferre, ut innotescat quod regia sponsa sis. Decet enim Dei genitricis Matris Christi qui te desponsavit, imaginem tuis sacratissimis parietibus factam in pictura et musivorum opere ferre [in pictura facta ex musivorum opere] : quatenus gratia quæ tibi per hanc illuxit, tacita prædicatione communiter cunctis populis prædicetur. Nisi enim ex hac incarnaretur, quomodo tam specioso sponso tu spiritali copula jungereris? Decet enim te et omnium sanctorum apostolorum, et prophetarum, confessorum, patriarcharum, et sanctorum Patrum, [ascetarum, solitariam vitam degentium] studiosorum [in cod. Jol. id est confessorum] quoque ac martyrum, et totius pii collegii formatas imagines interius in picturarum confectionibus ferre : quatenus ipsa perfectionem orientis qui te ab alto circumfulsit, omni visione ostentes. Aliis quidem tuam quodammodo prænuntiantibus vocationem, et prophetiis suis sponso quasi quibusdam dotibus antea desponsantibus. Aliis vero evangelicum tibi ministrantibus verbum, et per universam terram dispersa rationabilia tibi ovilia colligentibus. Aliis autem suis quasi sudoribus per eamdem in dogmatibus diligentiam incorruptibilitatem gregibus tuis mercantibus. Porro aliis sanguinibus suis erga te sinceram affectionem etiam usque ad mortem conservantibus, et hoc modo certitudinem in te veritatis demonstrantibus. Quibus cum denis millibus cœlestium angelorum coronam ferens, et amplissime prædicans, enuntia virtutes ejus qui de tenebris te idololatrici erroris vocavit in admirabile lumen suum, id est, in se ac Patrem qui sine initio est, atque in consempiternum et consubstantialem Spiritum suum, in unam scilicet quæ est super omnem principatum, naturam, fidem et confessionem. Cui gloria et imperium nunc et in universa sæcula sæculorum. Amen.

A φέρειν, ἵνα γνωρίζῃ βασιλικὴ ὑπάρχουσα νύμφη. Πρέπει σοι τῆς τοῦ νυμφευσαμένου σε Χριστοῦ Θεομήτορος καὶ Ἀειπαρθένου Μητρὸς ἐμμουσούργῳ γραφῇ τὴν εἰκόνα σοῖς πανιέροις τοίχοις φέρειν· ὡς ἂν ἡ διὰ ταύτης σοι ἀναλάμψασα χάρις σιγῶντι κηρύγματι κοινῶς τοῖς λαοῖς διαγγέληται. Εἰ μὴ γὰρ ἐκ ταύτης σεσάρκωτο, πῶς σὺ τῷ τοιούτῳ ὡραίῳ νυμφίῳ ἐν πνευματικῇ συναφείᾳ προσεπέλασας; Πρέπει σοι καὶ τῶν πάντων ἁγίων ἀποστόλων τε καὶ προφητῶν, πατριαρχῶν, καὶ ὁσίων Πατέρων, ἀσκητῶν τε μαρτύρων, καὶ παντὸς εὐσεβοῦς συλλόγου τὰς εἰκόνας ἔνδον ταῖς γραφικαῖς κατασκευαῖς ἐντυπουμένας φέρειν, ὡς ἂν σοι τὸ τέλειον τῆς ἐξ ὕψους σε περιλαμψάσης ἀνατολῆς, πάσῃ τῇ θείᾳ καταστάσει μένῃ. Τῶν μὲν τὴν σὴν, ὥσπερ προανα-
B φωνούντων ἱερὰν πρόσκλησιν, καὶ τοῖς τοῦ νυμφίου σε προμνηστευομένων προικῴοις ταῖς προφητείαις· τῶν δὲ τῷ εὐαγγελικῷ σοι διακονούντων λόγῳ, καὶ τὰ πανταχοῦ γῆς ἐσκορπισμένα σοι ἐπισυναγόντων λογικὰ ποίμνια· τῶν δὲ τοῖς ἰδίοις, ὥσπερ ἱδρῶσι, διὰ τῆς ἐν δόγμασι ταυτομολόγου συμπνοίας τὸ ἀδιάρρηκτον τοῖς σοῖς ποιμνίοις πραγματευομένων· τῶν δὲ τοῖς ἑαυτῶν αἵμασι τὸ πρὸς σὲ γνήσιον καὶ μέχρι θανάτου διαφυλαξάντων, καὶ ταύτῃ τὸ βέβαιον τῆς ἐν σοὶ ἐπιδεικνυμένων ἀληθείας· οἷς σὺν μυριάσιν ἐπουρανίων ἀγγέλων στεφανηφόρος πομπεύουσα, ἐξάγγελλε τὰς ἀρετὰς τοῦ ἐκ σκότους σε τῆς εἰδωλολάτρου πλάνης καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· λέγω δὴ τὴν εἰς αὐτόν τε καὶ τὸν ἄναρχον
C αὐτοῦ Πατέρα, καὶ τὸ συναΐδιον καὶ ὁμοούσιον αὐτοῦ Πνεῦμα· τὴν μίαν ὑπεραρχικὴν φύσιν, πίστιν, καὶ ὁμολογίαν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

ANNO INCERTO.

PACHOMIUS MONACHUS.

—

ΠΑΧΟΜΙΟΥ ΜΟΝΑΧΟΥ

ΠΕΡΙ ΤΗΣ ΕΚ ΤΩΝ ΘΕΙΩΝ ΓΡΑΦΩΝ ΩΦΕΛΕΙΑΣ·

ΚΑΙ ΟΤΙ ΟΥΚ ΑΙΤΙΟΙ ΟΙ ΤΑΥΤΑΣ ΣΥΓΓΡΑΨΑΜΕΝΟΙ ΤΗΣ ΑΣΑΦΕΙΑΣ· ΑΛΛ' Η ΗΜΕΤΕΡΑ ΑΜΑΘΙΑ ΚΑΙ ΑΜΕΛΕΙΑ· ΚΑΙ ΠΕΡΙ ΔΙΔΑΣΚΑΛΩΝ.

—

PACHOMII MONACHI*

DE DIVINARUM SCRIPTURARUM UTILITATE

QUARUM NON TRIBUENDA ILLIS QUI SCRIPSERUNT OBSCURITAS, SED IGNORANTIÆ ET NEGLIGENTIÆ NOSTRÆ. ITEM DE DOCENTIBUS.

(Cod. Nan. p. 261.)

—

Ὥσπερ οἱ τῶν ἰατρῶν παῖδες χειρουργεῖν τινα μέλλοντες, πάθει δεινῷ συνεχόμενον, οὐκ εὐθὺς ξυρὸν καὶ καυστῆρας καὶ ἔμπλαστρα ἐπάγουσιν· εἰ μὴ σκέψωνται ὅθεν ἔσχε τὸ πάθος τὰς ἀρχάς· τούτου δ' ἐγνωσμένου, βοηθήμασι χρῶνται, καταποτίοις, φλεβοτομίαις, λουτροῖς, διαίταις· καὶ οὕτω τοῦ πλεονάζοντος χυμοῦ συσταλέντος, λοιπὸν καὶ τοῖς ἀπουλωτικοῖς χρῶνται φαρμάκοις εἰς ἴασιν· οὕτω κἀγὼ ἡμᾶς αὐτοὺς ὁρῶν διαφόροις ἀτοπίαις περιπεσόντας, οἷον ἀσεβείαις, ἀνομίαις, ἀδικίαις, ἀταξίαις, καὶ τοῖς τοιούτοις, οὐκ ἠβουλήθην τέως περὶ ἑνὸς ἑκάστου ὑμῖν ἐπάγειν τὸν ἔλεγχον, μήπως εἰς κενὸν διαχέω τοὺς λόγους· τῆς πρωταιτίου ἁμαρτίας δίκην τῆς μυθικῆς ὕδρας ἑτέρας ἀναφυούσης κεφαλάς· ἀλλ' ἐξαγγεῖλαι ὅθεν ὁ ἑσμὸς τῶν κακῶν· τοῦτο δ' ἀποδειχθέντος, πρὸς ὥτα δοκῶ λέγειν ἀκουόντων.

Ut chirurgi gravi morbo affectum curaturi, non cito scalprum, cauteria et emplastra inducunt, nisi unde fuerit morbi principium consideraverint, hoc autem cognito, medicamentis utuntur, potionibus, phlebotomiis, balneis, sicque repressa humorum redundantia, postremo pharmaca cicatricem inducentia applicant, ut redeat sanitas: ita et ego, nos ipsos videns varios in errores prolapsos, scilicet sine pietate, sine lege, sine justitia, sine regula et aliis hujusce naturæ rationibus viventes, nolui a primis de unoquoque errore vobis infligere vituperium, ne fortassis in vacuum verba effundam, siquidem primarium peccatum, hydræ in fabulis decantatæ instar, semper nova reproducit capita, sed unde malorum examen eruperit, enuntiare. Quo demonstrato, confido me ad aures audientes loquturum.

Ἀλλὰ τίς ἡ αἰτία τῆς διαμαρτίας τοῦ καλοῦ; πολλαὶ μὲν καὶ διάφοροι· μία δὲ πάντων μήτηρ, ἡ ἄγνοια· αὐτῆς γὰρ κατακρατούσης ἐν τῇ ψυχῇ, οὐδὲν ἂν γένοιτό ποτε ἀγαθὸν ἐν αὐτῇ· σκότος γάρ ἐστι νοητόν· ἧς ἐναντίον ἡ γνῶσις φῶς ἐστι· θεῖον δῶρον τοῖς εὐγνώμοσι. Γνῶσιν δὲ τὴν ἀληθῆ λέγω, οὐ τὴν κοσμικήν. Αὕτη γάρ ἐστιν ὅτ' ἐν πολλοῖς ἁμαρτάνουσα· καὶ εἴδωλον φαίη ἄν τις εἶναι ταύτην τῆς ἀληθοῦς καὶ μὴ διαπιπτούσης, καὶ οἷον θεραπαινίδα· ἔστι δ' ἀληθὴς γνῶσις, ἡ διὰ τῶν θείων καὶ ἁγίων Γραφῶν χορηγουμένη τοῖς ὁλοψύχως, καὶ μετὰ θείου φόβου ἐν εἰλικρινεῖ διανοίᾳ, μὴ μέντοι πειραστικῶς, μηδὲ ἐμπαθῶς τε καὶ κακοήθως ἐρευνῶσιν

Sed quænam longe ab honesto divertendi causa fuit? Multæ quidem sunt ac diversæ. Una autem cæterarum mater ignorantia, qua ut primum mens fuerit occupata nihil boni concipiet. Nox enim intellectualis ignorantia est, lux contra scientia, divinum sapientibus donum (concessum): veram dico scientiam, non mundanam, quæ in multis quandoque errat atque veræ et non diffluentis scientiæ imago et quasi ancilla haberi posset: vera autem scientia per divinas sacrasque Scripturas illos ducens qui eas tota anima, cum divino timore, in simplici intellectu, neque contentiose neque ardentius aut malignius perscrutantur. Illæ enim in auxi-

* Cum auctor iste vel ipsi Fabricio ignotus fuisse videatur, nonulla visum est ex præsenti codice hic exscribere, quæ lectoribus Græcæ linguæ peritis grata fore non dubito.

Digitized by Google

lium datæ sunt hominibus : idcirco lex per Moysem, Deus, o miraculum ! super terram cum corpore, crux, apostolorum martyrumque prædicatio, Patrum, quos divinus sufflabat Spiritus, concilia, pia morum ratio ac regula. Vere istarum scientia vita est, ignorantia autem mors ; atque, ut homo corruptus perditusque, si cujusdam pii filium velit avertere et sibi conciliare, non cito quæ sunt suimet ipsius laudat, sciens ea ab adolescente bona patris doctrina imbuto non fore admittenda, sed primum quæ sunt patris vellicat quasi nihil puero, deliris vero senibus convenientia, sicque dociliorem arripiens suum in abyssum præcipitat : ita et diabolus, quippe qui diverso Christianos per tyrannos, per hæresiarchas et per seipsum aggressus est. Intelligens enim se undique Litteris divinis victum, illas orthodoxis aut rapuit, aut negligere persuasit, ut sic hæreticis vinci faciles forent, et existimantes se orthodoxos nihil ab heterodoxis differrent. Quod et fecit.

αὐτάς· αὗται γὰρ εἰς βοήθειαν ἐδόθησαν τοῖς ἀνθρώποις. Διὰ τοῦτο νόμος διὰ Μωσέως· διὰ τοῦτο, βαβαί, Θεὸς ἐπὶ γῆς μετὰ σώματος· διὰ τοῦτο σταυρός· διὰ τοῦτο ἀποστόλων κήρυγμα καὶ μαρτύρων· διὰ τοῦτο θεσπεσίων Πατέρων σύνοδοι· διὰ τοῦτο τούτων εὐσεβὴς πολιτεία καὶ εὐνομία. Ὄντως ἡ τούτων γνῶσις, ζωή· θάνατος δ' ἡ ἄγνοια· καὶ ὥσπερ τις φθορεὺς καὶ λυμεὼν ἄνθρωπος ἐπὰν βουληθείη ἀποβουκολῆσαί τινα παῖδα πατρὸς εὐσεβοῦς, καὶ ἑαυτῷ οἰκειῶσαι, οὐκ εὐθὺς ἐπαινεῖ τὰ ἑαυτοῦ· καὶ γὰρ οἶδεν ὅτι οὐ παραδέξεται ὁ νεανίας· ἔχων ἐν ἑαυτῷ τὰς ἀγαθὰς τοῦ πατρὸς παραγγελίας· ἀλλὰ πρῶτον διαβάλλει τὰ τοῦ πατρὸς ὡς οὐδὲν ὄντα πρὸς αὐτὸν, χρονολήροις δὲ μᾶλλον οἰκεῖα, καὶ οὕτως αὐτὸν πειθήνιον λαβὼν, κατάγει εἰς τὸ οἰκεῖον βάραθρον· οὕτω καὶ ὁ διάβολος· ἐπεὶ γὰρ διαφόρως παρετάξατο τοῖς Χριστιανοῖς, διὰ τυράννων, δι' αἱρεσιαρχῶν, καὶ δι' ἑαυτοῦ· ἔγνω δὲ αὐτὸν ἡττημένον πάντοθεν διὰ τῶν θείων Γραφῶν, ταύτας ἀφεῖλε τῶν ὀρθοδόξων· καὶ παρορᾶν αὐτὰς τούτους ἔπεισεν· ἵν' οὕτως εὐχείρωτοι ὦσι τοῖς αἱρετικοῖς· καὶ δοκοῦντες εἶναι ὀρθόδοξοι, μηδὲν διαφέρειν τῶν ἀλόγων· ὃ καὶ πεποίηκεν.

Verum enim vero particulatim, ut dixi, hic exponere errores supervacuum, nisi prius sacras Scripturas omnimodi in nobis boni fontes esse ostenderim. Qua autem de re incipiam velitis dicere? De charitate? De communitate? an de alia qualibet virtute? Ego quidem censeo primo loco de communis vitæ institutione dicendum, qua ratione constet et quid boni ex ea veniat, dein de vitæ communis administratione rationeque, et de aliis quibusdam apud nos, quanquam necessariis, neglectis.

Magnopere enim prodest nobis talis institutio scientia comite, in charitatem spiritualem et concordiam inducens, quippe ista fit vita absque periculo, salus certa, vitæque institutum consentaneum, concors et sicut inter angelos coordinatum, antiquum scilicet hominum quos vocaverat Christus felixque vitæ genus, futuræ imago et initium restaurationis, in qua neque invidia, neque discordia, neque gloriæ aviditas, aut plus habendi ambitio salutem consecutis, longe amotis perturbationibus quæ animum contra naturam exagitant, in qua nihil nisi honestum et decens, quod divino Davidi et veritati aroma sacrum, roremque spiritualem nominare placet, necnon chorus harmonicus, cujus in medio stat, ut nuntiatum est, coryphæus et choregus Christus omnis boni fons.

Unde igitur ista omnia possumus indicare, nisi ex divinis Scripturis, ut et qui ante nos (vixerunt) divini Patres? Antiquam esse talem disciplinam, Christique servis convenire, Actus apostolorum demonstrant. Dicitur enim illic : Multitudini credentium cor unum, anima una, et nihil bonorum ullus proprium sibi dicebat, sed cuncta inter eos communia. Vides quomodo (constabat) communis vita non magis corporalis quam spiritualis ; cum vero inter nos magis ex corporalibus (constet), quam ex spiritualibus, alii aliis invidemus ; afflictos et in-

Ἀλλὰ τὸ κατὰ μέρος, ὡς ἔφην, ἐνταῦθα διηγεῖσθαι τὰς ἀτοπίας, περιττόν· εἰ μὴ ἀποδείξωμεν πρῶτον αἰτίους εἶναι τὰς ἁγίας Γραφὰς παντὸς ἐν ἡμῖν ἀγαθοῦ. Ἀλλὰ τί βούλεσθε πρῶτον ἡμᾶς εἰπεῖν ; περὶ ἀγάπης ; περὶ κοινωνίας ; ἢ περί τινος ἄλλης ἀρετῆς; Ἔγωγε οἶμαι πρῶτον δέον εἰπεῖν περὶ κοινοβιακῆς καταστάσεως· καὶ ὅπως ἂν συσταίη· καὶ τί τὸ ἐκ ταύτης ἀποβησόμενον ἀγαθόν· εἶτα περὶ τῆς ἐν κοινῷ πολιτείας τε καὶ διαγωγῆς· καὶ ἑτέρων δή τινων ἀναγκαίων, ἀμελουμένων παρ' ἡμῶν.

Καὶ γὰρ πολύ τι συμβάλλεται ἡμῖν ἡ τοιαύτη κατάστασις μετὰ γνώσεως ἀποβαίνουσα· εἰς ἀγάπην πνευματικὴν καὶ ὁμόνοιαν ἄγουσα. Ἀκίνδυνος γάρ ἐστι ζωή· ἀσφαλὴς σωτηρία· ὁμογνώμων καὶ σύμπνους καὶ συντεταγμένη ὡς ἐν ἀγγέλοις διαγωγή· ἀρχαία τῶν ἀπὸ Χριστοῦ καλουμένων καὶ εὐδαίμων βιοτή· εἰκὼν καὶ ἀπαρχὴ τῆς μελλούσης ἀποκαταστάσεως· καθ' ἣν, οὐ φθόνος, οὐκ ἔρις, οὐ φιλόδοξον ἦθος, οὐ πλεονεκτικὸς ἐν τοῖς σωζομένοις ἔσται τρόπος· μακρὰν τῶν παρὰ φύσιν ἀπεληλαμένων παθῶν· τὸ μόνον ἐν ἅπασι καλόν τε καὶ τερπνόν· ὡς τῷ τε θείῳ Δαυὶδ καὶ τῇ ἀληθείᾳ δοκεῖ· ὃ καὶ μύρον ἱερὸν ὀνομάζει, καὶ δρόσον πνευματικήν· ἡ ἐναρμόνειος χόρεια· ἧς μέσος ἕστηκε κατὰ τὴν ἐπαγγελίαν κορυφαῖος καὶ χορηγὸς ὁ Χριστὸς, ἡ τῶν ἀγαθῶν ἁπάντων πηγή.

Πόθεν οὖν ταῦτα πάντα ἔχομεν ἀποδεῖξαι, εἰ μὴ ἐκ τῶν θείων Γραφῶν, ὡς καὶ οἱ πρὸ ἡμῶν θεῖοι Πατέρες ; καὶ ὅτι ἀρχαία ἐστὶν ἡ τοιαύτη πολιτεία καὶ Χριστοῦ δούλοις ἁρμόζουσα, αἱ Πράξεις τῶν ἀποστόλων δηλοῦσι· φέρεται γὰρ ἐκεῖσε. Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι· ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Ὁρᾷς ὅπως ὁ κοινωνικὸς βίος οὐ σωματικὸς μᾶλλον ἢ πνευματικός ; ἀλλ' ἡμῖν ἐν τοῖς σωματικοῖς μᾶλλον ἡ κοινωνία· οὐ τοσοῦτον δὲ ἐν τοῖς πνευματικοῖς· ἀλλήλους γὰρ

Digitized by Google

φθονοῦμεν· παρορῶμεν ἐν θλίψει καὶ ἀσθενείᾳ· φιλονικοῦμεν ἐν τοῖς ἔργοις. Πῶς οὖν ταῦτα κοινωνικοῦ βίου; οὐδὲ γὰρ σῶμα στασιάζει καθ' αὑτό· οὐ λέγει ὁ ἀντίχειρ δάκτυλος τῷ ἐλάσσονι· Πλεῖόν σου κοπιῶ· οὐδὲ τὸ ὑγιὲς μέλος μισεῖ καὶ ἀποστρέφεται τὸ ἀσθενὲς, ἀλλὰ μᾶλλον θεραπεύει καὶ συναντιλαμβάνεται· φησὶ γὰρ πρὸς Ῥωμαίους ὁ Ἀπόστολος· « Καθάπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν· τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ· ὁ δὲ καθεὶς ἀλλήλων μέλη. » Καὶ πάλιν· « Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν· καὶ μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν· καὶ γὰρ καὶ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν. » Ἀλλὰ καθὼς γέγραπται· « Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων ἐπέπεσον ἐπ' ἐμέ. Διὸ προσλαμβάνεσθε ἀλλήλους· καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς. » Καὶ πρὸς Κορινθίους· « Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. » Καὶ πρὸς Γαλάτας· « Ἀδελφοὶ, ἐὰν καὶ προσληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σκοπῶν μὴ καὶ σὺ πειρασθῇς· ἀλλήλων τὰ βάρη βαστάζετε· καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. » Καὶ ὁ Ἰάκωβος· « Ὅπου ζῆλος καὶ ἐρίθεια, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. » Λελήθαμεν οὖν ἔν τίνι συνειληλύθαμεν· οὐ κοινοβιάται γενόμενοι· ἀλλ' ἰδιόρυθμοι καὶ πραγματευταί. Ὅταν γὰρ ὁ ἰσχυρὸς καὶ εὔρωστος οὐ κοινωνεῖ τῷ πάσχοντι καὶ ἀσθενοῦντι, διακονῶν ἐν τοῖς ἀναγκαίοις, ἀλλὰ μετὰ παῤῥησίας λέγει· Κοπιάτω ὡς ἐγώ· ἐσθιέτω τὰ αὐτὰ, πῶς οὐκ ἀσπλαγχνία, καὶ ἀναλγησία, καὶ διαίρεσις τοῦ πνευματικοῦ καὶ κοινοῦ βίου;

firmos despicientes, in operibus altercantes. Quare ista in vita communi? Non enim corpus contra se dissentit; non pollex minori digito dicit: Plusquam tu defatigor; neque membrum sanum ægrum odit, huic potius, nedum fugiat, succurrens ac serviens. Dicit ad Romanos (scribens) Apostolus: « Sicut in uno corpore multa membra habemus, omnia autem membra non eumdem actum habent, ita multi unum corpus sumus in Christo, singuli autem alter alterius membra [1]. Debemus nos firmiores imbecillitates infirmorum sustinere, et non nobis placere. Unusquisque nostrum proximo suo placeat in bonum ad ædificationem. Etenim Christus non sibi placuit; sed, sicut scriptum est: Improperia improperantium ceciderunt super me. Propter quod suscipite invicem, sicut et Christus suscepit vos [2]. » Et ad Corinthios: « Sine offensione estote Judæis, et gentibus, et Ecclesiæ Dei, sicut et ego per omnia in omnibus placere studeo, non quærens quod mihi utile est, sed quod multis, ut salvi fiant [3]. » Et ad Galatas: « Si præoccupatus fuerit homo in aliquo delicto, vos qui estis spirituales, hujusmodi instituite in spiritu lenitatis, considerans teipsum, ne et tu tenteris. Alter alterius onera portate, et sic adimplebitis legem Christi [4]. » Et Jacobus: « Ubi zelotypia et disceptatio, ibi destructio et quodcunque malum [5]. » Nos fugit in qua (conditione) convenimus, non cœnobitæ facti, sed quisque pro se satagitantes. Quando enim robustus et validus nihil sese ægro et invalido communicat, in necessitatibus serviens, (nimia) vero cum libertate dicit: Fatiscat ut ego, vescatur ut ego: quomodo non essent duritia et immisericordia, communisque vitæ ac spiritualis dissolutio?

Πνευματικὴ γὰρ ἀγάπη ἐστὶ, τὸ τιθέναι τὴν ψυχὴν ὑπὲρ τοῦ ἀδελφοῦ εἰ δέει. Ὅταν οὖν οὐδὲ τῷ σώματι ὑπερκοπιῶμεν, κοινόβιον ἔχομεν, ἵνα αἱ τοῦ Χριστοῦ ἐντολαὶ ἐν ἡμῖν πληρῶνται, ἢ ἵνα περιφρονῶνται; μένε λοιπὸν ἰδίως· μὴ κιβδήλου τὸν ἀγγελικὸν βίον· μὴ κατηγόρει Χριστοῦ· λέγων· Οὐκ ἐσμὲν ὡς ὁ Χριστὸς, ἵνα κατορθῶμεν τὰς ἀρετὰς ὡς αὐτὸς ἐπλήρου· ἑαυτὸν ἀποχωρίζων αὐτοῦ. Φησὶ γὰρ ὁ ἀπόστολος Ἰωάννης· « Ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν. » Καὶ πάλιν· « Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν· ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην· ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. » Καὶ αὐτὸς ὁ Χριστός· « Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆ-

Spiritualis enim charitas est vitam pro fratre, si necessitas adsit, ponere. Quando igitur corpore non defatigamur, utrumne cœnobium tenemus, ut Christi mandata in nobis adimpleantur, an ut contemnantur? Cæterum privatus permaneas: ne vitam angelicam corrumpas, ne Christum redarguas, dicens: Non sumus Christo similes, qui virtutes restituamus, ut et ipse perfecit, te ab illo separans. Dicit enim Joannes apostolus: « Qui se in Christo permanere affirmat, illum oportet ambulare sicut et Christus ambulavit [6]. » Et iterum: « Quicunque fratrem suum odit, homicida est; et scitote quod nullus homicida vitam æternam in se habet. In hoc charitatem cognovimus, quod Christus pro nobis animam suam posuit. Et nos pro fratribus animas nostras ponere debemus [7]. » Ipse Christus: « Si igitur vobis pedes lavi ego Dominus et Magister, debetis et vos vobis invicem pedes lavare, quippe exemplum dedi vobis, ut, sicut ego feci vobis, ita et vos faciatis [8]. » Et iterum: « Mandatum novum

[1] Rom. xii, 4, 5. [2] Rom. xv, 1-4, 7. [3] I Cor. x, 32, 33. [4] Galat. vi, 1, 2. [5] Jac. iii, 16. [6] I Joan. ii, 6. [7] I Joan. xv, 16. [8] Joan. xiii, 14, 15.

(1) In margine : σχόλιον. Οὐ γὰρ εἶπεν ἓν σῶμα, ἀλλ' ἡ καρδία καὶ ἡ ψυχὴ μία.

Digitized by Google

dedi vobis, ut vos invicem diligatis : ut ego dilexi vos, ita et vos invicem diligatis. In hoc cognoscent omnes vos meos esse discipulos, quod charitatem alii erga alios exerceatis[9]. » Ne igitur falso Christum incuses, cum propter te homo natus sit; neque diabolum pro Christo magistrum accipias. Ne cœnobialem typum et regulam ostentes malæ voluntatis et duritiæ cordis auxilium, quæ nos accepimus ut nobis invicem subveniamus. Quod sequitur historiæ intellige : magna cum potentia apostoli de resurrectione Domini Jesu testimonium perhibuerunt, gratiaque magna super eos venit; nullus enim ex eis inopia premebatur. Videsne unde potentiam gratiamque prædicatio habuerit? Ex eo quod omnes credentes in abundantia vivebant. Quomodo hoc (fuerit) historia addit. Quotquot terrarum et domorum possessores erant, vendebant et venditæ rei pretium allatum ante pedes apostolorum deponebant. Quod unicuique, prout opus erat, distribuebatur, neque omnibus tantumdem afferentibus, neque portione æqua omnibus data, sed quantum quisque habebat, quantum et cuique opus.

De oratione et psalmodia jam dicendum est. De oratione. Martyres, prophetæ et apostoli orabant, qui nobis orationem tradiderunt; nos autem in necessitatibus oratione utimur; sed perfectius ipse Christus qui non solum opere, in deserta decedens et seorsum orans, nos docet, sed etiam verbis quomodo orationem perficiamus, et in ea non deficiamus, proponitque in exemplum amicos filiosque petentes et accipientes, atque viduam precibus instantem, donec jus violatum restitutum fuerit. Et multa talia. De psalmodiæ hymnorumque spiritualium, et quæ in mundo fiunt cantilenarum utilitate videre est. Si cantoribus mundi proceres præbent præmia, multo Deus liberalior : testes (sunt), ex sacra Scriptura, fide digni Moyses, David, Salomon, et quotquot alii hymnos in honorem Dei cantarunt. A quibus quomodo sigillatim aut in choro canitur, discendum, et non modo de psalmodia, sed et de cæteris templi ministeriis. Etenim Levitas alios in aliud officium disposuerunt, et in psalmodia diversos choros instituerunt, alternatim canentes, ut vice quadam labor levaretur, et non cessaret. Præterea angeli apud Isaiam pulchrum Ecclesiæ ordinem significant, non hi hymnientes, illi autem silentes, sed alter ad alterum, quasi alter alterius adjutorio in cantu indigeat; imo nobis metra psalmodiæ suggerentes, circa Deum cum metu et tremore stantes, non huc et illuc aspicientes aut gradientes, ut nos (qui) in templo Dei exagitamur.

τε. » Καὶ πάλιν· « Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους· ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. » Μὴ οὖν καταψεύδου Χριστοῦ, ἐπεὶ ἄνθρωπος γέγονε διὰ σέ· μηδὲ μαθητὴς γίνου τοῦ διαβόλου, ἀντὶ τοῦ Χριστοῦ· μηδὲ τὸν κοινοβιακὸν τύπον τε καὶ κανόνα προβάλλου σύμμαχον τῆς σῆς κακοβουλίας τε καὶ ἀσπλαγχνίας· ὅνπερ εἰς ἐπικουρίαν ἀλλήλων ἐλάβομεν· καὶ σύνες τὸ ἀκόλουθον τῆς ἱστορίας· καὶ δυνάμει μεγάλῃ ἀπεδίδουν οἱ ἀπόστολοι τὸ μαρτύριον τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ· χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἐνδεής τις ἦν ἐν αὐτοῖς. Ὁρᾷς ὅθεν ἔσχε τὴν δύναμίν τε καὶ χάριν τὸ κήρυγμα; Ἐκ τοῦ τοὺς πιστεύοντας ἅπαντας εἶναι ἀνενδεεῖς. Πῶς δὲ τοῦτο, ἐπάγει· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ καθ' ὅτι ἄν τις χρείαν εἶχεν. Οὐκ ἐξ ἴσου πάντες εἰς τὸ μέσον ἔβαλλον· οὐδὲ πᾶσιν ὁμοίως ἐδίδοτο· ἀλλ' ὅπερ ἕκαστος εἶχε, καὶ καθ' ὃ χρείαν εἶχεν.

Ἐχόμενον οὖν ἐστιν εἰπεῖν περὶ εὐχῆς καὶ ψαλμῳδίας· καὶ περὶ μὲν εὐχῆς, μάρτυρες, προφῆται καὶ ἀπόστολοι εὐχόμενοι· οἱ καὶ ταύτην εἰς ἡμᾶς παραδόντες· καὶ ἡμεῖς αὐτοὶ ἐν περιστάσεσι ταύτῃ χρώμενοι· μᾶλλον δὲ αὐτὸς ὁ Χριστὸς, οὐ μόνον δι' ἔργων διδάσκων ἡμᾶς, ἀναχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ κατιδίαν εὐχόμενος, ἀλλὰ καὶ διὰ λόγων, ὡς δεῖ ταύτην τελεῖν, καὶ μὴ ἐκκακεῖν· παράγων εἰς ὑπόδειγμα φίλους καὶ υἱοὺς αἰτοῦντας καὶ λαμβάνοντας· καί που καὶ χήραν ἀδικουμένην καὶ μὴ ἀφισταμένην τῆς αἰτήσεως, ὥστ' ἐκδικηθῆναι, καὶ πολλὰ τοιαῦτα. Περὶ δὲ ψαλμῳδίας καὶ ὕμνων πνευματικῶν, καὶ ἐκ τῆς κοσμικῆς ᾠδῆς συνιδεῖν ἔστιν αὐτῶν τὸ ὠφέλιμον. Εἰ γὰρ τοῖς ᾄδουσιν αὐτοῖς οἱ ἐν κόσμῳ ἄρχοντες παρέχουσι μισθοὺς, πολλῷ μᾶλλον ὁ Θεὸς φιλόδωρος ὤν· πλὴν μάρτυρες κἀκ τῆς Γραφῆς ἀξιόχρεῳ, Μωϋσῆς, καὶ Δαυὶδ, καὶ Σολομῶν, καὶ ἄλλοι ὅσοι ἦσαν ᾠδὰς τῷ Κυρίῳ. Πῶς δεῖ ἰδίως καὶ πῶς μετὰ πλήθους, ἐξ αὐτῶν ἔστι μαθεῖν· καὶ οὐ μόνον περὶ ψαλμῳδίας, ἀλλὰ καὶ τῆς λοιπῆς τοῦ ναοῦ ὑπηρεσίας· τοὺς γὰρ Λευίτας διετάξαντο· τοὺς μὲν εἰς τήνδε τὴν ὑπουργίαν, τοὺς δὲ εἰς τήνδε· ἐν δὲ τῇ ψαλμῳδίᾳ διαφόρους χοροστασίας ἀνέδειξαν· ἐκ διαδοχῆς ψαλλούσας, διὰ τὸ κουφίζειν ἀλλήλων τὸν πόνον· καὶ πάντας εὐφραίνεσθαι τὴν ἐν Κυρίῳ εὐφροσύνην· καὶ μὴ ἀκηδιᾷν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἄγγελοι παρὰ τῷ Ἡσαΐᾳ τὴν εὐταξίαν ἡμῖν ὑποσημαίνουσι τῆς Ἐκκλησίας· οὐ πάντες ὁμοῦ· οὐδ' οἱ μὲν κράζοντες τὸν ὕμνον, οἱ δ' οὔ· ἀλλ' ἕτερος πρὸς τὸν ἕτερον (2)· ὡσανεὶ ἕτερος τοῦ ἑτέρου δεόμενος ἐν τῷ ὕμνῳ· καὶ μέτρα ἡμῖν ὑποδεικνύντες τῆς ψαλμῳδίας· κύκλῳ ἑστῶτες περὶ τὸν θεῖον θρόνον μετὰ

[9] Joan. XIII, 35.

(2) In margine scholium hoc additur : διὰ τὸ εἰπεῖν ἐνικῶς μὲν, ἕτερος πρὸς τὸν ἕτερον· πληθυντικῶς δὲ, καὶ ἔλεγον, δηλοῖ ὅτι ἅπαντες ἐκ διαδοχῆς ᾖδον.

Digitized by Google

δίους καὶ θάμβους (3), μὴ ἔνθεν κἀκεῖθεν ὁρῶντες ἢ μεταβαίνοντες (4), ὡς ἡμεῖς ἀτακτοῦμεν ἐν τῷ θείῳ τεμένει.

Ἀλλ' οὕτω: ἀποδιδόντες ἡμῶν τὰς εὐχὰς τῷ Κυ- A ρίῳ, μηδὲ τοῦ ἐργοχείρου δεῖ ἀμελεῖν· δι' οὗ εὐπορήσαιμεν τὴν ἀναγκαίαν τροφήν τε καὶ σκέπην, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα προφάσει τῆς εὐχῆς ἢ τῆς ἀργίας. Μὴ δὲ τὸν ἀδελφὸν παριδεῖν κάμνοντα, καὶ τῆς ἐξ ἡμῶν δεόμενον βοηθείας· κρεῖσσον γὰρ καταλιπεῖν μικρὰν ἀρετὴν, ἢ καταλῦσαι μεγάλην ἐντολὴν Δεσποτικήν. Ἐν γὰρ τῷ πληροῦσθαι τὴν ἐντολὴν, καὶ ἡ τῆς προαιρέσεως εὐγνωμοσύνη συμπληροῦσθαι πέφυκεν· οὐ τὸ ἀνάπαλιν· διὸ καὶ ἀποκλείεται ἡ τοῦ νυμφῶνος εἴσοδος τοῖς ἀδιακρίτως μετερχομένοις τὰς ἀρετάς. Γέγραπται γὰρ ἐν τῇ τῶν Βασιλειῶν πρώτῃ· « Οὐ θέλει Κύριος ὁλοκαυτώσεις καὶ θυσίας, ὡς τὸ ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ· » Ἰδοὺ γὰρ ἀκοὴ ἀγαθὴ ὑπὲρ θυσίαν· καὶ ἀκρόασις ὑπὲρ στέαρ ἀρνῶν. Καθὰ δὴ καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους φησί· B « Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. » Καὶ ἐν τῇ πρὸς Ἐφεσίους αὖθις· « Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν· ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. » Κλοπὴν δ' ἂν ἔγωγε καλέσαιμι καὶ τὴν ὁπωσδήποτε μετὰ δόλου τῶν χρημάτων συλλογήν· ὡς ὅταν πορευόμενοι πρὸς πλουσίους καὶ πένητας, ὀδυρόμεθα ψευδῆ πενίαν τε καὶ πτωχείαν· καὶ ναῶν ἀναλώματα καὶ ἀνσθημάτων· κειμηλίων τε καὶ ἀγαλμάτων κατασκευάς· ἱερῶν ἐνδυμάτων ἔνδειαν, καὶ ἱστοριῶν ἀφανισμόν· ἵνα πάντα ἔχωμεν μετ' εὐπορίας, ἅπερ οὐδὲ κοσμικοὶ ὄντες εἴχομεν· ἐντεῦθεν ἡμῶν πάντα εὐπορούντων, ἄλλοι ἀπορῶσι καὶ ὀδύρονται· καὶ ἡ ἀρετὴ ἡμῶν ματαία καθίσταται, ἵνα μὴ λέγω βλάβης C πρόξενος.

Dum vero sic Domino vota reddimus, non debemus laborem manuum negligere, quo escam necessariam et vestimentum comparemus, neminemque sub prætextu orationis aut segnitiei gravemus. Nequaquam fratrem derelinquamus nostro auxilio indigentem : melius enim minorem virtutem omittere, quam unum ex magnis Domini mandatis violare, in quo adimplendo meritum perficit deliberata voluntas, dum contra clauditur lecti nuptialis introitus illis qui sine discretione virtutes exercent. Scriptum est in primo Regum libro: « Non tam amat Deus holocausta et sacrificia, quam vocis ejus auditionem [10] : » ecce auditio bona super sacrificium, et aurium attentio super agnorum pinguedinem. Itaque Apostolus in Epistola ad Hebræos scribit : « Ne obliviscamini bene agere, et fratribus consentire : talibus enim in sacrificiis sibi Deus complacet [11] ; » et in Epistola ad Ephesios : « Fur non jam furetur, potius vero laboret, bonum manibus operans, ut habeat unde inopi subveniat [12]. » Furtum ego vocarem istam qualibet ratione dolosam bonorum comparationem, scilicet ut, cum divites pauperesve aggressi, inopiam nostram et pauperlatem deploramus, templorum (arguentes) impensas et oblationum, supellectilis et statuarum acquisitionem, sacrorum indumentorum penuriam historiarumque deletionem, ut omnia facile obtineamus quæ, dum in mundo versaremur, non habebamus, et cum obtineamus, alii non obtinent et gemunt, virtute nostra ad vanum redacta, ut ne dicam, exitiosa facta.

Πρὸς τούτοις καὶ περὶ ἐκλογῆς ἡγουμένου ληπτέον· καὶ ὁποῖον εἶναι χρὴ τὸν ἑτέροις καθηγούμενον· μήτι τοπαράπαν ἐκ κοιλίας ἑαυτῶν ἀποφαίνοντες· ἀλλ' ὅσον ἐκ τῶν θείων Γραφῶν, ἢ τῶν Πατέρων ἐμάθομεν· δεῖ δὲ καὶ τοῦτον μετὰ παρακλήσεως, μὴ μέντοι μετὰ βίας ἐφέλκειν ἐπὶ τὴν ἡγουμενίαν· ἀλλ' οὐδὲ εὐκόλως ἄνευ δοκιμασίας δέχεσθαι· ἀλλὰ μετὰ τῆς πρὸς Θεὸν ἱκεσίας ἐκλέγειν ἕνα τῆς συνοδίας· ὥσπερ οἱ τοῦ Χριστοῦ ἀπόστολοι τὸν Ματθίαν· ὥσπερ τὸν Βαρνάβαν καὶ Παῦλον· ὥσπερ τοὺς ἑπτὰ διακόνους· τὸν γὰρ ἀφ' ἑαυτοῦ ζητοῦντά τινα ἀξίαν, ἀποστρέφεσθαι δεῖ· ὡς ὁ Πέτρος τὸν Σιμῶνα· ἢ νουθετεῖν εἴπερ οἰκεῖος· ὡς ὁ Κύριος ἡμῶν τοὺς υἱοὺς Ζεβεδαίου. Εἰ γὰρ κοσμικοὶ βασιλεῖς τοὺς ἀφ' ἑαυ- D τῶν τι ζητοῦντας ἀξίωμα ἀντάρτας λογίζονται, πόσῳ μᾶλλον ὁ Θεός ; Φησὶ γὰρ ἐν τῇ πρὸς Ἑβραίους ὁ Παῦλος· « Πᾶς ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν. » Καὶ μετ' ὀλίγα· « Οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τι-

Nunc de hegumeni (abbatis) electione dicendum, et qualem esse debeat, qui cæteris præponitur : qui nullo modo de proprio nostro judicio indicandus, sed secundum quod ex sacris Scripturis aut ex Patribus didicimus. Ille vero per suasionem, non per vim, adducendus, ut præsit, nec facile sine probatione accipiendus, sed, postquam Deum precati fuerimus, ex nostra congregatione eligendus, sicut a Christi apostolis Matthias, Barnabas, Paulus et septem diaconi. Ille qui ex se ambit dignitatem recusandus est, ut Simon a Petro ; aut, si fuerit e familiaribus, admonendus ut a Domino nostro filii Zebedæi. Si enim reges mundi eos qui ex se dignitatem ambiunt quasi rebellantes existimant, quanto magis Deus? Dicit Paulus in Epistola ad Hebræos : « Omnis pontifex ex hominibus assumptus pro hominibus constituitur in iis quæ sunt ad Deum [13] ; » et paulo post : « Non quisquam sumit sibi honorem, sed qui vocatur a Deo, tanquam Aaron. Sic et Chri-

[10] I Reg. xv, 22. [11] Hebr. xiii, 16. [12] Ephes. iv, 28. [13] Hebr. v, 1.

(3) Scholium in marg. Τὸ γὰρ ταῖς πτέρυξι κεκαλύφθαι τὴν εὐλάβειαν δηλοῖ.

(4) Scholium : Τοῦτο εἴρηται, περὶ τῶν ἐξ ἀκηδίας προφάσει δῆθεν κάρφους τοῦ ἐν τῷ ἐδάφει, ἢ τινος ἑτέρου μὴ κατεπείγοντος κινουμένων ἐκ τοῦ τόπου αὐτῶν· οὐ μὴν περὶ τοῦ κανονάρχου· οὗτος γὰρ, εἷς ὢν, ἐν μεγίστῃ Ἐκκλησίᾳ οὐ δύναται ἐν ἑκατέροις κανοναρχεῖν τοῖς χοροῖς, εἰ μὴ μεταβῇ· ἐπεὶ ὅταν δυνατὸν, οὐ μόνον περιττὴ ἡ μετάβασις, ἀλλὰ καὶ ὀχληρὸν καὶ ἀπρεπές.

Digitized by Google

stus non semetipsum glorificavit ut pontifex fieret, sed qui locutus est ad eum : Filius meus es tu, ego hodie genui te [15]. » Oportet illum probatum esse in omni re, ita ut fratribus anima et corpore serviat, cum idcirco eligatur, ut dicit propheta : « Pastores non seipsos, sed oves, pascunt [16]; » quod fiet, si intellectu, qui ex magna scientia longevitateque nascitur, est ornatus. Ille non sibi complaceat, ut dictum est, sicuti theologo Gregorio videtur, postquam contra Maximum (invectus est) dicenti : « Quibus est communis spiritus, illis communis passio; quibus autem pati commune, illis credere commune; quod enim homo ipse non passus est, alteri non credet; » qui autem passus est, ille ad compassionem promptior : (quod nisi fuerit) invisibilis passionis testis cæcus (esset), alienæ faciei proprium sibi speculum. »

Qui enim non sic probati sunt, superbientes, in diaboli probationem retiaque incidunt, leges novas invenientes, priscas abrogantes, omnia, ut oculis propriis placet, facientes, unde eversionis auctores fiunt, et divisionum, eademque patiuntur quæ olim Roboam. Fratrum jugum aggravant, quos ne digito quidem tangunt; subjectis non, sicut sancti prisci, compatiuntur, plenum purumque obsequium exigentes, ipsi nemini unquam reddentes, ignorantes quod, si omnes natura dociles et consentanei essent, nihil illis præposito opus esset. Illos fugit Moyses pro populo precans, Dominoque dicens : « Si illis peccatum dimittas, dimitte; sin contra, me ex libro abole in quo scripsisti [16]; » et David, qui e tribus sibi nuntiatis pœnis propter censum populi factum, neque famem neque bellum voluit eligere, ne ipse ut rex istis servatus non periret cum populo, sed pestem elegit pariter omnes aggressuram, et ad Dominum clamans, dum ab angelo inflictum videret populum : « Ecce ego peccavi; veniat in me manus tua et in domum meam : istæ oves quid fecere? Vertatur manus tua contra me, et contra domum patris mei [17]. » Illos fugit Christus ad eos qui ipsum comprehendebant dicens : « Si me quæritis, dimittite istos abire [18]; » scilicet discipulos. Magis autem dedignantur infirmos et irrident dicentes : Ægrotet, nihil illius refert ad sanitatem restitui. Quis unquam sanctus sic locutus est, aut non potius infirmo cum misericordia serviit? Isti fiunt ex superbia torto judicio. Indignam judicant sub monastica regula viventis curationem, dummodo ipsi bene valeant, verum animalibus potiori jure convenientem. Etsi enim neque animalium mala patiantur, neque vocem audiant, morbum ex recubatione, tactu aspectuque augurantur, medicationemque congruam proferunt, neque inopes, neque reges, neque ullum sanctorum recordantes, qui infirmis succurrerunt.

μήν· ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ. Καθάπερ καὶ Ἀαρὼν, οὕτω καὶ ὁ Χριστός· οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα· ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· « Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. » Δεῖ δὲ καὶ πεπειραμένον εἶναι κατὰ πάντα, ὥστε θεραπεύειν τοὺς ἀδελφοὺς ψυχῇ τε καὶ σώματι· ἐπεὶ καὶ διὰ τοῦτο ἐκλέγεται. Καὶ γάρ, ὥς φησιν ὁ προφήτης, « Οἱ ποιμένες οὐχ ἑαυτοὺς βόσκουσιν, ἀλλὰ τὰ πρόβατα. » Τοῦτο δὲ γένοιτ' ἂν, εἴπερ συνέσει τῇ ἐκ πολυμαθίας καὶ πολυετίας κοσμεῖτο. Καὶ μὴ ἑαυτῷ ἀρέσκειν, ὡς εἴρηται· καθὰ δὴ καὶ τῷ Θεολόγῳ Γρηγορίῳ δοκεῖ λέγοντι μετὰ τὰ κατὰ Μάξιμον· « Ὧν κοινὸν τὸ πνεῦμα, κοινὸν τὸ πάθος· οἷς δὲ τὸ πάσχειν ἴσον, ἴσον καὶ τὸ πιστεύειν· ὁ γὰρ μήτις πέπονθεν, οὐδ' ἂν ἑτέρῳ πιστεύσειεν. Ὁ δὲ παθὼν, εἰς συγκατάθεσιν ἑτοιμότερος· μάρτυς ἀόρατος ἀοράτου πάθους, μορφῆς ἀλλοτρίας οἰκεῖον ἔσοπτρον. »

Οἱ γὰρ μὴ οὕτω κριθέντες, τυφωθέντες, εἰς κρῖμα καὶ παγίδα τοῦ διαβόλου ἐμπίπτουσι· νόμους ἑτέρους ἐξευρίσκοντες, καὶ τοὺς παλαιοὺς ἀθετοῦντες· ἅπαντα κατὰ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς αὐτῶν ποιοῦντες· διὸ καὶ ἀκαταστασίας αἴτιοι γίνονται καὶ σχισμάτων καὶ τὰ ὅμοια πάσχουσι τῷ πάλαι Ῥοβοάμ· βαρύνοντες τὸν ζυγὸν τῶν ἀδελφῶν, τῷ δὲ δακτύλῳ αὐτῶν μὴ ἁπτόμενοι· μὴ δὲ συμπάσχοντες τοῖς ὑποτασσομένοις ὡς οἱ πάλαι ἅγιοι· μόνην δὲ τὴν ὑποταγὴν ζητοῦσι καθαράν· αὐτοὶ μηδέποτε τοῦτο ἑτέροις ἀποδώσαντες· μὴ γινώσκοντες, ὅτι εἰ οὕτως ἦσαν ἅπαντες πειθήνιοι καὶ ὁμογνώμονες, οὐκ ἂν ἐδέοντο προεστῶτος. Οὐκ ἀκούουσι Μωϋσέως ὑπὲρ τῶν συμφυλετῶν δεομένου καὶ λέγοντος πρὸς Κύριον· « Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας. » Οὐδέ γε τοῦ Δαυὶδ· ὅστις τριῶν αὐτῷ προτεινομένων τιμωριῶν διὰ τὸ ἀριθμῆσαι τὸν λαὸν, οὐκ ἠθέλησεν οὔτε λιμὸν, οὔτε διωγμὸν προκρῖναι· ἵνα μὴ αὐτὸς ὡς βασιλεὺς τούτων διασωθεὶς, οὐ συναπολεσθῇ τῷ λαῷ· ἀλλὰ τὸν θάνατον ἐξελέξατο, ὁμοίως τοῖς πᾶσιν ἐπερχόμενον. Ἀμέλει καὶ πρὸς Κύριον εἶπεν ἐν τῷ ἰδεῖν αὐτὸν ἄγγελον τὸν τύπτοντα ἐν τῷ λαῷ· « Ἰδοὺ ἐγὼ ἠδίκησα· καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὰ πρόβατα τί ἐποίησαν; Γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου· » οὐδ' αὐτοῦ τοῦ Χριστοῦ λέγοντος πρὸς τοὺς συλλήψοντας· « Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν, » δηλονότι τοὺς μαθητάς. Μᾶλλον δὲ καὶ κατεπεμβαίνουσι πολλάκις τῶν ἀσθενῶν, καὶ ἐπιχαίρουσι τούτοις, Κακωθήτω, λέγοντες, οὐ συμφέρει αὐτῷ ἐρρωμένον εἶναι. Τίς ἅγιος εἶπε τοῦτό ποτε· καὶ οὐ μᾶλλον ἠλέησε καὶ ἐθεράπευσε; γίνονται δὲ καὶ ἐξ ὑπεροψίας καὶ στρεβλολόγοι· καὶ ἀναξίαν κρίνουσι τὴν ἰατρείαν τῷ μοναδικῶς πολιτευομένῳ, ἐν ὅσῳ αὐτοὶ ὑγιεῖς εἰσι· τοῖς ἀλόγοις ταύτην μᾶλλον ἴδιον εἶναι νομίζοντες· καὶ γὰρ αὐτοὶ τὰ τῶν ἀλόγων μὴ πάσχοντες, μήτε φωνὴν αὐτῶν ἀκούοντες, ὅμως ἐκ τῆς καταχλίσεως, ἐκ τῆς ἀφῆς, ἐκ τῆς ὁράσεως, στοχάζονται τὴν νόσον, καὶ τὴν θεραπείαν

[15] Hebr. v, 4, 5. [16] Ezech. xxxiv, 2. [16] Exod. xxxii, 32. [17] II Reg. xxiv, 17. [18] Joan. xviii, 8.

Digitized by Google

κατάλληλον αὐτοῖς προφέρουσιν· οὔτε ἀναργύρους, οὔτε βασίλειον, οὔτε τινὰ τῶν ἁγίων ἄλλον εἰς νοῦν λαμβάνοντες, τοῖς ἀσθενοῦσιν ἐπικουροῦντα.

Ὥσπερ δὲ ἐπὶ τῶν σωματικῶν τούτοις οὐ μέλει, οὕτω δὴ καὶ ἐπὶ τῶν ψυχικῶν. Ἀδοκιμάστως ἀποκείρουσι τοὺς προσερχομένους· εἶτα ἐξορίζουσιν εἰς μυρίας ἀνοδίας· ἐν βουκολίοις καὶ αἰπολίοις καὶ ποιμνίοις καὶ μύλωσι, καὶ τοῖς ὁμοίοις, ἅπερ αὐτοὶ καὶ οἱ τούτοις συμφράδμονες ἐφεῦρον εἰς καταστροφὴν τῶν ψυχῶν αὐτῶν. Καὶ πεπλήρωται ἐπ' αὐτοῖς τὸ τοῦ Κυρίου πρὸς τοὺς Γραμματεῖς καὶ Φαρισαίους εἰρημένον· « Ὅτι περιάγουσι τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιοῦσιν αὐτὸν υἱὸν γεέννης, διπλότερον αὐτῶν. » Ἀλλ' οὕτω μὲν ταῦτα. Τί δὲ ἔτι λείπεται εἰπεῖν; Εἴπωμεν ἀκμὴν περὶ ἐξομολογήσεως καὶ μετανοίας· πόθεν δὲ καὶ ταῦτα ἔχομεν πιστώσασθαι; Ἐκ τῆς ἁγίας Γραφῆς πάντως· καὶ εἰς μέσον ἀγάγωμεν τὸν πάλαι Λάμεχ· ἐπεὶ καὶ διὰ τοῦτο μέχρις αὐτοῦ ἡ γενεαλογία· ὅπως διὰ τοῦ Κάϊν οὗτος σωφρονισθείς· μετανοῶν, ἑαυτοῦ τραῦμα ἡγεῖται τὸν φόνον. Πολλαπλασιάζει γὰρ ἑαυτῷ τὴν τιμωρίαν τοῦ προπάτορος· καί φησιν· « Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. » Ἦτοι παρὰ μὲν τοῦ Κάϊν ὡς μεγάλα ἁμαρτήσαντος, ἑπτάκις ἐξεδικήθη ὁ φόνος· ἐξ ἐμοῦ δὲ ὡς καταπολὺ μειζόνως, ἑβδομηκοντάκις ἑπτὰ ἐκδικηθήσεται· ἔτι δὲ τὸν Δαυῒδ ἐλεγχόμενον ὑπὸ τοῦ Νάθαν· τὸν Ἀχαάβ, ὑπὸ Ἠλίου· τὸν Μανασῆ ὑπὸ τοῦ οἰκείου συνειδότος· τοὺς Νινευίτας· τὸν Πέτρον. Οἵτινες ἠλεήθησαν διὰ μετανοίας· ὥσπερ τοὐναντίον, οἱ μὴ μετανοήσαντες. Ὅτι δὲ τῇ μετανοίᾳ καὶ ἐξομολογήσει καὶ τοὺς καρποὺς αὐτῶν ἕπεσθαι δεῖ, μάθοιμεν ἂν καὶ ἀπὸ τῶν εἰρημένων· μᾶλλον δὲ ἐκ τοῦ νῦν ῥηθησομένου εὐαγγελικοῦ ῥητοῦ περὶ τοῦ Ἰωάννου· « Τότε, φησὶν, ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα Ἱεροσόλυμα καὶ πᾶσα Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου· καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ· ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Ταῦτα ἐκ πολλῶν χάριν παραδείγματος προὐθέμην, ὡς καταρχὰς εἰρήκειν, ἵνα γνῶτε ὡς ἡ θεία Γραφὴ ἐστιν ἡ φωτίζουσα ἡμᾶς. Καὶ διὰ τοῦτο ἀγαπᾷν δεῖ τὰς ἱερὰς βίβλους· καὶ ἀσπάζεσθαι, καὶ κτᾶσθαι, καὶ συνεχῶς ἀναπτύσσειν, καὶ ἀποτίθεσθαι· ἵν' ὅταν δέῃ ἔχωμεν αὐτὰ εἰς βοήθειαν. Εἰ γὰρ ὁ Χριστὸς καὶ οἱ τούτου μαθηταὶ ταύταις χρῶνται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς ἀσθενεῖς χρᾶσθαι δεῖ.

Ἀλλά φησιν· Ἀναγινώσκων, οὐ συνίημι ἅπερ ἀναγινώσκω. Μήτις Αἰθίοψ εἶ, εἰπέ μοι· ἢ Ἄραψ· ὅτι οὐ γινώσκεις τὴν τῶν Γραικῶν διάλεκτον; τίνα γὰρ δυσκολίαν ἔχει· « Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυῒδ, υἱοῦ Ἀβραάμ; » Οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες κατὰ τὸν Παροιμιαστήν· πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν· οὐ γὰρ εὐληπτοτέρως εἰπεῖν τοῦτο

A Ut nullam corporis curam habent, sic nullam animæ. Accedentes ad se sine probatione tondent, perque mille loca invia amovent, (scilicet) ad boum, caprarum, oviumque pascua, ad molendina, aliaque similia ab ipsis et ipsorum consciis in perditionem animarum inventa. Et adimpletur in eis verbum Domini ad Scribas et Pharisæos : « Mare et terras percurritis ad unum proselytum quærendum, quem, cum invenistis, efficitis gehennæ filium, duplo quam vos[19]. » Sed ita res se habent. Quid dictu nunc reliquum? Continuo de confessione et pœnitentia loquamur. Unde nobis de istis fides venit? Ex sacra Scriptura omnino. In medium inducamus antiquum Lamech, cum in tali causa usque ad eum genealogia (repetatur), quomodo

B Caini exemplo ad sapientiam revocatus, factusque pœnitens, vulnus a se inflictum homicidium existimans, debitam sibi pœnam multiplicat proavi, dicens : « Quia pœna e Caino septies exacta, e Lamech septuagesies septies exigetur[20]; » Cainus quidem, qui magnopere peccavit, homicida septies punitus fuit; ego autem, qui multo magis, septuagesies septies. (Inducamus) et Davidem a Nathane reprehensum, Achab ab Elia, Manassen a propria conscientia, Ninivitas, Petrum, qui pœnitentia misericordiam, impœnitentibus negatam sunt consecuti. Pœnitentiæ vero et confessioni suos succedere fructus discemus ex modo dictis, sed planius ex nunc citando evangelico de Joanne verbo : « Tum,

τοῖς ἀποστόλοις αὐτοῦ ἐμφυσήσας ἔφη· « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. » Τοὔνεκεν διαμαρτυρόμενος πᾶσι ἡμῖν ὁ ἁρπαγεὶς εἰς τρίτον οὐρανὸν, καὶ εἰς τὸν παράδεισον εἰσελθὼν, καὶ ἀκούσας ἀῤῥήτα ῥήματα, Παῦλος ὁ θεῖος ἀπόστολος ἀπεφήνατο εἰπών· « Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. » Καὶ αὖθις Θεσσαλονικεῦσι γράφων παραγγέλλει· « Ἄρα οὖν, ἀδελφοὶ, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. » Ἀλλ' ἐπειδὴ ὁ ἀρχέκακος ἐχθρὸς διάβολος οὐ κατέλιπε κατὰ διαφόρους καιροὺς τὴν ἐποικοδομηθεῖσαν ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν Ἐκκλησίαν κατὰ τὸ δοκοῦν αὐτῷ διασχίζειν τε καὶ διαῤῥήσσειν, ἑαυτὸν παρεισφέρων διά τινων αὐτῷ ἑπακολουθούντων ἀνδρῶν πονηρῶν, καὶ ζιζάνια ἐπισπείρειν ἐν ταύτῃ τῇ γεωργηθείσῃ ὑπὸ τῶν σαλπίγγων τοῦ Πνεύματος ἁγίων ἀποστόλων, Αὐτοὶ γὰρ δύναμιν ἐξ ὕψους λαβόντες, ταύτην τῇ αὐλακι τῆς ἐνεργείας ἀροτριάσαντες, τροφὴν ζωῆς αἰωνίου κατέλιπον δρέπεσθαι τοῖς δι' αὐτῶν πιστεύσασι. τούτων τὴν θεηγόρον διδασκαλίαν λαβόντες οἱ κατὰ καιροὺς ταύτης ποιμένες καὶ φύλακες ἅγιοι Πατέρες ἡμῶν, τὰ μὲν ζιζάνια, ἤτοι αἱρέσεις καὶ καινοτομίας παρεισκριθείσας καὶ ἐπεισαχθείσας πρόῤῥιζον ἐξέτεμον, καὶ τὸν ἀμητὸν καθαρὸν τῇ ἀρούρᾳ διετήρησαν. Ἡ οὖν ὑμετέρα ἀρχιεροπρεπὴς ἀδελφικὴ ἁγιωσύνη τούτοις ὁμιλήσασα διὰ τῶν αὐτῶν θεηγόρων διδασκαλιῶν, καὶ παρ' αὐτῶν λαβοῦσα τὸν τῆς ἀληθείας λόγον, τὰς νυνὶ ἀκανθώδεις βλαστησάσας βοτάνας, τῇ τῶν πιστοτάτων καὶ εἰρηνοποιῶν βασιλέων ἡμῶν συμφωνῶν ἀληθείᾳ, ἐκτίλαι τῇ μαχαίρᾳ τοῦ πνεύματος ἔσπευσεν, ἀποστείλασα κατὰ τὴν ἡμῶν γραφεῖσαν αὐτῇ αἴτησιν, πρὸς τὸ γενέσθαι οἰκουμενικὴν σύνοδον, ὁμωνύμους ἄνδρας τῷ πρωτάρχῳ τῶν ἀποστόλων Πέτρῳ. Ὧν παραγενομένων, οἵ τε εὐσεβεῖς καὶ γαληνότατοι ἡμῶν βασιλεῖς τούτους εὐμενῶς δεξάμενοι, πρὸς ἡμᾶς ἐκέλευον πέμπεσθαι, δι' αὐτῶν δεξαμένων ἡμῶν τὰ γράμματα ὑμῶν. Καὶ ὁμιλήσαντες αὐτοῖς τὰ προσήκοντα προσεκαλεσάμεθα καὶ τοὺς ἐκ τῆς ἀνατολῆς ἱεροπρεπεῖς ἄνδρας, Ἰωάννην καὶ Θωμᾶν λόγου καὶ γνώσεως μετέχοντας, καὶ εὐλαβείᾳ καὶ σεμνότητι κεκοσμημένους· παρῆσαν γὰρ ἐνταῦθα κατὰ τὸν αὐτὸν καιρὸν καὶ αὐτοὶ ἐληλυθότες. Καὶ δὴ συναθροισθέντων πάντων τῶν θεοφιλῶν ἐπισκόπων τῆς ἐνταῦθα διοικήσεως κατ' ἐπίνευσιν καὶ θεῖον ζῆλον τῶν πιστοτάτων καὶ εὐσεβῶν βασιλέων ἡμῶν, καθέδρα συνόδου γέγονεν. Ἀλλά τινες ἐξ ἀφρένων φρενῶν κινηθέντες, ταραχὴν ἐν ἑαυτοῖς ποιησάμενοι, ἐξανέστησαν ἡμᾶς τῆς καθέδρας· καὶ κωλυθέντες, ἐνιαυτὸν ἕνα ἡσυχῇ διεμείναμεν. Τοῦ δὲ χρόνου παρελθόντος, αὖθις οἱ θεοφιλεῖς ἐπίσκοποι συναθροίζεσθαι ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας παρὰ τῶν εὐσεβῶν βασιλέων ἡμῶν ἐκελεύοντο. Καὶ δὴ ἡμεῖς συνεκδήμους ἡμῖν λαβόν-

A stolis suis insufflans ait : « Pacem meam do vobis, pacem meam relinquo vobis [15]. » Cujus rei gratia contestans omnibus nobis ille qui raptus in tertium cœlum, et in paradisum ingressus audivit arcana verba, Paulus scilicet divinus apostolus asseruit dicens : « Christus est pax nostra, qui fecit utraque unum ; et medium parietem maceriæ dissolvens [dissolvit] [16] ; inimicitiam in carne sua [17]. » Et rursus Thessalonicensibus præcipiens ait : « Itaque, fratres, state, et tenete traditiones quas didicistis sive per sermonem, sive per epistolam nostram [18]. » Sed quoniam inimicus qui ab initio nequam est diabolus, non dimisit per diversa tempora ædificatam supra fundamentum apostolorum et prophetarum Ecclesiam, secundum quod sibi visum est, B discindere atque disrumpere, semet inferens per quosdam se sequentes viros malos ; et zizania superseminare in regione hac, quæ culta est a tubis Spiritus, apostolis scilicet sanctis : ipsi enim virtute ex alto accepta, et hac divinæ sulcis operationis proscissa, escam æternæ vitæ reliquerunt his qui per ipsos crediderunt, carpendam : horum deiloquam doctrinam sancti patres nostri, qui hujus pastores et custodes per singula fuere tempora, suscipientes, zizania, id est hæreses et novitates addititias [subreptas] atque introductas radicitus exciderunt ; et messem mundam arvo conservaverunt. Vestra ergo fraterna et summo pontificio decorata sanctitas cum his per deiloquas suas doctrinas quodammodo sermocinata, et ab C eis accepto veritatis verbo, spinosas herbas quæ nunc germinaverunt, fidelissimorum et pacificorum imperatorum veritati concordans, evellere machæra spiritus festinavit, mittens secundum scriptam sibi petitionem nostram, ad universalem synodum faciendam æquivocos viros principis apostolorum Petri. Quibus advenientibus, pii et tranquillissimi imperatores nostri eos benigne suscipientes, ad nos jubebant mitti, per eos litteras vestras nobis suscipientibus. Et locuti cum illis quæ conveniebant, advocavimus et eos qui ab Oriente venerant sacerdotio decoratos viros, Joannem et Thomam, verbi et scientiæ participes, atque reverentia et modestia perornatos : aderant enim hic et ipsi per idem tempus pervenientes. Itaque congregatis omnibus D Deo amabilibus episcopis hujus diœceseos, per nutum et divinum zelum fidelissimorum et piorum imperatorum, sessio synodi facta est. Sed quidam ex insensatis sensibus moti, turbationemque intra se facientes, exsurgere nos fecerunt e consessu : et prohibiti, anno uno taciti mansimus. At vero anno transacto, rursus Deo amabiles episcopi congregari in Nicæensium clara metropoli Bithyniensium provinciæ a piis imperatoribus nostris jussi sunt. Siquidem et nos comites nobis asciscentes Deo amabiles viros et loci servatores vestros, similiter et eos qui de Oriente venerant, perreximus ad

[15] Joan. XIV, 27. [16] II Cor. XII, 2-4. [17] Ephes. II, 14. [18] II Thes. II, 14.

Digitized by Google

eamdem metropolim. Qui cum omnes sedissemus, caput fecimus Christum. Jacebat enim in sancta sede Evangelium sanctum, contestans omnibus nobis sacratis viris qui conveneramus : « Judicium justum judicate [19] : » Judicate inter sanctam Dei Ecclesiam et novitatem quæ facta est. Et cum prælatæ primitus vestræ fraternæ sanctitatis litteræ legerentur, præstolabantur omnes [*Gr.* communi confidebamus corona omnes], spiritalibus eduliis tanquam in regalibus cœnis fruentes, quæ Christus per litteras tuas epulantibus præparabat : et sicut oculus totum corpus, ad rectitudinis et veritatis semitam ostendebas.

τες τούς τε θεοφιλεῖς ἄνδρας καὶ τοποτηρητὰς ὑμῶν, ὡσαύτως καὶ τοὺς ἐκ τῆς ἀνατολῆς ἐληλυθότας, ἀφικόμεθα ἐν τῇ αὐτῇ μητροπόλει · καὶ προκαθεσθέντων [καθεσθέντων, *ἀνέγνω ὁ ἀρχαῖος ἑρμηνεὺς Ἀναστάσιος καὶ οἱ λοιποί*,] ἁπάντων ἡμῶν, κεφαλὴν ἐποιησάμεθα Χριστόν. Ἔκειτο γὰρ ἐν ἁγίῳ θρόνῳ τὸ ἅγιον Εὐαγγέλιον ἐπιφωνοῦν πᾶσιν ἡμῖν τοῖς συνελθοῦσιν ἱερουργοῖς ἀνδράσι · « Κρῖμα δίκαιον κρίνατε · » δικάσατε τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, καὶ τῇ γενομένῃ καινοτομίᾳ. Καὶ προκριθέντων ἀναγνωσθῆναι τῶν τῆς ὑμετέρας ἁγιότητος γραμμάτων, ἦμεν ἐν κοινῇ χορείᾳ ἅπαντες, τοῖς πνευματικοῖς ἐδέσμασιν ὡς καὶ βασιλικοῖς δείπνοις ἐντρυφῶντες, ἅπερ ὁ Χριστὸς διὰ τῶν σῶν γραμμάτων εὐωχουμένοις εὐτρέπιζε · καὶ ὡς ὀφθαλμὸς τὸ ὅλον σῶμα πρὸς τὴν τῆς εὐθείας καὶ ἀληθείας τρίβον ὑπεδείκνυες.

Sic ergo dirupta membra in unum conveniebant; sic vera consonantia confirmabatur ; sic catholica Ecclesia unitatem recipiebat. Cum quibus et earum quæ de orientali diœcesi missæ sunt nobis litteræ, lectione facta, integra paternæ traditionis pulchritudo demonstrabatur, ac vis veritatis roborabatur, propositis videlicet lectioni plurimis testimoniis Patrum. His itaque gestis prædicabatur a nobis omnibus, qui beneplacito Dei congregati eramus, recta et irreprehensibilis confessio, quæ nobis missa est a vobis, et per relationem etiam piis imperatoribus nostris. Et omnes hæreticæ illius pravitatis hæresiarchæ, et qui eos secuti sunt, et inconvertibiliter vitam suam finierunt, pari depositione [*hoc est*, religionis officio] damnati sunt cum his qui ante catholicæ hæretici fuerunt Ecclesiæ [in cathol. Eccl. hæreses amplexi sunt]. Qui enim in vita sua præsentes fuere, salutem suam per scriptos a se libellos confessi sunt [adhuc superstites erant, sal.] Et nequaquam dimisit Christus Deus noster, petra nimirum in qua stabiliti sumus, desuper contextam per totum tunicam, id est Ecclesiam suam, quæ ab ipso et per [*Gr.* super *necnon in cod. Jul.*] ipsum ædificata est, discissam et diruptam ; sed nec membra alias atque aliter sese moventia. Quin potius una cum veteribus hæresibus etiam errorem vanæ [*Gr.* novæ] pravitatis eorum, qui Christianos accusantes contra venerabiles imagines rabide latrant, verbo gratiæ suæ destruxit, et gladio Spiritus pupugit. Et satisfacti sumus per omnia, et per experimentum cognovimus, quia valet super omnia veritas et vincit, secundum non mentientem dicentis vocem.

Οὕτως οὖν τὰ διερρωγότα μέλη εἰς ἓν συνεβιβάζετο · οὕτως ἡ ἀληθὴς συμφωνία ἐκρατύνετο · οὕτως ἡ καθολικὴ Ἐκκλησία τὴν ἕνωσιν ἀπελάμβανε. Μεθ' ὧν καὶ τῶν ἐκ τῆς ἀνατολικῆς διοικήσεως ἀποσταλέντων ἡμῖν γραμμάτων ἡ ἀνάγνωσις γεγονυῖα τὸ ἀκραιφνὲς τῆς πατρικῆς παραδόσεως ἐδείκνυε κάλλος, καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο, προκαταρχόντων δηλονότι τῆς ἀναγνώσεως πατρικῶν χρήσεων πλείστων. Τούτων οὕτως γενομένων, ὡμολογεῖτο παρὰ πάντων ἡμῶν τῶν εὐδοκίᾳ Θεοῦ συναθροισθέντων ἡ ὀρθὴ καὶ ἀδιάβλητος ὁμολογία, ἥτις παρ' ὑμῶν ἀπεστάλη ἡμῖν, καὶ δι' ἀναφορᾶς ὑμῶν καὶ τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι. Καὶ πάντες οἱ τῆς αἱρετικῆς ἐκείνης κακίας αἱρεσιάρχαι, καὶ οἱ τούτοις ἀκολουθήσαντες, καὶ ἀδιαστρόφως τὸν βίον ἀποῤῥήξαντες, ὁμοίᾳ ἀφοσιώσει κατεδικάσθησαν τῶν πρὶν αἱρετισάντων ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ. Οἱ γὰρ τῷ βίῳ περιόντες ὡμολόγησαν τὴν σωτηρίαν δι' ἐγγράφων αὐτῶν λιβέλλων. Καὶ οὐδαμῶς εἴασε Χριστὸς ὁ Θεὸς ἡμῶν, ἡ πέτρα ἐν ᾗ ἐστηριγμένοι ἐσμὲν, τὸν ἄνωθεν ὑφαντὸν διόλου χιτῶνα, εἴτουν τὴν παρ' αὐτοῦ καὶ ἐπ' αὐτὸν οἰκοδομηθεῖσαν Ἐκκλησίαν αὐτοῦ διεσχισμένην καὶ διερρηγμένην, καὶ τὰ μέλη ἄλλοτε ἄλλως κινούμενα. Ἀλλὰ ταῖς παλαιαῖς αἱρέσεσι καὶ τὴν πλάνην τῆς καινῆς φαυλότητος τῶν Χριστιανοκατηγόρων τῶν κατὰ τῶν σεπτῶν εἰκόνων λυττησάντων, τῷ λόγῳ τῆς χάριτος αὐτοῦ ἀνέτρεψε, καὶ τῇ μαχαίρᾳ τοῦ Πνεύματος ἐξεκέντησε. Καὶ πεπληροφορήμεθα κατὰ πάντα, καὶ διὰ πείρας αὐτῆς ἔγνωμεν, ὅτι ἰσχύει ὑπὲρ ἅπαντα ἡ ἀλήθεια, καὶ νικᾷ κατὰ τὴν ἀψευδῆ τοῦ εἰπόντος φωνήν.

Resistit autem ei universorum nullus [*Gr.* omnino nihil], et est robustissima, ita ut elevetur contra omnes inimicos ; et eorum qui resistunt sibi, legiones dissolvit. Ecce enim, ecce labia quidem falsa loquentium cessaverunt, et caligo procacium vituperationum quievit ; illuxit autem veritatis dogmatum speciositas, undique abjecta hæretica infamia. Et Ecclesia ornamentum suum sortita est, et accepit requiem ex opprimentibus se dolori-

Ἀντιτάσσεται δὲ αὐτῇ τὸ σύμπαν οὐδὲν, καὶ ἔστιν εὐσθενεστάτη, ὡς ἐξανίστασθαι παντὸς ἐχθροῦ, καὶ τῶν ἀνθεστηκότων αὐτῇ διαλύει τὰς φάλαγγας. Ἰδοὺ γὰρ ἰδοὺ τὰ μὲν τῶν ψευδηγορησάντων ἤργησε χείλη, καὶ πέπαυται τῶν ἐκτόπων δυσφημιῶν ἡ ἀχλύς. Ἀνέλαμψε δὲ τῶν τῆς ἀληθείας δογμάτων τὸ κάλλος, πανταχόθεν τῆς αἱρετικῆς δυσφημίας ἐκβεβλημένης · καὶ ἡ Ἐκκλησία τὸν ἴδιον ἐκληρώσατο κόσμον, καὶ ἔλαβεν ἀνάπαυσιν ἐκ τῶν συνεχόντων πό-

[19] Joan. VII, 24

Digitized by Google

νων. Ἀσειστος γάρ ἐστι καὶ ἀκαταμάχητος, ἧς πύ- A bus. Immobilis enim est et inexpugnabilis : adversus cujus fidem portæ inferi et infidelitatis prævalere non poterunt, sicut ex Dominica voce audivimus [20]. « Et repletum est gaudio os nostrum, et lingua nostra exsultatione [21] : » et facti sumus lætantes in Ecclesia, cui præsidemus secundum Dei voluntatem. Hæc itaque facta sunt Christo, qui super omnia Deus noster est, volente, per orthodoxos et fortissimos imperatores nostros. Ipsi enim in omni loco venerabiles imagines erexerunt, tam scilicet in celeberrimis templis, quam in regalibus palatiis suis. Quibus Dominus Deus vicissitudinem tribuat, exaltans cornu regni eorum tam ad pacem Ecclesiarum suarum, quam ad salutem omnium Christianorum. Et sit nomen ejus benedictum in sæcula sæculorum. Amen.

λαι ᾄδου καὶ ἀπιστίας οὐ κατισχῦσαί ποτε δυνήσονται, ὡς ἐκ τῆς Κυριακῆς φωνῆς ἠκούσαμεν. « Καὶ ἐπληρώθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως · » καὶ ἐγενήθημεν εὐφραινόμενοι ἐν τῇ Ἐκκλησίᾳ ᾗ προκαθεζόμεθα κατὰ Θεοῦ βούλησιν. Ταῦτα οὖν γεγόνασι, Χριστοῦ τοῦ ἐπὶ πάντων ἡμῶν Θεοῦ εὐδοκήσαντος, διὰ τῶν ὀρθοδόξων καὶ ἀνδρειοτάτων ἡμῶν βασιλέων. Αὐτοὶ γὰρ κατὰ παντὸς τόπου τὰς σεπτὰς εἰκόνας ἀνέστησαν, ἔν τε σεβασμίοις ναοῖς, καὶ ἐν ταῖς αὐλαῖς τῶν βασιλείων αὐτῶν. Οἷς Κύριος ὁ Θεὸς τὴν ἀντίδοσιν παράσχοι, ὑψῶν τὸ κέρας τῆς βασιλείας αὐτῶν πρός τε εἰρήνην τῶν Ἐκκλησιῶν αὐτοῦ, καὶ σωτηρίαν πάντων ἡμῶν τῶν Χριστιανῶν. Εἴη τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων. B Ἀμήν.

Γ'.

Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ, κυρίῳ Ἀδριανῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Ταράσιος ἀνάξιος ἐπίσκοπος Κωνσταντινουπόλεως ἐν Κυρίῳ χαίρειν.

Πολυμερῶς καὶ πολυτρόπως, εὐαγγελικῶς, ἀποστολικῶς τε καὶ πατρικῶς διδασκόμεθα ἀφιλάργυρον τρόπον ἔχειν ἐν τῇ τῆς ἱερωσύνης ἁγιστείᾳ, καὶ μὴ χρυσίζεσθαι ἢ ἀργυρίζεσθαι ἢ σφετερίζεσθαι ἐπὶ χειροτονίᾳ παντὸς ἱερατικοῦ ἀνδρὸς, ὡς ὑποδείξομεν ἐν ταῖς καθυποτεταγμέναις χρήσεσιν ἀπό τε γραφικῶν θεηγοριῶν καὶ πατρικῶν διδασκαλιῶν. Οἱ γὰρ ἐπιτιθέντες τὰς χεῖρας, ὑπηρέται τοῦ Πνεύματός εἰσιν, οὐχὶ πράται τοῦ Πνεύματος. Δωρεὰν γὰρ λαβόντες τὴν χάριν τοῦ Πνεύματος, δωρεὰν δίδοσθαι τοῖς παρ' αὐτῶν μεταλαμβάνουσιν ἀπεφήναντο ἐκ τῆς κυριακῆς φωνῆς ταύτην τὴν ἐλευθεριότητα εἰληφότες. Εἰ δέ τις ἐλεγχθείη χρυσίῳ ταύτην ὠνησάμενος, ἀποκήρυκτον διαγορεύουσι τὸν τοιοῦτον τῆς ἱερατικῆς τάξεως [ἀξίας]. Εἰ γὰρ καὶ ὀνόματι τὴν ἱερωσύνην κεκλήρωται, ἀλλ' οὖν διαψεύδεται ὁ λόγος ἐπὶ τῷ πράγματι. Οὐδεὶς γὰρ Θεῷ δουλεύειν δύναται καὶ μαμμωνᾷ, ὡς εὐαγγελικῶς ἐμάθομεν. Καὶ ἐπεὶ ἠκούσαμεν προφητικῶς τοῦ Θεοῦ βοῶντος, « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ · » αὖθίς τε ἐπαπειλοῦντος καὶ λέγοντος · « Ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχὴν, τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω · » φόβον τοῦ τῆς σιωπῆς κατακρίματος ἀναγγέλλομεν τοῖς προέδροις πᾶσι τῶν καθ' ἡμᾶς Ἐκκλησιῶν, ἵνα μετὰ παῤῥησίας κατὰ τὸν θεῖον Ἀπόστολον εἴπωμεν · Καθαροί ἐσμεν ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, καὶ πάνυγε μᾶλλον τῶν ἐπὶ χρήμασιν ἢ χειροτονησάντων ἢ χειροτονηθέντων. Πέτρου τοῦ θείου ἀποστόλου, οὗ καὶ τὴν καθέδραν ἐκληρώσατο ἡ ἀδελφικὴ ὑμῶν ἁγιότης, ὡς Σίμωνα τὸν μάγον

III.

Per omnia sanctissimo et beatissimo fratri et comministro Adriano papæ senioris Romæ Tarasius indignus episcopus Constantinopoleos novæ Romæ in Domino salutem (3).

Multifarie multisque modis, evangelice simul et apostolice atque paterne docemur sine avaritia habere mores in sacerdotii sanctificatione, et non aurum, non argentum, aut aliquid aliud usurpare super manus impositione omnis sacrati viri, quemadmodum ostendemus in ordinatis inferius testimoniis, tam ex Scripturæ divinæ assertionibus, quam ex paternis magisteriis assumptis. Qui enim manus imponunt, ministri sunt Spiritus, non venditores Spiritus ; gratis quippe accipientes gratiam Spiritus, gratis his qui a se percipiunt, dare præcipiuntur, ex Dominica voce hanc libertatem [*Gr.* liberalitatem] adepti. Si quis autem convictus fuerit pecunia hanc obtinuisse, abjectum fore ab ordine sancto promulgant hujusmodi : et licet nomine sacerdotium sortiatur, sed fallitur sermo in causa [in re]. Nemo enim servire potest Deo et mammonæ, sicut ex Evangelio didicimus [22]. Quia vero prophetice audivimus Deo clamante : « Sacerdotes, loquimini ad cor Jerusalem [23] ; » rursusque comminante atque dicente : « Speculator si viderit gladium venientem, et non insonuerit tuba, et populus se non custodierit ; et veniens gladius acceperit ex eis animam, sanguinem de manu speculatoris requiram [24]. » Timorem ex silentio damnationis denuntiamus præsulibus omnibus Ecclesiarum quæ apud nos sunt, ut cum fiducia secundum divinum Apostolum [25] dicamus : Mundi sumus a sanguine prævaricantium canonicas dispositiones, et multo magis eorum qui per pecunias manus imposuerunt vel imponunt [*Gr.* vel manus impositionem acceperunt] ; Petro divino apostolo, cujus cathedram sortita est fraterna sanctitas vestra, hos tanquam

[20] Matth. xvi, 18. [21] Psal. cxxv, 5. [22] Matth. vi, 24. [23] Isa. xl, 2. [24] Ezech. xxxiii, 6. [25] Act. xx, 26, 27.

(3) Est in libro Juris Græco-Romani Gr. et Lat. ex alia versione. Hard.

Digitized by Google

Simonem Magum deponente. Hujus rei gratia non subterfugimus, quo minus annuntiemus veritatem, custodientes et tenentes quæ a sanctis et laudatissimis apostolis, et memorabilibus Patribus nostris canonice sunt prolata : et hos qui quid horum contempserint, abominamur. Igitur fraterna et summo sacerdotio decorata sanctitas vestra, jure ac secundum Dei voluntatem pontificalem ordinans pietatem [*Gr.* sacrum hierarchicum gubernans ordinem], opinatissimam habet gloriam. Dixit enim per prophetam primus et magnus summus sacerdos Christus Deus noster : « Vivo ego, sed glorificantes me glorificabo [26]. » Nosti enim, vir desideriorum Spiritus, quia tolerabilior est Macedonii et eorum qui circa ipsum sunt, Spiritus impugnatorum impia hæresis. Illis enim creaturam et servum Dei ac Patris Spiritum delire fatentibus, isti sui ipsius eum, ut autumant, servum efficiunt. Omnis enim dominus quod habuerit, si voluerit, venumdat, sive servum, sive aliud quid eorum quæ possidet. Similiter et qui emit, dominus volens esse ejus quod emerit, per pretium pecuniæ illud acquirit. Ita et qui hanc iniquam actionem operantur, detrahunt Spiritui sancto, æqualiter peccantes his qui blasphemant, dicentes in Beelzebub ejicere dæmonia Christum [27]. Atque ut verius dicamus, Judæ comparantur traditori, qui Dei occisoribus Judæis pretio argenti Christum venumdedit. Cum ergo sanctus Spiritus consubstantialis sit Christo Deo nostro, ejusdem omnino et ipsi portionis erunt, ut ostensum est. Si vero non venditur, (perspicuum enim est, quod nullo modo) non est procul dubio in eis gratia Spiritus sancti, id est, sacerdotii sanctitas. Nam quod non acceperunt, non habent. Memores ergo sint sancti Petri, ad eum qui hoc studebat ita dicentis : « Non est tibi pars, neque sors in sermone hoc [28]. « Si enim venumdatur sacerdotii dignitas, ergo superflua est apud ipsos vitæ probabilis actio, et in castitate aliisque virtutibus conversatio. Superfluus est secundum ipsos etiam Paulus divinus apostolus docens, oportere « episcopum irreprehensibilem « sse, prudentem, ornatum, doctorem, continentem, sobrium, amplectentem eum qui secundum doctrinam est fidelem sermonem, ut potens sit exhortari in doctrina sana, et eos qui contradicunt arguere [29]. » Proferuntur [Evanescunt] igitur hæc omnia de venditore ac emptore beneficii [sacerdotii]. Porro subjecta sanctorum testimonia alienum omnino a sacerdotio pronuntiant eum qui dederit aliquando vel acceperit in aliquo tempore, sive scilicet ante manus impositionem, sive in manus impositione, sive post manus impositionem. Accipere est enim, accipere quandocunque. Sed et omnes promotiones ecclesiasticas auferunt in datione pecuniarum.

A τούτους καθελόντος. Τούτου ἕνεκεν οὐχ ὑποστελλόμεθα τοῦ ἀγγέλλειν τὴν ἀλήθειαν, φυλάττοντες καὶ κρατοῦντες τὰ παρὰ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τῶν ἀοιδίμων Πατέρων ἡμῶν κανονικῶς ἐκδοθέντα · καὶ εἴ τι τούτων παρεβάθη ὑπό τινων, βδελυττόμεθα. Ἡ οὖν ἀδελφικὴ ὑμῶν ἀρχιεροπρεπὴς ἁγιωσύνη ἐνθέσμως καὶ κατὰ Θεοῦ βούλησιν πρυτανεύουσα τὴν ἱεραρχικὴν ἁγιστείαν, διαβόητον ἔχει τὴν δόξαν. Εἴρηκε γὰρ διὰ τοῦ προφήτου ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς Χριστὸς ὁ Θεὸς ἡμῶν · « Ζῶ ἐγὼ, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω. » Οἶδας γὰρ, ἀνερ ἐπιθυμιῶν τοῦ Πνεύματος, ὅτι φορητοτέρα μᾶλλόν ἐστι Μακεδονίου καὶ τῶν ἀμφ' αὐτὸν Πνευματομάχων ἡ δυσσεβὴς αἵρεσις. Ἐκείνων γὰρ κτίσμα καὶ δοῦλον τοῦ Θεοῦ καὶ B Πατρὸς τὸ ἅγιον Πνεῦμα ληρῳδούντων, οὗτοι ἑαυτῶν, ὡς δοκοῦσι, δοῦλον αὐτὸ ποιοῦσι. Πᾶς γὰρ δεσπότης ὅ τι ἂν ἔχοι, εἰ βούλοιτο, πιπράσκει, εἴτε οἰκέτην, εἴτε ἕτερον ὧν κέκτηται · ὡσαύτως καὶ ὁ ἀγοράζων, δεσπότης βουλόμενος εἶναι τοῦ ἠγορασμένου, διὰ τιμῆς ἀργυρίου τοῦτο κτᾶται. Οὕτως οἱ ταύτην τὴν ἄθεσμον πρᾶξιν ἐργαζόμενοι, καταβιβάζουσι τὸ Πνεῦμα τὸ ἅγιον, ἴσα ἁμαρτάνοντες τοῖς βλασφημοῦσιν, ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια τὸν Χριστόν. Ἤ τόγε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδᾳ τῷ προδότῃ, ὃς τοῖς θεοκτόνοις Ἰουδαίοις τιμῆς ἀργυρίου Χριστὸν ἀπεμπολήσατο. Ὡς οὖν τὸ ἅγιον Πνεῦμα ὁμοούσιόν ἐστι Χριστῷ τῷ Θεῷ ἡμῶν, τῆς αὐτῆς παντί που δῆλον ἔσονται μερίδος, ὡς ἀποδέδεικται. Εἰ δὲ οὐ C πιπράσκεται · πρόδηλον γὰρ οὐδαμῶς · ἀναμφιλέκτως οὐκ ἔστιν ἐν αὐτοῖς ἡ χάρις τοῦ ἁγίου Πνεύματος, εἴτουν ἡ τῆς ἱερωσύνης ἁγιστεία. Καὶ ὃ οὐκ ἔλαβον, οὐδὲ ἔχουσι. Μνησθήτωσαν τοῦ ἁγίου Πέτρου πρὸς τὸν τοῦτο ἐπιτηδεύσαντα οὕτωσὶ λέγοντος, « Οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. » Εἰ γὰρ ἀπεμπολεῖται ἡ τῆς ἱερωσύνης ἀξία, ἄρα περιττὴ παρ' αὐτοῖς ἡ κατὰ τὸν βίον σεμνὴ πολιτεία, καὶ ἡ ἐν ἁγνείᾳ καὶ ἀρεταῖς ἀναστροφή. Περιττὸς κατ' αὐτοὺς καὶ Παῦλος ὁ θεῖος ἀπόστολος διδάσκων, δεῖν « τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, σώφρονα, κόσμιον, διδακτικὸν, ἐγκρατῆ, νηφάλιον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδα- D σκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. » Οἴχεται τοίνυν ταῦτα πάντα ἐκ τοῦ πράτου καὶ ἀγοραστοῦ τῆς ἱερωσύνης · αἱ οὖν ὑποκείμεναι ἀγιόλεκτοι χρήσεις ἀλλότριον πάντη τῆς ἱερωσύνης ἀποφαίνονται τόν ποτε δόντα ἢ λαβόντα ἐν οἱῳδήποτε χρόνῳ, εἴτε καὶ πρὸ τῆς χειροτονίας, εἴτε καὶ ἐν τῇ χειροτονίᾳ, ἢ καὶ μετὰ τὴν χειροτονίαν. Λαβεῖν γάρ ἐστι, τὸ λαβεῖν ὁτεδήποτε. Ἀλλὰ καὶ πάσας ἐκκλησιαστικὰς προβολὰς ἀφαιροῦσιν ἐπὶ τῇ τῶν χρημάτων δόσει.

[26] I Reg. II, 30. [27] Luc. II, 15. [28] Act. VIII, 21. [29] I Tim. III, 2 ; Tit. I,

Digitized by Google

Κανὼν τῶν ἁγίων ἀποστόλων κθ'.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας· καὶ ἐκκοπτέσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.

Canon sanctorum apostolorum 29.

Si quis episcopus, aut presbyter, aut diaconus per pecunias hanc obtinuerit dignitatem, dejiciatur et ipse et ordinator ejus, et a communione modis omnibus abscindatur, sicut Simon Magus a me Petro.

Ἐκ τῶν Πράξεων τῶν ἁγίων ἀποστόλων.

« Ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων, Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν· Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. »

De Actibus apostolorum.

« Cum vidisset autem Simon, quia per impositionem manus apostolorum daretur Spiritus sanctus, obtulit eis pecuniam, dicens : Date et mihi hanc potestatem, ut cuicunque imposuero manus, accipiat Spiritum sanctum. Petrus autem dixit ad eum : Pecunia tua tecum sit in perditionem, quia donum Dei existimasti pecunia possidere. Non est tibi pars, neque sors in sermone isto : cor enim tuum non est rectum coram Deo. Pœnitentiam itaque age ab hac nequitia tua, et roga Deum, si forte remittatur tibi hæc cogitatio cordis tui. In felle enim amaritudinis et obligatione iniquitatis video te esse [30]. »

Ἐκ τῆς τρίτης τῶν Βασιλειῶν.

« Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ· καὶ ἐπέστρεψε, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν. Ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγίνετο ἱερεὺς εἰς τὰ ὑψηλά. Καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς. »

Ex libro tertio Regnorum.

« Non est reversus Jeroboam de via sua pessima, sed e contrario fecit de novissimis populi sacerdotes excelsorum. Quicunque volebat, implebat manum suam et fiebat sacerdos excelsorum, et propter hanc causam peccavit domus Jeroboam, et eversa est, et deleta desuper facie terræ [31]. »

Ἐκ τῆς δ' τῶν Βασιλειῶν, περὶ τῆς λέπρας Γιεζῆ.

Ex libro quarto Regnorum, de lepra Giezi.

« Καὶ ἐπέστρεψε Νεεμὰν πρὸς Ἐλισσαιὲ αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ· καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ. Καὶ εἶπεν· Ἰδοὺ δὴ ἔγνωκα, ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ' ἢ ἐν τῷ Ἰσραήλ. Καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. Καὶ εἶπεν Ἐλισσαιέ· Ζῇ Κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι. Καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. » Καὶ μετ' ὀλίγα· « Καὶ εἶπε Γιεζῆ τὸ παιδάριον Ἐλισσαιέ· Ἰδοὺ ἐφείσατο ὁ κύριός μου τοῦ Νεεμὰν τοῦ Σύρου, τοῦ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ὧν ἐνήνοχε. Ζῇ Κύριος, εἰ μὴ δράμωμαι ὀπίσω αὐτοῦ, καὶ λήψωμαι παρ' αὐτοῦ τι. Καὶ ἐδίωξε Γιεζῆ ὀπίσω Νεεμάν. » Καὶ μετὰ βραχέα· « Καὶ εἶπε Νεεμάν· Λάβε δὴ τάλαντον ἀργυρίου, Καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλακίοις, καὶ δύο ἁλασσομένας στολάς. » Καὶ μεθ' ἕτερα· « Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιέ· Πόθεν Γιεζῆ; καὶ εἶπε Γιεζῆ· Οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα. Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιέ· Οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ, καὶ οἶδα, ὅτε ἀπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συνάντησίν σου; Καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ νῦν ἔλαβες καὶ τὰ ἱμάτια· καὶ λήψῃ ἐν αὐτῷ κήπους, καὶ ἐλαιῶνα, καὶ ἀμπελῶνα, καὶ πρόβατα, καὶ βόας, καὶ παῖδας, καὶ παιδίσκας· καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. Καὶ ἐξῆλθεν ἐκ τοῦ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών. »

« Reversusque Naaman ad virum Dei cum universo comitatu suo, venit et stetit coram eo, et ait : Vere scio quod non sit Deus alius in universa terra, nisi tantum in Israel. Obsecro itaque, ut accipias benedictionem a servo tuo. At ille respondit : Vivit Dominus, ante quem sto, quia non accipiam. Cumque vim faceret, penitus non acquievit [32]. » Et post pauca : « Dixitque Giezi puer viri Dei : Pepercit dominus meus Naaman Syro isti, ut non acciperet ab eo quæ attulit. Vivit Dominus, quia curram post eum, et accipiam ab eo aliquid. Et secutus est Giezi post tergum Naaman [33]. » Et post pauca : « Et dixit Naaman : Accipe talentum argenti ; et coegit eum, ligavitque duo talenta argenti in duobus saccis, et duplicia vestimenta [34]. » Et post alia : « Et dixit Elisæus : Unde venit Giezi ? Qui respondit : Non ivit servus tuus quoquam. At ille ait : Nonne cor meum in præsenti erat, quando reversus est homo de curru suo in occursum tui ? Nunc igitur accepisti argentum, et accepisti vestes : ut emas oliveta, et vineas, et oves, et boves, et servos, et ancillas : sed lepra Naaman adhærebit tibi et semini tuo in sempiternum. Et egressus est ab eo leprosus quasi nix [35]. »

[30] Act. VIII, 18-23. [31] III Reg. XII, 34, 31. [32] IV Reg. V, 15, 16. [33] ibid. 20. [34] ibid 23. [35] ibid. 25-27.

Digitized by Google

Ex sancti Basilii episcopi interpretatione in Isaiam [36].

Legem dedit in adjutorium, ut dicant ; non sicut hoc de quo non licet dare munera [37]. Hæc vero lex non est sicut verbum hoc quod est in ventriloquo : non enim ad deceptionem excogitata est, sicut illa, sed magistra est veritatis : et illi quidem in argento divinant. Hoc enim est quod deridetur, quia et argentum eis tribuunt mercedem fallaciæ hi qui decipiuntur. Hoc autem verbum, id est legis, non est tale, ut munera dent pro eo. Nemo enim gratiam Dei venumdat : « Gratis, inquit, accepistis, gratis date [38]. » Vides, qualiter indignatus Petrus sit contra Simonem, pecunias pro Spiritus sancti gratia offerentem ? « Pecunia tua, inquit, tecum sit in perditionem, quia existimasti donum Dei per pecuniam possidere [39] : » Non est ergo Evangelii sermo, sicut verba quæ venduntur a ventriloquis. Quid enim dabit quisquam dignum pro eis in commutationem ? Audi David hæsitantem atque dicentem : « Quid retribuam Domino pro omnibus quæ retribuit mihi [40] ? » Non possunt ergo munera dari de hoc condigna gratiæ, quæ ab ipso est. Unum est donum dignum, custodia videlicet ejus quod donatum est. Qui dedit tibi thesaurum, non pretium repetit dati, sed custodiam dignam ejus quod datum est.

Ejusdem ex epistola ad episcopos destinata qui sub ipso erant, ut non manus imponerent per pecunias.

Existimant se non peccare, quia non pariter cum manus impositione munus accipiunt. Accipere autem est, quandocunque accipiatur. Rogo ergo, ut hanc oblationem, imo vero terrenum commodum [inductionem in gehennam] deponatis, et ne manus talibus contaminantes acceptionibus, vosmetipsos indignos faciatis celebrandi sancta mysteria.

De vita sancti Joannis Aurei Oris.

Accessit ille qui longæ nobis erat disputationis auctor, ad episcopos omnes, Eusebius videlicet accusator sex reliquorum episcoporum et postulans ut susciperetur in communionem. Contradicunt quidam episcoporum, non oportere illum in [ut] calumniatorem admitti. In his supplicavit dicens : Quoniam litis [lis] majorem partem per duos annos examinavit [examinata est], et dilatio [causa] ad testes effecta est, deprecor vestram Deo amabilitatem, ut mihi ab eo testes [*Gr.* ut a me testes] hodie tribuantur. Nam si et Antonius episcopus mortuus est, qui accepto auro promovit ; sed manent qui dederunt et ordinati sunt. Sanxit præsens concilium, ut requiratur negotium : inchoatur causa ex lectione monumentorum quæ primitus gesta sunt. Ingressi sunt testes : ingressi sunt et sex qui dederunt et ordinati sunt : in initio nega-

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς εἰς τὸν Ἡσαΐαν ἑρμηνείας.

Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν, οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. Οὗτος δὲ ὁ νόμος οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἐγγαστριμύθου· οὐ γὰρ πρὸς ἀπάτην ἐπινενόηται, ὥσπερ ἐκεῖνα, ἀλλὰ ἀληθείας ἐστὶ διδάσκαλος. Κἀκεῖνοι μὲν ἐπ' ἀργυρίῳ μαντεύονται· τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι ἀργύριον αὐτοῖς τελοῦσι μισθὸν τοῦ ψεύδους οἱ ἀπατώμενοι. Τοῦτο δὲ τὸ ῥῆμα, τουτέστι τοῦ νόμου, οὐκ ἔστι τοιοῦτον, ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ. Οὐδεὶς γὰρ τὴν χάριν τοῦ Θεοῦ ἀποδίδοται, « Δωρεὰν, φησὶν, ἐλάβετε, δωρεὰν δότε. » Ὁρᾷς πῶς ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι ἀργύριον ὑπὲρ τῆς τοῦ Πνεύματος χάριτος προσκομίσαντι ; « Τὸ ἀργύριόν σου, φησὶ, σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι. » Οὐκ ἔστιν οὖν ὁ τοῦ Εὐαγγελίου λόγος ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων. Τί γὰρ ἂν τις δοίη ἄξιον αὐτῶν ἀντάλλαγμα ; Ἄκουε τοῦ Δαβὶδ ἀποροῦντος καὶ λέγοντος· « Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι ; » Οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς ἀπ' αὐτοῦ χάριτος. Ἓν δῶρον ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος. Ὁ δούς σοι τὸν θησαυρὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

Νομίζουσι μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα προσλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν. Λαβεῖν δέ ἐστιν ὁτεδήποτε τὸ λαβεῖν. Παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε, καὶ μὴ τὰς χεῖρας μολύνοντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος ὁ κατήγορος ἑξῶν ἐξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. Προσαντιλέγουσί τινες τῶν ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην. Ἐπὶ τούτοις ἱκέτευε λέγων· Ἐπειδὴ ἡ δίκη τὸ πλεῖστον μέρος ἐπὶ ἔτη δύο ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγένηται ἡ ὑπόθεσις [ὑπέρθεσις], δέομαι τῆς ὑμετέρας θεοφιλίας, σήμερον παρ' αὐτὰ δοῦναί με τοὺς μάρτυρας. Εἰ γὰρ καὶ Ἀντωνῖνος τετελεύτηκεν ὁ ἐπίσκοπος, ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ' οὖν γε μένουσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες. Ἐδικαίωσεν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα. Ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνώσματος τῶν πρώην πραχθέντων ὑπομνημάτων. Εἰσῆλθον οἱ μάρτυρες, εἰσῆλθον καὶ οἱ ἐξ τῶν δεδωκότων καὶ χειροτονηθέντων. Ἐν ἀρχῇ ἠρνοῦντο. Ἐπιμενόντων δὲ τῶν μαρτύρων,

[36] In cap. VIII, post medium. [37] Isa. VIII, 30, ex Græco. [38] Matth. X, 8. [39] Act. VIII, 27. [40] Psal. CXV, 12.

Digitized by Google

τῶν μὲν λαϊκῶν, τῶν δὲ πρεσβυτέρων, οἷς ἔδο- A
ξαν τεθαρρηκέναι· τινῶν δὲ καὶ γυναικῶν, καὶ τὰ εἴδη τῶν ἐνεχύρων λεγόντων, τοὺς τόπους, καὶ τοὺς καιροὺς, καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς αὐτῶν διακειμένης τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης· ὅτι δεδώκαμεν, ὁμολογοῦμεν, καὶ γεγόναμεν τοιαύτην νομίσαντες ἀκολουθίαν εἶναι. Ἵνα δόξωμεν τῆς βουλῆς τῆς δημοσίας ἐλευθεροῦσθαι. Καὶ νῦν δεόμεθα, εἰ μέν ἐστιν ὅσιον ἡμᾶς εἶναι ἐν τῇ λειτουργίᾳ τῆς ἐκκλησίας· ἐπεὶ κἂν τὸ χρυσίον ὃ δεδώκαμεν, ἵνα λάβωμεν. Τῶν γὰρ γυναικῶν ἡμῶν δεδώκαμέν τινα σκεύη. Ἰωάννης πρὸς ταῦτα ὑπέσχετο τῇ συνόδῳ, ὅτι Τοῦ μὲν βουλευτηρίου ἐγὼ αὐτοὺς σὺν Θεῷ ἀπαλλάσσω, ἀξιώσας τὸν βασιλέα· ὑμεῖς δὲ προστάξατε B
αὐτοὺς λαβεῖν ἃ δεδώκασι παρὰ τῶν Ἀντωνίνου κληρονόμων. Προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον αὐτοὺς λαβεῖν παρὰ τῶν κληρονόμων Ἀντωνίνου, κοινωνεῖν δὲ ἔνδον τοῦ θυσιαστηρίου, εἶναι δὲ ἀπὸ ἱερέων· ἵνα μὴ τούτων συγχωρηθέντων, ἔθος γένηται Ἰουδαϊκὸν ἢ Αἰγύπτιον τοῦ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. Φασὶ γὰρ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων κατ' ἔτος ἀμείβειν, ἢ καὶ παρ' ἔτος τοὺς ἀρχισυναγώγους, ἐπὶ συλλογῇ τοῦ ἀργυρίου· ὁμοίως καὶ τὸν ζηλωτὴν τούτου τῶν Αἰγυπτίων πατριάρχην· ἵνα πληρωθῇ τὸ προφητικόν· « Οἱ ἱερεῖς αὐτῆς μετὰ δώρων ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο. »

Ἐκ τῶν κανόνων τῶν ἑξακοσίων τριάκοντα ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων, κανὼν δεύτερος. C

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πράσιν καταγάγῃ τὴν ἄπρατον χάριν, καὶ χειροτονήσῃ ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, καὶ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, καὶ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος, δι' αἰσχροκέρδειαν οἰκείαν, ὁ τοῦτο ἐπιχειρήσας, ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος, μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗπερ ἐπὶ χρήμασιν ἔτυχεν, εἰ δέ τις καὶ μεσιτεύων φανείη D
τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ· εἰ δὲ λαϊκὸς ἢ μονάζων, ἀναθεματιζέσθω.

Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς Γενναδίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, καὶ τῆς σὺν αὐτῷ συνόδου.

Ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ τε κτᾶσθαι ταύτην τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη· κἂν ἐλέγχοιτο, κἂν

bant. Cumque permanerent testes tam laici quam presbyteri, quibus visum fuerat fidenter [*Gr.* visi fuerant confidere] esse credendum; quædam autem et mulieres: etiam species pignorum præfati, et loca, et tempora, et quantitatem; non admodum bene conscientia sua disposita, ultronei confitentur absque multa necessitate· Quia dedimus, confitemur, et facti sumus, talem existimantes consequentiam [consuetudinem] esse, ut videremur a curia publica liberari. Et nunc obsecramus, ut si quidem justum est nos esse in ministerio ecclesiæ simus: sin autem, saltem aurum quod dedimus, recipiamus: nam uxorum nostrarum quædam dedimus vasa. Joannes ad hæc repromittebat concilio, quia a curia quidem ego eos cum Deo liberabo, postulans imperatorem: vos autem præcipite accipere illos quod dederunt, ab hæredibus Antonini. Præcepit synodus aurum quidem eos recipere ab hæredibus Antonini, communicare autem intra altare, et esse privatos sacerdotio: ne istis indulgentiam consecutis, consuetudo fieret Judaica vel Ægyptia vendendi sacerdotium, vel emendi. Aiunt enim pestilentem et falsidicum patriarcham Judæorum per singulos annos vel infra, archisynagogos per vices constituere causa colligendæ pecuniæ: similiter et æmulatorem hujus, Ægyptiorum scilicet patriarcham; ut impleatur illud propheticum: « Sacerdotes ejus cum muneribus respondebant, et prophetæ illius cum argento divinabant [61]. »

Ex canonibus sexcentorum triginta sanctorum Patrum, qui Chalcedone convenerunt, regula secunda.

Si quis episcopus per pecunias fecerit ordinationem, et sub pretio redegerit gratiam quæ non potest vendi, ordinaveritque per pecuniam episcopum, vel chorepiscopum, vel presbyterum, aut diaconum, vel quemlibet ex his qui connumerantur in clero; aut promoverit per pecunias dispensatorem, aut defensorem, vel mansionarium, aut quemquam qui subjectus est regulæ, pro sui turpissimi lucri commodo: is quem hoc attentasse probatum fuerit, proprii gradus periculo subjacebit: et qui ordinatus est, nihil ex hac ordinatione aut promotione, quæ per negotiationem facta est, proficiat, sed sit alienus ea dignitate et sollicitudine, quam pecuniis quæsivit. Si quis vero mediator tam turpibus et nefandis datis vel acceptis exstiterit, si quidem clericus fuerit, proprio gradu decidat, si vero laicus aut monachus, anathematizetur.

Ex synodica epistola Gennadii sanctissimi archiepiscopi Constantinopoleos, et synodi quæ cum eo erat.

Sit igitur, et est abjectus, et ab omni sacerdotali dignitate atque officio alienus, et maledictioni anathematis subditus, tam qui possidere hoc sacerdotium per pecunias opinatur, quam is qui præbere id propter pecunias pollicetur, sive clericus, sive laicus sit: sive convictus, sive non fuerit

[61] Mich. III, 11.

Digitized by Google

convictus hoc facere : non est enim possibile convenire inconvenientia, neque cum Deo concordare mammona, vel eos qui huic serviunt, servire Deo [42]. Dominica est etiam sententia hæc quæ incunctanter asserit non posse Deo servire et mammonæ [43].

Ex canonibus sanctæ sextæ synodi regula vicesima secunda [44].

Eos qui per pecunias ordinati sunt, sive episcopi, sive quicunque clerici, et non secundum probationem et vitæ optionem, deponi præcipimus : sed et illos qui hos ordinasse noscuntur. Audiamus hæc omnia, et auribus percipiamus, non solum summi sacerdotes et sacerdotes et qui in clero connumerantur, sed et omnes qui orbem habitamus terrarum. Oportet enim abundantius nos intendere his quæ audiuntur, ne forte defluamus : « Quia non corruptibilibus argento et auro redempti sumus de vana nostra traditionis paternæ conversatione, sed pretioso sanguine agni immaculati et incontaminati Jesu Christi [45]. » Sic nos doceto, vir sacratissime, sequi divinam Scripturam, et evangelica, apostolica, canonica, et paterna præcepta. Obedimus enim verbis oris vestri. « Super excelsa conscende, exalta in fortitudine vocem tuam [46] : » abi in latitudine, prædica cum fiducia, ut auferatur et in abolitionem veniat impositio manus quæ per pecunias fit : necnon et quidquid hanc propter avaritiam, injustitiam et acquisitionem, turpis lucri gratia sequitur. Hac enim una cum his quæ cum illa conveniunt, a populo acquisitionis qui nomine Christi censetur, et gratis consecutus est redemptionem, ablata, omnia contagia quæ nequitiam sequuntur, radicitus amputabuntur, et sacerdotes ut palma florebunt, Christi odorem his qui salvi fiunt inspirantes, et Ecclesiæ triumphale carmen canentes : Abstulit Dominus injustitias tuas ex te. Quin et eos qui carpunt dulcedine replentes, et multiplicantes illos in terra pingui [47], longævæ, inquam, illius vitæ ac incorruptibilis hæredes monstrantes.

IV.

Deo colendissimo [48] *comministro domino Joanni presbytero et hegumeno seu anachoretæ* [49], *Tarasius indignus episcopus Constantinopoleos novæ Romæ in Domino salutem.*

Qui ex fluentis divini Spiritus irrigatus, et inspiratione hujus est illustratus, David ille scilicet inter reges propheta et inter prophetas rex, laudans dicebat : « Initio cognovi de testimoniis tuis, quoniam in æternum fundasti ea [50]. » Sine mendacio itaque his qui intellectum habent, est hymnodia hæc, et firma his qui concinunt eam. Ait enim inspector Dei Moyses de omni divinæ Scripturæ affatu : « In illis non est addere, et ab illis non est auferre [51]. »

μὴ ἐλέγχοιτο τοῦτο ποιεῖν. Οὐ γὰρ οἷόν τε συμβαθῆναί ποτε τὰ ἀσύμβατα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν μαμμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας δουλεῦσαι Θεῷ. Δεσποτικὴ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος, οὐ δύνασθαι Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.

Ἐκ τῶν κανόνων τῆς ἁγίας ἕκτης συνόδου κανὼν κβ'.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους, ἢ οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάσσομεν· ἀλλὰ καὶ τοὺς χειροτονήσαντας. Ἀκούσωμεν ταῦτα πάντα, καὶ ἐνωτισώμεθα, οὐ μόνον ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ οἱ τῷ κλήρῳ κατηριθμημένοι, ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Δεῖ γὰρ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή- B ποτε παραῤῥυῶμεν· « Ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἠγοράσθημεν ἐκ τῆς ματαίας πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι Ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Ἰησοῦ Χριστοῦ. » Οὕτως ἡμᾶς δίδαξον, ἄνερ ἱερώτατε, ἕπεσθαι τοῖς Γραφικοῖς καὶ εὐαγγελικοῖς, ἀποστολικοῖς, κανονικοῖς τε καὶ Πατρικοῖς παραγγέλμασι. Πειθόμεθα γὰρ τοῖς ῥήμασι τοῦ στόματος ὑμῶν· « Ἐπὶ τῶν ὑψηλῶν ἀνάβηθι, ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου· » πορεύθητι ἐν πλατυσμῷ· κήρυξον μετὰ παῤῥησίας, ὅπως ἐξαρθῇ καὶ εἰς ἀφανισμὸν οἰχήσηται ἡ διὰ χρημάτων χειροθεσία, καὶ πᾶν εἴτι ταύτῃ διὰ φιλαργυρίαν, ἀδικίαν τε καὶ ἐμπορίαν αἰσχροκερδῶς παρέπεται. Ταύτης γὰρ μετὰ τῶν συστοιχούντων αὐτῇ ἐξαιρουμένης C ἐκ τοῦ περιουσίου λαοῦ, τοῦ τῷ ὀνόματι τοῦ Χριστοῦ κεκλημένου, καὶ δωρεὰν τυχόντος τῆς ἀπολυτρώσεως, πάντα τὰ τῇ κακίᾳ συνεπόμενα μιάσματα πρόῤῥιζον συνεκτμηθήσονται, καὶ οἱ ἱερεῖς ὡς φοίνιξ ἀνθήσουσι, Χριστοῦ εὐωδίαν τοῖς σωζομένοις ἐμπνέοντες, καὶ τῇ Ἐκκλησίᾳ ἐπινικίως προσᾴδοντες. Περιεῖλε Κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου. Ἔτι τε καὶ τοὺς δρεπομένους γλυκάζοντες, πληθύνοντές τε αὐτοὺς ἐν γῆρᾳ πίονι, τῆς μακαρίας [μακραίωνος] ἐκείνης, λέγω, καὶ ἀκηράτου ζωῆς κληρονόμους ἀναδεικνύοντες.

Δ'.

Τῷ θεοσεβεστάτῳ καὶ εὐλαβεστάτῳ συλλειτουργῷ, Κυρίῳ Ἰωάννῃ πρεσβυτέρῳ καὶ ἡγουμένῳ καὶ ἀναχωρητῇ τῶν κοσμικῶν φροντίδων, Ταράσιος Κωνσταντινουπόλεως νέας Ῥώμης.

Ὁ ἐκ θείων ναμάτων τοῦ θείου Πνεύματος ἀρ- D δευθεὶς, καὶ τῇ ἐμπνεύσει τούτου καταυγασθεὶς, Δαβὶδ, ὁ ἐν βασιλεῦσι προφήτης καὶ ἐν προφήταις βασιλεὺς, ὑμνῶν ἔλεγε· « Κατάρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. » Ἀψευδὴς τοῖς νοῦν ἔχουσιν ἡ ὑμῳδία αὕτη, καὶ βεβαία τοῖς αὐτὴν ᾄδουσιν. Ἔφη γὰρ καὶ ὁ θεόπτης Μωϋσῆς περὶ πάσης Γραφικῆς θεηγορίας [θεολογίας] « Ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. »

[42] Matth. VI, 24. [43] ibid. [44] Ad oram c. Jolyani. Hi canones non apud Latinos, sed apud quosdam Græcos inveniuntur, sicut alia nonnulla. [45] I Petr. I, 18, 19. [46] Isa XL, 9. [47] Senecta uberi.— Videtur legisse Anast. ἐν γῇ aut χώρᾳ [48] In Græco : « Dei colentissimo ac reverendissimo. » HARD. [49] *Gr.* « et anachoretæ, curarum scilicet mundanarum contemptori. » [50] Psal. CXVIII, 152. [51] Deut. IV, 2; XII, 32.

Digitized by Google

Οἱ οὖν ἐρευνητικῶς, καὶ οὐ παροδευτικῶς πᾶσι τοῖς Γραφικοῖς καὶ Πατρικοῖς διδάγμασιν ἐγκύπτοντες, καὶ τῇ ἀναγνώσει τούτων προσέχοντες, καὶ τὸν νοῦν ἑαυτῶν τῇ εὐσεβείᾳ καὶ τῇ ἀληθείᾳ προσπηγνύντες, καὶ οὐ πρὸς τὸ ἴδιον θέλημα τοῦτο φέροντες, φωτίζονται θαυμαστῶς, ἀπὸ ὀρέων αἰωνίων, καταυγαζόμενοι ὑπὸ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν ἐνταλμάτων. Ὄρη γὰρ ταῦτα ὁ ψαλμῳδὸς ὀνομάζει, ὅτι ἐν αὐτοῖς ἐμμελετῶντες καὶ ὁδεύοντες, πρὸς τὰ οὐράνια ἐπιβαίνομεν. Αἰώνια δὲ, ὅτι οὐ πρόσφατα, οὐδὲ πρόσκαιρα, ἀλλὰ πρὸ καταβολῆς κόσμου λελάληνται, εἰ καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκπεφώνηνται παρὰ τῶν κηρύκων τοῦ εὐαγγελικοῦ κηρύγματος. Ἡμεῖς οὖν, ἄνερ ἐπιθυμιῶν, τῶν τοῦ Πνεύματος, ὡς τῷ Θεῷ σε ἐκ νεότητος γινώσκοντες ἀνακείμενον, τῆς καρδίας ἡμῶν ὀλίγα τινὰ κινήματά τε καὶ βουλεύματα πρὸς ψυχικὴν εὐθυμίαν ἀνατιθέμεθα. Τὰ γὰρ πλείονα σιωπῇ τιμάσθω.

A Qui ergo scrutabiliter et non transitorie omnibus sacris Scripturis et paternis doctrinis incumbunt, et lectioni horum intendunt, et mentem suam pietati et veritati infigunt, et non ad propriam hanc voluntatem referunt, illuminantur mirabiliter a montibus æternis, illustrati ab evangelicis et apostolicis præceptis. Montes enim hæc Psalmista nominat[51], quoniam in his meditantes et inambulantes, ad cœlestia pertransimus. Æternos autem, quia non recentia nec temporalia, sed ab origine mundi prædicta sunt [*Gr.* ante mundi constitutionem dicta sunt]; quanquam novissimis temporibus prolata sint a prædicatoribus evangelicæ prædicationis. Nos ergo, vir desideriorum, eorum videlicet quæ sunt Spiritus, Deo te a juventute cognoscentes deditum, paucos cordis nostri B motus et voluntates ad animi alacritatem commendamus : plura quippe silentio honorentur.

Πάντως ἐνηχήθη ὑμῖν περὶ τῆς συνόδου τῆς γενομένης εὐδοκίᾳ Θεοῦ ἐν τῇ Νικαέων πόλει· εἰς ἣν σύνοδον ἡμεῖς τε καὶ ἱερομύσται ἄνδρες τοποτηρηταὶ τοῦ τε πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῶν τῆς ἀνατολῆς ἁγιωτάτων ἀρχιερέων συνήλθομεν, καὶ θεοφιλεῖς ἐπίσκοποι πλεῖστοι κατὰ πρόσταξιν τῶν εὐσεβῶν βασιλέων ἡμῶν. Ὡσαύτως καὶ εὐλαβεῖς ἀρχιμανδρῖται καὶ ἡγούμενοι, καὶ πληθὺς μοναχῶν. Καὶ ἤδη πολλῶν μεταξὺ ἡμῶν λαληθέντων, τὸ ἀληθὲς καὶ ἀρεστὸν τῷ Θεῷ ἐκρίθη. Καὶ κατὰ τὴν ἀρχαίαν θεσμοθεσίαν τῶν ἁγίων Πατέρων ἡμῶν ἡ Ἐκκλησία C ἀπέλαβε τὴν τῶν εἰκόνων ἀναζωγράφησίν τε καὶ στηλογραφίαν, πρὸς ἀναγωγὴν καὶ ὑπόμνησιν τοῦ καθ' ἡμᾶς νοὸς, καὶ μετοχήν τινος ἁγιασμοῦ. Εἴ τι γὰρ τὸ ἅγιον Εὐαγγέλιον διὰ τῆς ἀναγνώσεως ἐνσημαίνει ἡμῖν, τὸ αὐτὸ καὶ αἱ εἰκόνες· καὶ εἴ τι αἱ μαρτυρικαὶ βίβλοι διηγοῦνται περὶ τῶν παθημάτων τῶν μαρτύρων, ὁμοίως καὶ αἱ εἰκόνες· καὶ ταύτας ἀσπαζόμεθα ὡς ἐκτυπώματα τῶν πρωτοτύπων ὄντα, καὶ οὐδὲν ἕτερον· πρόδηλον πιστεύοντες εἰς ἕνα Θεὸν ἐν Τριάδι ἀνυμνούμενον, καὶ αὐτῷ μόνῳ λατρεύοντες. Ἐξαιτούμεθα δὲ καὶ τὰς πρεσβείας τῆς ἀχράντου Δεσποίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου, ἁγίων τε ἀγγέλων, καὶ πάντων τῶν ἁγίων καὶ ὁσίων Πατέρων ἡμῶν. Τούτων οὕτως ὄντων, ἐνεκάλεσαν τῇ συνόδῳ τὸ πλέον μέρος τῶν εὐλαβῶν μοναχῶν. Καὶ ἡμεῖς δὲ προεγινώ- D σκομεν τὴν ἔγκλησιν ταύτην· ὅτι οἱ πλείονες τῶν ἐπισκόπων χρήμασιν ὠνήσαντο τὴν ἱερωσύνην· καὶ κἂν ἁμαρτίαις ἡμετέραις περιπειρώμεθα, καὶ σειραῖς τούτων συσφιγγώμεθα, ἐφ' αἷς ἵλεως ἡμῖν γένοιτο Κύριος· ἀλλ' οὖν τῶν εὐαγγελικῶν ἐνταλμάτων καὶ κανονικῶν διατάξεων τὴν γνῶσιν εἰλήφαμεν, καὶ ἐν καθαρῷ συνειδότι, καὶ ἁπλῇ καρδίᾳ, καὶ ἀφιλαργύρῳ τρόπῳ, καὶ ἐν συνειδήσει ἀνεπτερωμένῃ πρὸς τὸν Θεὸν, τῇ κανονικῇ καὶ εὐαγγελικῇ διατάξει κατὰ πάντα ἕπεσθαι εὐχόμεθα· καὶ καθήκαμεν ἑαυτοὺς καὶ ὑπεκλίναμεν δουλοῦσθαι τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς πατρικοῖς παραγγέλμασιν·

Utique auditum est a vobis de synodo quæ facta est beneplacito Dei in Nicæensium urbe : ad quam videlicet synodum nos et sacrati viri et loci servatores tam papæ senioris Romæ, quam Orientis sanctissimorum principum sacerdotum convenimus; nec non et Deo amabiles episcopi plurimi secundum præceptionem piorum imperatorum nostrorum. Similiter et reverendi archimandritæ et hegumeni, et multitudo monachorum. Cumque multa inter nos dicerentur, quod verum et placitum est Deo, sancitum est; et secundum priscam legislationem sanctorum Patrum nostrorum Ecclesia recepit imaginum picturam et titulos, ad superiorem sensum [elevationem animi] et memoriam mentis nostræ, ac participationem cujusdam sanctificationis. Quidquid enim sanctum Evangelium per lectionem insinuat nobis, id ipsum et imagines : et quidquid gestorum libri de passionibus martyrum narrant, similiter et imagines : et has salutamus tanquam formas primitivorum, et nihil aliud : profecto in unum Deum in Trinitate laudandum credentes, et ipsi soli servientes. Expetimus etiam intercessiones intemeratæ Dominæ nostræ sanctæ Dei Genitricis, sanctorumque angelorum, et omnium sanctorum Patrum nostrorum. Iis ita se habentibus, questa est synodo pars major reverendorum monachorum [episcoporum]. Sed et nos præscivimus querelam istam, quia plures episcoporum pecuniis obtinuerunt sacerdotium : et licet peccatis nostris obcæcemur [implicemur], et horum restibus constringamur, in quibus propitius nobis sit Deus : attamen evangelicorum mandatorum et canonicarum præceptionum cognitionem percepimus, et in munda conscientia, et simplici corde, et in more sine avaritia, et imperturbabili ad Deum habito, canonicum [*Gr.* conscientia alacriter erigente se ad Deum, can.] per omnia sequi optamus præceptum : et

[51] Psal. LXXV, 5.

Digitized by Google

comprehendimus [submisimus] nosmetipsos, inclinavimus ad serviendum evangelicis atque apostolicis et paternis dispositionibus : decertantes ut hi qui sacerdotium sortiti sunt, sic degant et vivant et conversentur, sed et omnes qui Christi nomine vocitantur. At si quidam non acquieverint præceptis istis, communicator talium qui dicuntur quidem, non autem sunt sacerdotes, esse non patior, sed alienus ab horum sum portione : et mihi quidem protestari hæc non pigrum, ipsis autem tutum. Divini ergo canones dantem vel accipientem in ordinatione sacerdotii, deponunt, et persequuntur [expellunt] a sacerdotali dignitate. Inspector Dei Moyses, ut dixi, clamat : « In illis, inquiens, non est addendum, et ab eis non est auferendum [53]. » Similiter et hymnographus David psallit, et nos cum illo : « Ab initio cognovi de testimoniis tuis, quia in æternum fundasti ea [54]. » Et quis ad hæc resistendi idoneus? nisi forte infatuetur sensu, et divinis velit illudere. Jam enim fundata sunt testimonia Dei, et radicata sunt in Ecclesia ejus : licet quidam temporaliter non obedientes, minime custodiant ea. Illa ergo in æternum manent; et beati qui scrutantur ea, et his obediunt : et væ qui non obediunt.

Omnis ergo episcopus, vel presbyter, aut diaconus convictus, quod per pecunias manus impositionem dederit vel acceperit, a sacerdotio decidit. Fortassis autem dicunt aliqui, quia pœnitentiam agimus pro peccato, et Deus ignoscit illud. Ita et ego dico, quia et omnes agentes pœnitentiam Deus suscipit, et indulget per pœnitentiam peccata quæ jam patrata sunt. Novi enim et David adulterio depressum et homicidio, sed acta pœnitentia receptum, et divino testimonio approbatum : « Inveni David, inquit, filium Jesse, virum secundum cor meum, qui faciet omnes voluntates meas [55]; » et sancta David prophetice testimonium habentia : perspicuum ergo est per pœnitentiam eum fuisse correctum [*Gr.* persp. ubi is pœniten. correctus est]. Sed iterum novi audisse illum a Deo : « Non tu ædificabis mihi domum, quia vir sanguinum es [56]. » Novi Manassem per confessionem ab impietate dimissum. Novi et meretrices et publicanos receptos per pœnitentiam : verum nullum ex his in sacerdotii dignitate numeratum; nisi forte id ante baptisma commiserit. Novi et monachos aliquot, cum in mundo essent [57], omni libidine conspurcatos; cum autem solitarie viverent, tanquam faces in orbe resplenduisse : nullum tamen ex his in sacerdotem ordinatum [57]. Quod si autem id semel atque iterum factum est, non tamen confestim legem in Ecclesia præscribit. Scimus sanctam [almam] Mariam [Ægyptiacam] prius meretricem fuisse, postea factam continentem [fornicariam, rursus autem pudicam] : non tamen inter

ἀγωνιζόμενοι καὶ τοὺς τὴν ἱερωσύνην κληρωσαμένους οὕτως ἀναστρέφεσθαι καὶ βιοῦν καὶ πολιτεύεσθαι, ἀλλὰ καὶ πάντας τοὺς τῷ Χριστοῦ ὀνόματι κεκλημένους. Εἰ δέ τινες ἀπειθοῦσι τοῖς ἐντάλμασι τούτοις, κοινωνὸς τῶν τοιούτων λεγομένων ἱερέων, οὐκ ὄντων δὲ, εἶναι οὐκ ἀνέχομαι· ἀλλὰ ἀλλότριος τῆς τούτων εἰμὶ μερίδος. Καὶ ἐμοὶ διαμαρτύρασθαι ταῦτα οὐκ ὀκνηρὸν, αὐτοῖς δὲ ἀσφαλές. Οἱ οὖν θεῖοι κανόνες τὸν δόντα ἢ λαβόντα ἐπὶ χειροτονίᾳ ἱερωσύνης καθαιροῦσι καὶ ἀποδιώκουσι τῆς ἱερατικῆς ἀγιότητος. Ὁ θεόπτης Μωϋσῆς, ὡς ἔφθην εἰπὼν, βοᾷ· « Ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. » Ὡσαύτως καὶ ὁ ὑμνογράφος Δαβὶδ ψάλλει, καὶ ἡμεῖς σὺν αὐτῷ· « Καταρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. » Καὶ τίς ἱκανὸς πρὸς ταῦτα ἀντιστῆναι; εἰ μή που μωραίνῃ τὴν διάνοιαν, καὶ παίζειν ἐθέλῃ τὰ θεῖα; Ἤδη γὰρ τέθεμελίωνται τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ἐρριζωμένα εἰσὶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ, κἂν προσκαίρως τινὲς ἀπειθοῦντες οὐ φυλάττωσιν αὐτά. Ἐκεῖνα οὖν εἰς τὸν αἰῶνα μένουσι, καὶ μακάριοι οἱ ἐξερευνῶντες αὐτὰ, καὶ τούτοις πειθόμενοι· καὶ οὐαὶ ἀπειθοῦσι.

Πᾶς οὖν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐλεγχθεὶς ἐπὶ χρήμασι τὴν χειροτονίαν ἢ δοὺς ἢ λαβὼν, τῆς ἱερωσύνης ἐκπίπτει. Ἴσως δέ τινες λέγουσιν, ὅτι Μετανοοῦμεν ὑπὲρ τῆς ἁμαρτίας, καὶ ὁ Θεὸς συγχωρεῖ αὐτήν. Ναὶ καὶ ἐγὼ λέγω, ὅτι πᾶσαν μετάνοιαν ὁ Θεὸς προσδέχεται, καὶ συγχωρεῖ διὰ μετανοίας τὰ προγεγονότα ἁμαρτήματα. Οἶδα γὰρ καὶ Δαβὶδ μοιχείᾳ συσχεθέντα καὶ φόνῳ, ἀλλὰ μετανοήσαντα, δεχθέντα καὶ μαρτυρηθέντα· « Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου· » καὶ τὰ ὅσια Δαβὶδ προφητικῶς μαρτυρούμενα, εὔδηλον διὰ μετανοίας τούτου διορθωσαμένου. Ἀλλὰ πάλιν οἶδα ἀκούσαντα αὐτὸν παρὰ τοῦ Θεοῦ· « Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον, ὅτι ἀνὴρ αἱμάτων εἶ. » Οἶδα Μανασσῆν δι' ἐξαγορεύσεως ἀφεθέντα τῆς ἀσεβείας. Οἶδα καὶ πόρνας καὶ τελώνας δεχθέντας διὰ μετανοίας, οὐδέ τινα δὲ τούτων εἰς ἱερωσύνην ἀριθμηθέντα, εἰ μή που πρὸ τοῦ βαπτίσματος τοῦτο πέπραχεν. Οἶδά τινας μοναχοὺς, ὅτε μὲν ἐν τῷ κόσμῳ ἦσαν, πορνείᾳ συσχεθέντας· μονάσαντας δὲ, ὡς φωστῆρας ἐν τῷ κόσμῳ λάμψαντας διὰ τοῦ ἀσκητικοῦ βίου· οὐδένα δὲ εἰς ἱερωσύνην ἐπιβάντα. Εἰ δὲ καὶ σπάνιον γέγονεν, οὐ νόμος Ἐκκλησίας τοῦτο. Τὴν ὁσίαν Μαρίαν πόρνην τὸ πρότερον ἴσμεν. Αὖθις δὲ σώφρονα, οὐ μὴν δὲ εἰς τὰς διακόνους καταλεγεῖσαν, ἁγίαν δὲ καὶ ἐξῃρημένην παντὸς πονηροῦ πράγματος. Καὶ τί ταῦτα λέγω, τὸν ἀληθῆ λόγον ἐπιστάμενος; παρὰ τῶν θείων ἀποστόλων μυηθεὶς, καὶ παρὰ τῶν αὐτοῖς ἀκολουθησάντων ἁγίων Πατέρων ἡμῶν, πεπαῤῥησιασμένως βοῶ·

[53] Deut. IV, 2; XII, 32. [54] Psal. CXXXVIII, 152. [55] Psal. LXXVIII, 21. [56] II Reg. XVI, 8. [57] Fornicatione detentos, effectos autem monachos sicut luminaria in mundo per studiosam vitam lucentes.

Digitized by Google

Ὅτι ὁ ἐπὶ χρήμασι χειροτονηθεὶς ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἀλλότριός ἐστι τῆς ἱερωσύνης. Οὐδὲ γὰρ ἡ τοῦ θείου Πνεύματος χάρις πιπράσκεται. Καΐαφαϊκὸν τὸ ἐπιτήδευμα, Σιμωνιακὸν τὸ ἐγχείρημα, ἀλλότριον τῆς ἱερατικῆς ἁγιστείας. Καὶ ἐπὶ πορνείᾳ εἰ ληφθῇ ποτέ τις μετὰ τὸ βάπτισμα, εἰς ἱερωσύνην οὐ προσεδέχθη· θεῖοι κανόνες τοῦτο διαγορεύουσιν. Ἀλλ' εἰ καί τις εἰσήχθη εἰς τὴν ἱερωσύνην τοιοῦτόν τι πράξας, γνωσθεὶς ἐξεβλήθη. Πάντα δὲ ἄνδρα τῇ μετανοίᾳ προσκαρτεροῦντα ἐπὶ ἁμαρτήμασι, τὴν ἀγαθότητα καὶ φιλανθρωπίαν τοῦ Θεοῦ γινώσκων, οἷδα λυτροῦσθαι τῆς ἁμαρτίας, καθὼς καὶ ἀνωτέρω ἀποδεδώκαμεν. Καὶ ἀναθεματίζω Ναυάτον καὶ τοὺς τούτου τὴν δυσσεβῆ αἵρεσιν ἐπισπωμένους, ὡς ἀθετοῦντας τὴν μετάνοιαν, καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ μὴ προσιεμένους. Ὡσαύτως δὲ καὶ τὸν ἐπὶ χρήμασι χειροτονηθέντα ἐπίσκοπον μετανοοῦντα ὁμολογῶ προσδέχεσθαι· ἀγαθὸς γὰρ ὁ Θεὸς ἐπὶ πᾶσι, καὶ ἀνεῳγμένα τὰ σπλάγχνα αὐτοῦ ἐπὶ παντὶ ἀνθρώπῳ μετανοοῦντι· καὶ εἰς τὴν βασιλείαν αὐτοῦ τοῦτον εἰσάγει. Ἀλλ' ἐπεὶ κατὰ τὸν Ἀπόστολον ἱερεὺς ἀνεπίληπτος ὀφείλει εἶναι, ὁ ἐπὶ χρήμασι χειροτονήσας τινά, ἢ χειροτονηθεὶς ἐπ' αὐτοῖς, ἀλλότριός ἐστιν ἱερωσύνης, ὡς πάντες οἴδαμεν οἱ τῆς Ἐκκλησίας τρόφιμοι, ἐκ κανονικῶν μαθημάτων παιδευθέντες. Οὐκοῦν καλὴ καὶ ἀγαθὴ ἡ μετάνοια, καὶ πρὸς Θεὸν ἀνάγει, καὶ τῶν ἁμαρτημάτων λυτροῦται. Καὐτὸς γὰρ ἐγὼ χρῄζω ἐλέους· οἷδα γὰρ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὅτι πάντα τὸν προσερχόμενον ἀποδέχεται. Ἔφη γὰρ διὰ τοῦ προφήτου· « Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. » Καὶ, « Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἁμαρτίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. » Καὶ, « Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ. » Καὶ τὸν πορνεύσαντα Κορίνθιον οἶδα προσδεχθέντα παρὰ τῷ θείῳ ἀποστόλῳ Παύλῳ, οὐ μὴν δὲ εἰς ἱερωσύνην ἀνεβιβασθέντα. Εἰ γὰρ πατὴρ ἀποδημήσαντος υἱοῦ, καὶ τοῦτον ἀθετήσαντος, αὖθις δὲ ἐπανερχομένου, προσλαμβάνεται διὰ τὴν φυσικὴν στοργήν· πόσῳ μᾶλλον ὁ πατὴρ πάντων ἡμῶν Θεὸς πάντα μετανοοῦντα καὶ προσδέχεται καὶ ἀγκαλίζεται ὡς φιλάνθρωπος; οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Καθὰ καὶ ἠκούσαμεν ἐξ αὐτῆς τῆς Κυριακῆς φωνῆς εὐαγγελικῶς παραβολὴν διηγουμένης περὶ τοῦ ἀσώτως τὸν βίον ζήσαντος, ὅτι μετανοήσαντος αὐτοῦ, παρὰ τοῦ ἐν οὐρανοῖς Πατρὸς ἀπεδέχθη. Χαίρει γὰρ ἐπὶ παντὶ ἁμαρτωλῷ μετανοοῦντι. Μέγα ὅπλον ἡ μετάνοια, μεγάλη σωτηρίας ὁδός, πρόξενος οὐρανῶν βασιλείας, ἀφθάρτου ζωῆς ὁδηγός, μαρτυρικῶν ἀθλήσεων πάρισος, πρὸς Θεὸν ὁδηγοῦσα, καὶ σὺν Θεῷ εἶναι ποιοῦσα, τοῦ ἀνθρωπίνου γένους βακτηρία, πιπτόντων ἀνάστασις. Ma-

A diaconas relata est. Quorsum vero hæc dico? cum veritatis sermonem cognoscam [58], et eum qui a divinis apostolis initiatus est, audacter clamantem [a divinis apostolis et sanctis Patribus nostris edoctus audacter clam.] videam: Quod quicunque per pecuniam ordinatus est episcopus, aut presbyter, aut diaconus, alienus est a sacerdotali dignitate: non enim divini Spiritus gratia venditur. Caiphaicum hoc studium est, Simoniaca hæc machinatio, et aliena a sacerdotali sanctificatione [59]. In scortatione aut adulterio si quispiam post baptisma fuerit deprehensus, divini canones illum ad sacerdotium non admittunt: quin etiam si quispiam promotus ad sacerdotium [Gr. prom. est ad sacerdotium qui tale], tale aliquid fecerit, confestim ejicitur. Omnis igitur vir qui in pœnitentia perdurat, per bonitatem et mansuetudinem Dei veniam peccatorum suorum obtinet [60], quemadmodum etiam in superioribus demonstravimus. Novatum autem, et ejus impiæ hæresis asseclas anathematizo, utpote qui injurius sit adversus pœnitentiam, et mansuetudinem Dei elevet. Quare ejus opinionis sum, ut confitear recipiendum episcopum per pecunias ordinatum, modo pœniteat: bonus enim Deus est in omnibus, et viscera ejus aperta sunt super omnem hominem pœnitentem, quem etiam in regnum suum inducit. Sed quoniam, juxta divinum Apostolum [61], episcopus inculpabilis [irreprehensibilis] esse debet: qui propter pecunias aliquem ordinat, aut ab aliis ordinatur, alienus est a sacerdotali dignitate, ut omnes novimus quicunque Ecclesiæ alumni sumus. Ergo bona et laudabilis pœnitentia quæ ad Deum ducit, et a peccatis liberat. Et ego quoque misericordia indigeo: novi enim Dei mansuetudinem, qui omnem ad se venientem recipit. Dixit enim per prophetam: « Tu primus dic peccata tua, ut justificeris [62]. » Et: « Dixi: Eloquar iniquitatem meam coram Domino, et tu remisisti impietatem cordis mei [63]. » Et: « Pro ea orabit ad te omnis sanctus in tempore opportuno [64]. » Nam si pater, filio peregre exsistente, et rem impie et inique agente, redeuntem iterum ad se naturali amore prosequitur: quanto magis Deus omnium nostrum Pater, omnem pœnitentem suscipiet in ulnis suis, cum sit singulariter misericors? Non enim mortem petit peccatoris, sed magis ut convertatur et vivat [65]. Quemadmodum etiam in Evangelio ab ipsa Domini voce [66] per parabolam de prodigo, et postea pœnitente, instructi sumus, a Patre cœlesti recepto in cœlis [in cœlis *redundat*]. Gaudet enim super omnem hominem agentem pœnitentiam. Pœnitentia insignis est armatura, magna salutis via, hospitii regni cœlorum dispensatrix [67], incorrupti-

[58] Can. 30. [59] Can. apost. 36. [60] Can. 25. [61] I Tim. III, 2. [62] Isa. XLI, 26. [63] Psal. II, 5. [64] ibid. 6. Gr. addit. « Et Corinthium qui fornicatus est, novi a divino apostolo Paulo receptum, non tamen evectum ad sacerdotium. » [65] Ezech. XVIII et XXXIII. [66] Luc. XV, 11 seqq. [67] Gr. regni cœl. conciliatrix: In c. Joliano dicitur: Reconciliatio regni cœl.

Digitized by Google

bilis viæ dux, martyricorum certaminum æquiparatio, ad Deum viam indicans, et cum ipso nos esse faciens; humani generis baculus, cadentium et lapsorum surrectio. Beati qui hanc amplectuntur, et huic adhærent. Qui hanc exercent, cum angelis vitam æqualem ducunt, ab omni malo declinant, et bonum faciunt. Pœnitentia est coalumna et familiaris dilectionis [collactanea et cohabitatrix charitatis], eleemosynæ, jejunii, abstinentiæ, temperantiæ, probitatis, honestatis, mansuetudinis [*Gr. addit*, orationis]: et ut verum uno verbo dicam, hæc omnia pollet pœnitentia [*Gr.* hæc omnia est pœnit.]. Si quis autem hanc contaminat et contemnit, non inter servatos, sed inter perditos numerandus est, quorum vermis non moritur, et ignis non exstinguitur [68]. A quibus liberemur, digni habiti promissis bonis misericordia et miserationibus Christi Dei nostri. Hæc a nobis prædicantur, vir sanctissime, si forte fuerint, qui nos quoque infamare voluerint. Novimus enim te singularem admonitionem [69] et cultorem evangelicarum et apostolicarum, canonicarumque jussionum. Quamobrem audacius quoque ad te ista scribimus, cupimusque ut ea monachis, et ascetis, virisque omnibus religiosis [*Gr.* virisque sæcularibus], cum quibus tibi commercium est, significes: et ut in orationibus tuis cœlipetis nostri memor sis [*Gr. addit*, si vero etiam libuerit, ostendas], obnixe rogamus, quo ex circumdantibus nos undique malis tandem aliquando liberemur. Urgent enim et intus et extra insultationes, a quibus misericordia Dei sumus liberati, et posthac quoque nos evasuros confidimus. Quamobrem iterum atque iterum dicimus: Ora, precare, o amice vir Dei et noster, imo potius Pater: scimus enim quod affectu eo erga nos affectus es, quo pater erga liberos suos. Deus pacis, qui et remota et propinqua ad se convocat, vitam nostram in pace conservet, et omnes illos qui eum colunt et admirantur, nomenque illius invocant, salvos faciat intercessione et precibus Dominæ nostræ sanctæ Dei Genitricis, et omnium sanctorum. Amen. Omnes fratres qui ad vos pervenerint, nostro nomine salutes velim, ut et ipsi vobiscum pro nobis orent.

Jesus Christus Deus Dei Filius.

κάριοι οἱ ταύτην ἀσπαζόμενοι. Οἱ ταύτῃ προσέχοντες μετὰ ἀγγέλων συνδιαιτῶνται· οἱ ταύτην ἀσκοῦντες ἐκκλίνουσιν ἀπὸ παντὸς κακοῦ, καὶ ποιοῦσιν ἀγαθόν. Μετάνοια οὖν τροφὸς καὶ ὁμόοικος ἀγάπης, ἐλεημοσύνης, προσευχῆς, νηστείας, ἐγκρατείας, σωφροσύνης, ταπεινοφροσύνης, χρηστότητος, ἀγαθωσύνης, ἐπιεικείας, καὶ τῶν τούτοις ἀκολούθων. Τ' ἀληθὲς εἰπεῖν, ταῦτα μετάνοια. Καὶ εἴ τις ταύτην ἀθετεῖ, ἐν τοῖς σωζομένοις οὐκ ἔστιν, ἀλλ' ἐν τοῖς ἀπολλυμένοις, ἐν οἷς ὁ σκώληξ οὐ τελευτᾷ, τὸ πῦρ οὐ σβέννυται. Ὧν ῥυσθείημεν, ἀξιωθησόμενοι τῶν ἐπηγγελμένων ἀγαθῶν ἐλέει καὶ οἰκτιρμοῖς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ ταῦτα ἤδη παρ' ἡμῶν κηρύσσεται, ἱερώτατε ἄνερ, εἴ καί τινες θέλουσι λοιδορεῖν ἡμᾶς· ἡμεῖς οὖν οἴδαμέν σε δοχεῖον εἶναι τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν καὶ κανονικῶν διαταγμάτων. Τοὔνεκεν καὶ προσανεθέμεθά σοι ταῦτα διὰ τοῦδε τοῦ ὕφους, καὶ παρακαλοῦμεν, ἐφ' οἷς πεπληροφόρησαι, ἀνδράσιν εὐλαβέσι, μοναχοῖς τε καὶ βιωτικοῖς ταῦτα προσαναθέσθαι· εἰ δὲ ἀρεστόν σοί ἐστι, καὶ ὑποδεικνύναι. Αἰτούμεθα δὲ ἐν ταῖς οὐρανοπόροις σου εὐχαῖς μιμνήσκεσθαι ἡμῶν, ὅπως ῥυσθῶμεν ἐκ τῶν κύκλῳ συνεπιτιθεμένων κακῶν. Εἰσὶ γὰρ καὶ ἔσωθεν καὶ ἔξωθεν ἐπαναστάσεις, ἐξ ὧν διὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐῤῥύσθημεν, καὶ ῥυσθῆναι ἐλπίζομεν, καὶ ἀπὸ τοῦ παρόντος, φυλαττομένης τῆς ψυχῆς ἡμῶν ἀπαρατρώτου. Οὐδεὶς γὰρ ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη. Λέγομεν οὖν καὶ πάλιν· Εὔχου ἡμῖν, ἄνερ φίλε Θεοῦ καὶ ἡμέτερε, ἀλλὰ καὶ πάτερ· οἴδαμεν γάρ, ὅτι στοργῇ τέκνου πρὸς ἡμᾶς διάκεισαι. Καὶ ὁ Θεὸς τῆς εἰρήνης, ὁ τὰ μακρὰν καὶ τὰ ἐγγὺς εἰς ἑαυτὸν προσκαλεσάμενος, ἐν εἰρήνῃ τὴν ζωὴν διατηρήσαι πάντων ἡμῶν τῷ ὀνόματι αὐτοῦ κεκλημένων, πρεσβείαις καὶ εὐχαῖς τῆς ἀχράντου Δεσποίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου, καὶ πάντων ἁγίων αὐτοῦ. Ἀμήν. Πᾶσι δὲ τοῖς ἀδελφοῖς τοῖς καταναντῶσιν εἰς ὑμᾶς, ὡς ἐξ ἡμῶν προσαγορεύσοις, ἵνα καὶ αὐτοὶ μεθ' ὑμῶν εὔχωνται ἡμῖν.

Ἰησοῦς Χριστὸς Θεὸς Θεοῦ Υἱός.

V.

Exemplar litterarum quæ missæ sunt ad summos sacerdotes et sacerdotes Antiochiæ, Alexandriæ, et sanctæ civitatis, a Tarasio sanctissimo et beatissimo [70] *patriarcha Constantinopoleos.*

Ε'

Ἴσον γραμμασιν ἀποσταλεῖσι πρὸς τοὺς ἀρχιερεῖς καὶ ἱερεῖς Ἀντιοχείας, καὶ Ἀλεξανδρείας, καὶ τῆς ἁγίας πόλεως, παρὰ Ταρασίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως.

(Mansi, *Concil. Collect.* t. XII, p. 1119)

Multa et magna providentia Dominus Deus hominum vitas regens et protrahens, atque proventum vitæ uniuscujusque consulte deducens (sine ipso namque factum est nihil [71], quia et capilli capitis nostri numerati sunt ei [72]), **et me in laicorum ordine usque nunc connumeratum, et imperialibus ministeriis deputatum, nescio quibus judiciis (ipse**

Πολλαῖς καὶ μεγάλαις προνοίαις Κύριος ὁ Θεὸς τοὺς τῶν ἀνθρώπων βίους διευθύνων τε καὶ διεξάγων, καὶ τὴν ἔκβασιν τῆς ἑκάστου ζωῆς κηδεμονικῶς ὁδηγῶν· χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδὲν, ὅτι καὶ αἱ τρίχες τῆς κεφαλῆς ἡμῶν ἠριθμημέναι εἰσὶν αὐτῷ· κἀμὲ ἐν τῷ τῶν λαϊκῶν τάγματι ἕως τοῦ νῦν ἠριθμημένον, καὶ ταῖς βασιλικαῖς ὑπηρεσίαις ἐντε-

[68] Marc. IX, 43. [69] Gr. receptaculum, et in c. Joliano. [70] In Gr. additur, universalis. H. [71] Joan. I, 3. [72] Matth. X, 30.

Digitized by Google

τεγμένον, οὐκ οἶδα οἷς κρίμασιν· αὐτὸς γινώσκει· εἰς θῶκον ἀρχιερατικὸν ἀνεβίβασε, προτροπῆς βιαίας τορὰ τῆς ἀληθείας προμάχων εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων ἡμῶν, καὶ ἁγιωτάτων ἐπισκόπων τε καὶ κληρικῶν, εἰς ἐμὲ γενομένης. Διὸ ἀναγκαστικῶς ὑποκύψας ὑπένευσα, καὶ τὸν τῆς ὑπακοῆς καρπὸν δρέψασθαι τούτοις ἀπέλωκα. Καὶ παρακαλῶ τοὺς πανιέρους ὑμᾶς, ὡς μὲν πατέρας μικροψυχοῦντα βακτηρίᾳ δυνάμεως, ταῖς πατρικαῖς ὑμῶν διδασκαλίαις ὑποστηρίξαι· ὡς δὲ ἀδελφοὺς ταῖς καθαραῖς ὑμῶν εὐχαῖς βοηθεῖν ἡμῖν, τῇ τοῦ Θεοῦ πανοπλίᾳ πρὸς τὰς μεθοδείας τοῦ Ἀντικειμένου, καὶ κύμασιν ἀλλεπαλλήλοις ἐνθαλαττεύοντά με διακυβερνηθῆναι, ὅπως καθορμίσαιμι ἐπὶ λιμένα θελήματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ἔστι γάρ, ἔστιν ὄντως ἐν τοῖς καθ' ἡμᾶς πόλεμός τις ἀσίδηρος, λόγοι βάλλοντές τε καὶ βαλλόμενοι. Ἀλλὰ τρόπαιον νικητήριον ἔχομεν τὴν μὴ νικωμένην ἀλήθειαν. Εἶτά τε καὶ καταιγίδων σφοδρῶν εἰσπνεουσῶν συνατπιστὰς ὑμᾶς λαβόμενοι, τὴν τούτων μικρὸν ὑπενέγκαντες ζάλην, εὑρήσομεν αὐτοῖς Χριστὸν ἐπιτιμῶντα, καὶ γαληνίως τὸν βίον ἡμῖν ἐπεξάγοντα. Καὶ τούτων μὲν ἀρκούντως ἐν προοιμίοις ἡμῖν εἰρημένων, ἐν τοῖς ἑξῆς σαφῶς ἡ ἀκριβὴς περὶ αὐτῶν γνῶσις διαγγελθήσεται. Νῦν δὲ ἐφ' ἕτερον σκοπὸν λέξεων ἔρχομαι. Ἐπειδὴ γὰρ ἀρχαία τις, τάληθὲς δὲ φράσαι, ἀποστολικὴ παράδοσις ἐν πάσαις ταῖς Ἐκκλησίαις διῆκε, πρὸς ἱεραρχίαν ἀγομένους τοῖς πρὸ αὐτῶν τὰς ἱεραρχίας ἐγχειρίζουσιν, ὡς ἂν ἔχοι τὰ τῆς αὐτῶν πίστεως ἀνατίθεσθαι· ἔδοξε κἀμοὶ τούτοις ἑπομένῳ ὑποκλῖναι ἐμαυτὸν ὑμῖν, καὶ ἀριδήλως τὴν κατ' ἐμὲ ὁμολογίαν ἐξαγορεῦσαι, καθὼς ὑπὸ τῶν σαλπίγγων τοῦ Πνεύματος· ὧν ὁ φθόγγος εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα· καὶ παρὰ τῶν αὐτῶν θρεμμάτων τε καὶ προβλημάτων θείων Πατέρων ἡμῶν ἐξ ἁπαλῶν ὀνύχων ἀνατραφεὶς μεμάθηκα.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἡμῶν, γεννηθέντα ἐκ τοῦ Πατρὸς ἀχρόνως καὶ ἀϊδίως. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸν Κύριον καὶ ζωοποιοῦν, τὸ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν ὄν τε καὶ γνωριζόμενον· Τριάδα ὁμοούσιον, ὁμότιμόν τε καὶ ὁμόθρονον, ἀΐδιον, ἄκτιστον, τῶν πάντων κτισμάτων δημιουργόν· μίαν ἀρχὴν, μίαν θεότητα καὶ κυριότητα, μίαν βασιλείαν καὶ δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἀδιαιρέτως διαιρουμένην, καὶ ἡνωμένην διαιρετῶς· μὴ ἐξ ἀτελῶν τριῶν ἕν τι τέλειον, ἀλλ' ἐκ τριῶν τελείων ἓν ὑπερτελὲς καὶ προτέλειον, ὡς ὁ μέγας ἔφη Διονύσιος. Ὥστε κατὰ μὲν τὴν ἰδιότητα τῶν προσώπων τρία τὰ προσκυνούμενα, κατὰ δὲ τὸ κοινὸν τῆς φύσεως εἷς Θεὸς πάντων ποιητὴς ὁρατῶν τε καὶ ἀοράτων, πάντων προνοητής. Ὁμολογῶ δὲ καὶ τὴν διὰ τὴν ἡμετέραν σωτηρίαν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ σάρκα γέννησιν τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος τοῦ Υἱοῦ τοῦ Θεοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ

scit) in cathedram pontificalem evexit, hortatu valido a veritatis propugnatoribus, piissimis videlicet ac orthodoxis imperatoribus nostris, atque sanctissimis episcopis, seu clericis, in me violenter effecto : cui succumbens annui, et obedientiæ fructum his carpendum commisi. Et rogo vos sacratissimos, ut tanquam patres me pusillanimem baculo potentiæ, id est, paternis vestris magisteriis fulciatis, et veluti fratres puris orationibus vestris nos cum armatura Dei contra versutias antiqui hostis adjuvetis, atque fluctibus invicem surgentibus vacillantem gubernetis, quatenus pertingam ad portum voluntatis Christi Dei nostri. Est enim prorsus [est] apud nos quoddam prælium sine ferro, dum sermones jaciant et jaciantur. Sed triumphale habemus trophæum, veritatem quæ non vincitur. Deinde quoque et procellis vehementibus inspirantibus, in auxilium vobis assumptis, harum pauxillum quid sufferentes æstum, Christum has increpantem invenimus, et vitam tranquille per omnia transigemus. Et his quidem sufficienter in præfatione nostra præmissis, in cæteris evidenter horum cognitio denuntiabitur. Nunc autem ad aliam intentionem dicendi [dicendo] progredior. Quia enim prisca quædam, et ut verius fateamur, apostolica traditio in omnibus Ecclesiis inolevit, ut hi qui ad pontificium provehuntur, præcedentibus se in eodem ordine, qualiter se habeant quæ suæ fidei sunt, exponendo commendent : Visum est et mihi hoc sectanti, me vobis inclinare, et liquido confessionem pronuntiare, quemadmodum a tubis sancti Spiritus (quarum sonus in omnem terram exivit, et in fines terræ verba[73]) et ab earum alumnis atque asseclis, sacratissimis videlicet Patribus nostris educatus, ex ipsis mollibus ungulis didici.

Credo in unum Deum Patrem omnipotentem, et in unum Dominum Jesum Christum Filium Dei et Deum nostrum, natum ex Patre sine tempore cœternum : et in Spiritum sanctum, Dominum et vivificantem, ex Patre per Filium procedentem, et eumdem Deum esse et cognosci : Trinitatem unius substantiæ, unius honoris et sedis, sempiternam et increatam, omnium creaturarum conditricem : unum principium, unam deitatem et dominationem, unum imperium, potentatum et potestatem in tribus subsistentiis, individue quidem divisam, et divise unitam : non ex imperfectis tribus unum aliquid perfectum : sed ex tribus perfectis unum superperfectum et plusquam perfectum[74], uti magnus locutus est Dionysius. Itaque secundum proprietatem personarum tria quidem adoranda; at vero secundum communem naturæ rationem unus Deus omnium factor visibilium et invisibilium, omnium provisor. Confiteor autem factam propter salutem nostram in novissimis diebus secundum carnem

[73] Psal. xviii, 5; Rom. x, 8. [74] Locus obscurus, et caute legendus.

Digitized by Google

nativitatem unius sanctæ Trinitatis, Filii scilicet Dei et Domini nostri Jesu Christi, ex veraciter sancta Dei genitrice semperque Virgine Maria : consubstantialem quidem factum nobis modis omnibus absque peccato, non autem desinentem esse quod erat ; sed duabus naturis inconfuse manentibus, una cum consistentibus in se duabus voluntatibus et operationibus : crucifixum pro nobis carne, et sepultum, et resurrexisse, in cœlosque ascendisse, et venturum judicare vivos et mortuos. Insuper spero resurrectionem mortuorum, et singulorum gestorum redditionem [*Gr. addit*, æternam], bonorum scilicet, et his contrariorum. Expetens etiam intercessiones sanctissimæ et intemeratæ Dominæ nostræ Dei Genitricis et semper Virginis Mariæ, sanctorumque angelorum, et sanctorum et gloriosissimorum apostolorum, prophetarum, martyrum, confessorum, et magistrorum [doctorum] : salutans et venerabiles iconas eorum, et omnem hæreticam abominans contentionem, necnon et eorum ductores atque primores, Simeonem videlicet, Marcionem, Manetem, Paulum quoque Samosatenum, et Sabellium Libyum, eorumque dogmata nefaria.

A Χριστοῦ καὶ Θεοῦ, ἐκ τῆς ἀληθῶς ἁγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· οὐσιωθέντος μὲν ἡμῖν ὁλικῶς χωρὶς ἁμαρτίας, μὴ ἐκστάντος δὲ οὗπερ ἦν, καὶ ὡς τῶν δύο φύσεων ἀσυγχύτων μεμενηκυιῶν μετὰ καὶ τῶν ἐν αὐταῖς δύο θελημάτων τε καὶ ἐνεργειῶν· σταυρωθέντος τε ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ταφέντος, καὶ ἀναστάντος, εἰς οὐρανούς τε ἀνεληλυθότος, καὶ ἥξοντος κρῖναι ζῶντας καὶ νεκρούς. Ἐπὶ τούτοις δὲ προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ἑκάστου τῶν πραχθέντων αἰωνίαν ἀντίδοσιν ἀγαθῶν τε καὶ τῶν ἐναντίων. Ἐξαιτοῦμαι δὲ καὶ τὰς πρεσβείας τῆς τε παναγίας ἀχράντου καὶ Ἀειπαρθένου Μαρίας, τῶν τε ἁγίων ἀγγέλων, καὶ τῶν ἁγίων ἐνδόξων ἀποστόλων, προφητῶν, μαρτύρων, ὁμολογητῶν τε καὶ διδασκάλων. Καὶ ἀσπάζομαι τὰς σεπτὰς αὐτῶν εἰκόνας. Καὶ πᾶσαν αἱρετικὴν ἐρεσχελίαν βδελύσσομαι, καὶ τοὺς αὐτῶν ἡγήτοράς τε καὶ προβολέας, λέγω δὴ Σίμωνα, Μαρκίωνα, Μάνεντα, Παῦλόν τε τὸν Σαμοσατέα, καὶ Σαβέλλιον τὸν Λίβυν, καὶ τὰ αὐτῶν ἐναγῆ δόγματα.

B

Recipio etiam sanctas et universales sex synodos, et earum divina dogmata pariter et doctrinas, tanquam quæ divina inspiratione nobis tradita fuerint. Et cum prima quidem homousion et una cum Patre sine initio Filium esse credens, anathematizo impium Arium, Aetium, Eunomium, Eudoxium, et Demophilum : post hos et eos qui jure dicuntur Dissimiles et Semiariani, atque omnem coinquinatam eorum catervam. Cum secunda vero Deum esse Spiritum sanctum et vivificatorem confitens, abjicio Macedonium et omnes qui unius cum illo sunt sensus, cum his autem et Deo perosum Apollinarium, qui insensate desipuit [*Gr.* qui sine mente opinatus est.] Cum tertia autem unum Dominum Jesum Christum verum Deum nostrum ex Patre genitum, eumdemque in novissimis diebus propter salutem nostram incarnatum ex sancta Dei Genitrice semperque virgine Maria, prædicans, hominis cultorem Nestorium, et bigam quæ circa ipsum est, Diodorum ait ac Theodorum, necnon et eorum prodigiosam fabulam prædicantes, et in Christo personalem dualitatem formantes, procul a confessione mea repello. Præterea cum quarta ex duabus naturis et in duabus naturis unum sanctæ Trinitatis Christum Deum nostrum carne venisse sentiens, anathematizo Eutychetem, Dioscorum, et totam ipsorum sine capite multitudinem, una cum divinitus fulminando Severo, et infando Juliano Halicarnasseo, qui fabulose Dominum nostrum incorruptum corpus suscepisse perhibuit. Denique in quinta, quæ sicut machæra spiritus in superficie quodammodo ex prioribus temporibus navigantes iniquas rescidit hæreses, et inventores patefecit earum, Origenem videlicet, et Didymum, et Evagrium ; ita et ego has, utpote portentosas hæreticorum fabulationes, repello. Porro per sextam sicut ex duabus naturis Christum, ex quibus

Ἀποδέχομαι δὲ καὶ τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους, καὶ τὰ αὐτῶν θεῖα δόγματά τε καὶ διδάγματα, ὡς θείᾳ ἐμπνεύσει ἡμῖν παραδοθέντα. Καὶ τῆς μὲν πρώτης ὁμοούσιον καὶ συνάναρχον εἶναι κηρυττούσης τῷ Πατρὶ τὸν Υἱὸν, ἀναθεματίζω τὸν δυσσεβῆ Ἄρειον, Ἀέτιον, Εὐδόξιον, Δημόφιλον· μεθ' οὓς καὶ τοὺς ἐνδίκως λεγομένους Ἀνομοίους τε καὶ Ἡμιαρείους, καὶ πᾶσαν τὴν μεμιασμένην ὁμήγυριν αὐτῶν. Τῆς δὲ δευτέρας, Θεὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιοῦν, ἀποβάλλομαι Μακεδόνιον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῷ. Σὺν τούτοις δὲ καὶ τὸν θεοστυγῆ Ἀπολινάριον, τὸν ἀνοήτως φρονήσαντα. Τῆς δὲ τρίτης, ἕνα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἐκ τοῦ Πατρὸς γεννηθέντα, αὐτόν τε ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα ἐκ τῆς ἁγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τὸν ἀνθρωπολάτρην Νεστόριον καὶ τὴν ἀμφ' αὐτὸν ξυνωρίδα, φημὶ δὴ Διόδωρόν τε καὶ Θεόδωρον, καὶ τοὺς τὴν αὐτῶν τερατομυθίαν πρεσβεύσαντας, ὡς νοήσαντας ἐπὶ Χριστοῦ τὴν προσωπικὴν δυάδα, πόρρω τῆς ἐμῆς ὁμολογίας ἐκδιώκω· τῆς δὲ τετάρτης, ἐκ δύο φύσεων εἶναι τὸν ἕνα τῆς ἁγίας Τριάδος Χριστὸν τὸν Θεὸν ἡμῶν σαρκὶ ἐπιδημήσαντα, ἀναθεματίζω Εὐτυχέα, Διόσκορον, καὶ πᾶσαν τὴν ἀκέφαλον αὐτῶν πληθὺν, μετὰ καὶ Σεβήρου τοῦ θεηλάτου, καὶ τοῦ ἀθεμίτου Ἰουλιανοῦ τοῦ Ἁλικαρνασσέως, τοῦ μυθευσαμένου ἄφθαρτον σῶμα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναλαβέσθαι. Τῆς δὲ πέμπτης, ὡς ἡ τοῦ Πνεύματος μάχαιρα τὰς ἐξ ἄνωθεν τῶν χρόνων ἐπιπολαζούσας ἀθέσμους αἱρέσεις ἐξέτεμε, καὶ τοὺς ἐφευρετὰς αὐτῶν ἐθριάμβευσεν, Ὠριγένην, Δίδυμόν τε καὶ Εὐάγριον, κἀγὼ ἐξωθοῦμαι ὡς αἱρετικῶν τερετισμάτων [*al.* τερατευμάτων] μυθεύματα. Τῆς δὲ ἕκτης, ὥσπερ ἐκ δύο φύσεων τὸν Χριστὸν, ἐξ ὧν ἐστιν, οὕτως καὶ τὰς δύο φυσικὰς θελήσεις τε καὶ ἐνεργείας ἐν ἑκατέρᾳ φύσει

C

D

Digitized by Google

πεπίστευκα, ἀνθρωπίνῃ τε καὶ θείᾳ. Καὶ ὑποβάλλω τῷ ἀναθέματι Κῦρον, Σέργιον, Ὀνώριον, Πύρρον, Παῦλον, καὶ πάντας τοὺς ὁμοδόξους αὐτοῖς, καὶ τὰ αὐτῶν δόγματα, ὡς Σοδομίνην ἄμπελον καὶ Γομόρρην κλη-ματίδα ἔχουσαν βότρυν πικρίας μεμίσηκα. Τῆς δὲ αὐτῆς ἁγίας ἕκτης συνόδου, μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειωδῶς ἐκφωνηθέντων δογμάτων παρ' αὐτῆς, καὶ τοὺς ἐκδοθέντας κανόνας ἀποδέχομαι, ἐν οἷς ἐμφέρεται· ἐν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. Τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιάς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα, τῇ Ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν πρωτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι· ὡς ἂν οὖν τὸ τέλειον καὶ ἐν ταῖς χρωματουργίαις ἐν ταῖς πάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν· δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. Τὰ δὲ περιττὰ θρυλλήματά τε καὶ βατταρίσματα μετὰ ταῦτα ἀβούλως ἐκφωνηθέντα, ὡς παρ' ὑμῖν μὴ ἀποδεχθέντα, μηδὲ κατὰ θείαν χάριν λαληθέντα, ἀβέβαια ἡγοῦμαι. Καὶ χαίρειν τούτοις εἰπόντες, καὶ ἐκποδὼν ποιησάμενοι, διαζωννύμεθα τὰς ὀσφύας ἡμῶν τῆς διανοίας ἐν ἀληθείᾳ, καὶ διανιστάμεθα ἅμα τοῖς εὐσεβέσι προμάχοις τῆς ἀληθείας πιστοῖς βασιλεῦσιν ἡμῶν πρὸς ἕνωσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας· οὓς καὶ σύνοδον γενέσθαι οἰκουμενικὴν ἠτησάμεθα ἐπὶ παρουσίᾳ παντὸς τοῦ φιλοχρίστου αὐτῶν λαοῦ· καὶ τῇ ἡμετέρᾳ αἰτήσει εὐσεβῶς ἐπένευσαν· ὅθεν ὑμᾶς τοὺς « ἐποικοδομηθέντας ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, » καθὼς ἐν τοῖς πρόσθεν εἴρηται, συμμάχους καὶ συνοπαδοὺς καὶ συναστιστὰς λαβόμενοι, « πεποίθησιν τοιαύτην ἔχομεν τὴν πρὸς Θεόν· οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ ἐστιν. » Ὅτι τὰ διερρωγότα μέλη καὶ ἀποσχισθέντα εἰς ἓν σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον τὴν αὔξησιν ποιήσεται, ἐν οἷς κεφαλή ἐστιν ὁ Χριστός. Καὶ μηκέτι εἴη διεσκορπισμένα.

Καὶ λοιπὸν αἰτοῦμαι τὴν ὑμετέραν ἁγιότητα, ἕως τῶν δύο τοποτηρητῶν ἀποστεῖλαι μετὰ θεηγόρου γραμματίου ὑμῶν, καὶ εἴ τί ἐστιν ὑμῖν ἐκ τοῦ Θεοῦ ἐνηχούμενον περὶ τῆς ὑποθέσεως ταύτης, φανερώσατε ἡμῖν· ὡς ὀφειλόντων καὶ τῶν τοποτηρητῶν ὑμῶν, καὶ τῶν γραμμάτων ὑμῶν συνοδικῶς ἐπὶ πᾶσι, τῶν μὲν λαλῆσαι, τῶν δὲ ἀναγνωσθῆναι, ὅπως ἑνωθῇ, τὰ διεσχισμένα. Αὐτὸ γὰρ τοῦτο καὶ παρὰ

et est, olim esse didiceram ; ita et duas naturales voluntates et operationes ejus in utraque natura credidi, humana scilicet et divina Submittoque anathemati Cyrum et Sergium, Honorium, Pyrrhum, Paulum, et omnes consectatores eorum ; dogma quoque ipsorum, ut Sodomiticam vitem, et Gomorrhiticam propaginem, amaritudinis botryonem habentes, odivi. Ipsius autem sanctæ sextæ synodi cum omnibus dogmatibus, quæ legaliter ac divinitus ab ea promulgata sunt, etiam depromptos canones recipio, in quibus refertur : In quibusdam venerabilium imaginum picturis agnus digito præcursoris exaratur ostensus, qui in figura præcessit gratiæ, verum nobis per legem demonstrans agnum, Christum videlicet Dominum nostrum. Veteres ergo figuras et umbras, utpote veritatis indicia, et præcedentes characteres Ecclesiæ traditos salutantes, gratiam honore præferimus et veritatem, hanc ut legis plenitudinem admittentes. Ut ergo perfectio etiam per colorum operationes in omnium vultibus depingatur, characterem Agni Dei nostri Christi, qui tollit peccata mundi, secundum humanitatem etiam in iconis ex hoc pro veteri agno definimus depingi : per eum videlicet celsitudinem humilitatis Dei Verbi considerantes, et ad memoriam conversationis quam in carne gessit, passionis quoque ac salutaris mortis ejus adducti, atque redemptionis quæ hinc est mundo effecta. Superfluas autem tumultuationes et garrulitates post hæc inconsulte promulgatas, ut apud vos minime receptas, neque per divinam gratiam dictas, irritas æstimamus : et ave istis dicentes, fugacesque facturi, accingimus lumbos mentis nostræ in veritate, et suscitamur una cum piis et fidelibus imperatoribus nostris, propugnatoribus videlicet veritatis, ad unitatem sanctæ Dei Ecclesiæ : a quibus et synodum universalem petivimus in præsentia totius eorum Deo amabilis populi, et postulationi nostræ pie annuerunt. Unde vos qui « superædificati estis super fundamentum apostolorum et prophetarum, ipsum videlicet summum et angularem lapidem Christum Jesum[75], » quemadmodum in præcedentibus dictum est, concertatores et consectatores ac auxiliatores sumentes, « Confidentiam talem habemus ad Dominum : non quod sufficientes sumus cogitare aliquid a nobis, quasi a nobis, sed sufficientia nostra ex Deo est[76] ; » quia disrupta membra et discissa in unum corpus compactum et connexum crescere faciet, in quibus caput est Christus, et ultra jam non erunt dispersa.

De cætero rogamus sanctitatem vestram, usque ad duos [vicarios] loci servatores mittere cum deiloqua epistola sua, et quidquid sibi fuerit divinitus super hoc negotio revelatum, nobis facere manifestum ; ut secundum quod debitum est, tam loci servatores, quam litteræ vestræ synodicæ sive ad loquendum, sive ad legendum in omnibus inveniantur, quatenus per hoc quæ scissa sunt, uniantur :

[75] Ephes. II, 20. [76] II Cor. III, 4, 5.

Digitized by Google

idipsum enim et a præsule senioris Romæ petivimus : et rogo vos fraterne, apostolicam vobis vocem pronuntians, tanquam Deo exhortante per nos ; omnia perscrutantes secundum consilium vestrum quod in Deo patefacite nobis. Scriptum est enim : *Labia sacerdotum custodient scientiam, et legem exquirent ex ore eorum* [77]. Certi enim sumus, quod semina veritatis in vobis salva custodiatis. Sed et pii imperatores nostri et per cuncta orthodoxæ veritatis firmitatem sectantur, et Domino Deo supplicare non cessant, secundum Gregorium qui a theologia cognomen sortitus est ; ut efficiamur nos, qui unius Dei exsistimus, unum ; et qui sumus Trinitatis, uniti et honore pares atque unanimes in cunctis inveniamur ; et qui sumus sancti Spiritus, non contra invicem, sed pro invicem simus ; et qui sumus veritatis, idipsum sapientes atque dicentes exhibeamur, et non sit contentio vel dissensio in nobis ; sed, sicut habemus unum baptisma, unam fidem, ita et consonantiam unam in omni ecclesiastico negotio. Et pax Dei quæ exsuperat omnem sensum, in unum nos conducat, et divisa uniat, atque diuturnum vulnus sanet, et incolumitate fidei integros servet, et in vera confessione atque concordia stabiliat omnes, uniatque sanctam Ecclesiam suam, et compescat scandala quæ superjacent ei intercessionibus intemeratæ Dominæ nostræ Dei Genitricis et omnium sanctorum fiat. Amen.

Petrus et Petrus Deo amabiles presbyteri, et locum retinentes beatissimi papæ Adriani senioris Romæ, dixerunt : Hujusmodi litteras sanctissimus papa recepit, et idcirco direxit nos cum rescriptis quæ jam lecta sunt.

Joannes Deo amabilis presbyter, et locum retinens orientalium principum sacerdotum, dixit : Hæ litteræ, et pietas imperii fecit nos venire huc, et effugere iniquorum illorum Ecclesiæ inimicorum manus.

Sancta synodus dixit : Deus vos bene adduxit.

Constantinus Deo amabilis diaconus et notarius dixit : Præ manibus habeo memoratos quaterniones qui missi sunt ab Oriente ; et si jubetis, legemus.

Sanctissimo ac beatissimo domino Tarasio archiepiscopo Constantinopoleos et universali patriarchæ, Orientis summi sacerdotes in Domino salutem.

Sacratissimis et ex divina deitatis inspiratione libellis apostolicæ ac paternæ sanctitatis vestræ prælectis, o beatissimi, nos humiles, et eorum qui desertum incolere gestiunt ultimi, tremore pariter et gaudio sumus detenti. Tremore quidem propter timorem eorum quibus ob peccata nostra servire decreti sumus, quique vere sunt impii et « in circuitu, secundum quod scriptum est, impii ambu-

[77] Malach. II, 7.

A τοῦ προέδρου τῆς πρεσβυτερας Ῥώμης ἠτησάμεθα· καὶ παρακαλῶ ὑμᾶς ἀδελφικῶς, τὴν ἀποστολικὴν ὑμῖν προσφθεγγόμενος φωνὴν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ὑμῶν, πάντα ἐρευνῶντες κατὰ τὸν ἔνθεον σκοπὸν ὑμῶν, φανερώσατε ἡμῖν. Γέγραπται γάρ· *Χείλη ἱερέων φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτῶν.* Πεπείσμεθα γὰρ, ὅτι τὰ σπέρματα τῆς ἀληθείας ἐν ἑαυτοῖς διασώζετε. Καὶ οἱ εὐσεβεῖς δὲ ἡμῶν βασιλεῖς καὶ κατὰ πάντα ὀρθόδοξοι τῆς ἀληθείας βεβαίωσιν ἐπισπῶνται, καὶ Κύριον τὸν Θεὸν ἱκετεύουσι κατὰ τὸν τῆς θεολογίας ἐπώνυμον Γρηγόριον, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς Θεοῦ ἕν, καὶ οἱ τῆς Τριάδος, ἡνωμένοι καὶ ὁμότιμοι καὶ ὁμόψυχοι· οἱ τοῦ ἁγίου Πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις· οἱ τῆς ἀληθείας τὸ αὐτὸ

B φρονοῦντες καὶ λέγοντες, καὶ μὴ εἴη ἔρις καὶ διχοστασία ἐν ἡμῖν· ἀλλ' ὥσπερ ἔχομεν ἓν βάπτισμα, μίαν πίστιν, οὕτως καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς ἐκκλησιαστικοῦ πράγματος. Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, εἰς ἓν συναγάγοι ἡμᾶς, καὶ τὰ διῃρημένα ἑνώσειε, καὶ τὸ χρόνιον ἕλκος ἰάσαιτο, καὶ ἐν εὐρωστίᾳ πίστεως ἀκραιφνοῦς καὶ ἀληθοῦς ὁμολογίας καὶ συμφωνίας στηρίξειε πάντας, καὶ φρουρήσειε τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν, καὶ παύσειε τὰ κατ' αὐτῆς ἐπικείμενα σκάνδαλα, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων γένοιτο. Ἀμήν.

C Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες τοῦ μακαριωτάτου πάπα Ἀδριανοῦ τῆς πρεσβυτέρας Ῥώμης, εἶπον· Τοιαῦτα γράμματα δεξάμενος καὶ ὁ ἁγιώτατος ἡμῶν πάπας, τούτου ἕνεκεν ἀπέστειλεν ἡμᾶς μετὰ τῶν ἀντιγράφων τῶν ἤδη ἀναγνωσθέντων.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος, καὶ τὸν τόπον ἐπέχων τῶν ἀνατολικῶν ἀρχιερέων, εἶπεν· Ταῦτα τὰ ἱερὰ γράμματα, καὶ ἡ εὐσέβεια τῆς βασιλείας παρεσκεύασεν ἡμᾶς τοῦ παραγενέσθαι ἐνταῦθα, καὶ διαφυγεῖν τῶν παρανόμων ἐκείνων καὶ ἐχθρῶν τῆς Ἐκκλησίας τὰς χεῖρας.

Ἡ ἁγία σύνοδος εἶπεν· Ὁ Θεὸς καλῶς ὑμᾶς ἤνεγκεν.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάD ριος εἶπεν· Ἐπὶ χεῖρας ἔχω τὰς μνημονευθείσας τετράδας τὰς ἀποσταλείσας ἐκ τῆς Ἀνατολῆς, καὶ εἰ κελεύετε, ἀναγνώσομαι.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ κυρίῳ καὶ δεσπότῃ Ταρασίῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ, οἱ τῆς Ἑῴας ἀρχιερεῖς ἐν Κυρίῳ χαίρειν.

Τοῖς πανιέροις καὶ ἐκ θείας ἐπιπνοίας ὑπαγορευθεῖσι λιβέλλοις τῆς ὑμετέρας ἐντετυχηκότες ἀποστολικῆς τε καὶ πατρικῆς ἁγιωσύνης μακαριώτατοι, ἡμεῖς οἱ ταπεινοὶ, καὶ τῶν τὴν ἔρημον παροικεῖν ἐφιεμένων ἔσχατοι, τρόμῳ καὶ χαρᾷ συνεσχέθημεν. Τρόμῳ μὲν, διὰ τὸν φόβον τῶν οἷς δουλεύειν διὰ τὰς ἁμαρτίας ἡμῶν κατεκρίθημεν, τῶν ὄντως ἀσεβῶν, καὶ κύκλῳ, κατὰ τὸ γεγραμμένον, περιπατούντων,

Digitized by Google

καὶ προφάσεις καθ' ἑκάστην, ὡς ἔπος εἰπεῖν, ἡμέραν ἐπιζητούντων τοῦ θανατῶσαι καὶ ἀπολέσαι ἡμᾶς· χαρᾷ δὲ, διὰ τὴν ἐκλάμπουσαν ἐν ὑμῖν [*al.* ἐν αὐτοῖς] ἀκτίνων δίκην ἡλιακῶν τῆς ὀρθοδόξου πίστεως ἀκρίβειαν, καὶ τῶν ἀποστολικῶν τε καὶ Πατρικῶν δογμάτων διαφανεστάτην ἐξάπλωσιν. Περὶ ὧν εὐκαίρως τῆς τοῦ προφήτου Ζαχαρίου καὶ τῆς τοῦ λόγου φωνῆς γεννήτορος εἰς μνήμην ᾠδῆς ἐληλυθότες, μεγαλοφώνως βοῶμεν· « Ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ παμφαὴς ἐξ ὕψους » θεωρητικῆς τε καὶ θεοφρονεστάτης διανοίας, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου, κακοτρόπου πλάνης, ἤτοι Ἀραβικῆς δυσσεβείας, καθημένοις ἡμῖν, τοῦ κατευθῦναι τοὺς νοημματικοὺς ἡμῶν πόδας εἰς ὁδὸν καὶ τρίβους εἰρηνικῆς καταστάσεως. « Τίς λαλήσει τὰς δυναστείας Κυρίου; » συμψαλλέτω Δαβὶδ ἡμῖν ὁ θεοπάτωρ· « Ἀκουστὰ; ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; » ὅτι ἠλέησεν ὁ Θεὸς τὸν ἀπεγνωσμένον λαὸν αὐτοῦ, καὶ τὰ διεστῶτα πρὸς μίαν συνῆψε πίστεως ἁρμονίαν. « Ὅτι ἤγειρε κέρας σωτηρίας ἡμῖν » καὶ ἀνορθώσεως ἐν οἴκῳ καὶ θεοδόχῳ ναῷ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οἵτινές ἐστε ὑμεῖς ἁγιώτατοι, καὶ οἱ τὰ δεύτερα κατὰ θεσμὸν καὶ τάξιν Ἐκκλησίας φέροντες ὑμῶν θεοστεφεῖς τροπαιοῦχοι καὶ θεοψήφιστοι βασιλεῖς ἡμῶν καὶ δεσπόται τῆς οἰκουμένης· ἱερωσύνη γὰρ βασιλείας ἁγιασμός ἐστι καὶ ἀναστοιχείωσις, καὶ βασιλεία ἱερωσύνης ἰσχὺς καὶ κραταίωμα. Περὶ ὧν σοφός τε ἄναξ καὶ ἐν βασιλεῦσιν ἁγίοις ἔφη μακαριστότατος· Μέγιστον δῶρον Θεὸς ἀνθρώποις παρέσχεν ἱερωσύνην καὶ βασιλείαν· τὴν μὲν τὰ οὐράνια κατακοσμοῦσαν καὶ διέπουσαν, τὴν δὲ οἰακίζουσαν θεσμοῖς δικαίοις τὰ ἐπίγεια. Νῦν ἀληθῶς τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται, καὶ συμφωνία κατάρχει διαφωνίας, καὶ ὑποκύπτει ἑνώσει διαίρεσις, καὶ φροῦδος κατέστη διάστασις· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φαιδρῶς πομπεύει τῷ προσώπῳ, καὶ παῤῥησιαστικῶς πολιτεύεται. Νῦν « Οἱ γενηθέντες ἡμεῖς ὄνειδος τοῖς γείτοσι καὶ συνομόροις ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν, » κἀκ τούτου πρὸς γῆν κεχηνότες, εἰς οὐρανοὺς ἐκθύμως συνανανεύομεν, καὶ ψαλμικῶς ἐν ἀγαλλιάσει ἀνακράζομεν· « Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί. » Κάμοῦ δὲ διὰ τὴν ἀκακίαν καὶ ἁπλότητα πλάνῃ περιτραπέντος ἀντελάβου, καὶ διασώσας με ἀνέστησας, καὶ ἐπὶ τὴν πέτραν τῆς ἀποστολικῆς πίστεως τοὺς χωλάναντάς μου πόδας κατέπηξας.

Ταῦτα καὶ τὰ τούτοις γράφειν ἡμᾶς συνῳδὰ παρεσκεύασαν αἱ θεοχάρακτοι δέλτοι ὑμῶν, ἃς κανονικῷ κινούμενοι νόμῳ, καὶ πατροπαραδότῳ εὐταξίᾳ ποδηγούμενοι, τοῖς τοὺς ἀποστολικοὺς θρόνους διέπειν λαχοῦσι διὰ ξυνωρίδος ἁγίας καὶ εὐλαβοῦς καὶ θεοδηγήτου πεπόμφατε· οἵτινες ἀφικόμενοι, καὶ κατὰ Θεοῦ βούλησίν τε καὶ ἐπίνευσιν ὑπηντηκότες τοῖς

lant [78], » ac per singulos pene dies occasiones exquirunt, ut nos morti tradant, et perdant, gaudio vero, propter veritatem orthodoxæ fidei quæ fulget in eis solarium more radiorum, et luculentissimam explanationem apostolicorum dogmatum et paternorum. De quibus apte genitorem vocis Verbi, id est, prophetam Zachariam ad memoriam reducentes, magna voce clamamus: « Visitavit nos oriens ex alto [79], » splendidius theorica et divina providentia illustratæ mentis, in tenebris et umbra mortis maligni erroris, id est, Arabicæ impietatis, sedentes, ad dirigendos intelligibiles pedes nostros in viam et semitas pacificeræ constitutionis. « Quis loquetur potentias Domini [80]? » nobiscum psallat David pater Dei; « Aut auditas faciet omnes laudes ejus [81]? » quoniam misertus est Deus desperati populi sui, et distantia ad unam fidei collegit harmoniam. « Et erexit cornu salutis nobis [82], » et directionis in domo, et dominum recipiente templo unigeniti Filii sui, Domini videlicet Dei ac Salvatoris nostri Jesu Christi: quod estis vos sanctissimi [83], atque hi qui partes secundas Ecclesiæ portant per legem et ordinem Ecclesiæ nostræ, triumphatores scilicet ac divinitus redimiti seu decreti principes nostri et domini terrarum orbis. Sacerdotium enim imperii sanctificatio est et constitutio, et imperium sacerdotii fortitudo et firmamentum: de quibus sapiens quidam princeps et in sanctis regibus beatissimus ait: Maximum donum Deus hominibus præstitit, sacerdotium et imperium: illud quidem adornans et regens cœlestia, hoc vero gubernans legibus justis terrestria. Nunc veraciter medius maceriæ paries solutus est, et concordia discordiæ principatur, et incurvatur unitati divisio, et fuga lapsa disparuit dissonantia: et pax Dei quæ exsuperat omnem sensum, jucundo vultu triumphat, et fiducialiter conversatur. Nunc nos « qui facti fueramus opprobrium vicinis et affinibus nostris, subsannatio et derisio his qui in circuitu nostro sunt [84], » ac per hoc ad terram præ confusione prospicientes, ad cœlos unanimi alacritate suspicimus, et psallentes in exsultatione proclamamus: « In hoc cognovi, quoniam voluisti me, quia non gaudebit inimicus meus super me [85]. » Me autem propter innocentiam et simplicitatem erroris [errore] titubantem suscepisti, et salvum me faciens erexisti, et super petram apostolicæ fidei claudicantes pedes meos infixisti.

Hæc et his concinentia scribere nos fecerunt divinitus exarata volumina vestra, quæ canonica moti lege, et paternæ traditionis disciplina docti, his qui apostolicarum sedium moderamen sortiti sunt, per reverendas et a Deo directas bigas misistis: qui pervenientes, et per Dei voluntatem ac nutum occurrentes Dei cultoribus fratribus nostris,

[78] Psal. xl, 9. [79] Luc. i, 78. [80] Psal. cv, 2. [81] ibid. [82] Luc. i, 69. [83] Anast. verb., « Quia primas retinent patriarchæ, nam primum in Ecclesia locum possident sacerdotes. » [84] Psal. lxxviii, 4. [85] Psal. xl, 12.

Digitized by Google

viris sanctis, qui dederunt animas suas pro Ecclesiarum correctione ; et recogniti ex veteri et antiqua conversatione , valde gavisi sunt : et maxime reperientes ambos in uno loco degentes, et modum Deo placitum persequentes. Et sese revelantes, ostenderunt eis orthodoxiæ vestræ Deo decentes et dignos admiratione libellos, referentes per ordinem Deo placitæ sanctitatis vestræ mentis, et pium Deo conservatorum dominorum nostrorum consilium, et communis omnium salutis exspectationem, et circa Deum sine confusione spem. At illi quasi unam animam in duobus corporibus habentes, et unum, secundum Apostolum, sapientes, et a divino agitati Spiritu, secreto pariter et intelligenter fratres contegentes et occultantes propter formidinem inimicorum crucis, quæ hinc inde disposita fuerat, non ausi sunt, cum essent sapientes, vel credere visionem ipsorum, vel causæ operari decursum : præsertim cum in timore res haberetur, et quam maxime crebrescens consilium et diligens circumspiciendi tractatus exigeretur. « Consilium enim bonum custodiet, inquit, te ; cogitatio vere bona servabit te [86]. » Et ecce dum lateret eos qui se sub tuitione custodiæ [quos in suæ tuitionis custodiam] posuerunt, concurrerunt usque ad nos : et in idipsum congregantes silenter, humilitatem nostram primo quidem adjuramentum vincientes [87], nos servare secreto ac sine propalatione, quæ ab eis erant dicenda, et in hunc modum quidquid ad cautelam pertinet exaggerantes , revelaverunt nobis omnem rei quæ sibi acciderat , circumstantiam. Stupefacti autem et compuncti corde, lacrymisque perfusi ferventibus super hujusmodi narrationis miraculo [inopinato] et gloria tantæ rerum mutationis , stetimus ad orationem , veluti peccatores , cum timore ac tremore , et ei qui facit omnia , et transfert ad id quod melius est, decentem laudem referentes , petivimus obnixe benignitatem ejus , quo in minimis nobis fieret medius, et per Spiritum sanctum illucesceret lux scientiæ in cordibus nostris, atque communis utilitatis consilii donaret virtutem, cogitationesque bonas ad determinationem optimi vestri propositi : quod et fecit, cum esset benignus atque misericors.

Consideravimus igitur, sanctissimi, contaminatæ nationis cognoscentes contra nos infestationem, retinere hos qui missi sunt, et prohibere appropriare his ad quos destinati sunt: ducentes hos in medium nostrum, et admonentes plurimum, ne inducerent turbationem, imo, ut specialius dicamus, exitium quiescentibus, et Dei gratia pacificatis Ecclesiis, vel populo miserabiliter jugo servitutis afflicto, et importabilium illatione tributorum oppresso. At illi hæc moleste ferentes, dicebant, quia in hoc destinati sumus, ut tradamus nostras in mortem animas pro Ecclesia, et propositum sanctissimi patriarchæ ac piissimorum imperatorum perducamus

εὐσεβεστάτοις ἀδελφοῖς ἡμῶν ἀνδράσιν ἁγίοις καὶ δεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τῆς τῶν Ἐκκλησιῶν διορθώσεως, ἀναγνωρισθέντες ἐκ παλαιᾶς καὶ ἀρχαίας ἀναστροφῆς, λίαν ἐχάρησαν· καὶ μάλιστα εὑρηκότες ἄμφω ἐν ἑνὶ διατρίβοντας τόπῳ, καὶ τὸν θεοφιλῆ τρόπον διώκοντας. Καὶ ἀνακαλύψαντες ἑαυτοὺς, ὑπέδειξαν αὐτοῖς τοὺς τῆς ὀρθοδοξίας ὑμῶν θεοπρεπεῖς καὶ ἀξιαγάστους λιβέλλους, διηγησάμενοι κατ' ἔπος τῆς θεαρέστου γνώμης τῆς σῆς ἁγιότητος, καὶ τῶν θεοφυλάκτων δεσποτῶν ἡμῶν τὴν εὐβουλίαν, καὶ τῆς κοινῆς τῶν ὅλων σωτηρίας τὴν προσδοκίαν, καὶ πρὸς Θεὸν ἀκαταίσχυντον ἐλπίδα. Οἱ δὲ ὥσπερ μίαν ψυχὴν ἐν δυσὶ σώμασιν ἔχοντες, καὶ τὸ ἓν ἀποστολικῶς φρονοῦντες, καὶ ὑπὸ τοῦ θείου κινούμενοι Πνεύματος, μυστικῶς ἅμα καὶ συνετῶς τοὺς ἀδελφοὺς περιστείλαντές τε καὶ κατακρύψαντες διὰ τὸ περιστοιχοῦν δέος τῶν ἐχθρῶν τοῦ σταυροῦ, οὐ κατεθάρρησαν, καίπερ σοφοὶ ὄντες; ἢ καταπιστεῦσαι τῇ σφῶν αὐτῶν θεωρίᾳ, ἢ τῆς ὑποθέσεως ἐνεργῆσαι τὴν διέξοδον, δεδεημένης καὶ μάλιστα διεσμιλευμένης καὶ πεπυκνωμένης βουλῆς τε καὶ σκέψεως. « Βουλὴ γὰρ, φησὶ, καλὴ φυλάξει σε, ἔννοια δὲ ἀγαθὴ τηρήσει σε. » Καὶ δὴ λαθόντες οὓς ἐν ἀσφαλείᾳ παραφυλακῆς ἀπέθεντο, ἔδραμον ὡς ἡμᾶς, καὶ ἐπὶ τὸ αὐτὸ ἠθροικότες ἀψοφητὶ τὴν ἡμετέραν ταπείνωσιν, πρῶτον μὲν κατακρίσει φρικωδεστάτῃ συνδήσαντες ἡμᾶς, φυλάξαι ἀνεξαγόρευτα τὰ πρὸς αὐτῶν λεχθησόμενα, καὶ τοῦτον τὸν τρόπον ἑαυτοῖς ἐπισεσωρευκότες τὸ ἀσφαλὲς, ἀπεκάλυψαν ἡμῖν πᾶσαν τὴν περιπέτειαν· καταπλαγέντες δὲ καὶ κατανυγέντες τὴν καρδίαν, δάκρυσί τε συσχεθέντες θερμοῖς ἐπὶ τῷ τοιούτῳ τῆς διηγήσεως θαύματι, καὶ τῷ παραδόξῳ τῆς τοιαύτης μεταβολῆς, ἐστημεν εἰς προσευχὴν ὡς ἁμαρτωλοὶ μετὰ φόβου καὶ τρόμου· καὶ τῷ ποιοῦντι πάντα καὶ μετασκευάζοντι πρὸς τὸ βέλτιον προσαγηοχότες τὴν πρέπουσαν αἴνεσιν, ἠτησάμεθα τὴν αὐτοῦ ἐκτενῶς ἀγαθότητα τῶν ἐλαχίστων ἡμῶν γενέσθαι ἐν μέσῳ, καὶ διὰ Πνεύματος ἁγίου ἐπιλάμψαι φῶς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν, καὶ κοινωφελοῦς βουλῆς χαρίσασθαι δύναμιν, καὶ ἐννοίας ἀγαθὰς πρὸς περαίωσιν τῆς ἀρίστης ὑμῶν προθέσεως· ὃ δὴ καὶ ἐποίησεν ἀγαθὸς ὢν καὶ φιλάνθρωπος.

Συνείδομεν τοιγαροῦν, ἁγιώτατοι, τοῦ μιαροῦ γινώσκοντες ἔθνους τὴν ὡς ἡμᾶς ἀπέχθειαν, ἐπισχεῖν τοὺς ἀποσταλέντας, καὶ κωλῦσαι προσεγγίσαι τοῖς πρὸς οὓς ἀπεστάλησαν, ἀγαγόντες αὐτοὺς μέσον ἡμῶν, καὶ νουθετήσαντες πλεῖστα μὴ ἐπαγαγεῖν τάραχον, μᾶλλον δὲ εἰπεῖν ὄλεθρον οἰκειότερον ἠρεμούσαις καὶ Θεοῦ χάριτι εἰρηνευούσαις Ἐκκλησίαις, καὶ λαῷ ταλαιπωροῦντι δουλείας ζυγῷ, καὶ δυσεκτίτων φόρων πιεζομένῳ ἐπαγωγῇ· οἱ δὲ δυσανασχετοῦντες ἔλεγον, ὡς εἰς τοῦτο ἀπεστάλημεν, παραδοῦναι τὰς ἑαυτῶν εἰς θάνατον ψυχὰς ὑπὲρ τῆς Ἐκκλησίας, καὶ τὴν πρόθεσιν τοῦ ἁγιωτάτου πατριάρχου καὶ τῶν εὐσεβῶν βασιλέων εἰς πέρας ἀγαγεῖν.

[86] Prov. II, 11. [87] Gr. addit, « maxime horribili », quod etiam epitheton legitur in ms. Jolyano.

Digitized by Google

Ἀλλ' εἰ μὲν εἰς τὰς ἡμετέρας καὶ μόνον ψυχάς, ἔφημεν πρὸς αὐτοὺς, συνηντεῖτο ὁ κίνδυνος, εἶχεν ἂν ὁ λόγος ὑμῶν τὸ βέβαιον· ἐπεὶ δὲ κατὰ κοινοῦ τοῦ τῆς Ἐκκλησίας προέρχεται σώματος, ποία ἔσται δνησις; μᾶλλον δὲ ποῖον οὐκ ἔσται βλάβος, κτίσαι οἰκοδομὴν ἐπίσαθρον, καὶ στερρροῦ θεμελίου χηρεύουσαν; καὶ πῶς, ἔλεγον, ἢ ποίῳ προσώπῳ πρὸς τοὺς ἀπεσταλκότας ἡμᾶς ἐπανήξομεν, ἐπιφερόμενοι μηδὲν τῶν κατὰ γνώμην αὐτοῖς ἐλπιζομένων; Πρὸς ταῦτα ἠπορηκότες ἡμεῖς γινώσκοντές τε τοὺς θεοφιλεῖς ἀδελφοὺς ἡμῶν Ἰωάννην καὶ Θωμᾶν ζήλῳ θείῳ τῆς ὀρθοδόξου κεκοσμημένους πίστεως, δύο ἁγίων καὶ μεγάλων πατριαρχῶν ὁμοψύχους συγκέλλους γενομένους, οὐ μὴν ἀλλὰ καὶ τῆς ἁγιοποιοῦ ἡσυχίας ὄντας ἐραστὰς, ἔφημεν πρὸς αὐτούς· Ἴδε καιρὸς, ἀδελφοὶ πρόσφορος σωτηρίας, καὶ ἡσυχίας μᾶλλον ὑψηλότερος· πορεύεσθε σὺν τοῖς ἀνδράσι τούτοις, καὶ τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ἀναδέξασθε. Καὶ διηγήσασθε ζώσῃ φωνῇ, ἃ διὰ γραμμάτων γνωρίσαι τοῖς δεσπόταις ἡμῶν παρέλκον ἡγούμεθα.

Οἴδατε, ὅπως διὰ βραχυτάτης κατηγορίας ἐξόριστος γέγονεν ἀπὸ δισχιλίων σημείων ὁ τὸν θρόνον λαχὼν διέπειν τοῦ ἀδελφοθέου Ἰακώβου. Ὁπηνίκα δὲ τὸ τοῦ Θεοῦ ἔργον πληρώσητε, καὶ τὴν κρατοῦσαν ἀποστολικὴν παράδοσιν ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ ταῖς κατ' Αἴγυπτον καὶ Συρίαν τοῖς δεσπόταις ἡμῶν γνωρίσητε, τηνικαῦτα τὸ ποθούμενον ὑμῖν ἀσπάσασθε. Καὶ πῶς ἡμεῖς, ἀπεκρίναντο, ἰδιῶται καὶ ἀγνῶτες ὄντες, καὶ πρὸς τὴν ὑπόθεσιν ἀσθενῶς καὶ ἀμαθῶς ἔχοντες, κατατολμήσομεν χρήματος τὴν ἡμετέραν ὑπερβάλλοντος δύναμιν; Ἀλλ' ὁ δι' εὐτελῶν καὶ ἰδιωτῶν, ἀντέφημεν, ἐνεργήσας, τῶν ἁγίων ἀποστόλων, φημὶ, καὶ δι' αὐτῶν ζωγρήσας τὴν οἰκουμένην πᾶσαν πρὸς ὑπακοὴν τοῦ λόγου τῆς αὐτοῦ οἰκονομίας, Χριστὸς ὁ Θεὸς ἡμῶν δυνατός ἐστι δοῦναι ὑμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ὑμῶν, πρὸς τὸ ἀναπληρῶσαι τὸν σκοπὸν καὶ φρόνημα τῶν μήτε γράμματα δυναμένων δέξασθαι, μηδ' αὖ τολμώντων γράψαι ἢ γρύξαι τι περὶ τῶν τοιούτων. Οἱ δὲ θεοφιλεῖς ὄντες, καὶ ὑπακοῆς υἱοὶ πεφηνότες, ἐπείσθησαν τῷ λόγῳ ἡμῶν, καὶ εἶξαν τῇ παρακλήσει. Οὓς μετ' ἐκτενοῦς προσπεπομφότες εὐχῆς, καὶ χαρὰν οὐ τὴν τυχοῦσαν τοῖς ἀποσταλεῖσι προεξενηκότες, οὕτω διεσπάσθημεν ἀπ' ἀλλήλων μετὰ πολλῆς δακρύων χύσεως. Ἀλλ', ὦ ἁγιώτατοι καὶ μακαριώτατοι, ὡς πρέπον ἐστὶ τῇ πατρικῇ δεσποτείᾳ ὑμῶν, ἀσμένως τοὺς ἀδελφοὺς ἡμῶν ὑποδέξασθε, καὶ τοῖς δεσπόταις τῆς οἰκουμένης ἄτερ συστολῆς καὶ ἀνθρωπίνου φόβου παραστήσατε. Ἔξετε γὰρ αὐτοὺς ἐπισταμένους ἀκριβῶς τῶν τριῶν ἀποστολικῶν θρόνων τὴν ὁμονοητικήν τε καὶ σύμφωνον ὀρθοδοξίαν· οἵτινες τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους ὁμοφώνως κηρύττουσιν, ἑτέραν πρὸς ταύτας, ἣν καὶ ἑβδόμην τινὲς θρυλλοῦσιν, οὐ προσιέμενοι, ἀλλὰ πάμπαν ἀποβαλλόμενοι, ὡς ἐπὶ καθαιρέσει τῶν ἀποστολικῶν τε καὶ διδασκαλικῶν παραδόσεων συναθροισθεῖσαν, καὶ τῶν θείων καὶ σεπτῶν εἰκόνων ἀναιρέσει καὶ ἐξ-

A in finem. Sed si in vestras tantummodo animas, diximus ad eos, cohauriretur [88] periculum, haberet forte sermo vester aliquam firmitatem. At vero quia contra commune corpus procedit Ecclesiæ, qualis erit profectus? imo qualis non erit læsio, ædificium construere super putredinem, et firmo fundamento privatum? et quomodo, inquiunt, vel qua facie ad eos qui nos miserunt, redibimus, nihil eorum quæ secundum votum suum sperabant, omnino ferentes? Ad hæc deficientes nos, scientesque Deo amabiles fratres nostros, Joannem scilicet et Thomam, zelo divino orthodoxæ fidei adornatos, atque duorum sanctorum et magnorum patriarcharum syncellos, quin et sanctificandos [sanctifici] silentii amatores, diximus ad eos: Ecce tempus, fratres, acceptum B salutis, et silentio excellentius. Ite cum viris istis, et pro eis apologiam assumite; et enarrate viva voce, quæ per litteras intimare dominis nostris supra vires esse conjicimus.

Nostis enim qualiter per pusillam accusationem exsul factus sit a bis millibus signorum ille qui ad regendum thronum fratris Domini sortitus est Jacobi. Cum autem opus Dei adimpleveritis, et apostolicam traditionem quæ tenetur in Ecclesiis per Ægyptum et Syriam, dominis nostris cognitam feceritis, tunc quod a vobis desideratur, amplectimini. Et quomodo nos, responderunt, idiotæ cum simus et inexpertes [*Gr.* ignoti], et ad tantam causam infirmi et indocti, præsumemus arripere negotium quod virtutem nostram exsuperat? Sed Christus Deus noster, qui per vilissimos et idiotas, e C vestigio diximus, cooperatus est, sanctos, inquam, apostolos, et per eos orbem terrarum captavit [89] ad obedientiam verbi dispensationis suæ, potens est dare vobis sermonem in apertione oris vestri, ad supplendum intentionem et sensum eorum qui neque litteras quiverunt suscipere, neque ausi sunt scribere, vel super talibus quolibet modo mutire. Qui cum Dei essent amatores, obedientiæ filii apparentes, obedierunt verbo nostro, et acquieverunt hortationi: quos cum prolixa promittentes oratione, et gaudium non qualecunque his qui missi sunt, conciliantes, taliter divulsi sumus abinvicem cum D multa lacrymarum effusione. Verum, o sanctissimi et beatissimi, ut decet paternam dominationem vestram, benigne fratres nostros suscipite, et dominis orbis absque subtractione vel timore hominum præsentate: habebitis enim eos scientes liquido trium apostolicarum sedium concinentem et concordantem orthodoxiam: qui sanctas et universales sex synodos voce consona prædicant, aliam ad has, quam et septimam quidam susurrando nuncupant, nullatenus admittentes, imo modis omnibus respuentes, nimirum ut dudum in apostolicarum et magisterialium traditionum depositionem, atque sacrarum ac venerabilium imaginum interemptio-

[88] Sic etiam in Græco, sed forte melius, *cooriretur*. HARD. [89] Sic etiam in Græco, sed tamen forte melius, *captiravit*. HARD.

Digitized by Google

nem et abolitionem, collectam. Vos autem, sanctissimi divino illustrati zelo, consentaneos quoque habentes divinitus conservandos dominos, qui justo decreto Dei in vobis imperare præordinati sunt, simul etiam et a Deo protegendum et muniendum senatum prævalete et viriliter agite, et confortetur cor vestrum [99], omnem inobedientiam apostolice ulciscentes, et ad Christi obedientiam coaptantes.

Illud autem tanquam necessarium penes pontificalem apicem vestrum commonendum ducimus; ut si beneplacito cunctorum regis, Christi videlicet Dei nostri, et eorum qui cum eo regnare meruerunt, Dei scilicet amicorum et triumphatorum dominorum nostrorum, volueritis celebrare synodum: ne molesta vobis appareat trium apostolicarum sedium almorum patriarcharum, et sanctissimorum episcoporum, qui sub ipsis degunt, absentia, non ex proprio eorum accidens proposito, sed ex tenentium seu dominantium illis terribilibus minis et mortiferis pœnis. Hoc autem subtilius est considerandum etiam ab ipsa sacra et universali sexta synodo, in qua nullus eorum qui per idem tempus in his partibus episcopi erant, convenisse repertus est propter obscenorum obtinentiam. Sed nullum ex hoc sanctæ adhæsit synodo præjudicium: neque vires habuit prohibitio aliqua statuendi et manifesta faciendi recta dogmata pietatis, præcipue cum sanctissimus et apostolicus papa Romanus concordaverit, et in ea inventus sit per apocrisiarios suos. Et nunc, sanctissimi, hoc cum auxilio Dei similiter fiat. Nam sicut tunc illius fides in orbis terræ personuit fines, ita et synodi quæ nunc per gratiam Dei congreganda est per interventionem vestram, et ejus qui moderatur apostolorum principis sedem, prædicabitur in omni loco qui sub sole est; videlicet quæ tyrannice destructa sunt, erigens, et in antiquam et apostolicam reformans traditionem. Porro ad munitionem humilium litterarum nostrarum, satisfactionemque beatitudinis dominationis vestræ, atque victorum et triumphatorum imperatorum nostrorum, conspeximus etiam exemplar Synodicorum Theodori sanctæ memoriæ Patris nostri et patriarchæ Hierosolymorum subjiciendum his quæ scripta sunt a nobis. Hunc autem libellum secundum solitum Ecclesiæ ritum, idem sanctæ recordationis scripsit beatis et almi termini sanctissimis patriarchis, Cosmæ scilicet Alexandriæ, ac Theodoro Antiochiæ Theopoleos; qui et reciproca Synodica eorum, dum adhuc viveret, recepisse dignoscitur. Incolumes vos pro nobis orantes Dominus conservet, sanctissimi et divinitus honorati.

[99] I Cor. xvi, 13.

A ἀλείψει· ὑμεῖς δὲ, ἁγιώτατοι, πεπυρσευμένοι θείῳ ζήλῳ ὑπάρχοντες, σύμφρονάς τε τοὺς δικαίᾳ ψήφῳ Θεοῦ βασιλεύειν ὑμῶν προκριθέντας θεοφυλάκτους δεσπότας ἔχοντες, ἅμα δὲ καὶ τὴν θεοσκεπῆ καὶ θεστείχιστον σύγκλητον, ἰσχύσατε καὶ ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πᾶσαν παρακοὴν ἀποστολικῶς διεκδικοῦντες, καὶ εἰς τὴν τοῦ Χριστοῦ ὑπακοὴν μεθαρμόζοντες.

Ἐκεῖνο δὲ ὑπομιμνήσκομεν, ὡς ἀναγκαῖον τὴν ἱεραρχικὴν ὑμῶν κορυφὴν, εἴγε εὐδοκίᾳ τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τῶν αὐτῷ συμβασιλεύειν ἀξιωμένων θεοσεβεστάτων καὶ τροπαιούχων δεσποτῶν ἡμῶν, βουληθείητε συγκροτῆσαι σύνοδον, μὴ ἐπαχθὴς ὑμῖν φανείη τῶν τριῶν ἀποστολικῶν θρόνων τῶν ἁγιωτάτων πατριαρχῶν, καὶ τῶν ὑπ' αὐτοὺς ὁσιωτάτων ἐπισκόπων ἡ ἀπόλειψις. Οὐ γὰρ ἐξ οἰκείας αὐτῶν τὸ ἐμποδὼν προθέσεως, ἀλλὰ τῆς τῶν κρατούντων καὶ κυριευόντων αὐτῶν φρικωδεστάτης ἐπαπειλήσεως καὶ θανατηφόρου ἐπιτιμήσεως. Τοῦτο δὲ ἔστιν ἀκριβέστερον συνιδεῖν καὶ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, ἐν ᾗ οὐδεὶς τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν τούτοις ἐπισκοπούντων τοῖς μέρεσι συναχθεὶς εὑρηται διὰ τὴν τῶν μιαρῶν ἐπικράτειαν. Ἀλλ' οὐδὲ ἐκ τούτου τῇ ἁγίᾳ συνόδῳ πρόκριμα συνεπλάκη, οὐδ' αὖ παρωμάρτησε κώλυσίς τις συστήσασθαι, καὶ κατάδηλα πᾶσι ποιῆσαι τὰ ὀρθὰ τῆς εὐσεβείας δόγματα· μάλιστα τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάπα Ῥώμης συμφωνήσαντος αὐτῇ καὶ συνευρεθέντος διὰ τῶν οἰκείων ἀποκρισιαρίων. Καὶ ἀρτίως, ἁγιώτατοι, τοῦτο γένοιτο σὺν Θεῷ. Καὶ ὃν τρόπον τηνικαῦτα ἐκείνης ἡ πίστις εἰς τὰ τῆς οἰκουμένης ἐξήχηται πέρατα, οὕτω καὶ τῆς νυνὶ ἀθροισθησομένης Χριστοῦ χάριτι συνόδου διὰ μεσιτείας ὑμῶν καὶ τοῦ τὸν ἀποστολικὸν θρόνον τοῦ κορυφαίου διέποντος, κηρυχθήσεται ἐν ὅλῃ τῇ ὑφ' ἡλίῳ· δηλαδὴ τὰ τυραννικῶς καταστραφέντα ἀνορθούσης, καὶ εἰς τὸ ἀρχαῖον ἀποκαθιστώσης κατὰ τὴν ἀποστολικὴν παράδοσιν. Πρὸς δὲ ὀχύρωσιν τῶν μετρίων ἡμῶν γραμμάτων, πληροφορίαν τε τῆς ὑμετέρας δεσποτικῆς μακαριότητος, καὶ τῶν νικητῶν καὶ τροπαιούχων ἡμῶν βασιλέων, συνείδομεν καὶ τὸ ἴσον τῆς συνοδικῆς Θεοδώρου τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ πατριάρχου Ἱεροσολύμων ὑποτάξαι τοῖς ὑφ' ἡμῶν γραφεῖσι. Τοῦτον δὲ τὸν λίβελλον κατὰ τὸν συνήθη θεσμὸν τῆς Ἐκκλησίας ὁ αὐτὸς ἐν ἁγίᾳ τῇ λήξει γεγράφηκε τοῖς μακαρίοις καὶ ἐν ὁσίᾳ τῇ λήξει ἁγιωτάτοις πατριάρχαις, Κοσμᾷ, φαμὲν, τῷ Ἀλεξανδρείας, καὶ Θεοδώρῳ τῷ Ἀντιοχείας Θεουπόλεως, ὃς καὶ τὰ ἀντισυνοδικὰ αὐτῶν ἔτι ζῶν ἐδέξατο. Ἐῤῥωμένους ὑμᾶς καὶ ἡμῖν εὐχομένους ὁ Κύριος διαφυλάξειεν, ἁγιώτατοι καὶ θεοτίμητοι.

Digitized by Google

Γ'.

A

Ἀδελφοῖς καὶ συλλειτουργοῖς πᾶσι τοῖς ὁσιωτάτοις ἐπισκόποις τῆς φιλοχρίστου Σικελῶν, Ταράσιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης.

Fratribus et comministris omnibus sanctissimis et Christi amantibus episcopis Siculorum, Tarasius Dei miseratione episcopus Constantinopoleos novæ Romæ (1).

Οἱ τοῖς θείοις σοφῶς ἐμμελετῶντες λόγοις, καὶ ἐρευνητικῶς, καὶ οὐ παροδευτικῶς ἐν αὐτοῖς ἐγκύπτοντες, καὶ τὸν νοῦν αὐτῶν τῇ εὐσεβείᾳ καὶ τῇ ἀληθείᾳ προσπηγνύντες, φωτίζονται πως θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, ἐξ ἀποστολικῶν προφητικῶν τε, φημὶ, καὶ πατρικῶν διδαγμάτων, καὶ τῇ αἴγλῃ τῆς αὐγῆς προορῶνται τὸν κύριον ἐνώπιον αὐτοῦ διαπαντὸς, καὶ διὰ τῆς πρακτικῆς ἀρετῆς πρὸς θεωρίαν ἀνάγονται· εἶτά τε καὶ τὴν δογματικὴν διδασκαλίαν ταύταις ἀναμιγνύντες, σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους πρὸς τὴν ἀλήθειαν ἐκπαιδεύοντες, τὸ ἦθος τοῦ βίου ῥυθμίζουσι, καὶ τῶν γηΐνων ὑπεραναβεβηκότες, τὰ ἄνω φρονοῦσι, καὶ ὥσπερ τὸ διαφανὲς ὕδωρ ἐκμάσσεται τῶν εἰσρεόντων τὰς ὄψεις καὶ αὐτοῦ τοῦ ἡλίου τὸν κύκλον καὶ τῶν οὐρανῶν τὰ κύτη, οὕτω καὶ αὐτοὶ νόες καθαροὶ, νοῒ καθαρῷ προσμιγνύμενοι, οἷόν τι ἐκμαγεῖον καὶ κάτοπτρον γίνονται τῆς θείας δόξης, ὡς ὁ Κύριος ἔφη· « Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· » καὶ ἀξίως θῦται καὶ ἱερεῖς καὶ μυστηπόλοι ἐκλέγονται τοῦ λαοῦ προκαθεζόμενοι, ὅτι καὶ περὶ αὐτῶν εἴρηται· « Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐπὶ τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. » Ἄνδρες οὖν ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, ἀκούομεν ὅτι τὸν κανονικὸν θεσμὸν φυλάττοντες συναθροίζεσθε καθ' ἕκαστον χρόνον ἐπὶ τὸ διακρίνειν τὰ παρατυγχάνοντα ἐκκλησιαστικὰ κεφάλαια ἐπὶ πάσῃ τῇ ἐπαρχίᾳ ὑμῶν, καὶ πάντως ἐπικαλεῖσθε τὸν Κύριον, ἵνα τὴν χάριν τοῦ Πνεύματος καταπέμπων ὑμῖν, δῷ ἑκάστῳ ὑμῶν λόγον συνέσεως, λόγον θείας βουλῆς, λόγον φυλακῆς ἐντολῶν Θεοῦ, λόγον τηρήσεως κανονικῶν διδαγμάτων ταῖς κοσμικαῖς φροντίσι ταῖς ἐναντιουμέναις τοῖς προστάγμασι τοῦ Θεοῦ χαίρειν λέγοντες, πνευματικῶς πνευματικὰ συγκρίνετε, μὴ προκρίναντες τὰ ἀνθρώπινα τῶν πνευματικῶν· τοῦτο γὰρ ἀνθρωπίνης χάριτος ἔργον, οὐ τῆς τοῦ Πνεύματος· τί δέ εἰσι τὰ πνευματικά; εὐαγγελικαὶ ἀποφάσεις, ἀποστολικαὶ διαταγαὶ, τὰ τῶν θείων κανόνων διατάγματα· ἐκτὸς γὰρ τούτων, κρίσις ἐκκλησιαστικὴ λοιδορίας οὐδὲν ἔχει πλέον.

Qui divina sapienter meditantur oracula, curioseque illa, non perfunctorie, considerant, suamque mentem in pietate ac veritate defigunt, ii illuminantur mirabiliter ex montibus æternis, ex apostolico, inquam, et prophetico Patrumque magisterio, ac splendore radiorum ejus Dominum coram veluti semper spectant, et per activam virtutem ad contemplationem deducuntur. Deinde his dogmaticam quoque admiscentes doctrinam semetipsos atque alios ad veritatem erudiunt, vitæ mores componunt, et supra res terrenas elati, cœlestia quærunt, cœlestia sapiunt : ac veluti aqua limpida purgat lavantium oculos, et ipsius solis sphæram et cœlorum concava, sic et istæ puræ mentes, puræ menti comistæ, expressum veluti simulacrum speculumque fiunt gloriæ divinæ, ut ait Dominus : « Beati mundo corde, quoniam ipsi Deum videbunt » : meritoque sacrificuli et sacerdotes et mystæ ad populi præsulatum eliguntur, quia de his dictum fuit : « Ubi sunt duo vel tres collecti in nomine meo, ibi sum in medio eorum [99]. » O viri itaque desideriorum spiritus, audivimus vos canonicæ legi obsequentes congregari solere singulis annis ob dijudicandum de occurrentibus in universa vestra provincia ecclesiasticis negotiis; et quod apprime Dominum invocatis, ut Spiritus gratiam in vos immittens, det vestrum unicuique doctrinam intelligentiæ, doctrinam divinæ voluntatis, doctrinam custodiæ mandatorum Dei, doctrinam observantiæ canonum : et quod denique mundanis curis, quæ divinis præceptis adversantur, vale dicentes, spiritaliter spiritalia judicatis, humana spiritalibus non anteponentes : id enim humanæ gratiæ officium est, non illius quam Spiritus dat. Quænam autem sunt spiritalia? evangelica nempe præcepta, apostolicæ constitutiones, sacrorum canonum ordinationes. Absque his enim ecclesiasticum judicium a maledicti natura non differt.

Διὸ καὶ ἡ ἁγία σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ εὐδοκίαν συναθροισθεῖσα ἐν Νικαίᾳ ἐν τοῖς χρόνοις ἡμῶν, εἰς ἣν καὶ οἱ πλείους ὑμῶν εὑρέθητε, μετὰ τὸ ὁρίσαι κρατεῖσθαι τὴν ἀρχαίαν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας, ἀποδέχεσθαι τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας, καὶ ἀναθέματι παραπέμπουσα τοὺς αἱρεσιώτας, οὓς Χριστιανοκατηγόρους καὶ Εἰκονοκλάστας ἡ ἀλήθεια ὠνόμασεν, ἀπεφήνατο· καὶ αὐτοὶ ἐπίστασθε πάντα τὰ κανονικὰ διατάγματα ἀπαρατρώτως ἀναμφιβόλως φυλάττεσθαι καὶ κρατεῖσθαι ἀμείωτα παρὰ πάντων ὑμῶν ἱερέων καὶ μο-

Quapropter sancta etiam synodus, Dei gratia ac beneplacito Nicææ nostra ætate congregata, cui plerique etiam vestrum interfuistis, postquam definivit conservandam esse veterem sanctæ Dei catholicæ Ecclesiæ traditionem, de venerabilibus sanctisque imaginibus recipiendis, anathemati subjiciendos esse hæreticos, quos Christianocategoras (Christianorum accusatores) et Iconoclastas verus sermo nominat, decrevit. Cuncta autem constituta inviolabiliter et firme custodiri nostis, integramque apud nos omnes sacerdotes ac monachos atque laicos

[99] Matth. xviii, 20.

(1) Vide dicta breviter a nobis in parte Græca p. 463. Insuper de Tarasio Nicephorum part. lat. p. 3, cujus laudabilem actum ibi memoratum inique reprehendit auctor librorum Carolinorum lib. III, 2. Laborant tamen aliqua obscuritate vel corruptela hæc fragmenta.

Digitized by Google

vim illorum conservari, quemadmodum perspicue docent synodicorum ejus librorum scripturæ. Cuncta enim ex fontibus Israelis hausta fuere, nihilque præter hos proclamavit aut omisit : namque synodi hujus doctrina neque incrementum patitur neque detrimentum : scriptum est enim, ne quid ei adjiciatur, aut auferatur. Equidem ut in regum etiam nummis, si quid de typo circumcidatur, totus nummus inutilis efficitur ; ita etiam si quis vel minimum de sacris canonibus subvertat, rei universæ corruptelam infert. Sic nimirum qui additamentum divinæ Scripturæ aut sacris canonibus aut Patrum magisterio moliuntur, veritatem exstinguere exploratum est ; et ipsorum linguæ sonitum falsa locutio subsequitur. Ergo mementote Dei dicentis : Cum omnia recte feceris, salvaberis. Vosque adeo in vestra Dei nutu congregata synodo, veritate adhærentes, dilatate os Spirituque complete, ex Evangelii norma, ex apostolorum et canonum atque Patrum decernite etc.

A ναχῶν καὶ λατικῶν, ὡς τρανῶς διαγορεύουσιν αἱ σημειώσεις τῶν συνοδικῶν αὐτῆς βίβλων· κατὰ πάντα γὰρ ἐκ τῶν πηγῶν τοῦ Ἰσραὴλ ἠρύσατο, καὶ οὐδὲν περαιτέρω τούτων ἐκπεφώνηκεν οὔτε ἀνέλιπεν· τὰ γὰρ τούτων διδάγματα οὔτε προσθήκην οὔτε ὄφεσιν ἐπιδέχεται· γέγραπται γάρ, Ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν· καὶ γὰρ ἐν τοῖς βασιλέων νομίσμασι μικρόν τι τοῦ χαρακτῆρός τις περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο· οὕτως καὶ ὁ τὸ ἐλάχιστον τῶν θείων κανόνων ἀνατρέπων, τῷ παντὶ λυμαίνεται· οὕτως οἱ προσθήκην ἐννοούμενοι ἔν τε τῇ θείᾳ Γραφῇ, ἢ τοῖς θείοις κανόσιν, ἢ τοῖς Πατρικοῖς παραγγέλμασιν, εὑρίσκονται παραχαράττοντες τὴν ἀλήθειαν· καὶ μετὰ τοῦ ψόφου τῆς γλώττης αὐτῶν, συναγωνίζεται ἡ ψευδηγορία· τοιγαροῦν μνήσθητε τοῦ Θεοῦ λέγοντος, Ὅτε πάντα κατορθώσεις, τότε σωθήσῃ· αὐτοὶ ἐν τῇ διὰ τὸν Κύριον συναθροιζομένῃ συνόδῳ ὑμῶν, τὴν ἀλήθειαν ἐπισπώμενοι, πάντων τῶν προσταγμάτων τὴν φυλακὴν διατηροῦντες, πλατύνατε τὸ στόμα, καὶ

B Πνεύματος πληρώσατε, εὐαγγελικῶς τε καὶ ἀποστολικῶς, κανονικῶς τε καὶ Πατρικῶς ἀποφαινόμενοι, κ. τ. λ.

Sequuntur in Tarasii epistola nonnullæ ecclesiasticæ regulæ, seu canones et præcepta, quæ describere non hujus est loci.

MONITUM IN SEQUENTEM HOMILIAM.

Homiliam in *Præsentationem Deiparæ* cui titulus : Εἰς τὰ εἰσόδια τῆς ὑπεραγίας Θεοτόκου, et cujus initium : Φαιδρὰ καὶ παράδοξος ἡ παροῦσα πανήγυρις, Tarasio Constantinopolitano patriarchæ tribuere solent, ne minimo quidem injecto dubio, historiæ litterariæ scriptores, fide ms. Biblioth. Coislin. CCXII. [Montfauc. *Biblioth. Bibliothecar.* p. 501.] Marcellius vero in suis ad Kalendarium Ecclesiæ Constantinopolitanæ commentariis affirmat, forte subdubitando, Orationem Tarasii habendam non videri, et duplicem suæ sententiæ rationem affert, nempe vocem ὑπεραγία quæ in titulo reperitur a sæculo tantum decimo usurpari cœpisse, et *Deiparæ in templum ingredientis solemnitatem* tempore Tarasii nondum in Constantinopolitana Ecclesia celebrari consuevisse, ut constat ex silentio Kalendarii quod certissime ad sæculum octavum pertinet.

Levissimi momenti esse difficultatem quæ ex voce ὑπεραγία in titulo sumitur, nemo non videt. Aliud enim de sermonibus ipsis, aliud de sermonum inscriptionibus judicium ferendum quis inficiatur ? Cum prorsus incertum sit quandonam ipsi sermonis auctori, quando alteri sint tribuendæ. Esto quod titulus non alii quam ipsi orationis auctori tribui oporteat, neque exinde certo concludi potest homiliam præfatam non esse S. Tarasii. Hæc enim vox ὑπεραγία reperitur in inscriptionibus homiliarum quæ auctoribus Tarasio coævis vel antiquioribus tribuuntur (1). Ergo pari jure vel istæ orationes auctoribus quorum nomina circumferuntur abjudicandæ sunt, vel usum vocis ὑπεραγία sæculo decimo vetustiorem esse admittendum quod aliunde constat ex Josephi Hymnographi canone in quo legimus : *O sanctissima, labis omnis expers, ὑπεραγία, παράμωμε* (2), et ex Triodio S. Sophronii Hierosolymitani (3). Nec pluris valet argumentum ex Constantinopolitani Kalendarii silentio de festo *Præsentationis Deiparæ*, cum ipso Marcellio auctore unum pro certo haberi potest Kalendarium illud neque ante annum 741, neque post annum 787 fuisse conscriptum. Quonam jure ex illo monumento inferri potest *Deiparæ in templum ingredientis solemnitatem* nondum in Constantinopolitana Ecclesia celebrari consuevisse, vivente Tarasio qui supremum diem obiit anno 806 ? Ergo nulla elicitur ratio decretoria propter quam homilia, quam subjicimus, magno Tarasio sit abjudicanda. Communem e contra de auctore hujus homiliæ sententiam confirmant stylus et ea quæ in ipsa oratione contra Iconomachos dicuntur.

(1) Vid. oration. in *Deiparæ natalem diem* quam sub nomine Damasceni vulgavit Michael Lequien, t. II, p. 849, sed Theodoro Studitæ restituendam monet Ang. Mai. *Biblioth. nov.* t. II, par. II, p. 54 not.; Damasceni oration. in *Deiparæ annuntiationem Opp.* t. II, p. 835; ejusdem oration. in *B. Virginis diem natalitium Opp.* t. II, pag. 841; Modesti Hierosolymitani homiliam in *Deiparæ Dormitionem*, Aug. Giaconellus, Romæ 1760 ; Andreæ Cretensis homilias plures, hujus *Patrologiæ Græcæ* t. XCVII, p. 801, 820, 861, 881, 1072, etc.

(2) *Paraclet.* ton. obliq. II ad matutin. Feria VI, od. III.

(3) *Spicileg. Rom.* t. IV, p. 186.

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΤΑΡΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΛΟΓΟΣ

ΕΙΣ ΤΑ ΕΙΣΟΔΙΑ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ.

—

SANCTI PATRIS NOSTRI

TARASII ARCHIEPISCOPI CONSTANTINOPOLITANI

ORATIO

IN SS. DEI MATREM IN TEMPLUM DEDUCTAM.

—

Εὐλόγησον.

Α. Φαιδρὰ καὶ παράδοξος ἡ παροῦσα πανήγυρις, καὶ τῶν φιλεορτῶν τὸν πόθον πρὸς ὑμνῳδίαν ἐγείρουσα, ἡ τῆς Ἀειπαρθένου καὶ Θεοτόκου ἐν τῷ ναῷ πρόοδος· σήμερον γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ κοινὴν ἑορτὴν ἐκτελοῦντες, ἀμφότεροι τὸν Δημιουργὸν δοξολογοῦσι τὸν ἐκ βροτείας φύσεως τὴν θεόπαιδα κόρην ἐκλεξάμενον εἰς ἑαυτοῦ κατασκήνωσιν.

Σήμερον τοῦ πρὸ πάντων αἰώνων προορισθέντος μυστηρίου καὶ ἐπ' ἐσχάτων φανεροῦσθαι μέλλοντος, εὐτρεπίζεται οἰκητήριον. Σήμερον ἡ ἐξ ἐπαγγελίας τεχθεῖσα ἐξ Ἰωακεὶμ καὶ Ἄννης προσφέρεται ὑπ' αὐτῶν, τίμιον δῶρον, τῷ μετέπειτα ἐξ αὐτῆς τεχθῆναι εὐδοκήσαντι. Σήμερον τὸ τῆς χαρᾶς προοίμιον ἐν τῷ ναῷ εἰσάγεται τριετίζουσα, καὶ παρθένοι ταύτης μετὰ λαμπάδων προπορεύονται. Σήμερον ἡ λύσις τῆς στειρωτικῆς κατάρας, δῶρον εἰς τὰ Ἅγια τῶν ἁγίων προσάγεται. Σήμερον τῶν προφητῶν τὸ κήρυγμα, ὑπὸ τοῦ ἀρχιερέως καὶ προφήτου Ζαχαρίου εἰς τὰ ἄδυτα ἀνέρχεται· ἔνθα αὐτὸς ἅπαξ τοῦ ἐνιαυτοῦ μετ' εὐλαβείας εἰσήρχετο, αὕτη φαιδρῶς μετὰ ἀδείας ἡμέρας καὶ νυκτὸς ἐκαθέζετο.

Β'. Τίς οὐκ ἐκπλαγῇ πρὸς τὸ παράδοξον πρᾶγμα; τίς οὐκ ἐκπλήττεται ἐπὶ τῷ παραδόξῳ θαύματι; τίς οὐκ ἐκπλαγῇ, βλέπων ἐν τῷ ἱερῷ παρεδρεύουσαν τὴν τοῖς ἱερεῦσι γεγονυῖαν ἀπρόσιτον Μαρίαν τὴν ἀμίαντον; Τοῦτο τῆς πρὸς ἡμᾶς συναφείας προοίμιον· τοῦτο τῆς τῶν ἀγγέλων μετὰ ἀνθρώπων συμμίξεως προχάραγμα· τοῦτο τῆς ἡμῶν ἀνακαινίσεως ἐκσφράγισμα· τοῦτο τοῦ ἀκανθοφόρου βίου ἡμῶν καὶ τῆς ἀποφάσεως τῆς προτέρας, τοῦ, *Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι·* καὶ τοῦ, *Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου*, ἡ μετάλλαξις· τοῦτο τοῦ, *Πληθύνω τὰς λύπας σου καὶ τοὺς στεναγμούς*

Benedic.

I. Læta atque admirabilis hodierna celebritas, quæ studiosos cultores festorum dierum excitat ad hymnos concinendos, perpetuam Virginem Deique Matrem in templum progredientem prosequitur. Etenim hodie cœlum et terra communem agitant solemnitatem, et conjunctim laudant rerum Opificem, qui e stirpe mortalium puellam, quæ Dei est filia, ad sui habitaculum delegit.

Hodie sacramenti ante omnia sæcula præparati cujus ad extrema tempora reservabatur manifestatio, apparatur domicilium. Hodie ex promissione genita, Joachimi et Annæ filia, ab iisdem pretiosum munus illi offertur, qui postea dignabitur ab ea generari. Hodie primordium lætitiæ adducitur in templum trimula, quam virgines cum lampadibus deducunt. Hodie in Sancta sanctorum ceu donum ea infertur, quæ sterilitatis maledictionem abstulit (1). Hodie a prophetis prædicata, sacerdote ac propheta Zacharia comitante, in sanctiores templi recessus ascendit; et quem locum semel ille quotannis cum metu adibat, in eo puella ista hilari cum securitate diu noctuque considebat.

II. Quis rei novitate non obstupescat? quis non suspiciat inusitatum prodigium? Quis non percellatur admiratione, cum videat immaculatam Mariam in sacris adytis assidentem vel ipsis sacerdotibus factam inaccessam? Hoc initium est divinæ nobiscum conjunctionis. Hæc prima sunt lineamenta futuræ inter angelos hominesque societatis. Hæc expressa effigies nostræ instaurationis. Hæc nostræ vitæ spinas ferentis atque illius permutatio et sententiæ olim latæ: *Maledicta terra in operibus tuis, spinas et tribulos submittet tibi* [1]; et illius: *In sudore vultus tui vesceris pane* [2]. Hæc est certa redemptio ab inflicta illa pœna: *Multiplicabo dolores*

[1] Gen. III, 17. [2] ibid. 19.

(1) Sterilitatem non Joachimi et Annæ tantum, sed et humanæ quoque naturæ quæ ad Mariam usque nullum fructum nisi maledictum protulit.

Digitized by Google

tuos et gemitus tuos [3]; et ab illa: *In dolore paries filios* [4]. Agamus itaque, fideles, festum diem omni honore dignissimum, clarissimamque solemnitatem, quæ divinis radiis splendescens, intelligibilibusque accensa luminibus ac mysticis fulgoribus emicans, arcanas Dei cognitiones mortalibus coruscat, atque unam in tribus personis divinitatem, omnipotentiam Patris, et Filii, et Spiritus sancti declarat.

Quare omnibus hisce argumentis in summam collectis, accommodate dicendi principium a Virginis deductione in templum pro viribus describenda faciamus, ac deinde legis implementum et editos gratiæ fructus oratione prosequamur. Ipsa enim Sancta sanctorum, immaculatus Verbi thalamus, virginea virga florens, arca sanctificationis, mons sanctus, tabernaculum Dei capax, incombustus rubus, flammivolus Dei currus, columba impolluta, amplissima Verbi sedes, nubes a Deo illuminata, variegata regina e semine David prognata, in sui habitationem a Davidis Creatore ac Deo servata fuerat.

III. Joachimus itaque e duodecim Israelis tribubus homo dives idemque justus, sua in Dei honorem munera deferebat. Sed cum semine infecundus ac liberorum expers esset, sacerdotes e templo Domini ejus dona contumeliose rejecerunt hisce verbis: *Haudquaquam ista Deo offerre tibi fas est, quippe qui nulla sobole auctus fueris in Israele.* At ille oculis vultuque præ tristitia demissis excessit e templo Domini, mœrore oppressus; tum solus in monte ad supplicandum Deum conversus, contrito corde ægroque animo sic clamabat: Tu, Domine, cordium inspector, et rerum omnium tum visibilium tum invisibilium conditor, qui *cœlum extendisti sicut pellem* [5], qui solem verbo tuo creasti ad illuminandum diem, et lunam cum stellis, ut facem præberet nocti [6], qui nebulis madefieri aerem jussisti, qui flamina ventorum quasi claustris conclusisti, qui mare frenasti arenis, ipsumque omni piscium genere, quemadmodum terram quoque brutis animantibus et feris et alitibus, ditasti, et escam omnibus pro tua voluntate ac nutu suppeditas, qui in terræ superficie herbas producis, et omnes arbores sua quasque pulchritudine exornas, exaudi me, o misericors, et mihi sobolem largire. Pignus propagandæ stirpis da mihi, ut obstruantur *labia dolosa, quæ iniquitatem loquuntur adversus justum superbe atque insolenter* [7].

Hæc hominis justi verba, hæc progenitoris obtestationes, tales Joachimi ex penito animi dolore gemitus.

IV. Quid vero etiam Anna? quippe juvat ejus quoque dictorum mentionem facere. Illa enim, quæ concors vixerat una cum viro, et flore ætatis amisso jam vergebat in senium, in perpetua jacuerat sterilitate. Cæterum cum et jam muliebria desiissent,

σου· καὶ τοῦ, Ἐν λύπαις τέξῃ τέκνα, βεβαία ἀπολύτρωσις. Ταύτην οἱ πιστοὶ ἑορτάσωμεν τὴν πάντιμον ἑορτὴν, τὴν λαμπρὰν πανήγυριν, τὴν θείαις ἀποστίλβουσαν μαρμαρυγαῖς, τὴν νοηταῖς λαμπαδουχουμένην φωταυγίαις, τὴν μυστικαῖς ἀγλαϊζομένην φωτοδοσίαις, τὴν μυστικαῖς περιαστράπτουσαν τῷ κόσμῳ θεογνωσίαις, τὴν ἐν τρισὶ προσώποις μίαν θεότητα, Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος, διδάξασαν παντοκρατορίαν.

Διὸ ταύτας τὰς ὑποθέσεις ἀνακεφαλαιώσαντες, καὶ ἀρχὴν λαβόντες τῷ λόγῳ προσήκουσαν τῆς Παρθένου τὴν ἐν τῷ ναῷ προσαγωγὴν, ὅσον οἷόν τε διαγράψωμεν, καὶ τὴν τοῦ νόμου ἐκπλήρωσίν τε καὶ καρποδοσίαν ὑπαγορεύσωμεν· αὕτη γὰρ ἡ τῶν ἁγίων Ἁγία, ἡ ἀκηλίδωτος τοῦ Λόγου παστὰς, τὸ παρθενικὸν ἀπάνθισμα, ἡ κιβωτὸς τοῦ ἁγιάσματος, τὸ ὄρος τὸ ἅγιον, ἡ θεοχώρητος σκηνὴ, ἡ ἀκατάφλεκτος βάτος, τὸ πυρίμορφον ἅρμα τοῦ Θεοῦ, ἡ περιστερὰ ἡ ἀμόλυντος, τὸ εὐρύχωρον τοῦ Λόγου χωρίον, ἡ θεόφωτος νεφέλη, ἡ πεποικιλμένη βασίλισσα ἐκ σπέρματος Δαυὶδ καταγομένη τῷ τοῦ Δαυὶδ κτίστῃ καὶ Θεῷ ἐτετήρητο εἰς ἑαυτοῦ κατοίκησιν.

Γ'. Ἰωακεὶμ γὰρ ἐν τῇ δωδεκαφύλῳ τοῦ Ἰσραὴλ πλούσιος ὢν καὶ δίκαιος προσέφερε τὰ δῶρα αὐτοῦ πρὸς τὸν Θεόν. Μὴ ἔχοντος δὲ σπέρμα αὐτοῦ, ἀλλ' ὄντος ἄπαιδος, ἀπεσκοράκισαν ταῦτα οἱ ἱερεῖς ἐκ ναοῦ Κυρίου, λέγοντες· *Οὐκ ἔξεστί σοι προσενεγκεῖν αὐτὰ τῷ Θεῷ, καθότι σπέρμα οὐκ ἐποίησας ἐν τῷ Ἰσραήλ*· καὶ σκυθρωπάσας αὐτὸς, κατῆλθεν ἐκ ναοῦ Κυρίου, λύπῃ συνεχόμενος· καὶ ἐν τῷ ὄρει καταμόνας τὸν Θεὸν λιτανεύσας, μετὰ συντετριμμένης καρδίας, καὶ κατωδύνου ψυχῆς, ἑβόα λέγων· Σὺ, Κύριε, καρδιογνῶστα, ὁ τῶν ὁρατῶν τε καὶ ἀοράτων κτίστης, *ὁ τὸν οὐρανὸν τανύσας ὡσεὶ δέρριν*, ὁ τὸν ἥλιον εἰς φαῦσιν τῆς ἡμέρας προστάξας γενέσθαι καὶ τὴν σελήνην εἰς διαδοχίαν τῆς νυκτὸς μετὰ τῶν ἀστέρων ποιήσας· ὁ τοῖς νέφεσι τὸν ἀέρα βρέχειν κελεύσας, καὶ τῶν ἀνέμων τὰς πνοὰς θησαυρίσας· ὁ τὴν θάλασσαν χαλινώσας τῇ ψάμμῳ καὶ ταύτην γένους ἰχθύων πληρώσας, καὶ τὴν ἤπειρον ἀλόγων καὶ τῶν θηρίων καὶ τῶν πετεινῶν, καὶ ταῦτα τρέφων βουλήσει καὶ προστάξει· ὁ τῷ προσώπῳ τῆς γῆς χόρτον ἐξανατέλλων, καὶ πᾶσι δένδροις τὰ ἴδια καλλωπίσας, ἐπάκουσόν μου, εὔσπλαγχνε, καὶ δώρησαί μοι τέκνον, χάρισαί μοι καρπογονίας ἐνέχυρον, ὅπως ἐμφράγῃ *χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.*

Ταῦτα τοῦ δικαίου τὰ ῥήματα· αὗται τοῦ προπάτορος αἱ παρακλήσεις· τοιοῦτοι τοῦ Ἰωακεὶμ ἐκ κατωδύνου ψυχῆς οἱ στεναγμοί.

Δ'. Τί δὲ καὶ ἡ Ἄννα; καλὸν γὰρ καὶ αὐτῆς τῶν ῥημάτων ἀπομνημονεῦσαι. Αὕτη γὰρ τῷ ἀνδρὶ σύμφωνος συμβιοτεύσασα, καὶ τὸ τῆς νεότητος ἄνθος εἰς γῆρας ἐλάσασα, στείρα διέμεινε πάντα τὸν χρόνον αὐτῆς· λοιπὸν καὶ τὰ τῶν γυναικῶν ἀναπληρώ-

[3] Gen. III, 16. [4] Ibid. [5] Psal. CIII, 2. [6] Gen. I, 16. [7] Psal. XXX, 18, 19.

Digitized by Google

σασα, φυσικῇ διαθέσει ἄτεκνος ἐγνωρίζετο. Ὅθεν A τὴν ἀναχώρησιν τοῦ συζύγου θεωρήσασα, ὡς τρυγὼν φιλέρημος, ἐν τῷ αὐτῆς παραδείσῳ εὐχαῖς ἱκετηρίοις τὸν ποιητὴν καὶ πλάστην ἀνακαλουμένη, ἔλεγεν· Ὦ Κύριε Σαβαὼθ, *ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ*, καὶ δοξαζόμενος ὑπὸ τῶν Σεραφίμ· *ὁ μυριάσι μυριάδων* ἀγγέλων δορυφορούμενος, *καὶ χιλιάσι χιλιάδων* στρατιῶν δοξολογούμενος καὶ προσκυνούμενος· ὁ τὸν Ἀδὰμ πλάσας τῇ χειρί σου, καὶ αὐτῷ ζωὴν ἐνθεὶς τῇ ζωηφόρῳ σου προστάξει καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα· ὁ τῇ σοφῇ σου εὐδοκίᾳ ποιήσας αὐτῷ *βοηθὸν κατ' αὐτόν*, καὶ εἰς ἓν τοὺς δύο συνάψας· *Ἔσονται οἱ δύο*, εἰπών, *εἰς σάρκα μίαν*· ὁ τῷ Ἀβραὰμ, τῷ σῷ θεράποντι καὶ πατριάρχῃ, δωρησάμενος υἱὸν τὸν Ἰσαὰκ, μετὰ γῆρας καὶ μετὰ τὴν στείρωσιν τῆς Σάρρας, καὶ ποιήσας αὐτὸν πολλῶν ἐθνῶν πατέρα· ὁ τῇ ὁμωνύμῳ B καὶ ὁμοφύλῳ μοι Ἄννῃ χαρισάμενος τὸν κάλλιστον παῖδα καὶ ἱερὸν Σαμουὴλ, ὡς θεόσδοτον εὐχῆς υἱὸν, καὶ τοῦ ψεύδους καὶ μίσους θρίαμβον· *ἔπιδε ἐξ ἁγίου σου κατοικητηρίου*, Ὕψιστε, καὶ ἄνοιξόν μοι τὴν μήτραν πρὸς παιδογονίαν· δίωξόν μου τὴν λύπην τῆς στειρώσεως, καὶ διάῤῥηξόν μου τὰ δεσμὰ τῆς ἀτεκνίας, ὅπως τὸ γεννησόμενον ἐκ τῆς δούλης σου βλάστημα, εἴτε ἄρσεν, εἴτε θῆλυ, δῶρον προσάξω σοι, ὡς θυμίαμα εὐῶδες, ὡς καθαρὰν προσφορὰν, ὡς τίμιον δῶρον, ὡς ἱερὸν ἀνάθημα, ὡς θεῖον κατοικητήριον, ὡς ἀμίαντον ἀμνάδα, ὡς πρωτότοκον ἀμνὸν, ὡς νέον Ἰσαάκ.

dignoscebatur exsors concipiendi fœtus conditione ipsa naturæ. Itaque mariti animadverso in devium locum secessu, tanquam turtur appetens solitudinis in horto suo supplicibus precationibus artificem rerum atque effectorem ita obsecrabat : O Domine exercituum, *qui sedes super Cherubim* [8], quem glorificant Seraphim, cui parent ad ministerium angelorum *decies millies centena millia*, quem *millia millium* [9] agminum collaudant et venerantur, qui Adamum tua manu finxisti, ipsique vitam jussu tuo vivifico indidisti, et ex ejus latere mulierem ædificasti, qui pro tua sapienti ordinatione *adjutorium sibi simile* [10] ipsi fecisti, et duos in unum copulasti, *Erunt*, inquiens, *duo in carnem unam* [11], qui Abrahamo servo tuo et patriarchæ dedisti filium illum Isaacum post senectutem ac sterilitatem Saræ, eumdemque effecisti patrem multarum gentium, qui Annæ cognomini et tribuli meæ pulcherrimum et sacrum puerum donasti Samuelem, veluti filium in supplicationum gratiam divinitus concessum ac veluti triumphum de mendacio odioque reportatum ; *intuere*, o Altissime, *de tabernaculo sancto tuo* [12], aperi ad conceptum sobolis uterum meum, excute a me infecunditatis mœrorem, et abrumpe vincula meæ sterilitatis, ut natum ex me famula tua fructum, sive filiolus ille fuerit sive filiola, munus tibi offeram, velut sacrificium in odorem suavitatis, velut oblationem mundam, velut donum pretiosum, velut sancte dedicatum dona rium, velut divinam ad inhabitandum ædem, velut agnam immaculatam, velut agnum primogenitum, velut novum Isaacum.

Ε'. Οὕτω τοίνυν ἀμφοτέροις ἐπικαλουμένοις ὤφθη C αὐτοῖς ἄγγελος Κυρίου, τῆς παναγίας τὴν σύλληψιν εὐαγγελιζόμενος, λέγων· Εἰσήκουσεν ὑμῶν ὁ Ὕψιστος τῆς δεήσεως, καὶ ἐν ὀλίγῳ χρόνῳ τέξεσθε θυγατέρα, τὴν ἐκ πασῶν γενεῶν μακαρίαν, ἐκλελεγμένην εἰς Θεοῦ κατοικητήριον. Ταῦτα τοῦ ἀγγέλου περιχαρῶς εὐαγγελιζομένου, κατῆλθε μὲν Ἰωακεὶμ ἐκ τοῦ ὄρους μετὰ χαρᾶς καὶ εὐφροσύνης καρδίας· γόνιμος δὲ παρ' ἐλπίδα ἡ ἄκαρπος ἀνεδείχθη τῆς Ἄννης γαστὴρ, ἐκ θελήματος σαρκὸς καὶ ἐκ θελήματος ἀνδρὸς, καὶ τὸν καιρὸν τῆς ἐννεαμηνιαίας αὐξήσεως γνωρίσασα, ἔτεκε τὴν πανάχραντον Παρθένον καὶ Θεοτόκον Μαρίαν, τὴν τοῦ κόσμου πρόξενον σωτηρίας.

V. Utrisque igitur sic precantibus astitit angelus Domini, qui sanctissimæ Mariæ conceptum nuntiavit, inquiens : Altissimus exaudivit preces vestras, ac brevi filiam gignetis, beatam illam, quæ ex omnibus generationibus in Dei habitationem electa est. Ubi hunc angelus edidit lætissime nuntium, Joachimus mirificis gaudiis gestiens descendit de monte, Anna vero uterum, qui sterilis fuerat, fecundum experta est (2) ex voluntate carnis et ex voluntate viri ; tum cognita post novem menses maturitate partus, genuit intemeratam Virginem et Dei Matrem Mariam salutis mortalium conciliatricem.

Ϛ'. Καὶ μηδεὶς τῶν τῆς Ἐκκλησίας τροφίμων τοῦτον εἰσδέξηται τὸν λόγον, ὑποβάλλοντα, ὡς ἑπταμηνιαία ἡ Παρθένος ἐτέχθη. Καὶ γὰρ πολλοὺς τῶν ἀφρόνων ταῦτα φιλονεικοῦντας ἀκήκοα, οὓς ἐγὼ τῶν ἀπίστων χείρους εἶναι δοκῶ. Ταῦτα γὰρ αἱρετικῶν εἰσιν ἐφευρήματα· ταῦτα τῆς Ἐκκλησίας ἀντίθετα, τῶν ὀρθοδόξων ἀλλότρια· ἡ γὰρ Παρθένος καὶ *θεόπαις* Μαρία τέλειον τὸν χρόνον τῶν ἐννέα μηνῶν ἐν τῇ τῆς Ἄννης κοιλίᾳ ἐξετέλεσεν, ὡς ἡ φύσις ἡ ἀνθρωπίνη δηλοῖ· ἀλλὰ τῶν ἀφρόνων τὰ στόματα μηδένα μῶμον πρὸς τὴν ἄμωμον εὑρεῖν δυνάμενα, τοῦ- D

VI. Jam sententiam illam spuriam, quæ perhibet septimo mense post conceptum fuisse Virginem genitam, nemo in Ecclesia innutritus probaverit. Multos enim fatuos audivi de hac re contendentes, quos ego judico infidelibus deteriores, cum hæreticorum propria sint ejusmodi inventa. Hæc Ecclesiæ adversa sunt, a recte sentientibus plane aliena. Virgo enim ac *Dei filia* Maria maturum novem mensium spatium in alvo matris absolvit, ut postulat humana natura. Verum stultorum ora, quæ nullam labem in illibata (3) potuerint invenire, sententiam

[8] Dan. III, 55. [9] Dan. VII, 10. [10] Gen. II, 18. [11] Gen. III, 24. [12] Baruch. II, 16.

(2) Supplenda hic negatio videtur.

(3) Vide quanta sedulitate SS. Patres omnem non modo peccati maculam quæ animam inficit, sed et naturalis defectus suspicionem a beatam Virgine propulsandam existimant.

Digitized by Google

hanc Scripturæ affinxerunt a vero rectoque sensu longissime abhorrentem. Sed nec quispiam e simplicioribus illam animo imbibat; quod enim ad prudentiores spectat, existimo eos ne passuros quidem, ut vel ipsis auribus tale quiddam hauriant; quia Scripturæ verba studiose legentes eam divinis sensibus interpretantur, et si quando in ipsa zizaniam ab inimicis disseminatam reperient, ut filii Ecclesiæ penitus exstirpant.

VII. Sed nunc ad propositum revertamur, narrationis seriem, atque ea quæ ad nativitatem spectant, percurrentes atque explicantes. Cum enim prænuntiata exitum perspicue habuissent, et immaculata puella ac Dei filia (4) a justis Joachimo et Anna fuisset progenita, hi serio operam posuere, ut liberarent promissi fidem. Igitur licebat videre piam Annam exsultantem, ac gestientem, et Virginem hisce verbis festivissime compellantem : Quis dixisset, filia, ex me te prodituram, quæ beata commonstrata es in generationes generationum ? Quis te inter meas ulnas aspiciens lac sugentem, non illum laudaverit, qui te dedit mihi fecunditatis et prolis experti ? Quis intuens hæc ubera lacte, quod nunquam emiserant, jam redundantia, non eum magnifice efferat, qui e duro silice aquæ scatebras sitienti populo elicuit ? Sed veni, filia, ad eum qui te mihi elargitus est. Veni, arca sanctificationis, ad misericordiæ Dominum. Veni, porta divinæ vitæ, veni, thalame Verbi, ad templum Domini. Intra in gaudium Domini, tu mundi gaudium et exsultatio. Fruere ejus pulchritudine, quem non ita multo post humana forma indutum paries. Ego vero beata sum, quæ talis filiæ mater prædicor. Congratulamini mihi, tribus Israelis, quoniam post sterilitatem mater sum ejus effecta, quæ mater Altissimi constituetur. Exsurgite, virgines ferentes lampades, et præite immaculatam Virginem, et Dei filiam. Cantate ei in laude, psallite ipsi in cithara, acclamate illi cum cantico spirituali, psalterio decachordo eam magnificate. Tu quoque, David Dei progenitor, puellam lauda profectam de stirpe tua, et magniloquum hymnum effer, sic inquiens[13] : *Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populum tuum, et domum patris tui, et concupiscet rex decorem tuum.*

VIII. Cum hæc aliaque horum similia Anna gratiæ cognominis dixisset, pretiosum illum Trinitatis thesaurum, tres annos natam Virginem Deique matrem in templum Domini lætabunda deduxit, et cum Joachimo hymnos in gratiarum actionem effundens, convocatoque virginum cœtu gestantium faces, aditum qui ducit ad Sancta sanctorum occupavit. Atque ibi Zachariam, quippe qui et propheta erat et sacerdos et consanguineus et administer legitimi testamenti, venerandum illud conju-

[13] Psal. XLIV, 11, 12.

(4) Cuicunque ecclesiastica Græcorum officia persolventi constabit communem esse omnium Orientis Ecclesiarum morem, beatam Virginem absolute et antonomastice vocare θεόπαις *Filiam Dei.*

A τον τὸν λόγον τῇ Γραφῇ περιέθηκαν, πόρρω τῆς ἀληθείας καὶ τοῦ ὀρθοῦ πίπτοντα. Καὶ μηδεὶς καταδέξηται τῶν ἀφελεστέρων· τοὺς γὰρ εὐφρονοῦντας πέπεισμαι μηδὲ μέχρις ἀκοῶν ποτε τὸ ῥῆμα τοῦτο ὑπεισελθεῖν, ὅτι τὰ τῆς Γραφῆς ἐπιμελῶς ἀναγινώσκοντες, νοήσεσι θείαις ταύτην ἑρμηνεύουσι. Καὶ ὅταν ἐν αὐτῇ ζιζάνιον εὕρωσιν ἐκ τῶν ἐχθρῶν σπειρόμενον, ὡς τέκνα τῆς Ἐκκλησίας τελείως ἐκκόπτουσιν.

Ζ'. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, τὸν εἱρμὸν τῆς διηγήσεως καὶ τῆς γεννήσεως διοδεύοντες καὶ ἐξηγούμενοι· τῶν γὰρ ῥημάτων διὰ πραγμάτων εἰς τοὐμφανὲς ἐλθόντων, καὶ τῆς ἀμώμου καὶ θεόπαιδος κόρης, ἐκ τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης γεγεννημένης, καὶ τὰς ὑποσχέσεις αὐτῶν ἐκπληρῶ- B σαι ἐσπουδακότων, ἦν ἰδεῖν τὴν θεόφρονα Ἄνναν ἀγαλλιωμένην καὶ σκιρτῶσαν καὶ χαριέντως πρὸς τὴν Παρθένον λέγουσαν· Τίς ἔλεγεν ἐξ ἐμοῦ σε, θύγατερ, προσλθεῖν τὴν ἐν γενεαῖς γενεῶν μακαρίαν ἀποδειχθεῖσαν; Τί; ἐν τοῖς κόλποις μου θεωρῶν σε γαλουχουμένην, μὴ δοξάσει τὸν σέ μοι χαρισάμενον τῇ στείρᾳ καὶ ἀτέκνῳ; Τίς τοὺς μαστοὺς τοὺς μήπω γάλα βλύσαντας ὁρῶν ἤδη πηγάζοντας, μὴ μεγαλυνεῖ τὸν ἐξ ἀκροτόμου πέτρας βλύσαντα τὰ ὕδατα τῷ διψῶντι λαῷ; Ἀλλὰ δεῦρο, θύγατερ, πρὸς τὸν σέ μοι παρασχόντα· δεῦρο, πύλη τῆς θείας ζωῆς· δεῦρο, παστὰς τοῦ Λόγου, πρὸς τὸν ναὸν Κυρίου. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου, ἡ τοῦ κόσμου χαρὰ καὶ ἀγαλλίασις· ἀπόλαυσον τούτου τῆς ὡραιότητος, ὃν- C περ μετὰ μικρὸν τέξεις ὡς ἄνθρωπον· μακαρία εἰμί, ὅτι τοιαύτης θυγατρὸς μήτηρ ἀνηγόρευμαι : συγχάρητέ μοι, φυλαὶ τοῦ Ἰσραήλ, ὅτι μετὰ στείρωσιν μήτηρ ἀναδέδειγμαι (5), ἥτις ἀναδειχθήσεται μήτηρ τοῦ Ὑψίστου. Ἐξάρξατε, παρθένοι λαμπαδηφόροι, καὶ προπορεύεσθε ἔμπροσθεν τῆς ἀμιάντου Παρθένου καὶ θεόπαιδος· ᾄσατε αὐτῇ ἐν αἰνέσει· ψάλατε αὐτῇ ἐν κιθάρᾳ· ἀλαλάξατε αὐτῇ μετ' ᾠδῆς πνευματικῆς· μεγαλύνατε ἐν ψαλτηρίῳ δεκαχόρδῳ. Δαυὶδ, αἴνεσον, Θεοπάτορ, τὴν ἐκ φυλῆς σου ἀναδειχθεῖσαν κόρην, ὑμνολογῶν, μεγαλογῶν μεγαλοφώνως, καὶ λέγων· *Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.*

D

Η'. Ταῦτα καὶ τὰ τούτοις ὅμοια ἡ χαριτώνυμος Ἄννα λέξασα, τὸ τῆς Τριάδος κειμήλιον, χαίρουσα τῇ σαρκὶ τριετίζουσαν τὴν Παρθένον καὶ Θεοτόκον εἰς τὸν ναὸν Κυρίου προέπεμψε, καὶ σὺν τῷ Ἰωακεὶμ ᾠδὰς εὐχαριστηρίους ἀναπέμπουσα, καὶ δῆμον τῶν παρθένων λαμπαδηφοροῦντα συγκαλεσαμένη, κατέλαβε τὰ τῶν ἁγίων Ἅγια· καὶ τὸν Ζαχαρίαν χαρμονικοῖς χείλεσι, καὶ ἀγαλλιάσει στόματος, ἅτε προφήτην καὶ ἱερέα καὶ συγγενῆ καὶ λειτουργὸν τῆς νομικῆς διαθήκης, προσεκαλεῖτο ἡ τιμία ξυνωρὶς

(5) Supplendum videtur ταύτης aut aliud ejusmodi, v. g. μήτηρ ἀναδέδειγμαι (τῆς ἀμώμου καὶ θεόπαιδος κόρης), ἥτις.

Digitized by Google

τῶν γεννητόρων, βοῶσα· Δέχου τὴν σεμνὴν, τὴν ἀμίαντον· δέχου, ἱερεῦ, τὴν ἀκηλίδωτον παστάδα τοῦ Λόγου· δέχου, προφῆτα, τὸ θυμιατήριον τοῦ ἀΰλου φωτός· δέχου, δίκαιε, τὸ πυρίμορφον ἅρμα τοῦ Ὑψίστου· δέχου, ἄμεμπτε, τὴν ὡραίαν ἄμπελον, ἥτις βλαστήσει τὸν ἀείζωον βότρυν· εἰσάγαγε αὐτὴν εἰς τὰ ἐνδότατα τοῦ ναοῦ Κυρίου· πρόσφερε αὐτὴν εἰς τόπον ἁγιάσματος, ὃ κατειργάσατο ὁ Ὕψιστος εἰς ἑαυτοῦ κατασκήνωσιν· ἀνάγαγε ταύτην εἰς τὰ ἄδυτα, τὸν ἀόρατον ἐν κοιλίᾳ βαστάζειν ἐπειγομένην· μακάρισον αὐτὴν τὴν μακαρίους πάντας βροτοὺς ἀναδείξασαν· μεγάλυνον ταύτην, τὴν τῶν μεγαλουργιῶν Θεοῦ ἀναδειχθεῖσαν βίβλον θεόγραφον· ἀνάλαβε ταύτην, τῆς ἐκ τῆς προμήτορος Εὔας κατάρας ἡμᾶς ἀπαλλάξασαν· ἄσπασαι ταύτην, τὴν πρὸς τὸν Θεὸν φιλανθρωπίᾳ ἡμᾶς συνδήσασαν, καὶ τὴν ἔχθραν τοῦ ὄφεως τῷ αὐτῆς τόκῳ καθελοῦσαν· ἀγκάλισαι αὐτὴν, τὴν ἐξ ἀγκαλῶν τοῦ ὄφεως ἡμᾶς ἁφαρπάσασαν· προφήτευσον περὶ ταύτην, τὴν τῶν προφητῶν ἀναδειχθεῖσαν πλήρωσιν, καὶ τῆς ἐπαγγελίας Θεοῦ πρὸς ἀνθρώπους ἀνακεφαλαίωσιν· τὴν τράπεζαν τοῦ θείου ἄρτου, τὸν οἶνον τὸν εὐφρόσυνον, τὴν τροφὴν τὴν ἀδάπανον, τὴν περιστερὰν τὴν ἀκεραίαν, τὸν οὐρανὸν τὸν ἔμψυχον, τὴν πολύφωτον λυχνίαν, τὴν πολυΰμνητον νύμφην, τὴν πολύαινον μητέρα, τὴν θεοπότιστον ἐλαίαν, τὸ θεῖον ὄχημα τῆς τοῦ Ὑψίστου οἰκονομίας, τὴν σκηνὴν τὴν ἁγίαν, τὴν λυχνίαν τὴν θεοχάλκευτον, τὴν ἀμνάδα τὴν λογικὴν, τὸ ἱλαστήριον τοῦ Θεοῦ, τὸ κειμήλιον τὸ ἔνδοξον, τὴν σάλπιγγα τὴν εὔηχον, τὸ *πῖον ὄρος καὶ τετυρωμένον*, τὸν θεῖον πόκον, τὴν θεόβρυτον νεφέλην, τὴν πόλιν τὴν ἔντιμον, τὸ νοητὸν καταπέτασμα, τὸν θεολάξευτον λύχνον, τὴν κλίμακα δι' ἧς ὁ Κτίστης τοῖς βροτοῖς ὀφθήσεται, τὴν κλίνην τὴν ἁγίαν, τὸ δοχεῖον τῆς χρηστότητος, τὴν τῶν θαυμάτων ἄβυσσον, τὴν πηγὴν τῶν ἀγαθῶν, τὸν ἄσυλον πλοῦτον, τὴν πολυώνυμον καὶ πολυποίκιλον καὶ ἀειπαρθένον Θεοτόκον. Ταύτην εἰσάγαγε εἰς τὰ Ἅγια τῶν ἁγίων, ταύτην προσάγαγε τῷ βασιλεῖ, ὡς δῶρον πολύτιμον, ταύτην αἴνεσον ὡς βασιλίδα τῆς κτίσεως, ταύτην εὐτρέπισον, ὡς παλάτιον τοῦ παντάνακτος, ταύτην ὑμνολόγησον, τὴν πασῶν τῶν παρθένων φύλακα ἄσυλον· ταύτην κατασκήνωσον εἰς ναὸν χειροποίητον τὴν γενομένην ναὸν ἔμψυχον τοῦ Λόγου πάντα τεκτηναμένου.

Θ'. Αὗται τοῦ Ἰωακεὶμ καὶ τῆς Ἄννης αἱ χαρμονικαὶ δοξολογίαι· αὗται τῆς εὐχαριστίας αἱ ὑμνολογικαὶ θεηγορίαι· αὗται πρὸς τὸν προφήτην Ζαχαρίαν αἱ παῤῥησιαστικαὶ μαρτυρίαι· ὅθεν ὁ ἱερεὺς ὡς προφήτης Θεοῦ, καὶ τὰ τῶν ἁγίων Ἅγια ἐν μεθέξει Θεοῦ καθελὼν, ὁρῶν τῆς Παρθένου τοῦ ὄμματος τὴν καλλονὴν, τοῦ προσώπου τὸ ὡραῖον, τῆς γλώττης τὴν αἴνεσιν, τῆς ψυχῆς τὴν εὐγένειαν, τοῦ βίου τὸ ἄμεμπτον, τῶν ποδῶν τὸ βάδισμα, τὴν καταστολὴν τοῦ ἤθους, τοῦ σχήματος τὴν εὐπρέπειαν, Πνεύματος ἁγίου πλησθεὶς, ἐξεβόησεν· Ὦ κόρη ἀμίαντε· ὦ παρθένε ἀμόλυντε· ὦ νεᾶνις πάγκαλε· ὦ γυναικῶν ἀγλάϊσμα· ὦ θυγατέρων καλλώπισμα·

A gum par lætantibus labiis atque oris exsultatione appellabat clamans : Accipe, o Zacharia, sanctam immaculatam ; accipe, sacerdos, intemeratum Verbi thalamum ; accipe, o propheta, thuribulum lucis ab omni materia secretæ ; accipe, o juste, ignitum currum Altissimi. Accipe, o inculpate, floridam vitem, quæ racemum æternæ vitæ efferet ; intromitte illam in intimos recessus templi Domini ; infer illam in locum sanctuarii, quod Altissimus in sui domicilium secrevit ; inducito hanc in sanctissima penetralia, quæ mox in utero eum portabit, qui oculis cerni non potest ; beatam ipsam prædica, quæ beatos efficit omnes mortales ; magnifice hanc lauda, quæ prolata est velut divinitus conscriptus liber magnalium Dei. Excipe hanc, B quæ a maledicto in primam parentem Evam immisso nos liberat ; complectere hanc, quæ nos cum Deo charitate colligavit, et inimicitiam serpentis fraude inductam suo partu abstulit ; implica istam brachiis, quæ nos ab implexu serpentis abstrahit. De hac vaticinare, quæ propheticorum vaticiniorum implementum, divinarumque promissionum compendium in se exhibet. Ipsa mensa divini panis, vinum exhilarans, cibus gratuitus, columba illibata, cœlum animatum, lampas valde rutila, sponsa multis hymnis celebrata, mater multis laudibus ornata, oliva divinitus irrigata, divinum vehiculum dispensationis Altissimi, tabernaculum sanctum, candelabrum a Deo fabrefactum, agna rationalis, propitiatorium Dei, vas inæstimabile, C thesaurus honorificus, tuba suaviter sonans, mons *pinguis et coagulatus* [14], divinum vellus, nubes Deo referta, urbs admiranda, aulæum spiritale, lucerna divinitus excusa, scala per quam descendens Creator inter homines videbitur, cubile sanctum, gratiæ receptaculum, miraculorum abyssus, fons bonorum, divitiarum copia inviolabilis, multis nominibus atque dotibus insignata et semper Virgo Dei mater. Hanc introducito in Sancta sanctorum, hanc regi afferto tanquam pretiosissimum donum, hanc lauda velut reginam universitatis rerum, hanc appara ut palatium regis universorum, hanc hymnis extolle ut tutum præsidium omnium virginum, huic sedem in templo manufacto præbe, quæ tem- D plum animatum est Verbi omnium conditoris.

IX. Hæ fuerunt ab Joachimo et Anna editæ lætæ prædicationes, hæ Deo redditæ cum gratiarum actione laudationes, hæ apud prophetam Zachariam datæ summa cum fiducia testificationes. Quare sacerdos, ut Dei propheta, quique tenens Sancta sanctorum particeps Dei erat, intuens in Virgine aspectus pulchritudinem, vultus decorem, linguæ modestiam, animi nobilitatem, vitæ inculpatum decus, pedum incessum, morum compositionem, decentiam habitus, afflatu sancti Spiritus concepto exclamavit : O puella immaculata, o virgo impolluta, o adolescentula venustissima, o mulierum ornamentum, filiarum nitor, o mater Virgo sancta, tu

[14] Psal. LXVII, 7.

Digitized by Google

benedicta inter mulieres, tu celebrata propter innocentiam, tu obsignata virginitate; tu Adami maledicti expiatio, tu debiti Evæ solutio; tu Abelis purissima oblatio, primogenitorum delectus [15], immaculatum sacrificium; tu Sethi recta disciplina [16] (tu conceptum in utero Dei filium paries sine dolore [17]); tu Enos in Deum spes non pudore suffusa; tu Enoch inita gratia et in securam vitam migratio; tu Noachi arca, et secundæ regenerationis apud Deum conciliatio; tu regni et sacerdotii Melchisedechi perillustris splendor; tu Abrahami firma fiducia et promissionis futuræ posteritatis obsequens fides; tu Isaaci novum sacrificium et rationale holocaustum; tu Jacobi in scalam ascensus causa, et fecunditatis in duodecim tribus permanantis expressio nobilissima; tu Judæ apparuisti secundum stirpem filia; tu Josephi pudicitia, et veteris Ægypti, nimirum Synagogæ Judæorum, eversio, o immaculata; tu Jobi in tentationibus patientiæ perfectio et bonorum ejus in duplum restitutio ac ditissima copia; tu Moysis ejusque Legislatoris liber divinitus concinnatus, in quo scriptum est sacramentum regenerationis, et divinis digitis insculpta in tabulis lex est tanquam in monte Sina, ubi novus Israel ab intelligibilium Ægyptiorum servitute vindicabitur, quemadmodum antiquus populus in solitudine manna et aqua de aspera petra satiatus est, *petra autem erat Christus* [18]; e tuo gremio proditurus *tanquam sponsus a thalamo* [19], tu Aaronis virga florescens; tu Jesum Nave filium in mediis adversariis gloriosum reddidisti; tu es Davidis filia, *fimbriis aureis circumvestita, vario ornatu nitescens* [20], tu *lectus Salomonis* ex auro factus, *quem sexaginta viri fortissimi circumdant* [21], musicas voces divinarum Scripturarum in Deo tuba canentes; ascensio es assumptionis Eliæ, et intelligibilis Jezabelis exitium. Tu Elisæi duplicis pallii benedictio, qua ille divisit fluenta Jordanis et siccis pedibus transiit, et aquam sale medicatam ad bibendum aptam reddidit; tu Jonæ in ceti ventre incolumitas, et Nivitarum ad meliora consilia conversio ac benigna venia.

καὶ τὸ ὕδωρ ἅλατι θεραπεύσας, πότιμον ἀνέδειξε· σὺ τοῦ Ἰωνᾶ ἡ ἐν τῷ κήτει διάσωσις, καὶ τῶν Νινευϊτῶν μετανόησις, καὶ συγχώρησις ἄφθονος.

